κολούθησε δόγμασι. Δεσπόται δ' ἂν εἶεν ἡγεμόνων μὲν καὶ ἀρχόντων νόμοι καὶ στάθμαι κανόνων, ὑπηκόων δὲ καὶ συρφετώδους πλήθους ἡγεμόνες καὶ ἄρχοντες, ὡς ἐκ πηγῆς τῶν νόμων ἔχειν τὸ κρίνειν ὀρθῶς ὀφείλοντες. Πολλὰ μὲν οὖν τῶν δρωμένων καθ' ἑαυτὰ θεωρούμενα λέληθε τὴν τῆς κρίσεως κλέπτοντα βάσανον καὶ πρὸς αἰθερίου; ἐξαίφνης ἐν οὐκ εἰδόσιν ἀνέδραμεν ὕμνους, προσειληφότα δὲ καὶ τὴν μεθ' ἧς γεγένηται πρόφασιν μυρίων ἀρῶν ὑπεύθυνα ἀποπέφανται. Ἀλλὰ προσθετέον μοι τουτοῦ τοῦ θείου ἀνδρὸς (1) καὶ τὰ τούτοις ἀκόλουθα. « Τί ποιεῖς, » φησὶν, « ἄνθρωπε; Παρεβάθη νόμος, καὶ οὐκ ἐπιτιμᾷς, οὐδὲ γίνῃ χαλεπὸς τιμωρὸς τῶν τοῦ Θεοῦ νόμων, ἀλλὰ κοινωνεῖς; Καὶ ποίαν σχοίης; ἂν συγγνώμην; Μὴ γὰρ ὁ Θεὸς ἐκδίκων χρῄζει; μὴ γὰρ βοηθούντων δεῖται; Ἀλλ' ὑπηρέτην αὐτοῦ γενέσθαι σε βούλεται, ἵνα κἀντεῦθεν τὸ φιλόδοξον δείξῃς. » Καὶ ὁ μέγας δ' ὁμοίως φησὶν Ἀθανάσιος (2) ὡς « Οὐ μόνον τὸ μὴ θῦσαι λίβανον δείκνυσι μάρτυρας, ἀλλὰ καὶ τὸ μὴ τὴν πίστιν ἀρνήσασθαι· καὶ οὐχ οἱ κλίναντες εἰς εἴδωλα μόνον κατεκρίθησαν ὡς ἀλλότριοι, ἀλλὰ καὶ οἱ προδεδωκότες τὴν ἀλήθειαν. Ἀβραὰμ γὰρ ὁ πατριάρχης οὐκ ἀναιρεθεὶς ἐστεφανώθη, ἀλλ' ὅτι πιστὸς γέγονε τῷ Θεῷ· οἵ τε ἄλλοι ἅγιοι Πατέρες καὶ οἱ σὺν αὐτοῖς, περὶ ὧν ἁπάντων ὁ Παῦλος φησὶν ἐπιλείψειν τὸν χρόνον αὐτὸν διηγούμενον, οὐχ αἱματος ἐκχυθέντος ἐτελειώθησαν, ἀλλὰ διὰ πίστεως, καὶ μέχρι νῦν θαυμάζονται, ὅτι καὶ θάνατον ὑπομένειν ἦσαν ἕτοιμοι διὰ τὴν εἰς Θεὸν εὐσέβειαν. » Ὑρᾷς ὡς ἐν τοῖς μικροῖς μᾶλλον τὰ μέγιστα δείκνυται τῶν καλῶν, καὶ μάλα μᾶλλον ἐν τοῖς μάλιστ' ἐλαχίστοις ἐνίοτε ἢ τοῖς μεγίστοις; Ὡς γὰρ ἐν τοῖς βασιλικοῖς νομίσμασι καὶ ὁ μικρόν τι παραχαράττων ὅλον ἀχρεῖον ποιεῖ, οὕτω καὶ ὁ τῶν θείων κανόνων τοὐλάχιστον ἀνατρεπόμενον περιορῶν τῷ παντὶ λυμαίνεται.

III. Jam vero quod eos attinet qui sacris ædibus expulsi sunt, nonnullos scimus pios viros in fuga apud infideles, qui fidelibus clementiores erant, perfugium invenisse, ibique solitas in Deum precationes facere perrexisse. Neque pauci sunt e sanctæ Ecclesiæ viris, qui in ejusmodi duras conditiones sæpe inciderunt, ut tanquam aurum fornace probati exemplum essent posteris firmissimum constantiæ, et ut majora a Deo acciperent præmia. Deus autem ipse eorum viam patefacit et vestigia moderatur eorum qui propter ipsum vexantur persecutionibus, et his in temporibus infideles facit clementiores fidelibus. Cujus rei præ aliis exemplum est quod de feris et indomitis bestiis circa Danielem **127** factum esse accepimus. Facile enim feritatem in mansuetudinem convertit Deus, quem cum ubique nobis adesse sciamus atque credamus, ipse David eum omnibus regni sui locis coli voluit celebrationibus, sane melius est sub divo, in solitudine, in montibus puras Deo exhibere precationes quam cum infidelibus in templis auro et splendidis tabulis ornatis. Audi quæ sanctus Gregorius

Γ'. Εἰ δὲ καὶ τῶν ἱερῶν ἔξω περιβόλων ὠθούμενοι καὶ πρὸς ἔκφυλα μὲν ἐντεῦθεν, φιλανθρωπότερα δ' εὗν τῶν ὁμοφύλων γένη φυγάδες ἔνιοι τῶν εὐσεβούντων γινόμενοι ἐκεῖθεν τὰς οἰκείας εὐχὰς ἀναφέρουσι τῷ Θεῷ, καινὸν οὐδέν· πολλοὶ γὰρ τῶν πάλαι θαυμαζομένων τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἀνδρῶν τοιούτοις πολλάκις συντετυχήκασι τοῖς δεινοῖς, ἵν' ὡς χρυσὸς ἐν χωνευτηρίῳ δοκιμασθέντες τοῖς τ' ἐφεξῆς ὑπόδειγμα γένωνται κράτιστον ἀρετῆς, καὶ ἅμα μειζόνων αὐτοὶ πρὸς Θεοῦ καὶ τῶν ἀντιδόσεων τύχωσιν, αὐτοῦ τοῦ Θεοῦ προοδοποιοῦντος καὶ τὰ τῶν διωκομένων ὑπὲρ αὐτοῦ κατευθύνοντος; διαβήματα, καὶ τῶν ὁμοφύλων τοὺς ἀλλοφύλους πραοτέρους ἐν τοῖς τοιούτοις δρῶντος [f. 125 *b*] καιροῖς, καθάπερ ἔστιν ἃ τῶν σφόδρα ἀγρίων καὶ ἀνημέρων θηρίων ἐπὶ Δανιὴλ καὶ τῶν ἄλλων, τοῦ θηριώδους τηνικαῦτα τὸ προσηνὲς ἀλλάττεσθαι ῥᾷστα παρασκευάζοντος. Ἐπεὶ γὰρ πανταχοῦ παρεῖναι τὸν Θεὸν μεμαθήκαμέν τε καὶ πεπιστεύκαμεν, κἂν παντὶ τόπῳ τῆς αὐτοῦ δεσποτείας ὁ Δαβὶδ αὐτὸν εὐλογεῖν ἐπιτρέπει, βέλτιον ἐν ὑπαίθροις καὶ ἐρημίαις καὶ ὄρεσιν ἀκίβδηλον Θεῷ προσάγειν τὸν ὕμνον, ἢ δυσσεβῶν κοινω-

(1) Χρυσοστόμου ἐκ τῆς ἑρμηνείας τοῦ μ' ψαλμοῦ.
(2) Ἐκ τῆς ἐγκυκλίου ἐπιστολῆς.

νίᾳ χρωμένους χρυσῷ κεκοσμημένοις καὶ πλακῶν στιλπνότητι προσέχειν τεμένεσιν· ἀκούεις γὰρ καὶ τοῦ θείου φάσκοντος Γρηγορίου τοῖς τότε διώκταις αὐτοῦ (1)· «Σὺ δέ μοι περιείχου τῶν τοίχων καὶ τῶν πλακῶν καὶ τῆς κεκοσμημένης ψηφῖδος καὶ τῶν μακρῶν δρόμων καὶ περιδρόμων, καὶ χρυσῷ κατελάμπου καὶ περιελάμπου, ἀγνοῶν ὅτι κρείσσων ὕπαιθρος πίστις πολυτελοῦς ἀσεβείας, καὶ πλείους Θεῷ τρεῖς συνημμένοι ἐν ὀνόματι Κυρίου πολλῶν ἀρνουμένων θεότητα (2).» Καὶ Ἠλίας δ' ἔφευγε τὰς τῆς Ἰεζάβελ ἀπειλάς, καὶ τὰς τοῦ Σαοὺλ ὁ Δαβίδ, καὶ ὅπῃ τύχοιεν ἐπεκαλοῦντο τὸν Κύριον. Καὶ οἱ μάρτυρες τῆς ἀληθείας ἐκεῖνοι διωκόμενοι μὲν ἔφευγον καὶ λανθάνοντες ἐκαρτέρουν, εὑρισκόμενοι δὲ ἐμαρτύρουν.» Ἥκιστα οὖν σε χρεὼν τοῖς σμικρολόγοις ἐκείνοις συμφέρεσθαι τὴν διάνοιαν, οἳ δειλίᾳ τινὶ μεταξὺ τῶν δεινῶν τὴν ψυχὴν συνθολούμενοι θαυμάζουσιν ὅπως· ὁδὸς μὲν ἀσεβῶς ἐν τοῖς τοιούτοις καιροῖς εὐοδοῦται, οἷς δὲ τὸν ὑπὲρ εὐσεβείας σταδιοδρομεῖν ἐξεγένετο δίαυλον, τούτοις δ' ὑβρίζεσθαι, περιφρονεῖσθαι, συκοφαντεῖσθαι, χλευάζεσθαι, καὶ καθάπαξ εἰπεῖν, πᾶν πονηρὸν ἀκούειν ῥῆμα μακρόν τινα καὶ ἀτέκμαρτον συγχωρεῖται δρόμον τοῦ χρόνου, τοῦ Θεοῦ μὴ ταχεῖαν ἐπάγειν ἐθέλοντος τὴν ἐκδίκησιν, ἀλλ' ἐῶντος παντὶ τὸ νόμισμα διακωδωνίζεσθαι τρόπῳ, ἀλλ' ἀναλογιζόμενον ἐπὶ σαυτοῦ τὰ πάλαι γενόμενα, καὶ θεοφιλῶς ἀνιχνεύοντά τε καὶ ἀναλεγόμενον ἕκαστα, σαυτῷ τε καὶ πολλοῖς ἑτέροις ἐντεῦθεν μεγίστην παρέχειν ὠφέλειαν. Ἀκούεις γὰρ τοῦ μεγάλου τῶν τοιούτων ἰατῶν χρυσορρήμονος λέγοντος (3) ὡς ἐν προοιμίοις τοῦ κηρύγματος Στέφανος ὁ ὑπὲρ τοὺς ποταμοὺς ῥέων καὶ πάντας ἐπιστομίζων, οὐδὲ πολὺν ποιήσας ἐν τῷ κηρύγματι χρόνον, ἀθρόον ἥρπαγη καὶ ὡς βλάσφημος κατεδικάζετό τε καὶ κατελύετο· καὶ Ἰάκωβος δ' ἐν ἀρχῇ καὶ αὐτὸς ἐξ αὐτῆς ὡς εἰπεῖν τῆς βαλβῖδος ἀνεσπάσθη καὶ ἀποτμηθεὶς εἰς χάριν τῶν Ἰουδαίων ὑφ' Ἡρώδου τὸν βίον κατέλυσε στῦλος καὶ ἑδραίωμα τηλικοῦτον τῆς ἀληθείας. Μὴ οὖν θαυμάσῃς εἰ μὴ ἐκ προοιμίων μηδ' εὐθέως ἐκδικεῖται παρὰ Θεοῦ τὰ λυποῦντα· ἔθος γὰρ αὐτῷ μὴ ἐν ἀρχῇ τὰ δεινὰ λύειν (4), ἀλλ' ὅταν αὐξηθῇ καὶ παρὰ τῶν πλειόνων ἀπογνωσθῇ. Ἀκούεις δ' ὅπως καὶ ὁ μὲν Ἄβελ δίκαιος ὢν ἐφονεύθη ταχύ, ὁ δὲ Κάϊν ἔζη μακρόν, ἵν' ἐλέγχηται πλέον ἡ τούτου κακία· καὶ αὖ [f. 126 a] ὁ μὲν πρόδρομος Ἰωάννης τὴν κεφαλὴν ἀφῃρεῖτο, ὁ δ' ἀνελὼν Ἡρῴδης ἔζη ταμιευόμενος εἰς καιρὸν ἐκδικήσεως, ἵνα δηλαδὴ σκωληκόβρωτος ἐνταῦθα γενόμενος καὶ ἀποψύξας πικρῶς πρὸς τὸν ἀκοίμητον ἐκεῖνον οὕτωσὶ παραπεμφθείη ὁ ταλαίπωρος σκώληκα. Δι' ὧν γάρ, φησὶν (5), ἐπιβουλεύουσιν, ἑαυτοῖς μᾶλλον ἢ ἑτέροις τὰ βάραθρα ἀνορύττουσιν· οἱ μὲν γὰρ ἐπιβουλευόμενοι τὴν οἰκουμένην ἐραστὰς ἔχουσιν ἐπαινέτας ἀνακηρύττοντας, στεφανοῦντας, τοὺς εἰδότας τοὺς οὐκ εἰδότας, τοὺς ἀπὸ τῶν πραγμάτων, τοὺς ἐκ τῆς φήμης τὰ ἐκεί-

(1) Ἐκ τοῦ ξυνακτηρίου.
(2) Ἀθανασίου ἐκ τοῦ ἀπολογητικοῦ.
(3) Ἐκ τοῦ κατὰ Ἰουδαίων θ' λόγου.

A locutus est suis persecutoribus : « Habitas quidem intra muros, palatia ampla, porticus, et auro fulges ; sed Deum sub divo colere melius esse quam sacra splendida facere cum impio animo, etiam tres homines in nomine Domini conjunctos Deo gratiores esse quam multo plures qui Deum negent, nescis. Elias autem qui Jezabelæ et David qui Sauli minas fugit, quocunque venerunt laudarunt Deum. Etiam martyres illi veritatis primo a persecutoribus vexati in fugam se dederunt ; sed in occulto animum confirmarunt et protracti pro Deo mortui sunt. » Nequaquam igitur ut levia ista debes respicere. Qui in rebus angustis pusilli sunt et fractis animis mirantur quod impiorum viæ istiusmodi in rebus planæ et felices sunt, contra B quod ii qui propter pietatem periculosas vias ingressi sunt, per longum et infinitum tempus insolenter tractantur, contemnuntur, **128** proditur, irridentur, aliis multis molestiis urgentur. Deus enim non festinat judicium, sed quemque stadium suum vult decurrere. Tu vero quæ a majoribus nobis tradita sunt velim consideres. Unde si pio animo investigaveris singula quæque et tecum reputaveris, et tibi et aliis multis optimi fructus redundabunt. Audis enim ex magno illo Chrysostomo, ab initiis Evangelii Stephanum, amnis rapidi more fluentem et omnes silere cogentem, post breve tempus in prædicando Evangelio consumptum, subito esse correptum atque ut blasphemum condemnatum et interfectum. Jacobus initio et ipse ab ipsis et ita C dicam carceribus protractus et ab Herode ut Judæis satisfaceret interfectus est. Quocum veritatis firmissimum concidit columen et præsidium. Noli igitur mirari, quod non continuo injuriæ a Deo vindicantur. Deus enim improborum studia non solet jam a principio retardare, sed tum demum cum progressus fecerunt, et plurimis perspecta sunt. Uti scis, Abel qui homo justus erat mature necatus est ; Cain vero provecta demum ætate decessit. Quod Deus propterea fieri passus est ut hic culpæ suæ conscius esset per longam ætatem. Etiam præcursor Joannes interfectus est. Herodes autem qui interfecit diu impunitus vixit usque ad diem judicii, ita quidem ut qui jam hac in D **129** terra verminosus factus est et animam inter dolores exspiravit, idem deinde vermi illi assidue absumenti in cibum præberetur. Quare vere se habet quod dicunt, eos qui aliis insidias struerent, sibi potius quam aliis struere. Etenim ii quibus insidias parant a plurimis amantur, laudantur, prædicantur, coronantur, nempe ab iis qui res cognitas, et qui non cognitas habent, qui res ipsi et qui fama tantum compertas habent, qui cum iis dolores patiuntur, qui laborum socii sunt, denique ab omnibus qui cum iis veritati student. Contra insidiatores a plurimis odio habentur, accusan-

(4) Ἐκ τῶν πρὸς Ὀλυμπιάδα ἐπιστολῶν.
(5) Ἐκ τοῦ θ' λόγου κατὰ Ἰουδαίων.

tur, contemnuntur, objurgantur, negliguntur, mille exsecrationibus obruuntur, et hæc quidem accidunt in terra. Illic autem qualis sermo exponere posset insidiatorum impiorum pœnas, piorum vero lacessitorum vitam beatam?

A νων μανθάνοντας, τοὺς συναλγοῦντας, τοὺς συναγωνιζομένους, τοὺς τὰ χρηστὰ συνευχομένους αὐτοῖς πάντας, οἱ δ' ἐπιβουλεύοντες τοὺς μισοῦντας μὲν πλείστους, πολλῷ δὲ πλείους τοὺς κατηγοροῦντας, τοὺς διαβάλλοντας, τοὺς ἐλέγχοντας, τοὺς αἰσχύνοντας, τοὺς ἐπαρωμένους μυρία. Καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δ' ἐκεῖ ποῖος παραστήσει λόγος, ἢ τῶν διωκόντων ἀσεβῶν τὴν κόλασιν, ἢ τῶν διωκομένων εὐσεβῶν τὴν ἀπόλαυσιν;

IV. Hæc igitur dum consideres, charissime Agathangele, hacque dulcissima potione animum tuum confirmes, timide tacere et linguam reprimere noli, sed pro veritate fortiter pugna et alios auxilio destitutos opera tua et consilio adjuva, ita ut animi tui virtutes continuo floreant. Sed de his hactenus. Jam tempus est ut abeas, ne fugatis stellis dies illucescens tibi obrepat, neque mandatorum immemor sis.

Δ'. Ταῦτα οὖν ἐννοῶν, φίλτατε Ἀγαθάγγελε, καὶ τοιούτοις ὕδασι τὴν ψυχὴν ἀρδευόμενος, μὴ σιγῇ δειλιώσῃ τὰ τῆς σῆς χαρίζεσθαι γλώττης προπύλαια θέλε· ἀλλ' εὐγενῆ τῆς ἀληθείας προστάτην σαυτὸν καθιστάμενος, καὶ τοῖς προσιοῦσιν ἀγαθὸς γινόμενος σύμβολος, οὕτω διηνεκῶς τὰ τῆς σῆς ψυχῆς ἐγκαίνιζε χρώματα πρὸς τὸ βέλτιον. Εἶεν· καὶ μὲν δὴ ὥρα καὶ σὲ ἀπιέναι λοιπὸν πρὶν ἐς B ἑωθινὰς τοὺς οὐρανίους καταστῆναι κύκλους αὐγάς, τῶν ἀνατεθειμένων μηδενὸς ἐπιλελησμένον.

**130** V. Itaque cum Agathangelus a me discessisset, equidem in pristina rursus solitudine domi versatus sum. Nam neque qui ægritudine et tristitia afflictum me consolaretur aderat, neque ut antea eum exspectare mihi licuit in diem posterum aut in tertium aut in dies qui sequuntur, et continuo hac in conditione versatus sum præterquam quod mihi aderat qui omnibus locis præest nobisque omnibus prospicit, Deus inquam. Hic enim interea ægritudinem meam lenivit meque in continuandis historiarum commentariis adjuvit, quos conscribere antea consueveram, cum nobis multa perfrui libertate licitum erat. Tunc vero etsi non multum neque ut opus erat, tamen tantum scribendo perfeci quantum in mediis mihi summis angustiis variisque in sollicitudinibus frui licuit omnipotentis Dei manu adjutrice; qui me adjuvare mihique labores levare non cessavit. Etenim præsentia sua effecit ut operam meam tanquam miraculum quoddam homines obstupuerint. Nempe præter omnem opinionem factum est ut ex contrariis contraria optime evenerint et sempiterni rerum orbis procellæ turbidique motus in Alcyonitidam quam dicunt malaciam et tranquillitatem mutati sint. Est enim avis quæ et in aere et in aqua vivit nomine **131** Alcyon. Hæc si tempus adest procreandi fetus in arena maris summo tempore hiemali vehementissimisque procellis nidum ponit. Item providentia Dei frui ii profitentur, quibus res præter opinionem succedunt, cum ab Arcto altum sollicitatur vehementerque flagellatur, etiam summis procellis agitati fluctus assurgunt in Olympi et Caucasi montium altitudinem; ita ut si quid nimis arduum sit, in contrariam partem res succedat et præter opinionem aliquid accidat secundum Dei providentiam. Nempe sedatur ventorum illorum violentia, sedatur æstus fluctuum Dei vinculis sensim domitus ac compressus, donec Alcyonis pulli pennulas nacti protenus excursum tentare possint. Similia ego quoque per id temporis spatium expertus sum Dei auxilio. Nam dum persecutores me in nomine Christi vinctum crebro circumcursant me-

Ε'. Ἀγαθαγγέλου μὲν δὴ ἀπιόντος ἐν τούτοις, μόνῳ τὴν συνήθη βόσκειν αὖθις οἴκοι κατελείπετο ἐρημίαν ἐμοί, μηδενὸς, ὁπόσα παραμυθεῖται νόσῳ καὶ ἀθυμίᾳ δαπανώμενον ἄνθρωπον, μήτ' ἤδη παρόντος ἡμῖν μήτε μὴν ὅπως ποτὲ προσδοκωμένου μετὰ τὴν ὑστεραίαν, ἤγουν τὴν μετ' ἐκείνην καὶ ἑξῆς καὶ ὁμοίως ἀεὶ, πλήν γε δὴ τοῦ πανταχῆ παρόντος ἀεὶ καὶ πάντων κηδομένου μόνου Θεοῦ, ὃς τηνικαῦτα μετρίαν μοι τοῦ νοσήματος ἄνεσιν πεπραχὼς τοῦ συνήθους, συνήθως αὐτοσχεδίοις ὑπομνήμασι δοῦναι τὴν τῶν γινομένων παρεσκεύακεν ἱστορίαν, κατὰ τὸ πρὶν ἡμῖν εἰωθὸς, ὅτ' ἐλευθερίαν μακρὰν τοῖς ἡμετέροις ἐμπολιτεύεσθαι βου- C λήμασιν ἦν, εἰ καὶ μὴ τελέως ἤδη καὶ ὡς ἐχρῆν, ἀλλ' οὖν ὁπόσον ἡμῖν ἐν μεσότητι συνειλημμένοις μεγίστων δεινῶν καὶ φόβων πολυτρόπων τὴν παντοδύναμον κεχορηγηκέναι γέγονε δεξιὰν, συνεφαπτομένην ὅπως ποτὲ καὶ συνεπικουφίζουσάν μοι τοὺς πόνους. Εἴωθε γὰρ ὁ κραταιὸς ἐμοὶ βοηθὸς ὥσπερ τέρατα φαίνεσθαι τοῖς πολλοῖς τὰ ἡμέτερα δρᾷν, κἀκ τῶν ἐναντίων τἀναντία παραδόξως περαίνειν ἐπὶ τὸ τῶν βελτίστων πάνυ τι ἀπροσδόκητον, καὶ τοὺς [f. 126 b]. ἀεὶ τῶν τῆς κοσμικῆς περιόδου πραγμάτων ἄλλοτ' ἄλλους κυκεῶνας καὶ κλύδωνας εἰς ἀλκυονίτιδας οἷον εἰπεῖν ἐμοὶ νηνεμίας μεταποιεῖν. Ἔστι γάρ τι ζῶον ἀέρι καὶ θαλάττῃ μερίζον τὸν βίον ὄνομα ἀλκυών. Αὕτη πρὸς παίδων D ἐπειγομένη γονὰς, ἐπ' αὐτὰς τὴν καλιὰν τὰς παραλίους πήγνυσι ψάμμους ἐν χειμῶνι μέσῳ καὶ κυμάτων ἀκμαζούσαις βίαις. Ταύτην τοσαύτης ἀπολαύειν ὁμολογοῦσι τῆς ἄνωθεν προμηθείας οἱ πεῖραν τοῦ παραδόξου λαμβάνοντες, ὥστε τῆς θαλάττης μακρὰ τοῖς ἀπ' ἄρκτων ὑβρίζουσι πνεύμασι καὶ πάνυ μαστιζομένης, καὶ καιρὸν ἐχούσης ἤδη τοῖς κύμασιν ἁμιλλᾶσθαι πρὸς Ὀλύμπους καὶ Καυκάσους καὶ εἴ τι τῶν ἐπιγείων ὀρῶν ἐστιν ὑψηλότερον, εἰς τοὐναντίον χωρεῖ τὰ τοῦ πράγματος, καί τι παράδοξον ὑπὸ τῆς προνοίας ὁρᾶται γιγνόμενον· ἀτρεμεῖ γὰρ ἡ τῶν πνευμάτων ἀγριότης ἐκείνων, ἀτρεμεῖ δ' ὁ τῶν κυμάτων ὑβρίζων ὄγκος, δεσποτικοῖς ἀπορρήτως δεσμοῖς χαλινούμενος, μέχρις ἂν πτεροφυήσῃ τε καὶ εἰς νόμιμον τὰ νεογνὰ τῆς ἀλ-

κυόνος ἀφίκηται πτῆσιν ἐκτόκια. Τῶν παραπλη- A
σίων τοίνυν κἀμὲ πρὸς τῆς τοῦ Θεοῦ δεξιᾶς τηνι-
καῦτα συνέβη πειρᾶσθαι· τῶν γάρ τοι διωκόντων,
κύκλῳ περὶ τὸν δέσμιον ἐν Χριστῷ κομιδῇ συχνὰ
περιτρεχόντων ἐμὲ καὶ νύκτωρ τε καὶ μεθ' ἡμέραν
ἐνεδρευόντων, καὶ πᾶσαν ἐπ' ἐμὲ κινούντων γνώμης
τε καὶ γλώττης μανίαν, ὠρυομένων δίκην καὶ
ὑλακτούντων θηρῶν, καὶ μήτε μηδένα μηδαμῇ τῶν
ἀνθρώπων μηδὲν μηδαμῇ τῶν ἐπιτηδείων εἰσκομί-
ζειν ὁθενδήποτε συγχωρούντων, μήτε μηδὲν τῶν
ὅσα τὴν τοῦ γράφειν παρέχεται χρείαν ἐώντων μήτ'
ἔνδον ἡμῖν συνοικεῖν μήτ' ἔξωθεν εἰσιέναι παρ'
ὑτουοῦν, ἐλάθομεν ἀποῤῥήτῳ Θεοῦ προνοίᾳ μικροῦ
τὴν ὅλην τῶν γενομένων γραφῇ παραπέμψαντες
ἱστορίαν ἐν μικρῷ καιροῦ διαστήματι, μήτε μακρὰ
τῶν ἀναγκαίων παραλιπόντες, μήτε μακρὰ τῶν B
οἰησοδή τισιν εἶναι δοκούντων παραμίξαντες περιτ-
τῶν, ἀλλ' ἁπλούστερον παντάπασι τῷ τῆς ἀφηγή-
σεως τρόπον χρησάμενοι σχήματι. Καίτοι ἐχρῆν
ἡμᾶς ἐπιστατικώτερον δήπουθεν, ὡς ἐμέ γε οἴεσθαι,
τὰ τῆς δογματικῆς ὑποθέσεως καὶ ὅσα τοῖς λῃστι-
κοῖς συμπέπτωκε συνεδρίοις ἐπεξεργάζεσθαί τε καὶ
πολλαπλασιάζειν ἀμωσγέπως τὰς τῶν ἐννοιῶν ἀγ-
χιστρόφους μεθόδους, ἀνακυκλοῦντας ἅμα καὶ πα-
ρεισκυκλοῦντας συχνὰ, καὶ πῇ μὲν τῶν ἐναντίων
εὐρώστως ἀποκρούεσθαι καὶ ἀνασοβεῖν τὰ τοξεύ-
ματα, πῇ δὲ καιριωτέραν ἐγγυητεύειν καὶ μάλα γέ
τοι ἀσφαλῆ ταῖς ἡμετέραις κατ' ἐκείνων βολαῖς τὴν
περίνοιαν· δεῖν γὰρ κατὰ τοὺς στρατηγοὺς ἐνταυ-
θοῖ καὶ ἡμᾶς οὐχ ὅπως πρὸ ὀφθαλμῶν ἔχειν τοὺς C
ὀφθαλμοὺς, ἀλλὰ κἀπὶ τῶν μεταφρένων ὅπη τε βάλ-
λειν εὐχερέστερόν πως τῷ ἐχθρῷ, καὶ ὅτη μάλιστα
τὴν ὅλην καθ' ἡμῶν ἐπίνοιαν [f. 127 a] ὁ πολέμιος
ἐχεῖν ἐπείγεται. Ἀλλ' οὔτ' οὐδεὶς ἐμοὶ τηνικαῦτα
παρῆν οἷς εἰωθε πρὶν ταῖς τῶν γραμμάτων ἡμῖν
ὑπηρετεῖσθαι ὑπαγορεύσεσιν, οὔτε μὴν οὐδεὶς τὸ
παράπαν οἷς ἐχρῆν τῶν δογματικῶν τούτων ἀγώ-
νων τε καὶ βουλευμάτων ἐμοὶ συναίρεσθαι, καὶ
μάλιστα νῦν ὀφθαλμοὺς καὶ ὅλην ἀλγοῦσι κεφαλὴν
καὶ ὅλην ἀνιωμένοις καρδίαν. Ἐῶ γὰρ λέγειν ὡς
διὰ τὸ αἰφνίδιον τῆς εἱρκτῆς οὐδ' εὐφυᾶ τινα χάρτην
ἔχειν ἐμοὶ τηνικαῦτα τετύχηκεν εἰς τε ἀποχρῶσαν
ὑποδοχὴν συλλαβῶν καὶ γραφῶν πολυπλόκων τε καὶ
παντοδαπῶν, καὶ ἅμα ἁρμονίαν τοῖς δογματικοῖς
προσήκουσαν ἀγωνίσμασιν· ὥστε καὶ τοσούτων D
περιῤῥεόντων ῥοθίων ἡμῖν σφοδρόν τε οἰδούντων καὶ
μάλα ἀντίπρωρον ἡμῖν ἐπενηνεγμένων τὴν κίνησιν,
ἐς ἀνάγκας ἐλαύνεσθαι ἦν οὐδὲ μικρά τινα ἁπλῶς
φράσαντας σιγῇ τε τὴν γλῶτταν κατακλεῖσαι ἐξῆς,
καὶ τὸν Ἐνδυμίωνος ἐξ ἀπογνώσεως ὕπνον καθεύ-
δειν. Ἀλλὰ τοῦτ' ἴσως ἦν ἂν πως εὐπρεπὲς, εἰ μη-
δέν τι πρᾶγμα ἦν δήπου διαβάλλεσθαι πρὸς τῶν
κακοδόξων τὴν ἡμετέραν εὐσέβειαν, ἀναιδῶς οὕ-
τωσὶ τὴν σφετέραν περιτρεπόντων κακίαν ἡμῖν,
καὶ ἄλλως εἰ περὶ σῶμα γήινον ἦν τὸ τέλος τῆς
μάχης ὁρᾶν καὶ ἥκιστα τόν γε περὶ τῆς ἀθανάτου
ψυχῆς ἀγωνίζεσθαι δρόμον. Ὅπου δὲ τῶν τε ἐλπί-
δων τὸ πέρας κατὰ τὰς ἐλπίδας οὐκ ἂν ἀπαντῴη,
καὶ τὴν φυγὴν τοῦ κακῶς παθεῖν ἐφόδιον τοῦ κα-

que noctu diuque circumsedent etiam omnem in
me consiliorum vocisque furorem fundant instar
bestiarum rugientium et allatrantium; dum neque
cuiquam necessaria mihi aut quibus ad scripturam
opus est apportare, neque quiquam una mecum
intus habitare me neque convenire permittunt, ta-
men Dei auxilio id assecutus sum ut universam
rerum historiam brevi tempore conscriberem. Neque
tamen **132** in his prætermisi plura memorabilium
neque immiscui plura eorum quæ supervacanea
videntur; sed simpliciori omnino enarrandi ratione
usus sum. Tamen diligentius quæ ad dogmatum
rationes spectabant quæque in rapacibus synedriis
acciderant tractare atque multiplicare quodam-
modo repetundis crebroque intexendis variis mo-
bilibusque consiliorum rationibus necesse putabam;
etiam observare tum quomodo adversariorum tela
facile possent retardari atque repelli, tum vero
quomodo nos nostris in ipsos telis percommode et
tute uteremur. Nam ut militum duces oculos non
solum in adversum vertere necesse est, sed etiam
a tergo quippe quo tela conjicere et omnem in nos
dolum intendere adversariis facillimum esset. Sed
neque eorum qui sacrorum scriptorum consiliis
juvare me antehac solebant, ullus mihi aderat,
neque eorum, quos una mecum dogmatica illa
certamina et consilia suscipere oportuit. Quod vel
maxime hoc tempore questus sum propter oculo-
rum totiusque capitis morbum et intimi animi
sollicitudines. **133** Prætermittam enim quod mihi
qui improviso in custodiam ductus essem nanciscî
non licuit bonam chartam, itaque istis in undis
vehementer fluctuantibus mihique obstrepentibus
ne pauca quidem ore pronuntiare mihi licuit, sed
ut linguam compescerem et exspem Endymionis
somno me darem necessitate coactus eram. Quod
tamen nequaquam ægre tulissem si mihi non veren-
dum fuisset ne pietas mea obrueretur criminatio-
nibus infidelium impudenter nobis ipsorum impro-
bitatem applicantium; porro si pro misero meo
corpore finem laborum pro anima mea immortali
certamen ultimum prospicere potuissem. Sed si
spem fallunt eventus et fuga laborum iniquior est
ipsis laboribus, inanis est splendor exspectationum,
inanis fiducia in ferendis laboribus. Quare scaphæ
præclaris exspectationibus oneratæ clarum Deo
tradidi pro quo ipsum cursum institueram, eique
permisi etiam graphium; quo factum est ut præter
omnem opinionem plurima brevi tempore præclare
confecta viderim. Neque deinde hæc amplius cu-
ravi sed uti confecta sunt in medio reliqui. Nimi-
rum quod inter viros sapientissimos constat, ut
statuas pulchras, ita quoque quæ accurate efficienda
sint scripta secunda ac tertia manu retractanda
esse non difficor. **134** Sed cum mihi neque
satis esset temporis, neque ullum quietum horæ
momentum, quo quidem prima manu ad sententiam
meam uterer, quomodo qui in tantis rerum turbis
ac motibus demersus essem et qui continuo magis

quam Tantali lapidem persecutores ad fores assiduc assidentes et singula quæque impudentissime indagantes timerem, etiam tertia manu ad retractanda scripta libere uti potuerim? Quare in scriptis utcunque e prima manu prodierunt acquievi fretus Dei manu adjutrice.

A κῶς παθεῖν περιγίνεται, μάταιος μὲν ἡ τῶν ἐλπίδων πρόφασις, μάταιος δ' ἡ πρὸς τὸ πονεῖν ῥᾳθυμία. Διὸ τῷ μόνῳ Θεῷ τοῦ τῶν εὐγενῶν ἐλπίδων γέμοντος σκάφους τοὺς οἰακας θαῤῥήσαντες, ὑπὲρ οὗ καὶ τὸν πλοῦν ἀνύομεν τόνδε, καὶ μόνην αὐτῷ τὴν χεῖρα μετὰ τῆς γραφίδος χρήσαντες, εὐχερέστερον ἢ κατὰ πᾶσαν προσδοκίαν τὸ πλεῖον ἐν βραχεῖ τῆς ὅλης σπουδῆς τελεσθὲν τεθεάμεθα, κἄπειτα μηδὲν μηδαμῇ πολυπραγμονήσαντες, ἔχειν ὡς ἔσχεν ἀφήκαμεν, καὶ ταῦτα, καθάπερ τῶν ἀγαλμάτων τὰ κάλλιστα, οὕτω δὴ καὶ τοὺς δι' ἀκριβείας λόγους δευτέρᾳ καὶ τρίτῃ χειρὶ χρῆναι καθίστασθαι τῶν βελτιόνων σοφῶν παραινούντων. Ἀλλ' ἡμῖν γε δὴ μήθ' ὅλως ὅλον ἔχουσι καιρὸν ἐς δέον, ὥς γε ἔφαμεν, μήτε μὴν οὐδὲ βραχύ τι μέρος ὥρας ἀκλόνητον μηδὲ τῇ πρώτῃ γοῦν χειρὶ κατὰ τὸ τῆς γνώμης βουλόμενον χρήσασθαι (πῶς γὰρ οἷς τοσούτοις κεκυκλῶσθαι Κύκλωψιν ἐνῆν, καὶ οἷς μάλα μᾶλλον ἢ Ταντάλειον φάναι λίθον ἐξῆν ἀεὶ περιφανῶς δεδιέναι τοὺς ἀεὶ πρὸ θυρῶν ἐφεδρεύοντάς τε καὶ ἅπαντ' ἀεὶ τἀμὰ δεινῶς τε καὶ ἰταμῶς ἀνιχνεύοντας;) σχολῇ γ' ἂν ἄχρι καὶ ἐς τρίτην ἰέναι χειρὸς αὐτονομουμένην ζήτησιν εἴη. Διὸ καὶ στέργειν ὅπως ποτὲ ἠναγκάσμεθα τῇ πρώτῃ καὶ ὡς ἔτυχεν ἐχούσῃ χειρὶ τοῦ τὰ ἡμέτερα πηδαλιουχοῦντος Θεοῦ.

VI. Quadraginta diebus post Agathangeli discessum præterlapsis, sera nocte per domum posticam strepitum quemdam percipio. Et quidem accidit ut nox initio obscura esset. Nam post plenilunium, cum luna ad orbis lustrationem e centro iterum excedit, prima nocte lucem in terram non demittit. Jam ego accedens notam illam portam aperio et cum silentio Agathangelum recipio, qui quæcunque mandata erant bene et ex optato perfecerat, exposuerat, apportaverat. Equidem dum hunc labore defessum jamque interdum metu perturbatum ad respirandum locum ac tempus sibi sumere volo ego, « Ismeniæ isti, charissime Agathangele, resipiscenti sæpe in mentem venit dicere : Nunc musis ac mihi ipsi carmen cantabo; et vere grato ex animo canebat, post discessum tuum cum animum recreassem quæ in Ecclesia et in vita publica acciderunt, **135** in decem libris conscripsi, hisque librum meum universæ rerum Romanarum historiæ amplificavi, electis iis quæ memoratu dignissima sunt et quæ paulo antequam in custodiam veni pro sancta doctrina nostra perpessus sum. Quid autem aliud viris sapientibus qui ejusmodi in conditione versantur magis conveniat, quam ad hujuscemodi res mentis applicatio? Qui in vita labores subeunt ad incertum lucrum divitiasque intenti, quotiescunque in angustias incidunt, libenter tolerant spe bonorum sustentati. Hoc modo olim homines deceptos audimus cantilenis Sirenum, quæ dulcissima voce aures implendo et permulcendo quemque audiendi cupiditate incensum caperent et ultimæ perniciei traderent, ita ut brevem delectationem dira pœna exciperet. Contra litterarum studia fructus secum ferunt optimos qui non solum vivos exornant, sed etiam mortuos illos quibus otio suo optimo uti licuerit. Nam una eademque est litterarum et mentis **136** nostræ natura, etiam eadem immortalitas, quæ utrumque in unum conjunctum tenet, dummodo ne alterutrum concordiæ conditiones lædat, aut amicitiæ generosum fautorem et aurigam, ut ita dicam, depellat, ut Lydus ille ferox Pelops bellicosum Myrtilum de curru depulisse atque impudenter moderamen æquum a se rejecisse dicitur. Itaque ego post discessum

B Ϛ'. Τεσσαρακονθημέρου δ' ἤδη τὸν μεταξὺ τῆς ἐκδημίας Ἀγαθαγγέλου διαμετρούσης χρόνον, ἡνίκ' ὀψὲ τῆς τελευταίας [f. 127 *b*] ἡμέρας γένοιτο, ψόφου τινὸς κατὰ τὸν ὀπισθόδομον αἰσθέσθαι μοι γίνεται, τῆς γε τηνικαῦτα νυκτὸς ἐκ προοιμίων ἀφεγγοῦς ὑπαρχούσης· μετὰ γὰρ πανσέληνον τέως ἐς τὸ περίγειον τοῦ ἑαυτῆς ἡ σελήνη ἐληλυθυῖα ἐκ κέντρου τὸ δεύτερον, καὶ κατὰ τετράγωνον τῷ ἡλίῳ γινομένη σχηματισμὸν, οὐ μάλα ἀκρονύκτους τῇ γῇ παρέχειν ἐβούλετο τὰς αὐγάς. Καὶ ἅμα σπουδῇ παριὼν ἐγὼ, καὶ τὴν συνήθη πυλίδα ἀναπετάσας, ἡσυχῇ τὸν Ἀγαθάγγελον ἐδεχόμην, ἃ ἐπιτέτραπται πάντ' ἐς δέον καὶ κατὰ τὸ ἀνάλογον πεπραχότα καὶ εἰρηκότα καὶ κεκομικότα. Ἔτι τοίνυν ὑπό γε τοῦ μάχθου καὶ τῶν ἐπιπολαζόντων τηνικαῦτα φόβων C τεθορυβημένον ἐκεῖνον τὸ τῆς ψυχῆς λογιζόμενον διαναπαύειν ἐθέλων ἐγὼ, καὶ καιρὸν εἰς ἀνάψυξιν παρέχειν ὀντινοῦν, « Ἰσμηνίᾳ μὲν, » ἔφην, « ἐκεῖνῳ, φίλτατε Ἀγαθάγγελε, καθ' ἑαυτὸν γινομένῳ πολλάκις λέγειν ἐπῆει, — « Νῦν ταῖς μούσαις ᾄσω καὶ ἐμαυτῷ· » καὶ ἦν ἡ ᾠδὴ χαριστήριός τις· ἐμοὶ δὲ καθ' αὑτὸν γενομένῳ μετὰ τὴν σὴν ἐκδημίαν, ὁπόσα τῶν τ' ἐκκλησιαστικῶν ὁμοῦ καὶ δημοσίων πραγμάτων τῷ χρόνῳ γένοιτο, ὅσον εἰκὸς, καὶ ἡμᾶς ἐν δέκα λόγοις ἀναγράψαι γέγονε καὶ τῇ συνήθει δοῦναι τῆς ὅλης Ῥωμαϊκῆς ἱστορίας βίβλῳ, ἐκλεξαμένους τὰ καιριώτερα ὧν τε μετὰ τὴν ἐμὴν δὶς αὐτὸς ἐπιδεδημηκὼς ἀφηγήσω κάθειρξιν, καὶ ὧν βραχύ τι πρότερον, πρὶν ἢ καθειρχθῆναι, παθεῖν D ἡμᾶς ὑπὲρ τῶν θείων συνηνέχθη δογμάτων· ποία γὰρ ἂν ἄλλη τις εἴη σχολάζουσιν ἁρμόττουσα μᾶλλον αὐτῆς ἀσχολία σοφοῖς; Λέγω δὲ τὴν ἐς τοιούτους λόγους κίνησιν τοῦ νοῦ. Τοῖς μὲν γὰρ κατὰ βίον μοχθοῦσιν ἀμφισβητησίμου κέρδους καὶ συλλογῆς χρημάτων φροντίδες ἀπασχολοῦσαι τὸ νοερὸν τῆς ψυχῆς ὑποσαίνουσί τε καὶ κοῦφον τὸ τῶν ἀεὶ παρόντων ἀλγηδόνων ἐπίπονον διὰ τῶν ἐν τούτοις ὅπως ποτὲ δρῶσιν αἰωρουμένων ἐλπίδων, καθάπερ δήπου καὶ τὰς τῶν Σειρήνων, αἵτινές ποτ' ἄρ' εἶεν ἐκεῖναι, προτάττειν ᾠδὰς ἀκούομεν πάλαι, αἳ τῇ τῆς ἐμμελοῦς ἡδονῆς ἐμβριθείᾳ τὰς ἀκοὰς γοητεύουσαί τε καὶ θέλγουσαι, δέσμιον οἷον εἰπεῖν, ὅτις ποτ' ἦν ὁ τοῦ μέλους ἐκείνου κατατρυφῶν, πρὸς τὰς τοῦ

θανάτου συνώθουν κρηπῖδας, βραχείας ἡδονῆς ζη- A μίαν μακρὰν ἀλλαττόμενον. Ἡ δὲ πρὸς λόγους ἀσχολία αὐτόθεν ἔχει τὸ τοῦ κέρδους χρήσιμον συμπαρομαρτοῦν ἀεὶ καὶ ζῶσι καὶ τελευτῶσιν ἐκείνοις, οἷς ἂν ἐς δέον σφῆς καρποῦσθαι συμβαίνοι· συμφυὲς γάρ τι χρῆμα λόγος λογικῇ καθέστηκε ψυχῇ, τῆς αὐτῆς ἀθανασίας ἐμπολιτευομένης ἀμφοῖν καὶ συναπτούσης μάλα τοι προσφυῶς εἰς ταυτὸν, ὁπότε μὴ μεταβάλλειν ἐθέλοι τὰς ἁρμοττούσας θάτερον τούτων τῆς συμφωνίας συνθήκας καὶ τὸν εὐγενῆ τῆς φιλίας ἁρμοστὴν καὶ ἡνίοχον ἀποσείεσθαι, καθάπερ τοῦ δίφρου πάλαι τὸν Ἀργεῖον Μυρτίλον ὁ Πέλοψ ἐκεῖνος ὁ Λυδὸς [f. 128 a] ὁ θρασὺς, ἀναίδην οὐτωσί πως τοὺς τῆς δίκης ἀτιμάζων θρόνους. Ἐμοὶ μὲν οὖν καθ' ἑαυτὸν, ὡς εἴρηται, γενομένῳ μετὰ τὴν σὴν ἐκδημίαν τούσδε συνθεῖναι τοὺς δέκα συνέ- B ὁραμε λόγους, τοῖς προστυχοῦσι χάρταις κατεσπουδασμένως τε καὶ σφόδρα γε περιβεβῶς διὰ τοὺς δαψιλῶς περιβρέοντάς τε καὶ περικυκλοῦντας φόβους ἡμᾶς κομιδῆ· καὶ τοῖς ἄλλοις, τῶν ἐμῶν τῆς Ῥωμαϊκῆς ἱστορίας συντέταχα λόγοις, ὡς τὸ τηνικαῦτα ξυνεχώρει τῆς ὥρας στενόν. Σὸν δ' οὖν ἔργον ἂν εἴη τοῦ λοιποῦ λαβόντα κομίσαι καὶ διαδοῦναι μὴ μόνον τοῖς φίλοις ἡμῶν, ὁπόσοι τὸν αὐτὸν ἡμῖν ὑπὲρ εὐσεβείας ἔτι παραμένουσι τρέχοντες δίαυλον, ἀλλὰ καὶ πολλὰ τὸ ἐν πεποιηκότα παραπλησίαις τε μετεγγραφαῖς καὶ μέχρι τῆς τυχούσης κεραίας καὶ γραμμῆς ὁμοίως τοῖς πρωτοτύποις ἔχοντα, διαπέμψαι καὶ ὅπη τῆς οἰκουμένης ἡμέτεροι φίλοι τυγχάνουσιν ὄντες, καὶ πρός γε μὴν ἔτι ὅπη περὶ ἂν εἴη γε κατ' ἄλλους ἀλλαχῆ που τόπους ὀρθοδόξων προσοικοῦντα γένη Χριστιανῶν, ὁμοίους ἀεὶ τοὺς τῆς εὐσεβείας ἄνωθεν ὅρους ἐν γνώμης ἁπλότητι διασώζοντα. Βούλομαι γὰρ τὴν τῶν διωκτῶν εἰδέναι τούτων ἀπόνοιαν πάντας ἅπανταχῆ, διαβαλλόντων ἡμᾶς πανταχῆ, καὶ ἅμα τὴν τῆς ἡμετέρας ὁμολογίαν εὐσεβείας καὶ πίστεως. Ἣ καὶ αὐτή μοι τοῖς καροῦσιν ἐντέτακται λόγοις, κατὰ λέξιν ἔχουσα οὐτωσί·

Ζ'. Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, C ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφὰς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔστι τέλος· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν. Ἔτι δέχομαι καὶ ὁλοψύχως στέργω καὶ ἀσπάζομαι τὰς ἁγίας καὶ σεπτὰς καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, καὶ τὰς τοπικὰς ἑτέρας ἃς ἐδέξατο καὶ στέργει ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία· καὶ οὓς ἐδέξαντο αἱροῦμαι καὶ αὐτὸς, οὓς δὲ ἀπεβάλοντο, ἀποβάλλομαι, μηδεμίαν προσθήκην

tuum cum vires recreassem hosce decem libros in chartis forte oblatis conscripsi sedulo et anxio animo, quippe qui mediis in turbidissimis rerum motibus versatus essem. Deinde ubi quieto esse animo mihi licuit, eos cæteris meis historiæ Romanæ libris adjunxi. Tibi nunc curæ sit asportare hæc scripta et tradere non solum amicis quotquot mecum eadem hæc propter pietatem certamina susceperunt transmittere ubicunque terrarum amici nobiscum faciunt et ubicunque habitant orthodoxi Christiani, qui eadem divina pietatis præcepta vitæ simplicitate ac castitate tueantur. Nam persecutorum **137** furorem et insaniam unaque miseram meam conditionem cognitam omnes habeant volo, etiam quæ sit pietatis ac fidei nostræ confessio, quam hisce in libris expressi, quæque hac formula comprehenditur:

VII. Credo in unum Deum, Patrem omnipotentem, factorem cœli et terræ, visibilium et invisibilium, et in unum Dominum Jesum Christum, Filium Dei unigenitum, ex Patre natum ante omnia sæcula, Deum de Deo, lumen de lumine, Deum verum de Deo vero, genitum, non factum, consubstantialem Patri, per quem omnia facta sunt, qui propter nos homines et propter nostram salutem descendit de cœlis, et incarnatus est de Spiritu sancto ex Maria Virgine, et homo factus est. Crucifixus etiam pro nobis sub Pontio Pilato, passus et sepultus est; et resurrexit tertia die secundum Scripturas. Et ascendit in cœlum, sedet ad dexteram Patris, et iterum venturus est cum gloria judicare vivos et mortuos; cujus regni non erit finis. Et in Spiritum sanctum Dominum et vivificantem, qui ex D Patre procedit, qui cum Patre et Filio simul adoratur et conglorificatur; qui locutus est per prophetas. Et unam **138** sanctam catholicam et apostolicam Ecclesiam. Confiteor unum baptisma in remissionem peccatorum, et exspecto resurrectionem mortuorum et vitam venturi sæculi. Amen. Etiam agnosco et toto animo revereor sanctas, venerandas, œcumenicas illas septem synodos, et reliquas minores quas agnoscit et reveretur sancta Dei catholica et apostolica Ecclesia. Et quos hæ receperunt ego quoque recipio; quos condemnarunt, ego quoque condemno, neque horum ullam doctrinam iis quæ nobis traditæ sunt ipse aut addo, aut ab aliis additam agnosco, ut a sanctis illis synodis

præceptum est. Neque prætermisi quidquam aut A resecavi ipse, neque quæ ab aliis resecta sunt ad apicem et litteram agnovi.

VIII. Hanc propositam formulam ut vera ac constans nostra pietas ac doctrina facile ab omnibus possit intelligi reddidi simplicem, perspicuam, incomptam satisque omnibus apertam. Neque immutavi quidquam neque verborum ambitu arsus sum in formula hac renuntianda. Neque formulas theologicas seu dogmaticas intexui, cum obscuræ sint plurimis lectoribus neque satis ad intelligendum apertæ nisi adhibita explicatione. Unde sæpe fit ut inania irrepant quæ aures surdas offendunt. Sed B simpliciter retuli sanctificatam illam formulam pariter ac mihi tradita est. Quin ipsa nuda et aperta verba exhibui sanctorum Patrum; in quorum studiis et doctrina per totam vitam perseverabo **139** ut dignus sim cujus anima a Deo recipiatur, et ut dignus sim deprecationibus Matris sanctissimæ omniumque sanctorum. Amen. Quod ad Calabrum Barlaam et Acindynum attinet, cum plura dicere non liceat, nunc id tantum profiteor, me quæcunque judicata sunt de utroque et decreta a sancta Dei Ecclesia agnoscere. Sed hæc hactenus.

IX. Ex mandato apportasti mihi vivifica et mirifica hæc sanctæ Eucharistiæ mysteria, quæ mihi dum inter vivos sim animæ unaque corporis salu- C tem præbent et firmissimum contra omnes insidias præsidium; cum vero vita excedam, optimo me in vitam æternam prosequentur viatico. Hæc mihi quoque verissimum sunt testimonium omnium illorum certaminum, quæ antehac suscepi etiamque nunc suscipio, eum constanter professus sim ea revera esse incarnati Dei corpus et sanguinem, nec vero horum imaginem aut efficientiam insubstantialis naturæ quam ope phantasiæ dicunt incarnari neque revera esse unam trini et unius ingeniti beatique Dei Verbi substantiam. Persecutoribus meis hæc palam et expresse renuntiantibus neque pudor inest neque cœlestium metus fulminum. Quæ cum ita sint, ego cum his divinis et mirificis D mysteriis ad Deum Verbum vere incarnatum iter parabo, ubi revelabuntur sane veræ doctrinæ judicia. Tu vero **140** noli operam perdere sepeliendo cadaver meum, ubi canibus avibusque objectum conspexeris. Quod jam multo ex tempore persecutores de me decrevisse scio. Quid, si plurimi sanctorum non inviti corpus bestiis objici passi sunt, etiam, quod quidem de pluribus constat, antequam corpore anima decessit, ita ut inter acerrimos dolores corpus dilaniatum sit? Profecto me qui mille peccatis oneratus sim, multo magis tolerare id docet, præsertim cum in corpus jam omni sensu orbatum, in cadaver sæviant. Nam voluptas, dolor, ira, metus, quotquot alii sunt animi motus aut quæ corpori subest solam animam tenent aut

ἐπὶ τοῖς ὁρισθεῖσι παρ' αὐτῶν ἢ αὐτὸς προστιθεὶς ἢ παρ' ἄλλων γενομένην, ὡς αὗται αἱ θεῖαι θεσπίζουσι σύνοδοι, δεχόμενος ὅλως· μήτε ἔλλειψίν τινα καὶ ἀφαίρεσιν [f. 128 b] ἢ αὐτὸς ἀφαιρῶν ἐγὼ ἢ ἀφαιροῦντος ἀνεχόμενος ἄλλου μέχρι κεραίας καὶ γραμμῆς.

Η'. Ταύτην τὴν ἔγγραφόν μου ὁμολογίαν ἐπὶ πληροφορίᾳ τῆς ὀρθῆς καὶ ἀπαρεγκλίτου εὐσεβείας μου καὶ πίστεως δίδωμι ἁπλῆν, σαφῆ, ἀποίκιλον, εὔληπτον καὶ τοῖς πᾶσι ῥᾳδίως γνωριζομένην, οὐδὲν ἀλλοιώσας οὐδὲ μεταφράσας τῶν ἐν τῷ θείῳ καὶ ἱερῷ συμβόλῳ τῆς πίστεως, οὐδὲ θεολογίας καὶ δόγματα παρεγγράψας ἀσαφῆ τοῖς πλείστοις καὶ ἀσύνετα καὶ ἑρμηνείας δεόμενα, ὡς καὶ καινοφωνίας ἐντεῦθεν εἰρημένας λανθάνειν μεταξὺ καὶ παρατρέχειν τοὺς ἀκούοντας, ἀλλ' αὐτὰ ἐκεῖνα ἁπλῶς ἐκτιθέμενος τὰ παραδοθέντα μοι ἄνωθεν ἱερὰ ῥήματα ὡς παρεδόθησαν, καὶ αὐτὰς τὰς γνησίας τῶν θεσπεσίων Πατέρων φωνὰς γυμνὰς καὶ ἀπαρακαλύπτους προφέρων. Ὧν τῇ μελέτῃ καὶ ὁμολογίᾳ διὰ παντὸς ἐμμένων τοῦ βίου ἀξιωθείην τὴν ἡμετέραν τῷ Θεῷ παραδοῦναι ψυχὴν, πρεσβείαις τῆς πανυπεράγνου αὐτοῦ Μητρὸς καὶ πάντων τῶν ἁγίων. Ἀμήν. Περὶ δὲ τοῦ Καλαβροῦ Βαρλαὰμ καὶ τοῦ Ἀκινδύνου πλέον τι λέγειν οὐκ ἔχων ἐν τῷ παρόντι τοῦτο μόνον φημὶ, ὅτι στέργω ὅσον τότε διέγνω περὶ αὐτῶν ἑκατέρου καὶ ἐψηφίσατο ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία.

Θ'. Ἅ γε μὴν κατὰ τὰς ἐμὰς ἐντολὰς ἐκεκομίκεις ἡμῖν ζωοποιὰ ταυτὶ καὶ φρικτὰ μυστήρια, ζῶντι μὲν παρέσται μοι συνεχέστερον τούτων μετέχοντι ψυχῆς ὁμοῦ καὶ σώματος ἁγιασμὸς καὶ κράτιστον κατὰ πάντων δεινῶν φυλακτήριον, τῆς δ' ἐνεστώσης μεθισταμένῳ ζωῆς μέγιστον αὖθις ἐφόδιον αἰωνίου ζωῆς καὶ τῶν ἐμῶν ἄθλων μαρτύριον ἀκραιφνὲς, οὓς ὑπὲρ τούτων ἠγώνισμαί τε καὶ ἀγωνίζομαι, ταῦτα βεβαίως διατεινόμενος εἶναι τὸ τοῦ δι' ἡμᾶς σαρκωθέντος Λόγου Θεοῦ σῶμα καὶ αἷμα, καὶ οὐχὶ τύπον ἐκείνων ἢ καὶ ἀνουσίου τινὸς ἀποτέλεσμα ἐνεργείας, ἣν φαντασιωδῶς πως σεσαρκῶσθαι καὶ οὐχὶ μίαν τῶν τριῶν τῆς μόνης ἀκτίστου καὶ μακαρίας ἐκείνης οὐσίας Θεοῦ Λόγου ὑπόστασιν, τοῖς ἐμοῖς διαῤῥήδην βοῶσι διώκταις αἰδὼς οὐκ ἔπεισιν οὐδ' αἰθερίων φόβος κεραυνῶν. Διὰ δὴ ταῦτα καὶ συνέκδημος τοῖς θείοις τουτοισὶ καὶ φρικτοῖς μυστηρίοις γενέσθαι βούλομαι τὴν πρὸς τὸν ἀληθῶς σαρκωθέντα Θεὸν Λόγον πορείαν στελλόμενος, ὅπη καὶ τρανότερα τὰ τῆς ἀληθοῦς ἀνακαλυπτήρια περὶ πάντων παντάπασι γνώσεως ἔσται. Σοὶ δ' ἐατέον παντάπασιν καὶ μὴ διὰ σπουδῆς μηδαμῇ περιστέλλειν τὸν ἐμὸν γενέσθω νεκρὸν, ὁρῶντι κυσὶ καὶ ὀρνέοις δαπάνην ῥιπτόμενον, ὥς γε τοῖς ἐμοῖς δημίοις ἐκ πολλοῦ κεκύρωται ψηφισθέν· εἰ γὰρ πλείστων ἁγίων ἑκόντων ἐῤῥίφη τὰ σώματα, καὶ ταῦτα τῶν γε πλειόνων πρὶν ἢ τῆς συμφυοῦς χωρισθῆναι ψυχῆς, ὅτε δὴ μάλιστα καὶ δριμυτέραις ἕπεται διαπερονᾶσθαι ταῖς ἀλγηδόσι, πολλῷ δήπου μᾶλλον ἡμᾶς μυρίοις ἁμαρτήμασι βρίθοντας ὑπομένειν χρεὼν, καὶ ταῦτ' εἰς ἀναίσθητον σῶμα καὶ νεκρὸν τῶν δεινῶν [f. 129 a] περιαντλουμένων. Ἡδοναὶ γὰρ καὶ λῦπαι καὶ ὀργαὶ

καὶ φόβοι, καὶ ὅσαι τῶν ἐπιθυμιῶν διαθέσεις, ἢ A ψυχὴν ὑποκείμενον μόνην ἕξουσι καθ' αὑτὴν ἢ ψυχὴν χρωμένην σώματι, σῶμα δ' ἄνευ ψυχῆς καθ' αὑτὸ, τοῦτο δ' οὔποτ' ἂν οὐδαμῇ· πρότερον γὰρ ἄν τις ἐγκαλέσειε ξύλοις ἀψύχοις καὶ λίθοις χαρᾶς ἐντήκεσθαι καὶ λύπης αἴσθησιν καὶ τῶν τοιούτων, ἢ σώμασιν ἀνθρωπίνοις ἀπαλλαγεῖσι ψυχῆς. Γίνεσθαι δ' οὖν ὅμως πρὸς Θεοῦ τοῖς μὲν δρῶσιν ἀκούομεν ἔλεγχον τὰ τοιαδὶ κακία; καὶ ἅμα φλογὸς ἐκεῖ κολαζούσης ἑτοιμασίαν, οἷς δ' ὑπομένειν ὅπως ποτὲ προθυμία, τούτοις δ' ἀπαλλαγὴν ἐγκλημάτων ψυχῆς· μηδὲ γὰρ ἄλλο τι βούλεσθαι τὴν θηριώδη ταυτηνὶ καθ' ἡμῶν κατοχὴν τοῖς ἐμοῖς δημίοις ἢ τοῦ παρόντος ἐπίτομον βίου ἀπαλλαγήν. Ὃ γὰρ Ἰουδαίοις ἐκείνοις ἐπέπρακτο πάλαι, ἔργοις μὲν καὶ πάσαις γνώμης ὁρμαῖς τὸν Χριστοῦ συσκευάσασι B θάνατον, λόγῳ δ' εὐλαβουμένοις δῆθεν ψιλῷ χωρεῖν εἰς πραιτώριον ὀψιαίτερον, τοῦτ' ἄντικρυς ἴδοι τις ἂν κἀπ' ἐμοῦ συσκευάζοντας τουτουσὶ τοὺς ἐμοὺς Ἰουδαίους· δεδιότες γὰρ ἴσως τοὺς ἀνθρωπίνους ἐλέγχους, σίδηρον μὲν οὐκ ἐπάγειν ταχὺν οὐδαμῇ κατά γε τοῦ ἐμοῦ συγχωροῦσιν ἐμφανῶς αὐχένος, μὴ λάθωσιν ἀνδροφόνων ἐς προὔπτον ὄφλοντες δίκην, βίαιον δ' ἄλλως μοι τουτονὶ διὰ παντὸς συσκευάζουσι χρόνου τὸν θάνατον, εἰς ἀπροφάσιστον δῆθεν αὐτῶν κακίαν διατυποῦντες αὐτὸν οὑτωσί· τὸ γάρ τοι μεῖζον δημιουργοῦντες τοὔλαττον εἰρωνεύονται. Σὺ δ' ἀλλὰ καὶ τελευταίαν ταυτηνὶ μὴ κατοκνήσῃς καταθεῖναί μοι χάριν· λαβὼν γὰρ τὸ ἄγγος τουτὶ, νεαρὸν ἐκ τοῦ φρέατος ὕδωρ κομίσαι μοι προθυμήθητι, ἕως ἔτι νεαροὺς καὶ ἀκμάζοντας ἡ νὺξ ληνοβατοῦσα κίρνησι τοὺς ὕπνους τοῖς ἐμοῖς δεσμοφύλαξι· τῇδε γὰρ κἀμοὶ τῇ ὥρᾳ ποιεῖν εἰωθὸς ὡς ἐπὶ τὸ πλεῖστον μετὰ πεντεκαίδεκα καὶ πλείους μεταξὺ τὰς ἡμέρας. Ὃ δὲ νῦν ὁρᾷς, εἴκοσι πρότερον ἡμέρας κομίζων νυκτὸς, ἔλαθον διὰ σκότους λίθῳ τινὶ τὸν πόδα πληγεὶς, καὶ ἀλγηδόσιν ἐκεῖθεν ἐς τόδε χρησάμενος οὐ βραχέσιν, ὡς μὴ δυνηθῆναι πρᾶξαι τοῦ λοιποῦ τὰ εἰθισμένα. Διὸ καὶ σέσηπέ τε, ὡς ὁρᾷς, καὶ ὄδωδεν· ἑστὼς γὰρ καὶ ἄλλως νοσεῖ τὸ ὕδωρ, καθάπερ δὴ καὶ τἄλλα πάνθ' ὁπόσα γε τὴν γένεσιν ἐς τὸ κινεῖσθαι πρὸς τοῦ πεποιηκότος εἰλήφει Θεοῦ, μάλιστα δὲ νῦν ὁπότε τοῦ καύματος εἴη τὸ ἀκμαιότατον· μετὰ γὰρ τὰς τοῦ Ὠρίωνος ἐπιτολὰς τοὺς οὐρανίους ἀνελίττων ἀρτίως κύκλους ὁ τῶν αἰθερίων λαμπάδων βραβευτὴς καὶ ταμίας ἥλιος μάλα ξηρόν τε καὶ ἄνικμον τῷ περιόντι τῆς θέρμης οὐ μόνον ποιεῖ τὸν ἀέρα, ἀλλὰ καὶ ὅσα τῆς τοῦ ἀέρος τοῦδε μεταλαμβάνει ποιότητος. Διὰ γὰρ τοῦτο καὶ τῇ θείᾳ προνοίᾳ ἐμέλησε τὰς τῶν χρόνων καρπῷ ποιότητας ὑγροτέρας ἅμα καὶ ψυχροτέρας ἐκ διαδοχῆς ἀναλόγου ποιεῖν εἰς ἀντίπαλον τοῦ ἡλιακοῦ πυρὸς ἐκείνου κατάστασιν.

Ι'. Ἀλλὰ τούτων μὲν ἅλις· σοὶ δ' ἔνια τῶν ὅσα D τῷ βίῳ τελεῖται, καίριον, εἴπερ ποτὲ, ἂν εἴη νῦν ἡμῖν προτιθέναι καινότερα [f. 129 b] διηγήματα· πάντων γὰρ ἡμᾶς τῶν τοιούτων ἐν ἀγνοίᾳ πέπραχεν εἶναι τὰ τῆς καθείρξεως ταυτησίν. Εἰκάζειν δ' οὖν ὅπως ποθ' ἡμῖν παρέχεται τὰ τῆς ἡλικιώτιδος πάλαι πείρας ἄλλοτ' ἄλλα φύειν ἀεὶ τὸν χρόνον· φύσις γὰρ ὥσπερ τοῖς αἰθερίοις δρόμοις ὡσαύτως ἔχειν ἀεὶ, καὶ μεταβολαῖς κεχρῆσθαι μυρίαις καὶ ἀτεκμάρτοις καὶ μηδὲν μηδαμῇ βέβαιον ἔχειν, ᾧ μὴ συνεχοῦς τινος καὶ παντοδαπῆς δεήσει τῆς γλώττης καὶ ἀποχρώσης πορθμείου δίκην ἄλλοτ' ἄλλῃ παραπέμπειν ἀκοῇ. Ὁρᾷς δ' ὡς καὶ αὐτοῖς γε ἡμῖν ἀνίας οὐ μάλα τι μέτριον ἤνεγκε τῇ ψυχῇ τὸν τοῦ ἐπαχθοῦς φόρτον τὰ φθάσαντα τῶν ἡμῖν συμβεβηκότων, καὶ

animam unaque corpus; neutiquam vero corpus exanimum; imo durum lignum potius saxumque voluptate affici et dolores quæque similia sunt sentire dixeris quam exanimata corpora humana. Tamen apud Deum hæc peccatorum nobis opprobrio esse scimus. Neque quid aliud hac custodiæ immanitate persecutores mei intendunt quam **141** ut mors mihi maturetur. Quemadmodum Judæi olim re et consiliis ut Jesus Christus morte condemnaretur effecerunt, sed prætorium adire ne nuda legis verba offenderent noluerunt, ita hos quoque qui mihi mortem machinantur Judæos agere cuique apertum est. Nam aliorum opprobria ne incidant cervicibus meis palam statim gladium admovere nolunt, fortasse veriti ne manifestæ cædis rei fiant. Tamen jam multo ex tempore per vim mihi manus illaturi sunt. Tu vero hoc præterea mihi gratum facere ne cessa. Sume urceum, et ex puteo mihi aquam frigidam haurire aude, quoad custodes mei gravi et alto somno sopiti sint. Hac enim ipsa hora id facere consueram quinis denis vel pluribus diebus præterlapsis. Sed multo ante viginti dies cum hanc quam reliquam vides potionem hausissem, nocte cæca ad lapidem pes offensus est, ex quo usque adhuc non leviter ægrotavi, ita ut quæ consuevi facere amplius nequierim. Itaque aqua hæc putrefacta est et male olet. Nam aqua stagnans et alia quæcunque a **142** Deo ad motionem destinata sunt facile putrescunt, præsertim nunc cum æstus fervidissimus est. Sol enim C sidereorum ignium princeps ille et auctor cum post Orionis occasum orbes in cœlo evolvit, dies nobis nimis aridos efficit et fervidos, et quæ in terra sunt arefacit. Quare etiam Dei providentia vicissitudinem tempestatum instituit et alias humidiores ac frigidiores effecit, quæ nimios solis ignes minuant.

X. Sed satis de hoc. Tu vero nunc quædam enarres mihi velim e vita publica. Nam ad me qui hac custodia inclusus sum, fama nulla pervenit. Tamen id me pristina experientia satis edocuit, ætatem continuo parere aliquid novi. Nimirum instar cœli motuum una eademque semper natura conspicua est, tamen mille et innumeras induit varietates, neque quidquam tam firmum ac stabile est ut non continuo nostro ac vario sermone opus habeat, tanquam navicula qua huc illuc transmittatur. Quod ad me attinet, satis tibi notum est quantis me miseriis fortuna demerserit; quæ leniantur ac reprimantur quodammodo novitate tuarum narrationum vehementer cupio. Scis enim Pythagoram illum Samium primo mane ad chorda-

rum sonum carmen cantare consuesse, quo animum a variis ac turbidis nocturnis somniis revocaret, eumque bonæ **143** tranquillitati facile redderet. Nam somnia nonnunquam mirum in modum tanquam acri violentia mentem sollicitant, quin si gravia sunt vehementerque sensus occupant, omnem fere se colligendi potestatem ei eripiunt. Itaque mihi quoque gratissimum foret accipere a te novas narrationes, et quoniam hoc ipso tempore Deus propter veræ doctrinæ perversionem iratus tot ac tantas mittit miserias, horum alterutrum mecum communicabis : aut me amicorum conditionis certiorem facies. Ego autem complorabo eos etiamque ut laborum fortunæque socios salutabo et mutis meis verbis prosequar, et una cum iis mœrorem capiam et lætitiam, neque unquam tantam eorum constantiam admirari cessabo. Aut de persecutorum conditione mihi narrabis, et lætiori fortasse spe afficiemur. Nam ipsos aliquando insaniam suam agnituros esse spero, siquidem jam inter ipsos flagitiorum opprobria suboriri, contra e recessibus eorum quos persequuntur et e summis tenebris plenam sensim veritatem in lucem prodire sentiunt.

δεῖ ψυχαγωγίας ἐξωθεν ἱκανῆς ἐξ ἀντιπάλων βαγείσης δ ηγημάτων. Οἶσθα γὰρ ὡς καὶ Πυθαγόρας ἐκεῖνος ὁ Σάμιος λύρας ἔωθεν καὶ ᾠδῶν μουσικῶν νενουθέτηκεν ἅπτεσθαι, ὁπόσαι γε ἱκαναὶ τὸ τῶν λογισμῶν τηνικαῦτα κοιμίζειν κυμαῖνον ἐκ τῶν τοῦ ὕπνου νυκτερινῶν ἀθυρμάτων καθιστάμενον ῥόθιον, καὶ μεθαρμόττειν ῥᾳδίως ἐπὶ τὸ εὔθυμον ὁπόσα ἡ τῶν ὀνείρων αὐτονομία παίζουσα δραστικώτερον ἐνίοτε κατὰ τῆς γαλήνης τῶν λογισμῶν ἀφίησιν ἀπαρκτίου δίκην μακροῦ τινος, ὅτε δὴ καὶ μάλα ἀταμίευτος τοῖς αἰσθητηρίοις ὁ ὕπνος ἐντρέχων ἥκιστα τὸ πρὸς ἄμυναν τέως ἔχειν δυνάμενον σφίσιν ἐᾷη ἄν. Διὸ καὶ ἡμῖν ἥδιστον ἂν γένοιτο ἄκουσμα τῶν ἔξω πραγμάτων ἕνια διηγήσεως ὑπόθεσιν νῦν κομίζοντος σοῦ γε. Ἐπεὶ γὰρ κακῶν, εἴπερ ποτὲ, νῦν ὁ βίος ἐμπέπλησται ὀργιζομένου Θεοῦ διὰ τὴν τῶν θείων δογμάτων ἀθέτησιν, δυοῖν ἔσται θάτερον πάντως· ἢ γὰρ φίλων ἡμῖν ἀπαγγελεῖς συμφοράς, καὶ δακρύσω μὲν ὡς εἰκὸς ἕτερον τρόπον ἐγὼ, τῇ δὲ κοινωνίᾳ τοῦ πάθους ἐκείνους προσαγορεύσω καὶ πόῤῥωθεν, ἀφθόγγοις τε λαλιαῖς ὡς εἰπεῖν προσφθεγγόμενος, καὶ οἴκτῳ τὸν οἶκτον ἀντιδιδοὺς καὶ συνηδόμενος σφίσι, καὶ θαυμάζων τῆς καρτερίας τοὺς ἄνδρας, ἢ συμφορὰς διωκτῶν ἀκουσόμεθα, καὶ βελτίους λοιπὸν καὶ ὑπὲρ αὐτῶν τὰς ἐλπίδας ληψόμεθα. Σύνεσιν γὰρ οἶμαι καὶ σφᾶς ὀψὲ γοῦν εἰληφότας διορθωθῆναι, ἔργοις ἤδη βλέποντας προφανεῖς φυομένους τοὺς τῶν οἰκείων ἀτοπημάτων ἐλέγχους, καὶ φῶν ἐν μυχοῖς διωγμῶν καὶ σκότῳ βαθεῖ κοιμωμένων προτάσεων ἀληθῶν τὸ συμπέρασμα ἀνατέλλον.

XI. Equidem mi charissime jam paratus sum, et quamcunque vis narrationem faciam.

ΙΑ'. Καὶ μὴν ἕτοιμος ἔγωγε, βέλτιστε, λέγειν ὅσα δὴ καὶ οἷα βούλοιο ἂν ἐπιτάττειν αὐτός.

**144** XII. Tu vero, charissime Agathangele, nonne prius narrationi aptum exordium addere, quod deinceps invenire sane difficile est, aut prioris narrationis memoriam revocare nobis in animo habes? ita ut narrationis momentis catenæ instar adnectendis certum quemdam ad rerum narrationem quæ postea actæ sunt transitum tibi patefacias? Primum enim auditu dignum est quid post pugnam navalem illam Latinorum classes invicem se premendo et obsidendo effecerint; deinde quid Irene regina postquam Orestiadem et Didymotichum pervenit effecerit, filiorum regni cupiditatem priusquam furore incitati cædem ederent repressura; tertium quæ fanatici persecutores in nos concipiant et concoquant consilia.

ΙΒ'. Οὐκοῦν ἁρμόττουσαν ἀρχὴν ἀναθεῖναι δεῖ τῷ λόγῳ πρότερον, φίλτατε Ἀγαθάγγελε· ἣν οὐκ ἄλλως ἁλώσιμον ἔσεσθαι οἶμαι ἢ ἐς τὸ πρότερον ἴχνος τῶν λόγων ἐκείνων ἀναπόμπιμον πεπραχότας τὴν μνήμην, καὶ δίκην σειρᾶς τὰς τῆς γλώττης ἐκεῖθεν κρηπῖδας ἀνάψαντας, ἀσφαλῆ τὰ τῆς ἀναλήψεως ἤδη ἐφόδια ἐς τὴν τῶν ἑξῆς κεκτῆσθαι διήγησιν ἐν βραχεῖ. Εἶναι δ' ἀναγκαῖον πυθέσθαι πρῶτον ἡμᾶς ὅτι ποτὲ μετὰ τὴν ναυμαχίαν ἐκείνην ἀντικαθήμενοι καὶ ἀντεφεδρεύοντες ἑκατέροις ἑκάτεροι τῶν Λατίνων οἱ στόλοι τότε πεπράχασι· δεύτερον δ' ὅτι ποτὲ καὶ ἡ βασιλὶς Εἰρήνη [f. 130 a] τετέλεκεν ἀπιοῦσά τε ἐς Ὀρεστιάδα καὶ Διδυμότειχον, καὶ τὰς μεταξὺ τῆς φιλαρχίας τῶν παίδων ἔριδας ἐπειγομένη κοιμίσαι, πρὶν εἰς αἱμάτων χύσεις τὸ κατ' ἀλλήλων ἐκβῆναι μαινόμενον· καὶ τρίτον ὁποίας καὶ καθ' ἡμῶν τὰς μελέτας ὁ τῶν διωκτῶν ἱστουργεῖ καὶ συῤῥάπτει θίασος.

XIII. Hæc cum optime se habeant obloqui tibi, vir divine, nolo, imo prorsus tibi obsequar et initio quidem si non singula omnia quæ interim acta sunt, tamen quæ commemoratu dignissima sunt tibi exponam.

ΙΓ'. Ἐμὲ δ' εὖ σοι λέγοντι, θεία μοι κεφαλή, ἀντιλέγειν μὲν ἥκιστα πάντων, πείθεσθαι δὲ μάλιστα πάντων χρεών. Καί σοι ἐρῶν ἔρχομαι εἰ μὴ πάντα δὴ τὰ μεταξὺ καθ' ἕκαστα, ἀλλ' οὖν ἀπολέξας τὰ καιριώτερα.

XIV. Venetorum classis præfectus, incertus quid faceret cum præter omnem opinionem jam facta pugna navali Genuenses offendisset in societate Bithynorum ducis Hyrcani, cui cum summam ad desperationem **145** adducti essent, illi se tradiderant; cumque hos magna cum securitate ex Asia trajicere vidisset copias mercenarias quæ satis idoneæ essent ad hostes impugnandos, repellendos,

ΙΔ'. Ὁ γάρ τοι τοῦ Βενετικοῦ στόλου ναύαρχος ἥκιστ' ἔχων ὅ τι πράξειεν ἀφ' οὗ παρὰ πᾶσαν ἐνέτυχε προσδοκίαν ἤδη μετὰ τὴν ναυμαχίαν τοῖς Γενουΐταις τῷ τῶν Βιθυνῶν σπειραμένοις ἡγεμόνι Περσῶν Ὑρκανῷ, πρὸς μόνην ταυτηνὶ τελευταίαν ἐξ ἀπογνώσεως ἐληλυθόσι καταφυγὴν πολεμίοις πάντι δυσαντίβλεπτον καὶ οἷον ἀνανταγώνιστον, κἀκεῖθεν ἤδη μετὰ μακρᾶς τῆς ἀδείας μισθοφορικὴν ἐξ

Ἀσίας διαβιβάζουσι δύναμιν, ὁπόση ἂν εἴη μάλιστ' ἱκανὴ συμμαχεῖν τε καὶ πόρρωθεν ἀποκρούσασθαι καὶ ἀναπλεῖν πολεμίων ἁπάντων ἔφοδον, πλήρεσιν ἀπέπλευσε τοῖς ἱστίοις ἐς Βενετίαν, ἐπαγγειλάμενος μετὰ πλείονος ἐπανήξειν ὀψὲ τῆς δυνάμεως. Κατέλειπε δ' ὅμως συνθήκας τοῖς Γεννουΐταις τὸν βασιλέα ποιεῖν καιρικὰς, ἕως ἂν ἑκατέροις τοῖς μέρεσι διαναπαύσασιν ἑαυτοὺς, καὶ διαρκέστερα τἀπιτήδεια εἰσκομισαμένοις, ἀνδρικώτερον πρὸς τὸν ἑφεξῆς ἅπαντᾶν προσγένηται πόλεμον. Ἐνταυθοῖ δέ μοι γενομένῳ τοῦ λόγου ἦκιστ' εὔοδα τὰ ἑξῆς εἴη ἄν, βουλομένῳ κατά γε τὴν σὴν τὸν λόγον συστέλλειν ἐς τὸ βραχύτερον βούλησιν. Εἰ μὴ γὰρ ἄνωθεν ἐργμένοις τὰς τῶν λεχθησομένων αἰτίας προστιθέναι γένοιθ' ἡμῖν, οὐκ ἂν ποτε γένοιτο γνώριμον οὐδέσι τῶν ἀκουόντων οὐδὲν, πλὴν ὅτι ἀμεινόνων γε τῶν ἀπορρήτων ἐσόμεθα πρόξενοι, ἡμέργόν τινα καὶ ἡμιτελῆ τῇ διηγήσει τὴν τῆς γλώττης παρεχόμενοι χρείαν.

A iis omnesaditus intercludendos; velis passis Venetiam renavigavit cum pluribus opibus mox se reversurum esse pollicitus. Permisit quoque regi ut in tempore cum Genuensibus pacis conditiones iniret, donec utræque partes se refecissent et necessariis sufficienter instructæ animosius bellum redintegrare possent. His ita expositis ut voluntati tuæ reliquam narrationem paucis absolvendi obsequi mihi liceat vereor, cum nisi supra indicatis rationes subsequentis narrationis additæ sunt, nihil fortasse cuiquam apertum fiat, nisi quod ego suppetiis egerem, quippe qui imperfectam narrationem redderem.

ΙΕ'. Ἐβουλόμην σε ἔγωγε, καλὲ Ἀγαθάγγελε, πάνυ τι πλεῖστον ἐμοὶ συνεῖναι τὸν χρόνον καὶ ὁμιλεῖν ἐνταυθοῖ, καὶ μαχρὰν παρ' ἑκατέρων ἑκατέρους ἐντεῦθεν ἡμᾶς τὴν παραμυθίαν μετὰ τοῦ ὠφελίμου καρποῦσθαι, χρείας χρείαν ἀντιδιδόντας ἀλλήλους ἀλλήλοις καὶ αὖ παρ' ἀλλήλων ἀλλήλους ἀντιλαμβάνοντας· ὡς εἰκὸς, μέχρις ἂν, εἰ κοὶ ἡμῖν ἐξείη ζῆν, ὁ τῆς αἰθρίας ἐπιλάμψῃ καιρὸς, καὶ δῷ παρρησίαν τῇ γλώττῃ ξὺν γε Θεῷ, καὶ δοθῇ μοι λόγος κατὰ τὸν θεῖον ἀπόστολον ἐν ἀνοίξει τοῦ στόματός μου παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ Εὐαγγελίου ὑπὲρ οὗ πρεσβεύω ἐν δεσμοῖς, ἵνα ἐν αὐτῷ παῤῥησιάσω ὡς δεῖ με λαλῆσαι. Ἐπεὶ δ' ἄλλοτ' ἄλλα τὰς ἐμὰς νύκτωρ καὶ μεθ' ἡμέραν σμήνη διωκτῶν περιστοιχίζουσι θύρας, θηρῶν χαλεπώτεροι πάντων εἰπεῖν, ὡς δεδιότας μηδ' ἔχειν ἡμᾶς μήτε φωνὴν γοῦν ἐλευθέραν χαρίσασθαι μήτε σέ γ' ἐμοὶ μήτ' αὖ τοὐναντίον σοί γε ἐμὲ, πλὴν ἢ μάλα μόλις τονθορύζοντας ἑκάτερον ἑκατέρου ἀκούειν, στέργειν δ' οὖν τέως ἀνάγκη τῇ καταψηφισθείσῃ μονώσει καθάπαξ ἁπασῶν ἐν στερήσει καθημένους ἀνθρωπίνων προσῤῥήσεων, παραπλησίως εἰπεῖν τοῖς αἰωνίως ἐν ᾅδου [f. 130 b] καθεύδουσιν· ὅμως αὐτῷ θαῤῥήσαντες ἤδη τῷ μόνῳ Θεῷ, ὑπὲρ οὗ καὶ τουτοισὶ ἐγκαρτεροῦμεν τοῖς ἄθλοις, φέρε δέος ἅπαν κονιορτοῦ δίκην ἀποτριψώμεθα· καὶ τρεῖς λοιπὸν τῶν ἡμερῶν καὶ τέτταρας, εἰ ἔδοι, σύ γε δήπου περιμείνας ἐνταυθοῖ, μακροτέραν τε καὶ ὅσον ἐφικτὸν ἀνενδεᾶ τὴν τῆς ἀφηγήσεως τράπεζαν ἡμῖν ταυτηνὶ παρατίθει. Καὶ τῶν ὀρνέων γὰρ τοὺς κύκνους φασὶ τῆς σφῶν αὐτῶν αἰσθομένους ἤδη τελευτῆς, μακρότερόν τι καὶ λιγυρώτερον τηνικαῦτα μᾶλλον ἢ κατὰ πάντα ᾄδειν τὸν βίον. Ἐπεὶ οὖν καὶ ἡμῖν περὶ τοὺς ἐσχάτους ἤδη κινδύνους σκηνοβατεῖν περιέστηκεν, ὡς εἰρήκειμεν, οὐκ ἄν που τῶν ἀπεικότων εἴη μακροτέροις διηγήμασι μακροτέραν ἐκτείναντας ἀκοὴν τελευταίοις ἀφοσιώσασθαι ἀσπασμοῖς. Ἄρτος δ' ἡμῖν ὁ κατεσκληκὼς οὑτοσὶν εἰς τροφὴν ἀποχρήσει, καὶ ὁ νῦν εἰσκεκομίκεις αὐτὸς ἐξ ἐκείνου τοῦ φρέατος ὕδωρ εἰς πόσιν. Τροφῆς μὲν δὴ καὶ πόσεως, θεία μοι κεφαλὴ, πάνυ τι ἐλαχίστου ἢ μᾶλλον τοῦ μηδενὸς ἂν μοι δεῆσειν οἶμαι τὰ νῦν, τῆς σῆς ὁμιλίας ὡς ἐπίπαν εἰπεῖν ἀποχρώσης ἐμοὶ, καὶ ῥᾷστά μοι πεισθούσης ἑρωτᾶς ἐρώτων ἀλλάττεσθαι, δυοῖν ὁπατέρου βού-

B XV. Equidem, charissime mi Agathangele, te temporis plurimum adesse mihi vellem hicque mecum confabulari, ita ut uterque nostrum solatium unaque utilitatem caperet invicem nos ut par est sermonibus delectando et adjuvando, donec quietiores dies capere et, Deo adjuvante, linguæ fiduciam recipere nobis liceat, mihique sermo datus **146** sit, ut sanctus Apostolus dicit [1], in aperti one oris mei cum fiducia, notum facere mysterium Evangelii, pro quo legatione fungor in catena, ita ut in ipso audeam prout oportet me loqui. Sed quoniam continuo persecutorum turbæ fores circumsistunt, ita ut neque libere lingua uti neque quidquam præter strepitum percipere possimus, hanc nostram solitudinem quamvis omni C omnino solatio instar defunctorum in Tartaro privati simus, æquo animo feramus nos oportet, unaque confidentes unico Deo propter quem certamina fortiter suscepimus, age nos omni metu tanquam luto purgemus. Tu vero tres vel si opus est quatuor dies hic apud me remane, et pleniorem et quantum fieri potest sat integram mihi fac narrationem. Scis enim e volucrum genere cycnos dum vitæ finem adesse sentiant, cantum pleniorem et acutiorem edere quam alias. Atqui cum nos quoque ut diximus ultimis jam in vitæ periculis versemur, minime sane ineptum foret longioribus **147** sermonibus aures longius tempus erigendo supremis honoribus nos obsequi. Quod ad victum attinet, panis hic jam adesus et aqua, quam D modo ipse e puteo hausisti, nobis suppeditabunt. Ego vero, vir divine, panem et potionem minimi, imo nihili æstimo, sed usus tuus prorsus mihi satisfacit meque ut officia tibi præstem facillime commovet. Et hæc quidem ob duas fortasse causas quispiam velit, aut quod viva oratio quam parit mens immortalis firmiores et suaviores amantibus reddit amatorum narrationes, aut quod propter desiderium tuum pluris, imo plurimi habeo tecum colloqui. Sed de hoc, charissime Agathangele, jam satis; nunc narrationem continua.

[1] Ephes. vi, 19.

λοιτό τις ἕνεκα, εἶθ' ὅτι γέννημα ὢν ὁ λόγος ἀθάνατον ἀθανέτου νοῦ μονιμωτέρας τῇ τῶν ἐρασταν ἀκοῇ παρέχεται καὶ ἡδίους τὰς τῶν ἐρωμένων ἐπαγγελίας, εἶθ' ὅτι καὶ διὰ τὸν σὸν πόθον περὶ πλείονος καὶ τοῦ παντὸς τὴν σὴν ἐφίεμαι ποιεῖσθαι ὁμιλίαν. Ἀλλὰ τούτων μὲν ἄλις, ὦ βέλτιστε Ἀγαθάγγελε· σὺ δὲ τῆς προκειμένης ἔχου προθέσεως.

XVI. Equidem unde deflexi jam revertar. Satis tibi notum est, vir optime, eodem die quo turbida illa et in vestram cladem a persecutoribus constituta synodus dimissa e t, e Thessalonica Cantacuzenum regem nuntios tristissimos, quique per dura ut dicunt ossa currant accepisse, tanquam præmia certamine illo digna a Deo judice data opprobrio nequitiæ et impudentiæ. Deus enim hæc tantum non clare **148** declaravit, et aptum documentum dedit quo animi converterentur ad sanctas leges illas violatas, et sic fortasse pœnitentiæ portas aperuit. Dicunt enim Palæologum cum uxoris fratrum et soceri insidias eorumque animorum commutationem versutaque consilia suspicatus esset, memoriam sibi similium insidiarum fecisse, quæ quidem ut alia multa principes repente ac graviter opprimant unaque alios multos qui ad rerum statum novaque consilia non perattenti fuerint, ad labem multamque cædem adducant. Itaque animum ille erexit et ad regni partem quæ sui propria esset advertit, etiam quomodo vitam securam et ab omnibus insidiis tutam degere posset animo secum reputavit. Nam melius esse dixit in tempore maris æstus effugere quam nimia cum animi fiducia fluctuum impetu abripi. Brevi tempore interjecto cum Serviæ Crales ei summa pericula minitaretur nisi facta affinitate amicitiam suam iniret qua insidiæ omnes facile reprimi possent, Palæologus huic fidem dedit, sero tamen ita ut haud multum abesset quin pactio conficeretur. Ex qua constitutum erat, ut Palæologus si facile fieri posset Helena sua uxore quæ ex inimicorum genere oriunda **149** esset data obside, Cralis uxoris sororem in matrimonium duceret, virginem ætate nondum adultam et Mysorum ducis Alexandri filiam. Hæc cum accepisset rex Cantacuzenus, morte, ut ita dicam, acerbiores curæ animum ejus invaserunt. Palæologi matrem Annam illo tempore Byzantii custoditam accersit et cum hac Hodegorum monasterium adit. Hic ante sanctæ Matris simulacrum illico se illius filio suoque genero cunctam rerum administrationem traditurum esse pollicetur, si Cralis pactum ille solveret et Byzantium reverteretur ad uxorem legitimam. Sibimet ipsi vero horum alterutrum expetit: aut ut Byzantii cum victu et cultu regio ætatem agere et usque ad Selymbriam ex generi consensu res administrare, aut quod reliquum sit vitæ domi in otio ac quiete agere sibi concedatur. Hancque suam sententiam jurejurando firmissimo et teste verissimo sanctissima Dei matre sancitam litteris mandat et Annæ tradit. Hæc autem omni suspicione abjecta litteras cum jurejurando illo accepit et quam ocissime navigavit Thessalonicam. Ubi cum filio quæ satis erant exposuisset, et fi missimum illud jusjuran-

ΙϚ'. Καὶ δὴ λοιπὸν ἐπανιτέον ἐκεῖσε. Οἶσθα, ὦ βελτίστη μοι κεφαλή, ὅπως μετὰ τὴν μοχθηρὰν ἐκείνην καὶ κακῶς τοῖς διώκταις σχεδιασθεῖσαν καθ' ὑμῶν ληστικὴν ἐκείνην σύνοδον ἦκον αὐθημερὸν ἐκ Θεσσαλονίκης ἀγγελίαι τῷ βασιλεῖ Καντακουζηνῷ πάνυ τι σφόδρα δειναί, καὶ αὐτῶν ὡς εἰπεῖν τῶν τῆς ψυχῆς ἀποτόμεναι μυελῶν, καθάπερ ἔπαθλα τοῦ ἀγῶνος ἐκείνου κατάλληλα τοῦ ἀθλοθέτου Θεοῦ προσδεικνύοντος πρὸς ἔλεγχον τῆς κακίας καὶ ἀναιδείας ἐκείνης, διδάσκοντος μόνον οὐ διαῤῥήδην καὶ μετρίαν ταύτην κατὰ πόδας ἐνταῦθα παιδείαν ἐπάγοντος εἰς ἐπιστροφὴν τῶν ἐκεῖ παρανομηθέντων, καὶ πύλας οὕτωσί πως ἀνοίγοντος μετανοίας. Φασὶ γὰρ τὸν Παλαιολόγον, ὡς ὑποπτεύσειεν ἐπιβουλὴν καθ' ἑαυτοῦ πρὸς τῶν γυναικαδέλφων καὶ τοῦ πενθεροῦ καὶ γνώμης ἐκείνων ἀλλοίωσιν καὶ τροπὴν πολλαχόθεν πολύτροπον, ἀνενεγκεῖν τε εὐθὺς πρὸς ὁμοίους φόβους τὴν μνήμην ὁμοίων ἐπιβουλῶν, αἳ ταῖς ἀρχαῖς ἀπροόπτως ὡς τὰ πολλὰ καὶ πολυτρόπως ἐνσκήπτουσαι κηλῖδας καὶ κῆρα· αἱμάτων καὶ φόνων μεστὰς ἐπιφέρουσι τοῖς μὴ πάνυ προσέχειν ἐθέλουσι ταῖς πολυτρόποις τύχαις καὶ γνώμαις τῶν ἀνθρώπων. Ὅθεν διανέστη τε καὶ τὴν γνώμην εὐθὺς ἐπὶ ζήτησιν ἠκόνησε τοῦ προσήκοντος ἄνωθεν κλήρου τῆς βασιλείας καὶ τοῦ γε βιοῦν ἀδεέστερον δύνασθαι ἢ καθ' ἃς μηχανᾶσθαι δύναιντ' ἂν τινες ἐπιβουλάς· βέλτιον γὰρ ἔφημεν εἶναι θαλάσσης ἐπιούσης [f. 131 a] ἐν τῷ παρόντι φορὰν ἐκκλῖναι ἢ ῥᾳθυμήσαντα συναπαχθῆναι τῇ βίᾳ τοῦ ῥεύματος. Χρόνον οὖν τινα τῷ Κράλῃ Σερβίας ἐπιτιθεμένῳ καὶ ἀπειλοῦντι μεγίστους αὐτῷ περιστήσειν κινδύνους, εἰ μὴ κήδους ἕνεκα πρὸς συγγενῆ φιλίαν αὐτῷ συναφθείη κρατίστῳ καὶ πρὸς τὰς περιεστηκυίας αὐτῷ συμφορὰς ἐσομένῳ συμμάχῳ, πέμπει δεξιὰν ὀψὲ καὶ μόλις ἤδη διὰ ταυτὶ, καὶ κυροῦται πρὸς ἀμφοῖν δόντα οἱ τὸν Παλαιολόγον, εἰ ῥᾴδιον εἴη, ὁμηρα τὴν ἑαυτοῦ γυναῖκα Ἑλένην διὰ τὰς ἐκ γένους ταύτης ἐπιβουλὰς, ἀγαγέσθαι τὴν τοῦ Κράλη γυναικαδέλφην, νέαν τε οὖσαν ἔτι κἀκείνην καὶ ἅμα ἀδελφὴν τοῦ τῶν Μυσῶν ἡγεμόνος Ἀλεξάνδρου. Ταῦτα τῷ Καντακουζηνῷ μαθόντι τῷ βασιλεῖ θανάτου φάναι πολλῷ πικροτέρους καθῆκε φόβους τοῖς λογισμοῖς· καὶ παραλαβὼν Ἄνναν τὴν ἐκείνου μητέρα, τηρουμένην τέως ἐν Βυζαντίῳ, εἰς τὴν τῶν ὁδηγῶν ἀπῆει μονὴν, κἀκεῖ τῆς θείας εἰκόνος ἔμπροσθεν αὐτίκα μάλα δώσειν ὑπισχνεῖται τῷ ταύτης μὲν υἱῷ, γαμβρῷ δὲ αὐτοῦ, τὸν ἅπαντα κλῆρον τῆς βασιλείας, ἀφεμένῳ μὲν τὰς τοῦ Κράλη συνθήκας ἐκείνας, ἐλκυθότι δ' ἐς Βυζάντιον εὐθὺς παρὰ τὴν νόμιμον σύζυγον, αὐτὸς δὲ δυοῖν θάτερον. ἢ τῷ Βυζαντίῳ διὰ βίου ἐνδιατρίβων βασιλικῶς καὶ αὐτὸς τὰ μέχρι Σηλυμβρίας ἐντεῦθεν διοικεῖν πράγματα κατὰ γνώμην τοῦ γαμβροῦ, ἢ τὸν ἡσύχιον ἑλόμενος καὶ ἀπράγμονα βίον οἴκοι καθῆσθαι. Καὶ ἅμα ἔγγραφον ταῖν χεροῖν αὐτῆς ἐνετίθει τὴν γνώμην φρικωδεστάτοις ὅρκοις

ἠσφαλισμένην τε καὶ ἀπαραλόγιστον τὴν ὑπέραγνον Θεομήτορα προβαλλομένοις ἐγγυητήν. Ἡ δ' εὐθὺς ἀπιστεῖν οὐδαμῇ ἔχουσα τά τε τῶν οὕτως ἐχόντων ἐγγράφων ὅρκων βιβλία εἵλῃφει, καὶ ἅμα ὅλῃ σπουδῇ κατέπλευσεν ἐς Θεσσαλονίκην, κἀκεῖ τῷ υἱῷ τὰ εἰκότα ὠμίλησε καὶ τοὺς φρικώδεις ἐκείνους ἐμφανίσασα ὅρκους, τῶν τοῦ Κράλη συνθηνῶν τελέως ἀποσχέσθαι πέπεικεν εὐθύς.

A dum tradidisset, facile ei ut Cralis pacto abstineret, persuasit.

ΙΖ'. Τούτων δ' οὕτω γενομένων ἦκεν ὁ Παλαιολόγος ἄχρι καὶ ἐς Διδυμότειχον· κἀκεῖθεν πρὸς τὸν πενθερὸν διαπρεσβευσάμενος Καντακουζηνόν, καὶ ὡς ἐμμένοι μαθὼν τοῖς ὁμωμοσμένοις, ἧκει λοιπὸν καὶ αὐτὸς ἐς Βυζάντιον, πάντας ἀπεσκευασμένος φόβους καὶ ὑποψίας ἁπάσας. Καὶ πλέον ἢ τριακονθήμερον τῇ τοῦ πενθεροῦ συνδιατετριφὼς ὁμιλίᾳ μετ' εἰρήνης κατηφείᾳ τινὶ κεκραμένης διὰ τὸ τῶν ἠλπισμένων οὐκ εὐέλπι τὴν ἐς Διδυμότειχον αὖθις ἀπῆει, καὶ τὴν σύζυγον Ἑλένην ἅμα αὐτῷ ἐπαγόμενος, σὺν ἐκείνῳ μᾶλλον αἱρουμένην θνήσκειν ἢ τοῖς γονεῦσι συζῆν. Ταυτὶ μὲν οὖν εἶχεν οὕτω, καὶ τὸ φθινόπωρον τὰς τοῦ ἀρκτούρου προὔφαινεν ἄρτι ἐπιτολάς. Βραχὺς ὁ χρόνος, καὶ αὖθις παρ' ἑκατέρων ἑκατέροις λαθραῖα ἐξηχεῖτο βουλεύματα πάνυ τῶν δεδογμένων ἀντίστροφα. Καὶ ἅπεισι τὴν ταχίστην καθέξων Ματθαῖος τῶν Καντακουζηνοῦ υἱέων ὁ πρῶτος Ὀρεστιάδα, σταδίους οὐ μεῖον πρὸς ἄρκτου διέχουσαν ἑβδομήκοντα καὶ διακοσίους. Κἀντεῦθεν τὰ σκάνδαλα ηὔξεν ἐρεθιζόμενα νύκτωρ καὶ μεθ' ἡμέραν ἀεί, καὶ πρὸς ἐμφανῆ τὰ πράγματα προὔβη [f. 131 *b*] κακίαν καὶ ἄσπονδον ἤδη μάχην. Καὶ ἅμα οἱ τῶν Θρᾳκικῶν οἰκήτορες πόλεων Παλαιολόγῳ τῷ βασιλεῖ προσεχώρουν ἐθελονταί, κραταιτέρόν τε τῶν πραγμάτων ἐρεθίζοντες ἅπτεσθαι καὶ τοῦ πατρῴου κλήρου τῆς βασιλείας ἀντιποιεῖσθαι, ῥᾳθυμεῖν ὁπωσοῦν, εἴπερ ποτὲ, νῦν μᾶλλον οὐ μάλα προσήκοντος

XVII. His ita factis Palæologus propius Didymotichum profectus est, **150** et hinc cum legationem misisset ad socerum Cantaçuzenum, et in jurejurando perseverare eum enixe rogasset, Byzantium se contulit, omni metu ac suspicione dejecta. Sed cum amplius triginta diebus in soceri societate versatus esset, neque tamen de promissis bonam spem capere potuisset, Didymotichum reversus est una cum Helena uxore, quæ cum eo B mori malebat quam cum parentibus convivere. Hæc igitur ita se habebant: jamque tempus aderat brumale, quo Arctus oritur. Haud multo post et rursus rumor differtur consiliorum prioribus prorsus contrariorum. Matthæus e Cantacuzeni filiis natu maximus quam celerrime Orestiadem ut occupet proficiscitur. Quæ urbs ducentorum septuaginta stadiorum spatio distat et ad septentrionalem spectat. Hic noctu diuque discordiam auget. Jam ad injurias itur et, ut primum occasio data est, ad pugnam. Palæologo autem Thracum urbium incolæ voluntarii succurrunt eumque incitant ut omni studio res susciperet et occuparet paternum regnum; otio ac desidiæ indulgere nullo modo sibi licere.

ΙΗ'. Διὰ δὴ ταῦτα δείσας περὶ τῆς ἀρχῆς Καντακουζηνὸς ὁ βασιλεὺς λόγων τ' ἐκείνων καὶ συνθηκῶν ἐξελάθετο, καὶ οἷον αὐλητικῆς τινος ἀθύρματα παιζούσης τὴν ἀκοὴν ἅπαντας ἡγησάμενος ὅρκους, τῶν ἀντιπάλων ἔργων καθάπαξ ὅλην ἀντίληψιν ἐποιεῖτο. Πρῶτον μὲν οὖν πέμψας ἐς Ὑρκανὸν τὸν γαμβρὸν καὶ σατράπην τῶν ἐν Βιθυνίᾳ βαρβάρων, καὶ ἅμα ἐς τοὺς γείτονας Γενουίτας, ὅρκους καινοτέρους αὖθις παρέσχε τῶν πρὶν ἰσχυροτέρους, ταυτὸν ἀμφοῖν διὰ βίου πνεῖν ἐπαγγελλομένους· καθ' ὧν αὐτοὶ βούλοιντο καὶ οἷς ἄχθοιντο, εἰ βοηθοῖεν καὶ αὐτοὶ κατὰ τοῦ γαμβροῦ Παλαιολόγου· ἀκρόπολιν γὰρ ἡγῆται κραταιοτέραν τὴν ἐς ἐκείνους κατεφυγὴν ἀμυντηρίων ἁπάντων θείων καὶ ἀνθρωπίνων, καὶ μηχάνημα ἐκ πολλοῦ εἰθισμένον αὐτῷ κατά τε τῶν ταλαιπώρων Θρᾳκῶν καὶ ᾧ προσερρύησαν βασιλεῖ, ἀνὰ στόμα συχνὰ τὸ γραφικὸν περιφόδων ἐκεῖνο, « Λοιπὸν καλέσω τὰ ἔθνη, κἀκεῖνά με δοξάσουσι. » Καὶ ἅμα οἱ ἐξ Ἀσίας Ῥωμαϊκαῖς ἐπὶ Θρᾴκης διαβιβάζοντες τοὺς βαρβάρους ναυσὶν ἐμπρακτόν τε καὶ πάνυ τι κατεσπουδασμένον τὸ τοῦ βασιλικοῦ δόγματος προὔφαινον βίαιον. Κατελάνων δ' αὖθις ἀμφὶ πεντακοσίους, ὅσοι τὸν ἐκ τῆς ναυμαχίας ἐκείνης φυγεῖν ἐξεγένετο κίνδυνον, γυμνοὺς καὶ προσαίτας περιιόντας τοῦ ἄστεος πανταχῇ, πρὸς φυλακὴν ὁ βασιλεὺς Καντακουζηνὸς ἀθροίσας τοῦ σώματος ὅπλιζέ τε καὶ ἐσίτιζε μάλα τι σφόδρα πεφροντισμένως, τῶν ὁμοφύλων ἤδη Ῥωμαίων ἀπιστουμένων καὶ ἐν ἐχθρῶν ταττομένων χορείᾳ.

C Itaque factum est ut Cantacuzenus rex de regno anxius ac sollicitus **151** sermones illos et promissa omitteret et data jurajuranda tanquam tibiæ delectationes haberet. Jam ad ea quibus obniti posset Palæologi consiliis totum animum advertit. Primum legationem misit ad Hyrcanum generum barbarorum in Bithynia satrapam simulque ad confines Genuenses et cum his fœdera iniit prioribus firmiora. Quibus constitutum erat utrosque eumdem velle animum habere in omnes quos debellaturi essent, etiam si auxilio vocarentur in generum Palæologum. Cantacuzenus autem regiæ arcem receptaculum habebat omnibus divinis atque humanis tutamentis firmius. Quæ et jam multo ex tempore præsidium erat contra feroces Thraces, D et quo conveniebant copiæ. Quare rex continuo illud quod scriptum est in ore habebat: «Convocabo gentes, et parebunt mihi.» Etiam qui ex Asia Romanis navibus in Thraciam Barbaros trajiciebant, regis illi dicto vim ac veritatem reddebant. Catalanorum autem circiter quingentos qui, postquam pugnæ navalis pericula feliciter effugerunt, urbem inermes et mendici circumiverunt, rex ad corporis custodiam recepit iisque armis et victu bene consuluit. Romanos enim, quos circum se habebat, ut perfidos et inimicos tractavit.

**152** XIX. Quæ cum ita se haberent Irene regina Orestiadem et Didymotichum profecta est, ut distineret affines qui affinitatis vinculis contemptis inter se discordiam exercebant, Matthæum filium et generum Palæologum regem. In comitatu inter alios secum duxit duos sacerdotes qui testes essent et Angelum qui illo tempore catholici judicis munere fungebatur. Hic quo tempore patriam meam reliqui admodum juvenis necdum, ni fallor, pubes erat. Tamen jam præclara valuit ad dicendum natura, ita ut nos spem optimam de ejus ingenii facultatibus caperemus. Omnes enim qui una cum eo sapientiæ tuæ studiosi erant tuaque disciplina fruebantur, longe superabat linguæ facilitate et mentis acumine. Nunc vero si tempus quo a patria absum respicio, indolis ejus bonitatem ad meliores fruges pervenisse suspicor, ita ut a proœmiis illis jam ad bonam maturitatem processerit. Quare dum virum regis usu et amicitia non minus frui video quam nobilissimos viros, gaudeo. Jam propter virtutis præstantiam ipsius regiæ domus judicia libera lingua exsequitur itemque judiciorum de rebus publicis **153** consilia ac decreta administrat. Cumque per omnem ætatem semper justitiæ quam dicunt trutina res recte et sine fraude examinet, majorem hominum admirationem movit quam justus ille Aristides, et in ore omnium est non solum concivium, sed etiam apud confines gentes fama ejus percrebuit, et omnes pariter viri hujus verecundia imbuit. Quapropter etiam regina cum Didymotichum proficisceretur eum sibi comitem esse voluit ut auribus et oculis quæ ibi dicerentur et agerentur observaret et omnem arbitri auctoritatem haberet. Regina autem cum eo venisset omnia quæcunque ad persuadendum aptissima putabat protulit et ubi graviter objurgare ei non licuit regem juvenem amice ac placide tractavit ita ut matris more quodammodo eum objurgaverit. Voluit autem, ut summa referam, hæcce : ut Palæologus gener et rex sua sponte uxoris fratri Matthæo regionis ab Orestiade usque ad Bizyen pertinentis una cum locis et urbibus ab utraque parte sitis, summam potestatem concederet, ipse autem regionem a Didymoticho usque ad Thessalonicam administrandam susciperet, reliquas omnes regiones una cum regia potestate utriusque pater Cantacuzenus possideret usque ad obitum, deinde Palæologus hujus imperii successor fieret. Te igitur, dixit, oportet Cantacuzeno tanquam **154** patri et reipublicæ usu edocto cuncta committas et in primis regiam potestatem ut labores tibi minuerit, si quando ipse ad rerum gubernaculum accedas, et priusquam ipse rerum turbas degustes eas quantum fieri potuit tibi ordinarit. Noli igitur unquam tua pericula vertere in filii regnum quod propter affinitatem ei concessum est. Quid enim, tu qui una cum matre in eum hostiliter egisti, nihilominus tamen postquam secundum belli leges in custodiam ductus, deindeque inopinato liberatus es, ab eo

ΙΘ'. Τούτων δ' οὕτως ἐχόντων ἔδοξεν Εἰρήνῃ τῇ βασιλίδι ἔς τε Ὀρεστιάδα καὶ Διδυμότειχον διαβάσῃ διαλλάξαι τοὺς νέους ἀλλήλοις, εἰ δυνηθείη, βαθείαις τισὶν ὑποψίαις ἐπ' ἀλλήλους χρωμένους, οὐδαμῇ τὸ ἔνσπονδον σύνοικον κεκτημένας. Ματθαῖον δηλαδὴ τὸν υἱὸν καὶ τόν γε ἐπὶ θυγατρὶ γαμβρὸν Παλαιολόγον τὸν βασιλέα, συμπαρειληφυῖα πρός γε τοῖς ἄλλοις καὶ τῶν ἀρχιερέων δύο συνεκδήμους μαρτυρίας ἕνεκα, καὶ ἅμα Ἄγγελον, ᾧ καθολικῷ τηνικαῦτα συμπέπτωκεν εἶναι κριτῇ· ὃς τῆς πατρίδος ἐντεῦθεν ἐξιέναι μέλλοντος ἐμοῦ πάνυ τι νέος ἦν καὶ οὔπω οἶμαι ἔφηβος, [f. 132 a] εὐγενῆ δ' ὅμως ὑπεζωγράφει τὴν ἐς λόγους ἐκεῖθεν φύσιν, καὶ μάλα ἐπαγγελλομένην πρὸς πᾶσαν ἀρετῆς ἰδέαν εὐφυᾶ τὸν ἄνδρα τὰ συντομώτατα καταστήσειν. Πάντας γὰρ ὅσοι τῶν ἅμα αὐτῷ τῆς σῆς σοφίας ἦσαν τέως ἀκροαταί, καὶ τῶν τῆς σῆς διδασκαλίας ἐκείνης κρατήρων φοιτῶντες ἀπήλαυον, μακροῖς παρήλαυνε τοῖς μέτροις δρόμῳ τε γλώττης καὶ διανοίας ὀξύτητι. Νῦν δὲ τῆς μακρᾶς ἐκείνης ἀποδημίας ἀνειλημμένος ἐμαυτὸν, τῆς φυσικῆς ἐκείνης ἐπαγγελίας ἀμείνω περὶ τὸν ἄνδρα βλέπω τὴν βλάστην καὶ προοιμίων ἐκείνων πολλῷ τὰ νῦν συμπεράσματα κραταιότερα. Διὸ καὶ βασιλικῆς ἐγγύτητός τε καὶ εὐμενείας οὐδενὸς τῶν περιλάμπρων ἀνδρῶν ἐνδεέστερον μετέχοντα βλέπων τὸν ἄνδρα γέγηθα· ἤδη γὰρ δι' ἀρετῆς περιουσίαν κἂν μέσοις τοῖς βασιλείοις πεπαῤῥησιασμένῃ τῇ γλώττῃ διέπειν τοὺς τῆς εὐθυδικίας τέτακται νόμους καὶ τῶν δημοσίων πραγμάτων οἰκονομεῖν ἐν κρίσει τοὺς λόγους καὶ τὰ ψηφίσματα· οἷς ἀῤῥεπεῖς τὸν ἅπαντα χρόνον καὶ πάντη ἀκαπηλεύτους τὰς τῆς δίκης ἐπάγων πλάστιγγας θαῦμα τῷ βίῳ γίνεται μεῖζον ἢ κατὰ πάντα δίκαιον Ἀριστείδην, καὶ πᾶσιν ἁπλῶς περιλάλημα καθίσταται κράτιστον, οὐχ ὁμοφύλοις μόνον, ἀλλ' ἤδη καὶ ἐς τὰ περίοικα τῶν ἐθνῶν ἡ φήμη διέδραμεν, ἀκήρατον φέρουσα τὸ σεμνὸν τῆς αἰδοῦς. Καὶ δὴ ταῦτα καὶ συνέκδημον ἡ βασιλὶς ἐς Διδυμότειχον ἑαυτῇ γενέσθαι τῶν καθ' αὐτὸν προτετίμηκεν, ὡς αὐτήκοος καὶ αὐτόπτης ἐκεῖ γενόμενος καὶ αὐτὸς τῶν τε δὴ λεχθησομένων καὶ πραχθησομένων γένοιτο καὶ μάρτυς ἀπαράγραπτος. Ἐκεῖσε τοίνυν ἡ βασιλὶς γενομένη πάντ' ἔλεγεν οἷς τε ἐμφωλεύειν ὑπενόει τὴν τοῦ πείθειν ἰσχύν, καὶ οἷς οὐκ ἐφεδρεύειν εἶχε σκυθρωπὸν σύδεν, τῶν ἐπιτιμήσεων ἡμερόν τινα τρόπον ἐνδεικνυμένη τῷ νέῳ τὴν ἡλικίαν βασιλεῖ, μητρικὴν εἰσάγουσά πως αὐτῷ τὴν παραίνεσιν. Τὰ δὲ ἦν, ὡς ἐν κεφαλαίῳ φάναι, παραχωρεῖν τὸν γαμβρὸν καὶ βασιλέα Παλαιολόγον ἑκόντα Ματθαίῳ τῷ γυναικαδέλφῳ τὴν ἐξ Ὀρεστιάδος ἄχρι Βιζύης μετά γε τῶν ἑκατέρωθεν χωρίων καὶ πόλεων γῆν αὐτονόμῳ νέμεσθαι δεσποτείᾳ, αὐτὸν δ' ἔχειν τὴν ἐκ Διδυμοτείχου μέχρι Θεσσαλονίκης, τὸν δὲ κοινὸν ἀμφοῖν πατέρα Καντακουζηνὸν τὸν βασιλέα τὰ λειπόμενα μετὰ [f. 132 b] τῆς βασιλευούσης τῶν πόλεων μέχρι τελευτῆς, ὅτε καὶ αὐτῶν κληρονόμον ἐντελῆ καὶ διάδοχον μέλλει σε καταλείψειν. Χρεὼν δ' εἶναί σε πάντως, ἔλεγεν, ὅσα καὶ πατρὶ καὶ τῇ τῶν πραγμάτων ἐγγεγηρακότι πείρᾳ, πιστεύειν αὐτῷ τά τε ἄλλα καὶ τὴν τοῦ βασιλικοῦ βίου κυβερ-

νητικὴν, ὡς ἂν ἀκύμονάς σοι τὰς τούτου παρέχοι φροντίδας, τούς τε τῆς βασιλείας αὐτὸς ἀναδεχόμενος κλύδωνας, καὶ πρὶν τῶν ἐκεῖθεν ἰλίγγων σε γεύσασθαι, πρὸς τὸ ἀγχώμαλον ἄγων ὅσον ἐφικτόν. Μηδὲ γὰρ ἄν ποτε τὸν σὸν βουληθῆναι κίνδυνον, εἰς υἱέως κλῆρον αὐτῷ καταστάντος διὰ τοῦ κήδους. Πῶς γάρ, ὃς πολέμιος ὢν καὶ πολεμίαν ἔχων αὐτῷ μητέρα, ἔπειτά γε καὶ πολέμου νόμοις αὐτῷ ληφθεὶς μὲν, περισωθεὶς δὲ παραδόξως, καὶ κληρονόμος τῆς βασιλείας πρὸ τῶν γνησίων αὐτοῦ παίδων ἐγγραφεὶς [ἐνεγράφης?] αὐτῷ. Ἄπαγε, μὴ σύ γε τοιαῦθ' ὑπονόει. Ἔπειτά σε χρεὼν καὶ τούς τε τῆς σῆς μητρὸς καὶ ἅμα τοὺς σοὺς αὐτοῦ μεγάλους ἐκείνους ὅρκους αἰδεῖσθαι, οὓς τηνικαῦθ' ἡμῖν ἐγγράφους παρέσχεσθε, μὴ πολέμιον χεῖρα μηδ' ἔνοπλον ἔργον ἐνδείξασθαί ποτε καθ' ἡμῶν, ἀλλ' ὥσπερ ἡγεμονικόν τι πρόσταγμα πᾶν τὸ τοῦ πενθεροῦ νομίζειν βούλημα μέχρι παντὸς [νενόμισται], καὶ ὡς πρὸς ἀρχέτυπον ὄντως εἰκόνος βασιλικῆς τοὺς σοὺς ἀπευθύνειν τρόπους εἰς τὸν ἐκείνου βίον καὶ λόγον. »

A regni successor declaratus es ipsius filiis posthabitis. Apage ne istiusmodi consilia capias. Præterea observare te oportet ejus gravia illa jurajuranda quibus mater tua et tu obstricti estis, quæque ea de causa vobis per litteras tradita sunt, ut ne agatis in eum hostili animo armisve, sed potius ut quodque soceri consilium tanquam principale quiddam æstimetis, etiut tanquamjad regiæ dignitatis specimen tuos mores ac consilia ad ejus vitam et mentem dirigas.

[f. 133 *a*] Κ'. Ταῦτα τῆς βασιλίδος Εἰρήνης εἰπούσης Παλαιολόγῳ τῷ βασιλεῖ καὶ γαμβρῷ, τοιάδε καὶ αὐτὸς ἠμείβετο πρὸς αὐτήν· « Πολλὰ τῶν πραγμάτων, ὦ μῆτερ, ἐν προοιμίοις ὁμαλῶς ὁρώμενά τε καὶ ἀμελούμενα δέον περιεργόν τινα καὶ πεφροντισμένην λαμβάνειν ἐξέτασιν, σφόδρα μακροὺς ἐπεκρέμασε τοὺς κινδύνους οἷς μὴ προειδέναι ἐπῆλθε δι' ἁπλότητα τρόπων, ἀράχνης τινὸς μιμούμενα τρόπον, ἥτις τε χρῶμα καὶ ὄφασμα καὶ τὴν κίνησιν ἀερώδη τὰ πάντ' ἔχουσα, λανθάνει τὰ τῶν βραχέων ἐμπίπτοντα ζώων ῥᾷστα θηρεύουσα. Κἀγὼ τοιγαροῦν εἰ μὲν ἠρεμήσοντ' ἤδειν Ματθαῖον τὸν ἐμὸν ἀδελφὸν, καὶ μὴ πρόφασιν τὸ τῆς δεσποτείας αὐτόνομον ἐσχηκότα τὴν ἐμὴν καιροφυλακήσειν σφαγὴν, τοῦ παντὸς ἂν τὸ τῆς εἰρήνης ἐτιμησάμην ἐνταῦθα τερπνὸν, καὶ παντὸς ἅμα καὶ λόγου καὶ πράξεως τὴν ἀπράγμονα σιωπὴν ἐποιησάμην ἐπίπροσθεν μάλα τι δέσμενος. Νῦν δέ με ταράττει σφοδρῶς ὁπόσα σφετεριζόμενος ἑαυτῷ τῆς βασιλείας περιτίθησι σύμβολα, ὅσα τοῖς ὅρκοις ἐκείνοις σιωπηθέντα παῤῥησιάζεται νῦν, ἠρέμα καὶ κατὰ μικρὸν ἐφ' ἑτέραις ἑτέρα διηνεκῶς προστιθέμενα καὶ τὴν ἐμὴν ἀναίρεσιν μόνον οὐ τραγῳδοῦντα πρὸ θυρῶν τῶν ἐμῶν, δέον, εἰ μὲν δίκαια ταυτὶ, τοῖς ὅρκοις ἐκείνοις τότ' ἐγγραφῆναι, οὓς ἀρτίως προφέρεις δεξιῶς ἐμοὶ τὴν κατάλυσιν ἐνειδίζουσα· εἰ δὲ τοὺς νόμους αἰδούμενος τότε σεσίγηκε, πῶς οὐ νῦν μᾶλλον αἰδεῖται τοὺς ὅρκους τε λύων ἐκείνους περιφανῶς, καὶ ἃ τοῖς νόμοις κωλύεται, μετ' ἐξουσίας οὐ μάλα τι προσηκούσης ἁρπάζων ἀρτίως. Καὶ ταῦτα δρᾷ τοῦ πατρὸς συγχωροῦντος ἅπασι· τῷ γὰρ ἀεὶ βλέποντα μὴ κωλύειν καὶ ὡς αὐτὸς αὐτόχρημα ὁρῶν ἁλίσκεται, καὶ τὸν ἐμὸν ἐς προὔπτον ὁ κοινὸς πατὴρ εἶναι ὁμωμοκὼς δημιουργεῖ θάνατον. Ἐφ' ἃ γὰρ τὸν παῖδα σχήματι σιωπῆς συγχωρεῖ, τὴν διὰ γλώττης προτροπὴν τῇ διὰ τῶν ἔργων νενίκηκεν, ἐκείνῳ μὲν ἠπατηκὼς, τούτῳ δ' ἐπιπεσὼν διὰ τὴν ἐκ τοῦ λελῆθέναι εὐστοχίαν, κἀκείνῳ μὲν τὸ τῆς ἀνθρωπίνης ἐπιτιμήσεως φεύγων προφανὲς, τούτῳ δ' ἐγκαίρως τὴν τοῦ δράματος ἀνακαλύπτων σκηνὴν καὶ τὴν πάλαι κρυπτομένην βουλὴν ὀψὲ πρόδεικνύς. Ἐπεὶ γὰρ πολλὰ τῶν τῆς κακίας εἰδῶν λεχθέντα μὲν, ἐπιεικῶς δ' ἄτοπα δόξαντα τὴν θύραν ἀνασοβεῖ τῆς γενέσεως, πράττεται ῥᾷστα λοιπὸν σιωπῇ καὶ πρὶν λεχθῆναι τῷ ὁρῶντι

B XX. Hæc cum Irene regina Palæologo regi et genero dixisset, ille sic oblocutus est : «Res multæ, mater, initio planæ esse videntur **155** et a nobis negliguntur, quas tamen revera circumspecte et accurate examinare opus est ; ita ut eos qui simplicitate qua aguntur res decepti sibi non prospexerint, multis obruant periculis, araneæ instar, quæ cum corpus, fila, motus, cuncta in aere tenear, bestiolas quæ fila incidant venans lateat. Non aliter ego, ubi Matthæum fratrem quiescere vidi neque summæ potestatis capessundæ specie opportunum cædis meæ tempus exspectare, quietis voluptatem turbare nolui, et quodvis ejus consilium ac facinus libenter antehac silentio præterii. Nunc vero vehementer me inquietat quotiescunque de regia potestate aliquid sibi asserit ; quæ jurajuranda illa non vetant nunc libere facit, silentio ac carptim alia aliis continuo addit, perniciem meam tantum non ludit ante domum meam. Hæc autem si justa sunt, cur non exhibulstis in litteris illis quas modo commemorasti, et quas me violare tam dextere mihi opprobrio fecisti. Quid, si propter legum verecundiam illo tempore quievit, cur non nunc potius verecundiam tenet, cum jurajuranda illa solvat et quæ legibus vetita sunt effrenata quadam licentia mihi rapiat. Hæc autem facit socio patre. Qui enim res compertas habet, nec tamen iis officit ipse quoque reus habendus **156** est. Ille igitur qui jurejurando affirmavit se mihi quoque patrem esse velle, vitæ meæ insidias tendit. Licentiam enim, quam primo tacite filio concedit, paulo post opera adjuvat. Modo quo me fallat dolum intendit, modo ubi in occulto fieri potest, hostiliter me invadit, modo ne ipse in hominum invidiam incidat quiescit, modo data occasione in scenam redit, et quæ diu coxit consilia proponit. Multa facinora quæ nobis aperta fiunt tamen cum insolita videantur fontem e quo profluxerint nobis non ostendunt. in occulto facillime promoventur, ita quidem ut ne ipse quidem qui perpetret quidquam planum habeat, neque qui malo afficiatur. Unde fit, ut is in quem facinora exercentur priusquam unde venerit in cæteram perniciem indicat. Cujus rei exempla cujusque ætatis experientia docet, quæ multorum

qui in eadem hac mea conditione versati sunt cædem refert simulque adolescentes senesque adhortatur ut sibi prospiciant. Audimus enim patres quosdam cruentam manum intulisse filiis et plures fratres ferrum consanguineorum sanguine polluisse et cum nefanda malitia eorum jugulum petiisse. Quod tum vel maxime factum esse scimus, cum de rerum gubernaculo certatum est. Quare tale **157** quiddam tyrannidis libidinem dicunt et quod sine legibus probatum sit. Neque igitur ego is sum qui filii erga patris officia læserit, neque qui contempserit gravia jurajuranda illa; verum pater ille meus qui se vitæ meæ velle Prometheum esse jurejurando affirmavit. Quid autem committam, si vivere cupio quoad patri placeat, qui omnipotens est meque procreavit? Nam non qui secure vivere cupiunt secundum leges castigantur, sed qui tyranni immanitatem cum specie quadam amicitiæ commiscentes ad perjurium et cædem eorum intenti sunt, quos diligere velle jurarunt. Illud enim quod impune velle possumus, contra alterum nos noxios reddit. Utinam mortuus essem et vos sanguinem meum pro salute vestra operati essetis et ut pulveris aliquantulum hoc miserum meum corpus operuisset, priusquam his tantis periculis obruerer. Nam occumbere semel mortem ingloriam multo præstabilius est quam regni futilem conservare gloriam. Huic enim multa ac varia adsunt pericula mille mortis terroribus referta quæ noctu diuque nos circumcursant et antecedunt et undarum æstuantium instar nos comprimunt. Illud vero nostris de **158** ingloria vitæ conditione doloribus finem facit. Etiam nunc si revera precari possem terra me devoraret mallem quam a te cogi ut nunc fortunas meas exponam. Hæc enim permistæ et imbutæ sunt soceri mei flagitiis ita ut omnia enarrare mihi non liceat. Vereor etiam ne enarrandis iis socero videar prolixe facere invidiam. Nam non solum Romanis notum est, sed plures aliæ quoque gentes admiratæ sunt ad quantum potestatis fastigium Cantacuzenus a beato illo rege qui me miserum procreavit, productus sit. Hic enim nomine tantum rex erat, contra ille revera potestate universa una cum matre sua ex libidine usus est, et præ aliis omnibus continuo interim ad regni successionem et ad meam conditionem animum vertit. Deinde cum pater vita excessisset, meque infantem matris curæ reliquisset, quantas ille mihi et infelici matri meæ miserias commoverit nemo est qui ignoret. Id enim studuit ut in quinque regum seriem et successionem obreperet. Quod antequam factum est nemo sane suspicatus est. Ille igitur patris mea voluntate neglecta quam multo ex tempore animo sibi finxerat potestatem affectavit, et tempore illo quod antea vehementissime desiderarat, sibi opportunissimo **159** usus est. Ego vero hæc cum olim a viris peritis audissem, persuadere mihi non potui. Hodie autem cum mutationum illarum causas in lucem prodire videam,

καὶ πρὶν ἐνθυμηθῆναι τὸν πάσχοντα, καὶ φθάνει τὴν γνῶσιν ἡ πεῖρα λίαν ὠκύπους φανεῖσα καθ' οὗ τολμᾶται τὰ χείριστα. Καὶ διδάσκαλον ἔσχε τὸν ἅπαντα χρόνον [f. 133 *b*] ἡ τῶν πραγμάτων φύσις, ἐπὶ πολλῶν τῶν ὁμοίων περιφανῶς τὴν ἀναίρεσιν ἀναγράφοντα βλέπουσα καὶ φυλάττεσθαι πᾶσι πᾶσαν ἄντικρυς ἀφιέντα φωνήν, καὶ νέοις ἐπ' ἴσης καὶ πρεσβυτέροις. Ἀκούομεν οὖν καὶ πατέρων ἐνίους ἀνδροφόνον ὁπλίσαντας δεξιὰν κατὰ τῶν υἱέων, καὶ πλείους ἔτι τῶν ἀδελφῶν τὸ ξίφος καθ' αἵματος βαπτίσαντας συγγενοῦς· καὶ κατὰ λαιμοῦ πικρῶς ὀρχησαμένους ὁμοφυοῦς, καὶ μάλισθ' ὅτε περὶ βασιλείας εἴη τἀγώνισμα, ἔνθα καὶ τυραννικῆς εἶναι τὸ πρᾶγμα λέγεται νομοθεσίας αὐτοχειροτόνητον καὶ ἀνομοθέτητον δίκαιον. Οὐκ ἔγωγε τοίνυν αὐτὸς ὁ τῆς υἱοθεσίας παραβαίνων τοὺς νόμους· οὐκ ἔγωγ' ἐκεῖνος ὁ τοὺς φρικώδεις ἐκείνους ὅρκους πατῶν· ἀλλ' ὁ πατὴρ ἐμοῦ καὶ τῆς ἐμῆς ὑπάρχειν προμηθεὺς ὁμωμοκὼς ζωῆς. Τί τοίνυν ἀδικῶ, ζῆν ἐφιέμενος ἕως ἂν καὶ τῷ κρείττονι συνδοκῇ καὶ συγχωρῆται τῷ πλάσαντι; Οὐ γὰρ τοὺς ἐφιεμένους ζῆν ἀσφαλῶς οἱ νόμοι κολάζουσιν, ἀλλ' οἷς τυραννικὴν ὠμότητα σχήματι φιλίας ἀναμίξασιν ἐπιορκεῖν ὁμοῦ καὶ φθείρειν ἐμέλησεν οὓς ἀγαπᾶν ὡμωμόκεσαν· ἐκεῖνο μὲν γὰρ ἀκώλυτον ἔχει τὴν τῆς βουλήσεως ἔφεσιν, τοῦτο δ' οὐκ ἀθῶον τὴν γνώμην ἐγκλήματος. Ὡς ὤφελον τότε γε θνήσκειν, καὶ τοὐμὸν αἷμα τοῖς ὑμῶν ἐπιβατηρίοις εἶθε ἐθύετο τέως, καὶ βραχεῖα κόνις τοὐμὸν ἐκάλυπτεν ἄθλιον σῶμα, πρὶν ἐς τοιαύτας τεταμιεῦσθαι τύχας· τοῦ γὰρ ἅπαξ θανεῖν ἀκλεῶς τὸ φυλάξαι βασιλείας ἀταλαίπωρον δόξαν πολλῷ χαλεπώτερον· τοῦτο μὲν γὰρ πολύτροποι βόσκουσι κίνδυνοι θανάτων μυρίων μεστοί, νύκτωρ καὶ μεθ' ἡμέραν περιτρέχοντές τε καὶ προσδεύοντες καὶ δίκην ἀγρίων κυμάτων ἀεὶ συμπνίγοντες, ἐκεῖνο δ' ἀνάλγητον ἔχει τὸ ἀκλεὲς πρὸς ἅπαντα βίον ἀναισθητοῦν. Ὡς νῦν γε καὶ εἴ μοι τελεσιουργὸν τὴν εὐχὴν ἤλπιζον ἔσεσθαι, ἥδιστ' ἂν ηὐξάμην χανεῖν μοι τὴν γῆν μᾶλλον ἢ τὰς ἐμὰς ἀναγκάζεσθαι νῦν ἐπὶ σοῦ συμφορὰς ἀφηγεῖσθαι· ἀναμέμικται γὰρ ταυτί πως καὶ συμπέφυρται τοῖς ἐγκλήμασι τοῦ 'μοῦ πενθεροῦ, ὡς ἀνέφικτον εἶναι διελόντ' ἀφηγεῖσθαι, καὶ δέος μὴ αὐτῷ προστρίβειν δόξω τὸν ὄνειδον ἐξεπίτηδες· εἶναι γὰρ ἐγνωσμένον μὴ ὅτι Ῥωμαίοις ἅπασιν, ἀλλὰ καὶ τῶν ἐθνῶν τὰ πλείω λόγῳ μεγάλου παρεῖχον θαύματος, ὁρῶντες εἰς οἷον αὐτὸν ἀνύψωσε κλέος ὁ μακαρίτης ἐκεῖνος βασιλεύς, ὁ τὸν ἄθλιον ἐμὲ γεγεννηκώς. Τοὔνομα μὲν γὰρ [f. 134 *a*] ἐκεῖνος εἶχε τῆς βασιλείας, τῆς δ' ἐξουσίας συλλήβδην οὗτος ἁπάσης εἰπεῖν μετά γε τῆς αὐτοῦ κατετρύφα μητρός. Καὶ ἦν ἐπὶ τούτοις ἐκείνῳ τὸ σκοπιμώτατον φυλακῆς ἕνεκα τῆς εἰς τὴν βασιλείαν διαδοχῆς καὶ διαμονῆς τῆς ἐμῆς. Ἀλλ' ἐπεὶ τῇ φύσει τὸ χρεὼν ἐκτίσας ἀπῆλθε, βρέφος ἐμὲ ταῖς χερσὶ τῆς μητρὸς λελοιπώς, ἴσασιν ἅπαντες ὅσας τε αὐτὸς ἐμοὶ μετὰ τῆς ταλαίνης μητρὸς ἐπήνεγκε συμφορὰς καὶ ὅσας αὖθις αὐτὸς κατ' αὐτὸν ἐπεπόνθει, πέντε βασιλέων σειρὰν καὶ διαδοχὴν εἰς ἑαυτὸν μεταστῆσαι πειρώμενος, πρᾶγμα πρὶν γενέσθαι μηδ' ἐλπισθέν. Ἐκλα-

θόμενος γὰρ εὐθὺς τὰς τοῦ 'μοῦ πατρὸς σύνθήκας A ἐκείνας, ἣν ἐκ πολλοῦ βασιλείαν ὠνειροπόλει, ταύτης ἐμέμνητο μόνης, ὃν ἐκ πολλοῦ ζητῶν, ἤδη καιροῦ λαβόμενος. Καὶ ταυτὶ μὲν ἔγωγε τότ' ἀκούων πρὸς τῶν συνετωτέρων πιστεύειν οὐκ εἶχον· νῦν δ' ἃ τότε ῥᾳθίοις ἀνεκέκραστο στοχασμῶν εἰς φῶς χωροῦντα σαφῶς ἐώρων, ὡς εἰρήσεται προϊόντι μοι καθαρώτερον, πείθομαι κἀκεῖνα τῆς ἀληθείας ἔχεσθαι τῆς αὐτῆς, καὶ γινώσκω τοῦ πάλαι φύτοῦ τὴν ῥίζαν, ὀψὲ γευσάμενος τοῦ καρποῦ. Οὐ γὰρ ἔχω νοεῖν τῶν ἁπάντων ἕτερον οὐδαμῆ ὅτι ποτ' ἂν εἴη τὸ μεταθεῖναι πεῖσαν κατὰ τῆς ἐμῆς τὴν τούτου γνώμην κεφαλῆς. Εἰ μὲν γὰρ τότ' ἐδύνατο μὲν, οὐκ ἐβούλετο δὲ, πῶς νῦν μὴ δυνάμενος βούλεται; Εἰ δὲ καὶ τότε καὶ νῦν τῆς αὐτῆς ἐστι γνώμης, διὰ τί πρεσβύτερα μὲν τὰ τῆς κακίας σπέρματα, νεήλυδας δ' ἀποφαίνειν ἐπείγεται τὰς τῶν ἀφορμῶν τερατομόρφους εὑρέσεις, καὶ φύρει τὴν φυσικὴν τῶν πραγμάτων θέσιν, ἐπὶ τὸ ἀνακόλουθον τρέπων τὴν ἁρμονίαν καὶ ἄνω ποταμῶν χωρεῖν τὰς πηγὰς βιαζόμενος. Εἰ γὰρ μὴ λάλον τὴν γλῶτταν αὐτῷ τῆς φύσεως παρασχούσης, ἀνεκλάλητον ἐκ τοῦ γε ῥᾴστου τὴν μελέτην ἔκρυπτεν ἐν ἀπορρήτοις μυχοῖς τῆς καρδίας, ἀλλ' οὖν ἐδόα τὰ πράγματα καὶ πᾶσαν ἀκοὴν περιήχει βροντῆς ἀπάσης τρανότερον· ἃ μᾶλλον ἀδέκαστον ἔχει τὴν ψῆφον τῆς μαρτυρίας· καὶ παντάπασιν ἀκαπήλευτον. Ἴλ φρατάτω μοί τις παρελθών, τί τῶν ἁπάντων αὐτὸν ἠρέθισεν ἕτερόν ἐς λήθην μὲν ἐληλυθέναι Θεοῦ, φιλίας δ' ἐνέχυρα τόσα καὶ τόσα παρασχεῖν ἐκ πάνυ πολλοῦ τῷ βαρβάρῳ καὶ ἀσεβεῖ τῆς Λυδίας σατράπῃ, καὶ ὁρκῶσαι μὲν ἐκεῖνον ὑπὲρ αὐτοῦ κινδυνεύειν ἄχρι θανάτου, ὀμνύναι δ' αὐτὸν ἐκείνῳ τὰ ἴσα; ἢ πάντως ὁ ἔργοις ἀναντιῤῥήτοις ἔδειξεν ὕστερον τοῦ 'μοῦ πατρὸς καὶ βασιλέως θανόντος εὐθύς. Τῶν γὰρ ὑπηκόων τὴν ἐγχείρησιν οὐ προσιεμένων αὐτοῦ, προβὰς [f. 134 *b*] ἐκεῖθεν τυραννικὴν ποιεῖται τὴν ἀναγόρευσιν ἑαυτοῦ· κἄπειτ' ἀποτυγχάνοντα καὶ οὕτως τὸν Ἰξίονος ἄτοπον ἔρωτα βλέπων (ἅπαντες γὰρ ἀφίσταντο τῆς αὐτοῦ τυραννίδος) προσεκαλεῖτο λοιπὸν οὐ τὸν τῆς δίκης προστάτην Θεὸν, ἀλλὰ τὸν τῆς ἀδίκου μανίας βάρβαρον σύμμαχον, τὰς ἐκδήμους ἐκείνας ἀγωνιεῖσθαι μέλλων λῃστείας κατὰ Χριστιανῶν, ὅτι τῶν πολλῶν βασιλέων ἐμὲ προσεκαλοῦντο διάδοχον. Καὶ θέρους μὲν ἐγκαθεζόμενον ἔχων τὸν βάρβαρον καὶ πολέμιον ἐκεῖνον στρατὸν ἔκειρε τὴν τῶν Θρᾳκικῶν πόλεων γῆν, χειμῶνος δὲ καὶ αὐτὰς ἠρήμου τὰς πόλεις, τὰ πέριξ ἅπαντα λῃζόμενός τε καὶ ἀνδραποδιζόμενος ἄχρι πυλῶν, ὑφ' ὧν, ὦ γῆ καὶ ἥλιε, οὐδὲν προηδίκητο. Καὶ τὸ τῆς τραγῳδίας βαρύτατον, ὅτι τῶν αἰχμαλώτων ἐλεεινῶς ἀγομένων σχίζοντες τὰς γαστέρας οἱ βάρβαροι τάς τε χεῖρας ἑαυτῶν καὶ τοὺς πόδας εἰσῆγον ἁλέας μετρίας εἵνεκα, τὸ τιμιώτατον κτῆμα Θεοῦ τὸν ἄνθρωπον φθείροντες ὥσπερ ἐν παιδιᾶς σχήματι. Ὁ δ' οὔτε ἐκάμπτετο βλέπων τὴν τῶν ὁμοφύλων ἐλεεινὴν τραγῳδίαν ἐκείνην, οὔτ' εἰκόνα γοῦν τινος βραχείας ζειδοὺς ἐνετύπωσεν ὅλως τῷ τῆς ψυχῆς συνειδότι, ἀλλ' ἡμιθνῆτας ἔτι καὶ ἀσπαίροντας ἐφιππος καὶ αὐτὸς ἐπιὼν καὶ συμπατῶν, τὴν τῶν λίθων ἀναλγη-

et quæ referuntur [illegible]
quoque re vera facta [illegible]
intelligo quomodo planta [illegible]
percipio radices ceperit [illegible]
nibus istis mihi redunda[illegible]
habeo diluatur. Si enim illo [illegible]
noluit, quid sit cur hodie quod [illegible]
valeat? Si vero eodem quo ante[a] fu[illegible]
est, quid de prioribus istis flagitiorum [illegible]
Nimirum cupidi animi sui mira in[illegible]
quasi recentia nobis ante oculos pone[illegible]
justum ordinem perturbare studet ita ut qu[illegible]
cessitate fit tanquam cæco casu factum rec[illegible]
fluminum aquas ut retro fluant cogat. Quod[illegible]
tura ei linguam sine voce dedisset, facillime [illegible]
B consilia in intimo pectore recondere potuisset; sed facinora ipsa clamabant eorumque vox circa aures sonabat tonitru gravior. Unde incorruptius et certius testimonium factum est. Aut dicat mihi alius quispiam quid sit quod commoverit eum ut Dei nostri oblitus tot arcta amicitiæ vincula cum barbaro et impio Lydiæ satrapa inierit et cum hoc jurajuranda fecerit ex quibus mutuum sibi usque ad mortem auxilium polliciti sunt. Annon prorsus nefanda facinora edidit cum rex et pater meus mortuus **160** esset? Cum enim cives regimen ejus non facile paterentur, eo progressus est ut sese tyrannum declararet; sed deinde cum nihil sibi prospere cedere et Ixionis insanum amorem se exercere vidisset — omnes enim ab ejus tyrannide
C abhorrebant — alius operam et auxilium sibi ascivit, non Dei quidem cujus auxilium justissimum est, sed impiissimi barbari illius ut peregrinorum rapinis Christianos vexaret, qui regibus multis illis ut ego succederem volebant. Itaque tempore æstivo cum Barbarorum et hostium illorum exercitu Thracum urbium regiones populatus est, hieme autem ipsas urbes vastavit et circumcirca neque ad portas cuncta diripuit et homines in servitutem abduxit quanquam horum per solem et terram culpa nulla fuerat. Sed in hac scena vel maxime horrendum erat, quod Barbari captivis postquam miserabiliter eos secum traxerunt, ventrem incidebant et manus suas pedesque infigebant ut calefacerent. Sic præstantissimam Dei creaturam hominem trucidabant quasi sibi ludus esset. Cantacuzenus interim cum suorum miserabilem illam interneçionem videret, animo non commotus est et pudoris ne minimum quidem animi conscientiæ impressit; sed ad semineces jamque palpitantes eques accedens, etiam **161** eos supergrediens, omnem humanitatem exuere et in durum lapidem se mutare velle visus est, eo consilio ut naturam suam immanem ad posterum tempus integram reservaret. Quod si liceat cum tyranno illo Pheræo comparari potest, qui cum actoris suavi rerum Trojanarum narratione animum suum molliri sentiret, quemadmodum ferrum oleo, repente a sede sua prosiluit et actorem qui animi sui naturam

mitigando mutaret vehementissime increpuit. Nam turpe esse dixit si ipse qui continuo tot civibus cædem pararet Hecubæ et Polyxenæ lacrymas effundere videretur. Quod monstrum infelix megalopolis urbs sibi educavit, neque ignorans pridem cantatum, ultimam ruinam et ipsius et pietatis esse ejus x litteram duplicatam. Quare si quis matrem meam quæ hoc tempore similia perpetraret accusare velit, non huic, sed illi culpam attribuat oportebit. Hic enim injuriarum cupidus leges violavit; illa vero contra eum se defendit ut infantium patre orborum vitam protegeret, quemadmodum columba pullos custodit noctu, quo tempore aves rapaces prædatum evolitant. Quodsi qui de ejusmodi rebus rectius queunt judicare, sequi æquum est, equidem hæc ipsa Deum ut miserias ei mitteret movisse facile contendam, pœnas dico propter regis libidinem, cum Deus ne minimam quidem maculam iis quos sibi elegit infigi patiatur.

σιαν ἐνταῦθά πως ἐφιλονείκει μιμεῖσθαι, τὸ τῆς καρδίας, ὡς ἔοικε, θηριῶδες ἀσκῶν καὶ γυμνάζων, μὴ λάθῃ τὴν ἕξιν ὀψὲ διαφθεῖραν τῆς φύσεως. Τοῦτ' ἐκεῖνο σχεδὸν, ἀκνῶ γὰρ ἐκείνου λέγειν, ἐπέκει α τοῦ τῶν Φεραίων πάλαι τυράννου, ὃς τραγῳδοῦ τινος ἐμμελῶς ἐπ' αὐτοῦ Τρωϊκὰς συμφορὰς ἐπιόντος, ἐπειδὴ πρὸς τὸ πάθος ἤσθετο χαυνούμενος τὴν ψυχὴν καθάπερ ἐλαίῳ σίδηρος, ἀνεπήδησέ τε εὐθὺς καὶ τὸν τραγῳδὸν ἰταμῶς ἐλοιδόρησεν ὅτι δὴ τὴν ἕξιν αὐτοῦ τῆς ψυχῆς ἐμάλαξεν ὁπωσοῦν μεταθεὶς, αἰσχρὸν εἶναι φήσας εἰ τοσούτους ἀποσφάττων ἀεὶ πολίτας, τοῖς τῆς Ἑκάβης καὶ Πολυξένης δακρύων θρήνοις ὀφθείη. Τοιοῦτον ἡ δυστυχὴς μεγαλόπολις καθ' ἑαυτῆς ἐξέθρεψεν ἄνθρωπον, καὶ ταῦτ' εἰδυῖα πόρρωθεν ᾠδόμενον ἐσχάτην ἀπώλειαν αὐτῆς θ' ἅμα καὶ εὐσεβείας ὑπάρχειν αὐτῆς τὸ κ στοιχεῖον διπλούμενον· ὥστε καὶ εἴ τις παρασυρεῖσαν τὴν ἐμὴν ἐγκαλεῖν ἔχοι μητέρα παραπλήσι' ἄττα πεπραχυῖαν τῷ τηνικαῦτα καιρῷ, οὐκ ἐκείνην, ἀλλ' αὐτὸν αἰτιᾶσθαι χρεών· ὁ μὲν γὰρ τὰ ἀλλότρια ζητῶν παρηνόμει, ἡ δ' ἡμύνετο ἐπιόντα, τηρεῖν ἐπειγομένη τοῖς ὀρφανοῖς τέκνοις τὸ ζῆν, καθάπερ τρυγὼν τοὺς ἑαυτῆς νυκτοφυλακοῦσα διέπει νεοττοὺς ἀλλοφύλων ἐπιόντων ὀρνέων νυκτός. Εἰ δὲ καὶ οἷς περὶ τὰ τοιαῦτα συνετώτερον ἔπεισι κρίνειν πείθεσθαι δίκαιον [f. 135 a] εἴη, ταῦτ' εἶναι διατειναίμην ἔγωγ' ἂν ἃ τὸν Θεὸν εἰς ἀνάγκας ἐπενεγκεῖν κατ' αὐτῆς ἠρέθισε τὸ μέγα πάθος ἐκεῖνο, τὴν τῆς βασιλικῆς ἐξουσίας φημὶ ζημίαν, οὐκ ἀνεχομένου βλέπειν οὐδ' ἀκούειν μύσος τοῖς ἐκλεκτοῖς προστριβόμενον.

XXI. **162** Sed profecto hoc unum patris mei imperii cupiditatem ejus qua jam multo ante flagrarat nobis satis declaravit, tanquam scintillam ignis e cinere elucescens flamma, vento undecunque excitante. Deinde cum Bithyniæ satrapam Hyrcanum barbarorum ducem quotquot usque ad mare Asiam habitant, haud procul sede regia ita ut ferme quindecim stadiorum intervallo abesset, commorari accepisset, barbaro huic filiam misit et in matrimonium dedit, ut per hunc celerius et facilius exstingueret Christianos potius quam ut Lydiæ illum satrapam longinquas terras et oras habitantem debellaret. Quid referam quæ interea factæ sint calamitates et quanta pericula ille paraverit cum Barbarorum copias in Romanos contraheret? Qua re consilia sua tegebat continuo superbiens et brevi se cunctas Romanorum terras vastaturum esse jactans. Nam re vera mihi insidias paravit et cladem cunctis Christianis. Itaque cum Dei auxilium ne minimi quidem haberet neque in Deum judicem respiceret, totum se dedit impiis. Hæc quoque satis testantur quantopere ille regni patris mei cupiditate flagrarit, quam ut modo dixi jam multo ante ceperat. Quod enim vere malum est post tempus naturam suam **163** exuere non potest, sed etiam cum facile rebus arguatur simulationem boni abjicit. Redit enim altera natura et quod proprium habet facillime recipit. Deus autem si res nostras ei tradiderimus felicitatem nobis occulto comparat idque prout vult facillime. Ille tamen impiis qui fortunati esse videbantur in præsens totum se committere maluit et continuo mihi calamitatem parare. Sed profecto felicitatem et veram voluptatem nullam habet, nisi quod hoc in

ΚΑ'. Ἀλλ' ἐν μὲν δὴ τοῦτο δέδειχε σαφῶς τὴν πάλαι κρυπτομένην ἐν τῇ τούτου ψυχῇ κατὰ τῆς πατρίου μοι βασιλείας μελέτην, καθάπερ σπινθῆρα πυρὸς ἐκ σποδιᾶς ἀναλάμψασα φλὸξ, πνεύματος ὁθενδηποτοῦν ἀρεθίσαντος· δεύτερον δὲ, ἐπειδὴ καὶ Ὑρκανὸν τὸν τῆς Βιθυνίας ἑώρα σατράπην βαρβάρων ἁπάντων, ὁπόσοι τὴν ἄχρι θαλάττης Ἀσίαν κεκλήρωνται, πόλεων τῆς μεγίστης ἔγγιστα ποιούμενον τὰς διατριβὰς, ὡς πεντεκαίδεκά που σταδίων εἶναι τὸ μεταξὺ, πέμψας τὴν θυγατέρα τοὺς ἀλλοφύλους ἐκείνους μνηστεύει γάμους αὐτῷ, ἵν' ἐκ τοῦ σχεδὸν τελεώτερον τὸ τῶν Χριστιανῶν ἐκτρίψῃ γένος, δι' αὐτοῦ μᾶλλον ἢ κατ' ἐκεῖνον τὸν τῶν Δυδῶν σατράπην πόρρω που γῆς καὶ θαλάττης οἰκοῦντα. Καὶ τί χρὴ τὰς ἐν μέσῳ συνείρειν τύχας, καὶ ὅσα βαρβάρους κατὰ Ῥωμαίων στρατολογῶν ἐποίει δεινὰ, ἐφ' οἷς αὐτὸν ἐγκαλύπτεσθαι ἔδει διηνεκῶς ἐγκαυχώμενος, καὶ ὑπισχνούμενος ἀοίκητον τὴν Ῥωμαίων ἅπασαν γῆν ἐν βραχεῖ παντάπασι κατασήσειν; Καὶ ἦν μὲν ὁ δρόμος ἅπας αὐτῷ κατ' ἐμοῦ, ἡ δὲ βλάβη κατὰ πάντων Χριστιανῶν· οὕτως οὐδὲ μικρὸν ἐφόδιον τὴν τοῦ Θεοῦ νομίζων ἐπικουρίαν, οὐδ' ἐς τὴν τῶν μελλόντων μνήμην κολαστηρίων ἰὼν ὁπωσοῦν, ὅλον ἑαυτὸν τοῖς ἀσεβέσι προσένειμε. Καὶ μὲν δὴ δεύτερον κείσθω καὶ τοῦτο δεῖγμα τῆς αὐτοῦ μελέτης, ἣν, ὡς εἰρήκειμεν, πάλαι πολύν τινα χρόνον ἔδοσκεν ἐν τῇ ψυχῇ κατὰ τῆς πατρίου μοι βασιλείας· τὸ γὰρ φύσει κακὸν ἀποτρίψασθαι χρόνῳ τὴν ἕξιν οὐκ ἄν ποτε δύναιτο, ἀλλὰ καὶ τὴν τοῦ καλοῦ προσποίησιν εὐχερῶς τοῖς πράγμασιν ἐλεγχόμενον ἀποσείεται, παλινδρομούσης τῆς φύσεως καὶ ἀναλαμβανούσης ἐκ τοῦ ῥᾴστου τὸ γνήσιον. Ἕξιν γὰρ Θεῷ τὰ καθ' αὐτὸν ἐπιτρέψαντα τὴν τῶν παίδων εὐδαιμονίαν ἡσυχῇ πραγματεύσασθαι, ὀφ-

διον, εἴπερ ἐβούλετο, ὃν, ὁ δὲ τοῖς ἀσεβέσιν ὡς εὐτυ- A tempore fortuna fruitur et potestatem habet pios
χεῖν δοκοῦσιν ἐς τὸ παρὸν μᾶλλον ἑαυτὸν ἀναθεὶς et insontes homines exstinguendi quos propter id
ἀΐδιον εἵλετο μαχθεῖν κατ' ἐμοῦ· μηδὲ γὰρ ἄλλο τι ipsum infelices putat, quod trinum Deum colunt, et
μακαριζομένου γνώρισμα βίου γίνεσθαι τουτῳὶ καὶ eos qui Deum esse negant unaque qui multos deos
ἀληθευούσης εὐζωΐας ἢ κατά γε τὸ νῦν εὐτυχοῦντα esse credunt, fugiunt. Ipse enim Palamæ deorum
δύνασθαι φθείρειν εὐσεβεῖς καὶ μηδὲν ἀδικοῦντας cultum sequitur. Unde etiam factum est ut una
ἀνθρώπους, οὓς δι' αὐτό γε τοῦτο νενόμικε δυστυ- cum impiis illis nefario modo me tractaverit. Itaque ex hoc quoque consiliorum ejus quæ in me
χεῖν, ὅτι θεότητα σέβουσι τρισυπόστατον, φεύγοντες jam multo e tempore animo volutabat et perjurii
ἀθεΐαν ὁμοῦ καὶ πολυθεΐαν. Δῆλον δέ· καὶ γὰρ ἐκεί- indicium nobis apparuit. Per illos enim perjuriis
νοις σύνδρομον καὶ τὸν τοῦ Παλαμᾶ κρίνας ὑπάρ- et discordiis urbem facile implevit. Nam viri prodi
χειν θίασον, πονηροῖς ὀργάνοις μετὰ τῶν ἀσεβῶν erant ad flagitia et cum vultu tristi et impietate
ἐκείνων καὶ τούτοις ἐχρήσατο κατ' ἐμοῦ, ἵνα καὶ unaque pharetram quæ ad faciendæ flagitia opus
τοῦτο τῆς ἐκ πολλοῦ [f. 135 *b*] ταμευομένης αὐτῷ erat occultantes variis ac idoneis telis refertam,
κατ' ἐμοῦ γνώριμα γνώμης εἴη καὶ τῆς τῶν ὅρκων illud silentio et celeriter **164** effecerunt, et alia
αὖθις συγχύσεως· διὰ γὰρ αὐτῶν ἁπάσης ἐπιορκίας B via sinceram mentem matris meæ deceperunt quæ
ὁμοῦ καὶ διχοστασίας μάλα ῥᾳδίως τὴν πόλιν ἐκεῖνος scopulos in mari latentes neutiquam noverat. Dolos
ἐνέπλησεν. Ὀξεῖς τε γὰρ εἰς κακίαν ὄντες οἱ ἄν- enim et proditionem ei noctu diuque moliti contra
δρες, καὶ ἅμα τῇ τοῦ σχήματος μέλανι μετὰ τῆς amicitiæ vultum coram exhibentes nec opinatam
ἀσεβείας καὶ τὴν ἐς τὰ τοιαῦτα τῆς πονηρίας ἀπο- eam persecutorum turbæ tradiderunt. Quare nobis
χρῶσαν φαρέτραν συγκρύπτοντες, παντοδαπῶν καὶ utpote qui beneficia in eos contulissemus insidia-
πολυτρόπων γέμουσαν τῶν βελῶν, κἀκεῖνα μὲν tores turpissimi visi sunt.
ἠρέμα καὶ σπουδῇ περαίνοντες, τὴν δέ γε τῆς ἐμῆς
ὑπιόντες ἄλλως μητρὸς ἁπλουστέραν εὐμένειαν, ὑφάλων πετρῶν οὐδαμῇ πω μαθούσης συμπτώματα,
καὶ δόλους μὲν αὐτῇ καὶ προδοσίας ῥάπτοντες ἡμέρας καὶ νυκτός, φιλίας δ' οὖ ἑτέρωθεν δεικνύντες
πρόσωπον, ἔλαθον ἀφοφητὶ τῷ τῶν διωκόντων προδεδωκότες βυθῷ, λῃστῶν ἀδικώτεροι πάντων τοῖς
εὐεργέταις φανέντες ἡμῖν.

ΚΒ'. Τὰ δὲ τοιαῦτα τῆς ἀπορρήτου Προνοίας κρί- XXII. Sed equidem has Providentiæ quæ com-
ματα ἐρευνᾷν, ὅπως οἱ τὰ δίκαια ζητοῦντες ἡμεῖς prehendi non potest rationes investigare cur nos
τοῖς ἀδίκοις ὑπὸ τῶν ἀδίκων δι' ἕτερα προδεδόμεθα qui justa sequeremur tam injuste ab improbis tra-
νῦν οὑτωσὶ πλημμελήματα, ἐγὼ μὲν οὐκ ἂν δυναί- diti simus, nequeo. Tamen qui considerate res
μην. Ἔξεστι γὰρ τοῖς ἀπαθῶς ἐθέλουσι βλέπειν C inspicere volunt, ea quæ per omnem vitam justa
τὰ ἴσα παρὰ τὸν βίον ἀεὶ γιγνόμενα μὲν, κεκρυμμέ- videntur veritate niti quæ ut alia multa plerumque
νην δ' ἔχοντα τὴν τῆς ἀληθείας αἰτίαν ὡς τὰ πολλά. nos lateat, invenient. Loquitur igitur propheta:
Λεγέτω δ' οὖν ὅμως καὶ ὁ προφήτης ἐκεῖνος, « Ἵνα « Cur impiorum viæ planæ sunt? » clamans ex
τί ὁδὸς ἀσεβῶν εὐοδοῦται; » βοῶν ἐκ μέσης καὶ intimo et pleno pectore. Tollat quoque vocem gra-
γλεγομένης ψυχῆς. Λεγέτω δ' ἐξῆς καὶ ἡ μεγάλη vem suam pietas ut iis qui punire velint injusta
τῆς εὐσεβείας ἐκείνης σάλπιγξ, ἵνα μὴ τοῖς ἐκδι- hæc ne sint causa pravitatis. « Traduntur enim, »
κεῖν ἐθέλουσι τὰ μὴ δίκαια πρόφασις τὰ τοιαῦτα dicit, « etiam pii sæpe manibus impiorum non
κακίας ᾖ. « Παραδίδονται, » γάρ φησι, « καὶ δίκαιοι quo hi æstimentur, sed quo illi probentur. Impii
πολλάκις εἰς χεῖρας ἀσεβῶν, οὐχ ἵν' ἐκεῖνοι τιμη- enim ut scriptum est, post mortem pœnas solvent;
θῶσιν, ἀλλ' ἵν' οὗτοι δοκιμασθῶσι· καὶ φαῦλοι μὲν pii autem in vita illudentur quoad Dei justitia pa-
ἐν θανάτῳ ἐξαισίῳ, κατὰ τὸ γεγραμμένον, καταγε- tiatur. Utrisque post vitam amplæ, ut dicunt, cellæ
λῶνται δ' ὅμως τὸ παρὸν εὐσεβεῖς, ἕως ἡ χρηστότης in quibus facinora nostra recondita sunt aperien-
τοῦ Θεοῦ κρύπτεται καὶ τὰ μεγάλα ταμιεῖα τῶν tur, et verba, facinora, consilia æqualiter in **165**
ὕστερον ἑκατέροις ἀποκειμένων, ἡνίκα λόγος καὶ D trutina examinabuntur a Deo cum venerit judicia
πρᾶξις καὶ διανόημα τοῖς δικαίοις τοῦ Θεοῦ σταθ- laturus mundo, mentem nostram ac res gestas
μοῖς ταλαντεύεται, ὅταν ἀναστῇ κρῖναι τὴν γῆν, τὴν conferendo et quæ apud se reposita sunt et asser-
βουλὴν καὶ τὰ ἔργα συνάγων, καὶ γυμνῶν τὰ ἐσφρα- vata depromendo. » Quid vero, si ille non extem-
γισμένα παρ' αὐτῷ καὶ σωζόμενα. » Εἰ δὲ μὴ πε- plo per vim cædem fecit? Primum nulla est causa
φύνευκεν εὐθὺς χειρωσάμενος, τί τοῦτο; Πρῶτον cur pro perpetratis facinoribus quæ non perpetrata
μὲν γὰρ οὐ χρεὼν ἀντὶ τῶν πεπραγμένων κακῶν sint proferamus. Neque enim qui domum incendit
τὰ μὴ πεπραγμένα προβάλλεσθαι· οὐ γάρ τις οἰκίαν quod non totam urbem incendit vacuus pœna est.
ἐμπρήσας, ὅτι μὴ πόλιν ὅλην ἐνέπρησεν, ἀθῷος Deinde autem, non propter alterum fugiet alterum,
μένει τῆς κολάσεως. Δεύτερον δὲ, οὐ γὰρ μᾶλλον sed potius propter utrumque pœnas majores solvet.
διὰ θάτερον φεύξεται θάτερον ἢ δι' ἀμφότερον τιμω- Nam quod modo ipse commisit, id ipsum portam
ρίαν ὀφλήσει τὴν μείζω, οἷς τοῦτο μὲν αὐτὸς ἔδρασε reclusit aliis. Summa conando etiam in totam ur-
νῦν, ἐκεῖνο δὲ θύραν ἄλλοις ἀνέῳγεν, ἔργῳ διδάσκων bem alios præivit, neque num quis aliquando eam
τὰ μείζω καὶ καθ' ὅλης τολμᾶσθαι τῆς πόλεως λε- proditurus esset animo reputavit; aliis pauca qui-
ληθότως, εἴ τις προδιδόναι βούλοιτο· συγκεχώρηκε dem concessit, sed inde ut ipse plurima commoda

καὶ τὴν ἡμῶν ἐξ ἀφανοῦς ἐπιτίθεται τυραννοῦσα θέλησιν, καὶ ἄκοντες δρῶμεν καὶ πάσχομεν ὑπ' ἀνάγκης ὁπόσα τῶν ἐκείνης ῥοθίων ὁ κλύδων ἐπάγει, σοὶ μὲν οὐκ ἐγκαλεῖν οὐδὲν ἔτι οὐδ' ὄρους κινεῖν ὑπεζευγμένους ἀνάγκαις βουλήσομαι [f. 113 r.] τοῦ λοιποῦ, ἀλλ' ὑπόψομαι καὶ φυλάξομαι τὴν Ἀδράστειαν, τοὐντεῦθεν ὡς εἰκὸς ἀφοσιούμενος τόλμημα. Πυθέσθαι δ' οὖν ὅμως βούλομαι πρὸς τῆς σῆς σοφίας, ὦ βέλτιστε, τἀκριβές· εἰ γὰρ τοῦτο κρατεῖν με πείσειας, οὐκ ἂν φθάνοις βαθεῖάν μοι χαριζόμενος ἡδονήν, μακρὰς ἐν βραχεῖ τῆς ἐμῆς ἀποσφενδονῶν καὶ ἀπορράπιζων ψυχῆς ἀπορίας, αἳ δὴ διὰ μακροῦ τὴν τῆς ἐμῆς διανοίας ἑστίαν σφοδρῶς κατασχοῦσαι; νῦν μὲν ἐπ' ἄπειρον αὔξουσι τοὺς τῶν ἐμῶν φροντίδων τε καὶ λογισμῶν ἀναριθμήτους ἀριθμούς, καὶ τάς γε δὴ συνθέσεις τε καὶ ἀντιθέσεις σφῶν καὶ διαθέσεις ἄλλοτ' ἄλλως παρεισκυκλοῦσαι, νῦν δ' ἐπ' ἄπειρον τέμνουσί μοι καὶ διαιροῦσι τὸ μέγεθος τῆς αὐθαιρέτου λύπης, ἣν αὐτὸς ἐμαυτῷ κατηγγύησα, λαθὼν οὐκ οἶδ' ὅπως ἐμαυτὸν καὶ τουτὶ τὸ τῆς βασιλείας ὑποδεξάμενος σχῆμα, πῶς μὲν ἐκὼν τοῖς πατρίοις ὑποταττόμενος πόθοις, πῶς δ' οὐ μάλα ἑκὼν διά γε τοὺς περιῤῥέοντάς τε καὶ περιστοιχίζοντας τέως ἡμᾶς κομιδῇ κυκεῶνας πραγμάτων, ὡς εἴρηται. Εἰσὶ γὰρ, εἰσὶν ἔνιοι, μᾶλλον δ' οὐκ ἔνιοι, ὅτι μὴ πλὴν ἑνίων ἅπαντες Ῥωμαίων δῆμοι, οἳ καὶ τοὐμοῦ τὰς αἰτίας τῶν Ῥωμαϊκῶν συμφορῶν ἀναρτῶσι πατρὶ, ὅσαι χαλεπῶς ἀνερῥώγεσαν νῦν. Ἤδη δὲ καὶ εἰς δημόσιον ἐῤῥύη θέατρον ἡ κατηγορία, καὶ ἔθνη πάντα βαρβάρων καὶ γένη παντοῖα μεστὰ; μὲν ἀγυιὰς, μεστὰς δ' ἀγορὰς καὶ πλατεῖα; τῆς φήμης ποιοῦσιν, ἐπιῤῥωννύντες αὐτὴν ἀεὶ καὶ πᾶσαν ἐπάγοντες λοιδορίαν, δικαίου πέρι καὶ ἀδίκου μηδὲν ἐξετάζειν εἰδότες, μηδ' εἰς νοῦν βαλλόμενοι ὡς ἐξὸν τῷ πατρί μου, δι' ἃς ἅπαντες ἴσασιν αἰτίας, Παλαιολόγον αὐτὸν ἀνελεῖν ὁμοῦ τῇ μητρὶ, ὁ δὲ καὶ γαμβρὸν ἐπὶ τῇ ἐμῇ προσελήψεν ἀδελφῇ καὶ ἡμῶν προτετίμηκε τῶν υἱέων. Νῦν δ' ἐπιβουλεύοντα βλέποντες ἐκεῖνον καὶ πᾶσαν μηχανὴν κινοῦντα καθ' ἡμῶν, καὶ δέον μισεῖν, οἱ δ' ἐκείνῳ μὲν προστίθενται πάσῃ γλώσσῃ τε καὶ γνώμῃ, τὸν δ' ἐμὸν ἀκρίτως μισοῦσι πατέρα, ὅτ' ἀναγκαζόμενος εἰς βοήθειαν προσκαλεῖται βαρβάρους, ἀμυνόμενος διὰ γαμβροῦ γαμβρὸν ἀλλοφύλου μὲν ὁμόφυλον, εὐγνώμονος δ' ἀγνώμονα, καὶ ἅμα ἐπεξιὼν κακονοίας καὶ ἀβουλίας τοῖς ὑπηκόοις. Καὶ τῷδε τῷ τρόπῳ τὴν θείαν ἀναιροῦντες οὐκ ἴσασι πρόνοιαν, καὶ τὴν ἐπιπορευομένην τοῖς πράγμασιν ἀθετοῦντες ἀνάγκην τῆς τύχης. Πάντων γὰρ ὡς εἰκὸς προεγνωσμένων Θεῷ, καὶ πᾶσι πεπιστευμένου μήπω [f. 113 v.] μηδενί τῳ τρόπῳ τὴν θείαν ἐξεῖναι διαψευσθῆναι πρόνοιαν, ἐξ ἀνάγκης ἀκολουθεῖ καὶ πᾶν τὸ τῇ θείᾳ προεγνωσμένον προνοίᾳ πεπράξεσθαι καθὰ καὶ προέγνωσται. Οἷς δ' οὐχ οὕτω δόξης ἔχειν συμβαίνει, οὐκ ἂν φθάνοιεν οὗτοι πάντες ἐπ' ἀβεβαίου καὶ πλανωμένης τιθέμενοι δόξης, ὡς ἔγωγε οἶμαι, τοὺς τῆς θείας θεμελίους προνοίας, ἐφ' ὅσα τὸν πάντα χρόνον προβαίνει τε καὶ προβήσεται τοῦ βεβαιώσοντος οὐκ ὄντος ἐρείσματος. Οἷς γὰρ οὐκ ἔστιν ἐξ ἀνάγκης βεβαίαν κεκτῆσθαι

τὴν ἐκβασιν ὁποῖά ποτ' ἂν εἴη, ταῦτ' ἀόριστα ὄντα εἰκότως ἂν οὐδὲ προγινώσκεσθαι δυνηθείη ποτέ. Καὶ πάντες εὐθὺς καὶ συλλήδδην εἰπεῖν διαβέβληνται λόγοι προφητῶν ἱερῶν, καὶ εἴ τινες εἶεν ἐκ Δωδώνης ἅμα καὶ Δελφικοῦ τρίποδος τοῖς φιλοπευστοῦσιν ὁπωσποτὲ τῶν ἀποβησομένων πέρι προθεσπίζοντες, οὐδαμῇ τῆς ἀοριστίας ἐχούσης ὅροις ἐπιστήμης ἐγκλείεσθαι. Καὶ οὕτως ἐπ' αὐτοφώρῳ τὴν θείαν ἁλίσκονται διαβάλλοντες πρόνοιαν· καὶ τὸ ἄτοπον ὁπόσον καὶ οἷον, πολλοῦ μέν τ' ἂν δεήσειε μὴ καὶ τῶν ἀφελεστέρων πᾶς τις, καὶ εἴ πις εἴη τῶν πάνυ βαναύσων καὶ ἀγοραίων, σαφῶς ἐννοεῖν. Τούτου δ' οὕτωσὶ πρὸς ἀτόπους ἐσχατιάς τε καὶ φάραγγας ἐωσμένου, πολλὴ ἂν εἴη ῥᾳθυμία μὴ ἀῤῥήκτοις νομίζειν ἀνάγκαις δεσμίους τὰς τῶν γινομένων τε καὶ ἐσομένων ἐκβάσεις πορεύεσθαί τε καὶ ἀτεκμάρτοις ἀνθρώπῳ παντὶ δουλεύειν τύχαις. Εἰ οὖν οὕτω ταῦτα καὶ τὸ ἐφ' ἡμῖν ἐκ μέσου χωροῦν πρὸς ἐβύσσους κάτεισιν ἀνυπαρξίας πυθμένας, τίς μηχανὴ τὸν ἐμὸν ἐξαιρήσεται πατέρα μὴ ὁρᾷν τὰ πρὸς τῆς ἀναγκαίας κεκλωσμένα τύχης, καὶ οὕτω μὲν ὡρισμένως προεγνωσμένα Θεῷ, οὕτω δ' ὡς προεγνῶσθαι συμπέπτωκε γινόμενα τῇ προνοίᾳ, οὕτω δ' οὐ γινωσκόμενα καθάπερ ὥρισταί τε καὶ γίνεσθαι πέφυκε πρὸς τῆς ἄνω προνοίας, ταυτὸν δ' εἰπεῖν τῆς ἀναγκαίας ἀγόμενα τύχης. Αὐτόματον γὰρ καὶ τύχην τὴν θείαν καλεῖσθαι πρόνοιαν ἀκώλυτον ἠκηκόειν ὑπάρχειν μὴ μόνον τοῖς σοφωτέροις Ἑλλήνων πιστὶν, ἀλλὰ καὶ τῶν ἡμετέρων ἐνίοις. Δέον οὖν ἐπαινεῖν ὅτι τῇ θείᾳ προνοίᾳ καὶ ὁ ἐμὸς ἀγόμενος πατὴρ, καὶ ἀφύκτῳ δουλεύων ἀνάγκῃ, βαρβάροις μὲν, συγγενέσι δ' οὖν καὶ φίλοις ἐπιτρέπει τὰς τῶν ὅπαξ ὑπὸ Θεοῦ κατεψηφισμένων εἰς ὀλεθρον σφαγὰς καὶ τὰ λάφυρα καὶ τὰς παντοίας καὶ πολυτρόπους ἀπαγωγὰς, οἱ δὲ καὶ ἄχθονται [f. 114 r.] καὶ προσονειδίζουσι καὶ μισοῦσι, καὶ τὴν μὲν αὐτοῦ δι' εὐχῆς τελοῦσι ποιοῦντες ἀπαλλαγὴν, τὴν δὲ τοῦ γαμβροῦ Παλαιολόγου μάλα σφοδρῶς ἐφίενται καὶ ἀνακαλοῦνται ἀρχὴν, καὶ τὰς αὐτοῦ καὶ αὐτοὶ συνεργοῦντες οὐκ ἀπολείπουσιν, ὅσον τὸ ἐφικτὸν, ἐπιβουλὰς καθ' ἡμῶν, καὶ ταῦτα διηνεκῶς ἀδομένων ἐκ πάνυ πολλῶν καὶ παλαιοτέρων τῶν χρόνων ἀκούοντες τῶν τε ἄλλων κακῶν, καὶ ὡς πεπρωμένον εἴη τῷ ἔθνει τουτῳὶ χειρωθῆναι Ῥωμαίων ἅπασαν χώραν καὶ πόλιν, καὶ μέχρις αὐτῶν ἀγυιῶν τε καὶ πλατειῶν καὶ στοῶν εἰσδραμεῖν τῆς Βυζαντίων μεγίστης πόλεως. »

nitis fortunis servire. Quæ cum ita sint, et id quod apud nos e **209** medio procedit ad profundam abeat inexsistentiæ altitudinem, quid impediet patrem meum, quin faciat ea quæ fortunæ necessitate destinata sunt. Ita a Deo plane præcognita sunt, et qualia providentiæ se ostendunt, talia fiunt, quemadmodum destinata sunt, et nascuntur, divina Providentia sive fortunæ necessitate ducta. Casum enim et fortunam nominari audivi divinam illam Providentiam, nullo contradicente non solum apud Græcorum philosophos, verum etiam apud nostros. Æquum igitur est assentiri divinæ Providentiæ, et pater meus inevitabili necessitate ductus in Barbaros cognatos atque amicos vertit, quas Deus semel in eorum perniciem constituit, immolationes et prædationes variasque relegationes. Illi vero gravantur et obtrectant et oderunt. Precibus relegationem perpetrant, Palæologi generi vehementer exoptant et precantur imperium. Nec insidias huic struere conjunctis cum illo viribus quantum licet desistunt. Hæc continuo cantari inde ab antiquis temporibus mala audierunt alia multa atque illud, huic populo a fortuna datum esse ut Romanorum totam terram **210** in ditionem suam reciperet et Byzantium magnam urbem usque ad ipsas vias, plateas, porticus ingrederetur.

ΚΖ'. Ματθαίου μὲν οὖν ἐκείνου τοιαῦτα συνείρειν ἐθέλοντος ἕτερα πλείω καὶ ἄλλα ἐπ' ἄλλοις ὁμόστοιχα, διακόψας τοῦ λόγου τὸν δρόμον ἐγὼ τοιάδε φημὶ πρὸς αὐτόν· « Σὺ δὲ βουλόμενος τὴν θείαν συνιστᾷν πρόνοιαν, ὡς δοκεῖ σοι τὸ σχῆμα τοῦ λόγου, λέληθας ἀναιρῶν αὐτὴν καὶ τἀναντία δρῶν προφανῶς τῆς βουλήσεως, καὶ τὸν πατέρα τὸν σὸν ἀπαλλάττειν μακρῶν ἐπιγόμενος ἐγκλημάτων πεφώρασαι καὶ σαυτὸν αὐτόχρημα τοῖς τῶν αὐτοῦ συγκαταδύων ἐγκλημάτων ὕδασί τε καὶ ῥοθίοις. Μηδὲ γὰρ τὰς τῶν ὄντων τε καὶ γινομένων αἰτίας εἰδὼς, μηδὲ τρόπους αἰτιατῶν διαιρεῖν ἐπιστάμενος, μηδὲ τούτων ἕκαστα τῷ προσήκοντι διανέμειν κανόνι, οὓς ἂν ἐθέλῃς ἐκφεύγειν κρημνοὺς, τούτοις ἐκ τοῦ ῥᾴστου καὶ μὴ θέλων ἐμπίπτεις. Οὐ γὰρ παρὰ τοῦτο τοῖς δρῶσι γίνεται τὰ μοχθηρά τε καὶ ἀποτρόπαια, ὅτι πρὶν γενέσθαι προέγνωσται τῷ Θεῷ, οὐδ' αἰτία τῶν γινομένων κακῶν ἡ πρόγνωσις· ἀλλ' ὅτι γενήσεσθαι ἤμελλε, διὰ τοῦτο προέγνωσται τῷ Θεῷ. Μᾶλλον δ' εἰ τἀσφαλέστερα λέγειν χρεὼν ἐνταυθοῖ, ἔγνωσται Θεῷ καὶ οὐδαμῇ προέγνωσται. Ἐπ' ἴσης γὰρ τοῖς ἐνεστῶσι Θεὸς ὁρᾷ τὰ ἡμῖν μέλλοντα, ἐν τῷ τῆς ἰδίας

XXVII. Matthæus alia ejusmodi cum plura addere vellet, equidem interrupto orationis cursu hæc locutus sum : Divinam enim Providentiam ubi condere voluisti, ut sermonis tui ratio docet, tollere te eam ignorasti et manifesto contraria iis quæ voluisti facere. Et patrem ubi magnis liberandum criminibus suscepisti, ipse ejusdem omnino demersus deprehensus es criminum fluctibus. Etenim cum neque causas scias eorum quæ sunt et fiunt neque rationes eorum quæ ex causis effecta sunt discernere possis, neque suo unumquodque ordini attribuere, quas voluisti effugere rupes, in eas præceps incidisti; neque enim propterea fiunt miseriæ et calamitates, quod cognitæ a Deo ante sunt quam fiunt; nec malorum causa Providentia est, sed quod futura sunt, idcirco a Deo præcognita sunt; aut potius dicendum est cognita sunt a Deo, sed nunquam præcognita. Nam quæ futura nobis sunt, ea sicut præsentia Providentiæ Dei apparent, ut qui omne tempus in propria unitate permaneat et in præsentia semper immutabili constitutus sit. **211** Nec voluntatem quam hominibus dedit liberam ti-

nibus circumscribit. Perinde ac si quis ambulare aliquem videns referat, verum dicere eum necesse est. Nec tamen, quod verum ille narrat, ob eam causam hic ambulat, sed quod qui ambulat, ambulare ipse vult, necessario fit ut verum ille narret. Et qui ambulat causam dat cur ille verum dicat, ita ut post causatum narratio locum obtineat. Ob societatem quamdam narratio videtur quæ tanquam imago sequitur veritatis omnino necessitatem habere. Sed res non ita se habet. Etenim nec narrantis narratio nec videntis visio ullam necessitatem imponit ambulantis voluntati et libertati. Atque si videbitur, rationem hanc per alterum exemplum quoddam probabiliorem reddam. Ponamus igitur aliquem lignum tribus cubitis longum ad baculi usum sponte domi secantem, nullo foris jubente ex omnibus qui domum prætereuntes eum cernunt. Nec vero ipse, ut opinor, dubitabis quin ob hominum frequentiam prætereuntes statim cernant et intelligant qua sit longitudine et latitudine baculum; nullam autem visio operi necessitatem infert. Si igitur Deus sicut præsentia cernit et quæ sunt et quæ **212** futura sunt omnia, quomodo dicat quisquam Dei visionem et cognitionem ullam afferre necessitatem iis quæ nata libero nec ullo dominatu obstricto ordine perficiuntur? Ut enim hominum omnium nulla visio iis quæ in præsenti fieri cernuntur, ita nec Dei præcognitio sive cognitio iis quæ fiunt ullam unquam vim affert nec necessitati libertatem semel datam subjicit. Similiter enim Deus ea quæ fiunt et quæ futura sunt cernit, nullo discrimine interposito, quippe qui in simplicitate præsentiæ suæ continuo permaneat. Ita etiam libertatem cuique datam nunquam non concedit. Idcirco, ut dixi, nec providere et procognoscere Deum, quam videre et cognoscere malueris dicere, cum præteritis simul et futuris qui locus vindicetur nullus inveniatur.

A ἁπλότητος ἱσταμένῳ μένων τὸν πάντα αἰῶνα, κἂν τῷ μηδαμῇ ποτε παραλλάττοντι ἑνεστῶτι ἱστάμενος. Καὶ ὁρῶν οὐ βίᾳ μεταῤῥυθμίζει τινὶ ὃ τὴν ἀρχὴν τοῖς ἀνθρωπίνοις θελήμασιν ἔδωκεν αὐτεξούσιον. Ὅμοιον γὰρ ἂν εἴη ὥσπερ ἂν εἴ τις βαδίζοντά τινα βλέπων ἐξαγγέλλοι τῇ γλώττῃ. Τὸν μὲν λέγοντα ἀληθεύειν ἀνάγκη, οὐ μέντοι γε παρὰ τὸ ἀληθεύειν τὸν λέγοντα ὁ βαδίζων βαδίζει. Ἀλλὰ τοὔμπαλιν διότι ὁ βαδίζων βαδίζειν βεβούληται, ὀληθεύειν ἐξ ἀνάγκης [f. 114 v.] συμβαίνει τὸν λέγοντα. Καὶ δίδωσι μὲν τὴν αἰτίαν ὁ βαδίζων τοῦ γε τὸν λέγοντα ἀληθεύειν, τὴν δὲ τοῦ αἰτιατοῦ χώραν δεύτερος ἐπιὼν ὁ λόγος λαμβάνει. Καὶ δοκεῖ μὲν κατὰ μετουσίαν τινὰ καὶ ὁ λόγος ὡς ἐπόμενον ἔνδαλμα τὴν τοῦ ἀληθεύειν ἔχειν ὅπως ποτ' ἀνάγκην, οὐκ

B ἔχει δ' οὖν· οὐδὲ γὰρ οὐδεμίαν ἀνάγκην οὔθ' ὁ τοῦ λέγοντος λόγος οὔθ' ὁ τοῦ βλέποντος ὀφθαλμὸς τῇ τοῦ βαδίζοντος ἐπήνεγκεν ἐλευθερίᾳ κατὰ τὴν τοῦ βαδίζειν ἀδέσποτον θέλησιν. Καὶ εἰ δοκεῖ γυμνασίου αὖθις τὸν λόγον ἐφ' ἑτέρου τινὸς ὑποδείγματος τελεώτερον· κείσθω γάρ τινα τήμερον τρίπηχυ ξύλον φέρε εἰπεῖν εἰς ῥάβδου χρείαν ἐξ αὐτοσχεδίου θελήσεως οἴκοθεν ἀποξέειν μεταποιοῦντα, μηδενὸς τῶν ἁπάντων μηδὲν ἐπιτάττοντος ἔξωθεν ὅσοι παριόντες ὁρῶσιν. Οὐκ ἂν οὖν οὐδ' αὐτὸς, οἶμαι, ἀμφισβητήσειας μὴ κατ' ἀθρόαν τοὺς παριόντας περιλῆψιν ὁρᾷν μὲν καὶ γινώσκειν εὐθὺς ὁπόση καὶ οἷα μῆκος ἅμα καὶ πλάτος ἡ ῥάβδος, μηδεμίαν δ' ἐπάγειν ἀνάγκην τῇ πράξει τὴν θέαν. Εἰ οὖν καὶ Θεὸς ὡς ἑνεστῶτα πάντ' ἐπ' ἴσης ὁρᾷ τά τε δὴ γινόμενα καὶ

C γενησόμενα, τί τις ἂν ἔχοι λέγειν ὡς ἡ τοῦ Θεοῦ θεωρία καὶ γνῶσις ἀνάγκην ἐπάγει τινὰ τοῖς ἐλεύθερον τελεῖσθαι καὶ ἀδέσποτον πεφυκόσι τὸν τρόπον; Ὥσπερ γὰρ οὐδὲ τῶν ἀνθρώπων οὐδεμία τις τῶν ἁπάντων, ὡς εἴρηται, ὄψις ἀνάγκην, οἷς ἂν ἐκ τοῦ παρήκοντος γινομένοις ὁρᾷ, μηδαμῇ ἐπάγει βιαίαν οὐδεμίαν, οὕτως οὐδ' ἡ τοῦ Θεοῦ εἴτε πρόγνωσιν λέγειν χρεὼν εἴτε γνῶσιν, οἷς ὁρᾷ γιγνομένοις οὐ βίαιον ἐπάγει οὐδέσιν οὐδὲν, οὐδ' ἀνάγκη δουλοῖ τὴν ἅπαξ ὑπ' αὐτοῦ δεδομένην ἐλευθερίαν τοῖς πράγμασιν. Ἐπ' ἴσης γὰρ ὁ Θεὸς ὁρᾷ τὰ γινόμενά τε καὶ γενησόμενα, καὶ οὐδὲν μᾶλλον αὐτῷ παρὰ θάτερον θάτερον, ἐν τῇ ἁπλότητι μένων ἐπ' ἴσης αὐτὸς τοῦ σφετέρου διηνεκῶς ἑνεστῶτος· καὶ ὁμοίως ἀεὶ τὸ δεδομένον ἑκάστοις ἐνδίδωσιν αὐτεξούσιον. Διὸ καὶ οὐδὲν μᾶλλον, ὡς εἴρηται, φαίης ἂν τὸν Θεὸν προορᾷν τε καὶ προγινώσκειν ἢ ὁρᾷν καὶ γινώσκειν, τοῦ χρονικοῦ παρῳχηκότος ἅμα καὶ μέλλοντος ἑνί γε τῷ τρόπῳ τελέως ἐντεῦθεν ἐξωθουμένου καὶ χώραν αὐτῷ προσήκουσαν οὐδεμίαν οὐδαμῇ ἐφευρίσκοντος.

XXVIII. Quid igitur a criminationibus patrem ad innocentiam revocas incerta sententia cum arte quadam in tuam rem versa et rationum fraude ad voluntatem studes mutare ea, quibus pœnam ille dabit Deo qui cernit et dijudicat? Etenim sponte profugus Dei et fortunæ faustæ gloriæque desiderio ductus, ab divino illo viro sejunctus, quam gloriosum nomen per terram serere studuit, tam inglo-riosam messem perpetuo faciet. Consilio semper destitutus a **213** felicitate rejicitur, atque quæ persequebatur tanquam optima arbitratus, ex iis omnibus plane dejectus est a fortuna cui serviebat coactus. Ubi omnium regum felicissimum se esse putabat, ibidem fortuna in alteram partem inclinata universo vitæ spectaculo et terrarum orbi

D ΚΗ'. Τί τοίνυν ἐς τὸ ἀθῷον αὐτὸς παρεξάγεις τὰ τοῦ πατρὸς ἐγκλήματα, σφαλερᾷς διανοίας εὔφημόν τινα τὴν ἀποστροφὴν ἀντιμηχανώμενος, καὶ λόγοις ἀπατηλοῖς πρὸς τὸ βουλόμενον σπεύδεις μετατιθέναι ὧν τὴν κόλασιν ἔργοις ἐκεῖνος ὑφέξει τῷ βλέποντι [f. 115 r.] καὶ κρινοῦντι Θεῷ; Φυγὰς γὰρ ἐθελοντὴς τοῦ Θεοῦ γεγονὼς, καὶ πόθῳ προσκαίρου τύχης καὶ δόξης τοῦ θείου φωτὸς ἐκείνου ἀπερρωγὼς, παρ' ὅσον ἐπίδοξον ὄνομα διὰ γῆς ἐσπούδακε σπείρειν, παρὰ τοσοῦτον ἄδοξον στάχυν ἀεὶ θερίζει, δι' ἀβουλίαν ἀεὶ τοῦ βελτίονος ἀπῤῥαπιζόμενος· καὶ ἃ διώκειν εἵλετο νομίσας εἶναι χρηστὰ, πάντων ἐκπέπτωκεν ἄρδην, ὑφ' ἧς ἐλάτρευε διωκόμενος τύχης. Καὶ ὅθεν εὐδαιμονέστατος πάντων ᾠήθη γίνεσθαι βασιλέων, ἐκεῖθεν ἡ ἀντίπαλος παραδοῦσα

ῥύμη τῆς τύχης αὐτοῦ γυμνὸν παντὶ τῷ τοῦ βίου θεάτρῳ καὶ κόσμῳ προδείκνυσι μὴ μόνον τοῦ μόνου Θεοῦ, ἀλλὰ καὶ ἥσπερ ἐσπούδακε δόξης προσκαίρου τυχεῖν. Ἐπ' εὐδεμιᾶς γὰρ βεβαίως ἑστήξει κρηπῖδος κλῆρος δόξης οὐδεὶς ὃς τε Θεοῦ ἀποπεφοίτηκε καὶ ὃν τὸ τῆς τύχης ἐχορήγησεν ἄστατον. Δυοῖν γὰρ ἑπομένων τῇ τῆς προσκαίρου τύχης εὐκληρίᾳ κακῶν, ἢ καὶ ἄμφω περιχεῖται τοῖς ἀθλίοις ἐναλλὰξ ὁπόσοι ταύτην ἀμφιέννυνται, ἢ δυοῖν θάτερον. Ἡ γὰρ οἶδε τὸ τῆς τύχης ἄστατον, καὶ δεδιέναι τὴν αἰφνίδιον ἀνάγκη μεταβολὴν ἀεὶ, καὶ τῷ συνεχεῖ τοῦ δέους εὐδαιμονεῖν ἀσφαλῶς μηδαμῇ συγχωρεῖσθαι, καὶ παρούσης μὲν λυπεῖσθαι διὰ τὴν τῆς ἀποβολῆς ἐλπίδα, ῥυείσης δ' αὖ λυπεῖσθαι διὰ τὴν ἐναπομένουσαν μνήμην καὶ τήν γε δὴ τῆς ἀναλήψεως ἀπόγνωσιν· ἢ οὐκ οἶδε, καὶ μὴ εἰδὼς οὐδ' εὐδαίμων. Παροῦσα μὲν γὰρ ἡδονὴν οὐκ ἔχει τοιαύτῃ κεκτημένῳ· καὶ πῶς ἂν εἴη εὐδαίμων τὴν αἴσθησιν οὐκ ἔχων ὧν κεκτῆσθαι δοκεῖ; Ἂν δ' ὀψὲ καὶ τὸ τῆς φύσεως ἴδιον ἐπενέγκῃ, λέγω δὴ τὴν μεταβολὴν ἑαυτῆς, τῷ τῆς αἰφνιδίου ἐκπλήξεως ὑπερβάλλοντι συναπεῖλεν ἐνίοτε καὶ τὸ ζῆν. Καὶ προλέλοιπε μὲν αὐτὸν εὐθὺς ὁ προλιπεῖν μὲν οὐκ ἦν αὐτῷ βουλόμενῳ, καταλέλειπται δ' αὐτὸς οὔθ' ὡς καταλελεῖφθαι νενόμικεν οὔθ' ὡς βιοῦν προῄρηται. Τοιαῦτα γὰρ τὰ τῶν χρονικῶν πραγμάτων ἐγκύκλια παίγνια καὶ οἱ τῆς τύχης γέλωτες, σκιὰ μὴ κρατεῖσθαι πεφυκυῖα, καὶ ἀνούσιον ὄνομα ταῖς τῶν μικρολόγων καὶ μικροψύχων ἐπιπλανώμενον φαντασίαις. Διὸ καὶ ῥᾷστα μυρίοις ἀναμοχλεύεται κύδοις μεταβολῶν ἀτεκμάρτων. Καὶ ὁ σφόδρα θέλων αὐτῇ παραμένειν τοῦ μένειν ἀσφαλὴς ἀποσφενδονᾶται ῥᾳδίως· ὁ δὲ ταύτης μὲν ἐθελοντὴς ἐκχωρῶν, Θεῷ δὲ τῷ τῶν καλῶν ὡς ἀληθῶς χορηγῷ προσέχων τὸν νοῦν, εὐσταλὴς τὴν τοῦ βίου παραπρίξων θάλασσαν ἐφέδρου ἐπίβουλον οὐδὲ λῃστὴν φοβήσεται πάντων οὐδένα ποτέ.

A illum ostendit destitutum non modo a Deo uno, verum etiam ab ipsa qua frui voluit fortuna. Non enim firmo stabit fundamento gloria illa quæ, a Deo separata, a mutabili fortuna constituta est. Duorum enim malorum quæ faustæ fortunæ sortem sequuntur, aut ambo perfunduntur ærumnis quæ illam circumdant, aut certe alterutrum. Aut enim metuere fortunam, cognita ejus inconstantia, necesse est, et in perpetuum se dare timori, ne in secura felicitate versetur, denique cum illa adest, angi necesse est ob jacturæ metum, dilapsa autem rursus angi ob memoriam ejus et recuperationem desperatam. Sin vero eam nescit, beatus esse non potest. Nam quæ adest voluptatem possessori affert. Quomodo autem felix esse poterit, qui sensi- B bus id non percipit, quod possidere videtur? Sin vero postea naturæ proprium feret, mutationem suam dico, repentino perturbationis impetu **214** interdum ipsam vitam tollit, et illud eum reliquit, quod relinquere sane nolebat. Relictus ipse est neque ut relinqui se putaverat neque ut vivere consueverat. Hæc enim quæ in tempore ab eo facta sunt ludibriorum vicissitudines sunt et fortunæ risus, umbra quæ non comprehendi potest et inane nomen quod in pusillanimorum hominum mente versatur. Quamobrem facillime infinitis mutationibus tanquam tesserarum millibus eruitur. Et qui in felicitate permanere vehementer voluit, e securitate ejus facile ejicitur. Qui vero sponte eam relinquit, ad Deum bonorum sane ducem animo con- C verso, incolumis vitæ æstum superabit neque insidias nec latrocinia omnium hominum timebit.

Κθ'. [f. 115 v.] Καὶ ἵνα σε ἐς τὸ πρότερον ἴχνος ἐκείνου τοῦ ὑποδείγματος αὖθις ἀναγαγὼν καταπαύσω τὸν λόγον, δεδειχὼς ὡς ἄνθρωποι τῶν ἀνθρωπίνων αἴτιοι γίνονται συμφορῶν καὶ οὐχ ὁ Θεὸς οὐδ' ἡ αὐτοῦ πρόγνωσις, οὐδ' ἀνάγκη τις τυραννεῖ τοῦ βίου τοὺς οἴακας, ἀλλ' ἑκούσιον θέλημα τοὺς κακοὺς εἰς κακὰ παραπέμπει, προσέχειν τοῖς λεγομένοις χρεών. Καθάπερ γὰρ, εἴ τις μοχθηροτέρᾳ μετὰ τοῦ πλείονος χρῷτο διαίτῃ καὶ ἀπᾴδουσαν τῷ γαστρὶ συμφοροῖη τροφὴν, ἀνάγκη νοσεῖν καὶ διαφόρους καὶ ἄλλας ἐπ' ἄλλαις ἀλγηδόνας διηνεκῶς ὑπομένειν, καὶ τὸ αἴτιον πλὴν τῆς τοῦ πάσχοντος γνώμης καὶ προαιρέσεως οὔτε τῇ τροφῇ προστρίψειεν ἂν τις δικαίως οὔτ' ἀνθρώπων οὐδενὶ, οὐ μέντ' ἂν οὐδὲ ταῖς τῶν ὁρώντων προῤῥήσεσι καὶ προγνώσεσιν, εἴ τινες εἶεν ἰατροὶ καλῶς ἐκ τῆς ἀκαίρου τροφῆς ἐκείνῃ στοχαζόμενοι καὶ προαναφωνοῦντες τῷ μὲν τὴν ἀκόλουθον νόσον, τῷ δὲ τὸν ἐπόμενον θάνατον, καὶ ἀνάγκην οὐδεμίαν ἐπήνεγκεν οὔτε τοῖς νοσήμασιν ἐκείνοις οὔτε τῷ θανάτῳ πρόῤῥησις καὶ πρόγνωσις τοῦ συνετῶς ὁρῶντος ἰατροῦ, οὕτως οὐδ' ἡ τοῦ Θεοῦ πρόγνωσις ἀνάγκῃ συνωθεῖ τοὺς ἁμαρτάνοντας εἰς τὸ ἁμαρτάνειν, οὐδ' ἁμαρτάνοντας; αὖ παντοίοι; ἐκ παντοίων καὶ ποικίλοις ἐκ ποικίλων δεινοῖς περιπίπτειν ἀμοιβαδὸν καὶ οἷον

XXIX. Atque ut te ad illius exempli vestigium reducam finemque orationi imponam, postquam ostendi homines sortis suæ esse auctores et non Deum neque ejus providentiam nec necessitatem quamdam in vita dominari, sed liberum arbitrium malos in mala projicere, ad ea quæ dicta sunt mentem attendere oportet. Quemadmodum enim si quis malo victu utatur plerumque et ventre repugnante, ægrotare eum et multos dolores pati necesse est; causam vero hujus rei, nisi ægroti sentiendi vivendique rationi, nec victui jure tribuerit quisquam **215** nec ulli homini. Neque etiam præsagitionibus et præcognitionibus si medici assunt qui ex victu illo conjiciunt huic morbum affuturum, illi vero mortem, nullam tamen necessitatem affert nec morbo nec morti prudentissimi medici præsagitio et præcognitio. Ita neque Dei præcognitio necessitate trahit peccantes ad peccandum nec peccantes ex miseriis in miseriis projicit, ut per difficilem labyrinthum pervagentur et ob pœnas quas sibi ibidem parant sollicitudinibus in perpetuum irretiantur. Providere Deum ea quæ futura sunt utpote qui universa tanquam præsentia cernat necesse est. Causam vero malorum inducere ejus providentiam necesse non est. Et si quid ex be-

stiarum visceribus præsagiebant Chaldæi, quoniam de his quoque locutus es, et si quod a Pythia datum oraculum ad cognoscenda futura spectavit, conjecturales hæ sunt prædictiones dæmonum qui futurum ex consulentium conditione et vitæ ratione colligunt, nec ullam rebus necessitatem ipsæ præsagitiones i læ conjecturales afferunt, nec dæmones illecebris fraudis possunt ad peccatorum perniciem trahere animam eam, quæ in timore Dei et sanitate integerrima firmiter constituta est. Et quemadmodum homines non indigerent medicina, si non ægrotarent, ita nec vaticinatione opus esset, si non in fortunarum **216** fallacias se projicientes peccarent. Sed timore ducti futurum quærebant ex dæmonibus qui per multas ætates vaticinandi artem exercuerant hominibus quidem omnibus illi, nec tamen multum prudentiores. Vides enim illos plerumque in discrimine ponere oraculum. Cæteris omissis, Pythia, Halyn inquit, si trajeceris, magnum regnum delebis. Nec vero utrum regnum nec num fausta esset trajectio quærenti ullo verbo explicavit, nisi si forte trajeceris. Hujusmodi exempla qui quærere volent, permulta invenient.

πρὸς πάνυ δυσδιεξόδευτον ἐκπονεῖσθαι λαβύρινθον τῶν τε ἐνταῦθα πραγμάτων καὶ τῶν διὰ τὰς ἐκεῖθεν ἡτοιμασμένας κολάσεις πληττομένων ἀεὶ λογισμῶν. Ἀνάγκη μὲν γὰρ τὰ ἐσόμενα προγινώσκεσθαι τῷ τὰ πάνθ' ὡς ἐνεστῶτα βλέποντι Θεῷ, οὐκ ἀνάγκη δ' αἰτίαν ἡγεῖσθαι κακῶν τὴν αὐτοῦ πρόγνωσιν. Καὶ εἴ τι δ' ἐν τοῖς τῶν ἀλόγων ζώων σπλάγχνοις ἐχνηλατοῦσι παῖδες Χαλδαίων, ἐπεὶ καὶ περὶ τοιούτων εἰρήκεις, καὶ εἴ τις δ' αὖ ἐκ Δελφικοῦ τρίποδος ὁρμώμενος λόγος πρὸς μελλόντων ἔρρωται πρόγνωσιν, στοχαστικαὶ καὶ ταῦτα δαιμόνων εἰσὶ προρρήσεις, ἀθροιζόντων τὸ μέλλον ἔκ γε τῆς τῶν ἐρωτώντων διαίτης καὶ τῆς τοῦ βίου αἱρέσεως. Καὶ οὔτ' ἀνάγκην εὐθὺς ἐπάγουσι καὶ τοῖς πράγμασιν αἱ στοχαστικαὶ προρρήσεις αὗται, οὔτε τὸ προσαγωγότερον τῆς τῶν δαιμόνων ἀπάτης μεταρριπίζειν δύναται πρὸς τὰ τῶν ἁμαρτιῶν ἀρρωστήματα στερρῶς ἡδρασμένην ψυχὴν ἐν τῷ θείῳ φόβῳ καὶ τῷ τῆς ὑγιείας ταύτης μάλα ἀκραιφνεῖ. Καὶ ὥσπερ οὐκ ἂν ἔδει τοῖς ἀνθρώποις ἰατρικῆς, εἰ μὴ ἐνόσουν, οὕτως οὐδὲ μαντικῆς, εἰ μὴ ταῖς σφαλλομέναις ἐγκυβιστῶντες τύχαις ἡμάρτανον, καὶ δεδιότες ἐντεῦθεν τὸ μέλλον ἐρωτᾷν ἠναγκάζοντο τοὺς τὴν στοχαστικὴν διὰ μακρῶν ἀκριβώσαντας τῶν αἰώνων δαίμονας, ἀνθρώπων μὲν μᾶλλον, ἁπάντων δ' εὐστόχους οὐ μάλα μᾶλλον· ἴδοις γὰρ [f. 116 r.] ἂν κἀκείνους τὸ πλεῖστον ὡς ἐν μεταιχμίῳ ῥιπτοῦντας τὸ μάντευμα. Τά τε γὰρ ἄλλα καὶ τὸν Ἅλυν, φησί, διαβὰς μεγάλην ἀρχὴν καταλύσεις, οὔθ' ὁποίαν ἀποσαφῶν ἀμφοῖν, οὔθ' ὅτι τῷ ἐρωτῶντι βέβαιον ἡ διάβασις, ἀλλ' εἰ διαβὰς τύχοι. Καὶ μυρία τοιαῦτα τοῖς γε σχολάζειν οὐ μάλα ὀκνοῦσιν εὑρίσκοιτο ἄν.

**XXX.** Noli porro dicere malorum per patrum peccata prolatorum vinculo se liberare liberos minime posse nec pestis illius perniciem ac dominatum tollere. Valeat hæc futilis indagatio; nec enim injustus Deus est ut alterius alteri pœnam adjungat. Quod perinde est ac si quis flammam oppressurus, omissis cæteris omnibus iis quæ ad exstinguendum adhiberi solent, sarmentorum fasciculos imponat et olei amphoras large infundat, et cæteros qui eum sequuntur ut idem faciant incitet; statim in aerem flamma extendet, et citius terram circumcurret fumo in ætherem emisso, necesse est non ex uno domicilio **217** flammam exsurgere, sed totam urbem cum omnibus domiciliis et hominibus facillime comburi. Ita et liberos, si non patrum criminationes diluere student, sed peccata aliis alia, veteribus nova, modicis et levibus majora etiam et graviora addunt, ægrotare necesse est, ita ut in extremas semper miserias incidant nec libere respirare possint, sed similes videantur eorum, qui pulmonum inflammatione et aquæ intercutis morbo implicati cum longa vita mortem brevem facile commutare velint.

Λ'. Καὶ μή μοι λέγε προγόνων ἁμαρτίας δι' ἃς τῶν κακῶν ἐκεῖθεν ἠργμένων ἥκιστα δύνασθαι τὸν εἱρμὸν ἀναλύειν ἐκεῖνον τοὺς ἀπογόνους, καὶ τὴν ἐκείνου τοῦ ῥεύματος ἀναστέλλειν φοράν τε καὶ δυναστεύουσαν αὐτοκρατορίαν. Ἄπαγε· σκῆψις ταῦτα σαθρά. Οὐ γὰρ ἄδικος ὁ Θεὸς, ἵνα τὴν ἑτέρων ἔκτισιν ἑτέρωσε παραπέμπῃ καὶ ἄλλων ἄλλοις παρέχῃ κολάσεις ἁπλῶς. Ἀλλ' ὅμοιον ἂν εἴη ὥσπερ ἂν εἴ τις φλόγα πυρὸς κατασβέσαι πειρώμενος τἀναντία τοῖς ἔργοις ποιοίη, αὐτός τε ἀντ' ἄλλων σβεστηρίων ἁπάντων φακέλλους φρυγάνων ἐπιτιθείς καὶ ἀμφορέας ἐλαίου προσεπιφέρων κατὰ τὸ δασιλέστερον, καὶ σφόδρα ἄλλους κατόπιν ἰόντας κινοίη τὰ ὅμοια δρᾷν, καὶ ἀεὶ τοὺς ἑξῆς· ταχὺ μέντ' ἂν εἰς ἄκρα βιθὺν ἡ τῆς φλογὸς ἀναρριπισθείη κορυφὴ, ταχύτερον δ' αὖ τὴν κύκλῳ γῆν περιδράμοι αἰθερίου τέως συνεφαπτομένου πνεύματος· οὐ γὰρ ἀνάγκη πῦρ ἐκ μιᾶς τινος ἀναστέλλειν οἰκίας, ἀλλ' ἀνάγκη πόλιν ὅλην αὐταῖς οἰκίαις καὶ στοαῖς ἐμπιπρᾷν ἐκ τοῦ ῥάστου μετὰ τῶν συνοικούντων. Οὕτω δὴ καὶ τοῖς ὀψιγόνοις, εἰ μήτε τὰ πατέρων ἐγκλήματα διορθοῦσθαι πειρῶντο, ἀλλὰ καὶ προσεπαντλεῖν ἀναγκάζοιεν ἄλλοθεν ἄλλους ἄλλα κατόπιν ἁμαρτήμασιν ἁμαρτήματα παλαιοῖς νέα καὶ μακροῖς μέτροις μείζω τε καὶ βαρύτερα, νοσεῖν ἀνάγκη, καὶ κατὰ τὸ ἀνάλογον τοῖς ἐσχάτοις δεινοῖς ἀεὶ περιπίπτειν, καὶ μηδ' ἀναπνεῖν ἐλευθέριον δύνασθαι, ἀλλ' ἐοικέναι πως ἐκείνοις οἳ περιπνευμονίᾳ καὶ ὑδέρῳ συνισχημένοι βαθεῖ βίους ὅλους ἐνὸς θανάτου ῥᾳδίως ἀλλάξαιντ' ἄν.

**XXXI.** Quid igitur ipse tu et pater tuus innumeris domesticis illis maleficiis prætermissis omni oculorum obtutu patrum facinora inspicitis, nec inde avertere animum ne tantulum quidem vultis

ΛΑ'. Τί τοίνυν καὶ σὺ μετὰ τοῦ πατρὸς τοὺς τῶν οἰκείων ἁμαρτημάτων Ὀλύμπους καὶ Παρνασσοὺς παρατρέχοντες, πᾶσιν ὀφθαλμοῖς ἐς τοὺς προγονικοὺς ὀρόφους ἐμβλέπετε, καὶ οὐκ ἀπάγειν οὐδ'

ἐπὶ βραχὺ τὸν νοῦν ἐκεῖθεν βεβούλησθε, οὐδ' ἐπιστρέφειν ἰφὲ καὶ πρὸς ἑαυτούς; Ἀρίθμει γὰρ, εἰ βούλει, μικρὸν τῶν τῆς οἰήσεως ὑπανιεὶς ὀφρύων, [f. 116 v.] τὰ νέα ταυτὶ καὶ ὑμέτερα, καὶ παράτιθει τοῖς τῶν προγόνων παλαιοτέροις ἅπασι· καὶ ὄψει τοσοῦτο βαρύτερα καὶ πολυειδέστερα τὰ ὑμέτερα ὅσον ἡ στεῖρα καὶ παράλιος ψάμμος ἅπασα πρὸς ἓν ἀθροισθεῖσα βάρος μικροῦ τινος ὑπερέχει δίσκου, ὁποίοις πάλαι καὶ οἱ ἐν Ὀλυμπίοις ἐχρῶντο διασκεύοντές τε καὶ τὸ παγκράτιον ἐξασκούμενοι.

ΛΒ'. Εἰ δ' αἰσχρὸν τὸ τὰ αἰσχρὰ διανοεῖσθαι, αἰσχρότερον πάντως δήπου πολλῷ τὸ τὰ αἴσχιστα καὶ δύνασθαι καὶ δρᾶν καὶ ἅμα πρὸς δημοσίους ἐκλαλεῖν ἀκοάς. Εἰ δὲ τοῦθ' οὕτως, ποῦ λοιπὸν οὐκ ἂν ἀναιδείας ἐλαύνοι, ἐφ' οἷς ἐγκαλύπτονται καὶ τῶν βαναύσων οἱ δυστυχέστεροι, τούτοις τὸν σὸν ἐγκαλλωπίζεσθαι πατέρα, καὶ γυμνῇ βοᾷν τῇ κεφαλῇ Βυζαντίοις ὡς διὰ τὴν ἡμῶν ἀπέχθειαν, τῷ γαμβρῷ προτιθεμένων Παλαιολόγῳ καθ' ἅπασαν γνώμην, πάσης μὲν ἀποκέκλεισθε νῦν μὴ μόνον προόδου καὶ τῆς τῶν ὑμετέρων κομιδῆς ἀσταχύων, ἀλλὰ καὶ πάσης χρηστῆς προσδοκίας ἐξῆς, δύεσθε δ' οὖν ἐν βραχεῖ καὶ τὸ μέγα καὶ περιβόητον ἄστυ Βυζάντιον τουτοῖ προδεδομένον ὁμοίως ὑπ' ἐμοῦ τῷ τῶν βαρβάρων ἀρχηγῷ πρὸς βασίλειον οἴκησιν, Ὑρκανῷ τῷ γαμβρῷ σὺν ἅπασι τοῖς ὑπ' αὐτῷ βαρβάροις; Ὅθεν γυναικῶν μὲν καὶ παίδων ἀλλοτριώτεσθε τὴν ταχίστην, καὶ ἅμα χρημάτων καὶ οἰκιῶν, ὑμεῖς δὲ μαστιγίαι καὶ ἐν Καρὸς δουλεύσετε μοίρᾳ. Τοῦτ' ἐκεῖνο δ καὶ τῷ Λαέρτου πάλαι Ὀδυσσεῖ ναυαγήσαντι ἐκπεπηδηκὼς ἐπηγγέλλετο Κύκλωψ ἐκεῖνος ὁ τοῦ Ὁμήρου, πύματον δηλαδὴ φυλάξειν ἑαυτῷ τράπεζαν αὐτὸν μετά γε δὴ τὴν τῶν ἀνδρῶν ἐκείνων ἐδωδήν, οὓς θηριῶδες καὶ ὠμοβόρον τηνικαῦτα ὁρῶντος αὐτοῦ πεποίηται δεῖπνον. Τί τῆς ἐπαγγελίας ταύτης ἀθλιώτερον ἢ θηριωδέστερον; Εἰ οὖν αἰσχιστον τὸν ἐν ἐξουσίᾳ τὰ αἴσχιστα δρᾶν, ἧπου μανίας οὐ μάλα ἐλεύθερον λύκοις τὸ ἐμπιστευθὲν προτιθέναι ποίμνιον εἰς βορὰν ἐκοντὶ τὸν ποιμένα. Δέον γὰρ ὑπερμαχεῖν καὶ πᾶσι τρόποις τὴν τοῦ ποιμνίου ζητεῖν εὐζωΐαν, ὃ δ' εἰς κακοδαιμονίας ἀνυπερβλήτου μετεσκεύασε πρόφασιν τὴν ποιμαντικὴν δεσποτείαν, καὶ οὐδ' αἰδεῖται τὰς τῆς ἀδίκου ψυχῆς ἐκλαλῶν ἀπορρήτους ὠδῖνας, ἀλλὰ καὶ δόξῃ ὑπερβολὴν ἑαυτοῦ τὰς Ῥωμαίων ἡγούμενος συμφορὰς δημοσιεύει καὶ ἐγκαυχᾶται. Ὅμως καθάπερ οὐδὲν καινὸν οὐδ' ἀνοίκειον ἀνδροφόνῳ μυρίους ἀνόμως ἀνθρώπους πεφονευκότι καὶ πορνείας ἁλῶναι, οὕτως οὐδὲν οὐδὲ τούτῳ καινὸν, καθάπαξ τοῦ πεποιηκότος ἀπερρωγότι θεοῦ καὶ τὴν πάτριον [f. 117 r.] ἐξομοσαμένῳ εὐσέβειαν καὶ τοῖς θείοις ἐμπεπαρφνηκότι κανόσι καὶ νόμοις καὶ πᾶσιν ἱεροῖς ἀδεῶς ἐνυβρίσαντι μυστηρίοις, καὶ ἐν ἁλιτηρίων μοίρᾳ γῆς καὶ θαλάττης ἁπανταχῆ τοὺς εὐσεβείᾳ συντεθραμμένους διασπείραντι, καὶ παντοίοις τοὺς λειπομένους δεσμωτηρίοις ἐμβεβληκότι, καὶ τοῖς τοιούτοις ἐγκαλλωπίζεσθαι ἀδικήμασι, δίκην σειρᾶς ἐξημμένοις ἐκεῖθεν, καὶ τῷ τῆς ὁμοιότητος ῥιπισμῷ πρὸς τὴν τῆς πρώτης κακίας ῥίζαν ἀναπέμπουσι

et tandem ad vos ipsos convertere? Enumera enim, si voles, deminuta aliquantulum animi insolentia nova hæc vestra cum peccatis veteribus illis omnibus comparata, et videbis tanto graviora et crebriora vestra, quanto carina et arena marina in unum congregata exsuperat exiguum discum, quo olim usi sunt qui Olympia certamina exercebant.

**218** XXXII. Ac si turpe est turpia cogitare, multo sane turpius est turpissima et posse, et facere, et simul ante omnium oculos proferre. Quæ cum ita sint, nonne insolentia ductus pater tuus, in quibus infimorum hominum abjectissimi erubescant, iis ipsis gloriabitur? Ob odium nostrum qui simus Palæologo genero toto animo dediti exclusos vos esse omni fructu et vestrorum agrorum cultu, sed etiam omni spe bona. Videbitis igitur brevi magnam hanc atque illustrem urbem Byzantium traditam a me Hyrcano genero ac Barbaris, qui sub ejus potestate degunt. Deinde a mulieribus ac liberis celerrime relegabimini atque ab opibus et ædificiis, vos autem in abjectissima servitudine servietis. Hoc illud est quod Laertiadæ olim Ulyssi navibus advecto accedens dixit Cyclops ille Homericus semet eum ad ultimas mensas servaturum, donec viros illos edisset, quibus bestiarum more ante illius ipsos oculos mensam sibi exstruxit. Quid hac narratione miserius et immanius? Quod cum turpissimum sit posse turpissima facere, ab insania sane non alienum est, si pastor gregem sibi commissum lupis devorandum tradat. Oportet dimicare et omnibus viis **219** salutem gregis quærere. Ille vero pastorale imperium ad perniciem immensam adhibet nec veretur ne impiæ animæ nefandos fœtus edat. Sed Romanorum fortunis infinitæ felicitati suæ vindicandis gloriatur atque exsultat. Quanquam ut nihil novum atque inauditum ei qui millia hominum injusta cæde stravit, etiam libidine teneri, ita neque huic quidquam novum est ut qui semel a Deo creatore sejunctus pietate se abdicaverit, rejectis divinis legibus atque institutis et omnibus sacris mysteriis insolenter contemptis et qui in scelestorum miseriam terra marique eos qui cum pietate adoleverant disperserit, et multis eos qui relicti erant vinculis obstrinxerit, vel gloriari ejusmodi maleficiis, quæ ad instar funis vi æqualitatis ad primæ pravitatis fontem ingenium ejus deducunt. Tu vero dic mihi num sit fortuna et fatum necessario causa ea quæ fiunt efficiens? Quomodo tandem, amice? simile est ac si quis media hieme nudus sub cœlo ambulans causam frigoris non suæ rationi ac voluntati, sed fati necessitati tribuat. Profecto enim non cujusque libera voluntas cuique Clotho fit, et sors tanquam ex uno eodemque fonte profecta. Denique rerum ad eo discriminis **220** ductarum socium me tibi obvenire velis, cum majorem

quoque quam quæ nunc est inter me vosque distantiam fore sæpenumero in votis haberem. Sed abeas cum Deo, nec, ut plura loquar, me impellas; nihil enim eorum quæ ex voluntate tua sunt dicam aut faciam.

τὸ συγγενές. Σὺ δέ μοι λέγε πρὸς ταῦτα τύχην αἰτίαν καὶ πεπρωμένην ἀνάγκῃ τὰ δρώμενα δρῶσαν. Πῶς καὶ πόθεν, ἄνθρωπε; Ὅμοιον γὰρ ἂν εἴη ὥσπερ ἂν εἴ τις μέσου χειμῶνος γυμνὸς ἐν ὑπαίθροις περινοστῶν αἰτίαν τοῦ ῥίγους ἐτίθει, ἥκιστα μὲν τὴν ἑαυτοῦ γνώμην καὶ θέλησιν, τὴν δ' ἀνάγκην τῆς πεπρωμένης. Ἡ γὰρ οὐχ ἡ ἑκάστου παντάπασιν αὐτοδέσποτος θέλησις ἑκάστῳ γίνεται Κλωθὼ καὶ πεπρωμένη, σύστοιχον τῇ ῥίζῃ φύουσα τὸ γεώργιον; Ἐπειτά με τῶν οὕτω πλάνης ἐχόντων ὁμιλητὴν ἀξιοῖς νῦν προσελθόντα γενέσθαι, ὅτε καὶ μυριοπλάσιον δι' εὐχῆς καθεστήκοι μοι μᾶλλον τῆς νῦν ἐχούσης τὴν ἐμοῦ καὶ ὑμῶν μεταξὺ τοπικὴν διάστασιν γίνεσθαι. Ἀλλ' ἄπιθι πρὸς Θεοῦ, καὶ μή με πρὸς πλείους ἐρέθιζε λόγους· οὐδὲν γὰρ ἐξ ἐμοῦ σοι τῶν κατὰ γνώμην οὔτε λελέξεται οὔτε πεπράξεται.

XXXIII. Matthæus igitur ille junior imperator cum esset locutus quæ nondum ad alterum, et audisset quæ nondum ab altero, totus in tristitiam et desperationem abiit, cum colloquium non ex sententia sua cessisset. Volebat quidem blandiri et audire; sed cum videret me ne paulisper quidem animum advertere, abiit spe parentum plane destitutus. Propterea tutior et securior custodia nostra facta est, cum Palamæ turba calumniarum causa regum iram excitaret et augeret. Nec porrò per reliquum vitæ spatium habui, a quo audirem aliquid aut quocum colloquerer.

ΛΓ'. Ματθαῖος μὲν οὖν ὁ νέος ἐκεῖνος βασιλεὺς, εἰπὼν μὲν ἃ μήπω πρὸς ἕτερον, ἀκηκοὼς δ' ἃ μήπω πρὸς ἑτέρου, λύπης καὶ ἀθυμίας μεστὸς ἐγεγόνει μὴ κατὰ γνώμην τῆς ὁμιλίας κεχωρηκυίας αὐτῷ. Καὶ ἐβούλετο μὲν ἔτι λέγειν τε καὶ ἀκούειν· ἀλλ' ὁρῶν ἐμὲ μηδαμῆ μηδὲ μέχρι βραχέος ἐνδιδόντα τὴν ἀκοὴν ἀπῄει, τὰς τοῦ πατρὸς ὁμοῦ καὶ τῆς μητρὸς ἀφαιρούμενος ἄρδην ἐλπίδας. Διὸ καὶ ἀσφαλέστερά τε καὶ βιαιότερα καθ' ἡμῶν τὰ τῆς εἱρκτῆς αὖθις ἐγίνετο, τοῦ Παλαμικοῦ θιάσου βασκανίας εἵνεκα τὴν τῶν βασιλέων ὀργὴν ἐρεθίσαντός τε καὶ ἀναῤῥιπίσαντος ἐς τὸ ἀκμαιότερον· καὶ ἡνύομεν μηδὲν μηδ' ὀθενοῦν μήτ' ἀκούειν μήθ' ὁμιλεῖν

αὖθις οὕτωσί πως τὸ λοιπὸν τοῦ βίου μηδαμῆ ἔχοντες.

XXXIV. Paucis deinde diebus præterlapsis, post solis occasum secunda hora nocturna cum vespertina, ut soleo, carmina recitarem Christo Deo in conclavis angulo, ubi divinam ejus imaginem atque sanctissimæ ejus Matris olim collocavimus, tumultus repente turbulentius, motuum veteris temporis **221** mirificorum magnitudine similis, omnem ubi constiteram terram concussit. Nesciebam cum inclusus essem, quæ foris fierent, nec quid Byzantio, nec quid cæteris urbibus accidisset. Vehementer igitur conquassavit et concussit ille conclave meum ut pleræque partes fractæ in terram caderent et libri nostri e sede ad humum dejicerentur. Suspensus hac hora animus et motus terræ brevi vehementer adauctus spem vitæ deponere me cogebat, cum metuerem ne terra et ipso cubiculo opprimerer. Equidem cum non haberem quo oculos meos verterem evitaturus divinam illam iram, quæ ob pravitatem nostram nos adibat vividis minarum coloribus expressa, firmiter pedes humo infigebam, trepidanti vero terræ obsistere non poteram. Ubique mihi res plena sollicitudinis erat; intra enim male me habebam neque mihi exire omnino in mentem venit; illud quidem propterea quod in vinculis eram et ante portas arbitros metuebam, hoc vero quod divinum propositum intelligebam neminem evitare posse, nec qui sub cœlo ambulet, nec qui in carcerem injectus sit. Ab ejus enim voluntate omnia pendent, quæcunque aperte fiunt, et quæcunque in recessu **222** collocata sunt abditissimo, et volente Deo liberari potest vel qui innumeros circum se laqueos ab hostilibus structos et tela cernat advolantia. Perditur etiam facillime illo recedente. Quamobrem manibus ad

ΛΔ'. Βραχεῖαι παρῆλθον ἐκεῖθεν ἡμέραι, καὶ μετὰ δύσιν ἡλίου δευτέρας ὥρας ἄρτι νυκτερινῆς ἀγομένης, καὶ τὰς ἑσπερίους ἐμοῦ [f. 117 v] συνήθως ᾠδὰς ἀποδιδόντος Χριστῷ τῷ Θεῷ περὶ τὸ τοῦ οἴκου ἐνδότερον, ἔνθα καὶ τὴν αὐτοῦ θείαν εἰκόνα μετὰ τῆς αὐτοῦ πανάγνου μητρὸς πάλαι προεστησάμεθα, κλόνος ἐξαίφνης ῥαγδαῖος καὶ τῶν πάλαι θαυμαζομένων ἐπὶ μεγέθει ἀνάμιλλος πᾶσαν ἐφ' ἧς ἐστήκαμεν ἐτίναξε γῆν. Καὶ τὰ μὲν ἔξω τέως ἠγνόουν πάθη, κεκλεισμένος ὤν, ὅσα τε Βυζάντιον καὶ ὅσα τὰς ἄλλας συμπέπτωκε πόλεις παθεῖν· ὅλον δ' οὖν ἐδόνησε καὶ συνετάραξε μάλα σφοδρῶς τὸν ἡμέτερον οἶκον, ὡς καὶ μέρη πλείω ῥαγέντα χεῖσθαι πρὸς τοὔδαφος· ἔνθεν κἀκεῖθεν, καὶ τὰς μὲν ἡμετέρας βίβλους ἐξ ἕδρας ἀναῤῥηγνυμένας ῥιπτεῖσθαι χαμαί. Τό γε μὴν παρατεταμένον τῆς ὥρας καὶ ἡ κατὰ βραχὺ πρὸς τὸ βιαιότερον προκοπὴ τοῦ σεισμοῦ καὶ ἀπαγορεύειν ἤδη με τὸ ζῆν προσηνάγκαζεν, αὐτῷ τε ἐδάφει καὶ αὐτῇ συγκαταδύεσθαι προσδοκήσαντα τῇ οἰκίᾳ. Ἐγὼ μὲν οὖν τέως οὐκ ἔχων ὅποι βλέψας τὴν θείαν ἐκείνην διαφυγεῖν ὀργήν. ἥ τε νῦν διὰ τὰς ἡμετέρας ἐπῇει κακίας καὶ ἡ μέλλουσα ταῖς φαινομέναις ταύταις ἀπειλαῖς ἐνεζωγραφεῖτο, ἐς τὸ πεπηγὸς καὶ βεβαίως ἱστάμενον ἐρηρεισμένους τοὺς πόδας ἔχειν ἐφιλονείκουν μὲν, ἀντέχειν δ' οὐκ εἶχον πρὸς πάνυ ἀστατοῦσαν γῆν. Καὶ ἦν πανταχόθεν ἐμοὶ στενὰ κομιδῇ τὰ τοῦ πράγματος. Οὕτω γὰρ ἔχων τῶν ἔνδον κακῶς, οὐδ' ἔξω προβαίνειν ὅλως ἦγον εἰς μνήμην, τοῦτο μὲν ὅτι δέσμιος ἦν καὶ τοὺς πρὸ θυρῶν ἐδεδίειν πανόπτας, τοῦτο δ' ὅτι καὶ τὸ τῆς θείας ἀναπόδραστον ψήφου πάλαι γινώσκων ἦν ὡς οὐδεὶς ἀποδραίη, κἂν ἐν ὑπαίθροις χορεύων τύχῃ τις, κἂν ἐν εἱρκτῇ συγκλείηται. Τῆς γὰρ ἐκείνου

βουλήσεως ἐξῆπται τὰ πάντα, ὅσα τε φαίνεται καὶ ὅσα ἐν μυχοῖς θαλαμεύεται ἀπορρήτοις· καὶ σώζοιτο μὲν ἂν πᾶς τις βουλομένου Θεοῦ, καὶ εἰ μυρίας ὀρφὴ κύκλῳ περιχεομένας ἐχθρῶν παγίδας καὶ περιπτάμενα βέλη, φθείροιτο δ' αὖθις ἐκ τοῦ ῥάστου συγχωροῦντος ἐκείνου. Ὅθεν τὰς χεῖρας ταῖς θείαις προσειρείσας εἰκόσιν ἐκείναις, ἐνεκαρτέρουν τῷ τῆς γῆς ἐκείνῳ τιναγμῷ συντινασσόμενος καὶ αὐτὸς, καὶ λογιζόμενος βέλτιον ἐνταυθοῖ μένοντά με τὸ τέλος ὑπομένειν τοῦ βίου, [f. 118 r] ἔνθα καὶ τοὺς ὑπὲρ εὐσεβείας ἄθλους ἐς τόδε ἠνύσαμεν, ἢ πρὸς ἀνθρωπίνας ἀποβλέπειν ἐπικουρίας.

A divinas illas imagines sublatis sustinebar terræ motu illo ipse perturbatus. Malebam ibidem remanere finem expectaturus vitæ, ubi ob pietatem dolores ad hoc usque tempus sustulissem quam humanum auxilium expectare.

ΛΕ'. Ἐπεὶ δ' οὖν ὅμως Θεοῦ προνοίᾳ σεσώσμεθα, ἐς τὴν ὑστεραίαν ἤδη καὶ τὰ τῶν ἄλλων ἠκούομεν πάθη. Περὶ ὧν προϊόντες ἐροῦμεν πλατύτερον, ἐπεὶ καὶ πλατυτέρας ἐκεῖνα δεῖται τῆς ἱστορίας.

XXXV. Attamen cum Dei providentia essem liberatus periculo, postero die quæ illis contigerant audivi, de quibus postea dicam amplius, cum ampliorem relationem postulent.

# ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ
## ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ
### ΛΟΓΟΣ ΚΘ'.

# NICEPHORI GREGORÆ
## BYZANTINÆ HISTORIÆ
### LIBER VICESIMUS NONUS.

[f. 118 r.] Α'. Ἄρτι δὲ τοῦ ἡλίου περὶ τροπὰς γενομένου τὰς φθινοπωρινὰς ἦκεν αὖθις ἡμῖν ὁ καλὸς Ἀγαθάγγελος, λάθρα κατὰ τὸ εἰωθὸς αὐτῷ μετὰ μέσας που νύκτας, ἐν ᾧ τῆς ὥρας μάλιστά γε ἀλεκτρυόνες τάς τε πτέρυγας τινάσσειν ἄρχονται καὶ τὰς ἐμφύτους ἀνακρούεσθαι σάλπιγγας. Καὶ προσειπὼν καὶ καθίσας πρῶτον μὲν ἐπυνθάνετο τὴν αἰτίαν τῆς παρ' ἡμᾶς τοῦ βασιλέως ἀφίξεως, ἔπειτ' ἀρξάμενος καὶ αὐτὸς περὶ τῶν ἔξω διῆει πραγμάτων ἡμῖν ὡς ἠρός τε καὶ θέρους ἴσχε μεταξύ. Καὶ πρῶτον περὶ τοῦ γενομένου διῆει σεισμοῦ τά τε ἄλλα καὶ ὡς πολλαχῆ τὰ τῆς πόλεως Βυζαντίων κατενήνεκται τείχη, καὶ πολλαὶ τῶν οἰκιῶν τοὺς οἰκοῦντας κατέχωσαν. Τῶν δ' ἐν Χερρονήσῳ πόλεων αἱ μὲν κατέδυσαν αὐτανδροι διαῤῥαγείσης ἐκεῖ καὶ σχισθείσης εὐθὺς τῆς γῆς πολλαχῆ· αἱ δὲ τῶν κύκλῳ διαλυθέντων τειχῶν καὶ τῶν οἰκιῶν ταῖς πλείσταις συμπεπτωκότων τοὺς μὲν τῶν οἰκητόρων θανάτῳ βιαίῳ παραπεμφθῆναι συμπέπτωκε, τοὺς δὲ τοῖς ἀστυγείτοσιν ἐξ αὐτομάτου προδοθῆναι βαρβάροις αὐθημερόν. Τοῦ γὰρ βασιλέως Καντακουζηνοῦ πρὸ ἐτῶν που δυοῖν, ὡς εἴρηται, μίαν τῶν ὀχυρωτέρων ἐκεῖ πόλεων παρασχόντος αὐτοῖς οἰκητήριον, ὥστε ἔχειν αὐτοὺς ἐπιτεί-

**223** I. Ipso solstitio brumali redibat nobis bonus Agathangelus; clam ex consuetudine sua, media fere nocte; ea ipsa hora, qua solent galli alas extendere et tubas natura insitas inflare. Et salutans considensque primum quærebat, cur rex ad nos venisset. Deinde et ille incipiens de rebus externis exponebat, quæ fuissent inter ver et æs autem. Et primum quidem narrabat de terræ motu aliisque rebus et multis locis urbis Byzantinorum muros esse collapsos; et multa domicilia incolas obruisse. Urbium in Chersoneso sitarum aliæ una cum hominibus a terra subito multis locis ibi rupta et hiante hauriebantur; **224** ad alias quod attinet muris in orbem destructis et domiciliis maximam partem collapsis incolarum pars morti violentæ committebatur, pars ultro vicinis Barbaris eodem die se tradebat. Præbuerat enim Cantacuzenus rex ante duos fere annos, ut dictum est, unum ex oppidis ejus regionis valde munitorum, quod iis esset domicilium. Hoc igitur modo paratæ iis erant munitiones et auxilium contra Palæologum affinem; in regione diutius manere ipsi noluerunt; sed paulatim evagantes semper et diripientes ex finitimorum oppidorum agris ipsos viros

deinceps et animalia sarcinaria et omnes ovium greges, omnem brevi Chersonesum mediterraneam equis aptam sibimet ipsis reddebant tutam et castra sub divo strata nihil iis videbantur dissimilia terræ Asiaticæ antiquitus consuetæ. Itaque calamitatem ex terræ motu profectam cominus conspicati, celerrime intrabant et sine ullo labore inter domicilia compilabant ea omnia quæ non erant obruta. Et futuro tempore catervatim egredientes exinde etiam omnem omnino jam usque ad portas Byzantinas terram compilabant Romanosque ab ea prorsus deterrebant. Vectigalia autem solvenda imperabant omnibus, quæ circumcirca erant oppidis. Decadarchi Barbari et præfecti in iis collocabantur. Sed ne ita quidem diligentia ejus ætatis Thraces **225** potuerunt frui, sed iterum nullas fere spicas attingere potuit falx, propter præfectorum severitatem et insidias frequentissimas et impetus prædatorios ab aliis aliunde Barbaris factos. Eam ob causam quot Romani poterant latere manus barbaras, in voluntariam se convertebant e patria fugam; iis autem terræ partibus, ubi cuique facilius erat fugere, cum essent omni apparatu et ipso victu destituti. Et nonnulli servituti dominorum, qui ibi erant, semet ipsi submittebant tenuis panis causa. Alii pera alligata plateas permigrant ad prætereuntium multitudinem manus porrigentes, si quis lamnam et obolum ad emendum panem ejiceret. In tam mala conditione hærebant res Byzantinæ, ut, si quis rusticorum vehementiore emissa voce fortasse terrefaciebat infantem vel mulier lacrymans servis acclamabat bello captis, fere præ timore interirent, semper veriti, ne muros Barbari transilirent. Quam ob rem eorum nonnulli de externis cogitant oppidis et insulis patriæ peregrinam præferentes terram. Adeo timore ac terrore suspensi sunt et semper ante oculos habent suam **226** quisque mortem, quia partes vicinorum murorum ante tres dies evorsæ male custodiebantur.

A χισμα καὶ συμμαχίαν πρόχειρον κατὰ Παλαιολόγου τοῦ γαμβροῦ, κατὰ χώραν μένειν αὐτοί γε οὐκ ἠνέγκαν τοῦ λοιποῦ, ἀλλὰ κατὰ βραχὺ παρεξιόντες ἀεὶ, καὶ ληΐζόμενοι τοὺς τῶν ἐγγιστα πόλεων ἀγροὺς ἐφεξῆς αὐτοῖς ἀνδράσι τε καὶ ἀχθοφόροις ζώοις καὶ ποιμνίοις ἅπασι, πᾶσαν ἐν βραχεῖ τὴν τῆς Χερ-
B ρονήσου μεσόγειον ἵππηλάτον σφίσιν αὐτοῖς ἀδεᾶ κατεστήσαντο καὶ στρατόπεδον ὕπαιθρον, οὐδὲν τῆς Ἀσιάτιδος γῆς καὶ πάλαι συνήθους αὐτοῖς ἀπεοικέναι δοκοῦν. Διὸ καὶ τὴν ἀπὸ τοῦ σεισμοῦ συμφορὰν ἐκ τοῦ [f. 118 v.] σύνεγγυς θεασάμενοι, τάχιστα εἰσεπήδησαν καὶ μάλα ἀπονητὶ μετὰ τῶν οἰκιῶν κατειλήφασιν ὅσα μὴ κατεχώσθησαν πράγματα. Καὶ τοῦ λοιποῦ κατὰ πλῆθος ἀεὶ παρεξιόντες ἐκεῖθέν καὶ πᾶσαν ἤδη τὴν μέχρι πυλῶν Βυζαντίων ἐληΐσαντο τέλεον γῆν καὶ Ῥωμαίοις ἄβατον τὸ παράπαν εἰργάσαντο. Φόρους τε ἐπέθεσαν ἁπάσαις ταῖς μεταξὺ πόλεσι, δεκαδάρχους βαρβάρους καὶ ἐπιτρόπους αὐταῖς ἐνοικίσαντες. Ἀλλ' οὐδ' οὕτω τὴν κομιδὴν ζηλοῖ τάλανες Θρᾷκες κερδᾶναι τοῦ θέρους δεδύνηνται, ἀλλ' ἔμειναν αὖθις σχεδὸν ἅπαντες στάχυες δρεπάνης ἀπρόσιτοι διά τε τοὺς βαρεῖς ἐπιστάτας καὶ τὰς ἀλλεπαλλήλους ἐναλλὰξ προλοχίσεις καὶ τὰς ληστρικὰς ἐφόδους τῶν ἄλλοθεν ἄλλων βαρβάρων. Διὸ καὶ ὅσοι Ῥωμαίων ἐκεῖθεν λαθεῖν τὰς βαρβαρικὰς ἐδυνήθησαν χεῖρας, μάλα προθύμους φυγάδας ἑαυτοὺς ἐπεπράχεσαν τῇ πατρίδος, καθ' ὁπότερον τῶν τῆς γῆς μερῶν ἐκ τοῦ ῥᾴονος ἑκάστοις συμπέπτωκε φεύγειν, ἁπάσης μὲν ὀρφανοὺς ἀποσκευῆς καὶ αὐτῶν γε τῶν ἀναγκαίων,
C δακρύων δὲ μακρῶν ἀφορμὴν τοῖς ὁρῶσι καθισταμένους, ὧν τοῖς πλείοσιν ἧκιστα εὔδρομον δι' ἔνδειαν ὃν ἐν ἀλλοτρίᾳ δ.ασπαρῆναι γῇ, τῇ Βυζαντίων βέλτιον ἔδοξε παραμεῖναι. Καὶ οἱ μὲν εἰς δουλείαν τῶν ἐνταῦθα δυναμένων ἑαυτοὺς προσκεκυρώκεσαν ἄρτου βραχέος εἵνεκα, οἱ δὲ καὶ πήραν ἀναψάμενοι τὰς ἀγυιὰς περιίασι κατὰ πλῆθος χεῖρας ὀρέγοντες, εἴ τις κέρμα καὶ ὀβολὸν ἐμβάλοιτο πρὸς ἄρτου πορισμόν. Εἰς τοσαύτην γε μὴν ἧκε δειλίαν τὰ Βυζαντίων, ὥστε καὶ εἴ τις τῶν ἀγοραίων ἀγριωτέραν

δήπουθεν ἀφῇ φωνὴν τῷ παιδὶ ἐπιπλήττων ἴσως, ἡ γυνὴ τοὺς οἰκείους ἀνακαλουμένη σὺν δάκρυσιν αἱχμαλώτους, τεθνάναι μικροῦ τῷ δέει συμβαίνει σφᾶς, ἐν ὑποψίᾳ γινομένους εὐθὺς μὴ οἱ βάρβαροι εἰσεπήδησαν τείχους ἐντός. Ὅθεν ὑπερορίους ἔνιοι καὶ αὐτῶν περινοοῦσι πόλεις καὶ νήσους, τὴν ἀλλοδαπὴν τῶν πατρίων ἀνθαιρούμενοι. Οὕτω μετέωροι κάθηνται καὶ πεφοβημένοι, καὶ τὸν οἰκεῖον ἔχουσι πρὸ ὀφθαλμῶν ὅλεθρον ἀεί, καὶ μάλιστ' ὅτι καὶ τὰ πρότριτα κατενεχθέντα μέρη τῶν κύκλῳ τειχῶν εἰς ἔδαφος ἁπάσης ἔξω κεῖται φροντίδος.

II. Postquam venti hiemales in requiem ex vehementia considerunt et cum undæ aliquandiu quiete littora alluebant et cum vernum tempus quasi suadebat, ut sol quasi diei portas aperiret superaretque in certamine noctem, et animatæ jam naves onerariæ ex portubus in altum evehuntur armanturque triremes atque palmulæ remisque incumbitur; Joannes Palæologus rex ex Thessalonica cum triremibus et biremibus, quatuor et compluribus navibus uniremibus primum ad Lemnum insulam tendebat; inde autem in Samothracem et Imbrum pergebat; indeque similiter Lesbum, et postquam præsentia sua firmavit et stabilivit

D Β'. Ἄρτι δὲ τῶν χειμερίων πνευμάτων εἰς γαλήνην ἐξ ἀγριότητος μεταβεβλημένων, καὶ τῶν κυμάτων τέως τοῖς αἰγιαλοῖς προσηνῶς σπενδομένων, καὶ τῆς ἠρινῆς ὥρας παρακαλούσης οἱονεὶ τὰς τῆς ἡμέρας [f. 119 r.] πύλας ἀνοίγειν τὸν ἥλιον καὶ πλεονεκτεῖν ἐς ἀμιλλαν τῆς κατόπιν νυκτὸς, ὅτε θαῤῥούντως ἤδη καὶ ὁλκάδες ἐκ λιμένων ἀνάγονται καὶ τριήρεις τοὺς ταρσοὺς ἐφοπλίζουσι καὶ ταῖς κώπαις ἑαυτὰς ἐπιτρέπουσιν, ἅρας ὁ βασιλεὺς Ἰωάννης ὁ Παλαιολόγος ἐκ Θεσσαλονίκης τριήρεσί τε καὶ διήρεσι τέτρασι καὶ μονήρεσι πλείοσιν, Λήμνῳ μὲν πρῶτον προσέσχε τῇ νήσῳ, κἀκεῖθεν εἰς Σαμοθράκην καὶ Ἴμβρον διέβη, κἀκεῖθεν εἰς Λέσβον

ὁμοίως· καὶ τῇ ἑαυτοῦ παρουσίᾳ βεβαιώσας καὶ ἐπιῤῥώσας ἅπαντας εἰς τὴν ἑαυτοῦ πίστιν ἀμφιῤῥεπεῖς τὸ πρότερον ὄντας, τέλος τοῖς Τενεδίοις λιμέσιν ὁρμίζεται. Ἔνθα δὴ καὶ μαθὼν ὡς ἐκ πολλοῦ τριήρεσιν ἑνδεκα παρασκευάζοιτο κατ' αὐτοῦ βασιλεὺς ὁ καὶ πενθερὸς, ἐνταῦθα καὶ αὐτὸς τοῦ λοιποῦ καθῆσθαι κέκρικε δεῖν, καὶ ἁπάσαις ψήφοις ἅμα λογισμῶν καὶ ψυχῆς προθέσεσι τὸν ἐπίπλουν ἐκδέχεσθαι.

A omnium erga se fidem, qui antea fuerant ambigui, denique in Tenedi portum incurrit. Ibi comperit ex longo tempore undecim contra se parari a rege triremes, et affinis et ipse ibi postea morari voluit et ex omnibus rationis ac mentis præceptis impetum esse excipiendum existimavit.

Γ'. Τούτων δ' οὕτω χωρούντων, ἔδοξε καὶ Παλαμᾷ τῷ δυσσεβεῖ Πρόκλον τινὰ, πλασαμένῳ πρόφασιν, ἐς Βυζάντιον ἀφικέσθαι πλείστων ἕνεκα, ἑνὸς μὲν ἵνα Καντακουζηνὸν ἐρεθίσῃ τὸν βασιλέα τελείοις ὀλέθροις τοὺς τῆς εὐσεβείας προμάχους ἡμᾶς παραπέμψαι, δεύτερον δ' ἵνα καὶ τὰς αὖθις αὐτῶν νεωστὶ γεγενημένας κατὰ τῆς εὐσεβείας ἑτέρας βίβλους τοῖς Βυζαντίοις προθείη διδασκαλίαν, ἀκόλουθον μὲν τῇ πρὶν ἐκείνῃ πολυθεΐᾳ τάνδρὸς, καινοφανεστέραν δ' οὖν εἰς κακίας ὑπερβολήν· καὶ τρίτον ἵνα καὶ βασιλεῖ Καντακουζηνῷ τὰς οἰκείας εὐχὰς φυλακτήριον κατὰ Παλαιολόγου χαρίσαιτο τοῦ γαμβροῦ, ἥδιστον καὶ μάλα γέ τοι ποθεινὸν ἐφόδιον αὐτῷ. Ἐπεί γε μὴν καὶ ὁλκάδος ἔτυχεν ἐκ τῶν τῆς Θεσσαλονίκης ἀπολυομένων μελλούσης ἀνάγεσθαι, φέρων καὶ αὐτὸς ἑαυτὸν ἐς αὐτὴν ἐμβεβλήκει. Καὶ μέχρι μὲν τῶν Ἑλλησποντίων πορθμῶν ἐξ οὐρίας ἦγεν αὐτοὺς πελάγιον κατὰ πρῦμναν τὸ πνεῦμα φερόμενον· ἐνταῦθα δ' αὐτοῦ λήξαντος καὶ οἷον εἰπεῖν νεκρωθέντος ἐξαίφνης νηνεμία μακρὰ κατέσχε τὸ πέλαγος καὶ ἀκίνητον εἶχε τὴν ὁλκάδα τελέως ἐκείνην, ἐπ' ἀγκύρας μιᾶς ἡμέραιν δυοῖν σαλεύουσαν. Τῇ δὲ τρίτῃ προσελάσαντες ἐκ δυοῖν ποταμοῖν, Σκαμάνδρου τε καὶ Σιμόεντος, οἳ πόλεως Ἀσιάτιδος Δαρδάνου καταῤῥέουσιν ἑφ' ἑκάτερα, πειρατικοῖς τισι λέμβοις οἱ βάρβαροι ταύτην αἱροῦσιν ἀναιμωτί. Καὶ πρὸς αἰγιαλοὺς καθελκύσαντες ἐκείνους, ἔνθα καὶ τῶν Ὑρκανοῦ τοῦ σατράπου υἱέων τὸν πρεσβύτερον τηνικαῦτα συνηνέχθη παρεῖναι, τὸν τῆς ὁλκάδος ἅπαντα φόρτον ἐκείνου βλέποντος ἐξετίθεσάν τε καὶ ἐξεφόρουν· [f. 119 v.] μεθ' ὧν ἤδη καὶ Παλαμᾶς ἐξήγετο· καὶ γνωσθεὶς ὅστις εἴη τὸν τρόπον καὶ τὴν ἀξίαν, οὐ μόνον ἐκ τῆς δαψιλοῦς ἐκείνης ὑλαίας ἀποσκευῆς, ἀλλὰ κἄξ ὧν ἐν τοῖς κόλποις ἔκρυπτεν ἀργύρου τε καὶ χρυσοῦ νομισμάτων παμπόλλων, πολλοῖς εὐθὺς καὶ πρὸς τῶν βαρβάρων ἐβάλλετο τοῖς σκώμμασι καὶ πολλῆς τὰ ὦτα ἐμπέπληστο χλεύης, λεγόντων ὡς Διδάσκειν ὀφείλων ἑτέρους, ἄνθρωπε, κατὰ τὴν τῶν σῶν διδασκάλων νομοθεσίαν τὸν ἄσκευόν τε καὶ ἄχαλκον βίον, ἔργοις αὐτοῖς αὐτὸς τήν τε τῆς σῆς ἀνακαλύπτεις ψυχῆς μοχθηρίαν καὶ ἅμα τἀναντία πείθεις τοὺς ἑπομένους σοι δρᾶν. Ἄρτι δὲ καὶ τῶν βίβλων αὐτοῦ προκομιζομένων ἠρώτα καθ' ἕκαστον ὁ βάρβαρος ὅ τι τε εἴη καὶ ὅτου τὸ ἔργον. Καὶ οὕτω μανθάνων τὰ μὲν αὐτῷ Παλαμᾷ συγγραφέντα κατὰ μέσης παραχρῆμα κελεύει ῥιφῆναι θαλάσσης, οἷμαι, τῆς θείας ἀοράτως πρὸς τοῦτο κινούσης προνοίας, ἵνα μὴ σεσωσμένα πολλῆς τε καὶ νεωτέρας τῆς ἀσωτίας ἐμπλήσωσι τάς γε τῶν ἁπλουστέρων ψυχὰς καὶ αὐτά. Τό γε μὴν θεῖον τοῦ Χριστοῦ Εὐαγγέλιον

B

C

D

III. Quæ cum ita essent et Palamæ improbo, qui Proclum quemdam circumvenerat, causa adesse videbatur rerum complurium causa **227** petendi Byzantii. Et primum quidem ut Cantacuzenum impelleret, ut nos religionis veræ præsidium duræ traderet morti: deinde ut alios libros nuper contra veram religionem scriptos Byzantinis mitteret et eam quidem doctrinam, quæ favebat veteri illi plurium deorum cultui nimium improbe; et tertium, ut Cantacuzeno regi domesticas præstaret preces, præsidium contra Palæologum, affinem, dulcissimum et summopere ipsi desideratum viaticum. Cum et navis oneraria e Thessalonicæ portu vectura se præberet, ipse eam conscendit et usque ad fretum Hellespontum eos portabat ventus secundus in puppim incidens. Hic vero eo cessante et ut ita dicam moriente subito malacia magna tenebat mare, et plane immotam retinebat navem in una anchora biduum vacillantem. Tertio die advecti ex duobus fluviis, Scamandro et Simoente, qui inde a Dardano, urbe Asiatica fluunt, illa cymbis piraticis Barbari nullo effuso sanguine potiti sunt, et ad littora illos abducebant, ut ibi Satrapi Hyrcani filiorum natu major eo tempore adesset accidit, atque omne navis onus eo inspiciente exponebatur et exportabatur. Cum iis Palamas educebatur; et agnitus, qualis esset et moribus et dignitate non solum propter immanes ingentesque **228** sarcinas, sed etiam ex iis quæ in sinu latebant, argenteis et aureis nummis plurimis, conviciis statim multis a Barbaris perstringebatur auresque ejus multis opprobriis implebantur. Dicebant enim, Docere debes alios, secundum tuorum præceptorum normam vitam gerere impedimento et ære vacuam, vita tua ipsius animi tui improbitatem retegis simulque discipulos tuos contraria doces. Cum etiam libri ejus expromerentur, in unoquoque quærebat Barbarus, quid sit et cujusnam opus. Et discens, nonnullos ab ipso Palama esse conscriptos, in medium mare statim eos immergi jubet, credo numine divino invisoque ita instituente, ne servati illi ipsos proborum animos multa et recentiori illa improbitate implerent, sanctum autem Christi Evangelium multa cum verecundia colere juxta psalterium Davidis, ii qui tum secum erant jussi sunt. Soliti erant etiam Ismaelitæ colere cum omnes prophetas tum etiam Christum redemptorem, quippe qui esset unus e prophetis. Deinde illum jubebat suis vestimentis nudari; alia vero et detrita illi indui eumque in custodiam canium institorum emendum

committebat. Et jubebat ei etiam flagella adhiberi, **229** ut major evaderet pœna simulque sodomiticum et arrhenomaniæ vitium naturæ repugnans. Nescio, utrum tale quid ad Christianos captos illudendos facere soleant, an tribuendum sit divinæ supremæque justitiæ, qui virum illum, improbitatis grassantis quasi ducem Barbarorum manibus tradidit, ne lateret eos, qui rerum divinarum sunt imperitiores vel incuriosiores, flagitiosissimum ejus consilium. Sic superbiam appellat superbia, et flagitium ipsius pravitate tectum magnificentissimo hocce modo apparebat. Eamque ob causam gratus erat acceptusque iis qui ejusdem erant gentis eumdemque colebant Deum et ultra dignitatem erat dignus; hoc externis et Barbaris adeo invisum est, ut ne e longinquo quidem auribus percipere velint. Si inter alias res absurdas Barbari etiam divinam incarnationis œconomiam spernunt, tamen ne ipsi quidem universitatis rerum creatorem atque Deum esse negant. Sed Palamas utrique severam exactionem et audacissimam decrevit et talis prioribus temporibus religionis vexator nullus fuit. Neque enim uni numini servire vult e tribus personis constanti, negatque Logon incarnatum Filium esse Dei; sed vim **230** quamdam essentia et substantia carentem, ipsam divisam esse in myriades non procreatas numinum inter se differentium, uti et ipse uberius alio loco exposuit. Inde majorem hic ante æterna supplicia dat pœnam ille multas ærumnas passus eorum, qui contra veræ religionis præsidium pugnaverunt. Qui alios persecutus est alios-que alio pepulit et sacerdotalibus signis flagitiose orbavit. Nam et ipse turpiter privatus erat signis sacerdotalibus atque insuper omni omnino vestimento; similiter et ipse passus est turpissima a Barbaris, quos adeo amavit, ut multum sit certatum ad Cantacuzenum eo adducendum, ut adjutores sibi contra Palæologum, affinem pararet amicosque per vitam haberet vitæque immortales custodes. Inde et præmium accepit dignum, quod dederat et dedit quod acceperat; turpiter enim ad gradum sacerdotalem assurrexit, dignas referens mercedes iis qui ipsum inauguraverant, quippe improbitatem; et quæ sapienter sapientiores viri intellexerunt, ante opera, ea certo post opera usuveniant.

μετὰ τοῦ Δαυϊτικοῦ ψαλτῆρος αἰδοῖ πολλῇ τοὺς οἰκείους τηρεῖν ἐνετέλλετο· εἰώθεσαν γὰρ καὶ Ἰσμαηλῖται τιμᾷν προφήτας τε ἅπαντας καὶ ἅμα τὸν σωτῆρα Χριστὸν ὡς ἕνα τῶν προφητῶν. Τέλος δ' αὐτὸν γυμνωθῆναι μὲν τῶν οἰκείων προστεταχὼς ἱματίων, ἕτερα δέ γε διερρωγότα μετενδῦναι, κυνοτρόφοις τισὶν αὐτὸν εἰς πρᾶσιν ἐδεδώκει τηρεῖν, τάς τε ἄλλας ἐγκελευσάμενος μάστιγας ἐπάγειν αὐτῷ τιμήματος ἕνεκα πλείονος πρὸς ὠνήν, καὶ ἅμα τὸ σοδομιτικὸν καὶ παρὰ φύσιν πάθος τῆς ἀῤῥενομανίας, οὐκ οἶδ' ὁπότερον, εἴτ' εἰωθὸς σφίσι ποιεῖν εἰς ἐμπαιγμὸν τῶν ἁλισκομένων Χριστιανῶν, εἴτ' ἐνδεδωκυίας τῆς θείας ἄνωθεν δίκης ἐνταῦθα, μακροθυμεῖν ὡς ἐπίπαν οὐ μάλα ἀνασχομένης, ἢ τὸν ἀλιτήριον ὡς ἀρχηγὸν τῆς νῦν ἐπιπολαζούσης; ἀσεβείας χερσὶ βαρβάρων παρέπεμψεν, ἵνα μὴ λάθῃ μηδὲ τοῖς ἀμαθέστερον ἢ ἀμελέστερον περὶ τὰ θεῖα διακειμένοις τὸ τῆς αὐτοῦ γε αἱρέσεως αἴσχιστον, ἀλλ' ὕβρις ὕβριν ἀμύνηται, καὶ τὸ τῇ αὐτοῦ κακίᾳ κεκαλυμμένον αἰσχρὸν τῷ του σαρκικοῦ καὶ φαινομένου πάθους αἰσχίστῳ θεατρικώτερον τουτονὶ δημοσιευθῇ τρόπον· καὶ ὁ θέλων ἐκ τοῦ τυραννεῖν τὴν εὐσέβειαν δοξασθῆναι ἤδη καὶ κατ' αὐτό γε τὸ τῆς πολυθείας ἀτόπημα σαφῶς ἐξελήλεγκταί τε καὶ ἐστηλίτευται. Καὶ διόπερ ὁμοφύλοις οὖσι τοῖς θιασώταις ἀριστός τε ἐνομίσθη καὶ τῶν ὑπὲρ ἄξιον ἄξιος γερῶν, τοῦτο τοῖς ἀλλοτρίοις τε καὶ βαρβάροις οὐδὲ μέχρι ψιλῆς ἀκοῆς ἀνεκτὸν ἐνομίσθη. Εἰ γὰρ πρός γε τοῖς ἄλλοις αὐτῶν ἀτοπήμασι [f. 120 r.] καὶ τὴν ἔνσαρκον ἀθετοῦσιν οἱ βάρβαροι θείαν οἰκονομίαν, ἀλλ' ἕνα τῶν πάντων εἶναι ποιητὴν καὶ Θεὸν οὐδ' αὐτοί γε ἀρνοῦνται. Ἀλλ' ὁ Παλαμᾶς καὶ ἀμφοτέρως ξενηλασίαν ἀπότομόν τε καὶ μάλα θρασεῖαν κατεψηφίσατο, καὶ οἷαν οὐδείς οὐδ' αὐτῶν ὁπόσοις διώκται κατὰ τῆς εὐσεβείας τοὺς πρὶν αἰῶνας συνεπιπτώκει γενέσθαι· οὔτε γὰρ θεότητι λατρεύειν ἀφίησι τρισυποστάτῳ μιᾷ, οὐδὲ τὸν σαρκωθέντα Λόγον Υἱὸν εἶναι λέγει Θεοῦ, ἀλλ' ἀνούσιον μέν τινα καὶ ἀνύπαρκτον ἐνέργειαν, πρὸς δ' ἀκτίστους μυρίας μεριζομένην θεότητας ἄλλας ἀλλήλων διαφερούσας, ὡς καὶ αὐτὸς ἐν ἄλλοις πλατύτερον γέγραφε στηλιτεύων αὐτόν. Ὅθεν καὶ μείζω κάνταῦθα πρὸ τῆς αἰωνίου καταδίκης ἐκείνης τὴν δίκην δίδωσιν οὐτοσὶν ὁ ταλαίπωρος ὢν ἐπὶ τοὺς ὑπὲρ εὐσεβείας ἠγωνισμένους ἠγώνισται, τοὺς μὲν διώξας καὶ ἄλλον ἄλλοθι διασπείρας, τοὺς δὲ καὶ αὐτῶν γυμνώσας ἀναίδην τῶν ἱερατικῶν συμβόλων. Καὶ αὐτός τε γὰρ αἰσχρῶς τῶν ἱερατικῶν γυμνωθεὶς συμβόλων, καὶ πρός γε ἔτι πάσης κοινῶς ἐσθῆτος, ὁμοῦ καὶ τὰ αἴσχιστα ὑπ' αὐτῶν ἐπεπόνθει βαρβάρων, οὓς τοσοῦτον αὐτὸς ἠγάπησεν ὥστε καὶ ἠγώνισται πάμπολλα πεῖσαι Καντακουζηνὸν κατὰ τοῦ γαμβροῦ Παλαιολόγου συλλήπτορας κτήσασθαι καὶ φίλους ἡγεῖσθαι διὰ βίου, καὶ τῆς ζωῆς φύλακας ἀθανάτους. Διὸ καὶ τὴν ἀντιμισθίαν ἀξίαν ἐκεῖθεν εἴληφε δεδωκὼς καὶ δέδωκεν εἰληφώς· αἰσχρῶς μὲν γὰρ καὶ ἀναξίως παντάπασιν εἰς τὸν ἱερατικὸν βαθμὸν ἀναβὰς, ἀξίαν τοῖς ἱερώσασι τὴν ἀντιμισθίαν ἀπέδωκε τὴν ἀσέβειαν· ἀξίαν δ' αὖ ὑπὸ τῶν βαρβάρων ἐκείνων αἴσχιστα καθαιρεθεὶς τὴν ἀντιμισθίαν κεκόμισται ὧν τοῖς Ῥωμαίοις ὀλέθριον τῷ βασιλεῖ προμεμνήστευται τὴν φιλίαν, ἵνα καὶ καθαιρέσει αἰσχρᾷ μὲν, δικαίᾳ δ' οὖν πολλῶν ἱερέων καὶ ἐπισκόπων καὶ πάσης εἰπεῖν εὐσεβοῦς ὁσιότητος καθαίρεσις ἄδικος ἀντιταλαντεύηται, καὶ ἃ τοῖς σοφωτέροις ἔγνωσται συνετῶς πρὸ τῶν ἔργων, ταῦτ' ἐπὶ τῶν ἔργων φαίνηται συμβαίνοντα σαφῶς.

**231** IV. Postquam ad Hyrcanum abductus esset, Barbarorum scilicet ducem, præter cætera ex iis

Δ'. Ἐπεί γε μὴν καὶ πρὸς Ὑρκανὸν ἀπηνέχθη, τὸν ἀρχηγὸν δηλαδὴ τῶν βαρβάρων, τὰ μὲν ἄλλα

ὅσα τε πρὸς τῶν ἐκεῖ τηνικαῦτα παρόντων ἠκηκόει τε καὶ λελάληκε καὶ συνυπήχθη καὶ ὡμολόγηκε φιλοζωΐας ἕνεκα, σιωπᾷν ἄμεινον. Μαθὼν δ' οὖν ὅμως ἐκεῖνος ὡς αὐτός ἐστι δι' ὃν πολυθεΐας τε ἔρως ἐν Ῥωμαίων ἤνθησεν ἄρχουσι καὶ ματαίας θρησκείας ἀγάλματα νέοις ἐμπολιτεύεσθαι γέγονεν ἔθεσι, κατεγίνωσκέ τε καὶ διετώθαζε μάλα ἐπεγγελῶν. Προσέταττε δ' οὖν ἀπαχθέντα πόῤῥω που τῆς σατραπικῆς οἰκίας διαλεχθῆναι περὶ τῆς νεολέκτου ταυτησὶ τερατείας ἑνί τινι τῶν παρὰ βαρβάροις αὐτόθι σοφῶν ἐπ' ἀκροάσει πολλῶν. Καὶ ὅσα μὲν ἐκεῖ πρὸς ἡδονὴν τοῖς βαρβάροι; ἐφθέγξατο, ἀφαίρεσιν δεδιὼς τῆς ζωῆς ταυτησὶ, περιττὸν ἀφηγεῖσθαι· ἃ δ' οὖν ἀπολεξάμενοι πρὸς δημοσίας φέρουσιν ἀκοὰς οἱ [f. 120 v.] ἐνταῦθα τῆς ἐκείνου θιασῶται κακίας, ἐγγράφως πρὸς ἐκείνου τούτοις πεμφθέντα, ἔστι τοιάδε. Ἀπαιτούμενος γὰρ, φησὶ, λόγον ἑρμηνέα τῆς καινοφανοῦς ταυτησὶ θρησκείας, ἀπολογεῖσθαι καιρὸν οὐκ ἔχειν εἰρήκει, πρόφασιν λέγων ὡς οἱ προκείμενοι τῷ μέρει τῶν ἀντιδίκων προκάθηνται καὶ κριταὶ, καὶ οὐκ ἔχειν ἀναγκαίως δεικνύειν εἰς τὰ παρ' αὐτῶν ἀντιλεγόμενα τὰ δικαιώματα τῆς εὐσεβείας. Ἔπειτα καὶ παραδεδομένος εἰς αἰχμαλωσίαν αὐτοῖς οὐκ ἂν ἀποκρίναιτο, ἐπεὶ καὶ ὁ Χριστὸς, φησὶ, μετὰ τὸ παραδοθῆναι οὐκ ἀπεκρίνατο. Ταῦτ' εἰσὶ τὰ συνήθη ψευδολογήματα τῆς ἀτόπου γλώσσης ἐκείνης· πῶς γὰρ ἂν ἐτόλμησεν, ἢ τίς ἂν ἔχοι χώρα καὶ χρεία βαρβάροις φέρειν ὑπόδειγμα πρὸς πίστωσιν τῶν αὐτῷ λεγομένων τὰ τοῦ Χριστοῦ παθήματα; Προσπαραγράφει δ' ἑξῆς καὶ περὶ τῶν ἐκεῖ Χριστιανῶν, ὅπως λαθόντες ἐξ ἀπειρίας ἐπαίνοις ἐξαίρουσι τοῦτον, διότι, φασὶν, ἀποκηρύττει τοὺς εἰς ὑπερκειμένας καὶ ὑφειμένας ἀπείρους θεότητας τὸν ἕνα Θεὸν ἀσεβῶς διαιροῦντας. Καὶ μὴ ἀποδέχεσθαι μέν φησι τὴν τῶν ἐπαίνων αἰτίαν ὡς αὐτῷ γε ἀλυσιτελῆ, ὅμως τοῦ καιροῦ τε καὶ τῆς χρείας ἕνεκα, τοῦ σιτίζεσθαι πρὸς αὐτῶν δηλαδὴ, σιωπᾷν ἐπαινούμενος ἀξίους κατάρας ἐπαίνους· τὴν γὰρ τῶν εὐσεβῶν ἔπαινον ἀπατηθέντες ἀνοικείως ἐδίδουν αὐτῷ, ἐπαρώμενοι μὲν αὐτοῦ τῇ πολυθείᾳ ἐκεῖνοι, ἀγνοοῦντες δ' ὡς αὐτός ἐστιν ᾧ ἐπαρῶνται. Οὕτω πολύπους τίς ἐστιν ὁ κατάρατος, καὶ τὸ χρῶμα τῆς γνώμης ἄστατος καὶ ἀβέβαιος· καὶ τοῖς ἄλλοτ' ἄλλοις καιροῖς τε καὶ πράγμασι προσφυόμενος πρὸς διάφορα καὶ μαχόμενα χρώματί τε καὶ σχήματι γνώμης καὶ γλώττης ῥᾳδίως μεθαρμόζεται τε καὶ μετασχηματίζεται· καὶ τῇ τοῦ Κυρίου παιδείᾳ νουθετεῖσθαι οὐκ οἶδεν, ἀλλ' ὥσπερ ἂν εἴ τις τῶν ἀνδροφόνων, ἀγόμενος εἰς δεσμωτήριον ὥστε δείσαντα σωφρονεῖν τοῦ λοιποῦ καὶ ληστείας ἀφίστασθαι πάσης, ὁ δ' αὐτούς τε ἐφόνευε τοὺς ἀπάγοντας καὶ ὅτῳ ἂν ἀπαντῴη τῶν παριόντων, οὕτω καὶ οὗτος οὔτε κολαζόμενος φρίττει, οὔθ' ὑπὸ Θεοῦ νουθετούμενος νουθετεῖται, ἀλλ' ἀκόλαστος ἐν κολαστηρίῳ μένει τὴν γνώμην, ἀπαίδευτος δ' ἐν παιδευτηρίῳ Θεοῦ, τῆς ὁμοίας ἀπονοίας ἐχόμενος ἀεὶ, καὶ πρόφασιν κακίας ποιούμενος ἃ πρὸς κακίας ἀποχὴν ὁ Θεὸς αὐτῷ συγκεχώρηκε παθεῖν. Οὐδὲ γὰρ παύεσθαί πω τῆς κομπορρημοσύνης καὶ τῆς

A quæ eos qui illo tempore aderant dicentes audierat et quæ ipse dixerat sibi persuasit existimavitque propter vitæ amorem præstare silentium. Ubi tamen ille comperit, huncce esse, cujus cura multorum deorum cultus apud Romanorum duces adamatus sit, vanæque pietatis simulacra facta sint ex novo more, damnavit multisque conviciis derisit. Jubebat eum ex domicilio deductum satrapico loqui de novis miraculis coram quodam Barbarorum qui ibi erant philosopho et coram multitudine. Quæ vero ibi ad delectandos Barbaros præ mortis timore dixerit, exponere hic locus non est. Quæ vero pravitatis illius servi publicæ famæ tradunt, litteris consignata ab illo his missa sunt hæcce. Rogatus enim iis præbet disputationem, qua cultum novum exponit; sese defendendi non adesse tempus dicebat, prætendens, discipulos et judices adversariorum suscipere partes; neque opus esse dicebat ea significare, quæ illi contradicerent, defendere veram religionem. Deinde in captivitatem deductus illis non respondit, quoniam, ut dixit, neque Christus proditus respondebat. **232** Hæc sunt consueta mendacia ineptæ illius linguæ. Quis enim ausus fuerit ad verba sua barbaris probanda, si occasio adest vel necessitas, Christi Passionem in exemplum revocare? Præterea scribit de Christianis illius regionis, quod hunc ignari laudibus efferunt, quia annuntiat eos qui in superiora et inferiora infinita numina improbe dividunt unum Deum. Et se non accipere dicit laudes inutiles. Nam virorum piorum laudem decepti et falso ei præstabant. Exsecrabantur ejus multorum deorum cultum, sed eum ipsum, quem exsecrarentur nesciebant. Tot habet pedes is, quem exsecrantur, et colore opinionis est infirmus et varius, et aliis temporibus aliisque in rebus ad diversa et pugnantia inclinat quod ad habitum coloremque opinionis atque linguæ attinet. Mutatur autem aliamque accipit formam, et Domini institutione emendari nequit. Sed quemadmodum si quis homicida deducitur in carcerem ut ibi metu salutari perculsus omni in futurum latrocinio renuntiet, ipsos custodes interficit et quemcunque prætereuntium attingere potest, ita etiam ille punitus non tremit et a Deo monitus non monetur, sed indomita opinione in carcere manet, non institutus in **233** institutione Dei, et simili insania captus semper prætextum facit pravitatis quæ ad pravitatem averruncandam ei Deus imposuit sustinenda. Nunquam enim deponere ostentationem et vanam illam opinionem potuit; sed ipsius Christi ejusque nostri causa susceptarum passionum imaginem semetipsam suamque apud barbaros captivitatem exprimere gloriatur. Mendaciis solet res adulterare, eaque efferre laudibus quorum deberet eum pudere. Ita in insani hominis pectore locum non habet Dei memoria et divina virtus. Itaque plerumque Deus eum exponit illudendum et odio ab omnibus persequendum, illam pravitatis pestem. Tantopere enim, quasi cubo verso,

odio eum persecuti duces amicissimi et benevoli propter barbarorum mistionem illegitimam et sodomiticam, ita ut cui omnes res amittere promittebant et si opus esset in Hadem descendere, eumdem nunc ne obolo quidem redimere velint. Quælibet enim futura esset rerum conditio, non pulchrum futurum esse existimabant opus. Si enim, dicebant, crimine oblivioni tradito, ei condonare vellent dignitatem sacerdotalem, vel omnes lapides clamarent ingentem illam insaniam. Si vero illum commovissent, cum silentio deponerent dignitatem sacerdotalem, **234** accusator ipsorum impudicissimus esset iisque linguam, gladium omnino acutissimum opponeret. Si vero theatri et fori ludibria in plateis jacta audiunt, suræ scilicet et effeminati dei et cruris semper fœtum procreantis, Dionysi nequaquam, neque Semeles Thebanæ abortus, sed barbarorum et impiorum seminum filii et qui semper ex impio animo gigni solent, pravi impii ortus, potius immaturi naturæ repugnantes ortus quo suspendio non pejus videretur omnibus, quibus contigit, ut hoc magistro uterentur? ἂν τ' ἀπραχτεῖν αὐτὸν ἀναπείσωσι καὶ τῆς ἱερουργίας ἀπέχεσθαι, κατήγορος αὐτῶν ἀναιδέστατος ἔσται λοιπὸν αὐτὸς ἐν πολλοῖς, καὶ ξίφους ἀκμαιοτέραν παντὸς ἀντιστήσει γλῶτταν αὐτοῖς, καὶ Ὀλύμπου φανεῖται παντὸς ἐπαχθέστερος. [f. 121 v.] Ὅταν δὲ καὶ τὰ θεατρικὰ καὶ ἀγοραῖα σκώμματα πρὸς τὸς ὀγυιὰς παραῤῥιπτούμενα ἐξακούωνται, τῆς γαστροκνημίας φημὶ καὶ τοῦ ἀνδρογύνου Θεοῦ καὶ τοῦ μηροῦ τοῦ τὸ ἀτελὲς ὠδίνοντος κύημα, Διονύσου μὲν ἧκιστα οὐδὲ Σεμέλης Θηβαίας ἀμβλώματα, ἀλλὰ βαρβαρικῶν καὶ ἀσεβῶν σπερμάτων ἐκτόκια συγγενῆ καὶ οἷα διηνεκῶς ἐξ ἀσεβοῦς αὐτὸς διανοίας εἰῶθε τίκτειν πονηρά τε καὶ ἀσεβῆ γεννήματα, μᾶλλον δ' ἀτελῆ καὶ παρὰ φύσιν ἀμβλώματα, πολὺς οὐκ ἂν ἀγχόνης χείρω δόξειεν ἅπασιν, οἷς διδασκάλῳ τούτῳ κεχρῆσθαι συμπέπτωκε;

**V. Et de his rebus ipse accuratius judicaveris sapienti tua et sana mente ac ratione.** Equidem de iis, quæ insecutæ sunt, rebus similibus et e Dei pœna profectis loquar. Patriarcha enim ille Callistus, depositus ab iis a quibus honoratus fuerat, cum sacerdotii insignia deponere nollet, non timuit eorum impetum sustinere invitum et in horrendum conjici carcerem, neve seditionem forte secundum famam grassantem urbi moveret, audacius arrogantiusque vivens in vitæ tranquillitate; et facile inscius in malum incidisset, nisi re comperta continuo fugisset. Quod consilium imperatori et patriarchæ probatum visum est, et fama occulta in forum divulgabatur. Cum et ipse **235** rem comperisset, magna ignavia captus, clam effugit ad Latinorum præsidium ex adverso situm, et externo præsidio et dominationi sese submisit vitæ amore captus, et ut pios homines, qui propter religionem multas subierant ærumnas, heri et nudiustertius convicis persequebatur, ita ipse continuo in suam ipsius calamitatem incidit. Qui enim in Sophiæ templum et summum Dei sacrarium fugerant, eos præter legem protractos ipse in carcerem conjecit. Si vero quis insectatores fallens in illud Latinum præsidium fugiebat, multa ipse continuo contra eos dicebat infinitisque insectabatur contumeliis, et ita loquebatur ac si ii qui Barlaami Latini essent amici, nunc illius contribulibus amici fierent. Itaque inter propria dogmata impietatis auxilia conservabantur

A ματαίας ἐκείνης ἔγνωκεν οἰήσεως, ἀλλ' αὐτοῦ τε Χριστοῦ καὶ τῶν ὑπὲρ ἡμῶν Χριστοῦ παθημάτων εἰκόνα φέρειν ἑαυτὸν καὶ τὴν ἑαυτοῦ πρὸς βαρβάρους αἰχμαλωσίαν βρενθύεται, ψευδηγορίαις, ὡς εἴωθε, διαστρέφων τὰ πράγματα καὶ ἐγκαλλωπιζόμενος ἐφ' οἷς ἐγκαλύπτεσθαι ἔδει. Οὕτως εἰς ἀσυνέτου καρδίαν χώραν οὐκ ἔχει μνήμη Θεοῦ καὶ κατὰ Θεὸν ἀρετή. Διὸ καὶ ὡς ἐπὶ πλεῖστον [f. 121 r.] ὁ Θεὸς ἐμπαίζεσθαι τοῦτον ἐγκεχώρηκε, καὶ ὑπὸ πάντων ὁμοίως μισεῖσθαι τὸ τῆς ἐρημώσεως βδέλυγμα. Εἰς τοσοῦτον γὰρ, καθάπερ κύβου στραφέντος, μεμίσηται καὶ πρὸς τῶν μάλα ποθούντων ἐντεῦθεν ἀρχόντων καὶ ὁμοφρόνων διὰ τὴν ἄθεσμον ἐκείνην καὶ σοδομιτικὴν τῶν βαρβάρων μῖξιν, ὥστε
B καὶ ὑπὲρ οὗ πάντα προέσθαι χρήματα ὑπισχνοῦντο καὶ σφᾶς αὐτοὺς, εἰ δεήσειε, πέμπειν εἰς ᾅδην, νῦν οὐδ' ὁβολοῦ ἀλλάξασθαι βούλονται τὴν ἐλευθερίαν. Ὑποτέρωσε γὰρ ἂν νεύσειε τὸ ἀποβησόμενον, οὐκ ἐς τὸ εὔσχημον σφίσιν ἐνόμισαν σχήσειν τὸ πρᾶγμα. Ἂν τε γὰρ βουληθῶσιν, ἔφασαν, σιγῇ καλύψαντες τοὔγκλημα τοῦτον ἱερατεύειν ἐνδοῦναι, καὶ λίθοι πάντες ἀναβοήσουσι τὴν τῆς ἀτοπίας ὑπερβολήν·
C [f. 122 r] Ε'. Καὶ περὶ μὲν τούτων αὐτὸς ἂν ἀκριβέστερον διαιτήσειας τῇ σοφῇ σου καὶ ἐμφρονι διανοίᾳ καὶ κρίσει· ἐγὼ δὲ καὶ περὶ τῶν ἑξῆς ὁμοίων τε καὶ ὁμοίας ἐκ Θεοῦ τυγχανόντων τῆς ἐκδικήσεως ἀφηγήσομαι. Ὁ γὰρ πατριαρχεύσας μὲν ἐκεῖνος Κάλλιστος, καθαιρεθεὶς δ' αὖθις ὑφ' ὧν τετίμηται, καὶ μὴ βουλόμενος τὰ τῆς ἀρχιερωσύνης οἴκοθεν ἀποθέσθαι σύμβολα, κεκινδύνευκεν ἄκων τὴν τούτων ἀφαίρεσιν ὑποσχεῖν καὶ ἅμα δεινῷ τινι ἐμβεβλῆσθαι δεσμωτηρίῳ, μὴ καὶ στάσιν ἴσως κατὰ
D τὴν ἐπιπολάσασαν φήμην ἐγείρῃ τῇ πόλει, θρασύτερόν τε καὶ ἀηδέστερον πρὸς τὸν ἐν ἡσυχίᾳ διακείμενος βίον· καὶ τάχα ἂν μὴ μαθὼν ἔφθη παθὼν, εἰ μὴ μαθὼν ἔφθη φυγών. Ἄρτι γὰρ τὸ σκέμμα βασιλεῖ τε καὶ πατριάρχῃ κεκυρωμένον λανθάνουσα φήμη λαβοῦσα διέπιπτεν εἰς τὴν ἀγορὰν ἐξεπιπολῆς. Ὅθεν μαθὼν καὶ αὐτὸς, καὶ δειλίᾳ μακρᾷ συσχεθεὶς, ᾤχετο λάθρα ἀποδρὰς πρὸς τὸ τῶν Λατίνων ἀντιπέρας φρούριον· καὶ τῇ ἀλλοφύλῳ σκέπῃ καὶ δεσποτείᾳ ἑαυτὸν διὰ φιλοζωΐαν καθυποζεύξας, καὶ ἃ τοῖς ὑπὲρ εὐσεβείας δεδιωγμένοις χθὲς καὶ πρότριτα εὐσεβέσιν ὠνείδιζε, ταῦτα παρὰ πόδας ἁλίσκεται καὶ αὐτὸς πεπονθώς. Καταφεύγοντας γὰρ πρὸς τὸ τῆς Σοφίας ἱερὸν καὶ μέγιστον τοῦ Θεοῦ τέμενος ἀποσπῶν παρανόμως αὐτὸς τοῖς δεσμωτηρίοις προὔπεμπεν· εἰ δέ πού τις καὶ τοὺς διώκτας λαθὼν εἰς τὸ Λατινικὸν ἐκεῖνο κατέφυγε φρούριον, πολὺς αὐτὸς εὐθὺς ἦν κατὰ τῶν τοιούτων ῥέων καὶ ἀμέτρους ἐπαντλῶν λοιδορίας, καὶ λέγων ὡς οἱ τῷ

Βαρλαὰμ ὄντι Λατίνῳ φίλοι καὶ νῦν τοῖς ὁμοφύλοις ἐκείνῳ γίνονται φίλοι, τῇ ἀλλοφύλῳ σκέπῃ καὶ δεσποτείᾳ χρώμενοι σωστικῷ λιμένι. Οὕτω τὰ τῆς ἀσεβείας ὄργανα μετὰ τῶν οἰκείων δογμάτων πρὸς μὲν βραχύν τινα χρόνον ἀντέσχε, καὶ λέληθεν ἐνίοτε τοὺς πολλοὺς ἐν σκότει κἀκ διαμέτρου τῆς ἀληθείας ἱστάμενα, τῷ χρόνῳ δὲ φωρᾶται τῷ τῆς ἀληθείας θεατριζόμενα φωτὶ καὶ ὑπ' αὐτῶν ἐλεγχόμενα τῶν πραγμάτων, τοῖς οἰκείοις πτεροῖς ἁλίσκεταί τε καὶ ἑαυτοῖς περιπίπτει. Μηδὲ γὰρ μηδενὸς διώκοντος ἄλλου, ὑφ' ἑαυτῶν αὐτοὶ διώκονται μόνοι, καὶ πάσχουσιν οἷχοθεν ἅπερ ἔδρων κατὰ τῶν εὐσεβούντων αὐτοί, τῆς θείας κατὰ βραχὺ καὶ λεληθότως δίκης

A per breve tempus et tenebræ occultæ erant multitudini et veritati prorsus repugnantes. Nemine enim persequente, a semetipsis affliguntur soli, et ea omnino patiuntur, quibus ipsi homines pios affecerant. Quæ enim aliquandiu suppressa erat justitia divina, nunc agressa eos pressit corybantibusque pejores reddidit. **236** Nam præter eos ipsos etiam plures alii similia passi erant, et fulguritorum instar et divina quadam insania capti quid faciendum sit nesciunt, sed homines impii et exsecrati in potorum furentiumque modum contra semet ipsi bacchantes et insanientes, novam quamdam et miram sequuntur rationem.

[f. 122 v.] μετερχομένης καὶ ἐλαυνούσης αὐτοὺς καὶ τῶν κορυβαντιώντων χείρους ποιούσης. Πρὸς γὰρ αὐτοῖς καὶ πλείους αὐτῶν ἕτεροι τὰ ὅμοια ἐπεπόνθεσαν, καὶ ὡς ἐμβρόντητοί τινες καὶ θειλάτῳ μανίᾳ τινὶ πληγέντες οὐκ ἴσασιν ὅ τι δρῷεν, ἀλλὰ περινοστοῦσιν οἱ δυσσεβεῖς καὶ ἐξάγιστοι μεθυόντων ἢ μαινομένων δίκην, καθ' ἑαυτῶν βακχεύοντές τε καὶ οἱστρηλατούμενοι καινόν τινα καὶ τερατώδη τρόπον.

Ϛ'. Ἐγὼ δὲ, μηδαμῇ τοῦ καιροῦ συγχωροῦντός μοι τοῖς ὁμοίοις ἐνδιατρίβειν ἐς τὸ παρὸν ἀφηγήμασιν, ἐφ' ἕτερα τρέψομαι, πλατυτέραν ἐκείνης ταμιευσάμενος τὴν ἀφήγησιν ὡς εἰκὸς προτιών. Ἄρτι γὰρ περὶ τροπὰς θερινὰς τοῦ ἡλίου ἐληλυθότος, ἕνδεκα ναυσὶν ἐκ Βυζαντίων λιμένων ὁ βασιλεὺς ἀναχθεὶς Καντακουζηνὸς ἑβδομαῖος ἐς Τένεδον ἀφικνεῖται, πολεμησείων ἐκεῖ τῷ γαμβρῷ Παλαιολόγῳ· ἤλπιζε γὰρ δυοῖν θάτερον, ἢ προδοσίᾳ τῶν ἔνδοθεν ἢ τῇ ἔξωθεν ῥάχῃ ἀφυλάκτοις ἐκ τοῦ αἰφνιδίου ἐπεισπεσὼν, αὐτόν τε ἅμα καὶ τὸ τῆς Τενέδου καταλήψεσθαι φρούριον, καὶ ἀντ' αὐτοῦ τὸν υἱὸν αὐτόθι καταλείψειν Ματθαῖον, τῷ πατρὶ τηνικαῦτα συμπλέοντα ὁμοῦ τῇ συζύγῳ. Ἐπεὶ δὲ τῷ λιμένι τῶν Τενεδίων τὸν εἴσπλουν προαισθομένων ἐξ ἐφόδου πρήσασθαι ἥκιστα ἔσχεν, ἐπὶ θάτερα λοιπὸν τῆς νήσου παραπλεύσας πάσαις μὲν τῇ γῇ ταῖς ναυσὶν ἀποβῆναι προσσχόντας ἥκιστα ἔκρινε δέον, δέει τοῦ μὴ τῷ πλείστῳ μέρει κενωθείσας τὰς ναῦς τῷ Παλαιολόγῳ τὴν γνώμην προστεθειμένας, ζημιωθῆναι μὴ μόνον τὸν ἅπαντα στόλον μεθ' ὧν ἄφικοντο σκευμάτων τε καὶ βουλευμάτων, ἀλλὰ καὶ σφῶν αὐτῶν αὐτοὺς γενέσθαι προδότας ἀπονητὶ τοῖς ἐχθροῖς. Διὸ δὴ καὶ τέτταρσι μόναις ἐπέτρεψαν τὴν ἀπόβασιν, αἷς ἐθάῤῥουν τὰ μάλιστα. Καὶ τοίνυν τῆς ἀποβάσεως γινομένης ἤδη καὶ ἡτοιμασμένων οἳ μὲν ἐπετέτακτο πῦρ τοῖς τῶν ἀσταχύων ἐκεῖναι ὁράγμασιν, οἳ δ' ἐκριζοῦν τὰς ἀμπέλους, οἳ δ' ἀγώγιμον ἐκ τῆς νήσου τὸ ὕδωρ ἐς τὰς ναῦς κομίζειν, εὐθὺς ἐξεπῄδα τῆς Τενεδίας ὁπλίσεως τὸ ἐῤῥωμενέστερον ἐκ τῶν τοῦ φρουρίου πυλῶν, πεζοί τε καὶ ἱππεῖς, καὶ μάχην στερῤῥὰν παρὰ τὸν αἰγιαλὸν συστησάμενοι οὐδ' ὑδρεύσασθαι τοὺς ναυτικοὺς εἴασαν, ἀλλ' ἠνάγκασαν ἐν βραχεῖ τὰ πρυμνήσια τεμόντας ἀποπλεῖν. Ὅθεν δὴ καὶ μικρὸν ἀποστάντες τῆς γῆς οἱ Βυζάντιοι τὰς ναῦς ἀνεκώχευον, τῇ δ' ὑστεραίᾳ τὰς ἀγκύρας [f. 123 r.] ἀναλαβόντες τριταῖοι ἐς Ἴμβρον τὴν νῆσον κατέπλευσαν, πολεμίαν ἡγούμενοι καὶ αὐτήν. Κἀνταῦθα τὰ ὅμοια δράσαντές τε καὶ παθόντες πλήρασι κώπαις κἀκεῖθεν ἀπῆσαν εἰς Αἶνον τὴν πόλιν, Καντακουζηνῷ προσκειμένην. Ἔνθα δὴ Ματθαῖον τὸν νέον βασιλέα καταλιπόντες σὺν τῇ συζύγῳ τάχιστα ἐπανῆκον δέκα ναυσὶν εἰς Βυζάντιον· τῆς γὰρ μιᾶς τὸ πλήρωμα

B VI. Equidem cum in rebus similibus morari propter temporis rationem minime liceat, nunc narratione ad alia versa, prolixior absit ne expositione, uti decet, pergam. Ipso igitur solstitio æstivo undecim navibus vectus e portu Byzantio Cantacuzenus imp., die septimo Tenedum pervenit cum Palæologo affini ibi dimicaturus. Sperabat enim fore alterutrum, ut aut incolarum proditione aut pugna extra commissa in viros custodia destitutos subito incidens ipsum simulque Tenedi præsidium caperet, et pro se filium ibi relinqueret Matthæum, qui una cum uxore eo tempore comitabatur patrem. Postquam autem non potuit statim attingere portum Tenediorum quippe rei non ignarorum : veriti ne naves maximam partem evacuatæ Palæologo opC nionem moverent, qua non solum tota expeditio in consiliis et rationibus sit decepta, **237** sed se ipsos sui ipsius proditores nulla dedita opera factos esse inimicis. Cum vero decessus parabatur aliique se accingebant manipulis spicarum jussi immittere ignem, alii exstirpare vites, alii aquam viatoriam ex insula in naves portare, subito fortissima præsidii Tenediensis pars erupit ex urbis portis pedites et equites, pugna atrox ad litus conflata est, nautæ non patiebantur aquam haurire, sed puppibus desectis eos reverti cogebant. Quam ob rem paululum a terra remoti Byzantini naves sistebant ; insequenti die solutis ancoris, tertio die ad Imbrum insulam appellebant, quam etiam sibi infestam credebant. Ibique similia et egerunt et passi sunt, et abierunt Ænum, oppidum Cantacuzeno amicum. Inde Matthæo novo rege relicto una cum uxore celerrime cum decem navibus Byzantium perveniebant ; unius enim præsidium in duobus itineribus ad Tenedum et Imbrum factis ad Palæologum regem descivisse dicitur.

φασιν ἐν δυσὶν ἀποβάσεσιν, αἷς πρὸς Τένεδόν τε καὶ Ἴμβρον πεποίηνται, πρὸς Παλαιολόγον ηὐτομοληκέναι τὸν βασιλέα.

VII. Equidem, quod debebam paulo ante narrare ibi cessavi, veritus ne animum tuum perturbarem; nunc autem amicorum et commilitonum **238** tuorum jussum exsequar. Eulogia enim, quæ tunc erat regina cognomenque justum invita et verbis et factis nacta erat, cum propter divina Ecclesiæ præcepta calamitates multas et persecutiones varias infortuniique impetus subiisset et in senectute præter alia in multos incidisset morbos, ita igitur et brevi tempore corpore ejus consumpto ad sempiternam illam et beatam vitam assurrexit. Nunc igitur amici te invocant, ut epitaphiis illa ornetur, cum et multi morbi eorum qui ejus tumulum visitant aperte celerrimeque propulsantur. Hoc enim modo Deus improbat insectatorum insaniam et improbitatem. Scis enim plane, quam gloriam et nominis sui famam Andronici regis filii uxor assecuta sit, et vix duos matrimonii annos cum eo vita fruita, morte punita sit et vestimento contrito induta omnes divitias tribuerit bello captis aliisque pauperibus; præter id, quantum ad ornandum magnificum divinumque phrontisterium præstiterit; quod magis virtutis causa fecit quam ornamenti. Maximis enim et magnificis sumptibus id construxit plures quam centum sanctimoniales piis ibi exercitiis vacaturas collocabat; præibat enim benevola mente in iis omnibus, **239** quæ necessaria erant tanquam domina; in cæterarum servarum illarum modum ipsa auxiliabatur, usque in culinam et si quid sordidius etiam erat, et in universum cujusque virtutis et candidæ vitæ se proposuit exemplum, septuagesimum fere agens annum. Et quid opus est tibi plura exponere, cum cæteris melius illius mores noveris? Nam sæpius te audire memini, quæ in illa fuerint pulchra exponentem et inflammantem auditores protinus ad amorem bonæ vitæ, quia acri erat mente femina et loquens et tacens stimulo semper iis qui aderant, et magnum et invictum vitæ monasticæ exemplum et sanctimoniæ aerem penetranti habitus quam firmus est et æneus, cujusque spiritualis educationis certa norma et justitiæ statera accurata. Nec non velocibus et fortibus animi motibus sanæ aderant rationes, neque manus nemini omnium neque lingua cernebatur officiosa, sed in ipso animo summa ope evertebat radices ante earum incrementa. Otii autem horas in libris sanctis legendis consumebat; indeque **240** magnam variamque impetravit experientiam, et divinis Ecclesiæ præceptis opportuno tempore aderat commilito fortissimus, et sacerdotum veritati linguam dicans indefessam labiorum arcem custodem constituit. Et tu ipse plura diceres et exponeres lingua uberiore et libris admodum decenter scriptis. Nunc tibi nonnullas ex rebus externis quæ sunt nuntiatæ exponam, quibus rebus ingratis præsens tempus aures nostras implevit.

Ζ'. Ἐγὼ δ' ὁ μικρῷ πρόσθεν ἐχρῆν ἀφηγήσασθαι βουληθεὶς εἶτα ἐπέσχον, τὴν σὴν λυπῆσαι ψυχὴν φυλαττόμενος, λέξων ἔρχομαι νῦν, τὰς τῶν φίλων καὶ συνάθλων τῶν σῶν δυσωπούμενος ἐντολάς. Εὐλογία γὰρ ἡ τῷ ὄντι βασίλισσα, καὶ τὰς ἐπωνυμίας συμφώνους τῷ βίῳ λόγοις ἅμα κτησαμένη καὶ ἔργοις, πολλοὺς ὑπὲρ τῶν θείων δογμάτων τῆς Ἐκκλησίας θορύβους καὶ διωγμοὺς καὶ ποικίλας ἐπαγωγὰς συμφορῶν ὑποστᾶσα, καὶ πρὸς οἷς εἶχεν ὁμοῦ τῷ γήρᾳ νοσήμασιν ἄλλοις πρότερον καὶ πλείοσιν ἔτι περιπεπτωκυῖα, καὶ τελέως οὕτω καὶ κατὰ βραχὺ τὸ σῶμα δαπανηθεῖσα, πρὸς τὴν ἀΐδιον ἐκείνην τέως μετέστη μακαριότητα. Νῦν οὖν σε παρακαλοῦσιν οἱ φίλοι λόγοις ἐπιταφίοις ἐκείνην κοσμῆσαι, ἐπεὶ καὶ πολλὰ προφανῶς τῶν τῷ ἐκείνης προσιόντων τάφῳ νοσήματα τὴν ταχίστην ἐλαύνονται, τοῦ Θεοῦ κἀντεῦθεν ἐλέγχοντος τὴν τῶν διωκόντων ἀπόνοιαν καὶ ἀσέβειαν. Οἶσθα δὲ καὶ ἄλλως ὡς μετὰ χρόνον που ἐξκαιδέκατον τῷ Ἀνδρονίκου τοῦ βασιλέως ἐκείνου υἱῷ συζυγεῖσα μετὰ πολλῆς τῆς εὐκλείας καὶ δόξης, καὶ μόλις που δύο μόνους ἐνιαυτοὺς ἐκείνῳ τοῦ βίου συναπολελαυκυῖα, θανάτῳ τε τοῦτον εὐθὺς ἐζημίωται καὶ ἅμα τριβώνιον ὑποδῦσα τὸν ἅπαντα πλοῦτον διένειμε αἰχμαλώτοις καὶ πένησιν ἄλλοις, πλὴν ἢ ὅσον εἰς τὴν πολυτελῆ τοῦ θείου φροντιστηρίου κατασκευὴν ἐκείνου κεκένωκεν, ὃ περιβόητον μᾶλλον εἰς ἀρετὴν κατεστήσατο ἢ πρὸς κατασκευήν. Δαψιλέσι μὲν γὰρ καὶ πολυτελέσι δαπάναις ᾠκοδομήσατο, πλείους δὲ τῶν ἑκατὸν μοναζούσας κατ' ἐκλογὴν ἐνασκεῖσθαι συνήθροισε τούτῳ σεμνῶς. Ἀλλ' αὐταῖς καὶ αὐτὴ συνδιηκονεῖτό τε καὶ ἀμφεπονεῖτο, χορηγοῦσα μὲν ἀφθόνῳ γνώμῃ τὰ κατὰ χρείαν διηνεκῶς ὡς κυρία, συναιρομένη δ' ἐξ ἐφημερίας καὶ αὐτὴ τὸν πάσαις ἐκείναις ἀνάλογον [f. 123 v.] τρόπον ὥσπερ ὁμόδουλος, ἄχρι τῶν ὀπτανείων καὶ εἴ τι τῶν χυδαιοτέρων ἐτύγχανεν ὄν, καὶ συλλήβδην εἰπεῖν, ἀρχέτυπον ἀρετῆς ἁπάσης ἁπάσαις ἑαυτὴν προτιθεῖσα καὶ βίου σεμνοῦ μέχρι καὶ ἐς δεῦρο διήρκεσεν, ἑβδομηκοστὸν ἐγγύς που τῆς ἡλικίας ἄγουσα χρόνον. Καὶ τί χρὴ πλείω διεξιέναι πρὸς σὲ πλέον τῶν ἄλλων τὰ ἐκείνης εἰδότα; Μέμνημαι γὰρ καὶ πολλάκις σοῦ γε ἀκηκοὼς ἔστιν ἃ τῶν ἐκείνης ἀφηγουμένου καλῶν, καὶ ἐρεθίζοντος ἴσως εἰς ἕξιν ἀσκήσεως ἀγαθῆς τοὺς ἀκούοντας, ὡς βαθεῖάν τε ἐκέκτητο σύνεσιν ἡ γυνὴ, καὶ σιωπῶσα καὶ φθεγγομένη παραίνεσις ἦν ἀεὶ τοῖς συνοῦσι, καὶ μέγα καὶ ἀπαράμιλλον τοῦ μοναδικοῦ παράδειγμα βίου, καὶ οἷον αἰθεροδρομούσης σεμνότητος ἦθος αὐτοφυές τε καὶ αὐτοχάλκευτον, ἁπάσης τε πνευματικῆς παιδείας κανὼν ἀκριβὴς καὶ δικαιοσύνη; ζυγὸς ἀῤῥέπης. Ἔτι δὲ θυμοῦ κινήσεσιν ὀξυῤῥόποις καὶ αὐτονόμοις, καὶ εἰ τὰς αἰτίας εὐλόγου; ἐκέκτητο, οὔτε χεὶρ αὐτῇ ποτ' ὤφθη τῶν πάντων οὐδέσιν, οὔτε γλῶττα διακονήσασα προπετὴς, ἀλλ' ἐν αὐτοῖς εὐθὺς ἀναιροῦσα τοῖς λογισμοῖς διετέλει τὰς ῥίζας ἐντὸς πρὸ τῆς βλάστης. Τόν γε μὴν τῆς ἀργίας καιρὸν βίβλων ἱερῶν παρεῖχεν ἀεὶ ἀναγνώσεσι, καὶ πεῖραν ἐντεῦθεν ὑψηλῆς θεωρίας συνῆγε μακρὰν καὶ ποικί-

λην, ὁπόση τοῖς θείοις τῆς Ἐκκλησίας δόγμασι καιροῦ καλοῦντος ἐγένετό οἱ σύμμαχος κράτιστος. Ὥσπερ δ' αὖ ἱερωσύνῃ τῇ ἀληθείᾳ τὴν γλῶτταν τιμήσασα, ἀκάματον τὴν τῶν χειλέων ἀκρόπολιν ἔστησε φύλακα, ὡς μὴ λάθοι προκύψας ὀψέ ποτε λόγος μάλα μέν τις ἐπαγγελτικὸς, οὐ μάλα δέ τις τελεσιουργὸς καὶ ὠφέλιμος. Καὶ τὰ πλείω λέγοις ἂν αὐτὸς καὶ ἀφηγοῖο πλατυτέρᾳ γλώττῃ τε καὶ βίβλοις μάλα γέ τι σφόδρα ἁρμοττούσαις. Νῦν δέ σοι καὶ περὶ τῶν ἔξωθεν ἀπαγγελλομένων ἕνια διηγήσομαι, ὧν καὶ ὁ παρὼν τὰς ἡμῶν ἀκοὰς ἐνέπλησε χρόνος τῶν δυσχερῶν.

Η'. Φήμη γὰρ ἀφίκετο πρότριτα ἐς Βυζάντιον ἐκ A τῶν ἔωθεν ἐπιδημησάντων Ἀντιοχέων, ὡς ὁρμῇ δαιμονίᾳ τενὶ συσχεθεὶς ὁ τῆς Αἰγύπτου καὶ Ἀραβίας δεσπότης, ὁπόσοι Χριστιανῶν οἰκοῦσι τὴν γῆν ἐκείνην, ἐξήνεγκε δόγμα πάντας ἡβηδὸν ἀνελεῖν, εἰ μὴ ἐς τὴν τῶν Ἀράβων θρησκείαν τὸ σέβας καὶ αὐτοὶ μετατεθεῖεν, μηδὲ γὰρ εἶναι λέγων εἰκὸς ὑπὸ τὴν ἐμὴν ἐξουσίαν τελοῦντας τὴν ἐμὴν φαυλίζειν θρησκείαν. Ἐνστάντων οὖν ἐκεῖ τηνικαῦτα παμπόλλων ὑπὲρ τῆς εὐσεβείας ἐρρωμένως καὶ σὺν ζεούσῃ τῇ προθυμίᾳ, γέγονε φόνος πολὺς, ὡς φανῆναι [f. 124 r.] τὸ πλῆθος τῶν ἀναιρεθέντων ὑπὲρ δισμυρίους, ἁρξαμένου μὲν ἐκ Παλαιστίνης πρῶτον τοῦ δεινοῦ, εἶτα διαβάντος Κοίλην Συρίαν καὶ Φοινίκην πᾶσαν, καὶ ὅσαι τὴν Δαμασκὸν ἀστυγείτονες περιχορεύουσι πόλεις καὶ κῶμαι μέχρι Τύρου καὶ Σιδῶνος, καὶ ὅση τὸ B ὄρος τὸν Κάρμηλον περικλύζει θάλασσα. Ἐν μεταμέλῳ δ' αὖ τοῦ προστάξαντος γεγονότος πέπαυται τὸ δεινόν.

VIII. Fama enim nudiustertius Byzantium pervenit ab Antiochenis ad ortum solis habitantibus, diabolico quodam afflatu abreptum Ægypti et Arabiæ dominum edidisse præceptum, ut, quotquot Christiani illam terram habitent, omnes pubescentes tollerentur, nisi suam cum Arabum religione mutarent. Dixit enim, non decere eos, qui imperio meo pareant, religionem meam contemnere. Cum igitur permulti resisterent pro religione fortiter et cum animo bellicoso, multa cædes facta est, ita ut numerus interfectorum superaret viginti millia. Postquam in Palæstina primum inceperat persecutio, perrexit per Cœlesyriam et Phœniciam totam et quot vicinæ urbes et pagi Damascum circumdant usque ad Tyrum et Sidonem, et quantum mare Carmelum montem alluit. Cum tyrannum rei ipsius pœniteret, terror desiit.

Θ'. Ταῦτα καὶ πλείω πρὸς τούτοις ἕτερα ὑπειπὼν ὁ καλὸς Ἀγαθάγγελος ᾤχετο ἀπιὼν περὶ μέσας που νύκτας, αὖθις τοὺς ἡμετέρους δημίους λαθὼν καὶ τοὺς θηριώδεις φύλακας, μόνον ἐμὲ καταλελοιπὼς τῇ στενῇ καὶ δεινῇ συνήθως ἐκείνῃ διαίτῃ χρώμενον.

**241** IX. Postquam hæc et insuper multa alia dixisset, discessit bonus Agathangelus media fere nocte, fallens iterum lictores nostros sævosque custodes, me solum relinquens, qui angusta et terribili vita ut semper vexabar.

Ι'. Ἄρτι δὲ τοῦ μὲν ἐφεστηκότος λήξαντος ἔτους, τοῦ δὲ ἕξης ἐνδημήσαντος, τὰ Ῥωμαίων ἐνόσει τοῦ εἰωθότος ἐπέκεινα πράγματα διά τε τὴν εἰωθυῖαν Περσῶν ἐπικράτειαν, ἣν ἤδη Καντακουζηνοῦ προδιδόντος ἄχρι πυλῶν ἐσχήκεσαν Βυζαντίων, ὡς οἰκείοις τέως χρώμενοί τε καὶ καταχρώμενοι μὴ πράγμασιν ἅπασι μόνον, ἀλλὰ καὶ γυναῖκας καὶ παῖδας ἀνδράσιν ὁμοῦ πρὸς πᾶν τὸ βουλόμενον ἄγοντές τε καὶ φέροντες, οὐκ ἔξω πόλεων ὡς πρὶν περιθέοντές τε καὶ παραθέοντες, ἀλλ' ἔνδον ἤδη ποιούμενοι τοὺς συνοικισμοὺς, καθ' ὁπόσον καὶ οἷον καὶ ὅπου καὶ ὅτε τὸ τῆς ψυχῆς ὀρεκτικὸν ὑπετίθετο σφίσιν ἐπιτροπεύοντες καὶ δεσποτικῶς ἐπιτάττοντες.

X. Ubi autem præsentem annum excipiebat insequens, res Romanorum ultra consuetudinem ægrotabant et propter consuetum Persarum imperium, quod jam per Cantacuzenum proditorem obtinebant usque ad portas Byzantii, ut propriis utentes et abutentes non solum rebus cunctis, sed etiam mulieres et infantes una cum viris ad quidlibet cogentes et ducentes, non extra urbes ut antea currentes et prætercurrentes, sed intus jam colonias instituentes quantum et qualiter et ubi et quando animus suadebat regentes imperioseque gubernantes.

ΙΑ'. Ἤδη δὲ τοῦ φθινοπώρου λήγοντος, περί που τὰ μέσα μιᾶς τῶν νυκτῶν ἀκοή τις αἰφνίδιος τὸ Βυζάντιον περιήχησεν ἅπαν, εἶναι τείχους ἐντὸς βασιλέα Παλαιολόγον τὸν νέον, συμμαχίας πάσης ἀλλοφύλου χωρὶς ἀφιγμένον τριταῖον ἐκ Τενέδου τῆς νήσου, μηδενὸς αἰσθομένου τὸν εἴσπλουν, μεγίσταις D μὲν τριήρεσι δυοῖν, μονήρεσι δ' ἑκκαίδεκα διὰ τοῦ πρὸς ἕω λιμένος καὶ νεωρίου εἰσελάσαντα, ὧν αἱ μὲν οἴκοθεν ἦσαν αὐτῷ προνεναυπηγημέναι, αἱ δ' ἐκ Τενέδου τε καὶ Λέσβου καὶ Λήμνου κατὰ μέρος ἠθροισμέναι, καὶ εἴ τινες εἶεν αὐτόνομον διαιτώμενοι βίον, ὅγε μὴν Καντακουζηνὸς ἐν ἀκοῇ τοῦ γεγενημένου γενόμενος ἔξω μὲν τῶν βασιλείων οὐδαμῇ ἐξεληλυθέναι ἐγνώκει, δείσας τὴν τῶν Βυ-

XI. Brumali tempore jam desinente media nocte fama subitanea Byzantium urbem replevit, intra muros jam esse juniorem Palæologum imperatorem, qui cum auxilio populi externi tertio die ex Tenedo insula venisset, itinere ipso plane occulto, duobus permagnis biremibus atque sedecim uniremibus per portum solis ortum versus situm et per navalia vectus est, quarum navium aliæ domi erant constructæ, aliæ **242** ex Tenedo et Lesbo et Lemno ex parte conductæ; et si qui liberam vitam agebant. Cantacuzenus, postquam quæ facta erant audiit, e regia exire plane nolebat, Byzantinorum extimescens impetum, qui antea magnopere sibi irascerentur et propter ea, quæ antea

dixi, et quia patrias religionis leges contempsisset, simulque Romanorum relictorum libertatem abolevit, ipsosque in servitium tradidit barbaris hostibusque hæreticis. Misit enim non admodum voluntarios e regia et convocavit senatus principes, eorum ut consilio uteretur inter Catelanos diu jam cum eo habitantes numero centum, si cum armis pugnans adiret regios muros Palæologus imp., neve illi potius contra eum auxiliari cogerentur liberi. Sed Deo non opitulante omnia sunt pessumdata; insequenti enim die Byzantini cum eo fortiter urbem obsident. Et priusquam duo toti dies præterierunt, sarmentis multis incendentes eam, quæ ad Blachernense templum sacrum ducit portam apertam inferioris palatii, effuso impetu incurrebant, et Castellum quod dicunt expugnatum diripiebant ut libuit. His ita gestis cum in regia mola prorsus nulla esset, farina triticea et panis propter calamitatem **243** inopinato ingruentem non suppetebant, neque is qui per singulos dies necessarius erat sumptus, et simul murmur et quas intus sibi invicem fecerunt callidi illi viri insusurrationes et Cantacuzeno factæ criminationes magnam movebant seditionem, cogebant fœdus cum Palæologo imp. prius inire, quam res ferre crudelissimas. Cum igitur paucis diebus res illæ ita essent constitutæ, et fœdere ut penes utrumque esset imperium sanxissent, sine suspicione sese invicem adibant consuetudinemque contraxerunt intra et extra regiam; quamobrem perturbatio et tumultus movebantur admodum insidiosus semper Byzantinis, qui conviciis persequebantur ipsum Cantacuzenum, qui eum adorti essent atque minabantur, se suos gladios ad ipsum interficiendum esse tincturos, nisi celerrime vestes regias cum habitu monastico mutaret. Indeque post non multos dies reliquit noctu palatium, monachi veste indutus, una cum uxore, ipse Joasaph cognominatus, illa autem Eugenia. Ipse in Manganorum monasterium refugiebat, illa autem in id quod Marthæ dicitur. Sequebantur eos non solum ea omnia quæ ad vitam sustentandam necessaria sunt, sed etiam quæcunque in **244** regio ærario reposita erant divitiæ faciles portatu, Palæologo imp. ipsorum saluti prospiciente.

A ζαντίων ὁρμὴν, ἠρεθισμένων πάλαι σφοδρῶς κατ' αὐτοῦ, τά τε ἄλλα ὁπόσα πολλάκις ἔφθην εἰπὼν, καὶ ὅτι τούς τε τῆς εὐσεβείας πατρίους καταπεπάτηκε νόμους, καὶ τὴν τῶν ἐναπολειφθέντων ἅμα Ῥωμαίων ἐλευθερίαν ἀφελόμενος δουλεύειν αὐτοὺς ἐδεδώκει βαρβάροις καὶ ἀσεβέσιν ἐχθροῖς. Πέμψας δ' οὖν τὴν ταχίστην ἐντὸς βασιλείων [f. 124 v.] οὐ μάλα ἐκόντας ἀθροίζει τοὺς τῆς συγκλήτου προὔχοντας, ἵνα τε συμμάχοις χρῷτο καὶ αὐτοῖς μετὰ τῶν ἐκ πολλοῦ συνοικούντων αὐτῷ Κατελάνων, εἰς ἑκατὸν ἀνηγμένων τὸν ἀριθμὸν, ὁπότε ἐπίοι σὺν ὅπλοις πολεμησείων κύκλῳ τὰ βασίλεια τείχη Παλαιολόγος; ὁ βασιλεὺς, καὶ ἵνα μὴ ἐκείνῳ μᾶλλον κατ' αὐτοῦ συμμαχεῖν ἀναγκασθῶσιν ἐλεύθεροι ὄντες. Ἀλλὰ τοῦ Θεοῦ μὴ συναιρομένου τὰ πάντα ἀντέστραπται. Τῇ γὰρ ὑστεραίᾳ περιστρατοπεδεύσαντες ἅμα αὐτῷ πάντες B Βυζάντιοι ἐρρωμένως ἐπολιόρκουν. Καὶ πρὶν ὅλας δύο παρελθεῖν ἡμέρας, φρυγάνοις πολλοῖς πυρπολήσαντες τὴν πρὸς τὸν ἐν Βλαχέρναις θεῖον νεὼν ἀνοιγομένην πύλην τοῦ κάτω παλατίου, εἰσερρύησαν ἀσχέτῳ ῥύμῃ, καὶ τὸ Καστέλιον οὕτω λεγόμενον ἐξηνδραποδίσαντό τε καὶ διενείμαντο κατὰ σφᾶς ὡς ἐβούλοντο. Τούτου δ' οὕτω συνενεχθέντος, ἐπειδὴ βασιλείων ἐντὸς μύλος μὲν ἥκιστα ἦν, ἄλευρα δὲ καὶ ἄρτοι διὰ τὸ τῆς συμφορᾶς ἀδόκητον οὐ προφκονόμηντο, ἥ τε καθ' ἡμέραν δαπάνη τοῦ πλήθους ἐνδοθεν ἀπαραίτητον τὴν χορηγίαν ἀπῄτει, καὶ ἅμα ὁ γογγυσμὸς καὶ οἱ πρὸς ἀλλήλους ψιθυρισμοὶ τῶν ἐντὸς πολυτράπων ἐκείνων ἀνδρῶν καὶ αἱ κατὰ τοῦ Καντακουζηνοῦ λοιδορίαι πολλὴν ὠδινον τὴν κατ' C αὐτοῦ κίνησιν, εἰς ἀνάγκας ἤλασαν σπείσασθαι τῷ γαμβρῷ καὶ βασιλεῖ Παλαιολόγῳ, πρὶν ἢ παθεῖν τὰ ἀνήκεστα. Βραχέων οὖν ἐντὸς ἡμερῶν οὐτωσὶ τῶν πραγμάτων ἐκείνων συνελαθέντων καὶ τῶν σπονδῶν ἐπὶ τῷ βασιλεύειν ἄμφω γεγενημένων, ἀνυπόπτως ἤδη προσῄεσαν καὶ ὡμίλουν ἀλλήλοις τῶν βασιλείων οἴκων ἔνδον ἅμα καὶ ἔξω· διὸ καὶ σύγχυσίς τε καὶ θόρυβος ἠγείρετο σφόδρα ἄσημος κατὰ τὸ συνεχὲς πρὸς Βυζαντίων κατὰ πρόσωπόν τε καὶ ἀναιδῶς λοιδορούντων αὐτὸν Καντακουζηνὸν καὶ ἐπιπηδώντων αὐτῷ, καὶ ἐν ἐπαγγελίαις ὄντων κατὰ τῆς αὐτοῦ σφαγῆς τὰ ἴδια βάπτειν ξίφη, εἰ μὴ τὴν ταχίστην πρὸς τὸ μοναδικὸν τὴν βασίλειον ἀμείψῃ στολήν. Ἔνθεν τοι καὶ μετ' οὐ πολλὰς τὰς ἡμέρας ἐξῄει τοῦ D παλατίου, τὸ μοναδικὸν ἠμφιεσμένος σχῆμα, ξὺν γε τῇ ὁμοζύγῳ νυκτὸς, αὐτὸς μὲν Ἰωάσαφ μετονομασθείς, ἡ δ' Εὐγενία, καὶ ὁ μὲν εἰς τὴν τῶν Μαγγάνων μονὴν μετοικήσας, ἡ δ' εἰς τὴν τῆς Μάρθας οὐτωσὶ κεκλημένην. Εἵπετο δ' αὐτοῖς μὴ μόνον ἅπανθ' ὅσα πρὸς τὸ ζῆν ἀναγκαῖα, ἀλλὰ καὶ ὅσοι τοῖς βασιλικοῖς ταμιείοις ἔτυχε τέως ἠθροισμένος πλοῦτος, καθάπαξ ἅπας συλλήδδην εἰπεῖν ἀγώγιμος σφίσιν εἵπετο καὶ αὐτὸς, Παλαιολόγου τοῦ βασιλέως ἐνδόντος αἰδοῖ τοῦ κήδους.

**XII.** **Sed breviter dicenda sunt quæ contigerunt eo tempore Philotheo patriarchæ, cui Coccino cognomen erat. Est autem oratio paulo altius repetenda iis, quibus audiendi desiderium est, quæ castigatio divina etiam in eum irruerit ad reprehendendam ineptam perniciosamque ostentationem. Res erat hæc. Accidit in monasterio quod Cratæi dicitur, ut sacrum fragmentum a capite usque ad pedes exemplar exhibens membrorum omnium inve-**

[f. 125 r.] ΙΒ'. Ἀλλὰ λεκτέον ἡμῖν ἐνῤῥαχεῖ καὶ ὅσα τηνικαῦτα συμπέπτωκε πατριάρχῃ Φιλοθέῳ τῷ ἐπικεκλημένῳ Κοκκίνῳ· χρὴ γὰρ ἐνταῦθα μικρὸν ἀναδραμόντα τῷ λόγῳ δεῖξαι οἷς ἀκούειν ἔφεσις οἷα καὶ τούτῳ θεόθεν ἐκ τοῦ σχεδὸν ἐνέσκηψε παιδεία πρὸς ἔλεγχον τῆς ἀκαίρου καὶ σφαλερᾶς καυχήσεως. Ἔσχε γὰρ οὑτωσί. Ἐγένετο κατὰ τὴν μονὴν ἡ τοῦ Κρατοῦ ἐπικέκλησται, λείψανον ἱερὸν ἐκ κεφαλῆς ἄχρι ποδῶν ἀνενδεῶς τῶν μελῶν ἁπάντων ἔχον εὐ-

ρῆσθαι πρὸς τῶν ἐκεῖ μοναζουσῶν γυναικῶν. Περὶ οὗ καὶ πολλή τις ἦκμασε τέως ὑπόληψις τοῖς πολλοῖς, Ἀνδρέου τοῦ Κρήτης εἶναι, ὃς οὐκ ὀλίγοις τὴν Ἐκκλησίαν ἐκόσμησεν ἱεροῖς μέλεσι. Τοῦτο γὰρ κατορώρυκται μὲν τῷ ἐδάφει τοῦ θείου ἐκείνου νεώ, ἦν δ' ἀφανείᾳ κεκαλυμμένον ἐκ παλαιοῦ καὶ οὐδενί πω γνώριμον ἄχρι τῆς τῶν νῦν χρονικῶν περιόδων ἡλικίας. Ἄρτι δ' οὐκ οἶδ' ὁπότερον εἰς τοὐμφανὲς ἐληλύθει, εἴτ' ἐξ ἐπιπνοίας τινὸς θειοτέρας, εἴτε τινὸς χρείας ἐναστάσης ὁρύττειν ἐκεῖσε, εἴτ' οὐκ οἶδ' ὁντινα τρόπον ἕτερον. Οὐ γὰρ ὄψεσιν αὐταῖς μοι τετύχηκε γενομένῳ κατὰ τὸν τόπον θεάσασθαι, τοῦ τηνικαῦτα διωγμοῦ καὶ τοῦ τῆς Ἐκκλησίας χειμῶνος ἐκείνου τὰς ἐμὰς ἐγκλείσαντος θύρας, ὡς μηδ' ἐπὶ βραχὺ γοῦν εἰς ἐλεύθερον προκύπτειν ἔχειν ἀέρα πνοῆς ἀκραιφνοῦς. Ἀκοῇ δ' ὅμως ὀλίγῳ ὕστερον παρειληφότι ἕνα καὶ αὐτὸν εἶναί με τῶν εἰδότων συμπέπτωκε, παμπόλλων ἤδη τὸ πρᾶγμα καὶ δημοσίᾳ θρυλλούντων. Διὸ τῶν οὐδὲν οὐδαμῇ γε ἀπεικότων ἔδοξεν, οὐδὲ τοῦ καιροῦ καὶ τῆς χρείας ὡς πρόρρωτάτω, τῇ ἱστορίᾳ καὶ τοῦτό μοι συνυφανθῆναι, ἔλεγχον μὲν κομιδῇ προφανῆ κομίζον θεόθεν κατὰ τῆς τῶν διωκτῶν ἀπονοίας, παντάπασι δ' ἀκίβδηλον τὸ τῶν διωκομένων ἡμῶν ἀποφαῖνον σύστημα.

ΙΓ'. Φιλοθέῳ γὰρ τῷ Κοκκίνῳ τηνικαῦτα πατριαρχεύοντι ἔδοξεν, ὥσπερ ἔρμαιον τὸν καιρὸν ἡρπακότι, μηχανήσασθαί τι πρὸς σύστασιν τῆς σφετέρας αὐτῶν Παλαμικῆς πολυθεΐας. Ἠλήθους οὖν ἠθροισμένου παμπόλλου τῶν ἐν ἀγοραῖς καὶ τριόδοις κλινδουμένων, στὰς ἐφ' ὑψηλοῦ, « Χρεὼν ὑμᾶς, » φησίν, « ὦ ἄνδρες τε καὶ γυναῖκες καὶ τέκνα νήπια, μὴ θείας ἄνευ προνοίας οἴεσθαι τὴν τοῦ θείου τοῦδε λειψάνου τοῖς ἐνεστῶσι γενέσθαι καιροῖς ἐμφάνειαν, ἀλλ' ἵνα τὸ πλείστοις διὰ τὴν τῶν ἀντιθέτων ἔριν ἀμφισβητήσιμον ἐμφανὲς καὶ σαφὲς καταστῇ, καὶ γνώριμον γένηται πᾶσι πῶς μὲν τὸ πολλάς τινας σέβειν ἡμᾶς ἐνεργείας ἀκτίστους καὶ ἀνουσίους, ἃς καὶ θεότητας ἀνουσιοθρεμμένας τῆς θείας καλοῦμεν οὐσίας καὶ διαφόρους αὐτῆς τε καὶ ἀλλήλων, ἀκίβδηλόν τέ ἐστι καὶ εὐσεβές, ἡ δὲ τῶν ἀντιθέτων καθ' ἡμῶν λοιδορία μάταιος καὶ κατεγνωσμένη. Ἔστιμὲν οὖν κἀντεῦθεν οὐκ ἄδηλον τὸ τῆς θείας ψήφου καὶ τῆς αὐτῶν κατακρίσεως· αὐτοὶ μὲν γὰρ ἐν παραβύστῳ καὶ γωνίαις ἐρριμμένοι πάσης ἀξίων ὕβρεως ἀνύουσι [f. 125 v.] βίον καὶ λίαν ἠχρειωμένον, ἡμῖν δὲ παῤῥησίαν δίδωσιν ὁ Θεὸς, καὶ σεμνύνεσθαι τά τε ἄλλα, καὶ μάλιστα τῇ τοῦ παρόντος διὰ μακρῶν ἤδη τῶν χρονικῶν περιόδων εὑρέσει θείου λειψάνου. » Ταῦτα δὴ καὶ πλείω τὰ παραπλήσια διεξελθὼν, ἐκέλευσε ταῖς μοναζούσαις ὀλίγων ἐντὸς ἡμερῶν τῇ τῷ ἁγίῳ ἐκείνῳ λειψάνῳ ἁρμοττούσῃ ἐνθεῖναι θήκῃ κατὰ τὸν ἐν τοῖς τῆς μονῆς προπυλαίοις προπαρεσκευασμένον οἰκίσκον, κἄπειτα ἐξῆς ἑτοιμάσαι καὶ ὅσα πρὸς ἀπαρτισμὸν ἐνθρονισμοῦ συντελεῖ, βρύσιμά τε πρὸς τούτοις καὶ πόσιμα ὅσα πρὸς ὑποδοχὴν ἀρκέσει τῷ τε τῆς Ἐκκλησίας ἅπαντι κλήρῳ καὶ ὅσοι τῶν ἐπισκόπων καὶ πρεσβυτέρων καὶ λαϊκῶν ἐπείσακτοι ἔσονται, ἅμα αὐτῷ τὴν ἱερουργίαν τε-

niretur a mulieribus, quæ ibi erant monialibus. De qua re magna subinde inter vulgus orta est opinio quæ illa ad Andream Cretensem referebat, qui non paucis sacris reliquiis Ecclesiam ornavit. Infossum erat corpus in fundo sacri illius templi. Erat tenebris involutum ex longo tempore neminique notum usque ad præsentium temporum ætatem. Nescio autem quomodo ad lucem protractum sit, utrum instigatione aliqua divina an ex necessitate ibi fodiendi, an nescio quo alio modo. Non enim mihi contigit, ut meis ipsius oculis locum perlustrarem, persecutione quæ tum fiebat et Ecclesiæ tempestate illa meas claudente portas ita ut ne in breve **245** quidem tempus libera liceret uti aeris respiratione. Fando tamen paulo post cum rem accepissem, accidit ut unus et solus ego ex iis essem, qui quid factum esset tenerent permultis jam rem publice divulgantibus. Quapropter harum rerum ut improbabilium nihil illo modo placuit; neque visum est a temporis ratione et necessitate alienum esse ab historia id perscribere quod et documentum divinitus præberet manifestissimum vecordiæ persecutorum et sinceram omnino nostrarum persecutionum enarrationem exhiberet.

XIII. Philotheus enim Coccinus, tunc temporis patriarcha tanquam idoneam adeptus opportunitatem, operam navavit ad constituendam communem Palamiticum polytheismum. Multitudine igitur magna congregata eorum qui in foro et triviis versantur, stans in loco superiore : « Necesse est, inquit, vos viri, mulieres, infantes, non sine divina providentia credatis factam esse præsenti tempore harum divinarum reliquiarum revelationem, sed ut, quod propter adversariorum disceptationem dubium est, manifestum fiat et planum atque ab omnibus intelligatur quale sit illud quod colimus multas efficientias increatas ac substantiæ expertes, quas alio nomine divinitates dicimus, **246** divinæ substantiæ summissas atque eas quidem cum ab ipsa hac tum inter se esse diversas veritati et pietati consentaneum est. Adversariorum autem in nos conjecta convicia vana sunt et damnanda. Est igitur hinc etiam non obscura suffragatio divina et illorum condemnatio : ipsi enim in occultos locos et angulos dejecti omni dignam exprobratione transigunt vitam ac prorsus inutilem; nobis autem facultatem dedit Deus conceditque ut cum de cæteris rebus tum de hac maxime possimus gloriari, præsentium nempe divinarum reliquiarum post longa jam temporum intervalla inventione. Hæc igitur hisque plura similia locutus solitarias feminas jussit intra paucos dies sacras illas reliquias in fabricatam ad id ipsum cistam imponere in ædicula quæ in atrio monasterii esset exstructa, et tum deinceps etiam parare quidquid ad perficiendam inaugurationem pertineret, cibum præterea ac potum qui ad excipiendum sufficeret totius ecclesiæ clerum, ac episcoporum denique et pro-

sanorum qui forte invitati forent cum ipso sacra facturi. Et hæc quidem ita fere cesserunt. Mox autem in vigiliis dici festi, quo oportebat sacra obire, omnia solitariis illis inde a matutino usque ad vespertinum tempus occupatis, quæ opus erant abunde suppeditabant; sancto autem cuique homini, sanctique hujus Deo unico prorsus improbandum erat ac minime ferendum has res tractatas esse manibus virorum deorum falsorum multitudinem colentium **247** quique ita impietate diuturna et ipsi vehementer constricti et alios ad eam suo exemplo adduocrent. Quocirca etiam nocte illa sub auditum jam gallorum cantum fama quædam clam per urbem serpebat mœnia intrasse Palæologum imperatorem per maritimas navalium portas ad orientem spectantes, celeribus navibus uniremibus et biremibus ex Tenedo et Imbro ac triremi navi una duabus noctibus duobusque diebus ante ex Tenedo navigatione instituta. Tumultus igitur propterea tenebat Byzantinos gaudio et mœrore mistus, et quidquid in talibus accidere solet, aliis ob metum summa trepidatione fugientibus, aliis lucri causa vehementer persequentibus. Omnium vero maxime metus tenebat Philotheum patriarcham, non sane mediocris propterea quod factum illud nec opinato et repente acciderat. Etenim qui heri se jactabat consecrare templum ad firmandam Palamiticam hæresin, irreligiosus hodie visus est et vehementissime profecto Deo et sacerdotio indignus. Quare quoniam non cogitata agere nec rationi convenientia permittunt talia tempora, et præsertim cum etiam divina quædam impellit plaga, exstitit et hic fixa statim cogitatione et arbitratus insuspectum modo esse eum quem in aliis reconditis partibus divinæ Sapientiæ appellant furnum, ubi etiam quo divinum adeuntes baptisma condiri unguento consuetum est, igni præparant quinquennibus spatiis vel etiam pluribus fortasse et minoribus interdum **248** secundum voluntatem et indigentiam aliorum alio tempore constitutorum patriarcharum, hoc tempore fugiens tremebundus qui heri persecutor acerrimus fuerat, in multos dies sese abscondebat, inutiliter conterens et valde detrectans vitam.

XIV. Licet igitur ratiocinando studere assequi quomodo vulgatas heri et nudiustertius superbo more a Philotheo contra justæ fidei homines jactationes et scurrilis linguæ facetias coarguerit non ita multo post Deus justum in judicium vocato eo qui manifestam injuriam nimis jactabat, magis autem etiam jactabat tum, jactabat vero etiam prius quam tum, et jactat continenter sibi ipsi et quotquot circa eum et cum eo versantur Palamæ sectatores. Quis autem sanus præsumet numerare aperta pro iis semper facta divinitus argumenta, ita ut judicium pronum ad conversionem animi sit? Quis non miretur videns constantiam non flectendam ad agnoscendum suum errorem? Et hæc quidem hoc modo gesta sunt.

A λέσοντες. Καὶ ταῦτα μὲν τῇδέ πη κεχώρτκεν· ἄρτι δὲ τῆς ἡμέρας ἑνστάσης ἐν ᾗ τὴν ὑστεραίαν ἔδει τὰ τῆς ἱερουργίας τελεῖσθαι, πάντα μὲν ἦν ταῖς μοναζούσαις ἐκείναις ἕωθεν ἐς ἑσπέραν πονούσαις ἀνενδεᾶ τὰ τῆς χρείας, τῷ δὲ ἁγίῳ καὶ τῷ τοῦ ἁγίου μόνῳ Θεῷ παντάπασιν ἀνένδεκτόν τε καὶ ἥκιστα ἀνεκτὸν ὑπ' ἀνδρῶν πολυθέων καὶ οὕτω δυσσεβείᾳ μακρᾷ αὐτῶν τε κραταιῶς ἐχομένων καὶ ἑτέροις αἰτίων ἀεὶ γινομένων τὴν αὐτουργίαν περᾶχθαι τοῦ προκειμένου. Διὸ καὶ τῆς νυκτὸς ἐκείνης περὶ τὰς ἀλεκτρυόνων ἤδη γενομένης φδὰς, φήμη τις ἠσυχῇ περιέθει τὴν πόλιν, ἔνδον τειχῶν τὸν βασιλέα Παλαιολόγον εἰσκεχωρηκέναι διὰ τῶν θαλαττίων τοῦ νεωρίου πυλῶν τῶν πρὸς ἕω ταχυ-
B ναυτούσαις μονήρεσι καὶ διήρεσιν ἐκ Τενέδου καὶ Ἴμβρου καὶ τριήρει μιᾷ, δυοῖν νυχθημέροιν πρότερον ἐκ Τενέδου τὸν ἔκπλουν πεποιηκότα. Θόρυβος οὖν διὰ τοῦτο κατέσχε τοὺς Βυζαντίους ἡδονῇ καὶ λύπῃ σύμμικτος, καὶ ὅσα ἐν τοῖς τοιούτοις συμβαίνειν εἴωθε, τῶν μὲν διὰ φόβον ἀσχέτως φευγόντων, τῶν δὲ διὰ κέρδος λαμπρῶς διωκόντων. Πάντων δὲ μάλιστα φόβος κατέσχε τὸν πατριάρχην Φιλόθεον οὐ πάνυ μικρὸς διὰ τὸ πάνυ τοῦ συμπτώματος ἀπρόοπτον καὶ αἰφνίδιον· καὶ γὰρ ὁ χθὲς βρενθυόμενος καθιεροῦν τὸν ναὸν εἰς βεβαίωσιν τῆς Παλαμικῆς αἱρέσεως ἀνίερος τήμερον ὤφθη καὶ μάλα τι σφόδρα Θεοῦ καὶ ἱερωσύνης ἀνάξιος. Ὅθεν ἐπεὶ μὴ λελογισμένα πράττειν μηδὲ συνέσει προσήκοντα παρέχουσιν οἱ τοιοῦτοι καιροὶ, καὶ μάλισθ' ὅτε καὶ θεή-
C λατός τις ἐλαύνοι πληγὴ, ἐξέστη καὶ οὗτος τοῦ καθεστῶτος εὐθὺς φρονήματος, καὶ ξυννενοηκὼς ἀνύποπτον μόνον εἶναι τὸν ἐπὶ θάτερα κρυπτῆρα μέρη τῆς τοῦ Θεοῦ σοφίας λεγόμενον φοῦρνον, ἔνθα καὶ ᾧ τοὺς τῷ θείῳ προσιόντας βαπτίσματι χρίεσθαι μύρῳ νενόμισται, ἔψουσιν ἐν πενταετηρικαῖς περιόδοις ἢ καὶ πλείοσιν ἴσως, καὶ ἧττοσιν ἐνίοτε κατὰ τὴν τῶν ἄλλοτ' ἄλλων βούλησιν καὶ χρείαν πατριαρχῶν, ἐν τούτῳ φυγὼν ὑπότρομος [f. 126 r.] καὶ περιδεὴς ὁ χθὲς διωκτης θρασὺς ἐπὶ πολλαῖς ἐκρύπτετο ταῖς ἡμέραις, ἠχρειωμένος καὶ μάλα ἀπαγορεύων τὸ ζῆν.

D ΙΔ'. Ἔξεστιν οὖν συλλογίζεσθαι πῶς τὰ χθὲς καὶ πρώην μετὰ σοβαροῦ τοῦ ἤθους δημοσιευθέντα τῷ Φιλοθέῳ μεγαλαυχήματα κατὰ τῶν ὀρθοδοξούντων καὶ τὰς τῆς βωμολοχούσης γλώττης εὐτραπελίας ἤλεγξεν οὐκ εἰς μακρὰν ὁ Θεὸς, δικαίαν τὴν κρίσιν ἐπενεγκὼν τῷ περιφανῆ τὴν ἀδικίαν εἰς τὸ ὕψος λαλήσαντι, μᾶλλον δὲ λαλήσαντι μὲν καὶ τότε, λαλήσαντι δὲ καὶ πρότερον ἢ τότε καὶ μεθύστερον ἢ τότε, καὶ λαλοῦντι διηνεκῶς αὐτῷ καὶ ὅσοι ἀμφ' αὐτὸν καὶ σὺν αὐτῷ Παλαμισταί. Τίς δ' οὐκ ἂν ἀπείποι βουλόμενος ἀριθμεῖν τοὺς περιφανεῖς κατ' αὐτῶν ἀεὶ γινομένους θεούθεν ἐλέγχους; ὥστε σύνεσιν σχεῖν εἰς ἐπιστροφήν; Τίς δ' οὐκ ἂν ἐκπλαγείη βλέπων τὸ ἀκαμπὲς αὐτῶν καὶ ἀνεπίστροφον εἰς τὸ τὴν σφετέραν συνεῖναι πλάνην; Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον.

ΙΕ'. Τῶν δ' υἱέων Καντακουζηνοῦ Ματθαῖος μὲν ὁ βασιλεὺς διατρίβων ἔτυχε τηνικαῦτα ἐς ὅσα ἐπείκεινα Διδυμοτείχου τε καὶ Ὀρεστιάδος, Μανουὴλ δ' ὁ μετ' ἐκεῖνον, δεσπότης τὸ ἀξίωμα ὤν, ἐς Πελοπόννησον, πέμπτον ἔτος ἤδη τῶν ἐκεῖ Ῥωμαϊκῶν χωρίων καὶ πόλεων τὴν ἐπιτροπὴν διοικῶν. Ὁ δ' ἐπὶ θυγατρὶ γαμβρὸς, Κόντου Κεφαληνίας παῖς, Αἴνου τῆς πόλεως ἦν ἐπίτροπος, καὶ εἴ τι πέριξ ὑπῆρχε χωρίον βαρβαρικῆς ἀθῶον ἔτι καταδρομῆς. Τῶν δὲ γυναικαδέλφων σεβαστοκρατόρων Ἰωάννης μὲν ἔτυχε τῷ Παλαιολόγῳ τέως συνδιαιτώμενος; τῷ βασιλεῖ, τειχῶν Βυζαντίων ἐντὸς, ἄτερος δ' ἦρχε Βιζύης ὁ Μανουὴλ ἐκ πολλοῦ τὴν ἐπιτροπὴν εἰληφὼς πρὸς τοῦ Καντακουζηνεῦ· αἱ λοιπαὶ δ' ὑπέκυψαν Παλαιολόγῳ τῷ βασιλεῖ ὁπόσαι μήπω βαρβάροις προδέδονται πόλεις.

ΙϚ'. Μηνῶν δ' ἐγγὺς δυοῖν μεταξὺ παρερρυηκότων ἦκεν ἐκ Τενέδου καὶ ὁ Κάλλιστος οὕτω λεγόμενος, πατριάρχης μὲν εἶναι συγχωρηθεὶς αὖθις πρὸς Παλαιολόγου τοῦ βασιλέως, ἅτε ἐζηλωκὼς, ὡς ἔδοξεν, ὑπὲρ αὐτοῦ, μὴ στεργόμενος δ' οὖν, εἰ μὴ τὰ κατὰ βούλησιν δρῴη αὐτῷ. Ὁ μὲν γὰρ ἐβούλετο πάντας, συλλήβδην εἰπεῖν, ἐπισκόπους καὶ πρεσβυτέρους τῆς ἐπιχοπικῆς καθελεῖν ἀξίας· βασιλεῖ δ' οὐκ ἦν οὐδ' ὁπωσοῦν ἀνεκτὸν, εἰ μὴ ἀλλήλοις ἀφῶσι τἀγκλήματα, συνιόντες εἰς ἕν. Ὀψέ γε μὴν καὶ σφόδρα μόγις ἡ τοῦ βασιλέως φιλάνθρωπος νενίκηκε βούλησις. Οὐ τελέως μὲν, νενίκηκε δ' οὖν. Τοῖς μὲν γὰρ ἐπισκόποις καὶ ἄκων ὁ Κάλλιστος ἐσπείσατο, τῷ δὲ μετά γε αὐτὸν πατριαρχεύσαντι Κοκκίνῳ τῷ Φιλοθέῳ λεγομένῳ τὸ παράπαν οὐδαμῆ, ἀλλὰ τοὺς αὐτοὺς ἐπισκόπους συνηθροικὼς οἳ τοῦτον μὲν πέρυσι τῆς πατριαρχείας ἐξῶσαν, ἐκεῖνον δ' ἀνθείλοντο, δι' αὐτῶν ἐκείνῳ τὴν ἐπεξέλευσιν εἰργάσατο. Καὶ καθαιρεῖ μὲν αὐτὸν τῆς ἱερωσύνης ὁμοῦ τῇ τῆς ἀξίας ἐλπίδι, ἐπιτίθησι δὲ καὶ ἀφορισθεὶς ὑπ' ἐκείνου πρὶν καὶ αὐτὸς ἀφορισμὸν ἐκ θεοῦ, μοιχόν τε ἀποκαλῶν καὶ λῃστὴν καὶ ἅρπαγα τῆς μηδαμῆ προσηκούσης ἀξίας αὐτῷ. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον.

ΙΖ'. Ἐγὼ δ' ἐπὶ τούτοις τῷ βασιλεῖ προσελήλυθὼς καὶ ἀπειληφὼς ἰδίᾳ, καὶ ὅσα δήπουθεν ἐχρῆν ὡμιληκὼς ὑπὲρ τῶν θείων τῆς Ἐκκλησίας δογμάτων, καὶ τὴν πρὸς τοῦ Καντακουζηνοῦ καὶ Παλαμᾶ καινοτομίαν τῆς εὐσεβείας γεγενημένην ἐκτραγῳδήσας, [f. 126 v.] καὶ προσθεὶς ὡς ταῦτ' ἔστιν ἃ τὴν τοῦ Θεοῦ κεκίνηκεν ὀργὴν κατὰ τοῦ Καντακουζηνοῦ ὡς αἰσχρῶς τῆς βασιλείας ῥιφῆναι καὶ πρὸς τῶν φαυλοτάτων ἐξουδενωθῆναι λαμπρῶς, ἔπειτα παρῄνουν ἀνειληφέναι πεσοῦσαν τὴν πάτριον τῆς τοῦ Θεοῦ Ἐκκλησίας εὐπρέπειαν καὶ πρὸς τὸ ἀρχαῖον ἀναγαγεῖν ἀξίωμα, εἰ μὴ βούλοιτο καὶ αὐτὸς τοῖς ὁμοίοις περιπίπτειν δεινοῖς. Θεοῦ γὰρ δ.δόντος τὴν πατρῴαν αὐτῷ βασιλείαν ἀπονητὶ, χρῆναι καὶ αὐτὸν ἀποδιδόναι τὴν πάτριον εὐσέβειαν τῷ Θεῷ, τοῦ πάνυ τι χαλεποῦ τὸ πάνυ τι ῥᾷστον ἀλλαξάμενον. Ἐντεῦθεν γὰρ ἐξεῖναι τοῦ λοιποῦ συλλήπτορι τῇ ἄνωθεν κεχρῆσθαι δεξιᾷ πρὸς ἅπασαν πρᾶξιν ὁμοῦ καὶ βουλήν. Πρὸς δὴ ταῦτα καὶ τὰ τοιαῦτα βούλη-

XV. Filiorum autem Cantacuzeni Matthæus quidem rex tum forte versabatur in iis regionibus quæ ultra Didymotichum et Orestiadem; Manuel vero qui secundus ab illo erat, tyrannus dignitate, in **249** Peloponneso quinto jam anno Romanorum ibi provinciarum et urbium præfecturam administrabat. Sororis maritus Conti Cephaleniæ filius Æni urbis erat præfectus, et si qua circumcirca erat terra barbarorum adhuc invasione libera. Fratrum-uxoris principis sebastocratorum. Joannes quidem Palæologi regis tum forte consuetudine utebatur intra mœnia Byzantina: alter autem Bizuæ præerat Manuel e longo tempore tutela suscepta a Cantacuzeno. Reliquæ Palæologo imperatori parebant quotquot nondum traditæ barbaris urbes supersunt.

XVI. Mensibus interim duobus fere præterlapsis venit ex Tenedo etiam Callistus, quem appellant, patriarcha constitutus rursus a Palæologo imp., utpote rebus ejus ut videbatur studens, neque tamen ei acceptus nisi ex ejus ageret arbitrio. Hic enim volebat omnes in universum episcopos et sacerdotes episcopali sacerdotio exuere. Imperator consentire noluit, nisi convenientes in unum sibi invicem remitterent crimina. Sero quidem et ægerrime imperatoris humanum vicit consilium, neque omni ex parte, at vicit; episcopis enim vel invitus Calixtus morem gerebat, patriarchæ vero post se creato Philotheo cognomine Coccino prorsus nullo modo. Sed eisdem episcopis convocatis **250** qui hunc antea patriarchatu exuerant, illumque in ejus locum suffecerant, per hos illi pœnam irrogavit, et spoliavit eum sacerdotio simul et spe recuperandæ dignitatis. Addit etiam (excommunicatus ab illo ante et ipse) excommunicationem divinitus factam, mœchum appellans illum et latronem et raptorem ejus qua minime dignus esset potestatis. Atque hæc quidem sic se habebant.

XVII. Ego vero de his rebus imperatorem conveni privatim, et quantum utique opus erat locutus sum de divinis Ecclesiæ dogmatibus, et factam a Cantacuzeno et Palama pietatis immutationem moravi et adjeci qualia hæc sunt quæ Dei moverunt iram in Cantacuzenum, ut turpiter regno expulsus et a pessimis hominibus mirum in modum esset contemptus. Deinde hortabar ut erigeret rursus lapsam paternam divinæ Ecclesiæ auctoritatem et ad pristinam dignitatem revocaret nisi vellet et ipse in eadem incidere pericula. Nam cum Deus paternum ei sine labore dedisset imperium, oportere etiam reddere ipsum Deo avitam pietatem postquam difficillima facillimis mutasset. Hinc enim fieri ut liceret in posterum adjutore uti divino numine ad omnem et actionem et consilium. Ad hæc et similia persuadendi vim **251** habentia sane multam, cum cognossem ego efficacem utique impetum esse minime adeo magnum, labori laborem

iterum addidi et bis deinceps et ter quaterque eum conveniens et ex ante dictis consequentia cum dexteritate studens, rogavi utrum e duobus ei forte perficere placeret. Si minus securitatem, tali otio res darent satis sufficientem, edicto et præcepto efficaciore firmaret parentum et majorum suorum pietatem et in pristinum illum Deo dignum statum restitueret, reficeret autem quæ perniciose post mortem patris irrepsissent noxas et damna nova et a divinis dogmatis abstrahentia animos. Sin autem securitatem nactus idoneam in accuratiorem vocare disquisitionem vellet injuste simul ac violenter illata blasphema et inaudita adhuc a divina Ecclesia, Cantacuzeni et Palamæ scripta me paratum esse simillime ostendere sigillatim nihil illa sanum et salubre inferre, sed natas esse et conflatas ab iis versicolores et multiformes portentosas novationes notionum et syllabarum et verborum, secundum quas novationes sanctorum corradentes sententias corruperunt et mutilarunt, suam illis admiscentes undique simul et ubique perversitatem.

A σιν μὲν ἔχοντα πάνυ πολλὴν ἐγνωκὼς ἐγὼ, ἐμπρακτόν γε μὴν ὁρμὴν ἥκιστα πάνυ πολλὴν, πόνῳ πόνον αὖθις προσεθέμην, καὶ δὶς ἑξῆς καὶ τρὶς καὶ τετράκις αὐτῷ προσιὼν καὶ τὰ τοῖς προρρηθεῖσιν ἀκόλουθα δεξιῶς ὁμιλῶν κατανεῦσαι πεποίηκα δυοῖν ὁπότερον ἕλοιτ' ἂν διαπράξασθαι. Εἰ μὲν οὐ διδόντων ἄδειαν τῇ τοιαύτῃ σχολῇ τῶν πραγμάτων ἔς γε τὸ ἱκανὸν ἀποχρῶσαν, προγράμματι γοῦν καὶ προστάξει δραστικωτέρᾳ βεβαιῶσαι μὲν τὴν τῶν γονέων τε καὶ προγόνων αὐτοῦ γε εὐσέβειαν καὶ ἐς τὴν πρὶν ἐκείνην θεοπρεπῆ κατάστασιν ἀνενεγκεῖν, ἀκυρῶσαι δὲ τὰς μετὰ τελευτὴν τοῦ πατρὸς αὐτοῦ παρεισφθαρείσας κηλῖδας καὶ κῆρας νεοφανεῖς καὶ τοῖς θείοις ἀπορροπαίους δόγμασιν. Εἰ δ' ἀδείας B ἐπειλημμένος τῆς προσηκούσης ἐξετάσει τελεωτέρᾳ βουληθείη διδόναι τὰ τυραννικῶς ὁμοῦ καὶ βιαίως παρεισαχθέντα βλάσφημά τε καὶ νεοφανῆ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ γράμματα πρός τε τοῦ Καντακουζηνοῦ καὶ τοῦ Παλαμᾶ, ἑτοίμως ἔχειν ἐμὲ κατὰ τὸ πάνυ τι ῥᾷστον δεικνύειν καθ' ἕκαστα μηδὲν ὑγιὲς μηδαμῇ ἐπαγόμενα, ἀλλ' ἐκπεφυκέναι καὶ συμπεφύρθαι ποικίλας αὐτοῖς καὶ πολυειδεῖς τὰς τερατομόρφους καινοτομίας τῶν ἐννοιῶν καὶ τῶν συλλαβῶν καὶ τῶν λέξεων καθ' ὁπόσας τῶν ἁγίων ἐρανισάμενοι ῥήσεις παρέφθειράν τε καὶ παρακεκόφασι, τὴν ἑαυτῶν αὐτοῖς ἀναχεραννύντες πανταχόθεν ἅμα καὶ παντάπασι μοχθηρίαν.

XVIII. **252** Hæc et similia postquam dixi et persuasi, clam res allata ad alienas aures et adversarias tam ad invidiam quam ad timorem adduxit minime ferendum; maxime vero perterruit omnium et exasperavit res Cantacuzenum divinæ Ecclesiæ pestem et defensorem omnis pravitatis C ardentem. Qui nimirum etiam veritus, ne nunc, cum nec ipse tyrannus esset, nec præceptor suus adesset Palamas, superarent et effectum haberent ea quæ deliberata erant, clam magno cum studio Hyrcano genero et barbaro in Bithyniam missa pecunia, quæ satis esset ad implendam illius dextram et mentem, persuasit ut liberum mitteret Byzantium Palamam pravitatis tutorem, ut adjutor perverso ipse fieret dogmati. Quod etiam nobis visum est potius quam illi, melius. Nam ad præsentia ortorum ex pudore criminum cum nondum insuperabile esset auxilium Cantacuzeni, sed magis tyrannicum et valde ineptum, non relinquebatur jam prætextus fugæ ullus homini in omni sententia et ratione perturbato et omnibus in rebus inepto.

ΙΗ'. Ταῦτα δὴ καὶ τοιαῦτ' ἐμοῦ γε εἰρηκότος καὶ πεπεικότος, λάθρα ἐξέπιπτεν εἰς ἀκοὰς ἀλλοτρίας καὶ ἀντιθέτους, καὶ πρὸς [f. 127 r.] φθόνον καὶ φόβον ἠρέθιζεν ἥκιστα δὴ φορητόν. Μάλιστα δ' οὖν ἁπάντων ἐξέπληξέ τε καὶ ἐξέμηνε Καντακουζηνὸν τὸν τῆς τοῦ Θεοῦ Ἐκκλησίας ὅλεθρον καὶ βεβαιωτὴν τῆς ὅλης κακίας διάπυρον. Ὅς δήπου καὶ δείσας μὴ νῦν, ὁπότε μήτ' αὐτὸς τυραννοίη, μήθ' ὁ αὐτοῦ μυσταγωγὸς παρείη Παλαμᾶς, ὑπέρσχῃ καὶ πέρας σχῇ τὰ βεβουλευμένα, λάθρα σὺν πολλῇ τῇ σπουδῇ πεπομφὼς Ὑρκανῷ τῷ γαμβρῷ καὶ βαρβάρῳ χρήματα πρὸς Βιθυνίαν τὴν ἐκείνου δεξιάν καὶ γνώμην ἱκανῶς ἔχοντα ἐμπιπλᾷν, πέπεικεν ἐλεύθερον ἐς Βυζάντιον ἀποστεῖλαι Παλαμᾶν τὸν τῆς κακίας προστάτην, ἵνα, τὸν δεύτερον φάναι πλοῦν, συμμαχία τις τῷ πονηρῷ γοῦν αὐτὸς γίγνηται δόγματι. Ὃ δὴ καὶ ἡμῖν ἔδοξε μᾶλλον ἢ ἐκείνῳ βέλτιον· πρὸς γὰρ παρόντα τῶν τῆς αἰσχύνης κινουμένων ἐλέγχων, οὐκ οὔσης ἤδη τῆς ἀμάχου συμμαχίας τοῦ Καντακουζηνοῦ, μᾶλλον δὲ τῆς τυραννικῆς καὶ λίαν ἀτόD που, οὐκ ἐλείπετ' ἂν ἔτι πρόφασις ἀποφυγῆς οὐδ' ἡτισοῦν τῷ τὴν γνώμην καὶ πάντα τρόπον διαστρόφῳ καὶ πάντα ἀτόπῳ.

XIX. Ad hæc Helena imperatrix Byzantium Tenedo profecta Palæologi conjugis et imp. in hanc rem propensionem cohibuit, neque ipsa ullo modo volens Cantacuzeni patris ignominiæ cum ista exsecratione **253** constitui spectatricem, neque profecto illius apud ipsam factas clandestinas indicationes et admonitiones irritas repellere valens. Et hoc erat quod Ecclesiæ et divinorum aliquando dogmatum repressit veram constitutionem cum meo hac in re studio. Puto Deo comprobante perfectiorem etiam factam esse de pietate certantium examinationem. Non enim eorum qui incipiunt

Ιθ'. Ἀλλ' ἐπὶ τούτοις ἡ βασιλὶς Ἑλένη πρὸς Βυζάντιον ἐκ Τενέδου ἀφιγμένη τὴν εἰς τοῦτο ῥοπὴν ἀνεχαίτισε τοῦ συζύγου καὶ βασιλέως Παλαιολόγου, μήτ' αὐτὴ μηδαμῇ βουλομένη τῆς Καντακουζηνοῦ τοῦ πατρὸς αἰσχύνης σύν γε τῷ πρέποντι ἀναθέματι καταστῆναί πως αὐτήκοος, μήτε μὴν τὰς ἐκείνου παρ' αὐτὴν γινομένας λαθραίας μηνύσεις καὶ παρακλήσεις ἀτελεῖς παρακρούεσθαι δυναμένη. Καὶ τοῦτ' ἦν ὃ τὴν τῆς Ἐκκλησίας καὶ τῶν θείων τέως δογμάτων ἔσθεσεν ἐπανόρθωσιν μετὰ τῆς ἐμῆς ἐς τοῦτο σπουδῆς, οἶμαι τοῦ Θεοῦ τελεωτέραν ἔτι γενέσθαι τὴν τῶν ὑπὲρ εὐσεβείας ἀθλούντων

σκιμασίαν ἐπιψηφιζομένου. Οὐ γὰρ τῶν ἀρξαμένων ἆθλεῖν οἱ στέφανοι καὶ τὰ ἔπαθλα, ἀλλὰ τῶν ἄχρι τέλους ἀνύειν προθυμουμένων ἅπαντα τὸν τοῦ δρόμου δίαυλον. Διὸ καὶ πολλάκις ἄλλων κοπιώντων ἄλλοι τοὺς ἐκείνων μόχθους ἀπονητὶ λαμβάνουσί τε καὶ ἀπολαύουσι, μήτ' ἐκείνων ζημιουμένων τὰς ἀμοιβὰς πρὸς τοῦ ἀγωνοθετοῦντος Θεοῦ διὰ τοῦ μεταξὺ τῶν ἀγώνων θανάτου, καὶ τῶν ὑστέρων κοινωνούντων τοῖς πρώτοις διὰ τὴν τῶν τρόπων ὁμοιότητα τῆς διανομῆς τῶν βραβείων, τὰ βάθη τῶν τοῦ Θεοῦ κριμάτων οὐ δυναμένων ἐν τούτοις ἡμῶν ἐρευνᾶν.

A certare sunt coronæ et præmia, sed eorum qui usque ad finem emetiri parati sunt totum curriculi spatium. Quare etiam sæpe aliis laborantibus alii illorum labores sine labore subeunt iisque fruuntur, cum neque illi propter cursus remissionem a proponente certamina Deo morte certaminibus interposita plectantur, et posteriores cum prioribus propter rationum æquabilitatem communiter partem quisque suam præmiorum accipiant. Divinorum autem judiciorum naturam absconditam investigare in his nos quidem non possumus.

Κ'. Εἰκάσειε δ' ἄν τις ἴσως ὡς τοῖς ἀσεβέσι διώκταις ἡμῶν τουτοισὶ μετανοίας ἀνοίγων θύραν ὁ κοινὸς προμηθεὺς δίδωσί τε διαμονῆς καιρὸν ἐνταυθοῖ, καὶ ὑπερτίθησιν ἑκατέροις ἑκάτερα, ἡμῖν τε τὴν θείαν ἐπικουρίαν κἀκείνοις τὴν δικαίαν ἐπεξέλευσιν. [f. 127 r.] Παιδεύει δ' οὖν ὅμως συμφορὰς ἐπιφέρων νῦν μὲν ἐξ ἀλλήλων ἀλλήλοις ἀλλεπαλλήλους, ἵνα μᾶλλον τῆς ἑαυτῶν κακίας αἰσθάνοιντο (οὐ γὰρ κατὰ τοῦ ἀγαθοῦ μόνον μέμηνε τὸ κακὸν, ἀλλὰ καὶ ἑαυτῷ στασιάζει καὶ μάχεται), νῦν δ' ἐπιταράττων καὶ διασκεδάζων ἐξαίφνης ἄλλοθεν ἄλλοθι καὶ ἀντιπερισπῶν τὸν ἅπαντα νοῦν τοῖς οἰκείοις προσέχειν παθήμασί τε καὶ ἀτοπήμασι, καὶ μὴ μόνοις ὀλοσχερῶς ἀεὶ τοῖς ἡμῶν ἐντρυφᾷν ἀδίκοις ὀνείδεσί τε καὶ διωγμοῖς.

B

XX. Conjecerit autem fortasse aliquis impiis his nostris persecutoribus ad pœnitentiæ opportunitatem offerendam communem omnium tutorem Deum hic manendi tempus præbere et imponere utrisque utraque, nobis divinum auxilium et illis justam pœnam. Vocat igitur ad meliorem frugem, calamitates inferendo nunc quidem post alios aliis perpetuas, **254** ut magis suam sentiant perversitatem : non enim in bonum modo sævit malum, sed etiam secum ipsum pugnat et decertat : nunc quidem perturbans et distrahens subito aliunde alibi et distinens totam mentem ut attendat ad domestica mala et ineptias, nec ad solas omnino semper, quibus nobis insultant, iniquas contumelias et injurias.

ΚΑ'. Ἐκεῖνο δὲ πῶς οὐκ ἄν τις θαυμάσαι τῆς θείας οἰκονομίας, ὅτι παρὰ τοσοῦτον Καντακουζηνῷ συγχεχώρηκε τὴν τοῦ μεγίστου τῆς τοῦ Θεοῦ σοφίας νεὼ βραχεῖαν ἐκείνην οἰκοδομὴν, τοῦ περὶ τὸν δρῶνα δηλαδὴ τεθρυασμένου μέρους, παρ' ὄψιν τήν γε πρὸς χιόνων καὶ ὄμβρων αἰθερίων ἀποτροπὴν ἀνασώσασθαι σκέπην; Ὅσα δ' οὖν τῶν ἐντὸς ὑπερλάμπρων ἱερῶν περιβόλων ἐκείνων καὶ θυσιαστηρίων ἁγίων παντάπασιν ἀνάλωται καὶ συντέτριπται, ταῦτα δ' ἀσεβέσιν αὐτοῦ καὶ βεβήλοις ἀνεγηγέρθαι χερσὶν οὐδαμῇ συγχεχώρηται πρὸς Θεοῦ, ἀλλ' ἐν μέσῃ φάναι πορείᾳ τῆς ἐξουσίας ἐκπέπτωκεν ἀκλεῶς, κλεύην μακρὰν καταλελοιπὼς τῷ βίῳ καθ' ἑαυτοῦ διὰ τὴν καινοτομίαν τῆς πίστεως. Οὐδὲ γὰρ ἦν εἰκὸς τὰ πρὸς ἔλεγχον ἐμφανῆ τῆς αὐτοῦ καὶ τῶν ἀμφ' αὐτὸν δυσσεβείας ἀπολωλότα δι' αὐτοῦ πάλιν ἀνανεοῦσθαι.

C

XXI. Illud vero qui non admiretur aliquis in divina mundi administratione, quod tam diu Cantacuzeno concessit exiguam illam in maximo divinæ Sapientiæ templo factam ædificationem, partis nempe circa tectum scilicet sauciatæ, donec reparatum esset, quod nives et imbres ex aere delatos defenderet, tectum? Quantum igitur in internos splendidissimos sacros muros illos et aras sanctas omnino impensum et conjunctum est, hoc impiis ejus et impuris oriri e manibus nullo pacto concessum est a Deo ; sed in medio, ut aiunt, itinere, ex ædificandi facultate elapsus est ignominiose, et maculam magnam reliquit vitæ suæ propter fidem novatam. Neque enim æquum erat, ea quæ in manifestum et ipsius et sociorum impietatis judicium perdita fuerant, per eum restitui.

ΚΒ'. Εἰ δ' ὁ βρεφοκτόνος Ἡρῴδης πάλαι πρὸς θεοῦ τὴν περιφανῆ τε καὶ πολυδάπανον ἐκείνην οἰκοδομὴν τοῦ τῶν Ἱεροσολύμων νεὼ συγκεχώρηται, τοσούτων ἐφεστίων τε καὶ συγγενῶν αἱμάτων χεῖρας ἅμα καὶ γνώμην ὑπάρχων μεστὸς, ἀλλ' ἔστιν εἰπεῖν ὡς τῆς πατρίου τούτῳ θρησκείας ἐν τῷ καλῷ τηνικαῦτα μενούσης ἔτι οὔτ' αὐτὸς ἑαυτὸν αὐτῆς ἠλλοτρίωσεν, οὔθ' ἑτέρους οὐδένας παρέπεισε τοῦτο παθεῖν. Καντακουζηνὸς δ' οὐτοσὶν αὐτός τε ἐξωμόσατο φανερῶς τὴν πάτριον εὐσέβειαν, καὶ πλὴν ὀλίγων τοὺς ἄλλους ἠνάγκασεν ἅπαντας, τοὺς μὲν δωρεαῖς τε καὶ λήμμασι παραλόγοις, τοὺς δ' ἀπειλαῖς καὶ κολάσεσι κακοτρόποις, εἰς τὸν ἴσον αὐτῷ κατενεχθῆναι κρημνόν.

D

XXII. Si autem puerorum interfectori Herodi olim a Deo gloriosa illa et sumptuosa Hierosolymorum templi ædificatio concessa est, tam multi **255** affinis et cognati sanguinis plenas manus et animum habenti, licet tamen sliecre, cum patria huic religio integra etiam staret, nec ipsum se ab ea abdicasse, nec aliis ullis persuasisse, ut hoc facerent. Cantacuzenus autem hic et ipse dejuravit patrium pietatem palam et præter paucos omnes cæteros coegit, alios donis et lucro falso, alios minis et castigationibus malignis, in idem secum ut descenderent præcipitium.

ΚΓ'. Ἄξιον δ' ἐνταυθοῖ γενομένους καὶ τό γε

XXIII. Hue quoniam pervenimus, non alienum

puto longitudinem nos describere pictæ nuper sub tecti hujus concavam superficiem sanctæ imaginis sapientiæ ejus, qui inest, Dei Salvatoris Christi. Esse enim hoc quoque posteris jucundum puto auditu, ut etiam supra statim ab initio primarum hujus historiæ narrationum illarum nostrarum et librorum stantem in columna statuam equestrem æneam describentes nos gratificari hominibus sapientioribus sumus arbitrati. Ipsi certe nos illius facti spectatores et nostris permensi hanc manibus facillime tam diu composuerimus rem, quandiu ibi eam sigillatim exposuimus. Esse enim dignam contemplatu existimo, si quis ex inferiore loco sursum spectet, neque possit accuratam proportionem partium per **256** oculos transmittere menti, cum ita sit comparata illa, ut plerumque spectantes inter et res spectatas interpositis loci intervallis animum fallat; quæ tamen applicata cæterum undique et quocunque modo sunt, ut veritatis vestigia et speciem qualemcunque efficiant, et talis fraudis morbos sanent. Sunt enim inde a vertice usque ad summam barbam, labrum dico superius, spithamæ in longitudinem duodetriginta, in latitudinem quatuordecim, digitorum autem primus octo et dimidiam in longitudinem habebat, et reliqui proportionaliter; oculorum tres fere spithamas habebat uterque, nasus autem pene octo. Ilis ita tanquam elementis propositis, licet hinc, quotquot sunt pictorum jucundiores, etiam qualitatem cæterorum membrorum, et partium et simul totius corporis divinæ illius Salvatoris statuæ ad symmetriæ rationem factæ formæ, quanta fere sit, statim colligere longitudinem. Hæc descripsi in notitiam eorum qui forte in illam incidant, optimam hanc sciens viam esse ad rerum scientiam, et si qui in his considerantes versentur libri sapientes prospicientiæ, ut etiam Aristoteli placet. Dicit ille quidem sensum ex multarum rerum peritia effici, peritiam autem principia disciplinæ cujusque et præbere et confirmare. **257** Hinc enim et varii fluxerunt sapientiæ fontes, et veteres disciplinarum inventores et cœlestium et terrestrium rerum notitiam eruerunt, et variarum et multiformium rerum atque orationum doctrinæ, quoad ejus fieri poterat, ansas sumpserunt. Esto; ego vero ad nexum redeo orationis.

μῆκος καὶ πλάτος ἡμᾶς ἀφηγήσασθαι τῆς ὑπὲρ τὴν κυρτὴν ἐντὸς ἐπιφάνειαν τοῦ ὁρόφου τούτου γραφείσης ἀρτίως ἁγίας εἰκόνος τῆς ἐνυποστάτου σοφίας Θεοῦ, [f. 106 v.] τοῦ Σωτῆρος λέγω Χριστοῦ. Εἶναι γὰρ καὶ τοῦτο τοῖς ὀψιγόνοις ἐράσμιον οἶμαι ἀκρόαμα, καθάπερ δὴ καὶ ἀνωτέρω που τῶν πρώτων τῆς ἱστορίας ταυτησὶν ἡμετέρων ἐκείνων λόγων καὶ βίβλων εὐθὺς ἐν προθύροις τὸν ἐπὶ κίονος ἑστῶτα δεδηλωκότες ἔφιππον ἀνδριάντα χαλκοῦν εὖ ποιεῖν τοῖς συνετωτέροις ἐδόξαμεν, αὐτοί γε ἡμεῖς ἐκείνου γεγονότες αὐτόπται καὶ ταῖς οἰκείαις μετρήσαντες τοῦτον χερσὶν, ἐπὶ τὸ ῥᾷστον τέως συνενεχθέντος τοῦ πράγματος, ὡς ἐκεῖ που καὶ ἕκαστα διειλήφαμεν. Εἶναι γὰρ ἀξιοζήτητον οἶμαι, εἴ τις κάτωθεν μὲν εἰς ὕψος ὁρῴη, μὴ δύναιτο δὲ τὴν ἀκριβῆ συμμετρίαν δι' ὄψεως παραπέμπειν τῷ νῷ, πεφυκυίας μὲν ὡς τὰ πολλὰ τοῖς μεταξὺ τῶν ὁρώντων καὶ ὁρωμένων τοπικοῖς διαστήμασιν ἀπατᾶσθαι, ἐφιεμένης δ' ἄλλως ὁθενδήποτε καὶ ὁπωσδήποτε συλλέγειν τε τῆς ἀληθείας ἴχνη καὶ εἰκόνας, ὁποιασοῦν καὶ τὰ τῆς τοιαύτης ἰατρεύειν ἀπάτης νοσήματα. Ἔστι γὰρ τὸ ἐκ κορυφῆς ἄχρι πώγωνος ἄκρου φημὶ τῆς ὑπήνης σπιθαμαὶ μῆκος μὲν ὀκτὼ καὶ εἴκοσι, πλάτος δὲ τεσσαρεσκαίδεκα, δακτύλων δ' ὁ μὲν πρῶτος ὀκτὼ καὶ ἡμισείας τὸ μῆκος, οἱ δ' ἄλλοι κατὰ τὸ ἀνάλογον· τῶν δ' ὀφθαλμῶν ἀνὰ τριῶν ἑκάτερος, ἡ δὲ ῥὶς ἐγγιστα ὀκτώ. Τούτων δ' οὕτως καθάπερ στοιχείων δοθέντων ἔξεστιν ἐντεῦθεν, ὁπόσοι χαριέστεροι τῶν ζωγράφων, καὶ τὴν τῶν ἄλλων μελῶν καὶ μερῶν καὶ ἅμα τῆς τοῦ παντὸς σώματος διαπλάσεως τῆς θείας ἐκείνης τοῦ Σωτῆρος εἰκόνος κατὰ τὸ τῆς συμμετρίας ἀνάλογον ὅση τίς ἐστιν εὐθὺς συλλογίζεσθαι μῆκος καὶ πλάτος. Καὶ ταῦτα διῆλθον ἐμπειρίας ἕνεκα τῶν ἐντυγχανόντων, κράτιστον εἰδὼς ἐφόδιον εἴς γε τὴν τῶν ὄντων ἐπιστήμην καὶ εἴ τινες εἶεν αὐτοῖς ἐνθεωρούμενοι λόγοι σοφοὶ τῆς προνοίας, καθὰ καὶ Ἀριστοτέλει δοκεῖ. Φησὶ γὰρ ἐκεῖνος, αἴσθησιν μὲν ἐμπειρίας εἶναι ποιητικὴν, τὴν δ' ἐμπειρίαν τῶν πρὸς ἐπιστήμην ἀρχῶν παρεκτικὴν ἐκ διαδοχῆς καὶ συλλήπτριαν γίνεσθαι. Ἐντεῦθεν γὰρ αἵ τε πολυειδεῖς ἐρρύησαν τῆς σοφίας πηγαὶ, καὶ οἱ πάλαι τῆς ἐπιστήμης ἐφευρεταὶ τῶν τε αἰθερίων καὶ περιγείων τὴν γνῶσιν ἠρύσαντο, καὶ τῆς γε τῶν ποικίλων καὶ παντοδαπῶν πραγμάτων τε καὶ λόγων διδασκαλίας, ὅσον ἐφικτὸν, τὰς ἀφορμὰς ἀνειλήφεσαν. Εἶεν. Ἐγὼ δ' εἰς τὸν εἰρμὸν ἐπάνειμι τοῦ λόγου.

XXIV. Nam qui patriarcha fuerat Callistus, post suam excommunicationem et clandestinam illam in Galaticam Latinorum custodiam fugam, paulo poste idoneam occasionem nactus, clam inde evasit et Tenedum navi abierat, Palæologo imp. gratificaturus et pro dono omni vigentis in animo habitus præbens ardorem et re ipsa suum fervens erga illum ostendens studium; et enarrans, quomodo liceret frui patriarchica potestate et simul Cantacuzeni regnantis benevolentia et beneficentia, si vellet participem facere se renuntiationis de Mat-

ΚΔ'. Ὁ γάρ τοι πατριαρχεύσας Κάλλιστος μετὰ τὴν αὐτοῦ καθαίρεσιν καὶ τὸν εἰς τὸ Γαλατώνυμον [f. 129 r.] φρούριον τῶν Λατίνων λαθραῖον δρασμὸν ἐκεῖνον, καιροῦ μετὰ χρόνον τινὰ τυχὼν λάθρα κἀκεῖθεν ἐξῆει καὶ ἐς Τένεδον κατεπεπλεύκει, Παλαιολόγῳ τῷ βασιλεῖ χαριζόμενός τε καὶ ἀντὶ δώρου παντὸς τὸ τῆς ἐν καρδίᾳ θαλαμευομένης σχέσεως κομίζων διάπυρον, τὸν ὑπὲρ αὐτοῦ δηλονότι ζῆλον ἔργοις αὐτοῖς, καὶ ἀφηγούμενος ὅπως ἐξὸν ἀπολαύειν τῆς πατριαρχικῆς ἐξουσίας καὶ ἅμα τῆς Καντακουζηνοῦ βασιλεύοντος εὐμενείας καὶ εὐεργέτιδος γνώ-

μης, εἰ ἐβούλετο κοινωνεῖν αὐτῷ τῆς ὑπὲρ Ματθαίου τοῦ υἱοῦ βασιλικῆς ἀναῤῥήσεως, ὁ δὲ τὰ ἔσχατα πάσχειν εἵλετο, τῶν πατρῴων ἀντιποιούμενος αὐτοῦ δικαίων. Καὶ εἰ μὴ λαθραίᾳ φυγῇ τὴν σωτηρίαν ἐπόριζεν ἑαυτῷ, τάχιστα ἂν εἱρκτῆ ζοφώδης καὶ θανάτου βιαίου γείτων ἐδέχετο τοῦτον εὐθύς. Καὶ ἵνα τἀν μέσῳ συντέμω, ὅλον ἐνιαυτὸν ἐκεῖ διηνυκότι τά τ' ἄλλα [τε] αὐτῷ πάντ' ἐδρᾶτο τὰ πατριάρχαις ἔθιμα, καὶ ἅμα γραφὰς οὐκ ἠμέλει πέμπων Βυζαντίοις, ὅσαι τὴν εἰς αὐτὸν ἐξετραγῴδουν ἀδικίαν, καὶ μοιχὸν μὲν προφανῆ καλῶν Φιλόθεον τὸν Κόκκινον, προδότας δὲ τῆς τῶν κανόνων καὶ νόμων ἐξουσίας τοὺς ἐπισκόπους καὶ Θεοῦ καταφρονητάς, ὅτι ταῖς βασιλικαῖς ὑπείξαντες καὶ ἡττηθέντες ἀδίκοις δωρεαῖς συνέχεαν τά τε τῆς Ἐκκλησίας πράγματα καὶ πρός γε δὴ τὰ τῆς ἐννόμου βασιλείας. Καὶ ἐπὶ τούτοις ἀναθέματί τε αὐτοὺς καθυπέβαλε καὶ χωρισμῷ Θεοῦ. Ἃ δὴ συχνὰ καὶ δίκην βελῶν ἐκ Τενέδου πεμπόμενα βλέπων ὁ τῆς πατριαρχικῆς ἐξουσίας ἄρτι ἐπειλημμένος Κόκκινος ἠγανάκτει τε καὶ ἀντιμηχανώμενος οὐκ ἠμέλει τὰ ἴσα. Συνάγων γὰρ τοὺς πλησιοχώρους ἐπισκόπους, καὶ ὅσοι Βυζαντίῳ ἐνδιατρίβοντες ἔτυχον ὁπωσδηποτοῦν, ψηφίσματα ἐξετίθει τε καὶ διέπεμπε πανταχῇ ἀναθέματί τε καὶ ἀφορισμῷ παραπέμποντα Κάλλιστον. Ἔπεμπε δὲ μάλιστα τοῖς ἐν Ἄθῳ τῷ ὄρει μονάζουσι τὰ τοιαῦτα ψηφίσματα, παραγγέλλων ἐπὶ τούτοις μηδ' εἰ βουληθείη παρ' ἐκείνους φοιτᾶν δέχεσθαι τοῦτον, ἅτ' ἐπ' ἐγκλήμασι Μασαλιανικοῖς ἐννόμως καθαιρεθέντα καὶ οὐκ ἐμμένοντα ταῖς δίκαις, ἀλλ' ἀρχιερατικῶς ἐπιτάττειν καὶ ἀναθεματίζειν καὶ ἀφορίζειν ἀναισχυντοῦντα. Χρεὼν οὖν διὰ ταῦτά τε, καὶ ὡς ἤδη καὶ συνοδικοῖς ἀναθεματισμοῖς ὑποπεπτωκότα καὶ τῷ ἐκ Θεοῦ χωρισμῷ, οἷα λύμην τοῦ ὄρους ἀποσοβεῖν.

thæo regio filio factæ; hic vero extrema pati malebat patria sibi jura vindicans; et nisi clandestina fuga salutem præbuisset sibi, celerrime illo inclusus esset in tenebras, et mortis violentæ propinquus locus ipsum statim excepisset. Atque ut ab ipso qui in meditullio conciso integrum annum ibi transegerat, cum reliqua omnia perficerentur patriarchis usitata, et simul accusandi formulas non negligeret mittere **258** Byzantinis quotquot illatam sibi exaggerarent injuriam, et mœchum apertum dicens Philotheum Coccinum et proditores potestatis regularum et legum episcopos et Dei contemptores, quod imperatoris capti et victi injustis donis miscerent et Ecclesiæ res et legitimi præterea regni. Et insuper exsecratione subvertit eos et excommunicatione divina; quæ quidem continua et telorum adinstar ex Tenedo missa videns patriarchicæ potestatis nuper particeps factus Coccinus ægre ferebat et contra moliebatur neque eadem rejicere negligebat. Convocatis enim proximis episcopis, et iis qui tum forte quomodocunque Byzantii versabantur, decreta proposuit et misit in omnes partes exsecratione et damnatione munitum Callistum. Misit autem maxime in Atho monte versantibus monachis talia decreta, imperans præterea, ne, si vellet ad illos venire, eum reciperent ob decreta massalianica expulsum legitime, nec se judiciis sistentem neque verentem imperiose mandare et exsecrare et excommunicare: necesse igitur propterea et quod jam synodicis exsecrationibus esset ejectus et divina damnatione, tanquam pestem a sacro monte eum arcere.

ΚΕ'. Ἐπεὶ δὲ τὰ πράγματα καθάπερ ὀστράκου μεταπεσόντος νέαν ἔσχε μεταβολήν, [f. 129 v.] καὶ τῷ μὲν Καλλίστῳ τῶν πατριαρχικῶν αὖθις κρατῆσαι συμβέβηκε θρόνων, τῷ δὲ Κοκκίνῳ Φιλοθέῳ, πρὶν οἰσθέσθαι, λαμπρῶς ἐκεῖθεν ἀπερρῖφθαι πάσης ἱερωσύνης γυμνόν, ὡς εἰρήκειμεν, γράμματα ἐφοίτα αὐτῷ πρὸς τῶν τῷ ὄρει τῷ Ἄθωνι ἐνδιαιτωμένων μοναδικῶν ἀνδρῶν, Νίφωνος κατηγοροῦντά τινος τῶν ἐκεῖ μοναχῶν ἱερέως τοὐπίκλην Σκορπίου, ὃς προκατηγόρητο πρὸ βραχέος ἐπὶ τῇ τῶν Μασαλιανῶν καὶ Βογομίλων αἱρέσει, σκιωδῶς πως καὶ ἀμαρτύρως ἔτι. Τούτῳ μέντοι φίλος ὢν ἐκ πολλοῦ Κάλλιστος οὐδὲ νῦν πατριάρχης γενόμενος τῆς αὐτοῦ φιλίας ἀπέσχετο, ἀλλὰ μία τις ἦν ἐν ἀμφοῖν ψυχή. Διὸ καὶ ὠργίζετο τοῖς κατηγόροις, καὶ ἀραῖς ἐγγράφοις καὶ ἀφορισμοῖς καθυπέβαλε καὶ εἴ τις εἴη πιστεύων. Ἐφ' οἷς παροξυνθέντες ἐκεῖνοι, καὶ ἅμα τὸ θάῤῥος ἔχοντες ἐκ τῆς ἀληθείας, συνελήλυθεσαν ἐκ συνθήματος, ἐφ' οὗπερ ἔθος ἦν κἀκείνοις ἀεὶ συνιόντας ποιεῖσθαι τὰ τοιαδὶ τῶν σκεμμάτων. Καὶ τόμος ἐκτίθεται ταῖς ἁπάντων ἐκείνων μαρτυρίαις συνειλημμένος, τά τε ἄλλα δηλῶν καὶ ὅτι οὐ τῶν ἀπὸ τύχης καὶ τῶν ἐξ αὐτομάτου συμπίπτειν δοκούντων ἔν τι καὶ τὸ νῦν πεπραγμένον ὑπῆρχεν, ἵνα καὶ σιγῇ δεδωκώς τις ἀθόρυβον σχῇ συνειδὸς καὶ μηδαμῇ τὴν

XXV. Postquam autem res, quasi testula inversa novam experta est immutationem, et Callisto rursus patriarchica sede potiri contigit, Coccinum **259** autem Philotheum priusquam sentiret splendide ac cum gloria inde ejicere, omni sacerdotio spoliatum, ut diximus, litteras ei attulit ab inhabitantibus Athon montem sacrum viris solitariis, accusantes Niphonem quemdam ex illis monachis sacerdotem cognomine Scorpium: qui antea accusatus fuerat paulo prius propter Massalianorum et Bogomilorum hæresin clam abiit et sine testibus. Huic quidem amicus verus erat multo ex tempore Callistus, neque nunc patriarcha factus ejus amicitia abstinuit; sed una fere erat in utroque anima. Quamobrem etiam irascebatur accusatoribus et diris imprecandis atque condemnationibus subjecit, et si quis fidem haberet iis, de quibus inter irritatos illos et simul ex veritate animum habentes convenit ex composito. Quo tempore etiam mos erat illis, semper convenientes facere tales disquisitiones, et tomus exponitur de omnium illorum testimoniis conceptus, in cæteris etiam aperiens, non ex iis quæ fortuito et sponte accidere videntur unum quiddam nunc quoque esse factum; ut etiam silentio largitus aliquis tranquilla uteretur con-

scientia, nec ullo modo animum dormire et desertum esse volentem excitante; sed Deus confestim occulta aperta reddit, quotiescunque vult intelligentia impertire eos, quibus ut non teneant sanam Dei cognitionem actidit, ut nimirum **260** et missus ille paulo ante ab iis contra homines in monte hoc deprehensos in flagranti Massalianos et Bogomilos tomus libri fiat inspectu dignior et ab omnibus cognoscatur hujus ad eum pravitatis gradum progressæ radix hæreseos.

XXVI. Monachus enim quidam ex iis qui Scorpio huic parent, cognomine Bardarius, mortis proximo subjectus jam morbo, jacebat membris fractis et summis corporis doloribus vexatus; deinde per integros viginti dies cibo potuque abstinebat, sine voce jacebat, ultimum trahens spiritum; nec moriebatur tamen; sed corpus tumore inflatum erat et teterrima jamjam os suffundebatur nigredine. Tandem rei miraculo attoniti præsides illius domicilii quærebant, num quid suorum peccatorum non confessus in intimo conditum haberet pectore, ideoque ejus curam gerens Deus non pateretur eum mortuum æterno tradi igni. Hic postquam infellexit, sublatis paululum oculis, vehementer ejulavit, et vix movens linguam hæc dixit: « Scitis ante hos duodecim annos habitam hic synodum virorum in hoc monte commorantium. Tum igitur in suspicionem vocato etiam Scorpio interrogatus ego, num scirem eum socium fuisse captorum hunc Massalianorum et Bogomilorum, negavi me scire quamvis exploratam rem habens; **261** jusjurandum addidi meæ declarationi et separatus malui esse a Christo propter illius amicitiam miserrimus neque pœnam timens divinam, neque virorum cordatorum adhortationes verens. » Incipiens igitur enarravit Massalianorum simul in illo cœtu patrata impura et detestanda facinora, ad quæ integre narranda non satis mihi suppetere temporis videtur, aliam in partem me admodum trahente reliquarum rerum historia. Licet enim omnia sigillatim colligere et mentem et consilium et actionem et orationem et mali vim et Dei longanimitatem et si quid tale, si quis adire velit eum, qui prius interfuit juvenum Massalianorum illorum et Bogomilorum deprehensioni manifesto signo coargutorum in divino monte, quorum alii castigati sunt, alii inde expulsi, et simul secundum hunc vidit in coargutione Scorpii, præter rerum consuetudinem miracula patrante Deo ad primi illius hominis confirmationem. Expositum est enim de utroque in fine præsentis hujus libri, Romanam historiam enarrantis. Non enim judicavimus opus esse, in aliam illos transferre narrationem : sed par erat, esse in orationibus etiam hæc membra et incisa; et naturam sententiarum immutabilem, ut se habebant, inde egressi descripsimus, ne interrumperemur, nisi **262** quod unum tantum significandum fuit hoc, sub testibus illis confessione hæc facta, mox exhalasse animam illum, ut etiam suffragium in

καρδίαν καθεύδειν καὶ ἠρεμεῖν βουλομένην ἀναμοχλεῦον, ἀλλὰ Θεοῦ προφανῶς τοῦ τὰ κρύφια δῆλα δρῶντος, ὁπότε βούλοιτο σύνεσιν ἐντιθέναι οἷς ἀσυνέτως ἔχειν πρὸς τὴν ὑγιᾶ συμπέπτωκε θεογνωσίαν, ἵνα δηλαδὴ καὶ ὁ πρὸ βραχέος ἐκεῖνος πεμφθεὶς ὑπ' αὐτῶν κατὰ τῶν ἐν τῷ ὄρει τούτῳ ἁλωκότων ἐπ αὐτοφώρῳ Μασαλιανῶν καὶ Βογομίλων τόμος θεατρικώτερος γένηται, καὶ πᾶσι γνωσθῇ τῆς ἐφ' οὕτω μέγα κακίας ἀναβριπισθείσης αἱρέσεως ἡ ῥίζα.

ΚΖ'. Μοναχὸς γάρ τις τῶν τῷ Σκορπίῳ τούτῳ ὑπηρετουμένων, τοὐπίκλην Βαρδάριος, θανάτου γείτονι κάτοχος ἤδη νόσῳ γενόμενος, ἔκειτο κάμνων καὶ μυρίαις ἀλγηδόσι τὸ σῶμα κεντούμενος ἅπαν. Ἔπειτα ἐφ' ὅλαις ἡμέραις εἴκοσι ἄσιτός τε καὶ ἄποτος διαμείνας ἄφωνος ἔκειτο, πνέων ὁσημέραι τὰ λοίσθια. Οὐκ ἔθνησκε δὲ, ἀλλὰ τό τε σῶμα ἐξώγκωτο καὶ μακρά τις ἐπεχύθη τῷ προσώπῳ μελάνωσις. Ὀψὲ δὲ τῷ τοῦ πράγματος παραδόξῳ καταπλαγέντες οἱ τῆς μονῆς ἐκεῖ προεδρεύοντες ἤροντο μή τι τῶν αὐτῷ πλημμεληθέντων ἀνεξαγόρευτον ἐν θαλάμοις κρύπτει καρδίας, κἄπειτ' αὐτοῦ κηδόμενος ὁ Θεὸς οὐκ ἐᾷ τῷ αἰωνίῳ θανόντα δοθῆναι πυρί. Ὁ δὲ συνεὶς καὶ μικρὸν διάρας τοὺς ὀφθαλμοὺς βύθιον ἀνώμωξε, καὶ μόλις κινήσας τὴν γλῶτταν τοιάδε [f. 130 r.] φησίν· « Ἴστε τὴν πρὸ δυοκαίδεκα ἐτῶν ἐνταυθοῖ γενομένην σύνοδον τῶν ἐν τῷ ὄρει τῷδε ἀνδρῶν. Τότε τοίνυν ὑποπτευθέντος καὶ τοῦ Σκορπίου, ἐρωτηθεὶς ἐγὼ εἰ σύνοιδα αὐτῷ κοινωνῷ γενομένῳ τοῖς τηνικαῦτα ἁλοῦσι Μασαλιανοῖς καὶ Βογομίλοις ἐνταῦθα, ἔξαρνος ἐγενόμην καίπερ εἰδὼς ἀκριβῶς. Ὅρκον τε ἐπέθηκα τῇ ἀπαγορεύσει, καὶ ἀφωρισμένος ἐδεξάμην εἶναι ἀπὸ Χριστοῦ διὰ τὴν ἐκείνου φιλίαν ὁ τρισάθλιος, μήτε κολαστήρια δείσας Θεοῦ, μήτ' ἀνδρῶν πνευματικῶν παραινέσεις αἰδεσθείς. » Ἀρξάμενος οὖν διεξῆλθε τὰς ὁμοῦ τῷ θιάσῳ τῶν Μασαλιανῶν πεπραγμένας βεβήλους ἐκείνῳ καὶ μυσαρὰς ἐργασίας, ἃς ὥραν ἔχειν ἥκιστά μοι δοκεῖ καθ' ἕκαστα λέγειν ἀρτίως ἐμὲ, τῆς τῶν ἄλλων ἀνθελκούσης με βιαιότερον ἱστορίας. Ἔξεστι γὰρ πάντα καθ' ἕκαστον ἀναλέξασθαι, καὶ νοῦν καὶ σκοπὸν καὶ πρᾶξιν καὶ λόγον καὶ κακίας δύναμιν καὶ Θεοῦ μακροθυμίαν καὶ εἴ τι τοιοῦτον, εἴ τις ἐπίοι βούλοιτο τόν τε γενόμενον πρότερον ἐπὶ τῇ τῶν νέων Μασαλιανῶν ἐκείνων καὶ Βογομίλων εὑρέσει προφανῶς ἐλεγχθέντων ἐπὶ τοῦ θείου ὄρους καὶ τῶν μὲν κολασθέντων, τῶν δ' ἐξωσθέντων ἐκεῖθεν, καὶ ἅμα τὸν δεύτερον τοῦτον δὴ τὸν ἐπὶ τῷ ἐλεγμῷ τοῦ Σκορπίου παραδόξεως ἐπισυμβάντα θαυματουργήσαντος τοῦ Θεοῦ πρὸς τὴν τοῦ πρώτου βεβαίωσιν. Ἐκτέθεινται γὰρ ἀμφότερα ἐν τῷ τέλει τῆς παρούσης ἡμετέρας βίβλου, ᾗ τὴν Ῥωμαϊκὴν διέξεισιν ἱστορίαν· οὐ γὰρ ἐκρίναμεν δέον εἰς ἑτέραν ἐκείνους μεταποιῆσαι φράσιν, ἀλλ' εἶναι κατὰ τὰς λέξεις καὶ τά γε κῶλα καὶ κόμματα καὶ τὰ ἤθη τῶν ἐννοιῶν ἀμεταποιήτους, ὡς ἔσχον ἐκεῖθεν ἐληλυθότες, τοῦ ἀδιαβλήτου χάριν. Πλὴν ἓν μόνον σημειωτέον τουτί, ὡς ὑπὸ μάρτυσιν ἐκείνοις τὴν ἐξαγόρευσιν ποιησάμενος ταυτηνὶ μετ' ὀλίγον ἐξέπνευσεν, ὡς καὶ ψῆφον ἐξενηνέχθαι

τέως εἶς ἐκεῖ συνετωτέροις εἶναι τετύχηκε, μὴ δι' ἄλλο τι τὰς βιαίας γοῦν ταύτας καὶ τελευταίας ταμιευθῆναι τἀνθρώπῳ πνοὰς πρὸς Θεοῦ ἢ διὰ τὴν τῶν ῥηθέντων ἐξαγόρευσιν. Ὅμως ἐπειδὴ καὶ ὁ δεύτερος οὗτος νεωστὶ γενόμενος τόμος ἐληλυθὼς ἐκ τοῦ ὄρους εἰς ἐπήκοον Καλλίστῳ τε ἀνεγνώσθη τῷ πατριάρχῃ καὶ τοῖς ἀμφ' αὐτὸν ἐπισκόποις, εἰς ὀργὴν αὖθις ἤγειρε τὸν πατριάρχην καὶ ἀπρᾳκτος ἀπεπέμφθη, τῶν ἀμφ' αὐτὸν ἐπισκόπων οὐδὲν εἰρηκότων, ἀλλὰ [f. 130 v.] κωφοῖς ἐοικότων ἢ λίθοις ἀναισθήτοις, εἰπεῖν οἰκειότερον· οὕτω βοσκηματώδεις εἰσὶ καὶ παισὶν ἀθύρουσι λίαν ἐπίχαρτοι προσηκόντως οἱ νῦν τῶν ἱερῶν καθήμενοι δογμάτων κριταί. Ἀλλὰ τούτων μὲν ἄλις εἰρήσεται δὲ κατὰ χώραν ἰοῦσιν ὅσα ἐπηκολούθησε σφίσι. Νῦν δ' ἐκεῖνο ἐπαναλήψομαι.

ΚΖ'. Ἀφίκετό τις ἐκ Λατίνων ἐπίσκοπος παρὰ βασιλέα, Ἰωάννην φημὶ τὸν Παλαιολόγον, φιλίας ἕνεκα προϋπαρχούσης, σοφίας ἔμπειρος ὁπόση καὶ οἷα τὴν τῶν Λατίνων οἰκειοῦται σχολὴν ἐν δογματικαῖς τῶν θείων γραμμάτων διατριβαῖς. Ἔφασκε δ' ἐν ταῖς καθ' ἡμέραν ὁμιλίαις τῷ τε βασιλεῖ καὶ οἷς ἐτύγχανε σοφωτέροις ἰδίᾳ καὶ δημοσίᾳ, πολύν τινα γίνεσθαι λόγον παρὰ Λατίνοις περὶ τῆς βασιλίδος ταύτης τῶν πόλεων καὶ ὅσοι τῶν οἰκητόρων παιδείας ἀντιποιοῦνται, τά τε ἄλλα καὶ ὅπως ἄνωθεν ἀεὶ ῥᾳδίως ἐξαπατᾶσθαι εἰώθεσαν καὶ ἄλλοτ' ἄλλαις αἱρέσεσι καὶ δογμάτων καινοτομίαις ἐκκλησιαστικῶν ὑπείκουσιν, ὡς φύλλα δένδρων ἀνέμοις μεταῤῥιπιζόμενα πᾶσι. « Καὶ νῦν δ' οὐχ ἧττον Παλαμᾶν τινα ὄνομα νόθους καινοφωνίας εἰσαγαγεῖν ἠκηκόειμεν κατὰ τῶν θείων δογμάτων. Εἶναι δ' οὐ μόνον αἰσχρὰς τὰς τοιαύτας καινοφωνίας, ἀλλὰ καὶ πολυειδεῖς καὶ μωρίᾳ συγκεκραμένας πολυειδεῖ. Ὡς εἶναι, οἷς τούτῳ συνίστασθαι περιγίνεται, μακροῖς τισι μέτροις κατεγνῶσθαι μᾶλλον ἢ Σαβελλίῳ τε καὶ Ἀρείῳ καὶ ὅσοι κατ' Εὐνόμιον καὶ Νεστόριον καὶ Ἀπολλινάριον εἶεν συνηγοροῦντες. Σύμφωνα μὲν γὰρ κἀκείνοις, ὡς ἔγνωσται, φθέγγεται, διαφόροις δ' οὖν καὶ ἀτοπωτέροις ὑπερβολαῖς παραλλάττοντα. Καὶ τό γε παραλογώτατον· ὅπῃ τοῦτον μάλιστα πάντων ἐκείνων ἐχρῆν αἰσχύνεσθαι, ὧν ταῖς ὑπερβολαῖς τῶν βλασφημιῶν ὑπερέσχεν, ὁ δὲ καὶ πρὸς δικαίωσιν ἑαυτοῦ καὶ φρούριον μάλα προβάλλεται ἰσχυρὸν ὅτι μὴ ὁμόφωνα καθάπαξ φθέγγεται σφίσι. Καὶ ὅτι μὲν οὐχ ὁμόφωνα ταῦτ' ἐκείνοις, βοᾷ, ὅτι δὲ χείρω κἀκείνων μακροῖς τισι μέτροις, σιγᾷ, παίζων, ὡς ἄν τις φαίη, ἐν οὐ παικτοῖς. Τοῦτον τοίνυν εἰς ὄψιν ἀφῖχθαί μοι βουλοίμην ἄν. Εἰ οὖν σοι καὶ ἡμῶν μέλοι, [f. 131 r.] μὴ ἄχθεσθαι, σὺ δ' ἀλλ' ἐντελῆ μοι τὴν ζήτησιν δρᾷν προυμήθητι. »

ΚΗ'. Τὴν δὴ τοιαύτην ἔφεσιν τοῦ Λατίνου μηδὲν μελλήσας ὁ βασιλεὺς ἐς τὴν ὑστεραίαν εὐθὺς ἐκπληροῖ, παρεσκευακὼς ὁμιλῆσαι τῷ Παλαμᾷ, καὶ ὧν λέγει αὐτὸν αὐτήκοον γεγονέναι τὸν Λατῖνον. Τῆς οὖν ὁμιλίας γενομένης μικρὸν διαστὰς καὶ ἀπολα-

A lucem tum sit iis protractum, quibus intelligentioribus esse contigit, ne propter aliud quid violentos hos et ultimos parari homini spiritus credamus a Deo, quam ut ea quæ dicta sunt, pronuntiaret. Attamen postquam etiam secundus hic nuper advenit tomus ex monte, et unde audiri posset, Callisto recitatus est patriarchæ et iis qui circa eum erant episcopis, in iram rursus conjecit patriarcham et infecta re dimissus est, episcopis quos secum habebat tacentibus, sed mutorum hominum speciem referentibus et lapidum sensu carentium, qui non possunt quod aptum sit dicere. Ita pecoribus similes sunt et petulantibus pueris ludibrio merito ii qui nunc sacrorum dogmatum sedent judices. Sed de his satis. Narrabitur autem suo
B tempore ac loco quidnam viatoribus acciderit. Nunc illud rursus attingam.

XXVII. Advenerat aliquis ex Latinorum episcopis ad imp. Joannem Palæologum dico, propter amicitiam quæ jam ante inter eos intercesserat. Sapientiæ gnarus hic erat, quanta et quali Latinorum v rorum doctorum schola ornatur in dogmaticis litterarum divinarum quæstionibus. Dictitabat autem in quotidianis sermonibus et imperatori et si qui forte sapientiores **263** erant, privatim et publice, apud Latinos frequentes haberi orationes de regina hac urbium et quotquot incolarum eruditioni adversantur, cum in cæteris, tum quomodo divinitus semper facile falli consueti erant, et aliis alibi hæresibus et dogmatum novationibus ecclesiasticorum indulgent, ut
C arborum folia ventis jactantur omnibus. « Et nunc non minus Palamam quemdam nomine adulterinas mutationes inferre audiveramus divinorum dogmatum. Esse non solum turpissimas has mutationes, sed etiam multifarias et ex insaniæ colluvione multiformi concretas, ut verum sit, quæ hinc componere contigit multis quibusdam modis, magis quæ damnentur digna esse quam quæ aut Sabellio aut Ario et omnibus, qui Eunomio et Nestorio et Apollinario sint astipulati. Consona enim sunt, ut cognitum est, etiam illis; diversis autem et ineptioribus exaggerationibus plena et ineptissimum illud, quod hunc maxime omnium illorum debebat pudere, quorum exaggerationibus ipsa etiam con-
D victa superabat. Hic etiam ut justam pœnam acciperet, in carcerem cum vi conjectus est firmum, ne concordanter omnino hæc sonent cum illis et quod non in unisono hæc cum illis clamant et quod pejora etiam illis longis quibusdam modum, tacet, jocans, ut dicere possis, ibi, ubi nullus esse joco locus debet. Hunc igitur in aspectum mihi venisse vellem; si ergo tibi etiam nos cordi **264** ac curæ sumus, ne ægre fer et de reliquis integram mihi proponere quæstionem sis paratus. »

XXVIII. Talem itaque impetum Latini minime retardans imperator, in posterum diem officium explet suum, se parans ad colloquendum cum Palama, cujus colloquii dicit ipsum auscultatorem esse Latinum. Colloquio autem instituto prope distans

et ad se trahens privatim imperatorem Latinus, multa quidem dicit se loquentem audisse Palamam, sed temere et modo hoc, modo illud et eadem hæc undique compilata et corrasa; ut videamur incerti esse, utrum qualitate horum, an quantitate magis ad perversitatem stimulos addat. Quæsivit autem nihilominus Palama disputante etiam mecum, num ipse tacens factus essem auditor. Quare etiam postridie vocans a rege venit et me unum e jactantibus nobilitatem generis magnus logotheta et vix me dicit consuetis capitis morbis prorsus esse liberatum. Et postquam decipere eum non jam licebat, surgens abii. Cujus rei gratiam minime omnium neque sciebat neque revera ut scire disceret operam dabat. Præceperat enim Helena imperatrix, ne a me ante cognosceretur causa, cur in jus vocaretur, ne cum studio maturarem adventum et quædam celebritas fieret ostentationis Palamiticæ. Nam quam ob causam suo **265** patri Cantacuzeno, enixe sic etiam Palamas instabat et adversabatur plerumque conjugis sententiæ in omnibus rebus, ad quas illum sua trahit religio. Nuper autem aulam regiam intranti mihi etiam Palamam ibi ad disputationes instituendas considentem licebat videre. Sic autem mihi capite laboranti etiam et cum tam inopinato impeditum me certamine viderem, primum quidem visum est satius esse domum tamdiu redire, donec mecum paratas illas mihi accusationes reputassem. Ne igitur ignaviæ suspicionem apud homines dicaces subiremus, confirmavimus rursus sententiam nostram et recepimus Deo nos omnia committentes.

XXIX. Atque ita ad ipsum imperatorem accedebam, quem cum præsentibus nobilibus viris et simul eum Helena regina offendebam colloquentem, secutus certaminis temeritatem. Et quæ ibi disputata sunt quam multa et qualia et quomodo tempus talia suppeditaverit, narrabunt ea quæ sequuntur. Perscriptum est enim a me hoc satis tenui stylo. Traditum est autem ab altero quodam eorum qui ibi adfuerant qui interroganti cuidam respondit. Res vero sic se habet.

A ὧν ἰδίᾳ τὸν βασιλέα ὁ Λατῖνος πολλὰ μὲν ἀκούειν ἔφη λέγοντος Παλαμᾶ, μάτην δ' οὖν καὶ ἄλλοθεν ἄλλα συμπεφυρμένα τε καὶ παρευρημένα, ὡς ἀπορεῖν ἡμᾶς ἀποφαίνεσθαι πότερον τῇ ποιότητι τούτων ἢ τῇ ποσότητι δοίη τις ἂν τὸ πρὸς κακίαν τρόπαιον. Ἐζήτησε δ' οὖν ὅμως τοῦ Παλαμᾶ διαλεγομένου καὶ πρὸς ἐμὲ σιγῶν αὐτὸς γενέσθαι ἀκροατής. Διὸ καὶ τῇ ὑστεραίᾳ καλῶν ἐκ βασιλέως ἧκει κἀμὲ τῶν ἐπ' εὐγενείᾳ σεμνυνομένων ὁ μέγας λογοθέτης, ἅρτι τῶν εἰωθότων τῆς κεφαλῆς νοσημάτων οὐ τελέως μέν, ἀπηλλαγμένον δ' οὖν. Κἀπειδὴ παρακρούεσθαι οὐκ ἐνῆν, ἀναστὰς ἀπῆειν, ὅτου χάριν ἥκιστα πάντων οὔτ' εἰδὼς οὔτε μὴν πολυπραγμονήσας μαθεῖν. Προσετετάχει γὰρ ἡ βασιλὶς Ἑλένη μὴ προεγνῶσθαί μοι τὸ τῆς προσκλήσεως αἴτιον, ἵνα μὴ σὺν μελέτῃ δρῴην τὴν ἄφιξιν καί τις παρευδοκίμησις γένηται τῆς τοῦ Παλαμᾶ ἐπιδείξεως. Διὰ γὰρ τὸν ἑαυτῆς πατέρα Καντακουζηνὸν λίαν καὶ αὕτη τῷ Παλαμᾷ προσέκειτο, καὶ ἀντέπραττεν ὡς τὰ πολλὰ τῇ τοῦ συζύγου γνώμῃ πρὸς ὅσα τῇ θρησκείᾳ συντείνει. Ἅρτι γε μὴν τὴν βασίλειον αὐλὴν εἰσιόντι μοι καὶ Παλαμᾶν ἐκεῖ πρὸς διαλέξεις ἕφεδρον εἶναι μαθεῖν ἐξεγένετο. Οὕτω δ' ἔχοντί μοι τῶν ἐκ κεφαλῆς ἀλγηδόνων ἔτι, καὶ [f. 131 v.] οὕτως ἀπροσδοκήτως ἐμπεπηδηκότος μοι τοῦ ἀγῶνος, πρῶτον μὲν ἔδοξε βέλτιον οἰκαδε τέως ἐπανιέναι με, μικρὰ τῶν μεμηχανημένων προσκλήσεων ἐκείνων φροντίσαντι· ἵνα δ' οὖν μὴ δειλίας ὑπόνοιαν τοῖς φιλοσκώμμοσι δῶμεν, ἐπερρώσαμέν τε αὖθις τὸν λογισμὸν καὶ ἀνελάβομεν ἑαυτούς, Θεῷ τὸ πᾶν ἐπιτρέψαντες.

ΚΘ'. Καὶ οὕτως εἰς αὐτὸν εἰσῄειν βασιλέα τῇ τε τῶν εὐγενῶν συνόντα παρουσίᾳ καὶ ἅμα τῆς βασιλίδος Ἑλένης, τῷ τοῦ συμβάντος σχεδίῳ παρηκολουθηκώς. Τά γε μὴν ἐκεῖ λαληθέντα, ὁπόσα καὶ οἷα, καὶ ὅπως ὁ καιρὸς ἐσχεδίασε τὰ τοιαῦτα, δηλώσει τὰ ἑφεξῆς. Γέγραπται μὲν γάρ μοι ταυτὶ λεπτοτέρᾳ τινὶ διηγήσει, ἐκδέδοται δ' ὡς ἐξ ἑτέρου τῶν ἐκεῖ παρόντων ἑνός, πρὸς ἐρωτήσαντά τινα δῆθεν διεξιόντος. Ἔχει δὲ οὑτωσίν.

# ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ
## ΡΩΜΑΙΚΗΣ ΜΕΝ ΙΣΤΟΡΙΑΣ
## ΛΟΓΟΣ Λ',
### ΔΟΓΜΑΤΙΚΟΣ ΔΕ Α'.

*Μοναχοῦ Νικηφόρου τοῦ Γρηγορᾶ διήγησις περὶ ἧς διαλέξεως ἦν ἐποιήσατο πρὸς τὸν Παλαμᾶν ἐνώπιον τοῦ βασιλέως κυρ. Ἰω. τοῦ Παλαιολόγου. Εἰσάγεται δὲ ἡ διήγησις ὡς ἐξ ἑτέρου προσώπου.*

# NICEPHORI GREGORÆ
## BYZANTINÆ HISTORIÆ
## LIBER TRICESIMUS,
### DOGMATICORUM VERO PRIMUS.

*Monachi Nicephori Gregoræ narratio de colloquio quod cum Palama coram imperatore Joanne Palæologo habuit. Inducitur autem narratio tanquam ab alio facta.*

Α'. Ἀλλ', ὦ φίλων ἄριστε Ἀγαθόνικε, σύ μοι πάντως μάλιστα πάντων λέγοις ἂν καὶ ἀφηγοῖο τὴν χθὲς ἐπὶ τοῦ τὰ πάντα ἀρίστου βασιλέως γενομένην διάλεξιν Γρηγορᾷ τε καὶ Παλαμᾷ. A

Καὶ μάλα γε, ὦ φίλε Θεότιμε, εἴ σοι βουλομένῳ καὶ σχολὴ προσείη τὸ ἱκανὸν οὐδαμῇ ἀποσειομένῃ· ποικίλη γὰρ ὡς ἀληθῶς καὶ ἀκοῆς δεομένη λαμπρᾶς, καὶ ἣ ἐρῴωται πρὸς θειοτέρων ἀντίληψιν ἐννοιῶν. Πάντα μὲν οὖν σοι καθ' ἓν τὰ ἐκεῖ λεχθέντα διεξιέναι ἴσως μὲν ἂν δυναίμην, ἴσως δ' οὔ, λήθης ἐνίων παρασυρέντων βυθοῖς· τὰ δ' οὖν ἀξιολογώτερα, καὶ ὧν σοι μᾶλλον ἀκοῦσαι χρεών, ταῦτα δ' οὖν ὡς ἐν κεφαλαίῳ μεμνήσομαί σοι.

Β'. Ἄρτι τῶν εἰωθότων τῆς κεφαλῆς νοσημάτων βραχύ τι ἀνενεγκόντα τὸν Γρηγορᾶν ἦκε καλῶν ἐκ βασιλέως ὁ μέγας λογοθέτης ὁτουδήποτε εἵνεκα· καὶ ἐπειδὴ παρακρούεσθαι οὐκ ἐνῆν, ἀναστὰς ἀπῆει, καὶ ἅμα εἰπόμην αὐτὸς ἀκουσόμενος. Ἦν δὲ τὸ τῆς ὥρας ὀψὲ μετὰ δύσιν ἡλίου. Καὶ προσεληλυθὼς ὁ Γρηγορᾶς, καὶ τὴν εἰωθυῖαν ἀποδεδωκὼς τῷ βασιλεῖ πρόσρησιν, εἶτα ἐκάθισεν. Ἔτυχε δ' εὐθὺς ἐκεῖ καὶ ὁ Παλαμᾶς συνεισιών, οὐκ οἶδ' ὁπότερον, εἴτε ἐκ προθεσμίας πάλαι μελετηθείσης ἔφεδρος ἐκεῖ που παρών, εἴτ' ἀπὸ τύχης, ὡς εἴωθε γίνεσθαι τὰ πολλὰ τῶν ἐν κόσμῳ πραγμάτων. Ὅς δὴ καὶ τὰ παλαιγενῆ προπετῶς, καὶ ὅσα λήθης μακρᾷ συναπήχθησαν ῥεύμασι, μηδαμῇ τῇ παρούσῃ B

I. Age, o amicorum optime Agathonice, tu unus omnium facillime narrare et tradere possis hesternum, quod coram optimo rege factum est, colloquium Gregoræ et Palamæ.

Profecto libenter, amice Theotime, si tibi placet et otium suppetit necessarii nihil respuens. Varium enim profecto illud est et attentionem requirit egregiam, quod et valeat ad concipiendas animo cogitationes divinas. Omnia igitur tibi singula, de quibus ibi actum est, persequi haud scio an possim, cum oblivionis barathro quædam demersa sint. Quæ autem memoratu digniora sunt et quæ potissimum audias necesse est, ea igitur breviter et summatim tibi commemorabo.

**267** II. Gregoras cum modo ex consuetis capitis doloribus vires parumper refecisset, invitaturus eum ab imperatore missus est magnus logotheta quacunque de causa : quod cum excusare non posset, assurgens abiit et auditurus eum ego ipse secutus sum. Serum jam diei erat post solis occasum. Ac Gregoras quidem cum advenisset et solitam ad regem allocutionem pronuntiasset, tum consedit. Forte autem accidit ut statim ibi etiam Palamas simul introiret, nescio, utrum propter causam jamdudum constitutam loculturus ibi adesset, an casu, ut plerœque res in terra gestæ fieri solent. Qui cum prisca imprudenter et quæ oblivionis profundæ fluminibus

abrepta essent, nullo modo pertinentia ad eam rem, de qua tum agebatur, protulisset et gloriatus esset, qui erat ejus mos, et ad laudem suam multa de se gloriosius prædicasset, et commorationem in monasterio factam et colloquium cum Barlaamo institutum et talia fere, postquam aures eorum qui tum aderant, implevisset, et tanquam jamdudum præmeditatum et insidiosum ostendisset consilium adventus sui gloriosa quadam jactatione, conticuit. Atque ut quæ interposita sunt omittam et quæcunque plane necessariis obstant, ad hæc inexspectata et extemporalia proœmiatus, præmissis **268** iis quæ necessaria sunt, Gregoras quoque deinceps rogavit, quid se oporteret dicere ad voluntatem imp. divinissimi. Tum imperator: Equidem, inquit, etsi ad alia incepta animum advertere statueram, tamen cum vos nunc videam hic adesse, convenientius mihi videtur partem aliquam quamvis parvam dogmatum, de quibus nonnulli disceptant, ecclesiasticorum per vos cognoscere. Etenim se audisse dixit disceptationes non leves natas esse, alias aliter de voluminibus et scriptis, quæ dixit nescio quomodo orta esse, rejici tamen a doctis multis, data opera monstrare volentibus periculosas quasdam theologiæ dogmatum novitates illis contineri. Volebam igitur concilio ad colloquium convocato correctionem peragere. Sed cum res non conveniat, nunc quidem volo ex vobis, qui quacunque de causa hic adestis, de certa quadam re ipse audire. Nam volumen illud, quod frequentatas contentiones et disceptationes continet, mihi cum in Thessalonica versarer, accidit, ut neque quid sibi vellet intelligerem, neque utrum vera an falsa exhiberet ei qui accurate quærere vellet. Vereor autem, ne mihi quoque adhæreat pœna divina, quia et ipse cum concilio hospes postea adessem aliquandiu, alio præsidente, invitus nomen subscripsi ab eo coactus. Quæ enim intercesserunt **269** omitto, cum angustias temporis vitare non possim. Gregoras referens: Equidem, inquit, cum ex longo tempore theologiæ mysteria in ore habere non valde auderem, sed eorum et famam et judicium horrerem, statim tanquam ab igne me retraxi. Nam ubi magnis et valde doctis præceptoribus illius Ecclesiæ administrationem ut omnino exuterent obtigit, nonne aperte insaniremus si talia tractare vellemus, cum ne pauca quidem eorum quæ illi discere potuerimus? Atque ut mei ratione habita planius exponam, quo animo paulatim affectus sim in tale antea conceptum propositum, cum, mortuo divinissimo et beato patre tuo, claro illo imp., res Græcorum in tumultum civilem adducerentur et fluctus miserrimi in divina Ecclesiæ dogmata prorumperent, et velut coorta tempestate et nocte omnia tenebris essent involuta, ita ut, quod vulgo dicere solent, nemo e sideribus colligere posset, quo ferretur, cumque omnia surgentia et cadentia eatenus pro conjunctione excitarent et maxime ea quæ quisque speraret, in periculum

προσήκοντα χρείᾳ πρυδιαλαβὼν καὶ τερατευσάμενος, ὡς εἰώθει, καὶ ὅτα πρὸς ἔπαινον ἐγκαλλωπισάμενος ἑαυτοῦ περί τε τῆς ἐν λαύρᾳ διατριβῆς καὶ τῆς πρὸς Βαρλαὰμ διαλέξεως, καὶ τοιούτων δή τινων τὰς τῶν παρατυχόντων ἐμπεπληκὼς ἀκοάς, καὶ δείξας οἱονεὶ προβεβουλευμένον εἶναι καὶ ἐπίβουλον τὸν σκοπὸν τῆς τηνικαῦτα αὐτοῦ γε ἐπιδημίας πρὸς ἐπιδεικτικὴν φαντασίαν, εἶτα ἐσίγησε. Καὶ ἵνα τἀν μέσῳ παρέλθω, καὶ ὅσα τοῖς ἔμπροσθεν ἀναγκαίοις γίγνοιτ' ἂν ἐμποδών, πρὸς τὸ ἀπροσδόκητον τουτοὶ καὶ αἰφνίδιον προοιμιασάμενος, καὶ προδιαλαβὼν ὅσα εἰκὸς, καὶ ὁ Γρηγορᾶς [f. 132 v] ὅ τι ἂν καὶ πρὸς αὐτοῦ εἴη βουλομένῳ τῷ θειοτάτῳ βασιλεῖ λέγεσθαι ἐφεξῆς ἤρετο. Καὶ ὁ βασιλεὺς, « Ἐμοὶ δ' εἰ καὶ πρὸς ἄλλας ἄγειν, » ἔφη, « τὸν νοῦν ὑποθέσεις ἐνῆν, ἀλλ' οὖν ὑμᾶς ὁρῶντι συνεληλυθότας νῦν ἐνταυθοῖ καιριώτερον εἶναι δοκεῖ πολλοστημόριόν τι περὶ ὧν ἔνιοι διαφωνοῦσιν ἐκκλησιαστικῶν δογμάτων μαθεῖν πρὸς ὑμῶν. » Καὶ γὰρ ἀκούειν ἔφησεν ἔριδας οὐ μικρὰς φυομένας ἄλλοτ' ἄλλως περὶ τόμων καὶ γραμμάτων, « Ἃ προγεγέννηνται μὲν, » φησὶν, « οὐκ οἶδ' ὅπως, ἀθετοῦνται δὲ πρὸς πολλῶν ἑλλογίμων, ἐπισφαλῆ τινα θεολογίας καινοφανοῦς ἐμπεριέχεσθαι τούτοις δεικνύειν δόγματα μάλα σφοδρῶς διατεινομένων. Ἐβουλόμην μὲν οὖν παῤῥησίᾳ συνοδικῇ τὴν διόρθωσιν διαπράξασθαι· τῶν δὲ πραγμάτων οὐ συγχωρούντων ἔν γε τῷ παρόντι, βούλομαι παρ' ὑμῶν γοῦν ἐνταυθοῖ νῦν ὁπωσδηποτοῦν συνεληλυθότων περὶ ἑνὸς οὑτινοσοῦν αὐτήκοος γεγονέναι. Τὸν γὰρ τὰς θρυλλουμένας ἔριδας καὶ διαφωνίας ἀγείροντα τόμον ἐμοῦ διατρίβοντος ἐν Θεσσαλονίκῃ συμπέπτωκε γεγενῆσθαι, ὡς μήθ' ἃ λέγει γινώσκειν ἐμὲ, μήθ' ὅπως ἀληθείας ἢ ψεύδους ἔχει, εἴ τις ἀκριβῶς ἐξετάζειν βούλοιτο. Δέδια δ' οὖν μὴ κἀμοὶ προστριβείη κρίμα θεόθεν, ὅτι καὶ αὐτὸς τῇ βασιλευούσῃ τέως ἐπιδεδημηκὼς ἐν ὑστέροις, ἑτέρου τέως τὴν ἐξουσίαν ἔχοντος, ἄκων ὑπέγραψα, βιασθεὶς ὑπ' αὐτοῦ (τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας), οὐκ ἔχων ὅπως ἂν ἐκφύγοιμι τὸ τῆς ὥρας βίαιον. » Ὁ δὲ Γρηγορᾶς ὑπολαβών φησιν· « Ὡς ἐγὼ δ' ἐκ πολλοῦ τὰ τῆς θεολογίας μυστήρια φέρειν διὰ χειλέων οὐ μάλα τολμῶν, ἀλλὰ φρίττων καὶ ἀκοὴν καὶ διάνοιαν, ἀπεπήδων εὐθὺς ὡς ἀπὸ πυρός. Ὅπου γὰρ τοῖς μεγάλοις καὶ σφόδρα σοφοῖς διδασκάλοις ἐκείνης τῆς Ἐκκλησίας ἀποσείεσθαι τὴν ἐγχείρησιν ὁλοσχερῶς συνέβαινεν, ἦ που μανίᾳ σαφὴς ἡμᾶς ἐγχειρεῖν τοῖς τοιούτοις, μηδὲ μικρὰ γοῦν τῶν ὅσα ἐκεῖνοι μαθεῖν πω δεδυνημένους. Καὶ ἵνα τὸ κατ' ἐμαυτὸν ἀναλαβὼν διηγήσωμαι τελεώτερον, ὅπως δηλαδὴ κἀμοὶ πρὸς τὴν τοιαύτην ἐξ ἀρχῆς ὑπόθεσιν διατεθῆναι συμπέπτωκεν, ἐπεὶ μετὰ τὸν τοῦ θειοτάτου καὶ μακαρίτου πατρός σου θάνατον, τοῦ ἀοιδίμου φημὶ [f. 133 r.] βασιλέως ἐκείνου, πρὸς ἐμφύλιον στάσιν τὰ Ῥωμαίων ἠγέρθη πράγματα καὶ ἅμα κατὰ τῶν θείων τῆς Ἐκκλησίας δογμάτων τὰ χείριστα πρὸς κακίαν ἀνέῤῥωγε κύματα, καὶ ὥσπερ ἐν χειμῶνι καὶ νυκτὶ τὰ πάντα ζόφος ἦν, ὡς μηδὲ ἄστροις, τὸ θρυλλούμε-

νον, ὅποι φέροιτό τις δύνασθαι τεκμαίρεσθαι, καὶ πάντ' ἄνω καὶ κάτω μεταπίπτοντα παρὰ τοσοῦτον ἐκ τοῦ σύνεγγυς ἐτίθετε καὶ μάλα τῶν ἐλπιζομένων ἑκάστοις ἐποίει τὸ ἐπικίνδυνον παρ' ὅσον πόρρω καὶ δύσελπι τάσφαλὲς (ἐν γὰρ διχοστασίῃ φησὶ τὸν μὲν πάγκακον τυγχάνειν τιμῆς, τὸν δὲ καὶ ὁπωσοῦν μετέχοντα τοῦ βελτίονος θρήνων πάσχειν ἄξια καὶ τραγικῶν ἀπολαύειν τῶν συμφορῶν), τῶν κρατίστων εἶναί μοι τὸν ἡσύχιον ἔδοξε βίον ἑλέσθαι, τῶν βασιλικῶν ἀφεμένῳ θεάτρων. Τοῦ γὰρ ἐρεθίζοντος καὶ μάχην ἐκεῖθεν ἀντίπαλον ἀνιστῶντος οὐκ ὄντος ἐν ὀφθαλμοῖς ἡμῶν ἀφανείᾳ κεκαλυμμένοις, παύσεσθαι τὸ νεμόμενον τῆς καθ' ἡμῶν κακίας ᾠήθην. Ὅθεν ἐπειδὴ τοῖς ἄλλοις παραινοῦντί μοι τοὺς πειθομένους ἥκιστ' ἔχειν ἐνῆν, τὸ κατ' ἐμαυτὸν ἐποίουν αὐτός· θόρυβον μὲν γὰρ ἐξ εἰρήνης ῥᾴδιον καὶ τοῖς φαυλοτάτοις καὶ βάναυσον ἄγουσι βίον ποιεῖν, ἐκ δὲ θορύβων εἰρήνην οὐδὲ τοῖς σφόδρα συνετοῖς μάλα τι εὔοδον. Τὸ μὲν γὰρ αὐτονομίᾳ φύσεως ἄγεται, ἡ δὲ φύσις ἄτακτον καὶ ἀνώμαλον ὡμολόγηται εἶναι· τὸ δὲ παιδείᾳ καὶ συνέσει βεβουλευμένῃ καὶ σώφροσι λογισμοῖς οἰακίζεται. Ὅθεν τὸ μὲν καὶ τὰς οὐκ οὔσας ἀναπλάττει προφάσεις, ἐφόδια πορίζον ταῖς μάχαις· τὸ δὲ καὶ τὰς οὔσας ἐκτέμνειν πειρᾶται, καθάπερ ἰατρὸς πρὸ τῆς βλάστης ἐν τῇ ῥίζῃ τὴν θεραπείαν τεχνώμενος. Ἐπεὶ δὲ καὶ ἀφορισμῷ Παλαμᾶν μετὰ τῆς αὐτοῦ φρατρίας ἀπάσης καὶ χωρισμῷ Θεοῦ καθυποβεβλῆσθαι συμβέβηκε δυοῖν πατριαρχῶν καὶ ὅλων ὁπόσοι τηνικαῦτα παρῆσαν τῶν ἐπισκόπων, ἔτι μᾶλλον ἐμαυτῷ τὰ τῆς ἡσυχίας παρῄνουν καὶ ἐπεκύρουν, ταύτης μόνης τὸ ῥᾷστον ἐχούσης καὶ εὔλογον τῆς τῶν βεβήλων φρατρίας καὶ κοινωνίας ἐπιεικῶς ἀφιστᾷν. Ἤδη δὲ καὶ διωγμὸν ἀνερρίπισεν ὁ τῆς Ἐκκλησίας χειμών, καὶ διωγμῶν τὸν φρικωδέστατον καὶ βαρύτατον, ὡς κἀντεῦθεν μὴ μόνον ἐξόριστον γεγονότα τὸν πατριάρχην βιαίῳ θανάτῳ τοῦ βίου [f. 133 r.] παρᾶσαι τὴν τελευτήν, ἀλλὰ καὶ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων ὁπόσοι τὴν ἐνστᾶσιν ἀκλόνητον ἔσχον ἐν τοῖς δεινοῖς, ἄλλος ἄλλοθι τῆς οἰκουμένης διωκόμενοι διεσπάρησαν. Ἐῶ λέγειν οὓς ἐν εἱρκτῇ καὶ ζόφῳ θνήσκειν συνέβαινε, καὶ ὅσοι λιμῷ καὶ δίψει καὶ πάσῃ τῶν ἀναγκαίων στενοχωρίᾳ βιαίοις θανάτοις ἀπήλλαξαν. Καὶ τό γε μεῖζον ὅτι μηδὲ ταφῆς, ὦ γῆ καὶ ἥλιε, πρὸς τῶν ἐπιτηδείων τυγχάνειν συνεχωροῦντο, πλὴν ἢ ὅσοι κατὰ τὸ λεληθὸς κατωρύττοντο. Ὧν οὐδὲ τούτων ἀπέσχοντο οἱ κυνὸς Λακαίνης δίκην ῥινηλατοῦντες καὶ ἀνιχνεύοντες, ἀλλὰ καὶ τούτων ἐνίους ἀνώρυξαν. Οὕτω διωγμῶν ἁπάντων βαρύτατος οὑτοσί. Τί γὰρ ἀνύσειν ἔμελλον πλέον, εἰς ἀναίσθητον σῶμα τὴν τῆς ἀτόπου ψυχῆς ἀγνωμοσύνην ἐκχέοντες; Θανεῖν γὰρ ἀνάγκη, ζῆν δ' ἢ ταφῆ καλυφθῆναι, τούτων δ' οὐδέτερον τέως ἀνάγκη. Διὸ τὸ μὲν καὶ μὴ βουλομένων ἀνθρώπων ἡ φύσις τελεῖ, τὸ δ' ἐν τῇ προαιρέσει κείμενον τῶν περιλειπομένων ἔλεγχος ὁποτέρου γίνεται δυοῖν, εἴτ' ἀπονοίας εἴτε προνοίας. Τῆς δὴ τοιαύτης περικλονήσεως ἔργον γινόμεθα καὶ ἡμεῖς, οὐ βουλόμενοι ταῖς ἀτόποις

A vocarent, quatenus remota et desperata esset salus. Nam in seditione ait poeta pessimum quoque assequi honorem : **270** qui autem quocunque modo partis melioris studiosus sit, eum perpeti res miseratione dignas et subire casus tragicos. Optimum igitur mihi visum est, tranquillam præferre vitam, theatro imperatorio relicto. Cum enim qui irritaret et pugnam oppositam hac re excitaret, ante oculos nostros non versaretur, quippe qui tenebris involuti essemus, putabam fore ut pars attributa calamitatis nostræ desineret. Quamobrem quia minime contigit, ut mihi qui aliis consilia darem, dicto audientes essent, ipse officia mea præstabam. Nam tumultum e pace facere etiam hominibus pessimis quibusque facile est; e tumultu autem pacem
B restituere, ne admodum prudentibus quidem profecto est promptum. Alterum enim arbitrio naturæ agitur : naturam autem turbidam et mutabilem esse constat : alterum humanitate et consilio sapienti et cauti deliberationibus administratur : quamobrem illud etiam ficta excogitat causas, præbens subsidia prœliis : hoc veras quoque tollere conatur, ut medicus non in ramo, sed in radice curationem tentans. Postquam autem secidit, ut Palamas cum tota familia sua et determinatione et separatione divina succumberet patriarchis duobus, et omnibus, quotquot tum aderant episcopis, multo magis tranquillitatem probabam et nanciscebar, quippe quæ sola facultatem et ra-
C tionem præberet hæreticorum familia et societate satis abstinendi. Jam vero insectationem accendit Ecclesiæ tempestas, et **271** eam quidem omnium terribilissimam et atrocissimam, ita ut hanc ob rem non solum patriarcha expulsus morte violenta diem supremum obiret, sed etiam episcoporum et presbyterorum quotquot in periculis constantem vitæ rationem tenebant, alius alio per orbem terrarum exagitati dissiparentur. Omitto narrare, quibus acciderit, ut in carcere et tenebris interirent, omnesque qui fame et siti et necessariorum penuria morte violenta decederent : et id quod etiam gravius est, quod ne sepulcrum quidem, o terra et sol, ut haberent per cognatos, iis concessum est, nisi quicunque clam humabantur, quanquam ne
D ab his quidem sibi temperabant illi canis Laconicæ instar odorantes et investigantes : sed horum quoque nonnullos eruebant. Hæc igitur omnium persecutionum fuit gravissima. Quid enim amplius committere poterant in corpus sensu carens animi inepti ignorantiam effundentes ? Nam mori necesse est; quod autem ad vivendum aut sepulturam attinet, horum omnino neutrum necesse est; propter quod alterum etiam invitis hominibus natura perficit : alterum in voluntate positum superstitum signum est alterutrius aut dementiæ aut prudentiæ. Tali igitur insectatione afficimur etiam nos, qui quidem ineptæ vocum novitati Palamæ istius indulgere nolimus. Omnia quidem mala, quæ propterea experti sumus, **272**

committere auribus hominum omnino non necesse puto, Deo, qui occulta animadvertit, hæc accurate perspiciente. Tamen cum voluntate divina, imperator, paternam tuam imperii sortem susceperis, simulque nos refecerimus paululum qui perseverantia periculorum defatigati vitam non abjecerimus, cumque decretorum et voluminum illorum maculæ et exitia in conspectum nobis inciderint et famam jam clare perspexerimus et convicia ista et quascunque contra libros divinos obtrectationes falsasque criminationes effundunt: necesse igitur illud volumen jam proferatur in medium, ne oratio nostra temere et incassum procedat, nullum habens fundum fundamentumque.

III. Tum imperator : Non operis, inquit, perfecti in præsenti requirimus compositionem; sed doctrinæ perquam symbolicæ et obscuræ vestigia et signa. Profecto enim presbyterorum coronam convocabamus: neque vero in secreto et recessu res nobis ullo modo componebatur, componetur tamen justo tempore. Cui respondens Palamas in Barlaamum convertere conabatur sermonem et viva ex mortuis demonstrare; sed rejectus est per Gregoram cum ad res obscuras confugeret: quod liceret ante oculos posita ad causam præsentem adhibere: quamobrem **273** ad aliam conversus et alia multa locutus est et simul tentavit eum quærendo, num essent qui essentiam divinam et efficientiam divinam diversas esse negarent: qua de re potissimum etiam Gregoram loqui voluit.

IV. Tum Gregoras ad imperatorem conversus: Cum multa, inquit, sint studia, princeps augustissime, quæ jamdudum mortua reviviscere nuper ille jussit, quæque antea non visa ille invenit, socia adjutus manu principis, placitum ejus, quod est de multis deis, puto, sufficiet huic quam aggredimur adumbrationi. Cupiens enim explicare dogma quod est de Dei Verbi incarnatione, simulque multos deos introducere, contendit, efficientiam esse divinitatem submissam, increatam, et essentia carentem, et diversam omnino ab illa divina et beata essentia et corporis oculis conspicuam per se, quæ cum omnia perficiat, ipsa et perficiatur per essentiam impositam et moveatur sicut machinæ moveant quæ moveri possint: deinde unam illam efficientiam in multas, sive potius infinite in infinitas dividit sicut genus in species diversas, et nomine generali omnes vocat efficientias, solas autem et singulas, vim, vitam, imperium, sapientiam, facultatem, **274** lucem, veritatem, et uno verbo quæcunque Deo digna nomina et cogitata, etsi e diversis principiis notationem accipiunt, tamen eumdem inter se locum tenent, quia nullo fere modo diversa sunt præ significatione supposita, omnia uno verbo divinitates vocat diversas et increatas. Reprehensus igitur a

A καινοφωνίαις ὑπείκειν Παλαμᾷ τουτουΐ· ὁπόσων γε μὴν καὶ τῶν δεινῶν πεπειράμεθα διὰ ταῦτα, παραπέμπειν ἀκοαῖς ἀνθρωπίναις οὐ πάνυ τι χρῆναι νομίζω, τοῦ τὰ κρυπτὰ ἐφορῶντος Θεοῦ γινώσκοντος ἀκριβῶς. Ὅμως ἐπεὶ θειοτέρᾳ βουλῇ τὸν πατρῷόν σοι τῆς μοναρχίας ἀνείληφας κλῆρον, ὦ βασιλεῦ, καὶ ἅμα ἡμᾶς ἀνεπεπνεύκειμεν βραχὺ καὶ ὅσον μὴ τῇ συνεχείᾳ τῶν δεινῶν ἀπηγορευκότας προέσθαι τὸ ζῆν, καὶ αἱ τῶν ψηφισμάτων καὶ τομογραφιῶν ἐκείνων κηλῖδες καὶ κῆρες ἦκον ἡμῖν εἰς ὄψιν καὶ ἀκοήν, ἔγνωμεν ἤδη σαφῶς καὶ τὰς ἐκεῖ βλασφημίας, καὶ ὅσας τῶν θείων Γραφῶν τὸ διαβολὰς καταχέουσι καὶ συκοφαντίας. Ἀναγκαῖον οὖν ἐκεῖνον ἤδη προενεχθῆναι τὸν τόμον εἰς μέσον, ἵνα μὴ μάτην καὶ εἰς κενὸν ὁ δρόμος ἡμῖν ὑπάρχῃ
B τοῦ λόγου μηδεμίαν ἔχων κρηπῖδα καὶ βάσιν. »

Γ'. Ὁ δὲ βασιλεύς, « Οὐκ ἔργου τινὸς ἐντεῦθεν ἐν τῷ ἄρτι ζητοῦμεν, » ἔφη, « κατάστασιν, ἀλλὰ γνώσεως οἱονεὶ τυπικῆς καὶ σκιώδους ἴχνη καὶ ὑπομνήματα. Ἦ γὰρ ἂν ἐπισκόπων καὶ πατριαρχῶν ὁμοῦ καὶ πρεσβυτέρων συνήγομεν θέατρα, καὶ οὐκ ἐν παραβύστῳ καὶ γωνίᾳ τὸ πρᾶγμα ἦν οὑτωσί πως ἐτελεῖτο. Ἔσται δ' οὖν ὅμως κἀκεῖνο κατὰ τὸν δέοντα χρόνον. » Ὑπολαβὼν οὖν [f. 134 r.] ὁ Παλαμᾶς εἰς Βαρλαὰμ ἀνάγειν ἐπεχείρει τὸν λόγον, καὶ δεικνύειν τὰ ζῶντα ἐκ τῶν νεκρῶν. Ἐκκέκρουσται δὲ πρὸς τοῦ Γρηγορᾶ, εἰς τὸ ἀφανὲς καταφεύγων, παρὸν, ἃ πρὸ ὀφθαλμῶν, τούτοις κεχρῆσθαι πρὸς τὴν παροῦσαν χρείαν. Διὸ καὶ πρὸς ἑτέραν τραπόμενος τά τε ἄλλα ἐπολυλόγησε, καὶ ἅμα
C κατέδραμεν εἴ τινες εἶεν οἱ τὴν θείαν οὐσίαν καὶ τὴν θείαν ἐνέργειαν κατ' οὐδὲν διαφέρειν λέγοντες. Περὶ οὗ μάλιστα καὶ τὸν Γρηγορᾶν ἠξίου τὸν λόγον ποιεῖσθαι.

Δ'. Καὶ ὁ Γρηγορᾶς πρὸς τὸν βασιλέα στραφείς, « Πολλῶν αἱρέσεων, » ἔφησεν, « ὦ θειότατε βασιλεῦ, οὐσῶν, ἃς πάλαι τεθνηκυίας ἀναβιῶναι πέπραχεν οὗτος ἀρτίως καὶ ἃς οὔπω φανείσας ἐξεῦρε, σύμμαχον ἔχων τὴν δυναστεύουσαν χεῖρα, ὁ τῆς πολυθεΐας, οἶμαι, λόγος ἀρκέσει τῇ παρούσῃ σκιαγραφίᾳ. Θέλων γὰρ καταλῦσαι τὸ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ Λόγου δόγμα, καὶ ἅμα πολυθεΐαν εἰσαγαγεῖν, ἐνέργειαν εἶναι κηρύττει θεότητα ὑφειμένην ἄκτιστον καὶ ἀνούσιον καὶ διάφορον παντάπασι τῆς θείας ἐκείνης καὶ μακαρίας
D οὐσίας, καὶ σωματικοῖς ὀφθαλμοῖς ὁρατὴν καθ' αὑτὴν, ἐνεργοῦσαν μὲν τὰ πάντα αὐτὴν, ἐνεργουμένην δ' αὐτὴν ὑπὸ τῆς ὑπερκειμένης οὐσίας ἅμα, καὶ κινουμένην καθάπερ ὁποῖα τῶν ὀργάνων κινεῖ κινούμενα. Εἶτα τὴν μίαν ἐνέργειαν εἰς πολλὰς, μᾶλλον δ' ἀπειράκις ἀπείρους διελὼν, ὡς γένος εἰς εἴδη διάφορα, γενικῷ μὲν ὀνόματι πάσας ἐνεργείας καλεῖ, ἰδίᾳ δ' αὖ καὶ καθ' ἕκαστα δύναμιν, ζωὴν, βασιλείαν, σοφίαν, ἐξουσίαν, φῶς, ἀλήθειαν. Καὶ ἁπλῶς ὁπόσα θεοπρεπῆ τῶν ὀνομάτων καὶ νοημάτων, εἰ καὶ ἐκ διαφόρων ἀρχῶν λαμβάνει τὴν ἐτυμολογίαν ἕκαστον, ἀλλ' οὖν ὁμοτίμως ἔχοντα πρὸς ἄλληλα τῷ μηδέν τι παρὰ τὴν τοῦ ὑποκειμένου διαφωνεῖν σημασίαν, θεότητας πάντα καθάπαξ αὐτὸς καλεῖ διαφόρους καὶ ἀκτίστους. Ἐγκαλούμενος οὖν πρὸς

τῶν συνετωτέρων πολλάκις, ὡς ἅπερ πάλαι Μάρκελλος ὁ Γαλάτης καὶ Φωτεινὸς καὶ Εὐνόμιος διαφόρως ἀλλήλοις εἰπόντες ἐπ' ἴσης κατὰ τῆς εὐσεβείας ἐρράγησάν τε καὶ ἔπνευσαν, ταῦτα πάντα συλλήδδην κηρύττει νῦν οὑτοσὶ καθάπερ εἰς ἕνα συντήξας κρατῆρα κακίας, σκολιὰς ποιεῖται τὰς ἀποκρίσεις, ἐξ ἑτέρου πρὸς ἕτερον μεταβαίνων, καὶ πάντας δυσσεβεῖς νικῶν [f. 134 v.] ταῖς ἐπὶ τὸ μεῖζον τοῦ κακοῦ προσθήκαις. Καὶ δέον τοῦ ὑπερβάλλοντος ἕνεκα ἐγκαλύπτεσθαι, ὁ δὲ τοὐναντίον διαφυγῆς πορίζεται πρόφασιν τὴν πρὸς τὸ χεῖρον ταύτην παράλλαξιν, καὶ οὐδενὶ συμφωνεῖν διατείνεται, ὅμοιον ποιῶν ὥσπερ ἂν εἴ τις κλοπῆς ἐγκαλούμενος, ὁ δὲ τὸ μὲν κλέπτης εἶναι ἀπηγόρευεν, ἱερόσυλος δ' εἶναι καὶ ἀνδροφόνος ἐτίθετο, μὴ εἰδὼς πολλαπλάσιον ἔχειν τὴν τιμωρίαν τὸν ἀνδροφόνον καὶ ἱερόσυλον ἢ τὸν ἰδιωτικὰ χρήματα κεκλοφότα. Ὅμως εἰπάτω νῦν ποῦ τῆς ἱερᾶς τῶν ἁγίων Γραφῆς εὑρίσκει ῥητῶς πολλὰς ἀκτίστους θεότητας καὶ διαφόρους τῆς θείας ἐκείνης οὐσίας, καθάπερ ἐγὼ νῦν κομίζω μάρτυρας τούτους ἓν μόνον τὸ ἄκτιστον τὴν θείαν καὶ τρισυπόστατον λέγοντας φύσιν, τὰ δ' ἄλλα πάντα καὶ μετ' αὐτὴν κτιστά. Ἐξ ὧν αὐτό τε τοῦτο μαθεῖν ἔστιν ὅτι ἓν τὸ ἄκτιστον καὶ οὐ πολλά, καὶ ἅμα ὅτι οὐσίαν καὶ οὐσιῶδες καὶ ἐνούσιον καὶ φύσιν καὶ φυσικὸν καὶ ἔμφυτον ἐπὶ Θεοῦ λεγόμενα ἁπλῆν ἔχει τὴν σημασίαν καὶ μοναδικὴν καὶ μηδὲν μηδαμῆ παραλλάττουσαν τῷ τῆς οὐσίας καὶ φύσεως λόγῳ πλὴν τῇ προφορᾷ τῆς λέξεως. Λέγεται μὲν γὰρ κἀν τοῖς συνθέτοις ταῦτα καὶ κτιστοῖς, ἀλλ' οὐ κατὰ τὸν ἀναγκαῖον τὸν δ' αὐτοῖς ἐνδεχόμενον τρόπον, ᾧ τὸ εἶναι καὶ μὴ εἶναι ἔπεται ἐνίοτε. Καὶ πρῶτος μὲν ὁ μέγας φησὶν Ἀθανάσιος, « Ἄκτιστος πέφυκε μόνη ἡ ἁγία Τριάς, ἀΐδιός τε καὶ ἄτρεπτος καὶ ἀναλλοίωτος. » Καὶ αὖθις ὁ αὐτός, « Ἀκτίστῳ προσάγειν αὔξησιν ἀσεβές ἐστι. » Καὶ ἔτι, « Τὸ γὰρ ἄκτιστον τῇ φύσει λέγεται ἄκτιστον, μήτε αὔξησιν μήτε ἐλάττωσιν ἐπιδεχόμενον. » Καὶ μετ' ὀλίγον, « Ἄκτιστος ὑπαρξις μόνη ἡ τῆς θεότητος νοεῖται. » Καὶ ἔτι, « Ἄκτιστος μόνη πέφυκεν ἡ ἁγία Τριὰς τῆς θεότητος. » « Δεύτερον Θεὸν οὔπω καὶ τήμερον ἀκηκόαμεν. Ὅσα ἔχει ὁ Πατήρ, ταῦτα καὶ ὁ Υἱός, τὸ Ὕψιστος, τὸ βασιλεύς, τὸ Κύριος, τὸ παντοκράτωρ. Ὁ γὰρ κατὰ φύσιν ταῦτα καὶ ἄκτιστος. » « Ἄκτιστον καὶ ἀσώματον καὶ φύσει ἀόρατον μόνον τὸ Θεῖόν ἐστι. » « Μόνη τῆς κτίσεως ὑπέρκειται ἡ Θεία τε καὶ ἄκτιστος φύσις τοῦ Θεοῦ. » Καὶ τῆς μὲν ἀκτίστου φύσεως τὴν ἁγίαν Τριάδα διωρισάμεθα εἶναι, τῆς δὲ κτιστῆς πάντα ὅσα μετ' ἐκείνην λέγεταί τε καὶ ἔστι καὶ ὀνομάζεται. [f. 135 r.] Ἀκτίστου πρὸς ἄκτιστον οὐκ ἄν τις ἐννοήσειε διαφοράν. Μόνη δὲ ἡ ἄκτιστος φύσις ἡ ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι πιστευομένη κρειττων ἐστὶ πάσης ὀνομαστικῆς σημασίας. Ἄκτιστον δὲ πλὴν τῆς θείας φύσεώς ἐστιν οὐδέν. Ἀλλ' εἰ Θεὸς, πάντως καὶ ἄκτιστος· εἰ δὲ κτιστὸς, οὐ Θεός. Ἐν τῇ ἀκτίστῳ φύσει νοεῖται τὰ θαυμαστὰ πράγματα καὶ ὀνόματα, ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Πᾶν τὸ

prudentioribus sæpenumero, ut ea, quibus olim Marcellus Galata et Photinus et Eunomius, quamvis inter se dissentientes, æque contra religionem proruperunt et conspirarunt, omnia hæc simul contendit nunc iste, quasi in unam miscens crateram pravitatis, et insidiosas reddit responsiones, ex alio ad aliud transgressus, et omnes impios superans mole majoris pravitatis, et cum necesse sit propter victorem latebras quærere, ille contra perfugii sibi comparat speciem, hanc mutationem factam in deteriorem partem, neque cum quoquam colloqui studet: æque ac si quis de furto appellatus, furem se esse negaret, sacrilegum autem et parricidam concederet, ignorans multo majore affici pœna parricidam et sacrilegum, quam res privatas furatum. Tamen dicito nunc, ubi in sacra sanctorum Scriptura aperte reperiat multas divinitates increatas et diversas ab essentia illa divina, sicut ego testes hos nunc affero, qui unum tantum esse increatum dicunt, divinam nimirum et ter suppositam naturam: cætera autem omnia etiam post eam creata, ex quibus id **275** ipsum intelligi potest unum esse increatum, neque vero multa, deinde cum essentiam et essentiale et substantiale et naturam et naturale et innatum de Deo prædicamus, hæc simplicem vim habere et unicam, neque ullo omnino modo differentem ab essentiæ et naturæ notione, nisi nominis pronuntiatione. Prædicantur enim etiam de compositis hæc et creatis, non autem necessario, sed iis convenienti modo, quocum congruit interdum quod est et quod non est. Atque primus quidem magnus ille Athanasius, « Increata, inquit, est sola sancta Trinitas: et æterna et immota et immutabilis. » Et rursus idem, « Increato attribuere accessionem nefas est, » et porro: « Increatum enim natura sua dicitur increatum neque accessionem neque minutionem patiens, » et brevi post: « Increata essentia sola putatur numinis divini, » et porro, « Increata sola facta est sancta Trinitas Dei. Alterum Deum nondum etiam hodie audivimus. Quæcunque Patri sunt, eadem etiam Filio, est enim altissimus, Rex, Dominus, Omnipotens: nam natura sua his præditus est et increatus. Increatum et sine corpore et natura invisibile solum est numen divinum. Sola creationem excedit divina et increata **276** Dei natura. » Et increatæ quidem naturæ sanctam Trinitatem esse definiendo constituimus: creatæ autem omnia, quæ post eam et dicuntur et sunt et vocantur. Increati præ increato nemo, puto, cogitare potest distinctionem. Sola increata natura, quæ quidem Patris et Filii et Spiritus sancti creditur præstantior est omni significatione nominum. Increatum nisi natura divina est nihil. Sed si Deus est, omnino idem est increatus: sin autem creatus, non est Deus. In natura increata esse creduntur miræ res miraque nomina, Pater et Filius et Spiritus sanctus. Omne creatum naturæ divinæ expers esse credere edocti sumus, solam autem increatam

naturam venerari et colere, cujus signum est et indicium hoc, ut esse neque incipiat neque desinat. Omnia facit et prospicit et continet Deus, solus increatus, qui quidem in Patre et Filio et Spiritu sancto laudatur et celebratur. Omne quod est aut creatum est aut increatum : quodsi creatum, ab alio plane est creatum : sin autem increatum, hoc sine dubio illud est, quod creata creavit. Hoc autem quid aliud esse potest quam Deus? Sola Trinitas est immutabilis, cætera autem ex ea mutata sunt : sola est æterna et increata Trinitas et non genita. Unum est quod in essentia una Trinitatem facit integram, cætera autem sunt genita et creata. Propterea enim et ipsi non adoramus, quæcunque inferiora sunt essentia Dei ; dicam nimirum tibi eadem de Spiritu, quæ de Filio: abundantia **277** Dei Deo aut major est, aut par, aut minor, atque major quidem non est, nihil enim Deo majus, neque minor est, nam tum poneres in creatorum numero eam ; quod enim Deo minus, id est creatum. Creatorem et increatum exsistere uni tantum Deo est concessum. His adjiciatur dictum divini Cosmæ venerabilis vatis, omnes fideles convocatæ celso edicto increatæ et innatæ Dei sapientiæ. Dicentur autem a nobis in progressu etiam ea quæ similia sunt.

V. Sed Palamas cum non posset ullum proferre scriptum testimonium, suo periculo conabatur argumentari, quæ omni argumento carerent, suas inauditas sententias statuendo. Et quis, inquit, ignorat, unum increatum esse, Deum? Hoc significat ille dicens, nihil esse increatum nisi naturam divinam. Quodsi hoc non ita sentiemus, etiam divinas substantias non dicemus increatas, quia substantia non est natura. Etenim si ex nobis quæratur, quid sit essentia, hominem monstramus fortasse aut lapidem, et hoc modo essentiam cum omnibus, quæ ei insunt, rebus naturalibus commiscemus. Etenim etiam divinum Athanasium dixisse ferunt : Sanctum, bonum, increatum, inexplicitum, incorporeum, temporis distinctione carens, æternum, creans, justum, initio et fine carens, non investigatum, infinitum, ignotum, **278** voluntas, vis, providentia, sapientia, vita, taliaque, non singillatim vocatur essentia, sed ea quæ ex duobus et pluribus ad unum referuntur, quæ et compositio et expletio divinitatis vocantur, et præterea dicere contendit etiam Joannem Damascenum, aperte differre ab increata natura increatam hujus efficientiam. Et quid opus est, omnia ordine narrare, quæ aliis alia addens ille mentitus est, cum omnium sanctorum aperte irrideret et calumniaretur libros divinos? Unum quidem, dixit ei Gregoras. Sit tibi hoc lemma opprobrio ab initio. Est enim deprehensa majestas tua in ipso furto, egregie Palamas, nullum habens

(1) Τοῦ Δαμασκηνοῦ.

A κτιστὸν ἔξω τῆς θείας φύσεως νοεῖν ἐπαιδεύθημεν, μόνην δὲ τὴν ἄκτιστον φύσιν σεβάζεσθαί τε καὶ λατρεύειν ἧς χαρακτήρ ἐστι καὶ γνώρισμα τὸ μήτε ἄρχεσθαι τοῦ εἶναί ποτε μήτε παύεσθαι. Πάντων(1) ποιητὴς καὶ προνοητὴς καὶ συνοχεὺς ὁ Θεός ἐστιν, ὁ μόνος ἄκτιστος, ὁ ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι ὑμνούμενός τε καὶ δοξαζόμενος. Πᾶν δν ἢ κτιστόν ἐστιν ἢ ἄκτιστον. Καὶ εἰ μὲν κτιστὸν, ὑφ' ἑτέρου πάντως ἐκτίσθη· εἰ δὲ ἄκτιστον, τοῦτ' ἂν εἴη τὸ τὰ κτιστὰ κτίσαν. Τοῦτο δὲ τί ἄλλο ἂν εἴη ἢ Θεός ; Μία Τριὰς ἀπαράλλακτος, τὰ δ' ἄλλα ἐξ αὐτῆς παρηλλαγμένα. Μόνη δὲ ἀΐδιος καὶ ἄκτιστος ἡ Τριὰς καὶ ἀγέννητος. Ἔν ἐστι τὸ ποιοῦν ἐν μιᾷ οὐσίᾳ Τριάδος τελείας, τὰ δ' ἄλλα γεννητὰ καὶ κτιστά. Διὰ τοῦτο γὰρ καὶ αὐτοὶ οὐ προσκυνοῦμεν
B πᾶν τὸ ὑποδεέστερον τὴν οὐσίαν τοῦ Θεοῦ. Ἐρῶ γάρ σοι καὶ περὶ τοῦ Πνεύματος ὅπερ καὶ περὶ τοῦ Υἱοῦ ἔλεγον, ὅτι ὁ πλοῦτος τοῦ Θεοῦ ἢ μεῖζων ἐστὶν ἢ ἴσος ἢ ἐλάττων. Καὶ μεῖζων μὲν οὐκ ἔστιν, οὐδὲν γὰρ τοῦ Θεοῦ μεῖζον· ἐλάττων δὲ οὐκ ἔστιν, ἐπεὶ θήσεις αὐτὸν μετὰ τῶν κτισμάτων· τὸ γὰρ ἔλαττον τοῦ Θεοῦ κτίσμα. Τὸ ἄκτιστον καὶ κτίστην νοεῖσθαι ἑνὶ μόνῳ πρόσεστι τῷ Θεῷ. Τούτοις προσκείσθω καὶ τὸ τοῦ θείου Κοσμᾶ τοῦ σεμνοῦ μελῳδοῦ. Ἀκουσθῶμεν πάντες οἱ πιστοὶ συγκαλουμένης ὑψηλῷ κηρύγματι τῆς ἀκτίστου καὶ ἐμφύτου σοφίας Θεοῦ. Εἰρήσεται δὲ προϊοῦσιν ἡμῖν καὶ τὰ παραπλήσια.

Ε'. Ὁ δὲ Παλαμᾶς οὐκ ἔχων οὐδεμίαν προάγειν
C γραφικὴν μαρτυρίαν, οἰκοθεν ἐπεχείρει συλλογίζεσθαι τὰ ἀσυλλόγιστα, θέσεις καινοφανεῖς τιθέμενος ἑαυτοῦ. « Καὶ τίς οὐκ οἶδε, » φησὶν, « ὅτι ἓν ἄκτιστόν ἐστιν ὁ Θεός ; » Τοῦτο γοῦν ἐστιν ὃ φησιν ὁ λέγων μηδὲν εἶναι ἄκτιστον πλὴν τῆς θείας φύσεως. Εἰ δὲ μὴ οὕτω τοῦτο νοήσωμεν, λοιπὸν τὰς θείας ὑποστάσεις οὐκ ἐροῦμεν ἀκτίστους, ἐπεὶ μή ἐστι φύσις ἡ ὑπόστασις· καὶ γὰρ ἀπαιτούμενοι τί ἐστιν οὐσία, τὸν ἄνθρωπον δείκνυμεν τυχὸν ἢ τὸν λίθον, τηνικαῦτα [f. 135 v.] τὴν οὐσίαν μετὰ τῶν φυσικῶν περὶ αὐτὴν πάντων συλλαμβάνοντες. Καὶ γὰρ καὶ Ἀθανασίου τοῦ θείου λέγοντος ἀκούομεν, τὸ ἅγιον, τὸ ἀγαθὸν, τὸ ἄκτιστον, τὸ ἀνερμήνευτον, τὸ ἀσώματον, τὸ ἄχρονον, τὸ ἀΐδιον, τὸ δημιουργικὸν, τὸ δίκαιον, τὸ ἀναρχον, τὸ ἀτελεύτητον, τὸ
D ἀνεξιχνίαστον, τὸ ἄπειρον, τὸ ἄγνωστον, ἡ θέλησις, ἡ δύναμις, ἡ πρόνοια, ἡ σοφία, ἡ ζωὴ καὶ τὰ τοιαῦτα, οὐχ ἕκαστον οὐσία λέγεται, ἀλλὰ περὶ τὴν οὐσίαν, ὡς ἐκ δύο καὶ πλειόνων ἐπὶ ἓν ἔχοντα τὴν ἀναφορὰν ἃ καὶ ἄθροισμα καὶ πλήρωμα θεότητος λέγεται. Καὶ ἐπὶ τούτοις ἔφασκε λέγειν καὶ τὸν Δαμασκηνὸν Ἰωάννην φανερῶς τῆς ἀκτίστου φύσεως τὴν ἄκτιστον διαφέρειν ταύτης ἐνέργειαν. Καὶ τί δεῖ λέγειν ἅπαν0' ἐξῆς ὁπόσα ἐφ' ἑτέροις ἕτερα συνείρων ἐκεῖνος ἐπ' ἴσης κατεψεύδετο πάντων ἁγίων, βωμολοχῶν ἀντικρυς καὶ διαβάλλων τὰς θείας Γραφάς ; Ἓν μὲν οὖν, ἔφησε πρὸς αὐτὸν ὁ Γρηγορᾶς, κείσθω σοι τοῦτο λῆμμα πρὸς κατηγορίαν καὶ

πρῶτον. Ἑάλω γάρ σου ἡ σεμνότης ἐπ' αὐτοφώρῳ. καλὲ Παλαμᾶ, μηδεμίαν ἔχουσα πρὸς τῆς θείας Γραφῆς συμμαχίαν πρὸς τὸ δεῖξαι ὅτι οὐχ ἓν, ἀλλὰ πολλὰ τὰ ἄκτιστα. Ὃ δὴ κράτιστον ἐφόδιον παντὶ ὅτῳ ἂν πρὸς βουλήσεως ᾖ κατὰ σοῦ τοξεύειν, γραφικῆς ἐρήμου πάσης βοηθείας, ἑλομένου τὴν κατὰ τῆς εὐσεβείας παράταξιν. Οὐ γὰρ ἂν εἶεν ἑαυταῖς αἱ Γραφαὶ μαχόμεναι, εἴ τις μετ' ἐπιστήμης ἁρμοττούσης αὐτὰς ὁρῴη· ὡς κατ' αὐτό γε τοῦτο σαυτῷ κληροῦχον αἰσχύνης καθίστασθαί σε ἄτε μήτε μηδεμίαν ἀπόδειξιν ἔχοντα γραφικὴν ὑπέρ τε σαυτοῦ καὶ ἃ καινοφωνῶν ἐξ ἰδίας ἔπνευσας γαστρὸς, μήτε μηδεμιᾷ χρώμενον ἐπιστημονικῇ μεθόδῳ, ἀλλ' αὐτονομίᾳ τινὶ μεθυούσῃ φάναι καὶ ἀστατούσῃ φερόμενόν τε συχνὰ καὶ μεταῤῥιπιζόμενον ἐξ ἀνεδράστου βάσεως εἰς ἀνέδραστον βάσιν. Ὅρους γὰρ καὶ κανόνας ἐπιστημονικῶν ἀποδείξεων ἐν τοῖς θεολογικοῖς δόγμασι τοὺς ἀποφαντικοὺς τῶν σοφῶν διδασκάλων τῆς Ἐκκλησίας λόγους εἶναι καλῶς ἐδιδάχθημεν. Ὁ τοίνυν μὴ τοῖς τοιούτοις ἑπόμενος ὅροις, ὅθεν ἕξει πιστώσασθαι ἔχειν εὐσέβειαν, οὐκ ἂν ἔχοι.

e Scriptura divina auxilium ad demonstrandum, non unum, sed multa esse increata, quod quidem maximum est adjumentum cuique, cui in animo sit, in te invehi, qui omni librorum auxilio destitutus pugnam contra pietatem eligis. Neque enim secum pugnant libri, si quis doctrina apta præditus eos inspiciat, itaque hac ipsa in re tibi ipsi sortitus ignominiam adstas, qui neque documentum habeas ullum librorum tibi et iis, quæ nova e ventre tuo exhalasti, neque utaris ulla ratione ad litteras pertinente: sed cupiditate quadam ebria dicendi multa et inconstanti ducaris et ex instabili gressu abripiaris in **279** gressum instabilem. Definitiones enim et regulas demonstrationum ad litteras pertinentium in dogmatis theologicis esse dogmaticas sapientum Ecclesiæ magistrorum sententias bene edocti sumus. Qui igitur tales definitiones non sequitur, is non habebit unde probet nobis pietatem suam.

Γ'. Καὶ πρῶτον μὲν τοῦτο τιθέσθω τῆς σῆς ἀσεβείας ἐνδεικτικὸν, δεύτερον δ' ὅτι ἓν τὸ ἄκτιστον τὴν θείαν εἶναι φύσιν εἰπόντων ἡμῶν, καὶ πολλῶν πολλὰς ἁγίων Γραφὰς ὁμόσε τε καὶ νοήμασιν ὁμοφώνους [f. 136 r] προενεγκόντων εἰς ἐναργῆ καὶ ἀναντίῤῥητον ἀπόδειξιν τῆς προτεθείσης σκέψεως, οὐ μόνον οὐδεμίαν αὐτὸς ἀντίθεσιν εὑρεῖν ἐδυνήθης, οὐδὲ δεῖξαι τῶν πάντων ἁγίων ὁντινοῦν πλείω τοῦ ἑνὸς εἶναι τὰ ἄκτιστα λέγοντα, ἀλλὰ καὶ τοὺς λέγοντας παραλογίζῃ καὶ ἀθετεῖς, καὶ τὴν ἀπολογίαν ὑπουλον προβάλλεις, ἐπειγόμενος μὲν λαθεῖν, οὐ δυνάμενος δέ. Καὶ γὰρ πρῶτον μὲν ἑάλως ἐνταῦθα μὴ μόνον ἐξ ὑποθέσεως ἀνυποστάτου λαμβάνων καὶ τιθεὶς οἰκοθεν (1) αὐτὸς, ὅπερ ἀσθενείας ἐσχάτης ἐνδεικτικὸν, ἀλλὰ καὶ μετὰ ἄρθρου τῆς ζητήσεως οὔσης δεῖξαι τὸ ἄκτιστον ὅτι ἐστὶν ἕν, ἄρθρου χωρὶς αὐτὸς ἀνθυπήνεγκας, λέγων, Τίς οὐκ οἶδεν ὅτι ἓν ἄκτιστόν ἐστιν ὁ Θεός; Καὶ βεβαιοῖς διὰ τῆς σῆς τοιαύτης ἀποκρίσεως δυοῖν θάτερον, ἢ ὅτι πολλὰς καὶ ἀπείρους καὶ ὑφειμένας καὶ διαφόρους δοξάζων θεότητας ἀκτίστους ὥσπερ ἰδέαν τινὰ τὸ Θεὸς εἶναι λέγεις ὄνομα ἄκτιστον καὶ θεότητα πρὸς διαφόρους θεότητας μεριζόμενον ἀπειράκις ἀπείρως ὑπερκειμένας καὶ ὑφειμένας, ὥσπερ τὸ καθόλου ζῶον εἰς διάφορα τὴν φύσιν εἴδη, λογικά τε καὶ ἄλογα, ἔνυδρά τε καὶ ἄνυδρα, χερσαῖά τε καὶ αἰθέρια, οὐκ εἰδὼς ὅτι τὸ Θεῖον ἁπλοῦν ὂν καὶ ἀσώματον ἀμερὲς ἐξ ἀνάγκης ἐστὶ, καὶ οὐδὲ πολλὰ μογήσας τις δεῖξαι δυνηθείη ἂν οὔτ' εἰς τὸ ὑφειμένον οὔτ' εἰς τὸ ὑπερκείμενον μεριζομένην τὴν μόνην ἐκείνην ἄκτιστον καὶ πάντη ἀμέριστον οὐσίαν τε καὶ θεότητα· ἢ τό γε δεύτερον, πολλῶν ὑπὸ σοῦ δοξαζομένων ἀκτίστων θεῶν καὶ θεοτήτων, ἕνα τῶν πολλῶν εἶναι λέγεις καὶ τὸν ἡμῖν δοξαζόμενον ποιητὴν τοῦ παντός. Καὶ ἔστιν ἀμφοῖν οὐδέτερον ἀσεβείας ὑπερβολὴν παραλεῖπον.

VI. Atque hoc primum esto impietatis tuæ documentum. Deinde cum unum increatum esse naturam divinam diceremus et multorum sanctorum multos libros verbis et cogitatis consentientes proferremus ad manifestam et irrefutabilem probationem quæstionis propositæ, non modo nullam ipse oppositionem invenire potuisti, neque ostendere omnium sanctorum quemquam qui plura quam unum esse increata diceret, sed etiam eos qui hoc dicunt, argumentando corrumpis et contemnis, et defensionem fraudulentam profers, cum coactus sis latere, sed non possis. Etenim primum deprehensus es hic non modo ex opinione vana assumens et proponens, id quod extremæ imbecillitatis est documentum, sed etiam, cum agatur « increatum » cum articulo conjunctum, ut nimirum ostendatur, increatum esse unum, tu articulo neglecto ipse objecisti hæc: Quis ignorat, unum increatum esse Deum? Et affirmas tali responsione alterutrum: aut enim et infinitas et submissas et diversas credens esse **280** Deitates increatas tanquam genus quoddam contendis Deum esse nomen increatum et divinitatem divisum sexcenties in diversas divinitates impositas et submissas, sicut animal in universum in diversas quod ad naturam attinet species, animalia nimirum ratione prædita et destituta, in aqua viventia et aquarum expertia, terrestria et in aere viventia: ignorans, numen divinum, quia simplex est et incorporeum, necessario esse individuum, neque in suppositum neque in impositum dividi solam illam increatam et omnino individuam essentiam et divinitatem, multum elaborando quisquam demonstrare possit: aut, id quod alterum est, cum multos credas increatos deos et deitates, unum ex his multis esse affirmas etiam illum, qui nobis creditur mundi universi Creator, quorum neutrum multum abest a summa impietate.

(1) Οἰκοθεν αὐτὸς Boivinus: evanuerunt litteræ κοθεν αὐ-

VII. Tertio loco deprehensus es opinans substantias divinas essentia carere, ut etiam sæpenumero jam antea, ita ut substantiæ tibi videantur non substare. Quod enim essentia caret, substantiæ etiam est expers, et sequitur, ut, si illas quoque divinitates essentia carentes in numerum infinitum divinitatum increaturam dividas, substantias eodem modo esse divisas opineris : et quod sæpe scribens deprehensus es, non solum trium substantiarum, esse naturam divinam, sed **281** etiam multarum, illud hic quoque ausus est dicere, cum et substantias essentiæ et divinitates substantiæ expertas venereris.

A Ζ'. Τρίτον δὲ ὅτι καὶ τὰς θείας ὑποστάσεις ἀνουσίους εἶναι δοξάζων ἐάλως, ὥσπερ καὶ πολλάκις ἤδη πρότερον, ὡς γίνεσθαί σοι τὰς ὑποστάσεις ἀνυποστάτους. Τὸ γὰρ ἀνούσιον ἀνυπόστατον· καὶ λοιπὸν ὡς ὅταν καὶ τὰς ἀνουσίους ἐκείνας θεότητας εἰς ἄπειρον ἀριθμὸν θεοτήτων παραπέμπῃς ἀκτίστων, ὑποστάσεις εἶναι καὶ ταύτας δοξάζεις· καὶ ὁ πολλάκις ἐάλως γράφων, μὴ τρισυπόστατον εἶναι μόνον τὴν θείαν φύσιν, ἀλλὰ καὶ πολυυπόστατον, τοῦτο κάνταῦθα τετόλμηκας, ὑποστάσεις μὲν ἀνουσίους, θεότητας δ' ἀνυποστάτους σέβων.

VIII. Quartum cum et homine et lapide exemplis utaris et contendas, essentiam comprehendi cum iis, quæ in ea cernantur naturali modo, deprehensus es porro credens accidentium quoque comprehensionem esse illam essentiam divinam, velut in lapide a te jactato, qui gravitatem, frigus, colorem, longitudinem, latitudinem, altitudinemque et quæcunque ejusmodi cogitari possunt, continet, id quod etiam pejus est stultitia priore.

B Η'. Τέταρτον δὲ ὅτι καὶ τὸν ἄνθρωπον καὶ τὸν λίθον εἰς ὑπόδειγμα φέρων, καὶ ὁριζόμενος οὐσίαν εἶναι μετὰ τῶν φυσικῶς περὶ αὐτὴν ὁρωμένων συλλαμβανομένην, ἐάλως ἔτι καὶ συμβεβηκότων σύλληψιν εἶναι νομίζων [f. 136 v.] τὴν θείαν ἐκείνην οὐσίαν ὥσπερ ἐπὶ τοῦ προβληθέντος σοι λίθου, βάρος, ψυχρότητα, χρῶμα, μῆκος, πλάτος καὶ βάθος, καὶ ὅτα τοιαῦτα νοεῖν ἔχει τις, ἔχοντος. Ὃ καὶ τοῦ πρωτέρου χεῖρον εἰς ἀτοπίαν.

IX. Porro quintum stultum illud, quo etiam confirmas ignorantiam tuam et multorum doctrinam deorum perversione dictorum Athanasii magni. Ad unum enim ille dicit referri illa tot nomina, nimirum ad essentiam. Tu autem imprudens contra te attulisti quem pro te allaturus eras. Tam rudis es et valde incultus. Deinde et materiem et expletionem divinitatis hæc ipse nominat, non tamen C divinitatum, quæ ab essentia, ut tu vis, et inter se differant. Quomodo enim talia dicere possit, qui ad unum illa referri dicit, nimirum ad essentiam?

Θ'. Καὶ πέμπτον ἄτοπον, ὅτι καὶ βεβαιοῖς τὴν σὴν ἀμαθίαν καὶ πολυθεΐαν διὰ τῆς πρὸς τὸν μέγαν Ἀθανάσιον συκοφαντίας. Ἐπὶ γὰρ ἓν ἐκεῖνος ἔχειν φησὶ τὴν ἀναφορὰν τὰ οὕτω πολλὰ τῶν ὀνομάτων ἐκείνων, εἴτουν τὴν οὐσίαν· σὺ δ' οὐκ ἤσθου κατὰ σεαυτοῦ κομίζων ὃν ὑπὲρ σεαυτοῦ κεκόμικας· οὕτως ἀμαθὴς εἶ καὶ μάλα ἀγροῖκος. Εἶτα καὶ ἄθροισμα λέγει καὶ πλήρωμα θεότητος ταῦτα αὐτός, οὐ μὴν θεοτήτων τῆς οὐσίας διαφόρων κατὰ σὲ καὶ ἀλλήλων. Πῶς γὰρ ὃς ἐπὶ ἓν αὐτὰ τὴν ἀναφορὰν ἔχειν φησί, δηλαδὴ τὴν οὐσίαν;

X. Est autem præterea sextum absurdum illud, quod divinum quoque criminaris Damascenum, quod et ipsum planius a nobis postea dicetur. Demonstrabitur enim, significare et differre non esse idem, **282** etiamsi tu vociferando rumparis, qui remotissima misceas et dicere divinum illum crimineris virum ab increata natura differre increatam ejus efficientiam. Neque enim quisquam omnium in illius scriptis, quamvis multum inquisierit, vix neque magnum omnium neque minimorum quidem quidquam simile inveniat unquam iis quæ nunc a te, Palama, obtrectatore detestato et insidioso inD venta et prolata sunt. Deinde alterutrum quidem, aut enim non invitus falso criminaris, aut invitus illa ignoras, et illiteratus es, ut videtur, adhuc, et primorum sapientiæ elementorum omnino ignarus, quorum illud insanabile, hoc semimiserum (dimidio melius) et sanabile est : si igitur et ipse vis, hoc delige. Alterutrum enim me visurum esse spero optoque, aut te volente reditum tuum, aut te nolente interitum tuum; alterum enim te liberabit a pernicie æterna, alterum etiam cæteros a damno. Quomodo igitur persuadere conabimur tali eoque jam ætatis provecto viro, aut omnino quomodo non desperandum erit de utili exitu prospectus neque vana fiet opera? Tamen volo ple-

Ι'. Ἔστι κἀπὶ τούτοις ἕκτον ἄτοπον, ὅτι καὶ τὸν θεῖον συκοφαντεῖς Δαμασκηνόν, ὡς προϊοῦσιν ἡμῖν εἰρήσεται καὶ αὐτὸ πλατύτερον. Δειχθήσεται γὰρ τὸ χαρακτηρίζειν τῷ διαφέρειν μὴ εἶναι ταυτὸν, κἂν σὺ βοῶν διαῤῥαγῇς, τὰ ἄμικτα μιγνὺς καὶ λέγειν τὸν θεῖον ἐκεῖνον αἰτιώμενος ἄνδρα τῆς ἀκτίστου φύσεως διαφέρειν τὴν ἄκτιστον ταύτης ἐνέργειαν. Οὐδὲ γὰρ οὐδεὶς τῶν ἁπάντων ἐν τοῖς ἐκείνου συγγράμμασιν οὐδὲ πολλὰ μογήσας οὔτε μόγις μέγα τε τῶν πάντων οὔτε μάλα μόλις γοῦν τῶν ἐλαχίστων οὐδὲν ὁμότροπον ἄν ποθ' εὕροι τουτοισὶ τοῖς νῦν παρευρημένοις· καὶ προτεθειμένοις τῷ καταράτῳ σοι Παλαμᾷ καὶ δολερῷ συκοφάντῃ. Δυοῖν γοῦν ἔπειτα θάτερον, ἢ γὰρ ἑκὼν βλασφημεῖς ἢ οὐχ ἑκὼν ἀγνοεῖς, ἀναλφάβητος ὤν, ὡς ἔοικεν, ἔτι, καὶ τῶν πρώτων τῆς σοφίας στοιχείων πάνυ τι ἀδαής. Ὧν τὸ μὲν ἀνίατον, τὸ δ' ἡμιμόχθηρον καὶ ἰάσιμον· ἦν οὖν καὶ αὐτὸς ἐθέλῃς, ἑλοῦ τὸ δεύτερον. Δυεῖν γὰρ ὄψεσθαι θάτερον ἐλπίζω καὶ εὔχομαι, ἢ τὴν σὴν ἐπιστροφὴν, εἰ βούλει, ἢ τὴν σὴν καταστροφὴν, εἰ μὴ βούλει. Τὸ μὲν γὰρ σὲ τῆς πολυετοῦς ἀπωλείας ἐξελεῖται, τὸ δὲ καὶ τοὺς ἄλλους μὴ βλάπτεσθαι. Πόθεν οὖν ἐπιχειρήσομεν ἂν μεταπεῖσαι ἄνδρα τοσοῦτον καὶ οὕτως ἡλικίας ἔχοντα; Ἢ πάντως ὅθεν οὐκ ἀνέλπιστον ἂν εἴη τὸ σκέμμα πρὸς ὠφέλιμον τέλος, μηδὲ μάταιος γένοιτ' ἂν ἡ σπουδή.

Βούλομαι δ' οὖν ὅμως ἐντελεστέραν τοῦ λόγου ἀρχόμενος τὴν τῶν ῥηθησομένων ποιήσασθαί σοι προκατάστασιν, καὶ διδάξαι τὸν ἀμαθῆ σὲ ἐξ αὐτῶν ἀρχόμενος τῶν ἁπλῶν στοιχείων καὶ φωνῶν, ὡς οἱ γραμματισταὶ τὰ μειράκια, ἵνα μὴ συνεχῶς πρὸς τῶν πολλῶν καὶ αὐτὸς ἀκούῃς ἐκεῖνο δὴ τὸ τοῦ Πλάτωνος σκῶμμα, ὡς ἀμαθὴς εἶ, ὦ ἑταῖρε, καὶ οὐχ ἕπῃ· ἦ γὰρ ἂν οὐδ' αὐτοῦ γε δὴ Βασιλείου τοῦ θείου παντάπασιν, ὡς ἔοικεν, ἀνήκοος μείνας τῇ ἐπιστήμῃ μετὰ τῆς εὐσεβείας οὕτω προσέκοπτες, ὁμιλητέον εἶναι λέγοντος ποιηταῖς καὶ λογοποιοῖς καὶ ῥήτορσι καὶ πᾶσιν ἀνθρώποις ὅθεν ἂν μέλλοι πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν ὠφέλειά τις ἔσεσθαι. Ὥσπερ γὰρ οἱ δεῦσοποιοὶ προπαρασκευάσαντες [f. 137 r.] θεραπείαις τισὶν ὅ τι ποτ' ἂν ᾖ τὸ δεξόμενον τὴν βαφὴν, οὕτω τὸ ἄνθος ἐπάγουσιν, ἄν τε ἀλουργὸν ἄν τέ τι ἕτερον ᾖ, τὸν αὐτὸν δὴ καὶ ἡμεῖς τρόπον, εἰ μέλλοι ἀνέκπλυτος ἡμῖν ἡ τοῦ καλοῦ παραμένειν δόξα, τοῖς ἔξω δὴ τούτοις προτελεσθέντες τηνικαῦτα τῶν ἱερῶν καὶ ἀπορρήτων ἐπακουσόμεθα παιδευμάτων, καὶ οἷον ἐν ὕδατι τὸν ἥλιον ὁρᾷν ἐθισθέντες, οὕτως αὐτῷ προσβαλοῦμεν τῷ φωτὶ τὰς ὄψεις. Λέγεται δὲ, φησὶ, καὶ Μωσῆν ἐκεῖνον τὸν πάνυ, οὗ μέγιστόν ἐστιν ἐπὶ σοφίᾳ παρὰ πᾶσιν ἀνθρώποις ὄνομα, τοῖς Αἰγυπτίων μαθήμασιν ἐγγυμνασάμενον τὴν διάνοιαν οὕτω προσελθεῖν τῇ θεωρίᾳ τοῦ ὄντος· παραπλησίως δὲ τούτῳ κἀν τοῖς κάτω χρόνοις τὸν σοφὸν Δανιὴλ ἐπὶ Βαβυλῶνός φασι τὴν Χαλδαίων σοφίαν καταμαθόντα τότε τῶν θείων ἅψασθαι παιδευμάτων. Ἐπεὶ γοῦν ἃ πεντεκαιδεκέτη σε μαθεῖν ἐχρῆν οὐκ ἔμαθες, οὐδέ γε φράτορας ἑπτέτης ἔφυσας κατά γε τὸν ἐξ Ἀττικῆς σοφὸν εἰπεῖν, ἀλλὰ τὸ τῆς παροιμίας ἀπὸ κώπης ἐπὶ τὸ ῥῆμα καὶ τὸ στρατήγιον ἐξαίφνης ἔδραμες, λέγω δὴ τὸ θεολογεῖν ἀνίπτοις τε χερσὶ καὶ σαθρᾷ διανοίᾳ, φέρε κἂν ἐν γήρᾳ διδάχθητι παρ' ἡμῶν τὰς στοιχειώδεις ταύτας καὶ πρώτας φωνὰς τῶν γραμμάτων, ὡς ἂν εὐμαθέστερος ἴσως γενόμενος τῆς θείας τέως αἴσθοιο Γραφῆς, καὶ μηκέτι δι' ὄχλου τῇ εὐσεβείᾳ γίγνοιο, δημαγωγῶν ἃ τοῖς κάτω μᾶλλον ἢ τοῖς ἄνω πρέπει νεκροῖς. Τὰ γὰρ ἐναντία τοῖς ἐναντίοις ὁρίζεσθαί τε καὶ διορθοῦσθαι νόμιμον, ἐπεὶ καὶ Χαρμίδης ὁ Λαρισσαῖος ἀκούσας διηγουμένου τινὸς ἐν ὕδατι ζέοντι ζώσας ἰδεῖν ἐγχέλυας, Οὐκοῦν ἐν ψυχρῷ ταύτας ἑψήσομεν, ἔφησεν. Ἧς οὖν καὶ αὐτὸς ἀσύνετος ἔμεινας πεντεκαιδεκέτης παιδείας, ταύτης ὑπὲρ τὰ ἑξήκοντα γεγονὼς ἀκροατὴν σεαυτὸν ἀποδεικνύναι μὴ ἀπαξίου τήμερον, τῶν ἁπλῶν δηλαδὴ καὶ ἀρχεῖδῶν φωνῶν καὶ στοιχείων. Ταῦτα δ' ἂν πάντως εἴη τά τ' ὀνόματα καὶ ῥήματα. Πρῶτον γὰρ δεῖ θέσθαι, φασὶ, τί ὄνομα καὶ τί ῥῆμα, οἱονεί τινα στερρὸν θεμέλιον, ἔπειτα τί ἐστιν ἀπόφασις καὶ κατάφασις καὶ ἀπόφανσις καὶ λόγος, καὶ ὅσα ἐκ τῆς ἀνθρωπίνης ταύτης ἐπιπλοκῆς καὶ συνθέσεως τῶν τε ὀνομάτων καὶ τῶν ῥημάτων ἀποτελοῦνται. Σκιαὶ γὰρ οἱονεί τινές εἰσι τῶν πραγμάτων αἱ φωναὶ, πρὸς τὰς κινήσεις τῶν ὑφεστώτων σχηματιζόμεναι καὶ ὀνόμασι καὶ ῥήμασι κεραννύμεναι· οὐδὲ γὰρ φύσει τοῖς πράγμασι τὰ

A niorem in orationis initio eorum quæ dicentur instituere tibi institutionem, et te edocere ex ipsis initium sumens simplicibus elementis et sonis, ut magistri pueros, ne semper **283** ex multis et ipse audias illud Platonis ludibrium, Quam indoctus es, amice, neque intelligendo nos assequeris. Profecto enim, quanquam ne ipsius quidem Basilii divini videris omnino neglexisse institutionem, ita offendebas in scientia et pietate, qui quidem familiariter utendum esse dicit poetis et historicis et rhetoribus et omnibus hominibus, ex quibus ad animi curam fructus aliquis redundaturus sit. Ut enim tinctores cum præpararunt multum tractando id quod succum recipiat, tum demum colorem ob-

B ducunt, sive purpureum sive alium; eodem plane modo nos quoque, si indelebilem nobis gloriam pulchri manere volumus, postquam illis quæ extra sunt, præparati sumus, tum demum sacram et secretam audiemus doctrinam, et ut alioquin in aqua solem videre soliti sumus, ita in lumen ipsum convertemus oculos. Dicitur autem, inquit, Moses quoque ille celeberrimus, cujus maximum est propter sapientiam apud homines omnes nomen, postquam in litteris Ægyptiorum mentem suam exercuisset, tum demum accessisse ad veritatis scientiam: simili ratione etiam postea Danielem sapientem dicunt Babylone Chaldæorum sapientiam edoctum rerum divinarum doctrinam tractasse. Quoniam quæ quindecim annos natum **284** te

C discere oportebat, non didicisti, atque septem annos natus ne gentiles quidem contendebas ut secundum sapientem illum Atheniensem loquar, sed ex remo, ut aiunt, in suggestum et prætorium repente te conjecisti, hoc scilicet dico, quod tu ad res divinas accessisti illotis manibus et mente obtusa, age etiam senex docearis a nobis hos elementarios et primos sonos litterarum, ut doctior factus, divinam aliquatenus intelligas Scripturam, neque oneri sis pietati; cum plebem ad ea perducas, quæ magis decent mortuos, qui infra quam eos qui supra terram versantur, adversa enim adversis dividere et corrigere justum est, quamobrem etiam Charmides Larissensis, cum audiret

D quemdam narrantem se in aqua æstuante vivas vidisse anguillas, Has igitur, inquit, in frigida coquemus. Ut igitur et ipse ignarus mansisti quindecim annos natus doctrinæ, ita ejus ætatem annorum sexaginta egressus te studiosum simulare nolis hodie, simplicium scilicet et primorum sonorum elementorumque, hæc sunt omnino nomina et verba: primum enim dicunt solidum quoddam fundamentum jacere oportere, quid sit nomen, quid verbum, deinde, quid sit affirmatio et negatio et sententia et conclusio, et quæcunque ex hac hominum conjunctione et compositione nominum et verborum efficiuntur. Umbræ enim quodammodo rerum sunt soni secundum motus substratorum formati et **285** nominibus et verbis misti, neque enim gignet rebus nomina ullo modo ne

natura quidem, sed ex convenientia et consensione hominum prudentum oriuntur rebus nomina res significantia secundum Gregorium Nyssenum.

XI. Est enim opus e sapientum qui apud nos et apud externos sunt consentientibus in litterarum subtilitate dictis tibi inerudito adducere præparationem ejusmodi institutionis, ut hoc modo possimus tandem aliquando tangere mentem tuam obtusam et ineruditissimam. Murum enim dogmatum Basilius Magnus esse dicit externorum doctrinæ vim, quæ non sinat ea a quolibet exagitari et diripi, et rursus Chrysostomus divinus, Cum ex dogmatis, inquit, ægrotat animus spuriis, tum magnus litterarum est usus, non solum contra infirmitatem domesticam, sed etiam contra tumultus externos : et rursus Maximus divinus, Sine litterarum luce, inquit, non oritur vera cognitio, et sine cognitione non consistit fides. Vides jam maledictionum tuarum causam, amice ; alia enim est nulla quam omnino ignorantia illorum, dico nimirum virorum qui apud externos et apud nos sunt sapientum et in res divinas inquirentium doctrinam, quam cum ignores, nunc saltem edocearis necesse est hic a nobis.

**286** XII. Iis dictis quidam ex iis, qui in concilio erant, amicissimi Palamæ et consentientes cum eo et socii, insusurrant in aurem Gregoræ, ne illuderet neve adeo irrideret episcopum capillis canescentibus. Aliquantulum igitur Gregoras desinens et dicto audiens orationem denuo suscepit. Sunt quidem, inquit, linguæ mutationes animi mutationum signa : et litteræ mutationum linguæ, quæ quidem cum a natura sit inarticulata, articulata est compositione, auxilio nominum et verborum ab hominibus posteris inventorum. Prima enim quoniam natura simplicia sunt, etiam priora tractatis et compositis veritatis censuit esse ratio. Priores igitur linguæ significantibus nominibus verbisque sunt animi mutationes sive cogitata ; insita enim sunt cogitata et ex innato fonte manant : illa autem postera et ascita, quibus non opus esset hominibus, si facultas suppeteret demonstrandi sibi invicem animi motiones. Necesse est enim, ait Dionysius Magnus, scire secundum id quod verum est, nos litteris et syllabis et verbis et scripturis uti propter animadversiones, cum ubi animus noster intelligendi viribus ad ea quæ intelligi possunt movetur, cum animadversis relinquantur animadversiones. Cum enim carne circumdata natura nostra **287** circumcludatur, ita ut non possimus nos declarare, necessario, ait Gregorius, tanquam signis rebus qualescunque nominum compositiones imponimus hisque animi motiones nobiscum invicem communicamus, quamobrem alii rei nomen imponimus cœli, alii nomen terræ, aliis alia, et ad aliquid referri sive agere sive pati, hæc omnia propriis significamus vocibus, ne incommunis et incomperta animi motio inter nos sit.

A ὀνόματα, ναὶ μὴν οὐδὲ φύσις, ἀλλὰ κατὰ συνθήκην καὶ συμφωνίαν ἀνδρῶν συνετῶν ἐπιγίγνονται τοῖς πράγμασιν αἱ σημαντικαὶ τῶν πραγμάτων προσηγορίαι κατὰ τὸν Νυσσαέα Γρηγόριον.

[f. 137v.] ΙΑ'. Δεῖ γὰρ ἔκ τε τῶν ἡμετέρων καὶ ἅμα τῶν θύραθεν σοφῶν, σύμφωνα φθεγγομένων ἐν ταῖς τῶν λόγων ἐπιστημονικαῖς ἀκριβείαις, τῷ ἀμαθεῖ τὴν προπαίδειαν σοι τῆς τοιαύτης προσάγειν διδασκαλίας, ὡς ἂν οὕτω δυνηθείημεν ὀψὲ γοῦν καθικέσθαι τῆς σαθρᾶς καὶ ἀμαθεστάτης σου διανοίας. Τεῖχος γὰρ ὁ μέγας εἶναί φησι Βασίλειος τοῖς δόγμασι τῆς τῶν θύραθεν ἐπιστήμης τὴν δύναμιν, οὐκ ἐῶσαν αὐτὰ τοῖς βουλομένοις εὐάλωτά τε καὶ εὐδιάρπαστα γίνεσθαι. Καὶ αὖθις ὁ θεῖος Χρυσόστομος, « Ὅταν περὶ δόγματα, » φησὶ, « νοσῇ ἡ ψυχὴ τὰ νόθα, πολλὴ B τοῦ λόγου ἐνταῦθα ἡ χρεία, οὐ πρὸς τὴν τῶν οἰκείων ἀσφάλειαν μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἔξωθεν πολέμους. » Καὶ αὖθις ὁ θεῖος Μάξιμος, « Δίχα λογικῆς δυνάμεως ἐπιστημονικὴ, » φησὶ, « γνῶσις οὐκ ἔστι, καὶ γνώσεως χωρὶς οὐ συνίσταται πίστις. » Ὁρᾷς τὸ τῶν σῶν βλασφημιῶν αἴτιον, ἄνθρωπε. Οὐδὲν γὰρ ἕτερον ἢ πάντως ἡ τούτων ἄγνοια, λέγω δὴ τὴν τῶν θύραθεν καὶ τῶν ἡμετέρων ἅμα σοφῶν καὶ θεολόγων ἀνδρῶν ἐπιστήμην, ἣν ἀγνοοῦντά σε νῦν χρεὼν ἐνταυθοῖ παρ' ἡμῶν.

ΙΒ'. Τούτων δ' οὕτω λεγομένων τινὲς τῶν τῆς γερουσίας μάλιστα φίλων τῷ Παλαμᾷ καὶ ὁμοδόξων ὁμοῦ καὶ συναγωνιστῶν ὑπεψιθύρισαν πρὸς οὓς τῷ Γρηγορᾷ μὴ σκώπτειν μηδ' ἐς τοσοῦτον εἰρωνεύεσθαι C πρὸς ἄνδρα ἐπίσκοπον καὶ πολιὸν τὴν τρίχα. Κατὰ μικρὸν οὖν ὁ Γρηγορᾶς ἐπισχὼν καὶ ἀκούσας ἀνελάμβανεν αὖθις τὸν λόγον, καὶ δὴ, « Ἔστι μὲν οὖν, » φησὶ, « τὰ ἐν τῇ φωνῇ τῶν ἐν τῇ ψυχῇ παθημάτων σύμβολα, καὶ τὰ γραφόμενα τῶν ἐν τῇ φωνῇ, ἧτις δὴ κατὰ φύσιν ἄναρθρος οὖσα ἔναρθρος γίνεται θέσει, δι' ὀνομάτων τε καὶ ῥημάτων ὀψιγόνοις παρευρημένων ἀνθρώποις. Τὰ γὰρ πρῶτα κατὰ φύσιν, ἅτε ὄντα ἁπλᾶ, καὶ πρότερα δήπου τῶν κατ' ἐπιτήδευσιν καὶ συνθέτων ὁ τῆς ἀληθείας δεδικαίωκεν εἶναι λόγος. Πρότερα ἄρα τῶν ἐν τῇ φωνῇ σημαντικῶν ὀνομάτων ὁμοῦ καὶ ῥημάτων τὰ ἐν τῇ ψυχῇ παθήματα εἴτουν νοήματα. Ἔμφυτα γὰρ νοήματα κάξ αὐτοχθόνου πηγῆς ἀπορρέοντα, ἐκεῖνα δ' ὑστερογενῆ καὶ ἐπίκτητα. Ὧν οὐκ ἂν ἀνθρώποις ἐδέησεν, D εἰ δύναμις ἐνῆν προφαίνειν ἀλλήλοις τὰ τῆς διανοίας κινήματα. « Δέον γὰρ, » ὁ μέγας φησὶν Διονύσιος, « εἰδέναι κατὰ τὸν ὀρθὸν λόγον ὅτι στοιχείοις καὶ συλλαβαῖς καὶ λέξεσι καὶ γραφαῖς καὶ λόγοις χρώμεθα διὰ τὰς αἰσθήσεις, ὡς ὅταν ἡμῶν ἡ ψυχὴ ταῖς νοεραῖς ἐνεργείαις ἐπὶ τὰ νοητὰ κινῆται, περιττὰ [f. 138 r.] μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις. » Διὰ γὰρ τὸ τῇ σαρκίνῃ περιβολῇ τὴν φύσιν ἡμῶν περιείργεσθαι, φανερωθῆναι μὴ δυναμένων, « Ἀναγκαίως, » ἔφη Γρηγόριος, « καθάπερ σημείοις τοῖς πράγμασι τὰς ποιὰς τῶν ὀνομάτων θέσεις ἐπιβάλλοντες, δι' ἐκείνων τὰς τοῦ νοῦ κινήσεις ἀλλήλοις δημοσιεύομεν. Καὶ τούτου χάριν τῷ μέν τινι τῶν ὄντων ὄνομα οὐρανὸν ἐθέμεθα, ἑτέρῳ δὲ γῆν καὶ ἄλλῳ ἄλλο τι. Καὶ τὸ πρός τι πῶς ἔχειν ἢ τὸ ἐνερ-

γεῖν ἢ τὸ πάσχειν, ταῦτα πάντα ἰδιαζούσαις ἐπισημαινόμεθα ταῖς φωναῖς, ὡς ἂν μὴ ἀκοινώνητός τε καὶ ἄγνωστος ἡ τοῦ νοῦ κίνησις ἐν ἡμῖν μένοι. Εἰς γὰρ γένεσιν ὁ Θεὸς παράγων τὸν ἄνθρωπον, νοῦν παρέσχε καὶ αἴσθησιν. Ὧν ὁ μὲν νοῦς ταυτότητα σώζων πρὸς τὰ ἐν κόσμῳ πράγματα φωνῆς οὐ δεῖται, ἀλλ' ἄμεσον τὴν τούτων κέκτηται γνῶσιν. Ὡς γὰρ ἔχουσι φύσεως ταῦτα, νοεῖ τὸν ἐφικτόν γε τρόπον αὐτόθεν· ἡ δὲ χρεία κοινωνεῖν τῶν πραγμάτων ἀλλήλοις τοὺς ἀνθρώπους βιαζομένη, καὶ τὰ τῆς ὀρεκτικῆς ψυχῆς ἐξαγγέλλειν ἀπόῤῥητα, μεσίτῃ νοήσεως καὶ πραγμάτων διέγνωκε χρήσασθαι τῇ αἰσθήσει· αὕτη γὰρ τοῖς οἰκείοις ὀργάνοις τοὺς τῶν ἔξω πραγμάτων τύπους ἀναλαμβάνουσα καὶ οἷον βιβλίῳ τῷ φανταστικῷ τῆς ψυχῆς καταγράφουσα, εἰκόνας φησὶν ἀντὶ πρωτοτύπων, αὐτόθι ταύτας ἐγκαθιδρύει, σύμφωνα τοῖς νοήμασι τὰ πράγματα σπεύδουσα ὁρᾶν. Διὸ καὶ φωνῆς ἐδεήθη δυναμένης ἐξομοιοῦσθαι μὲν τοῖς νοήμασιν, ἐφαρμόζεσθαι δὲ τοῖς πράγμασι. Τοῦτο δ' οὐκ ἄλλως ῥᾴδιον ζῴῳ γίνεται λογικῷ, πλὴν δι' ἐνάρθρου φωνῆς, ὑπὸ συνθήκης ἀνδρῶν εὐφυῶν εἰδοποιηθείσης πρὸς ἄλλην καὶ ἄλλην θρησκείαν τε καὶ διάλεκτον, ὡς συμβαίνειν ἐντεῦθεν μὴ παρὰ πᾶσιν ὡσαύτως ἔχειν αὐτήν, ἀλλ' ἄλλην εἶναι παρ' ἄλλοις ἀεί, καὶ οὕτω μεσίτειν, ὡς ἔφην, ἀμφοῖν γινομένην τὴν τῆς ἐνάρθρου χρείαν φωνῆς, τὴν τοῦ ἀκούοντος τῇ τοῦ λέγοντος συνάπτειν εὐστόχως διανοίᾳ κατὰ τὸ ἀνάλογον ἑκάστην ἑκάστῃ· μορφουμένη γὰρ αὕτη καὶ διαπλαττομένη ῥήμασί τε καὶ ὀνόμασι λόγος γίνεται σχήμασι ποικίλοις καὶ ἀρχαῖς καὶ πέρασιν ὁρίζων τὸ τῆς ὕλης ἀόριστόν τε καὶ ἄφετον, καὶ οὕτω τοῖς ἔξω τὴν ἔνδον ἑκάστου βούλησιν ἀπαγγέλλων. Πλὴν οὐχ ὡς ἔτυχεν ἀτάκτως φέρεσθαι καὶ κατὰ τὴν ἑκάστων διάφορον θέλησιν ἡ σοφία κατόπιν [f. 138 v.] ἐληλυθυῖα παρὰ Θεοῦ τοῖς ἀνθρώποις ἀφῆκεν, ἀλλὰ νόμοις καὶ κανόσιν ὑπέζευξε ταύτην κατὰ τὰς παρ' ἑκάστοις συνθήκας, ὧν ἐνίαις ἐνίοτε καὶ ἐνιαχοῦ μὴ μόνον κατὰ θρησκείαν τὰς σημασίας ἔπεται διαιρεῖν, ἀλλὰ καὶ καθ' ὁμωνυμίας καὶ πολυωνυμίας. Δυοῖν γὰρ θάτερον, ἢ διαφόροις ὀνόμασι τὰ αὐτὰ τοῖς τῇ αὐτῇ διαλέκτῳ χρωμένοις γνωρίζονται πράγματα, ἢ μιᾷ προσηγορίᾳ τὰ διάφορα τῶν πραγμάτων, ἢ τούτων μὲν οὐδετέροις, ἕτερά γε μὴν ἑτέροις. Τούτων δ' οὕτως ἐχόντων καὶ οὕτωσι προδιαληφθέντων ἀνακτέον ἂν εἴη τὴν γλῶτταν ἡμῖν εἰς τὸ πρότερον ἴχνος τοῦ λόγου. Τὸ δέ ἐστι δεῖξαι τὴν τῶν πολλῶν ἐκείνων ὀνομάτων ὁμοιότάν τε καὶ συμφωνίαν καὶ πρὸς τὸ κυρίως ἐν ἀναφορᾷ, δηλαδὴ τὴν θείαν ἐκείνην καὶ μακαρίαν οὐσίαν, καὶ μὴ κατ' Εὐνόμιον ἐκεῖνον τὸν δυσσεβῆ, τὸ τῆς ἀγεννησίας ὄνομα θεότητος ὕπαρξιν λέγοντα, καὶ σὲ, θεότητας ταῦθ' ὑφειμένας ἡγεῖσθαι πάντα, διαφόρους τῆς οὐσίας καὶ ἀκτίστους, ἀνθρώπων ὄντα εὑρήματα καὶ ποιήματα. Αὐτίκα γὰρ πρὸς ἐκεῖνον ὁ μέγας φάσκει Βασίλειος, « Τὸ ἀγέννητος εἰ ὄνομα, οὐκ οὐσία· τῶν γὰρ οὐσιῶν σημαντικὰ τὰ ὀνόματα, οὐκ αὐτὰ οὐσίαι. Εἰ δ' αὐτὸ οὐσία τὸ ἀγέννητος, λεγέτωσαν τὸ ὄνομα αὐτῆς· οὐ γὰρ ἐκ τῶν οὐσιῶν, ἀλλ' ἐκ τῶν ὀνομάτων καὶ ἐκ τῶν ἐνεργειῶν

A Cum enim creatum hominem adduceret, rationem ei tribuit et animadversionem, quarum ratio eamdem conditionem retinens cum rebus, quæ in mundo sunt, lingua non eget, sed ipsam harum cognitionem sibi comparat. Ut enim quæque est harum natura, cognoscit quod intelligi potest natura sua ex re ipsa, usus autem, qui homines cogebat ut res secum invicem communicarent et animi cupientis arcana enuntiarent uti statuit animadversione, quæ cognitionem rebus componeret. Hæc enim aptis instrumentis rerum externarum formas recipiens et tanquam in libro ficto animi inscribens simulacra, ait, pro exemplaribus ibi hæc deponit, operam dans, ut congruas cum cogitatis res reddat, quamobrem etiam voce indiguit, B quæ formari posset **288** ad similitudinem cogitatorum, accommodari autem rebus, quod alio nullo modo facilius est animali ratione prædito quam voce articulata, quæ formata est consensione hominum ingeniosorum ad aliam aliamque superstitionem et dialectum, ut inde intelligatur, non apud omnes eamdem esse eam, sed aliam apud alios semper, itaque cum componat, ut ait, ambo, usum articulatæ vocis notionem audientis accurate aptare secundum similitudinem notioni loquentis omnem omni, hæc enim formata et expressa verbis et nominibus oratio fit, quæ formis variis et initiis et finibus definiat materiam indefinitam et dissolutam et ita externis internam cujusque voluntatem enuntiet, tamen eam casu et sine ordine ferri et C secundum cujusque diversam voluntatem sapientia postea a Deo aggressa hominibus non concessit, sed legibus et regulis subjunxit eam secundum eas quæ apud quosque erant consensiones, quarum nonnullis interdum non solum secundum superstitionem significationes sequitur ut tribuamus, sed etiam secundum nomina eadem et multa. Alterutrum enim, aut diversis nominibus eædem res ab iis qui eadem dialecto utuntur declarantur, aut una significatione diversæ res aut horum neutris (alia nimirum aliis). Quæ **289** cum ita sint itaque præjudicata, repetenda fortasse est lingua nobis ab ipso exordio orationis, hoc est, demonstranda est multorum illorum nominum concordia et con- D centus et quæ sit eorum ad unum quod proprie sic dicitur relatio, ad divinam nimirum illam et beatam essentiam, neque secundum Eunomium illum impium qui non geniti nomen divinitatis substantiam dicit, neque secundum te putandum est, divinitates summissas omnino diversas ab essentia et increatas esse inventas fictasque ab hominibus. Statim enim contra illum Basilius Magnus ait : «Non genitum» si nomen est, non est essentia, essentiarum enim significantia sunt nomina, non ipsa essentia, sin autem ipsum «non genitum» est essentia, dicunto nomen ejus : non enim ex essentiis, sed e nominibus et efficientiis intelligimus, et maxime incorporea. Vides ex iis, quæ accedunt, dicere illum ex efficientiis corporis instar inspectis

sive factis et operibus nos declarare incorporea et quæ non cernuntur. Accipe præterea quæ etiam Gregorius Nyssenus de nominibus dicit : Natura divina, quidquid est ratione essentiæ habita, una est simplex et uniformis et incomposita et extra nostram animadversionem. Et quoniam sola quæ intelliguntur nominum vocibus significamus : quæ autem supra intelligentiam sunt, non possumus significantibus appellationibus complecti, multis et diversis nominibus quatenus licet revelare cogimur insitam nobis de numine divino **290** notionem. Quamobrem Dominum eum, Deum, justum, potentem, clementem, verum, misericordem, taliaque multis, sive, id quod accuratius dicitur, aliis nominibus vocamus. Talia autem nomina omnino compositione, neque vero natura sunt facta : quod supra a nobis demonstratum est. Et alibi Athanasius magnus ait, τὸ Deum esse secundum essentiam a natura. Et magnus in rebus divinis perscrutandis Gregorius : Simplicitas Deo non est natura; alterum enim in eo statuit vim videndi, altera non esse unum compositum. Atque uno verbo nullum nomen est quod non secundum sit a natura divina. Circumscriptus enim quodammodo finis essentiæ et naturæ est nomen : illa autem non circumscripta natura circumscriptionibus nominum inservire non potest. Et alio loco divinus Gregorius Nyssenus de iisdem nominibus hæc dicit : Si prior efficientiis erat essentia, efficientias autem eas intelligimus, quas animadvertimus, has autem, quatenus licet, verbis enuntiamus, qui jam relinquitur timor, cur non posteriora rebus nomina dicamus? Etenim si non antea explicamus quidquam eorum quæ de Deo dicuntur, quam intelligamus, ex iis autem intelligimus, quæ ex efficientiis cognoscimus, efficientia autem prior est vis, vis autem pendet ex voluntate divina, voluntas autem in facultate divinæ posita est naturæ, nonne aperte cognoscimus, accedere **291** rebus significantes nominum appellationes, et tanquam umbræ rerum sunt voces ad motiones suppositorum formatæ? Et hæc ita se habere nobis persuadet aperte divina Scriptura per magnum Davidem, qui quibusdam propriis et insitis nominibus ex efficientia ejus intellectis divinam naturam vocat. «Misericors enim, ait, et miserens est Dominus : clemens et miserationis plenus.» Hæc igitur quid dicunt, efficientiæ obtinere significationem aut naturæ? Nemo, puto, aliud quidquam quam efficientiam dicet. Quando igitur efficiens misericordiam et miserationem accepit ab efficientia nomen? Num ante hominum vitam? Sed quis tum miseratione indigebat? Imo omnino post peccatum commissum. Peccatum autem est post hominem creatum : igitur post hominem creatum etiam miserandi efficientia orta est et miserationis nomen. Viden'? Propterea enim et eadem nomina fiunt et accommodantur secundum hominum voluntatis regulas et leges : neque in uno, sed in

A γνωρίζομεν καὶ μάλιστα τὰ ἀσώματα. « Ὁρᾷς ἐκ τοῦ παρήκοντος πῶς ἐκ τῶν σωματικῶς θεωρουμένων ἐνεργειῶν φησιν, εἴτουν ἔργων καὶ ποιημάτων, γνωρίζειν ἡμᾶς τὰ ἀσώματα καὶ μὴ φαινόμενα; Ἄκουε δ' ἐπὶ τούτοις τί καὶ ὁ Νυσσαέων περὶ ὀνομάτων φάσκει Γρηγόριος. « Ἡ θεία φύσις ὅ τι ποτὲ κατ' οὐσίαν ἐστί, μία ἐστὶν ἁπλῆ καὶ μονοειδὴς καὶ ἀσύνθετος καὶ ὑπὲρ τὴν αἰσθητικὴν ἡμῶν κατάληψιν. Καὶ ἐπειδὴ μόνα τὰ γινωσκόμενα διὰ τῆς ὀνομαστικῆς σημειούμεθα κλήσεως, τὰ δ' ὑπὲρ τὴν γνῶσιν ὄντα σημειωτικαῖς τισι προσηγορίαις διαλαβεῖν οὐχ οἷόν τε, πολλοῖς καὶ διαφόροις ὀνόμασιν, ὅπως ἂν ᾖ δυνατὸν, ἀνακαλύψαι βιαζόμεθα τὴν ἐγγινομένην ἡμῖν περὶ τοῦ θείου ὑπόνοιαν.» Διὸ
B Κύριον αὐτὸν, Θεὸν, δίκαιον, ἰσχυρὸν, μακρόθυμον, ἀληθινὸν, ἐλεήμονα, καὶ τὰ παραπλήσια πολυωνύμως, ἢ τό γε ἀκριβέστερον εἰπεῖν, ἑτερωνύμως κατονομάζομεν. Τὰ δὲ τοιαῦτα ὀνόματα θέσει πάντως εἰσὶ καὶ οὐ φύσει, ὡς ἡμεῖς προδεδείχαμεν. Καὶ ὁ μέγας ἀλλαχῆ φησιν Ἀθανάσιος ὅτι καὶ τὸ Θεὸν εἶναι δεύτερόν [f. 139 r] ἐστι τῆς φύσεως. Καὶ ὁ μέγας ἐν Θεολογίᾳ Γρηγόριος, ὅτι οὐ φύσις Θεῷ ἡ ἁπλότης· τὸ μὲν γὰρ τὴν θεατικὴν αὐτοῦ παρίστησι δύναμιν, τὸ δὲ τὸ μὴ εἶναι σύνθετον. Καὶ ἁπλῶς εἰπεῖν οὐδὲν
C τῶν ὀνομάτων ἐστὶν ὃ μὴ δεύτερόν ἐστι τῆς θείας φύσεως. Περιγεγραμμένος γάρ τις ὅρος οὐσίας καὶ φύσεως γίνεται τοὔνομα, ἡ δ' ἀπερίγραπτος ἐκείνη φύσις περιγραφαῖς ὀνομάτων δουλεύειν οὐ δύναται. Καὶ ἐν ἑτέρῳ δ' ὁ θεῖος Νυσσαέων Γρηγόριος περὶ τῶν αὐτῶν ὀνομάτων οὕτω φησίν· « Εἰ προῦφέστηκε τῶν ἐνεργειῶν ἡ οὐσία, νοοῦμεν δὲ τὰς ἐνεργείας δι' ὧν αἰσθανόμεθα, ῥήμασι δὲ ὅπως ἂν ᾖ δυνατὸν ἐξαγγέλλομεν, τίς ἔτι καταλείπεται φόβος νεώτερα τῶν πραγμάτων τὰ ὀνόματα λέγειν; Εἰ γὰρ μὴ πρότερον ἑρμηνεύομέν τι τῶν περὶ Θεοῦ λεγομένων πρὶν ἂν νοήσωμεν, νοῶμεν δὲ δι' ὧν ἐκ ἴχνῶν ἐνεργειῶν διδασκόμεθα, προῦφέστηκε δὲ τῆς ἐνεργείας
D ἡ δύναμις, ἡ δὲ δύναμις ἐξήρτηται τοῦ θείου θελήματος, τὸ δὲ βούλημα ἐν τῇ ἐξουσίᾳ τῆς θείας ἀπόκειται φύσεως· ἆρ' οὐ σαφῶς διδασκόμεθα ὅτι ἐπιγίνονται τοῖς πράγμασιν αἱ σημαντικαὶ τῶν ὀνομάτων προσηγορίαι, καὶ ὥσπερ σκιαὶ τῶν πραγμάτων εἰσὶν αἱ φωναὶ, πρὸς τὰς κινήσεις τῶν ὑφεστώτων σχηματιζόμεναι; Καὶ ὅτι ταῦτα οὕτως ἔχει, πείθει σαφῶς ἡ θεία Γραφὴ διὰ τοῦ μεγάλου Δαβὶδ τοῦ καθάπερ διά τινων ἰδίων προσφυῶν ὀνομάτων τῶν ἐκ τῆς ἐνεργείας αὐτοῦ νοηθέντων τὴν θείαν φύσιν ἀνακαλοῦντος· « Οἰκτίρμων, » γάρ φησι, « καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος. » Ταῦτα τοίνυν τί λέγουσιν, ἐνεργείας ἔχειν τὴν σημασίαν ἢ φύσεως; Οὐκ ἂν τις ἄλλο παρὰ τὴν ἐνέργειαν εἴποι. Πότε τοίνυν ἐνεργήσας τοὺς οἰκτιρμοὺς ὁ Θεὸς καὶ τὸν ἔλεον, ἔσχεν ἐκ τῆς ἐνεργείας τὸ ὄνομα; Ἆρα πρὸ τῆς ἀνθρωπίνης ζωῆς; Καὶ τίς ἦν ὁ τοῦ ἐλέους δεόμενος; Ἀλλὰ μετὰ τὴν ἁμαρτίαν πάντως. Ἡ δ' ἁμαρτία μετὰ τὸν ἄνθρωπον· οὐκοῦν μετὰ τὸν ἄνθρωπον καὶ ἡ τοῦ ἐλεεῖν ἐνέργεια καὶ τὸ τοῦ ἐλέου ὄνομα. » Ὁρᾷς; διὰ γὰρ τοῦτο καὶ ὁμώνυμα γίνεται καὶ μεθαρμόζεται κατὰ τοὺς τῆς ἀνθρωπίνης βου-

λήσεως κανόνας καὶ νόμους. Καὶ οὐκ ἐφ' ἑνὸς, ἀλλ' ἐπὶ πλείστων τε καὶ διαφόρων ὑποκειμένων ἕκαστον ἓν ὃν λέγεται ὄνομα, τὸ πλεῖστον εἰπεῖν. Οἷον ἐπὶ ὑποδείγματος, περὶ βουλήσεως εὕροι τις ἂν τοὔνομα ποτὲ μὲν ἐπὶ τῆς ἀκτίστου [f. 139 v] φύσεως τοῦ Υἱοῦ λαμβανόμενον, ποτὲ δ' ἐπὶ τῶν κτισμάτων παρὰ τῶν ἁγίων, ὡς ὁ μέγας Ἀθανάσιος κατὰ Ἀρειανῶν γράφων φησὶν ὡς οἱ ἀσεβεῖς οὐ θέλουσι λόγον καὶ βουλὴν ζῶσαν εἶναι τὸν Υἱὸν, περὶ δὲ τὸν Θεὸν βούλησιν καὶ φρόνησιν καὶ σοφίαν ὡς ἕξιν συμβαίνουσαν καὶ ἀποσυμβαίνουσαν. Καὶ ὁμοίως Ἰωάννης ὁ ἐκ Δαμασκοῦ βούλησιν καὶ σοφίαν καὶ δύναμιν τὸν Υἱὸν εἶναι λέγει τοῦ Πατρός· οὐ χρὴ γὰρ λέγειν ἐπὶ Θεοῦ ποιότητα, ἵνα μὴ σύνθετον αὐτὸν ποιήσωμεν ἐξ οὐσίας καὶ ποιότητος. Καὶ πρός γε ὁ Νυσσαέων Γρηγόριος· ὄντως σοφίαν καὶ βουλὴν οὐδὲν ἕτερον εἶναι λέγει πλὴν τῆς τοῦ παντὸς προεπινοουμένης σοφίας, ἐν ᾗ τὰ πάντα ἐγένετο καὶ διεκοσμήθη· Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία. Καὶ τοῦτο μὲν περὶ τοῦ ταυτὸν εἶναι κατὰ τὸ σημαινόμενον οὐσίαν, δύναμιν καὶ βούλησιν καὶ σοφίαν. Ἐν ἄλλοις δ' εὑρίσκεται λέγων ὁ θεῖος Μάξιμος ὡς ἡ θέλησις καὶ ἡ βούλησις οὐκ ἔστι ταυτὸν τῇ οὐσίᾳ τοῦ Θεοῦ. « Ἡ μὲν γὰρ θέλησις καὶ ἄρχεται καὶ παύεται· ἡ δὲ οὐσία οὔτε ἄρχεται οὔτε παύεται. Τὸ δ' ἀρχόμενον καὶ παυόμενον τῷ μήτε ἀρχομένῳ μήτε παυομένῳ τὸ αὐτὸ εἶναι οὐ δύναται. Εἰ γὰρ ταυτὸν ἦν τῇ οὐσίᾳ τοῦ Θεοῦ ἡ βούλησις, ἐχρῆν μιᾶς οὔσης τῆς οὐσίας μίαν εἶναι καὶ τὴν θέλησιν. Ἀλλ' ἡ Γραφὴ, « Πάντα, » φησὶν, « ὅσα ἠθέλησεν, ἐποίησε. Πολλὰ οὖν ἠθέλησε καὶ οὐχ ἕν. » Καὶ ὁμοίως ὁ θεῖος Κύριλλος, « Ἡ ἑνὸς, » φησὶ, « τῶν ὠνομασμένων, Πατρὸς, λέγω, καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, δημιουργικὴ θέλησις, ἐφ' ὅτιπερ ἂν λέγοιτο γενέσθαι τυχὸν, ἐνέργημα μὲν αὐτοῦ ἐστι· πλὴν διὰ πάσης ἔρχεται τῆς θεότητος, καὶ τῆς ὑπὲρ τὴν κτίσιν οὐσίας ἐστὶν ἀποτέλεσμα. » Ὅρᾳς πῶς ἡ τῶν ὀνομάτων καὶ ῥημάτων γνῶσις ἐπιστημονικὴ, δι' ὧν λόγοι καὶ ἀποφαντικὰ δόγματα πάντα πρὸς γένεσιν ἔρχονται, μεγάλης δεῖται τῆς περινοίας καὶ ἐξετάσεως; ὁμώνυμα γάρ ἐστι τὰ πολλά. Καὶ διὰ τοῦτο πάντες οἱ τῶν αἱρετικῶν θίασοι, τούτοις ἐγκαλυπτόμενοι, τοξεύουσι κατ' ἄλλοτ' ἄλλους καιροὺς ἀφανῶς τὴν εὐσέβειαν ὡς ἐκ λόχμης· ᾧ δὴ καὶ λέγων καὶ γράφων καὶ αὐτὸς κέχρησαι τολμήματι παντάπασι κατὰ τῶν θείων δογμάτων μάλιστα πάντων ἐκείνων, καὶ οὔτε τὴν τὰ πάντα βόσκουσαν ἡλίου φλόγα μάρτυρα τῆς πονηρίας ἔχων αἰσχύνῃ, οὔτε μὴν τὸν τοῦ ἡλίου δημιουργὸν οὔτ' ἀνθρώπων οὐδένα.

ΙΓ'. Καὶ ἵνα σε καὶ τὴν τῆς ἐνεργείας διδάξω φωνὴν οὖσαν μᾶλλον τῶν ὁμωνύμων αὐτὴν, [f. 140 r.] καὶ λαμβανομένην καὶ ἐπ' ἄλλων μὲν, ἀλλὰ κἀπὶ τῆς θείας ἐκείνης καὶ μακαρίας οὐσίας καὶ φύσεως, ὅταν ἀπροσδιορίστως λέγηται, τοῦ θείου πρῶτον ἄκουε Μαξίμου· « Ἡ αὐτοῦπεραγαθότης νοῦς οὖσα καὶ ὅλη ἐνέργεια εἰς ἑαυτὴν ἐστραμμένη ἐνέργειά ἐστιν, οὐ δυνάμει πρότερον οὖσα ἀφροσύνη, εἶτα νοῦς ἐνεργείᾳ γενομένη. Ὅθεν καὶ νοῦς ἐστι μόνος καθαρὸς, οὐκ ἐπίκτητον ἔχων τὸ φρονεῖν, ἀλλὰ παρ' ἑαυτοῦ πάντως νοεῖ. Εἰ γάρ ἡ μὲν οὐσία αὐτοῦ ἄλλη ἐστὶν, ἃ δὲ νοεῖ ἕτερα αὐτοῦ ἐστιν, ἀνόητος ἔσται ἡ

A plurimis et diversis, quæ supposita sunt, quodque nomen, quanquam unum est, tamen dicitur plurimum significare, ut exempli gratia, de voluntate reperias nomen interdum in natura increata Filii usurpatum, interdum autem in creatis a sanctis, **292** ut Athanasius magnus contra Arianos scribens dicit : « Impii non statuunt Filium esse rationem et voluntatem et cogitationem et sapientiam tanquam habitum convenientem et inconvenientem. Et simili ratione Joannes Damascenus voluntatem et sapientiam et vim Filium esse dicit Patris. Non enim possumus prædicare de Deo qualitatem, ne compositum eum fingamus ex essentia et qualitate. Et præterea Gregorius Nyssenus dicit revera sapientiam et voluntatem nihil esse quam sa-
B pientiam, in universum præmeditatam, in qua universa facta sint et adornata. Christus enim Dei est vis et Dei sapientia. Atque hoc quidem sufficiat de eo, quod idem est ex significatione essentia, vis et voluntas et sapientia. Ex aliis reperimus dicentem Maximum divinum : Consilium et voluntas non sunt idem atque essentia Dei; voluntas enim et incipit et desinit, essentia autem neque incipit neque desinit; quod autem incipit et desinit, cum eo, quod neque incipit neque desinit, idem esse non potest. Etenim si idem esset cum essentia Dei voluntas, oporteret cum una sit essentia, unam esse etiam voluntatem. Sed Scriptura, « Omnia, inquit, quæcunque voluit, creavit. » Multa igitur voluit, neque vero unum. Et simili ratione Cyrillus
C divinus, Voluntas, inquit, unius nominatorum, Patris dico et Filii et **293** Spiritus sancti, creans apud quemcunque esse dicitur, factum ejus est, sed per totam divinitatem est fusa et essentiæ, quæ est ante creationem, est perfectio. Vides, nominum et verborum cognitionem philosophicam, a quibus notiones et dogmata constituta omnia oriuntur, magnam requirere prudentiam et quæstionem : ejusdem enim nominis sunt plerumque. Et propterea omnes hæreticorum cœtus, his involuti, petunt diversis temporibus obscure pietatem tanquam ex insidiis, qua et ipse usus es audacia et dicendo et scribendo omnino maxime contra dogmata divina omnia illa, ac neque pascentem omnia solis ignem, quem
D testem habes pravitatis tuæ, vereris, neque solis creatorem neque hominum quemquam.

XIII. Et ut te etiam efficientiæ edoceam vocem esse magis eorumdem nominum ipsam, et usurpari et in aliis quidem, sed et in divina illa et beata essentia et natura, cum indiscrete dicatur, primum divinum audias Maximum : Maxima bonitas, quæ mens est, et omnis efficientia, in se conversa, efficientia est, cum non secundum potentiam antea sit amentia, postea mens secundum efficientiam fit; itaque etiam mens est sola pura, non factitia una cogitatione, sed per se ipsam omnino intelligit. Etenim si essentia ejus diversa est, quæ autem **294** intelligit, ab ea diversa sunt, sine sensu sit necesse est

essentia ejus. Si quid autem habet, a se ipsa habet, non ab alio. Si a se ipsa, etiam per ipsam intelligit. Ipsa autem est ea, quæ intelligit; igitur cum mens sit, revera intelligit ea quæ ita sunt comparata, ut ea ipsa. Vides efficientiam et mentem et rationem intelligendi et cogitandi sive intelligentiam et cogitationem idem esse cum essentia demonstrari a divino illo magistro? Accipe autem porro etiam alterum ejusdem dictum eodem modo comparatum: Nulla res omnino per se ipsa est simplex essentia aut intelligentia, ut etiam monas sit individua. Deum autem sive essentiam dicimus, non habet ille simul intelligendi vim, nisi forte compositus est, sive intelligentiam, non habet a natura recipientem ille intelligentiæ suppositam essentiam. Sed propter essentiam Deus est intelligentia, et totus est intelligentia et solum, et propter intelligentiam essentia, et totus est essentia et solum et propter essentiam totus, et propter intelligentiam totus, quapropter monas est individua et indivisa et simplex. Et alibi, Monas enim, inquit, divinitas est, neque vero dyas et trias, sed non multitudo, initii est expers et incorporea et constans. Et rursus: Illud enim natura est maxime **295** solum, integrum, incompositum et indissolubile et æque abest a substantiæ monade atque a materiæ dyade et a multitudine essentiarum. Vides omnino hunc divinum vetare magistrum hic vocem triadis tanquam numerum multorum cogitari? Trias enim, inquit, est monas, neque vero multitudo, et præterea maxime solum et unius neque vero multitudinis instar, et præterea simplex neque vero maximum; alterum enim est perfectum, alterum imperfectum; quod enim omnium est causa, id omnino unum est, et quod multorum et compositorum est causa, simplex omnino est et incompositum. Etenim si non unum est, nihil est, unde discernamus, ac si non simplex, idem non est ultra multa et composita; sin autem simplex, omnino est etiam individuum simul et indivisum. Composita enim dividi et discerni possunt in ea, ex quibus contractum et compositum est illud compositum et conjunctum. Quot enim discernuntur, tot est conjunctum, ex quo hæc discernuntur, et quot illa multa, tot hoc unum, a quo distant. Individui autem et indivisi non potest comprehendi ulla pars neque quæ prior sit aliis neque quæ posterior aliis, neque initium, neque finis; aliud enim est finis, et aliud cujus est finis, et rursus aliud est initium, aliud cujus est initium. Hoc autem est semper et compositum et totum in habitu, quæ omnia esse non possunt in simplici et immota et indivisa illa essentia. Quod autem ex iis, quæ nobis magis usitata sunt, nostras ignotas passiones ad ignotam, ut ita dicam, animadversionem **296** altioris cognitionis illius referre conamur, minime mirari debemus. Hæc enim plerumque etiam divinis Patribus libera fuit licentia.

XIV. Cum etiam alia plurima quæ proferam mihi suppetant aperta, et quæ ita ut refutari non possint, probent, cum essentia idem esse divinam efficientiam, et universam efficientiam etiam ipsius

A οὐσία αὐτοῦ· εἴ τι δὲ ἔχει, παρ' ἑαυτοῦ ἔχει, οὐ παρ' ἄλλου. Εἰ δὲ παρ' ἑαυτοῦ καὶ ἐξ ἑαυτοῦ νοεῖ, αὐτός ἐστιν ἃ νοεῖ. Οὐκοῦν νοῦς ὢν ὄντως νοεῖ τὰ ὄντα ὡς ὤν. » Ὁρᾷς πῶς ἐνέργειαν καὶ νοῦν καὶ νοεῖν καὶ φρονεῖν, εἴτουν νόησιν καὶ φρόνησιν, ταυτὸν τῇ οὐσίᾳ δείκνυσιν ὁ θεῖος οὗτος διδάσκαλος; Ἄκουε δὲ λοιπὸν καὶ ἑτέραν τοῦ αὐτοῦ ῥῆσιν ὁμοίως ἐχουσαν· « Οὐδὲν τῶν ὄντων τὸ σύνολον αὐτὸ καθ' αὑτὸ ἁπλῆ τις οὐσία ἢ νόησίς ἐστιν, ἵνα καὶ μονὰς ᾖ ἀδιαίρετος. Τὸν δὲ Θεὸν εἴτε οὐσίαν εἴποιμεν, οὐκ ἔχει φυσικῶς συνεπινοουμένην τὴν τοῦ νοεῖσθαι δύναμιν, ἵνα μὴ ᾖ σύνθετος· εἴτε νόησιν, οὐκ ἔχει φυσικῶς δεκτικὴν τῆς νοήσεως ὑποκειμένην οὐσίαν. Ἀλλ' αὐτὸ κατ' οὐσίαν νόησίς ἐστιν ὁ Θεός, καὶ ὅλος νόησις καὶ μόνον, καὶ αὐτὸ κατὰ τὴν νόησιν οὐσία, καὶ ὅλος οὐσία

B καὶ μόνον, καὶ ὑπὲρ οὐσίαν ὅλος, καὶ ὑπὲρ νόησιν ὅλος, διότι μονὰς ἀδιαίρετος καὶ ἀμερὴς καὶ ἁπλῆ. » Καὶ ἀλλαχοῦ, « Μονὰς γάρ, » φησιν, « ἡ θεότης, καὶ οὐ δυάς, καὶ τριάς, ἀλλ' οὐ πλῆθος, ὡς ἄναρχος, ἀσώματός τε καὶ ἀστασίαστος. » Καὶ πάλιν, « Ἐκεῖνο γὰρ φύσει μονώτατον τέλειον, τὸ ἀσύνθετον καὶ ἀσχίδαστον καὶ φεῦγον ἐπ' ἴσης τό τε καθ' ὑπόστασιν μοναδικὸν καὶ τὸ καθ' ὕλην δυϊκὸν καὶ τὸ κατ' οὐσίαν πληθυντικόν. » Ὁρᾷς πῶς τὸ πληθυντικὴν νοεῖσθαι τὴν τῆς Τριάδος ἐνταῦθα φωνὴν παντάπασιν ὁ θεῖος οὗτος ἀπαγορεύει διδάσκαλος; Μονὰς γάρ, φησίν, ἡ Τριὰς καὶ οὐ πλῆθος, καὶ πρός γε μονώτατον καὶ ἑνιαῖον καὶ οὐ πληθυντικόν, καὶ ἐπὶ τούτοις ἁπλοῦν καὶ οὐ μεριστόν. Τὸ μὲν γὰρ τέλειον, τὸ δ' ἀτελές.

C Ὅ γὰρ αἴτιον πάντων, ἓν πάντως· καὶ ὃ τῶν πολλῶν καὶ συνθέτων αἴτιον, ἁπλοῦν πάντως καὶ ἀσύνθετον. Εἰ γὰρ μὴ ἓν ἐστι, οὐδέν ἐστιν, ὁποτέρωθεν ὁρᾴη τις ἄν. Καὶ εἰ μὴ ἁπλοῦν, οὐδ' ἐπέκεινα τῶν [f. 140 v.] πολλῶν καὶ συνθέτων. Εἰ δ' ἁπλοῦν, πάντως καὶ ἀδιαίρετον ἅμα καὶ ἀμερές· τῶν γὰρ συνθέτων ἐστὶν ἡ διαίρεσις καὶ διάκρισις εἰς τὰ ἐξ ὧν συνῄρηταί τε καὶ συντέθειται τὸ σύνθετον ἐκεῖνο καὶ ἡνωμένον. Ὅσα γὰρ τὰ διακρινόμενα, τοσαῦτα τὸ ἡνωμένον ἀφ' οὗ ταυτὶ διακρίνεται· καὶ ὅσα τὰ πολλά, τοσαῦτα τὸ ἓν ἀφ' οὗ διίστανται. Τοῦ δ' ἀδιαιρέτου καὶ ἀμεροῦς οὐκ ἔστι λαβεῖν μόριον οὐδέν,

D οὔτε πρότερον ἄλλων οὔθ' ὕστερον ἄλλων, οὔτε μὴν ἀρχὴν οὔτε πέρας· ἄλλο γὰρ τὸ πέρας καὶ ἄλλο οὗ πέρας, καὶ αὖ ἕτερον ἀρχὴ καὶ ἕτερον οὗ ἀρχή. Τοῦτο δὲ συνεχὲς καὶ σύνθετον καὶ ὅλον ἐν σχέσει. Ἃ πάντα ἀδύνατα ἐπὶ τῆς ἁπλῆς καὶ ἀσχέτου καὶ ἀμεροῦς ἐκείνης οὐσίας. Εἰ δ' ἐκ τῶν ἡμῖν γνωριμωτέρων τὰς ἐν ἡμῖν ἀῤῥήτους ὠδῖνας εἰς τὴν ἀῤῥητον, ἵν' εἴπω, συναισθησιν τῆς ὑπερηφάνου γνώσεως ἐκείνης ἀνάγεσθαι πειρώμεθα, θυμάζειν ἥκιστα χρή· τοῦτο γὰρ ὡς τὰ πολλὰ καὶ τοῖς θείοις Πατράσιν ἀκώλυτον ἔσχε τὸ συγχεχωρηκός.

ΙΔ'. Ἔχων δ' ἐγὼ καὶ ἕτερα πλεῖστα προενεγκεῖν σαφῆ καὶ ἀναμφιλέκτως δεικνύντα τῇ οὐσίᾳ ταυτὸν εἶναι τὴν θείαν ἐνέργειαν καὶ ὅλην ἐνέργειαν καὶ αὐτοενέργειαν, παρίημι διὰ πλῆθος, ἀρκεῖν ἡγούμε-

νας ταῦτα τῇ παρούσῃ σχεδίῳ σχολῇ· εἰρήσεται δ' οὖν ἴσως κἀν τοῖς ἑξῆς, προϊόντος τοῦ περὶ τῆς τοιαύτης ἐνεργείας λόγου. Νῦν δὲ δεικτέον ἐστὶ καὶ ὅπως μετὰ προσδιορισμοῦ φασιν οἱ θεῖοι Πατέρες καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα ἐνέργειαν καὶ αὐτοενέργειαν, ἑκάτερον προσηκόντως. Καὶ περὶ μὲν τοῦ Υἱοῦ ὁ θεῖος οὕτω φησὶν Ἀθανάσιος, « Οὐκ ἀμφίβολον ὅτι αὐτός ἐστιν ἡ τοῦ Πατρὸς ζῶσα βούλη καὶ ἐνούσιος ἐνέργεια καὶ λόγος ἀληθινός. » Περὶ δὲ τοῦ Πνεύματος ὁ αὐτὸς οὕτω φησὶν, « Ἑνὸς ὄντος τοῦ Υἱοῦ τοῦ ζῶντος Λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζωὴν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεὰν, ἥτις ἐκ Πατρὸς λέγεται ἐκπορεύεσθαι. » Κύριλλος δ' ὁμοίως καὶ αὐτὸς, « Καὶ ὁ Υἱός ἐστι, » φησὶν, « ἡ ζῶσα καὶ οὐσιώδης ἐνέργεια καὶ δύναμις καὶ σοφία τοῦ Πατρός. Ἐνέργεια καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. » Ἐνέργεια λέγεται καὶ ἡ ἑκάστῳ τῶν ὄντων ἐνοῦσα φυσικὴ δύναμις, ὡς τὸ θερμαντικὸν τῷ πυρὶ, καὶ τὸ ψυκτικὸν τῇ χιόνι, καὶ τὸ αἰσθητικὸν τῷ ζώῳ, καὶ τῷ ἐνεργοῦντι τὸ ἐνεργητικόν. Λέγεται καὶ τὸ τῆς ἐνεργητικῆς δυνάμεως ἀποτέλεσμα ἐνέργεια καὶ ἔργον καὶ ἐνέργημα, ὡς ἔργα καὶ ἐνέργειαι Θεοῦ γῆ καὶ οὐρανὸς καὶ τὰ ἐν τούτοις· φησὶ γὰρ ὁ θεῖος [f. 141 r.] ἐκ Δαμασκοῦ Ἰωάννης ὡς ἡ ἐνέργεια καὶ ἐνέργημα λέγεται, καὶ τοὐναντίον ἐνέργεια τὸ ἐνέργημα, ὡς καὶ τὸ κτίσμα κτίσις. Καθ' ὃ σημαινόμενον καὶ τὸν οἶκον ἐνέργειάν φαμεν τοῦ οἰκοδόμου, καὶ τοῦ ναυπηγοῦ τὴν Ἰλκάδα. Ἐνέργεια λέγεται καὶ ἡ πρὸς τὰ ἐνεργούμενα κίνησις, σχέσις τις οὖσα καὶ μεταξὺ θεωρουμένη τοῦ τε δημιουργοῦντος καὶ τῶν δημιουργουμένων, καθάπερ ἡ τοῦ οἰκοδόμου πρὸς τὸ οἰκοδομούμενον καὶ τοῦ ναυπηγοῦ πρὸς τὸ πλοῖον. Ἥ καὶ συμβεβηκὸς οὖσα καθ' αὐτὴν συγκαταλήγει τῇ τῶν ἄκρων λήξει καὶ οὐκέτι ἐστὶν οὐδέν. Περὶ ἧς καὶ ὁ Θεολόγος ἔφη ὁ θεῖος Γρηγόριος ὡς ἐνεργηθήσεται, καὶ οὐκ ἐνεργήσει, καὶ ὁμοῦ τῷ ἐνεργηθῆναι παύσεται, καθάπερ καὶ ἡ μεταξὺ τοῦ ὁρωμένου καὶ τοῦ ὁρῶντος ὅρασις καὶ ἡ μέσον τοῦ γευομένου καὶ τοῦ γευστοῦ γεῦσις. Καὶ ὁ Νυσσαέων δὲ θεῖος Γρηγόριος μὴ δύνασθαί φησιν ἐνέργειαν ἀπεργαστικήν τινα πράγματος αὐτὴν ἐφ' ἑαυτῆς συστῆναι, μή τινος ὑποδεχομένου τῆς ἐνεργείας τὴν κίνησιν. Ἀναγκαίαν γὰρ ἔχειν ταῦτα τὴν σχέσιν πρὸς ἄλληλα τήν τε ἐνεργητικὴν καὶ τὴν παθητικὴν δύναμιν. Ὧν εἰ χωρισθείη τῷ λόγῳ τὸ ἕτερον, οὐκ ἂν ἐφ' ἑαυτοῦ συσταίη καὶ τὸ λειπόμενον· εἰ μὴ γὰρ καὶ τὸ πάσχον εἴη, τὸ ἐνεργοῦν οὐκ ἔσται. Ἐνέργεια λέγεται καὶ ἡ πρὸς φαντασίαν ἀντιδιῃρημένη ἀλήθεια κατὰ τὸν θεῖον Κύριλλον, ὡς ἐνῴκησεν ὁ Θεῖος Λόγος ἐν τῇ πανάγνῳ Θεοτόκῳ οὐ δοκήσει, ἀλλ' ἐνεργείᾳ εἴτουν ἀληθείᾳ. Ἐνέργεια λέγεται κατὰ τὸν θεῖον ἐκ Δαμασκοῦ Ἰωάννην καὶ τὸ πρῶτον ἐν ἡμῖν συνιστάμενον νόημα, καὶ ἔτι ἡ διὰ γλώττης τῶν νοουμένων φανέρωσις. Σύνηθες δ' ἔτι, φησὶ, καὶ τῇ θείᾳ Γραφῇ καὶ τὴν τοῦ Θεοῦ παραχώρησιν λέγειν ἐνέργειαν. Λέγεται καὶ πλάνης ἐνέργεια ὥσπερ καὶ δαιμόνων, καθὰ καὶ ὁ θεῖος Χρυσόστομος ἐν τοῖς περὶ ἀκαταλήπτου λόγοις ὑπὲρ τῶν ἐνεργουμένων εὔχεσθαι παραινεῖ, τῶν δαιμονώντων δηλαδὴ

A ejus efficientiam, propter multitudinem omitto, cum hæc sufficere putem huic colloquio extemporali. Dicentur igitur fortasse etiam postea progrediente de tali efficientia oratione. Nunc autem demonstrandum est, quomodo assumpta definitione divini Patres et Filium et Spiritum sanctum vocent efficientiam et eorum ipsorum efficientiam, utrumque accommodate. Atque de Filio quidem Athanasius divinus ita dicit : Non dubium est, quin ille sit Patris viva voluntas, et ad essentiam pertinens efficientia, et ratio vera. De Spiritu autem idem ita loquitur : Cum unus sit Filius ratio viva, unam oportet perfectam et plenam esse vitam illam sanctificam et lucentem, cum sit efficientia ejus et dos, quæ a Patre dicitur proficisci. Cyrillus autem simili
B modo et ipse, Et Filius, inquit, et viva et essentiæ similis efficientia et vis et sapientia Patris, efficientia etiam Filii est Spiritus sanctus. Efficientia dicitur etiam vis, quæ cuique rei a natura inest, ut vis calefaciendi **297** igni inest, et frigerandi nivi, et sentiendi animali, et efficiendi efficienti. Etiam efficientis vis perfectio dicitur efficientia et factum et effectum, ut facta et efficientiæ Dei dicuntur terra et cœlum et quæ in iis versantur. Ait enim divinus Joannes Damascenus : Efficientia etiam effectum dicitur, et ex contrario effectum efficientia, ut etiam creatum creatio, secundum quam significationem etiam domum dicimus efficientiam architecti et navium ædificatoris navem
C onerariam. Efficientia dicitur etiam moveri ad ea, quæ efficiuntur, et est ratio quædam quæ intercedit inter efficiens et effectum, ut architectus ad ædificium accedit, et navium ædificator ad navem, quæ motio cum accidens sit per se cum extremorum fine desinit, neque est jam quidquam. De qua etiam divinus Gregorius, Theologus ille, ait : Efficietur, neque vero efficiet, et simulatque effecta est, desinet, ut etiam visus, qui inter visum et videntem intercedit, et inter gustantem et gustatum gustatus. Et divinus Gregorius Nyssenus dicit, non posse efficientiam ullam rei efficacem ipsam in se constare, nisi quid recipiat efficientia motionem. Hæc enim habere necessariam rationem inter se, activam et passivam vim : quorum si secernatur
D ratione alterum, non in se constet etiam reliquum; etenim si non sit etiam res patiens, **298** res efficiens non erit. Efficientia dicitur etiam visioni opposita veritas secundum divinum Cyrillum, ut versata est ratio divina in sanctissima Virgine Dei Matre, non specie, sed efficientia sive veritate. Efficientia dicitur secundum divinum Joannem Damascenum etiam prima in nobis constans cogitatio, et porro expositio cogitatorum quæ lingua efficitur. Consuetudo porro, inquit, etiam divinæ Scripturæ, etiam Dei indulgentiam dicere efficientiam. Dicitur etiam erroris efficientia ut etiam dæmonum; ut etiam divinus Chrysostomus in iis quas de incomprehensis scripsit orationibus ut pro energumenis oremus hortatur, dementibus nimirum et furentibus.

Atque Paulus, « Quia, inquit, veritatem non acceperunt, mittet iis efficientiam erroris usque dum crediderint. » Sed etiam totam animalis administrationem et dispensationem efficientiam sancti vocant, sive vivendi vires, et intelligendi et sentiendi.

XV. Cum igitur tot significationes tibi propositæ sint, quas significat vox, eodem atque efficientia nomine prædita, qui tu prætermissa omnium cognitione confugis ad eas, quæ in Scripturis non reperiuntur, et Scripturas talia dicere falso criminaris? Ubi enim differre omnino dicit Joannes Damascenus ab increata natura increatam ejus **299** efficientiam, sicut tu hæc pervertis impudenter criminando? Etenim explicari quidem naturam ab eo audivimus, differre autem eam nusquam invenimus dicentem illum divinum virum. Jam vero si tu quidem illam naturæ explicationem pro differentia accipis, jam est tibi reliquum, cum audias Scripturam dicentem, explicationem Patris esse Filium, ut dissimilem Filium Patri enunties, et quod ad naturam attinet essentia carentem et valde diversum. Sed, ut videtur, quod a natura pravum est, ut ita dicam, et semel periculoso mentis morbo affectum et propterea divinis dogmatis abruptum est in errorem, tempore delere habitum haud scio an nunquam possit, non magis quam interdum habitum pulchri ex poesi pellere potest, celerrime decutitur re ipsa detectum, cum natura redeat et recipiat facillime genuinum. Et tu quidem simulando te efferre testimonia scripta, insane quidem, ipse stultitiam tuam ultro detegis, quæ cum etiam in sententiam vagam et impiam pervertas, jam improbitatem tibi propriam publice exponis. Neque enim jam celatum quod ad animi mysteria attinet se dormiturum sperat pravitatis scelus secretum. Emanavit enim et divulgata est in solis radios simulque in ludibrium et cavillationem theatri comici frequentem, et gloriam quam assequi studebas perdidisti mutatam **300** in infamiam, quod autem velabas ipse, dedecus tuum, ejus jam sacra revelatoria facere te ut in Bacchi mysteriis non sentis.

XVI. Palamas autem nihil ad hæc respondens aliam iniit viam, ut erat ejus mos. Nonne magnus, inquit, Basilius ex efficientiis Dei dicit nos cognoscere Deum? Efficientiæ enim ejus, ait ille, ad nos descendunt, essentia autem ejus manet inaccessa. Has igitur efficientias habet Deus, qui alius est, alias et increatas; hæc enim sunt providentiæ, sunt eventus, porro infinitum, immotum, simplex, initio et fine carens, sapientia, virtus et similia, quæ omnia alia quidem sunt ac essentia, sed increata. Aliud enim est quod habet, aliud quod habetur, et diversum quidem.

XVII. Ad hæc Gregoras respondens, Proprium, inquit, hoc tibi, amice, est signum, ut nihil quod ad rem pertineat, respondeas, sed pro aliis alia adducas imperfecta, omissis iis, quæ magis necessaria

A καὶ μεμηνότων. Καὶ Παῦλος δὲ, « Ἀνθ' ὧν, » φησὶ, « τὴν ἀλήθειαν οὐκ ἐδέξαντο, πέμψει αὐτοῖς ἐνέργειαν πλάνης εἰς τὸ πιστεῦσαι αὐτούς. » Ἀλλὰ καὶ τὴν τοῦ ζώου πᾶσαν οἰκονομίαν ἐνέργειαν οἱ ἅγιοί φασιν, εἴτουν τὰς ζωτικὰς δυνάμεις τάς τε νοερὰς καὶ αἰσθητικάς.

ΙΕ'. Τοσούτων δή σοι προκειμένων σημαινομένων ἅπερ ἡ τῆς ἐνεργείας ὁμώνυμος [f. 141 v.] οὖσα σημαίνει φωνὴ, πῶς παρατρέχων ἁπάντων τὴν γνῶσιν καταφεύγεις ἐφ' ἅπερ οὐκ ἔστιν ἐν ταῖς Γραφαῖς, καὶ λέγειν συκοφαντεῖς τὰς Γραφὰς τὰ τοιάδε; Ποῦ γὰρ διαφέρειν ὅλως φησὶν ὁ Δαμασκηνὸς Ἰωάννης τῆς ἀκτίστου φύσεως τὴν ἄκτιστον ταύτης ἐνέργειαν, ὥσπερ σὺ διαβάλλεις ἀναίδην συκοφαντῶν; Χαρακτηρίζειν μὲν γὰρ ἀκηκόαμεν, διαφέρειν δ' B οὐδαμῆ τὸν θεῖον ἄνδρα ἐκεῖνον εὑρίσκομεν λέγοντα. Εἰ δὲ τὸ χαρακτηρίζειν αὐτὸς ἀντὶ τοῦ διαφέρειν λαμβάνεις, ὥρα σοι λοιπὸν καὶ χαρακτῆρα τοῦ Πατρὸς τὸν Υἱὸν τῆς Γραφῆς ἀκούοντι λεγούσης, ἀνόμοιον τὸν Υἱὸν τῷ Πατρὶ κηρύττειν καὶ ἀνούσιον καὶ σφόδρα διάφορον τὴν φύσιν. Ἀλλ' ὡς ἔοικε, τὸ φύσει κακὸν ὡς εἰπεῖν, καὶ τὰ τῆς διανοίας ἅπαξ καίρια νενοσηκὸς καὶ τῶν θείων ἐπισφαλῶς ἀπερρωγὸς διὰ ταῦτα δογμάτων, χρόνῳ τὴν ἕξιν οὐκ ἂν ποτ' ἀποτρίψασθαι δύναιτο, ὅτι μὴ καὶ τὴν ἔσθ' ὅτε τοῦ καλοῦ προσποίησιν τάχιστα ἀποσείεται, πράγμασιν αὐτοῖς ἐλεγχόμενον, παλινδρομούσης τῆς φύσεως καὶ ἀναλαμβανούσης ἐκ τοῦ ῥᾴστου τὸ γνήσιον. Καὶ σύ γε μὴν ἐν μὲν τῷ γραφικὰς μαρτυρίας προσποιεῖσθαι κομίζειν, οὐχ ὑγιῶς C δ' οὖν, τὴν σὴν αὐτὸς σαυτοῦ γε ἀμαθίαν ἐκὼν ἐξελέγχεις, ἐν δὲ τῷ καὶ πρὸς ἐπισφαλῆ καὶ δυσσεβῆ διάνοιαν αὐτὰς διαστρέφειν τὴν οἰκείαν ἔτι θεατρίζεις κακόνοιαν. Οὐκέτι γὰρ ἀνέλεγκτον ἐς τά γε τῆς ψυχῆς μυστήρια καθευδήσειν ἐλπίζεται τὸ τῆς κακίας ἀπόῤῥητον ἄγος· ἐξερρύηκε γὰρ καὶ διασκεδεῖτηκεν ἐς ἡλίου αὐγὰς καὶ ἅμα ἐς μυκτῆρα καὶ χλεύην θεάτρου μεστὴν κωμικοῦ. Καὶ ἣν μὲν ἐξίωκες ἀπολώλεκας δόξαν πρὸς ἀδοξίαν μετενεγκών· ἣν δ' ἐκάλυπτες αἰσχύνην αὐτὸς σαυτοῦ, ταύτης ἤδη τὰ ἀνακαλυπτήρια θύων ὥσπερ ἐν Διονυσίων πομπαῖς οὐκ αἰσθάνῃ.

ΙΣ'. Ὁ δὲ Παλαμᾶς οὐδὲν πρὸς ταῦτα ἀποκρινάμενος ἑτέραν ἐβάδισε, τοῦτο δὴ τὸ εἰωθὸς αὐτῷ. D « Εἶτα οὐχ ὁ μέγας, φησὶ, Βασίλειος ἐκ τῶν ἐνεργειῶν τοῦ Θεοῦ φάσκει γνωρίζειν ἡμᾶς τὸν Θεόν; Αἱ γὰρ ἐνέργειαι αὐτοῦ, φησὶ, πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δ' οὐσία αὐτοῦ μένει ἀπρόσιτος. Ταύτας οὖν τὰς ἐνεργείας ἔχει ὁ Θεὸς ἄλλος ὢν ἄλλας οὔσας καὶ ἀκτίστους· αὗται γάρ εἰσιν αἱ πρόνοιαι, οἱ πρόδοδοι, τὸ ἄπειρον, τὸ ἄτρεπτον, τὸ ἁπλοῦν, τὸ ἄναρχον, τὸ ἀτελεύτητον, ἡ σοφία, ἡ δύναμις καὶ τὰ τοιαῦτα, ἄλλα μὲν ὄντα παρὰ τὴν οὐσίαν, ἀκτιστα δέ. Ἄλλο γὰρ τὸ ἔχον καὶ ἄλλο τὸ ἐχόμενον καὶ διάφορον. »

ΙΖ'. [f. 142 r.] Πρὸς ταῦτα ὁ Γρηγορᾶς ἀποκριθεὶς, « Ἴδιόν σοι τοῦτο, φησὶν, ὦ ἄνθρωπε, γνώρισμα, μηδὲν πρὸς ἔπος ἀποκρίνεσθαι, ἀλλ' ἀνθ' ἑτέρων παρεισάγειν ἕτερα, ἡμιτελῆ τὰ ἀναγκαιότερα κατα-

λιμπάνοντα καὶ ἀσαφῆ καὶ ἀνεπεξέργαστα καὶ ἀμάρτυρα. Ὅμως μικρὰ καὶ περὶ τῶν νῦν σοι λεχθέντων φθεγξάμενος ἀπαλλάξομαι. Εἰ ἄλλο τὸ ἔχον καὶ ἄλλο τὸ ἐχόμενον καὶ διάφορον, καὶ τὸ μὲν ἔχον οὐσία, τὸ δὲ ἐχόμενον οὐκ οὐσία κατὰ σέ, ἀνούσιον ἄρα τὸ ἐχόμενον. Καὶ εἰ ἡ οὐσία Θεὸς, τὸ ἀνούσιον ἄρα οὐ Θεὸς, ἡ ἐνέργεια δηλαδή. Καὶ σύνεστι λοιπὸν ἐξ ἀϊδίου τῇ θείᾳ καὶ ἀκτίστῳ οὐσίᾳ ἡ ἀνούσιος αὕτη καὶ διάφορος ἐνέργεια. Καὶ ἅμα δυὰς ἡ πάντων ἀρχή σοι γίνεται, τὸ ἀτοπώτατον, ἑαυτῆς διαφέρουσα καὶ ἀϊδίως ἑαυτῇ μαχομένη. Ἀλλ' ὁ θεῖος Μάξιμος, « Οὐ συνθεωρεῖσθαι ἢ συνεπιθεωρεῖσθαι δύναταί τι, φησὶ, τῷ Θεῷ κατ' οὐσίαν διάφορον ἐξ ἀϊδίου, οὐκ αἰὼν, οὐ χρόνος, οὐδέ τι τῶν τούτοις ἐνδιαιτωμένων· οὐ γὰρ συμβαίνουσιν ἀλλήλοις πώποτε τὸ κυρίως εἶναι καὶ οὐ κυρίως. » Καὶ πάλιν ἄπειρον εἶναι δυάδα οὐδαμῶς ἐνδέχεται· αἱ γὰρ κατ' αὐτὴν μονάδες ἀλλήλαις κατὰ παράθεσιν συνυπάρχουσαι ἀλλήλας ὁρίζουσιν, εἰ δὲ τοῦτο, οὐδ' ἄναρχον· ἀρχὴ γὰρ πάσης δυάδος μονάς. Εἰ δὲ μὴ ἄναρχον, οὐδ' ἀκίνητον· κινεῖται γὰρ τῷ ἀριθμῷ ἐκ μονάδων καθ' ἕνωσιν, τὸ δὲ κινούμενον οὐκ ἀρχὴ, ἀλλ' ἐξ ἀρχῆς, δηλαδὴ τοῦ κινοῦντος. Μονὰς δὲ μόνη κυρίως ἀκίνητος. Πεπερασμέναι σοι ἄρα καὶ ὑπ' ἀρχὴν αἱ θεότητες, ἄνθρωπε· καὶ εἰ τοῦτο, διαστήμασι τοπικοῖς τε καὶ χρονικοῖς δεδουλεύκασιν. Κτίσμασιν ἄρα λατρεύων αὐτὸς ἐλελήθεις. Ἔτι εἰ κατὰ σὲ ἕτερον οὐσία καὶ ἕτερον Θεὸς ὁ τὴν οὐσίαν ἔχων καὶ διάφορος τῆς οἰκείας οὐσίας, ἔστιν ἄρα Θεὸς ἀνούσιος καὶ οὐσία Θεοῦ ἄθεος. Φησὶ γὰρ καὶ ὁ Νυσσαέων Γρηγόριος, « Εἰ τὸ ἀγαθὸν ὄν, τὸ πονηρὸν οὐκ ὄν· εἰ δὲ τὸ πονηρὸν ὄν, τὸ ἀγαθὸν οὐκ ὄν, κατὰ τὸν τῶν ἀμέσων ἐναντίων λόγον. » Ὥστε πολυθεΐαν ἀγωνιζόμενος συνιστᾷν ἐάλως καὶ ἀθεΐαν νοσῶν, τὰ ἐκ διαμέτρου κακά· καὶ πέπτωκε διὰ βραχέων τὰ τῶν σῶν ἀκροπόλεων ὀχυρώματα, ἐφ' οἷς ἐπεποίθεις. Ἔτι μὴν ἐπειδήπερ ἄλλο φῂς εἶναι τὸ ἔχον, ἄλλο δὲ τὸ ἐκτὸν καὶ διάφορον, φαίης ἂν καὶ ἄλλο μὲν ἐξ ἀνάγκης εἶναι τὸν Θεὸν, ἄλλο δὲ τὴν ὕπαρξιν αὐτοῦ· λέγεται γὰρ ὁ Θεὸς καὶ οὐσίαν [f. 142 v.] ἔχειν καὶ ὕπαρξιν. Ἔσται ἄρα κατὰ σὲ Θεὸς ἀνύπαρκτος καὶ ὕπαρξις Θεοῦ ἄθεος. Καὶ περὶ τῆς ἐνεργείας δ' ὁμοίως λεκτέον καὶ ἐρωτητέον, εἰ ἡ ἐνέργεια ἔχει ἐνέργειαν ἄλλην. Εἰ γὰρ ἔχει, δύο ἄρα· καὶ εἰ δύο, διάφορα πάντως· ἄλλο γὰρ δεῖν εἶναι ἔφης τοῦ ἐχομένου τὸ ἔχον. Καὶ γίνεταί τις τερατόμορφος ἐνεργοενέργεια. Εἰ δὲ μὴ τοῦτο, οὐκ ἂν εἴη τὴν ἐνέργειαν ἔχειν ἐνέργειαν. Καὶ συμβήσεται τὴν τοιαύτην ἐνέργειαν ἀνενέργητον εἶναι. Τὸ δ' ἀνενέργητον καὶ ἀνύπαρκτον καθ' ἣν βωμολοχήσας προῦθηκας θέσιν τε καὶ πρότασιν αὐτός. Τὸ γὰρ μὴ ἔχον, ἔφης, ἐνέργειαν οὔτ' ἔστιν οὔτε τί ἐστιν· οὔτ' ἔστι παντελῶς αὐτοῦ θέσις, καὶ ἀπόλωλέ σοι τὸ σπούδασμα δι' ὀλίγου καὶ τῆς μοχθηρᾶς γεωργίας ὁ στάχυς, ἢ ἐς ἀνύπαρκτον ἡμᾶς δογματίζοντι πιστεύειν ἢ εἰς σύνθετον θεότητα. Ἐναντιοῦται γάρ σοι καὶ ὁ θεῖος Κύριλλος, ἄτοπον εἶναι φάσκων τὸ λέγειν τοιαύτην ἔχειν τὸν Θεὸν τὴν γνῶσιν ὁποίαν καὶ ἡμεῖς· εἰ γὰρ [ὥσπερ] ἡμεῖς

sunt, et obscura et inexculta et testimoniis carentia. Tamen pauca etiam de iis, quæ nunc a te dicenda sunt, locutus discedam. Si aliud est quod habet, aliud quod habetur et diversum, ac si quod habet est essentia, quod autem habetur non est essentia secundum **301** te, essentiæ est expers quod habetur; ac si essentia est Deus, id igitur quod essentia caret non est Deus, efficientia nimirum, et conjuncta est jam semper et ex omni æternitate divinæ et increatæ essentiæ hæc essentia carens et diversa efficientia, simulque principium omnium tibi evadit dyas ineptissima a se ipsa differens et semper secum pugnans. Sed Maximus divinus, «Non potest, inquit, cogitando dari aut attribui quidquam Deo, quod sit ab ejus essentia diversum, ex omni æternitate, non ævum, non tempus, neque quidquam eorum quæ in his versantur; neque enim accommodantur sibi invicem unquam id quod proprie aliquid est et quod non proprie. » Et rursus infinita esse dyas nullo modo potest; monades enim in ea ex comparatione compositæ se invicem definiunt: sin autem hoc est, non est illa principii expers; principium enim dyadis omnis est monas. Quodsi illa non est principii expers, eadem non est immota. Movetur enim numero ex monadibus secundum consociationem; quod autem movetur non est principium, sed movetur ex principio nimirum movente. Monas autem sola proprie est immota. Subjectæ igitur tibi sunt, amice, etiam sub principium divinitates; quodsi hoc est, mensuris locorum et temporum inserviunt; creata igitur colis ignarus. Jam vero si ex tua sententia aliud est essentia, aliud Deus qui essentiam habet; et diversus est a sua ipsius essentia, est igitur Deus inessentialis **302** et essentia Dei divinitate destituta. Ait enim etiam Gregorius Nyssenus: «Si bonum est, pravum non est; sin autem pravum est, bonum non est, secundum eam rationem, quod contraria componi non possunt. » Itaque cum multos deos componere contenderes, deprehensus es etiam ex negatione unius Dei ægrotans, quæ sunt maxime opposita mala, et conciderunt parvis arcium tuarum castella et munitiones, quibus confisus eras. Deinde autem quoniam aliud dicis esse quod habet, aliud quod habetur et diversum, fortasse dices etiam aliud esse necessario Deum, aliud ejus substantiam. Dicitur enim Deus et essentiam habere et substantiam. Erit igitur ex tua sententia Deus non substantialis, et substantia Dei divinitate destituta. Et de efficientia idem dicendum erit et quærendum, num efficientia habeat efficientiam aliam. Etenim si habet, sunt igitur duo, ac si duo, diversa omnino; aliud enim oportere esse dicebas atque id quod habetur id quod habet, et oritur quædam mirum in modum formata efficientiæ efficientia; sin autem hoc verum non est, non potest efficientia efficientiam habere, et sequetur ut efficientia ejusmodi sit inefficax. Quod autem inefficax est, etiam est non substantiale, secundum eam, quam tu

ipse negatus proposuisti, thesin et protasin. Efficientiam enim, ais, non habens neque est neque quidquam est : imo omnino non est thesis ejus et brevi interiit tibi opera, et agri ærumnose culti spica qui **303** censeas nos credere aut in non substantialem aut in compositam divinitatem. Adversatur enim tibi etiam divinus Cyrillus, ineptum esse, dicens, contendere Deum habere talem cognitionem qualem nos ipsi. Etenim si nos aliud quid sumus, alia autem atque ille cognitio quæ in eo est, compositus erit neque vero simplex. Jam quandoquidem voluntas Dei aliquid est, quod habeatur et diversum sit ex tua sententia ab essentia, erunt igitur tres in Christo voluntates : una est Filius ipse, voluntas nimirum Patris secundum Patres divinos; altera, quam Filius habet diversam a se secundum te; tertia est voluntas naturæ humanæ, id quod etiam ineptius est impietate eorum qui Christo unam tantum voluntatem naturamque tribuunt. Cum autem etiam magnus Athanasius impios aperte vocat eos, qui negent Filium ipsum esse voluntatem, impius profecto etiam secundum hoc tu, cum illorum partem sequaris. De incipiente enim et desinente voluntate dictum est nobis supra breviter, neque opus est nunc persequi, cum argumenta clare pateant. Jam vero si diversæ sunt a Deo et a se invicem divinitas et vis et sapientia et sanctitas et bonitas, et diversum semper quodque a quoque, quærendum est quomodo sit quodque Dei, si ab eo diversum sit : et quomodo unum uni et omnia omnibus consonent cum inter se diversa sint, atque num prius sit his, quæ ita **304** proveniant numero duali, Deus increatus et visibilis secundum te, et quomodo multi dei hi, qui consociatione ita procedant semper constent cum imperfecto. Etenim si omnia inter se differunt orbata sunt se invicem illa quod ad differentiam attinet, et evadit vis insipiens, sapientia infirma et Deus insipiens et infirmus, et semper simili ratione orba omnibus omnia, et carentia se invicem. Ait enim etiam Gregorius Theologus : « Quæ divinitatis imperfectæ utilitas, sive potius quæ est divinitas, quæ non sit perfecta; perfecta autem quomodo esse potest, cui desit aliquid ad perfectionem? deest autem omnino non habenti sanctum. Quomodo autem habeat, si hoc non habet? Etenim si alia atque hoc est sanctitas, ac si qua ea cogitatur, dicito, quæso. » Et magnus Basilius, « Si sanctificatio ei, inquit, est natura ut Patri et Filio, quomodo tertiæ est et alienæ naturæ? » Et rursus, « Bonus est, inquit, Spiritus, ut bonus Pater et bonus is qui ex bono generatus est, essentiam habens bonitatem. » Vides non diversam a simplici et divina essentia esse sanctitatem et bonitatem et efficientiam et talia, sed eamdem. Vide igitur, o theologe nove, utram impietatem malis; talia enim, per se invicem detecta et contra se invicem pugnantia, tibi afferunt barathrum dogmatis nullius Dei et multorum deorum. Dissimile enim in plurimis

A ἕτερον μέν τί ἐστιν, ἑτέρα δέ τις παρ' αὐτὸν ἡ ἐν αὐτῷ γνῶσις, σύνθετος ἔσται καὶ οὐχ ἁπλοῦς. Ἔτι ἐπείπερ ἡ θέλησις τοῦ Θεοῦ ἐκτὸν καὶ διάφορον κατὰ σὲ τῆς οὐσίας ἐστίν, ἔσονται ἄρα τρεῖς ἐπὶ Χριστοῦ θελήσεις· μία μὲν αὐτὸς ὁ Υἱὸς, θέλησις ὢν τοῦ Πατρὸς κατὰ τοὺς θείους Πατέρας· δευτέρα δ' ἣν ὁ Υἱὸς ἔχει διάφορον ἑαυτοῦ κατὰ σὲ, καὶ τρίτη ἡ τῆς ἀνθρωπότητος· ὃ καὶ τῆς τῶν Μονοθελητῶν δυσσεβείας ἀτοπώτερον. Ἐπεὶ δὲ καὶ ὁ μέγας Ἀθανάσιος ἀσεβεῖς διαῤῥήδην καλεῖ τοὺς μὴ δεχομένους βούλησιν αὐτὸν εἶναι τὸν Υἱὸν, ἀσεβὴς αὐτόχρημα καὶ κατὰ τοῦτο σὺ τὰ ἐκείνων φρονῶν. Περὶ γὰρ τῆς ἀρχομένης καὶ παυομένης θελήσεως εἴρηται ἡμῖν ἀνωτέρω βραχὺ, καὶ οὐ χρεία διεξιέναι νῦν τῶν προκειμένων σαφῶς ἀνθελκόντων. Ἔτι εἰ ἕτερον Θεοῦ καὶ ἀλλήλων θεότης καὶ δύναμις καὶ σοφία καὶ ἁγιότης καὶ ἀγαθότης, καὶ διάφορον ἀεὶ ἑκαστὸν ἑκάστου, ζητητέον πῶς ἂν εἴη τοῦ Θεοῦ ἕκαστον, εἰ διάφορον εἴη αὐτοῦ· καὶ πῶς ἓν ἑνὶ καὶ ἀλλήλοις ἄλληλα συμφωνήσει, διάφορα ὄντα ἀλλήλων· καὶ πότερον πρότερον τούτοιν ἂν εἴη, δυαδικῶς οὕτω προερχομένων. Θεὸς ἄκτιστός τε καὶ ὁρατὸς κατὰ σέ· καὶ ποῦ τὸ τῆς πολυθεΐας στήσεται ταυτησὶ, κατὰ συζυγίαν οὑτωσὶ προχωρούσης ἀεὶ μετὰ τοῦ ἀτελοῦς. Εἰ γὰρ ἀλλήλων ἄλληλα διαφέρει, ἐστέρηται πάντως ἀλλήλων ἄλληλα καθ' [f. 143 r.] ὃ διαφέρει, καὶ γίνεται δύναμις μὲν ἄσοφος, σοφία δ' ἀδύναμος, καὶ Θεὸς ἄσοφος καὶ ἀδύναμος, καὶ ἀεὶ κατὰ τὸν ὅμοιον τρόπον ἐστερημένα πάντων ἅπαντα καὶ δεόμενα ἀλλήλων ἄλληλα. Φησὶ γὰρ καὶ ὁ Θεολόγος Γρηγόριος· « Τίς ἀτελοῦς θεότητος ὄνησις; μᾶλλον δὲ τίς θεότης ἡ μὴ τελεία; Τελεία δὲ πῶς; ᾗ λείπει τι πρὸς τελείωσιν; Λείπει δὲ πάντως μὴ ἐχούσῃ τὸ ἅγιον. Ἔχοι δ' ἂν πῶς, μὴ τοῦτο ἔχουσα; Εἰ γὰρ ἄλλη τις παρὰ τοῦτο ἡ ἁγιότης, καὶ εἴ τις αὕτη νοεῖται, λεγέτω τίς. » Καὶ ὁ μέγας Βασίλειος, « Εἰ φύσει αὐτῷ, φησὶν, ὁ ἁγιασμὸς ὡς Πατρὶ καὶ Υἱῷ, πῶς τρίτης ἐστὶ καὶ ἀλλοτρίας φύσεως; » Καὶ πάλιν, « Ἀγαθὸν, φησὶ, τὸ Πνεῦμα ὡς ἀγαθὸς ὁ Πατὴρ καὶ ἀγαθὸς ὁ ἐκ τοῦ ἀγαθοῦ γεννηθεὶς, οὐσίαν ἔχων τὴν ἀγαθότητα. » Ὁρᾷς πῶς οὐχ ἕτερον τῆς ἁπλῆς καὶ θείας οὐσίας ἁγιότης καὶ ἀγαθότης καὶ ἐνέργεια καὶ τὰ τοιαῦτα, ἀλλὰ ταυτόν. Ἑλοῦ τοίνυν, ὦ καινὲ θεολόγε, τῶν ἀσεβειῶν ὁποτέραν ἐθέλεις. Ἀθεΐας γὰρ καὶ πολυθεΐας τὰ τοιαῦτα φέρει σοι κρημνὸν, ὑπ' ἀλλήλων ἐλεγχόμενα καὶ κατ' ἀλλήλων στασιάζοντα. Τὸ μὲν γὰρ ἄνισον ἐν τοῖς πολλοῖς ἐλέγχει τὸ διάφορον καὶ ἀσύμβατον τῆς πολυθεΐας· ἡ δὲ πολυθεΐα συμφυᾶ τὴν διαφορὰν πρὸς ἑαυτὴν στασιάζουσαν ἔχουσα, πρὸς τὸν ἀντίπαλον τῆς ἀθεΐας ἀπροόπτως μεταβαίνειν κρημνὸν ἀναγκάζει, καὶ καπνὸν φεύγοντας ἐμπίπτειν εἰς πῦρ, τὸ τῆς παροιμίας. Ἔπειτα πῶς τὸ ἄκτιστον καὶ πόθεν ἡ ἐνέργεια ἔσχεν; Ἔξεστι γὰρ ἡμῖν καὶ τὸ ἄκτιστον αὐτὸ πρὸς ἑαυτὸ κατὰ τὴν σὴν ἐξετάζειν θέσιν· εἰ γὰρ αὐτόθεν εἴη τὸ ἄκτιστον ἄκτιστον, οὐκ ἂν εἴη ἄκτιστον· κτιστὸν ἄρα τὸ ἄκτιστον, καὶ κτιστὴ θεότης ἐξ ἀνάγκης ἡ ἄκτιστος ἐνέργεια· καὶ οὕτω σοι τὸ σοφὸν ἠλίθιον

ἀνακέφανται. Εἰ δ' ἔξωθεν ἔχει τὸ ἄκτιστον εἶναι τὸ ἄκτιστον, καὶ διάφορον πάντως· εἰ γὰρ οὐκ ἔστι διαφορὰ πρὸς ἄκτιστον ἀκτίστου, οὐκ ἂν εἴη ἔχειν κατὰ σὲ ἄκτιστον. Ἤ γοῦν ἀνύπαρκτόν σοι γίνεται τὸ ἄκτιστον τοῦτο, ἢ δυοῖν θάτερον, ἢ ἀκτιστόκτιστον ἢ ἀκτιστοάκτιστον καὶ πρὸς ἑαυτὸ στασιάζον ἀνάγκη λέγεσθαι. Γνώριμον γάρ, οἷς καὶ ὁπωσοῦν λογικῆς μέτεστιν ἐπιστήμης, τῶν ὁμωνύμων εἶναι καὶ ἥκιστα ἁπλῆν τὴν τοῦ ἔχειν φωνήν, καὶ μὴ μόνον τῇ τῶν ἔξω σοφῶν ἐπιστήμῃ δοκεῖν, ὅτι μὴ καὶ πᾶσιν ὁμοῦ τοῖς τῶν θείων τῆς Ἐκκλησίας δογμάτων σοφοῖς διδασκάλοις, [f. 143 v.] ὧν εἷς ἡμῖν εἰς διδασκαλίαν ἀποχρήσει τήμερον Ἰωάννης ὁ θεῖος ἐκ Δαμασκοῦ, ὃς ὀκταχῇ τὴν τοῦ ἔχειν ἡμῖν διαιρῶν σημασίαν, κατ' οὐδένα γέ τινα τούτων τρόπον τῇ θείᾳ καὶ ἁπλουστάτῃ ἐκείνῃ φύσει τὸ ἔχειν διδοὺς εὑρίσκεται. Πῶς; γὰρ οἱασοῦν μεσιτευούσης ἀλλοτριώσεως, καὶ τοῦ ἔχοντος τὸ ἐχόμενον διιστώσης μὲν οὐτωσί, συναγούσης δ' ἄλλως τὸν νόθον τε καὶ ἐπίκτητον τρόπον; Ἤ γὰρ ὡς οὐσίαν ἀνάγκη, φησί, τὸ ἐχόμενον τῇ ἐχούσῃ συνεῖναι οὐσίᾳ, καθάπερ ἱμάτιον καὶ χεῖρα καὶ ἀγρὸν καὶ τά γε τοιαῦτα, ἢ ὡς συμβεβηκός· καὶ τοῦτο διχῇ πως αὖ ὑποδιαιρούμενον, εἴς τε τὴν τῶν χωριστῶν δηλαδὴ καὶ τῶν γε μηδαμῇ χωριζομένων δύναμιν. Τὸ μὲν γὰρ ἐνδεχομένως ἔχειν λέγεται καὶ μή, καθ' ὅ γε σημαινόμενον ἐνδέχεσθαί φαμεν βαδίζειν τὸ βαδιστικὸν καὶ τοὐναντίον αὖ μὴ βαδίζειν· τὸ δὲ καθ' ἕξιν καὶ διάθεσιν ἔχειν λέγεται, ὡς μέλιτι δηλαδὴ συμπεφυκυῖαν γλυκύτητα καὶ χιόνι λευκότητα καὶ γνῶσιν ἀνθρωπίνῃ ψυχῇ. Ὧν ἁπάντων ἓν ὁποτονοῦν ἔστω ὁποτέρωθεν εἰληχὼς τῇ θείᾳ κυριωνυμεῖν καὶ ἁπλῇ βούλοιτο φύσει, ἔστω περιφανῶς ἁμαρτάνων· χρῆσιν γὰρ ἀνθρώποις ὑπάρχειν ὁ μέγας τὰ ὀνόματα φάσκει Βασίλειος πρὸς γνῶσιν καὶ διαίρεσιν οὐσιῶν καὶ τῶν περὶ τὰς οὐσίας ἐπινοηθέντων πραγμάτων. Ὥ γε καὶ πάνυ τι δέδοται φορτικὸν καὶ ἀπόβλητον συμβεβηκός τι προσάγειν τῇ θείᾳ φύσει καὶ ἁπλουστάτῃ. Τὸ γὰρ συμβεβηκὸς, φησίν, ἢ συμπέφυκεν, ἢ ἐνδέχεται ὑπάρχειν καὶ μὴ ὑπάρχειν. Ἀλλ' εἰ μὲν συμπέφυκεν, ἀνάγκη τῷ Θεῷ καὶ οὐσίαν καὶ συμβεβηκὸς εἶναι· ἐξ ἀνάγκης γὰρ τὰ τοιαῦτα συμβαίνει οἷς συμβέβηκεν. Εἰ δ' ἐνδεχόμενον, ἔσται καὶ ἀγέννητος ὁ γεννητὸς ποτὲ καὶ πάνθ' ὁμοίως, ὅσα δήπουθεν ἀντίκειται, γνῶσις καὶ μὴ γνῶσις, δύναμίς τε καὶ μὴ δύναμις, καὶ τά γε δήπου παραπλήσια τῶν ἀτόπων τῆς ἀσεβείας ῥημάτων. Ὅτι δὲ καταχρηστικῶς τὸ ἔχειν ἐπὶ Θεοῦ λέγεται, δείκνυσι νῦν καὶ ὁ θεῖος Χρυσόστομος, λέγων, « Ὅταν ἀκούσῃς ὅτι ὥσπερ ὁ Πατὴρ ἐν ἑαυτῷ ζωὴν ἔχει, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν καὶ ἐξουσίαν ἔχειν, μὴ σύνθεσιν ὑπολάβῃς· μηδ' ὅταν ἀκούσῃς ὅτι ἐν αὐτῷ ζωὴ ἦν, νομίσῃς ὅτι σύνθετος ἦν· προῖών γάρ φησιν, Ἐγώ εἰμι ἡ ζωή. » Ὥστε σου βοσκηματώδης ἡ σοφία κἀνταῦθα ἀνακέφανται, λέγουσα παραπλησίως καθάπερ ἐπὶ ἀνθρώπου καὶ λίθου, οὕτω καὶ τοῦ Θεοῦ τὴν οὐσίαν μετὰ τῶν φυσικῶν [f. 144 r.] περὶ αὐτὴν πάντων συλλαμβάνεσθαι τοῖς ὁρίζεσθαι θέλουσι· τὸ γὰρ ἐκ τοιούτων συγκείμενον ἀμερὲς οὐκ ἂν εἴη, οὐδ'

A reprehendit polytheismi absurditatem; dogma autem multorum deorum cum ingenitam habeat **305** differentiam secum pugnantem, ad contrarium negationis unius Dei ex inopinato transire barathrum cogit, et ut, cum fumum fugimus, in ignem secundum proverbium incidamus. Deinde quomodo et unde efficientia accepit increatum? Licet enim nobis etiam in ipsum increatum per se secundum tuam inquirere thesin: etenim si ex se increatum esset increatum, non esset increatum; increatum igitur est creatum, et efficientia increata necessario est divinitas creata: et hoc modo sapientia tibi visa est stultitia. Sin autem extrinsecus increatum habet, ut sit increatum, etiam diversum est omnino. Etenim si nullum est discrimen inter increatum et increatum, non potest, ut tu opinaris, increatum habere increatum. Certe aut substantia carens tibi evadit increatum hoc, aut alterutrum, aut increatocreatum, aut increatoincreatum, et secum pugnans necesse est vocari. Notum est enim iis, qui quantulumcunque logicæ sunt gnari, eorumdem nominum esse et minime simplicem habendi vocem, et hoc non modo sapientum qui ex profanis sunt scientiæ placere, sed multo magis etiam omnibus simul divinorum Ecclesiæ dogmatum præceptoribus sapientibus, quorum unus nobis ad institutionem sufficiet hodie Joannes divinus Damascenus, qui cum octies habendi nobis dividat significationem, nullo horum modo divinæ et simplicissimæ illi naturæ vocem habendi tribuens **306** reperitur. Qui enim potest, cum ratio aliena qualiscunque intercedat, et ita sejungat habitum ab habente, adducat autem aliter modum spurium et adscititium? Aut enim ut essentiam necesse est, inquit, habitum habenti conjunctum esse essentiæ, sicut vestem et manum et agrum et talia, aut ut accidens, atque hoc bis rursus subdivisum, in divisorum nimirum et indivisorum vim, illud enim ex potentia habere dicitur et non ex potentia secundum significationem posse dicimus gradi quod gradiendo idoneum est et contrarium rursus non gradi: hoc autem ex habitu et dispositione habere dicitur, ut melli nimirum concretam dulcedinem, nivi albitudinem, cognitionem hominum animo tribuimus, quorum omnium unum qualecunque ex utravis parte si quis sumens divinæ propriam vocem tribuere et simplici velit naturæ, aperte se errare sciat. Usum enim hominibus suppetere magnus in nominibus dicit Basilius ad cognitionem et divisionem essentiarum et rerum in essentiis cognitarum, qua re maxime concessum est incommodum et adjectum accidens atribuere divinæ naturæ et simplicissimæ. Accidens enim, ait, aut innatum est, aut potest suppetere et non suppetere: sed si innatum est, necesse est Deo et essentiam et accidens esse, necessario enim talia accidunt, **307** quibus acciderunt; sin autem esse potest, erit generatus aliquando etiam non generatus, et

omnia simili ratione quæcunque opposita sunt, cognitio et quæ non est cognitio, vis et quæ similia sunt ex ineptis impietatis verbis. Improprie autem habere de Deo dici demonstrat nunc etiam divinus Chrysostomus, dicens : « Cum audias Patrem sicut in se habet vitam, ita dedisse etiam Filio, ut vitam habeat et facultate fruatur, ne suspiceris compositionem, neve cum audis in eo fuisse vitam, opineris compositum eum fuisse; progrediens enim ait, Ego sum vita ; ita ut bruta visa sit sapientia tua etiam hic dicens simili ratione atque in homine et lapide, ita etiam Dei essentiam cum iis, quæ a natura in ea sint, omnibus comprehendi ab iis qui eam definire velint. Quod enim ex talibus constat, non est indivisum neque simplex, sed compositum et iis ex quibus componitur divisum, qui autem indivisæ illi et divinæ naturæ adjicere aliquid conatur, cui a natura proprium est ut neque augeatur neque minuatur, cum fugit hoc, quod illi accedat minuere accessione naturæ vim, cum minime possit augere eam, quæ nulla neque indiguit unquam neque indigebit accessione aut detractione, cum nihil futurum sit quo indigeat unquam illa ipsa implens universa, neque omnino quidquam extra se esse sinens.

A ἁπλοῦν, ἀλλὰ σύνθετον, κἀξ ὧν συντίθεται μεριζόμενον. Ὁ δὲ τῇ ἀμερεῖ ἐκείνῃ καὶ θείᾳ φύσει προστιθέναι πειρώμενος, ᾗ φύσει πρόσεστι μήτ' αὔξεσθαι μήτε μειοῦσθαι, λέληθε, τό γε ἧκον εἰς αὐτόν, ἐλαττῶν μὲν τῇ προσθήκῃ τὴν τῆς φύσεως δύναμιν, αὔξειν δ' ἥκιστα πάντων δυνάμενος, ᾗ μηδεμιᾶς οὔτ' ἐδεήθη ποτὲ οὔτε δεήσεται προσθήκης ἢ ὑφαιρέσεως, οὐδενὸς ὄντος οὗ δεήσεταί ποτ' αὐτὴ πλήρουσα τὰ πάντα καὶ μηδὲν ἐκτὸς ἐῶσα τὸ παράπαν.

**308** VIII. Quodsi in qualitate quæ magnitudinis et amplitudinis est expers, partem non licet proprie dicere, neque magnitudinem ullam adjicere aut detrahere (non enim dicimus magnam aut parvam albitudinem) : multum profecto sive potius omne abest, ut de divina essentia talia cogitemus et dicamus, quæ magnitudinem et parvitatem fecit et semper facit ; hæc autem a natura nullo modo quidquam est eorum quæ fecit et semper facit neque prodit in amplitudinem, neque unquam procedet, etenim quod amplitudine majus fit, vi fit minus et quidquid magnitudine maximum est, ab amplitudine relinquitur omni, ut maximum atque semper permaneat. Etenim si de albitudine quæ est in nive velimus dicere, exempli gratia, non albitudinem quæ est in parte nivis dicamus partem albitudinis quæ est in plurima nive, sed albitudinem partis nivis, minime autem partem albitudinis. Amplitudinis enim et quantitatis expers per se et magnitudinis est albitudo, ut demonstratum est. Sin autem ne accidens quidem esse hæc inessentialis a te conceditur efficientia, ubi eam ponemus? Normam tu pone. Cum enim vox ejus quod est in essentiam et accidens dividatur, si illa neque essentia est neque accidens, non dici potest quidquam eorum quæ sunt : relinquitur igitur necessario ut non esse dicatur. Hæ sunt novorum tuorum dogmatum præstigiæ, Palama egregie, ut credas in id quod **309** non est, et nuda nomina colas, qualia etiam Platonicos et Academicos dicere solemus de generibus et formis, et si qui sunt ex iis, qui postea alias aliter eos secuti sunt, Bogomilis nimirum et Manichæis et Masalianis et Eunomianis, quos etiam magna insania perturbare dicit magnus Basilius tanquam commune genus quoddam, quod ratione sola perspici possit, in nulla substantia essentiam habeat, cum dicant Deum in suppositis perspici. Sed audi jam quod dicit rursus idem magnus Basilius de efficientia Dei increata : in simplici scilicet et incorporea natura eamdem cum essentia rationem accipit efficientia.

B Εἰ δ' ἐν ποιότητι ἀόγκῳ τε καὶ ἀμεγέθει μέρος οὐκ ἔξεστι λέγειν κυρίως, οὔτε μέγεθος οὐδὲν προστιθέναι ἢ ἀφαιρεῖν (οὐ γὰρ λέγομεν οὔτε μεγάλην οὔτε μικρὰν λευκότητα), πολλοῦ μέντ' ἂν δεήσειε καὶ τοῦ παντὸς περὶ τῆς θείας οὐσίας τοιαῦτα νοεῖν καὶ λέγειν, ᾗ μεγέθη μὲν καὶ μικρότητα πεποίηκέ τε καὶ ἀεὶ ποιεῖ, αὐτὴ δ' ἐστὶ κατὰ φύσιν οὐδαμῇ μηδὲν ὧν πεποίηκέ τε καὶ ἀεὶ ποιεῖ. Οὐδὲ πρόεισιν εἰς ὄγκον, οὐδ' οὐ μὴ προχωρήσῃ ποτέ. Τὸ γὰρ ὄγκῳ μεῖζον γινόμενον δυνάμει γίνεται ἔλαττον, καὶ τὸ δυνάμεως μεγέθει μέγιστον ὄγκου λείπεται παντὸς, ἵνα μέγιστον ὁμοίως ἀεὶ διαμένῃ. Καὶ γὰρ καὶ εἰ περὶ τῆς ἐν χιόνι βουληθείημεν λέγειν λευκότητος ὑποδείγματος ἕνεκεν, οὐ τὴν ἐν τῷ μέρει τῆς χιόνος λευκότητα μέρος ἂν φαίημεν τῆς ἐν πλείστῃ C χιόνι λευκότητος, ἀλλὰ μέρους μὲν χιόνος λευκότητα, μέρος δὲ λευκότητος ἥκιστα· ὄγκον γὰρ καὶ ἄποσον καθ' αὐτὸ καὶ ἀμέγεθες ἡ λευκότης, ὡς δέδεικται. Εἰ δὲ μηδὲ συμβεβηκὸς ἡ ἀνούσιος αὕτη συγχωρεῖταί σοι γίνεσθαι ἐνέργεια, ποῦ ταύτην θετέον; λέγε καὶ νομοθέτει σύ. Τῆς γὰρ τοῦ ὄντος φωνῆς εἰς οὐσίαν καὶ συμβεβηκὸς διαιρουμένης, εἰ μήτ' οὐσία μήτε συμβεβηκὸς εἴη, τῶν ὄντων οὐκ ἂν λέγοιτο. Λείπεται ἄρα μὴ ὂν ἐξ ἀνάγκης λέγεσθαι. Αὕτη τῶν καινῶν σου δογμάτων ἡ τερατεία, καλὲ Παλαμᾶ, τὸ πιστεύειν εἰς τὸ μὴ ὂν καὶ ψιλοῖς λατρεύειν ὀνόμασιν, ὁποῖα καὶ τοὺς τῆς Πλατωνικῆς στοᾶς καὶ Ἀκαδημίας φάσκοντας ἴσμεν περί τε γενῶν καὶ εἰδῶν, καὶ εἴ τινες εἶεν ἐκ τῶν ὕστερον ἄλλοτ' D ἄλλως αὐτοῖς ἠκολουθηκότων Βογομίλων καὶ Μανιχαίων καὶ Μασαλιανῶν καὶ Εὐνομιανῶν, οὓς καὶ εἰς μέγα παραπληξίας ἐλαύνειν ὁ μέγας φησὶ Βασίλειος ὥσπερ κοινότητά τινα λόγῳ μόνῳ θεωρητὴν, ἐν οὐδεμιᾷ ὑποστάσει [f. 144 v.] τὸ εἶναι ἔχουσαν, εἰς τὰ ὑποκείμενα θεωρεῖσθαι φάσκοντας τὸν Θεόν. Ἀλλ' ἄκουε λοιπὸν τί φησιν αὖθις ὁ αὐτὸς μέγας Βασίλειος περὶ τῆς ἐνεργείας Θεοῦ τῆς ἀκτίστου, ὡς ἐπὶ τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν λόγον ἐπιδέχεται ἡ ἐνέργεια τῇ οὐσίᾳ.

ιθ'. Ἐπεὶ δ' ὁ τῆς οὐσίας ὅρος καὶ λόγος (ταυτὸν γὰρ ὅρος καὶ λόγος) πρᾶγμά ἐστιν αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν, εἰ ἂν πάντως καὶ ὁ τῆς ἐνεργείας λόγος ὁ αὐτὸς, κἂν τοῖς ὀνόμασι διαφέρωσι, πρᾶγμα αὐθύπαρκτον δηλαδὴ, μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν. Οὕτω γὰρ καὶ ὁ τῆς ταυτότητος σώζεται λόγος, ὡς καὶ ὁ τῆς ἀληθείας ὁμολογητὴς σοφώτατα μεμαρτύρηκε, Θεόδωρος ὁ Γραπτὸς, « Οὕτως ἄν, φήσας, εὐσεβῶς νοηθείη ἡ μὲν θεία ἐνέργεια ἀΐδιος, μᾶλλον δ' αὐτενέργεια, τῷ μὴ διωρίσθαι τῆς οὐσίας τὴν ἐνέργειαν, ἀλλὰ τὸν αὐτὸν λόγον ἐπιδέχεσθαι διὰ τὴν τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως ἰδιότητα. » Καὶ πάλιν, « Ἕτερον οὐσίαν καὶ ἄλλο ἐνέργειαν τῶν πάλαι τινὲς, ὡς ἐπὶ τῶν σωματικῶς θεωρουμένων, οὕτω δὴ κἀπὶ τοῦ θείου λόγου ἐτίθεντο. Ὅπερ τοῖς εὐσεβέσιν ἀπείρηται. Ἐπὶ γὰρ τῶν ἁπλῶν καὶ ἀσωμάτων ἐν οὐδενὶ διαφέρειν ἴσασιν· οὐ γὰρ διοριστέον ταῦτα ἀλλήλων, ἵνα μὴ σύνθετον τὸ ὑπὲρ πᾶσαν ἁπλότητα νοῆται. Οὔτε γὰρ ἡ θεία οὐσία ἀνενέργητος εἴη ἂν ποτε, οὔτ' ἀνούσιος ἡ ἐνέργεια. » Ἀκούεις τῶν ἱερῶν διδασκάλων τῆς Ἐκκλησίας παρὰ τοσοῦτον τῇ οὐσίᾳ τὴν ἐνέργειαν ἓν καὶ ταυτὸν ἐπὶ Θεοῦ δογματιζόντων, παρ' ὅσον καὶ αὐτενέργειαν καλοῦσι διὰ τὴν ἄκραν ταυτότητα, ὡς μηδ' ἄχρις ἐπινοίας παρακύπτειν ἐκεῖ δυναμένης διαφορᾶς οἱασοῦν. » Ἀκούεις δ' ἔτι καὶ ὅπερ σοι ἀνωτέρω δεδηλώκαμεν· σὺ γὰρ ἔλεγες ἀνενέργητον τότ' εἶναι τὴν θείαν μᾶλλον οὐσίαν, ὅταν ἓν καὶ ταυτὸν λέγηται ἄμφω, τότε δ' ἐνεργῆ, ὅταν ᾖ διῃρημένα, πρᾶγμα τερατωδέστατόν τε καὶ ἀμαθέστατον, καὶ μὴ πᾶσαν μόνον ἐκπλῆττον ἀκοὴν τῇ ἀδελτηρίᾳ, ὅτι μὴ καὶ τοὺς σοφοὺς τουτουσὶ διδασκάλους τῆς Ἐκκλησίας συκοφαντοῦν ἀδεῶς· οὐ γὰρ διοριστέον ταῦτα φασὶν ἀλλήλων ἐκεῖνοι, ἵνα τε μήτε σύνθετον τὸ ὑπὲρ πᾶσαν ἁπλότητα νοῆται, καὶ ἵνα μήθ' ἡ [f.145 r.] οὐσία ἀνενέργητος εἴη ἂν ποτε μήτ' ἀνούσιος ἡ ἐνέργεια.

A XIX. Quoniam autem essentiæ definitio et ratio (idem enim definitio et ratio) res est substantialis quæ non egeat alia ad exsistentiam, omnino non potest esse etiam efficientiæ ratio non eadem vel in nominibus diversis, res nimirum substantialis quæ non egeat alia ad substantiam : ita enim etiam ejusdem generis ratio servatur, quod etiam veritatis confessor sapientissime testatus est Theodorus Graptus, cum dicat : « Hoc modo pie cogitari puto : divina efficientia est sempiterna, sive potius ipsa efficientia, quia non distincta est ab essentia efficientia, sed eamdem rationem accipit propter simplicis et incorporeæ naturæ proprietatem. » Et rursus : « Aliud esse essentiam, aliud efficientiam **310** priscorum quidam ut in iis quæ in corpori-
B bus perspiciuntur, ita etiam in divina ratione posuerunt, id quod pii refutarunt. In simplicibus enim et incorporeis nullo modo illa diversa esse possunt; neque enim distinguenda sunt a se invicem hæc, ne compositum cogitetur id quod omnem simplicitatem superat ; non enim divina essentia unquam esse potest inefficax, neque efficientia inessentialis. » Audis sanctos Ecclesiæ doctores tantum cum essentia efficientiam unum idemque esse in Deo censentes, quantum etiam ipsam efficientiam vocant eam propter summum discriminis defectum, ita ut ne in cogitationem quidem insinuare ibi possit differentia qualiscunque. Audis porro etiam id quod supra tibi demonstravimus. Tu enim dicebas inefficacem tum esse divinam potius essentiam, eum dicantur ambo unum idemque esse, tum autem efficacem, cum sint divisa : quæ res est miraculi et ignorantiæ plenissima, et quæ tantum non omnes perturbet aures absurditate, multo magis etiam sapientes hos doctores Ecclesiæ criminetur impudenter. Neque enim distinguenda esse hæc dicunt illi a se invicem, ne compositum cogitetur quod omnem simplicitatem superat, neve unquam sit neque essentia inefficax, neque efficientia inessentialis.

C

Κ'. Πρὸς ταῦτα ὁ Παλαμᾶς ἀντιλέγων κοινὸν μὲν ἔφησεν εἶναι δόγμα τῶν τε ἔξωθεν καὶ τῶν καθ' ἡμᾶς φιλοσόφων τουτὶ, καὶ οὐκ ἀντιλέγω· πλὴν τὰ τὸν αὐτὸν ἐπιδεχόμενα λόγον δύο ἐστὶ καὶ οὐχ ἕν. Καὶ εἰ δύο, πῶς χωρὶς ἡστινοσοῦν πρὸς ἄλληλα διαφορᾶς; Ἔστιν οὖν ἡ μὲν ταυτότης τοῦ λόγου κατὰ τὸ εἶναι ἄμφω, τήν τε οὐσίαν καὶ τὴν ἐνέργειαν, ἄκτιστα· ἡ δὲ διαφορὰ τὸ μὲν οὐσίαν, τὸ δ' ἀνούσιον, τὴν ἐνέργειαν δηλαδή.

XX. Ad hæc Palamas respondens, commune esse dixit hoc dogma externorum **311** et nostrorum philosophorum, neque ego eidem repugno : sed quæ eamdem rationem accipiunt duo sint neque vero unum; ac si duo, quomodo remota sunt a qualicunque differentia inter se? Identitas igitur
D rationis in eo sita est, quod ambo, et essentia et efficientia, sint increata : differentia autem ea, ut alterum sit essentia, alterum autem inessentiale, efficientia nimirum.

ΚΑ'. Ὁ δὲ Γρηγορᾶς, Ὅτι μὲν, φησὶ, τὸ ἀνούσιον οὐκ ὄν, τὸ δ' οὐκ ὂν οὐ θελὸς, δῆλον τοῖς ἅπασι πλὴν σοῦ. Ὅτι δ' οὐδὲν ἔτι κωλύσει λοιπὸν συμπεραίνειν καὶ ἡμᾶς ἐπὶ τῆς συνθέτου ἄρα φύσεως τὸν ἀντικείμενον δέχεσθαι λόγον τὴν ἐνέργειαν τῇ οὐσίᾳ, καὶ εἶναι δυοῖν ἐξ ἀνάγκης θάτερον, ἢ τὴν μὲν οὐσίαν ἡμῶν ἄκτιστον, τὴν δ' ἐνέργειαν κτιστὴν, ἢ τῆς οὐσίας οὔσης κτιστῆς εἶναι τὴν ἐνέργειαν ἄκτιστον, δῆλον καὶ τοῦτο παντί που τὰ μάλιστα· ὡς γὰρ οἷς τὸ εἶναι ταυτὸν καὶ ὁ λόγος ὁ αὐτὸς, οὕτως

XXI. Gregoras autem : Inessentiale, inquit, non esse, quod autem non sit, non esse Deum, ab omnibus intelligitur nisi a te. Nihil autem jam impediturum esse, quominus nos quoque concludamus, in composita natura efficientiam accipere rationem essentiæ oppositam, et esse alterumutrum necessario, aut essentiam nostram increatam, efficientiam autem creatam, aut essentiam creatam, efficientiam autem increatam, hoc ab omnibus probe intelligitur. Etenim ut iis quibus essentia

eadem, ratio quoque eadem est, ita iis quibus essentia diversa, ratio quoque diversa est; etenim in essentiali substantia sanctos hos audivisti dicere esse eamdem vim rationis sive definitionis et quod ad diversitatem attineat omnino nihil. Etenim si ex pronuntiatione et significatione utriusque utraque differentiam accepit vox, certe in simplici et incomposita natura eamdem et unam et immutabilem habent significationem **312** ambæ. Deinde si efficientiam diversam esse dicis etiam in Deo, ut in nobis compositis, et proprie increatam divinitatem, et utrumque est quod alterum non est, et semper alterum præ altero invicem differentiam et pugnam suscipit verbis et rebus (est enim necesse omnino, quæ tam sint aliena et natura et significatione, non idem esse alteri alterum); erit igitur, si efficientia increata est et inessentialis, creata et inefficax essentia, ut supra audivisti divinos viros secundum regulas philosophiæ contraria contrariis definire. Sin porro etiam efficientiæ nomen generaliter ex tua sententia æque de omnibus prædicatur nominibus, virtutis puta, sapientiæ, vitæ, luminis, animi, clementiæ, iræ, tranquillitatis, taliumque, quibuscunque usa est Scriptura divina Deo convenienter affirmantibus et negantibus et oppositis nominibus, accedet jam etiam his omnibus æque: et simili modo semper insultabit nominibus omnibus absurditas, et secum pugnabit efficientia nomen, cum hæc secundum te proprie dicatur increata divinitas, propter quod enim quodlibet a quovis allorum omnium relinquitur, propter id aliis omnibus est minus ab iisque alienum, atque unum omnino esse essentiam conceditur et natura omne, quod dicitur et vocatur Deo convenienter a vobis et est et erat et erit **313** Deus potens, justus, increatus, veritas, sapientia, virtus, vita, lumen, efficientia, et similia.

XXII. Cum autem suis ipsius verbis et scriptis capi Palamas se videret continuo, « Non in verbis, inquit, neque omnino in scriptis, sed in rebus nostris pietas cernitur secundum theologos. » Paululum dein moratus Gregoras: «Proh, inquit, stultitiam!» et despiciens eum: «Ergo fugiebat nos, inquit, te esse aurium obtusarum et surdum et omnino ignarum festivitatis et celebrationis doctæ librorum divinorum, et inserendo et transponendo aliunde alibi pervertere ignorantia omnem sensum et omne consilium Scripturæ. Hoc enim magnus in theologia dicit Gregorius ea quæ a Dionysio divino dicta sunt confirmans, puto, et concedens ipse et quodammodo adhortans ut parco quodam modo occasione ad eos affabiles, qui in sententiis et cognitione sint diversi, vocante utamur pauca indulgeamus diversis accedentium moribus necessario nonnunquam: ita ut in rebus gravissimis fidei consensio quamvis non verbis saltem cogitationibus servetur constans. Qua in re licere ait hanc vel illam vocem etiam aliis similibus et significationibus vocabulis explicare ratione Deo

A οἷς τὸ εἶναι διάφορον, καὶ ὁ λόγος διάφορος. Ἐπὶ γὰρ τῆς οὐσιώδους ὑπάρξεως τοὺς ἁγίους τούτους ἀκήκοας λέγοντας τὴν τοῦ λόγου ταυτότητα, εἴτουν τοῦ ὅρου, καὶ καθ' ἕτερον πάντως οὐδέν. Εἰ γὰρ κατὰ προφορὰν καὶ ἐτυμολογίαν ἑκατέρας ἑκατέρα τὴν διαφορὰν ἐκτήσατο λέξις, ἀλλ' ἐπὶ τῆς ἁπλῆς καὶ ἀσυνθέτου φύσεως τὴν αὐτὴν καὶ μίαν καὶ ἀπαράλλακτον ἔχουσι σημασίαν ἄμφω. Ἔπειτα εἰ τὴν ἐνέργειαν ἕτερον εἶναι λέγεις κἀπὶ Θεοῦ καθάπερ ἐπὶ τῶν συνθέτων ἡμῶν, καὶ ἰδίως ἄκτιστον θεότητα, καὶ ἔστιν ἑκάτερον τούτων ὅπερ οὐκ ἔστιν ἑκάτερον, καὶ ἀεὶ θάτερον παρὰ θάτερον ἀμοιβαδὸν τὴν διαφορὰν καὶ μάχην λαμβάνον λόγοις καὶ πράγμασιν (ἀνάγκη γὰρ ἂν εἴη πᾶσα τὰ οὕτως ἀλλότρια τῇ φύσει καὶ σημασίᾳ μὴ ταυτὸν εἶναι θατέρῳ θά-
B τερον), ἔσται ἄρα, εἰ ἡ ἐνέργεια ἄκτιστος καὶ ἀνούσιος, κτιστὴ ἡ οὐσία καὶ ἀνενέργητος, ὡς ἀνωτέρω γε ἠκηκόεις τῶν θείων κατ' ἐπιστήμην τὰ ἐναντία τοῖς ἐναντίοις ὁριζομένων ἀνδρῶν. Εἰ δὲ καὶ τὸ τῆς ἐνεργείας ὄνομα γενικῶς κατὰ σὲ πάντων ἐπ' ἴσης κατηγοροῖτο τῶν ὀνομάτων, δυνάμεως λέγω, σοφίας, ζωῆς, φωτὸς, θυμοῦ, μακροθυμίας, ὀργῆς, ἀοργησίας, καὶ τῶν τοιούτων, ὅσοις ἡ θεία κέχρηται Γραφὴ θεοπρεπῶς καταφατικοῖς τε καὶ ἀποφατικοῖς καὶ ἀντικειμένοις ὀνόμασιν, ἐπιδραμεῖται λοιπὸν καὶ πᾶσι τούτοις ἐπ' ἴσης, καὶ ὁμοίως [f. 145 v.] ἀεὶ κατορχήσεται τῶν ὀνομάτων ἁπάντων τἀτόπημα, καὶ στασιάσει πρὸς ἑαυτὸ τὸ τῆς ἐνεργείας ὄνομα, ταύτης δὴ τῆς ἰδιαζόντως κατὰ σὲ λεγομένης ἀκτί-
C στου θεότητος. Καθ' ὃ γὰρ ἕκαστον ἑκάστου τῶν ἄλλων λείπεται πάντων, κατ' ἐκεῖνο τῶν ἄλλων ἁπάντων ἠλάττωταί τε καὶ ἠλλοτρίωται. Καὶ ἓν εἶναι πάντως οὐσίαν ὁμολογεῖται καὶ φύσει πᾶν ὃ λέγεται καὶ ὀνομάζεται θεοπρεπῶς ἡμῖν, καὶ ἔστι καὶ ἦν καὶ ἔσται, Θεὸς ἰσχυρὸς, δίκαιος, ἄκτιστος, ἀλήθεια, σοφία, δύναμις, ζωὴ, φῶς, ἐνέργεια, καὶ τὰ τοιαῦτα.

ΚΒ'. Ἐπεί γε μὴν ἐκ τῶν οἰκείων ῥημάτων τε καὶ γραμμάτων ἁλισκόμενον ὁ Παλαμᾶς ἑαυτὸν ἐώρα διηνεκῶς, « Οὐκ ἐν ῥήμασι, » φησὶν, « οὐδ' ἁπλῶς ἐν γράμμασιν, ἀλλ' ἐν πράγμασιν ἡμῶν ἡ εὐσέβεια κατὰ τοὺς θεολόγους. » Μικρὸν οὖν ἐπισχὼν ὁ Γρηγορᾶς, « Ἰοὺ ἰού, » φησὶ, « τῆς ἀβελτηρίας. » Καὶ ἀπιδὼν πρὸς αὐτὸν, « Εἶτα ἐλάνθανες
D ἡμᾶς, » φησὶ, « λασιόκωφός τις ὢν καὶ ἀήκοος καὶ παντάπασι τῆς τῶν θείων Γραφῶν διδασκαλικῆς ἑορτῆς τε καὶ πανηγύρεως, καὶ μετεγκεντρίζων ἐξ ἀμαθίας ἄλλοθεν ἄλλοθι τὸν ἅπαντα νοῦν καὶ σκοπὸν τῆς Γραφῆς. Τοῦτο γὰρ ὁ μέγας ἐν Θεολογίᾳ φάσκει Γρηγόριος, τὰ Διονυσίῳ τῷ θείῳ λεχθέντα διαβεβαιούμενος, οἶμαι, καὶ συγχωρῶν καὶ αὐτὸς καὶ οἱονεὶ προτρεπόμενος οἰκονομικῷ τινι τρόπῳ καιροῦ καλοῦντος πρὸς τοὺς τῶν ὁμιλητῶν διαφόρους τὰς γνώμας καὶ γνώσεις κεχρῆσθαι, καὶ μικρὸν ἐνδιδόναι τοῖς διαφόροις τῶν προσιόντων ἤθεσι δι' ἀνάγκην ἐνίοτε, ὥστε τὴν ἐν τοῖς καιρίοις τῆς πίστεως ὁμολογίαν, εἰ καὶ μὴ λέξεσιν, ἀλλά γε ταῖς ἐννοίαις φυλάττεσθαι ἀπαράβατον. Ἐν οἷς ἐξεῖναί φησι τήνδε ἢ τήνδε τὴν λέξιν καὶ δι' ἑτέρων ὁμοδυνάμων

καὶ ἐκφαντικωτέρων λέξεων διασῴζειν τὸν θεοπρεπῆ τρόπον. Οὐ δεῖ δὲ, φησὶν Ἀθανάσιος, τὰ κατ' οἰκονομίαν γραφόμενα καὶ γινόμενα δέχεσθαι κακοτρόπως καὶ πρὸς τὴν ἰδίαν ἕλκειν βούλησιν. Καὶ γὰρ καὶ ἰατρὸς πολλάκις τὰ δοκοῦντά τισι μὴ εἶναι κατάλληλα, ταῦτα τοῖς ὑποκειμένοις τραύμασιν, ὡς οἶδεν αὐτὸς, ἐπιτίθησιν, οὐδὲν ἕτερον ἢ πρὸς τὴν ὑγείαν ἔχων τὸν σκοπόν. Καὶ διδασκάλου δὲ φρονίμου τρόπος οὗτος, πρὸς τὰ τῶν διδασκομένων ἤθη διατίθεσθαι καὶ λαλεῖν. Ὀνόματα γοῦν καὶ ῥήματα, καὶ ὅσαι τῶν λέξεων διὰ φωνῶν ἁπλῶς καὶ γραμμάτων σημαντικαὶ τῶν ὑποκειμένων γίνονται πραγμάτων, ἐνίοτε μὲν καθ' [f. 146 r.] ὁμωνυμίαν ἐν διαφόροις ἀδιαφόρως παραλαμβάνονται πράγμασιν, ἐνίοτε δὲ κατ' ἀντωνυμιαν ἐν μείζοσί τε καὶ ἐλάττοσιν ὁρωμένην, καὶ ὅσα ἄλλως τὸν ὅμοιον ἔχει τρόπον, ἐνίοτε δὲ καθ' ὅσα συνώνυμόν πως τὴν σχετικὴν αἰτίαν κεκλήρωται· καθ' ἣν δήπουθεν καὶ τὸ ἴσον ἴσῳ συμβαίνει λέγεσθαι ἴσον, καὶ τὸν φίλον φίλῳ φίλον, καὶ ὁπόσα δήπου παραπλήσια, ὡς γίνεσθαι πολυσχιδῆ μὲν ἐν τοῖς μεριζομένοις πράγμασι τὴν αὐτῶν ἰδιοτροπίαν, ἁπλῆ δὲ Θεοῦ μονοειδῆ καὶ ἀμέριστον κατὰ τὴν τοῦ ἑνὸς ὑποκειμένου δήλωσιν, λέγω δὴ τὴν ἀμερῆ καὶ ἀσχημάτιστον καὶ ἀόρατον ἐκείνην, ἥτις ποτ' ἐστὶν, οὖσαν οὐσίαν· ἣν ψυχοτρόφον λειμῶνα καὶ ἀληθείας θάλαμόν τις καλέσας οὐκ ἂν, οἶμαι, ἁμάρτοι. Ἓν γὰρ οὖσα κυρίως μένει διηνεκῶς ἐν τῷ ἑνὶ, μᾶλλον δ' εἰπεῖν ἐν ἑαυτῇ· καὶ μεριστὰς πεφυκυίας τὰς ἡμετέρας νοήσεις, καὶ διάφορον τὴν περιοχὴν περὶ ἕκαστα τῶν πραγμάτων λαμβανούσας, εἰς μίαν τινὰ καὶ ἀδιάκριτον καὶ ταύτας νόησιν συναιρεῖ, ὡς γίνεσθαι καὶ τὸν τῶν ὀνομάτων ἐξ ἀνάγκης πολυσχιδῆ καὶ πολύτροπον μερισμὸν, ὁποῖον ἡ τῶν διαφόρων πραγμάτων διάφορος παραγωγὴ τελεσιουργεῖ, δυνάμεως λέγω καὶ ζωῆς καὶ ἐνεργείας καὶ φωτὸς καὶ σοφίας καὶ τῶν τοιούτων, μονοειδῆ καὶ αὐτὸν ἤδη καὶ μονότροπον ὡς ἀληθῶς δρόμον ἐν τῷ τῆς ἀληθείας ἐκείνῳ πεδίῳ θέοντα. Περιγεγραμμένος γάρ τις ὅρος ἑκάστης οὐσίας ὑπάρχον ἕκαστον ὄνομα, καὶ μιᾶς ἰδιότητος ἐπειλημμένον, καὶ συστέλλον ὁπωσδηποτοῦν τὸ πρὸς ἀοριστίαν τέως αὐτῆς κεχυμένον, ἁπλῶς κατὰ τὸν ἀνθρώπινον νοῦν πειρᾶται μὲν κἀπὶ τῆς ὑπερηπλωμένης ἐκείνης θείας οὐσίας τὴν ἑαυτοῦ φυσικὴν ἀποφαίνεσθαι κίνησιν καὶ τὸ τῆς ἐμφύτου δυνάμεως εἰωθὸς, λέγω δὴ τὸ διακρίνειν καὶ μερίζειν ἐς διαφόρους τὸ ἓν ἰδιοτροπίας, ἀλλ' ἔφθη πρὶν δεδρακέναι παθόν. Μερίζειν γὰρ ἐπειγόμενον ἐπ' ἴσης τοῖς ἄλλοις καὶ τὴν ἀμέριστον ἐκείνην καὶ θείαν οὐσίαν, λέληθε συσταλὲν ὑπ' ἐκείνης καὶ πρὸς νοητὴν ὁμόνοιαν συνελάσαν τὸν κωλυώνυμόν τε καὶ πολυπράγμονα μερισμόν. Κἀπειδὴ περιγραφαῖς ὀνομάτων ἡ θεία καὶ ὑπερηπλωμένη φύσις ἐκείνη δουλεύειν οὐκ οἶδεν, [f. 146 v.] ἡ δὲ περιγραφὴ περιληπτική τις γίνεται τοῦ ὑποκειμένου γνῶσις, οὐκ ἂν ποτε γένοιτο γνωστὸν ὃ τῇ οὐσίᾳ πέφυκεν ἀπερίγραπτον· ἓν ἄρα καὶ ἄγνωστον ἡ θεία φύσις ἐκείνη, καὶ ὑπὲρ πάντα λόγον καὶ ἔννοιαν, καὶ πᾶσαν Παλαμικὴν ἀποστειρώσα περιεργίαν. Ὅ γε μὴν

A convenienter. Non autem decet, ait Athanasius, ea quæ parco modo scribuntur et fiunt accipere pravo sensu, et in suam voluntatem trahere; etenim etiam medicus sæpenumero ea, **314** quæ nonnullis non esse apta videntur, tractandis vulneribus ex sua cognitione ministrat, nihil aliud quam valetudinem spectans, et præceptoris prudentis consilium est hoc, ut ad discipulorum indolem descendat et loquatur. Nomina quidem et verba et quæcunque voces sonis omnino et litteris significant res suppositas, interdum usurpantur secundum eamdem significationem in diversis rebus sine discrimine, interdum secundum diversam significationem quæ in majoribus et minoribus cernitur, B et quæcunque præterea similem admittunt rationem, interdum quatenus relativam causam eadem fere significatione insignitam sortita sunt: quamobrem simile dici solet simili simile, et amicus amico amicus, et quæ sunt similia, ita ut multiplex fiat in rebus quæ dividuntur earum proprietas, in Deo autem simplex et indivisa secundum unius suppositi manifestationem: dico enim indivisibilem et forma carentem et invisibilem illam qualiscunque est essentiam; quam si quis pratum animos pascens et veritatis cubiculum nominare velit, non erret, equidem opinor. Quæ quidem cum sit unum, continuo in uno manet, sive potius in se et nostras cogitationes, quæ diversæ sunt a natura et C quibusque rebus diverso modo distrahuntur, in unam quamdam et indiscretam cogitationem comprehendit: ita ut etiam nominum necessario **315** multiplex et multiformis divisio qualem rerum diversarum diversa derivatio deductioque efficit, virtutis dico, et vitæ et efficentiæ et luminis et sapientiæ et talium, simplicem et ipsa jam et uniformem profecto cursum in illo veritatis campo decurrat. Circumscriptus enim finis quidam cujusque essentiæ suppetens quoddam est nomen quod et unam proprietatem capit et quocunque modo componit quæ indefinite effusa sunt, simpliciter secundum hominum intelligentiam. Conatur quidem etiam in simplicissima illa essentia divina motionem suam naturalem declarare et virtutis insitæ naturam, D dico enim illud quod discernit et dividit unum in diversas proprietates, sed priusquam agit affecta est. Cum enim dividere studeret æque cæteris etiam indivisam illam et divinam essentiam, fugit illud esse ab illa compositum, et in concordiam intelligibilem contraxisse divisionem nomina impedientem et occupatissimam; et quoniam circumscriptionibus nominum divina et simplicissima natura illa inservire nescit, circumscriptio autem colligens est supposita cognitio, non potest cognosci quod propter essentiam non est circumscriptum. Unum igitur et incognitum est divina natura illa, et supra omnem definitionem et intelligentiam et respuens omnem Palamicam subtilitatem, quod cognosci a nobis potest in Deo ejus efficientiis et operibus, quæ apparent et facta sunt, id nobis in-

vicem **316** significamus nominibus ductis ex diversis notationibus necessario propter usum nostrum sententiarum ad similitudinem formatarum. Non autem sine regula, ut cuique voluntas suggerit, hoc facimus, sed divinorum Patrum sequimur dogmata, imo etiam litteras fortuitas. Primum enim Salvator in Evangeliis monet, ne contemnamus ne apicem quidem jussorum et mandatorum ejus divinorum quæ in Scriptura reperiuntur : equidem nescio utrum ex aliis non audivisti hæc, tu qui versabaris inter episcopos, proh ineptiam! aut quanquam audivisti, non intellexisti. Deinde theologorum Ecclesiæ quorum tu calumniaris sententias, magnus ille quidem in theologia Gregorius : « Vos autem, inquit, licet etiam in fortuito apice aut litteris spiritus accurationem adhibentes, nunquam capturi sumus : neque enim est justum, minimas quoque res temere tractari a scriptoribus, et usque ad hoc tempus memoria servari, saltem ut habeamus recordationem et institutionem deliberationis similium, occasione data, ita ut hæc fugiamus, illa præferamus tanquam regulas et prototypa secuti præeuntia exempla. » Magnus autem Basilius, « Oportet, inquit, eum, qui ante oculos habet Christi judicium neque ignorat quantum periculum **317** sit in demendo aliquid aut addendo iis quæ a Spiritu trædita sunt, non ex se studere res novas moliri, sed in iis quæ a sanctis nuntiata sunt acquiescere. » Chrysostomus autem similiter et ipse, « In divinis, inquit, Scripturis unum iota aut unum apicem negligere, non fit impune ; ita ut omnia inquirere debeamus. » Audivisti autem, opinor, paulo antea hic etiam ea quæ Gregorius Nyssenus alicubi dicit : « Quoniam cum carne circumclusa natura nostra circumdata sit motiones nostræ mentis non possunt declarari, necessario tanquam signa rebus certas nominum compositiones imponentes, illis mentis motiones nobiscum invicem communicamus ; et hanc ob rem alii rei nomen imponimus cœli, alii nomen terræ : alii aliud, et referri ad aliquid aut efficere aut affici, hæc omnia propriis significamus vocabulis : ne incomperta et incognita mentis actio in nobis maneat. » Præsertim cum omnis hominum vita natura et regulis verborum et litterarum disponatur et administretur : atque natura quidem sine ordine est et norma : lex autem rhythmo est prædita et ordine et norma si temet secuti statuamus verborum et litterarum vim nullius momenti esse, statim simul atque obtusum et vanum præbuimus hoc ornatum et admirabile opus **318** Dei, brutam nobis efficiemus vitam. Tum enim effluent in perversionem et mutationem ratione carentem et impetum non gubernatum omnia et usus vitæ omnis abibit ad multam dementiam et insaniam : tam attonitus et mente captus esset, neque sanus æque et qui talia suadet et qui hoc persuasum sibi esse dicit : multo profecto fuisset tibi sapientius dictum tuum, si tuis solis verbis et litteris es-

γνωστὸν ἡμῖν δύναται γίνεσθαι τοῦ Θεοῦ διὰ τῶν φαινομένων αὐτοῦ καὶ πεποιημένων ἐνεργειῶν καὶ δυνάμεων, τοῦτο τοῖς ἐκ διαφόρων ἐτυμολογιῶν ὀνόμασιν ἀλλήλοις ἐπισημαινόμεθα ταῖς γνωμικαῖς ἐξ ἀνάγκης ἡμῶν κατὰ τὸ ἀνάλογον χρείαις, οὐκ ἀτάκτως δὲ, καὶ ὡς ἑκάστῳ τὰ τῆς βουλήσεως ὑποτίθησι, δρῶντες, ἀλλὰ τοῖς τῶν θείων Πατέρων ἑπόμενοι δόγμασιν ἄχρι καὶ τῆς τυχούσης γραμμῆς. Πρῶτον μὲν γὰρ ὁ Σωτὴρ ἐν Εὐαγγελίοις μηδεμιᾶς καταφρονεῖν παραινεῖ κεραίας τῶν ἐν γράμμασι θείων αὐτοῦ προσταγμάτων καὶ ἐντολῶν· ὧν οὐκ οἶδ' ὁπότερον· ἢ γὰρ οὐκ ἀκήκοας ἔτι, καὶ ταῦτ' ἐν ἐπισκόποις (ψεῦ τῆς ἀτοπίας!) τελῶν, ἢ ἀκούσας οὐκ ἤσθου. Ἔπειθ' ὧν αὐτὸς διαβάλλεις τὸν νοῦν θεολόγων τῆς Ἐκκλησίας ἀνδρῶν, ὁ μὲν ἐν θεολογίᾳ μέγας Γρηγόριος, « Ἡμεῖς δὲ, » φησὶν, « εἰ καὶ μέχρι τῆς τυχούσης κεραίας ἢ γραμμῆς τοῦ πνεύματος τὴν ἀκρίβειαν ἔλκοντες, οὔποτε δεξόμεθα (οὐ γὰρ ὅσιον) οὐδὲ τὰς ἐλαχίστας πράξεις εἰκῇ σπουδασθῆναι τοῖς ἀναγράψασι καὶ μέχρι τοῦ παρόντος μνήμῃ διασωθῆναι, ἀλλ' ἵν' ἡμεῖς ἔχωμεν ὑπομνήματα καὶ παιδεύματα τῆς τῶν ὁμοίων εἴ ποτε συμπέσοι καιρὸς διασκέψεως, ὥστε τὰ μὲν φεύγειν, τὰ δὲ αἱρεῖσθαι, οἷον κανόσι καὶ τύποις τοῖς προλαβοῦσιν ἑπόμενοι παραδείγμασιν. » Ὁ δὲ μέγας Βασίλειος, « Χρὴ, » φησὶ, « τὸν πρὸ ὀφθαλμῶν ἔχοντα τὸ τοῦ Χριστοῦ δικαστήριον, καὶ εἰδότα ὅσος ὁ κίνδυνος ἀφελεῖν τι ἢ προσθεῖναι τοῖς παραδεδομένοις ὑπὸ τοῦ Πνεύματος, μὴ παρ' ἑαυτοῦ φιλοτιμεῖσθαι καινοτομεῖν, ἀλλὰ τοῖς προκατηγγελμένοις παρὰ τῶν ἁγίων ἐφησυχάζειν. » Ὁ δὲ τὴν γλῶτταν χρυσοῦς καὶ αὐτὸς ὁμοίως, « Ἐν ταῖς θείαις, » φησὶ, « Γραφαῖς ἰῶτα ἓν ἢ κεραίαν μίαν παραδραμεῖν οὐκ ἀζήμιον, ὥστε πάντα διερευνᾶσθαι χρή. » Ἀκήκοας δ' οἶμαι πρὸ βραχέος ἐνταῦθα καὶ Γρηγορίου τοῦ Νύσσης, « Διὰ τὸ τῇ σαρκίνῃ, » φάσκοντος, « περιβολῇ τὴν φύσιν ἡμῶν περιείργεσθαι φανερωθῆναι τῶν ἡμετέρων τοῦ νοῦ κινημάτων μὴ δυναμένων, ἀναγκαίως καθάπερ σημεῖα τοῖς πράγμασι τὰς ποιὰς τῶν ὀνομάτων θέσεις ἐπιβάλλοντες, δι' ἐκείνων τὰς τοῦ νοῦ κινήσεις ἀλλήλοις δημοσιεύομεν· καὶ τούτου χάριν τῷ μὲν τινι τῶν ὄντων ὄνομα οὐρανὸν ἐθέμεθα, ἑτέρῳ δὲ γῆν [f. 147 r.] καὶ ἄλλῳ ἄλλο τι. Καὶ τὸ πρός τι πῶς ἔχειν ἢ τὸ ἐνεργεῖν ἢ τὸ πάσχειν, ταῦτα πάντα ἰδιαζούσαις ἐπισημαινόμεθα ταῖς φωναῖς, ὡς ἂν μὴ ἀκοινώνητός τε καὶ ἄγνωστος ἡ τοῦ νοῦ κίνησις ἐν ἡμῖν μένοι. » Ἄλλως τε καὶ ἐπειδήπερ ἅπας ὁ τῶν ἀνθρώπων βίος φύσει καὶ νόμοις τοῖς διὰ ῥημάτων τε καὶ γραμμάτων οἰκονομεῖται καὶ διοικεῖται, καὶ ἡ μὲν φύσις ἄτακτον καὶ ἀνώμαλον, ὁ δὲ νόμος εὔρυθμόν τε καὶ τεταγμένον καὶ ὁμαλὸν, εἰ σοὶ πεισθέντες ἀπράκτειν ἐάσαιμεν τὴν τῶν ῥημάτων καὶ γραμμάτων δύναμιν, οὐκ ἂν φθάνοιμεν κωφὸν καὶ μάταιον ἀποδεικνύντες τὴν ἐγκόσμιον ταύτην καὶ θαυμασίαν ποίησιν τοῦ Θεοῦ καὶ θηριώδη δρῶντες τὸν βίον. Τὸ γὰρ ἐντεῦθεν ῥυήσεται πρὸς μεταβολὴν καὶ ἀλλοίωσιν ἄλογον εὐθὺς καὶ φορὰν ἀκυβέρνητον ἅπαντα, καὶ χρεία βίου παντὸς οἱ-

χήσεται πρὸς τὸ μάλα ἀνόνητον καὶ οὐδὲν ὑγιές. Οὕτως ἐμβρόντητος καὶ παραπλὴξ τὴν διάνοιαν εἶη ἂν καὶ οὐδὲν ὑγιὲς ὁμοίως ὅ τε τοιαδὶ παρεινῶν καὶ ὁ πεπεῖσθαι δοκῶν. Πολλῷ μέντ' ἂν ἦν σοι σοφώτερον τὸ λεχθέν σοι, εἰ τοῖς σοῖς μόνοις ῥήμασι καὶ γράμμασι περιεγέγραπτό σοι. Τούτων γὰρ μόνων ἀφίσταται τήμερον ἡ εὐσέβεια· καὶ δέον σοι τὸ παράπαν εἶναι νομίζειν τὴν εὐσέβειαν, σὺ δ' ἀορίστως ἐξήνεγκας, ἵνα δὴ τῶν τῆς εὐσεβείας δηλωτῶν ῥημάτων καὶ γραμμάτων ἀποστήσας τοὺς πειθομένους ῥᾷστα τὸ τῆς σῆς ἀσεβείας ἔχῃς κιρνᾷν δηλητήριον.

A seta te circumscriptum. His enim solis hodie abstinet pietas; et dicere debebas, non credendum in verbis aut litteris Palamicis omnino esse pietatem; tu autem indefinite protulisti illud: ut jam iis qui te sequuntur a pietatis claris verbis et litteris remotis facillime possis insinuare impietatis tuæ malum.

ΚΓ'. Ἡδέως δ' ἂν ἀκούσαιμι παρὰ σοῦ καὶ τίνα ποτὲ λέγεις εἶναι τὰ πράγματα, ἐν οἷς τὴν εὐσέβειαν κεῖσθαι μετεωρίσας τῇ ἀντιθέσει, εἶτα σιγῇ παρέδραμες δεδηλωκὼς οὐδέν. Τοῦτο δὴ τὸ τῆς ἀμαθίας τῆς σῆς εἰωθὸς προκάλυμμα εἰπὲ πρὸς τῶν σῶν ἀνουσίων καὶ ἀνυπάρκτων θεοτήτων. Εἰ μὲν γὰρ τὴν θείαν καὶ τρισυπόστατον φύσιν, πῶς οὐ δεδήλωκας; Ἀλλὰ τοῦτ' εὐχῆς μὲν ἄξιον, ἐλπίδος δ' οὐκ ἂν δήπου· πολλοῦ δὲ καὶ δεῖ· οὐ γὰρ δὴ σὸν ὀρθὰ περὶ Θεοῦ φρονεῖν καὶ φθέγγεσθαι. Ἀλλὰ πράγματα φῂς αὐτὸς τὰς ἀνουσίους σου ταύτας καὶ ἀπείρους θεότητας, αἷς μήτ' ἤδη περίεστιν εἶναι μήτ' ἔπειτά ποτ' ἔσεσθαι· ὃ γὰρ ἀνούσιόν τε καὶ ἄκτιστον, τῶν μηδὲν ὅλως μηδαμῇ μηδαμῶς ὄντων ἐξ ἀνάγκης λέγοιτ' ἄν. Τοιαύτη τῶν σῶν δογμάτων ἡ περιεργία καὶ τὸ σὸν ἐνθύμιον, ὦ κακὴ κεφαλή, πείθειν πιστεύειν [f. 147 v] εἰς τὸ μηδέν. Τῶν γάρ τοι θείων ῥημάτων καὶ γραμμάτων ἀνῃρημένων κατὰ τὴν σὴν παραίνεσιν, ἃ τὴν τῶν πραγμάτων δηλοῦσιν ἀλήθειαν, τίς ποθ' ὁμολογία πίστεως καὶ πόθεν ἂν ποτε γένοιτο ἔτι; Πόθεν δ' ἂν καὶ τίς ποτε τοῖς εὐσεβεῖν ἐθέλουσι γένοιτο γνῶσις Θεοῦ τοῦ πεποιηκότος ἡμᾶς; Ἀλλὰ περὶ μὲν τούτων ἔτι πολλὰ λέγειν ἔχοντι, τοῦ καιροῦ μὴ διδόντος, μετιτέον ἐφ' ἕτερα. Ἐκεῖνο δὲ πῶς νοεῖς, ὦ καινὲ θεολόγε, λέγων ἐκ τῶν ἐνεργειῶν γνωρίζειν ἡμᾶς τὸν Θεόν; Ἡ γὰρ οὐ συνῆκας ἀκούων ἐκ τῶν ἔργων τῶν φαινομένων τοῖς αἰσθητοῖς ὀφθαλμοῖς ἡμῶν τὸν ἡμῖν οὐ φαινόμενον γνωρίζειν ἡμᾶς Θεόν; Ἐνέργειαν γὰρ εἶναι καὶ τὰ ἀποτελέσματα δέδεικται μικρὸν ἡμῖν πρότερον. Καὶ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων αὖθις ἀκούεις καὶ ἀλλαχοῦ τῆς Γραφῆς λεγούσης θαυμάζεσθαι τὸν Δημιουργὸν, καὶ τοῦτ' εἶναι τὸ τοὺς οὐρανοὺς διηγεῖσθαι τὴν δόξαν τοῦ Θεοῦ. Καὶ ὁ Δαμασκηνὸς ὁμοίως φησὶν Ἰωάννης, « Ὁ τῇ φύσει ἀόρατος Θεὸς ὁρατὸς ταῖς ἐνεργείαις γίνεται, ἐκ τῆς τοῦ κόσμου συστάσεως καὶ κυβερνήσεως γινωσκόμενος. » Ὅμως παρακατιὼν εὑρήσεις τὸν μέγαν Βασίλειον καὶ αὐτὸν ἑρμηνεύοντα τὰ ἑαυτοῦ ἐν τῇ αὐτῇ ἐπιστολῇ, « Ἐκ γὰρ θαλάσσης, » φησὶ, « καὶ ἀνέμων ὑπακουσάντων αὐτῷ ἐγνώρισαν αὐτοῦ τὴν θεότητα οἱ ἀπόστολοι. Οὐκοῦν ἀπὸ μὲν τῶν ἐνεργειῶν ἡ γνῶσις, ἐκ δὲ τῆς γνώσεως ἡ προσκύνησις. » Ὁρᾷς πῶς ἐκ τῶν ἐνεργηθέντων φησὶ θαυμάτων· ταύτας γάρ φησιν αὐτὸς εἶναι τὰς κατιούσας ἤτοι δεικνυμένας ἡμῖν ἐνεργείας. Ἀλλὰ δυοῖν, ὡς ἔοικε, θάτερον δίδως νοεῖν. Ἢ γὰρ ἐξ ἀκοῆς παροδικῆς εἰλήφεις τὴν ῥῆσιν, ἢ τῇ ἐπιστολῇ ἐντυχὼν οὐ συνῆκας· καὶ πάσχεις παραπλήσιον

XXIII. Libenter autem audiam a te etiam quasnam dicas res esse, in quibus pietatem incsse postquam definivisti et protulisti oppositione, silentio id præteristi, cum nihil explicuisses; id quod ignorantiæ tuæ solitum est velamentum, B dic mihi, te oro per inessentiales tuas et insubstantiales divinitates. Nam si divinam cogitasti et ter substantialem naturam, cur non explicuisti hoc? Sed hoc voto dignum, spe nullo ut videtur modo: ac profecto multum quidem abest, neque enim est tui **319** ingenii recte de Deo cogitare et pronuntiare. Sed res ipse dicis has tuas inessentiales et infinitas divinitates: quæ jam esse neque possunt neque postea poterunt unquam. Quod enim inessentiale est et increatum, necessario in numero eorum ponendum est quæ nihil omnino ullo modo sunt: tales sunt dogmatum tuorum præstigiæ et hæc tua est cura, o caput malum, ut suadeas credamus in id quod nihil est. Etenim divinis verbis et litteris sublatis, ut tu suades, quæ rerum veri- C tatem declarant, quæ tandem erit consensio fidei, et unde tandem oriatur? Unde et quæ tandem iis qui pietatem colere volunt, fiat cognitio Dei qui nos creavit? Sed quanquam de his præterea multa dicere possum, cum tempus non sinat, ad alia transcundum est. Illum autem quomodo cogitas, o nove theologe, cum dicas ex efficientiis nos cognoscere Deum? An enim non intellexisti quæ audisti, ex operibus nimirum quæ corporis oculis nostris perspiciuntur, cognoscere nos Deum, qui non a nobis perspicitur? Efficientiam enim esse etiam facta, demonstratum est a nobis paulo antea, et ex magnitudine et pulchritudine creatorum rursus audis etiam alibi Scripturam dicentem D nos admirari Creatorem: atque hoc illud esse, quod cœli enarrant gloriam Dei. Et similiter ait Joannes Damascenus: «Deus natura invisibilis operibus visibilis fit, ita ut e mundi compositione et gubernatione cognosci possit.» **320** Tamen progrediens reperies Basilium magnum et ipsum interpretantem sua ipsius verba in eadem epistola: «E mari enim, inquit, et ventis, quæ ei parebant, ejus divinitatem apostoli cognoverunt; ergo ab efficientiis quidem nata est cognitio: a cognitione autem adoratio.» Vides eum dicere e miraculis patratis, has enim dicit ille esse efficientias sive descendentes sive monstratas nobis. Sed alterutrum videris dare nobis meditandum. Aut enim e fama cursim arripuisti sermonem aut in epistolam

incidens non intellexisti : et idem pati videris ut si quis meridie integra luce oculos attollens ad solem, deinde propter languorem aversus in terram, colorum simulacra sibi imaginetur multiformium et diversorum, quæ omnia quamvis ficta et substantia carentia oculis tam languidis vera esse videntur : sive potius ebrii non vident res quales vere sunt, sed pro aliis alia videntur, oculo exagitato propter liquorem, qui in cerebro est, et tanquam natante et fluctuante quod ad res apparentes attinet, ita etiam tu ignorantia crassa seductus minime scis quomodo se habeant natura dogmata Patrum divinorum : illud ipsum, quod etiam iis usuvenit, qui a remo ad suggestum, et a ligone ad theologiam transvolant, omne nomen de Deo dictum his præbet cogitationem corpoream, **321** omnis autem res quæ corpoream habet circumscriptionem ut divinitates vocent et increata appellent eos adducit.

XXIV. Tum logotheta magnus, sapiens vir et dicta intelligens maxime omnium qui aderant tum ibi ex iis qui gloria et honore fruebantur, ad Palamam dixit contendentem proclamare inepta illa et valde intempestive prolata paradoxa : «Nihil aliud nunc video te spectare, egregie, quam loquacitate studere laudes venari hominum indoctorum atque ab adversariis superari non videri ; attamen ipsi veritatis sermones clari sunt et irrefutabiles, et per se fidem habent, quos etiam audis a Gregora proferri et dictorum tuorum ex eo ipso falsitatem declarare, neque enim potes contra afferre sani quidquam. Sed monitus ut proferas scripta testimonia, quæ aperte declarent plane plurima increata diversa esse a natura ter supposita, cum non possis omnino invenire testimonium ullum cujusquam sanctorum, ex te ipso congeris tu quæ ineptissima sunt. Ex aliis enim semper in alia inaudita incidens continuo te reum apertæ et plane conspicuæ injuriæ exhibes. Etenim qui suo periculo conatur arbitratu suo dogmata fingere, eo qui prohibere eum potest indulgente simul et incitante, non possit **322** piam omnino et patriam fidem expellere : Sed nunc non illud agimus, sed confirmantes divinorum Patrum sanctorum et doctorum dogmata scire studemus, unde a te hæc nova doctrina sit inventa, qua per multum jam tempus conturbas Dei Ecclesiam, cum sociam habeas imperatoris manum. Puer enim erat divinissimus hic imp. cum edicere tu talia incepisti, et deinde confusione in imperio exorta, undecunque et quocunque modo exorta est, tempus non habuit audiendi et corrigendi. Tu autem immotus desinere non vis mala. Proverbium quidem ait, vinum carere freno : ego autem stultitiam tuam magis quam vinum non habere video frenum, qui possit dogmatum tuorum eluviem gubernare : id quod extremorum est malorum. Etenim si talia facinora pro pœna honores quoque accipiant, quo ineptiarum venient? quo conspicui accrescent impetus et pra-

A ὥσπερ ἂν εἴ τις ἐν μεσημβρίᾳ φωτὸς ἀκραιφνοῦς τοὺς ὀφθαλμοὺς ἀνασχὼν πρὸς τὸν ἥλιον, εἶτα δι' ἀτονίαν ἀποστραφεὶς πρὸς τὴν γῆν, χρωμάτων εἴδωλα φαντάζοιτο πολυειδῶν τε καὶ διαφόρων, ἃ πάντα ψευδῆ τε ὄντα καὶ ἀνύπαρκτα ταῖς ἀῤῥωστούσαις ὄψεσι δοκοῦσιν εἶναι ἀληθῆ. Ἢ μᾶλλον ὥσπερ οἱ μεθύοντες οὐ τὰ ὄντα κατὰ φύσιν ὁρῶσιν, ἀλλ' ἀνθ' ἑτέρων ἕτερα δοκοῦσι, κυματουμένης τῆς ὄψεως ὑπὸ τῆς περὶ τὸν ἐγκέφαλον ὑγρότητος καὶ οἱονεὶ κολυμβώσης ἐς τὰ φαινόμενα πλημμελῶς· οὕτω δὴ καὶ αὐτὸς ἀμαθίᾳ πολλῇ στρατηγούμενος ἥκιστα ἔχεις νοεῖν ὡς ἔχει φύσεως τὰ τοῖς θείοις [f. 148 r.] δεδογμένα Πατράσι. Τοῦτ' ἐκεῖνο δὴ καὶ τοῖς ἀπὸ κώπης ἐπὶ βῆμα καὶ ἀπὸ σκαπάνης ἐπὶ τὸ θεολογεῖν αὐτομολοῦσι, πᾶν μὲν ὄνομα περὶ Θεοῦ B λεγόμενον σωματικὴν παρέχει τὴν ἔννοιαν, πᾶν δὲ πρᾶγμα σωματικὴν ἔχον περιγραφὴν θεότητάς τε ὀνομάζειν καὶ ἄκτιστα προσαγορεύειν τολμᾷν ἀναπείθει.

ΚΔ'. Ἐπὶ τούτοις ὁ μέγας λογοθέτης, σοφὸς ὢν ἀνὴρ καὶ τῶν λεγομένων συνιεὶς ἁπάντων μάλιστα ὅσοι παρῆσαν τέως ἐκεῖ τῶν ἐπὶ δόξῃ σεμνυνομένων, φησὶ πρὸς τὸν Παλαμᾶν ἔτι βοᾷν ὡρμημένον τὴν ἔκτοπον ἐκείνην καὶ ἀωρίᾳ μακρᾷ κεχραμένην παραδοξολογίαν, ὡς « Οὐδὲν ἕτερον βλέπω σε νῦν ἐπειγόμενον, ἄνθρωπε, ἢ τῇ πολυλογίᾳ θηρᾶσθαι δόξαν ἀνδρῶν ἀμαθῶν μηχανώμενον καὶ μὴ δοκεῖν πρὸς τῶν ἀντιθέτων ἡττᾶσθαι. Ἀλλὰ μὴν αὐτοί γε τῆς ἀληθείας οἱ λόγοι σαφεῖς καὶ ἀναμφισβήτητοί εἰσι, καὶ C ἐφ' ἑστίας ἔχουσι τὸ πιστόν. Οὓς δὴ καὶ ἀκούεις πρὸς τοῦ Γρηγορᾶ φερομένους ὁμοῦ καὶ τῶν σοὶ λεγομένων αὐτόθεν τὸ σφαλερὸν ἔχοντας. Οὐδὲ γὰρ οὐδ' ἔχεις ἀνθυποφέρειν οὐδὲν ὑγιὲς, ἀλλὰ γραφικὰς κομίζειν ἀπαιτούμενος μαρτυρίας, ῥητῶς ἀποφαινομένας αὐτόχρημα πλεῖστα τὰ ἄκτιστα τῆς τρισυποστάτου διάφορα φύσεως, ἔπειτα μὴ δυνάμενος ὅλως εὑρεῖν μαρτυρίαν ἡντιναοῦν οὐδενὸς τῶν ἁγίων, παρὰ σαυτοῦ συνάγεις αὐτὸς, ὃ τῶν ἀτοπωτάτων ἐστίν. Ἐκ γὰρ ἑτέρων ἑτέραις ἀεὶ περιπίπτων καινοφωνίαις σαφῆ τε καὶ ὑπερήφανον αὐτόθεν εὐθὺς τὴν δίκην τοῦ ἀδικεῖν ὀφλισκάνεις. Ὁ γὰρ οἰκοθεν ἐπιχειρῶν τὰ κατὰ βούλησιν δογματίζειν, τοῦ κωλύειν ἰσχύοντος τηνικαῦτ' ἐνδιδόντος ὁμοῦ καὶ παροξύνοντος, οὐκ ἂν φθάνοι τὴν εὐσεβῆ πανταχόθεν καὶ D πάτριον πίστιν αὐτόθεν ἐλαύνων. Ἀλλ' οὐ τοῦτο νῦν ἡμῖν ὁ σκοπός· ἀλλὰ βεβαιοῦντες τὰ τῶν θείων Πατέρων καὶ διδασκάλων δόγματα πυθέσθαι ζητοῦμεν ὅθεν σοι τὰ καινοφανῆ κηρύγματα ταῦτα ἐξεύρηται, δι' ὧν πολὺν ἤδη χρόνον ταράττεις τὴν τοῦ Θεοῦ Ἐκκλησίαν, σύμμαχον ἔχων τὴν τέως δυναστεύουσαν χεῖρα. Βρέφος γὰρ ὢν ὁ θειότατος οὑτοσὶ βασιλεὺς ὁπότε κηρύττειν ἤρξω σὺ τὰ τοιαῦτα, καὶ ἅμα συγχύσεως περὶ τὴν βασιλείαν ἐξῆς ἐνεχθείσης, ὁθενδηποτοῦν καὶ ὁπωσδήποτε, καιρὸν οὐκ ἔσχεν ἀκηκοέναι καὶ διορθώσασθαι. Σὺ δ' ἀμεταβλήτως λήγειν οὐ βούλει κακῶν. Ἡ μὲν οὖν παροιμία φησὶ τὸν οἶνον οὐκ ἔχειν πηδάλιον· ἐγὼ δὲ τὴν σὴν ἀμαθίαν μᾶλλον ἢ τὸν οἶνον οὐκ ἔχουσαν ὁρῶ πηδάλιον τὴν τῶν σῶν διαχεῖν τριχυμίαν δογμάτων δυνάμενον. Ὁ τῶν

ἐσχάτων ἐστὶ κακῶν. Ὅταν γὰρ τὰ τοιαδὶ τῶν [f. 148 v.] ἀδιαιρέτων ἀντὶ τοῦ κολάζεσθαι καὶ τὸ τιμᾶσθαι προσλάβῃ δι' αὐτά γε ταυτί, ποῦ μὲν οὐκ ἂν ἀτοπίας ἐλάσειε, ποῦ δ' ἂν τῇ ὑπερηφάνου σταλῇ φορᾷ καὶ κακίᾳ κατὰ πρανοῦς οὕτωσὶ φερομένης; Καὶ μή μοι λέγε καὶ τερατεύου νῦν ἐγκαυχώμενος ἐπί τε δυσηνίῳ γλώττης φορᾷ καὶ συμπυρμένων λόγων ἀλόγῳ σωρείᾳ, μηδ' ὄγκους μοι χάλκευε ῥημάτων ἀντιστρατευομένων οὕτωσὶ προφανῶς τῇ τε ἀληθείᾳ καὶ τῷ τοῦ παρόντος συλλόγου σκοπῷ· ἀλλ' εἰ καὶ τὸ εὖ μετὰ τοῦ εὐσεβοῦς τοῖς λεγομένοις προσείη σοι, τοῦτο δὲ καὶ πάνυ τι σφόδρα σκοπεῖν σε χρεών· ὡς ἐὰν μὴ τοῦτο σφίσι παρῇ, τούναντίον ἐπὶ μανδραβόλου, φάναι κατὰ τὴν παροιμίαν, χωρεῖ σοι τὸ σπούδασμα, καὶ κολοφὼν σοι γίνεται κακῶν ὁ τῆς ἀκαίρου γλώττης λῆρος, καὶ τοσούτῳ μᾶλλον ὅσῳ μᾶλλον καὶ τῇ πολυλογίᾳ πολύχουν ἐπιπολάζειν τὸ τῆς ἀτοπίας ἐπεφύκει γεώργιον, καὶ πρός γε δήπουθεν αἱ τῶν ἀπράκτων ἦχων τε καὶ ψόφων διατριβαὶ καὶ σχολαί. Ἀλλ' ἡ τῶν θείων Γραφῶν παραίνεσις, « Μὴ μέταιρε, » φησὶν, « ὅρια ἃ ἔθεντο οἱ πατέρες σου, μηδὲ σοφίζου περιττὰ, ἀλλ' ἃ προσετάγη σοι, ταῦτα διανοοῦ· οὐ γὰρ ἔστι σοι τῶν κρυπτῶν χρεία. »

ΚΕ'. Ἐπὶ τούτοις ὁ μὲν Παλαμᾶς ἐσιώπησεν, ἀνέστη δέ τις τῶν μαθητευομένων αὐτῷ, μάλα τι ἀμαθὴς καὶ θρασὺς καὶ ἐμπαροινῶν μᾶλλον ἢ λέγων κατὰ τῆς ἀληθείας, ὥσπερ ἐωλοκρασίας ἔωθεν αὐτῷ καταχυθείσης τινός. Καὶ μὲν δὴ, « Περὶ δυνάμεων ἐγὼ, φησὶ, διαλεχθῆναι τήμερον βούλομαι· καί μοι φρασάτω παρελθὼν ὁ βουλόμενος, διὰ τί παντοδύναμος ὁ Θεὸς καλεῖται ἢ διὰ τὸ πάσας ἔχειν ἐν ἑαυτῷ τὰς δυνάμεις, ἃς δὴ καλοῦμεν ἀκτίστους ἡμεῖς, καὶ διαφόρους ἀλλήλων καὶ τῆς οὐσίας αὐτῆς τοῦ Θεοῦ. » Ταῦτα παρὼν καὶ ἀκηκοώς τις τῶν τοῦ Γρηγορᾶ φοιτητῶν, ὃς ἠκολούθησε μὲν οἴκοθεν αὐτῷ· ἀρξαμένης δὲ τῆς διαλέξεως ἐπέμφθη κομίσων τὴν τῆς δογματικῆς πανοπλίας δέλτον, καὶ κομίσας παρῆν τῷ συλλόγῳ λοιπὸν καὶ αὐτός. Οὗτος οὖν παραλόγῳ τέως τῆς ἀρχῆς ἀχθεσθεὶς καὶ διαναστὰς, « Καὶ μήν, φησὶν, ἐχρῆν πασοδύναμον οὕτωσὶ κατὰ σὲ καλεῖν τὸν Θεὸν, καὶ μὴ παντοδύναμον. Ἡμῖν γὰρ ἐκ τοῦ τὰ πάνθ' ὅσα βούληται δύνασθαι μέχρι νῦν ἐδόκει καλεῖσθαι παντοδύναμον τὸν Θεὸν, καὶ οὐχ ὡς σὺ φῄς. » Ὑπολαβὼν δὲ ὁ Παλαμᾶς, « Ἀλλὰ κατὰ τροπὴν τοῦ σ, φησὶν, εἰς τ γίνεται παντοδύναμος, καθάπερ καὶ θάλασσα θάλαττα. » [f. 149 r.] Γέλως οὖν ἐπὶ τούτοις ἦρθη πολὺς, ὡς μηδ' αὐτὸν Γρηγορᾶν κατέχειν ἑαυτὸν δύνασθαι, καίτοι πολλὰ πρὸς τὸ μὴ φανῆναι γελῶντα βουλόμενον καὶ ἅμα στυφὴν διὰ τὰς τῆς κεφαλῆς ἀλγηδόνας ἐπιτηδεύοντα. Ἀλλ' ὁ Παλαμᾶς διακόπτειν τὸν γέλωτα μηχανώμενος τῶν πρότερον εἴχετο λόγων, ἀναλαμβάνων αὖθις ἐκεῖθεν. « Ὅτι δ' ἄλλο τὸ ἔχον, φησὶ, καὶ ἄλλο τὸ ἐχόμενον, ἔξεστιν καὶ τοῦ ἁγίου Μαξίμου λέγοντος, « Ὁ μὲν Θεὸς γινώσκει ἑαυτὸν ἐκ τῆς μακαρίας οὐσίας αὐτοῦ, τὰ δ' ὑπ' αὐτοῦ γεγονότα ἐκ τῆς σοφίας αὐτοῦ, δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα ἐποίησεν. » Ἄλλος οὖν ὁ Θεὸς, καὶ ἄλλη ἡ σοφία αὐτοῦ δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα ἐποίησε, τῆς τοῦ Θεοῦ οὐσίας πάντη διάφορός τε καὶ ἄκτιστος· ἄλλος γὰρ ὁ Θεὸς ὁ ἔχων, καὶ ἄλλη ἡ σοφία αὐτοῦ ὡς ἐκτὸν καὶ ἀνούσιον. » Πρὸς

vitalis in pronum ita jactatæ? Atque ne mihi dicas et portenta effutias nunc jactabundus, in impetu linguæ effrenato et cumulatorum verborum bruta concervatione, neve fabriceris tumida verba quæ tam aperte veritati et hujus conventus consilio bellum indicunt: sed num etiam honestas et pietas dictis tuis adsint, hoc longe maxime te spectare oportet; nam si hoc iis non **323** adsit, e contrario, ut dicimus de mandræ ludo in proverbio, tibi evadet studium, et cacumen malorum tibi fiunt intempestivæ linguæ nugæ: atque eo magis, quo magis fructum ineptiarum et absurditatis feracem producit: et præterea vanorum clangorum sonorumque studia et curas. Sed librorum divinorum adhortatio, « Ne evertas, inquit, fines, quos posuerunt patres tui: neve exquiras supervacanea, sed quæ tibi imperata sunt, de iis delibera; neque enim tibi opus est absconditis. »

XXV. Super his Palamas quidem silentium tenuit. Surrexit autem quidam discipulorum ejus, valde indoctus et temerarius: et ebrie se jactans magis quam loquens contra veritatem, tanquam vini reliquiis mane in eum effusis. Atque, « De potentiis ego, inquit, colloqui hodie volo: et dicat mihi nunc aliquis, cur omnipotens Deus vocetur: an quia omnes in se habet potentias, quas nos vocamus increatas et diversas inter se et ab ipsa essentia Dei? » Hæc audivit quidam, qui aderat, discipulorum Gregoræ, qui quidem domo eum secutus est. Incipiente autem colloquio missus est ut afferret pugillares dogmatici exercitus; quos cum attulisset postea jam aderat conventui et ipse. Hic igitur repugnantia rerum auditarum gravatus surrexit et: « Profecto, **324** inquit, oportebat hac ratione secundum te Deum vocare πασοδύναμον neque vero παντοδύναμον; nobis enim qui omnia, quæcunque vult, facere potest, usque ad hoc tempus placuit ut παντοδύναμος vocaretur Deus, neque vero ut tu dicis. » Exhinc autem Palamas, « Sed cum mutari possit, inquit, Σ in Τ, fit παντοδύναμος, sicut etiam θάλασσα in θάλαττα mutatur. » Risus igitur ad hæc sublatus est magnus, ita ut ne ipse quidem Gregoras continere se posset, quanquam multum operæ dedit ne ridens conspiceretur, simulque tacere propter capitis dolores studuit. Sed Palamas risum exstinguere conatus prioribus inhærebat sermonibus, et rursus inde orsus est: « Aliud, inquit, esse id quod habet, aliud id quod habetur, intelligitur etiam e sancti Maximi dicto: Deus quidem se cognoscit ex essentia sua beata: quæ autem ab eo facta sunt ex ejus sapientia per quam et in qua universa fecit. Alius igitur est Deus, alia sapientia ejus tanquam habitum et inessentiale. » Ad hæc Gregoras ut divino numine afflatus exclamavit: « Nonne omnes auditis, qui veræ formulæ fidei estis studiosi, eum aperte tollere piam

Christi Ecclesiam simul cum Evangeliis et omnibus patrum divinorum scripturis, et dicere Filium et rationem Dei diversos **325** esse a paterna essentia et submissum Deum, ut Eunomius et Arius ille et quicunque talia jam olim conviciati sunt? Etenim ut divinorum præceptorum nostrorum omittam dicta, nonne auditis omnes semper divinum Evangelium dicere : « Omnia per ipsum facta sunt, et sine ipso factum est nihil, quod factum est; » et Davidem multo antea vaticinatum esse : «Omnia in sapientia fecisti ; » et Solomonem rursus : « Deus sapientia fundavit terram, stabilivit cœlos prudentia ? » Quid igitur jam opus est verbis ad ostendendam antiquam ejus in dogmatis perversitatem quam jam olim parturivit et peperit, et non desinit semper scribere et dicere, in plateis quoque et foris docere, propter magnam ejus qui prohibere possit eum solitudinem, et aures perforare simpliciorum ? »

A ταῦτα ὁ Γρηγορᾶς ὥσπερ ἔνθους γενόμενος ἀνεβόησεν, « Οὐκ ἀκούετε, πάντες οἱ τῆς ὀρθοδοξίας ἀντιποιούμενοι, προφανῶς ἀναιροῦντα τὴν εὐσεβῆ τοῦ Χριστοῦ Ἐκκλησίαν ὁμοῦ τοῖς Εὐαγγελίοις καὶ πάσαις τῶν θείων Πατέρων γραφαῖς, καὶ λέγοντα τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ διάφορον τῆς πατρικῆς οὐσίας καὶ ὑφειμένον Θεὸν, καθάπερ Εὐνόμιός τε καὶ Ἄρειος ἐκεῖνος, καὶ ὅσοι τὰ τοιαῦτα πάλαι βεβλασφημήκεσαν; Ἵνα γὰρ τὰς τῶν θείων διδασκάλων ἡμῶν ἐν τῷ παρόντι σιγήσω ῥήσεις, οὐκ ἀκούετε πάντες ἀεὶ τοῦ θείου λέγοντος Εὐαγγελίου, « Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν, » καὶ τοῦ Δαβὶδ πολλῷ προθεσπίσαντος πρότερον, « Πάντα ἐν σοφίᾳ ἐποίησας, » καὶ τοῦ Σολομῶντος αὖθις, « Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει. » Τί οὖν ἔτι χρεία λόγων εἰς ἀπόδειξιν τῆς παλαιγενοῦς αὐτοῦ κακοδοξίας, ἣν πάλαι ὠδίνησέ τε καὶ ἔτεκε καὶ ἀεὶ γράφων καὶ λέγων οὐ διαλείπει, κἂν ταῖς πλατείαις καὶ ἀγοραῖς διδάσκων κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν, καὶ τὰς ἀκοὰς διορύττων τῶν ἁπλουστέρων; »

**XXVI. Palamas autem nominum et verborum notiones et declinationes mutans pessima conviciabatur. Postquam vituperatus esset, ut indoctus, conjunctionum oppositionem introduxit, vocum nimirum « μὲν » et « δέ. » « Cognoscit enim, ait divini Maximi dictum, se quidem Deus ex essentia sua beata : quæ autem ab eo facta sunt, e sapientia sua, per quam et in qua universa fecit. Oportebat igitur eum dicere secundum vos, Filium quoque similiter cognoscere se ex essentia ejus 326 beata, ut eamdem naturam eamdemque essentiam ostenderet : quod cum ab eo prætermissum sit silentio, apparet illi mecum convenire, neque vero ullo modo vobiscum. »**

**XXVII. Magna igitur oppositione facta utriusque partis Gregoras tanquam arbiter factus et capitis dolores parvi faciens propter usus auxiliique necessitatem : «Primum quidem, inquit, spectandum est, utrum communes Ecclesiæ cogitationes sequatur et divinorum Patrum sententias superne confirmatas, secundum Basilium Magnum, qui oportere dicit nos a communibus de Deo cogitatis orsos contraria in vocibus convenire non putare. Tum secundum communes sententias concedendum est, divinam naturam bonam esse et iræ expertem et justam : quodsi iratum aut mœstum esse aut pœnitentiam agere aut uti aliquo non ex merito Deum Scriptura dicat, decet inquirere in verborum vim, et excogitare quomodo possimus restituere eam, neque vero evertere sententias, quæ sunt de Deo, graves ; et hoc modo sine offensione utemur Scripturis, ex iis quæ obscuriora sunt nullum damnum facientes, et iis autem, quæ clara sunt, utilitatem capientes. Constat quidem inter omnes orthodoxos, universa per Filium et verbo Dei facta esse. Verbo enim, ait, Domini cœli sunt firmati ; et ut divinus 327 ait Gregorius Nyssenus : Re vera sapientia et voluntas nihil aliud est, quam præmeditata universalis sapientia, in qua universa facta et ador-**

ΚΖ'. Ὁ δὲ Παλαμᾶς τῶν ὀνομάτων καὶ ῥημάτων τὰς ἐννοίας καὶ κλίσεις μεθαρμόζων ἐβλασφήμει τὰ χείριστα. Ἐπιτιμηθεὶς δ' ὡς ἀμαθὴς τὴν τῶν συνδέσμων διαστολὴν ἀντεισῆγε τοῦ μὲν καὶ τοῦ δέ. « Γινώσκει γὰρ, » φησὶν ἡ τοῦ θείου Μαξίμου ῥῆσις, « ἑαυτὸν μὲν ὁ Θεὸς ἐκ τῆς μακαρίας οὐσίας αὐτοῦ, τὰ δ' ὑπ' αὐτοῦ γεγονότα ἐκ τῆς σοφίας αὐτοῦ, δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα ἐποίησεν. Ἔδει οὖν εἰπεῖν καθ' ὑμᾶς ὅτι καὶ ὁ Υἱὸς ὁμοίως γινώσκει ἑαυτὸν ἐκ τῆς μακαρίας οὐσίας αὐτοῦ, ἵνα τὸ ὁμοφυὲς καὶ ὁμοούσιον δείξῃ· τούτου δ' ἐκείνῳ σιωπηθέντος δείκνυται συμφώνων ἐμοὶ, καὶ οὐδαμῇ γε ὑμῖν. »

[f. 149 v.] ΚΖ'. Πολλῆς οὖν ἐνστάσεως ἐνταυθοῖ γενομένης τῶν ἑκατέρωθεν, ὥσπερ διαιτητὴς μεταξὺ γενόμενος ὁ Γρηγορᾶς, καὶ τὰς τῆς κεφαλῆς ἀλγηδόνας παρὰ φαῦλον τέως ποιησάμενος διὰ τὴν ἀνάγκην τῆς χρείας, « Πρῶτον μὲν σκεπτέον, φησὶ, δυοῖν ὁπότερον ταῖς κοιναῖς τῆς Ἐκκλησίας ἐννοίαις ἀκολουθεῖ καὶ ταῖς ἄνωθεν κυρωθείσαις τῶν θείων δόξαις Πατέρων, κατὰ τὸν μέγαν Βασίλειον χρῆναι φάσκοντα ἡμᾶς ἀπὸ τῶν κοινῶν ἐννοιῶν ὁρμωμένους περὶ Θεοῦ τὰ ἐναντιούμενα, ὅσον ἐπὶ τῇ λέξει, ὁμολογεῖν μὴ νοεῖν. Οἷον κατὰ τὰς κοινὰς ὑπολήψεις ἔστι τὴν θείαν φύσιν ἀγαθὴν καὶ ἀόργητον καὶ δικαίαν ὁμολογεῖν. Ἐὰν οὖν ὀργιζόμενον ἢ λυπούμενον ἢ μεταμελόμενον ἢ μὴ κατ' ἀξίαν τινὶ χρώμενον ἡ Γραφὴ λέγῃ, ζητεῖν προσήκει τὸ τῆς λέξεως βούλημα, καὶ μερμνᾶν τίνα τρόπον ἀποκαταστῆσαι δυνηθῶμεν, οὐχὶ δὲ ἀνατρέπειν τὰς ἀξιολόγους περὶ Θεοῦ ὑπολήψεις. Καὶ οὕτως ἀπροσκόπτως ἐντευξόμεθα ταῖς Γραφαῖς, ἀπὸ μὲν τῶν ἀσαφεστέρων μὴ βλαπτόμενοι, ἀπὸ δὲ τῶν εὐλήπτων ὠφελούμενοι. Ἔστι μὲν οὖν συνδεδογμένον ἅπασιν ὀρθοδόξοις τὰ πάντα διὰ τοῦ Υἱοῦ καὶ λόγου τοῦ Θεοῦ γεγενῆσθαι. « Τῷ λόγῳ γὰρ, φησὶ, Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. » Καὶ κατὰ τὸν Νυσσαέα θεῖον Γρηγόριον ὄντως σοφία καὶ βουλὴ οὐδὲν ἕτερόν ἐστι πλὴν τῆς τοῦ παντὸς προεπινοου

μένης σοφίας, ἐν ᾗ τὰ πάντα ἐγένετο καὶ διεκοσμήθη. Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία. Καὶ πάλιν σοφία τοῦ Θεοῦ καὶ Πατρὸς κατὰ τὸν θεῖον Μάξιμον καὶ φρόνησις ὁ Κύριος ἡμῶν ἐστιν Ἰησοῦς Χριστός, ὁ καὶ τὰ καθόλου τῶν ὄντων συνέχων τῇ δυνάμει τῆς σοφίας καὶ τὰ συμπληρωτικὰ τούτων μέρη περιέχων τῇ φρονήσει τῆς συνέσεως, ὡς πάντων φύσει δημιουργὸς καὶ προνοητής, καὶ εἰς ἓν ἄγων τὰ διεστῶτα δι' ἑαυτοῦ. Καὶ ὁ Δαμασκηνός φησιν Ἰωάννης ὁμοίως, ὅτι οὐκ ἔστι τῷ Πατρὶ λόγος, σοφία, δύναμις, θέλησις εἰ μὴ ὁ Υἱός, ὅς ἐστιν ἡ μόνη δύναμις τοῦ Πατρὸς ἡ προκαταρκτικὴ τῆς πάντων ποιήσεως. Καὶ μυρίας ἔχοι τις ἂν μαρτυρίας προάγειν ταυτὶ συνιστάσας. Καὶ πρῶτον μὲν δὴ σκεπτέον ἂν εἴη τουτὶ, δεύτερον δὲ πῶς καὶ ὁ θεῖος Μάξιμος τοῖς κοινοῖς τῆς Ἐκκλησίας ἕπεται δόγμασιν, εἰ μή τις ἐνταῦθα παρεξηγεῖσθαι βιάζοιτο. Ἡ γὰρ διαστολὴ τῶν συνδέσμων ἐνταῦθα οὐ τὸν Πατέρα καὶ τὸν Υἱὸν διαστέλλει, ἀλλ' ἐκ τῶν κτισμάτων μάλιστα τὸν Θεὸν διαιρῶν, συμπαραλαμβάνει καὶ συνάπτει [f. 150 r.] τούτῳ καὶ τὸν Υἱὸν εἰς τὴν τῶν κτισμάτων γνῶσιν, ἵνα μὴ δόξῃ χωρίζειν ὁ Πατὴρ τὸν Υἱὸν ἑαυτοῦ ἐν τῇ τούτων γνώσει, δι' οὗ καὶ ἐν ᾧ πεποίηκεν ἅπαντα ταῦτα. Καὶ γὰρ καὶ ὅτε φησὶ τὸν Θεὸν ὁ ἅγιος γινώσκειν ἑαυτὸν ἐκ τῆς μακαρίας οὐσίας αὐτοῦ, οὐκ ἀποστερεῖ τὸν Υἱὸν τῆς τοιαύτης γνώσεως. Πῶς γὰρ, ὁμοούσιον ὄντα τε καὶ τὴν αὐτὴν τῷ Πατρὶ γνῶσιν ἔχοντα, ὡς καὶ αὐτὸς περὶ ἑαυτοῦ μαρτυρεῖ λέγων, « Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα. » Καὶ, « Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι· » καὶ « Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν. » Διὰ τοῦτο ἐκεῖ μὲν ἐν τῇ τοῦ Θεοῦ γνώσει διὰ τὴν φυσικὴν καὶ οὐσιώδη ταυτότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ πολυπραγμοσύνης οὐκ ἐδεήθη τινός· ἐν δὲ τῇ πρὸς τὰ κτίσματα γνώσει συμπαρειλήφει καὶ τὴν σοφίαν ὁ θεῖος οὗτος Μάξιμος, δι' ἧς καὶ ἐν ᾗ ταυτὶ πεποίηκεν ἅπαντα, ἀναγκαίας οὔσης τῆς τοιαύτης ἐνταῦθα μνήμης διὰ τὰς ὑποστάσεις, ὥσπερ ἐκεῖ τῆς σιωπῆς διὰ τὸ πᾶσιν ἐγνωσμένον ὑπάρχειν τὸ τῆς οὐσίας Υἱοῦ καὶ Πατρὸς ἀδιαίρετον καὶ ταυτόν. Ἐναργέστερον δ' ὅμως ἔτι καὶ ὁ θεῖος οὗτος Μάξιμος δείκνυσι προϊών, καὶ τῆς τεχνικῆς ἐνταυθοῖ μεμνημένος σοφίας, μή τις ἐξ ἀμαθίας ὁπωσποτὲ πλανηθεὶς ἐκεῖθεν ἐξολισθήσῃ πρὸς δυσσεβεῖς λογισμοὺς, καὶ ἀντὶ τῆς ὄντως σοφίας τὴν ἐν τοῖς κτίσμασι τεχνικὴν δοξάσῃ σοφίαν, καθάπερ καὶ οὑτοσὶ Παλαμᾶς βεβλασφήμηκέ τε πρότερον πολλάκις, καὶ νῦν αὖθις ἐφ' ἡμῶν οὐκ αἰδεῖται τολμῶν τὰ ἀτόλμητα. Φησὶ γὰρ κατόπιν ὡς ἡ λογικὴ καὶ νοερὰ φύσις γινώσκει τὰ κτίσματα ἀναλήψει τῆς ἐν αὐτοῖς θεωρουμένης τεχνικῆς σοφίας καὶ γνώσει τῶν ἐν αὐτοῖς φυσικῶν λόγων ἥτινα δὴ τεχνικὴν σοφίαν παρακατιὼν αὖθις αὐτὸς ψιλὴν καὶ ἀνυπόστατον ἐν τῷ νῷ συνισταμένην φησὶν, οὑτωσὶ κατὰ λέξιν διαγορεύων, ὅτι τὰ ὑπὸ Θεοῦ γεγονότα γινώσκει τὸν Θεὸν τῇ ἀναλήψει, ὡς εἴρηται, τῆς ἐν τοῖς γεγονόσι θεωρουμένης τεχνικῆς σοφίας, ἥτις ἐστὶ ψιλὴ καὶ ἀνυπόστατος ἐν τῷ νοουμενιστῷ. Καὶ ἀλλαχοῦ πάλιν αὐτὸς « Οὐκ ἐκ τῆς οὐσίας, φησὶ, τὸν Θεὸν γινώσκο-

nata sunt. Christus enim est Dei vis et Dei sapientia. Et rursus sapientia Dei et Patris secundum divinum Maximum consilium quoque Dominus noster est Jesus Christus, qui etiam universa quæ sunt continet vi sapientiæ, et completorias partes complectitur consilio mentis ut omnium a natura creator præmeditans, et in unum contrahit distantia per se. Et similiter ait Joannes Damascenus: Nulla est Patri oratio, sapientia, vis, voluntas, nisi Filius: qui quidem sola est vis Patris creationem omnium præparans. Atque sexcenta possunt proferri testimonia quæ hæc confirment. Et primum quidem hoc spectandum est, deinde etiam divinum Maximum sequi communia Ecclesiæ dogmata, nisi quis hic falso interpretari studeret; distinctio enim conjunctionum hic non Patrem et Filium distinguit, sed e creatis maxime Deum secernens comprehendit et conjungit huic etiam Filium in creatorum cognitione ne videatur removere Pater Filium a se in horum cognitione, per quem et in quo fecit hæc omnia. Etenim etiam cum dicit Deum sanctus cognoscere se ex essentia sua beata, **328** non privat Filium tali cognitione: qui enim potest eum, qui eadem sit essentia et eamdem cum Patre habeat cognitionem? ut etiam ipse de se testatur, dicens, « Ut cognoscit me Pater, ego quoque Patrem cognosco; » et: « Omnia, quæ habet Pater, mea sunt; » et: « Ego et Pater unum sumus. » Propterea ibi quidem in Dei cognitione propter naturalem et essentialem similitudinem Patris et Filii non opus fuit ulla curiositate; in cognitione autem, quæ in creatis versatur comprehendit etiam sapientiam divinus hic Maximus, qua et in qua hæc fecit omnia; cum necessaria esset tali hic commemoratione propter substantias, ut ibi silentio quia omnibus notum est, esse essentiam Filii et Patris indiscretam et eamdem. Clarius vero etiam divinus hic Maximus demonstrat progrediens cum etiam artificiosæ illic mentionem faciat sapientiæ: ne quis ignorantia, ut fieri solet, errans inde incidat in impias ratiocinationes et pro vera sapientia artificiosam illam quæ est in creatis opinetur sapientiam, ut etiam Palamas hic et conviciatus est jam antea sæpe, et nunc rursus in nobis non pudet eum audere inausa. Ait enim post: Ratione et mente prædita natura cognoscit creata comprehensione animadversæ in iis artificiosæ sapientiæ **329** et cognitione naturalium quæ in iis sunt rationum: quam quidem sapientiam artificiosam paulo post rursus ipse tenuem et substantiæ expertem in mente compositam dicit, hoc modo ad verbum statuens: quæ a Deo facta sint cognoscere Deum comprehensione, utdictum est, animadversæ in iis quæ facta sunt artificiosæ sapientiæ, quæ quidem est tenuis et substantiæ expers in mente composita. Et alibi rursus idem: « Non ex essentia, inquit, Deum cognoscimus, sed e magnificentia et providentia rerum. Ex his enim ut e speculis infinitam bonitatem et sapientiam et vim intelligimus. » Hæc

persecutus Gregoras, «Vides, inquit, ad Palamam A conversus, cum duæ sint hic maledictiones propositæ, necessario in alteram te incidere; aut enim Filium Dei, qui est vera sapientia, qua et in qua universa fecit, inessentialem dicis divinitatem, aut artificiosam quæ est in creatis sapientiam et ipsam increatam simulque inessentialem vocas divinitatem, quam tenuem et substantiæ expertem in mente compositam divinum audivisti dicentem Maximum. Talis enim tua est ineptorum paradoxorum absurditas et tam immanes sunt ratiocinationes impietatis tuæ : et tamen vivere audes et oculis impudentibus cœlestem suspicere facem, augustum solis oculum, et inter homines mente præditos versari ejusdemque cum iis particeps esse aeris, exemplum tantæ pravitatis factus **330** B Christi Ecclesiæ? Tu vero, si vis, fabricare præterea ut increatarum copiam divinitatum, ita etiam artem novam. Licet enim tibi cum consueta utaris ignorantiæ impudentia ubique et concessionem facile ex te sumas neque ullo modo dispenses fortunas inexspectatas et fatales, neque certis conditionibus sententiam tuam sinas quiescere insanam et audacem. Omnis enim veterum scientia et institutus sapientia concentus et rhythmus oblita sunt tuæ inessentialis efficientiæ, qua sine ullo negotio increatas fabricaris divinitates spontance : quale spartorum illorum gigantum diurnum genus adumbrant fabulæ Atticæ, recentiorum rumorum impetum et proventum depingentes. Sed quoniam novitati verborum etiam legibus novis est opus, age scribas, si vis, etiam edictum novum quoddam, ne quis secundum scientiam postea utatur verbis, fias his temporibus et ipse Julianus imperator pravitate infamis, et crudeliores potius quam ex ejus natura proferas audacias, sive potius jam factus es adjutus occasione misera et vitam infaustam eligens et detestabilem, ex qua multæ contra pietatem proruperunt voragines, multique malorum effusi sunt amnes nefarii. Sed non usque ad finem, opinor, ridebis : sed **331** reddet celeriter imperator hic paternam Ecclesiæ gloriam Deo, qui huic paternum dedit regnum.

μεν, ἀλλ' ἐκ τῆς μεγαλουργίας καὶ προνοίας τῶν ὄντων· διὰ τούτων γὰρ ὡς δι' ἐσόπτρων τὴν ἄπειρον ἀγαθότητα καὶ σοφίαν καὶ δύναμιν κατανοοῦμεν. » Ταῦτα διεξιὼν ὁ Γρηγορᾶς, « Ὁρᾷς, » ἔφη πρὸς τὸν Παλαμᾶν στραφείς, « ὅπως δυοῖν προκειμένων ἐνταῦθα βλασφημιῶν ἐξ ἀνάγκης [f. 150 v.] μιᾷ περιπίπτεις; Ἢ γὰρ τὸν Υἱὸν τοῦ Θεοῦ, τὴν ὄντως σοφίαν δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα πεποίηκεν, ἀνούσιον λέγεις θεότητα, ἢ τὴν ἐν τοῖς κτίσμασι τεχνικὴν σοφίαν ἄκτιστον καὶ ταύτην καὶ ἅμα ἀνούσιον φάσκεις θεότητα· ἣν ψιλὴν καὶ ἀνυπόστατον ἐν τῷ νῷ συνισταμένην τὸν θεῖον ἀκήκοας λέγοντα Μάξιμον. Τοιαῦτα γάρ σου τὰ τῶν ἀτόπων καινοφωνιῶν αἰσχρὰ, καὶ οὕτω σχέτλια τὰ συμπεράσματα τῆς σῆς δυσσεβείας. Ἔπειτα ζῇ τολμᾷς, καὶ ἀναιδέσιν ὀφθαλμοῖς τὴν οὐρανίαν βλέπειν λαμπάδα, τὸ σεμνὸν ἡλίου βλέφαρον, καὶ ἀνθρώποις νοῦν ἔχουσιν ὁμιλεῖν, καὶ τοῦ αὐτοῦ συμμεταλαμβάνειν αὐτοῖς ἀέρος, ὑπόμνημα τοσαύτης κακίας τῇ τοῦ Χριστοῦ γεγονὼς Ἐκκλησίᾳ; Σὺ δ', εἰ βούλει, καινοφώνησον ἔτι, καθάπερ ἀκτίστων ἐσμὸν θεοτήτων, οὕτω καὶ τέχνην καινήν. Ἔξεστι γάρ σοι τῇ συνήθει χρωμένῳ τῆς ἀμαθίας ἀναιδείᾳ παντα χῇ, καὶ τὸ συγκεχωρηκὸς μετὰ ῥᾳστώνης ἐκ σαυτοῦ λαμβάνοντι, καὶ μηδαμῇ ταμιευομένῳ τὰς παραλόγους τύχας καὶ τραγικὰς, μηδ' ἐπὶ ῥητοῖς τὸ γῆς γνώμης ἐῶντι καθεύδειν μεμηνός τε καὶ αὔθαδες. Πᾶσα γὰρ ἐπιστήμη τῶν πάλαι καὶ σοφίας ἐμμουσος ἁρμονία τε καὶ ῥυθμὸς τὸ ἐνεργεῖν ἐξελάθετο C τῆς σῆς ἀνουσίου ταύτης ἐνεργείας, δι' ἧς ἀπονητὶ τὰς ἀκτίστους χαλκεύεις θεότητας, ἐξ αὐτομάτου φυσίσης, ὥσπερ τὸ τῶν σπαρτῶν ἐκείνων γιγάντων αὐθήμερον γένος ἡμῖν ἀττικίζοντες ὑπογράφουσι μῦθοι, καινοτέρων ἀκουσμάτων φορὰν εἰκονίζοντες. Ἐπεὶ δὲ ταῖς τῶν λόγων καινότησι καὶ νόμων δεῖ καινοτέρων, γράφον, εἰ βούλει, καὶ ψήφισμά τι καινὸν, μὴ χρῆσθαι κατ' ἐπιστήμην τοῖς λόγοις ἔτι. Γενοῦ τοῖς νῦν καὶ αὐτὸς καιροῖς Ἰουλιανὸς αὐτοκράτωρ ἐπὶ κακίᾳ διαβεβοημένος, καὶ βαρβαρικώτερα μᾶλλον ἢ κατ' ἐκεῖνον δεικνὺς τὰ τολμήματα. Μᾶλλον δὲ καὶ γέγονας, καιροῦ τυχὼν πονηροῦ καὶ βίον ἐλόμενος κακοδαίμονα καὶ ἐπάρατον, ἀφ' οὗ πολλαὶ μὲν κατὰ τῆς εὐσεβείας ἀνερρώγεσαν φάραγγες, πολλοὶ δὲ κακῶν ἐξερρύησαν ἀθέμιτοι ῥύακες. Ἀλλ' οὐκ εἰς τέλος, οἶμαι, χαιρήσεις, ἀλλ' ἀποδώσει ταχὺ βασιλεὺς οὗτος τὴν πάτριον τῆς Ἐκκλησίας εὐκλειαν τῷ δεδωκότι τούτῳ τὴν πατρῴαν βασιλείαν Θεῷ. »

XXVIII. His Palamas gravatus et valde affectus D contra conviciabatur et parvi faciebat etiam ipsum sessionis decus, qua si apud se non esset; quamobrem etiam frequenter se totum vertit huc et illuc in solo, in quo tum maxime sedebat, et difficilis, ut ita dicam, et importunus erat quodammodo, neque melius dispositus quam furentes. Poteras enim videre eum tanquam oblitum sui et temporum et spectatorum et huc illuc trahentem manibus vestimentorum limbos, et adducentem et deducentem et usque ad crura nudantem et femora et fere quæ non decorum est ostendere mimico modo ostentantem obiter ut ita dicam, neque animum

ΚΗ'. Τούτοις ὁ Παλαμᾶς ἀχθόμενος καὶ ὑβριοπαθῶν ἀντελοιδόρει τε καὶ παρὰ φαῦλον ἐποιεῖτο καὶ αὐτὸ τῆς καθέδρας τὸ εὔσχημον, ὥσπερ ἔξω γενόμενος ἑαυτοῦ. Ὅθεν δὴ καὶ συχνὰ περιέστρεφεν ὅλον ἑαυτὸν τῇδε [f. 115 r.] κἀκεῖσε ἐφ' οὗπερ ἔτυχε τηνικαῦτα δαπέδου καθήμενος, καὶ δυσκάθεκτός τις ἦν ὡς εἰπεῖν καὶ ἀκάθεκτος, καὶ μεμηνότων οὐδὲν διακείμενος ἄμεινον. Ἦν γὰρ ἰδεῖν αὐτὸν ὥσπερ ἐκλαθόμενον ἑαυτοῦ τε καὶ τοῦ καιροῦ καὶ τῶν θεατῶν, καὶ συχνὰ μεταφέροντα ταῖς χερσὶν αὐτοῦ τῶν ἱματίων τὰ κράσπεδα καὶ ἀναφέροντα καὶ καταφέροντα, καὶ πρός γε κνήμας τε γυμνοῦντα καὶ μηροὺς, καί πως ἃ μὴ θέμις δείκνυσθαι θεατρικῶς

οὕτωσι παραδεικνύντα, δήπουθεν ἑδοῦ πάρεργον εἰ- A adverlens qui erat ejus mos ullo modo iis quæ
πεῖν, οὐ τὸν νοῦν ἐφιστάνθ', ὡς ἔοικεν, οὐδαμῇ τοῖς fiebant : et duo æque tum audebat vir inepta neque
δρωμένοις. Καὶ δύο κατὰ ταυτὸν ἐτολμᾶτο τἀνδρὶ timens neque verens. Ore enim contra Deum con-
τηνικαῦτα τὰ ἄτοπα, μήτε δεδιότι μήτ' αἰσχυνο- vicians nullo modo timore capiebatur ; habitu
μένῳ· στόματι μὲν γὰρ πρὸς Θεὸν βλασφημῶν οὐ- autem inhonesto furentis illius uti moris coram
δαμῇ ἐδείδιει, σχήματι δ' ἀσέμνῳ τοῦ μεμηνότος oculis tot non verebatur. Et quod ante Trojam
ἐκείνου χρώμενος ἤθους ἐπὶ τοσούτων ὀφθαλμῶν Ulysses ille olim Homeri Thersiten garrulum de-
οὐδαμῇ γε ἠσχύνετο. Καὶ ὅπερ ἐπὶ τῆς Τροίας Ὀ- ludens facturum se esse minatus est, exutu-
δυσσεὺς ἐκεῖνος πάλαι τὸν ἀκριτόμυθον τοῦ Ὁμήρου rum nimirum vestimenta grata, quæ membra
Θερσίτην χλευάζων ἠπείλησε δρᾶν, ἀποδύσειν εἵ- pudenda **332** velant, hoc ille se facere con-
ματα λέγω φίλα, τά τ' αἰδὼ ἀμφικαλύπτει, τοῦτ' tra se omnino non animadvertebat. Hæc Gre-
ἐκεῖνος καθ' ἑαυτοῦ ὁρῶν ἀτεχνῶς οὐκ ἠσθάνετο. goram quamvis omnino non ridere volentem ad
Ταῦτα καὶ μὴ πάνυ γελασείοντα τὸν Γρηγορᾶν γε- ridendum adduxerunt, et ut oculum cavillantem
λάσαι πεποίηκε, καὶ εἰρωνικόν τινα ὀφθαλμὸν αὐτῷ in eum conjiciens hæc diceret : Equidem ignoran-
ἐπιῤῥίψαντα φάναι τοιαδί· « Ἐγὼ δέ σε τῆς ἀμα- tiam tuam et impudentiam miserans, amice, nunc
θίας καὶ ἀναιδείας οἰκτείρων, ἄνθρωπε, βούλομαι B quoque volo omnes quæcunque vocem sapientiæ
καὶ νῦν, ὁπόσα τὴν τῆς σοφίας φωνὴν διαιρεῖση- dividunt significationes proferens secundum scien-
μαινόμενα, προθεὶς κατὰ τοὺς τῆς ἐπιστήμης διδά- tiæ rationem te docere : ut inde discas, in quantam
ξαι λόγους, ὡς ἂν μάθῃς ἐντεῦθεν εἰς ὅσον ἐλαύνει pravitatem adigatur si quis nugatus pervertat im-
κακίας βωμολοχεῖν καὶ διαβάλλειν ἀναίδην τὰς θείας pudenter Scripturas divinas. Sequendum igitur
Γραφάς. Ἀκολουθητέον οὖν ἡμῖν ἐστι τῇ τῶν θείων est nobis divinorum Patrum hic quoque institutio-
Πατέρων κἀνταῦθα διδασκαλίᾳ. Νοεῖται μὲν γὰρ ἡ nem. Intelligitur enim sapientia dupliciter secun-
σοφία διχῶς κατὰ τὸ κτιστὸν καὶ τὸ ἄκτιστον. Καὶ dum creatum et increatum, atque creata quidem
κτιστὴ μὲν λέγεται σοφία ἥ τε ἐντεθειμένη πρὸς dicitur sapientia ea quæ infusa est a Deo simul-
Θεοῦ καὶ συναπειργασμένη τοῖς κτίσμασιν, ἵνα σοφά que confecta creatis, ut sapientia illa secundum
τε κατὰ τὸν μέγαν Ἀθανάσιον φαίνηται πᾶσι καὶ Athanasium magnum omnibus viderentur simul-
ἅμα τοῦ πεποιηκότος ἄξια. Καθ' ὃ σημαινόμενον καὶ que Creatore digna : secundum quam significatio-
Δαβὶδ τούς τε οὐρανοὺς τὴν τοῦ Θεοῦ διηγεῖσθαι δό- nem etiam David cœlos enarrare Dei gloriam di-
ξαν φησὶν ἀλαλήτοις φωναῖς, καὶ ἅμα πᾶσαν προ- cit mutis linguis. Simulque omnia creata cohor-
τρέπεται κτίσιν εἰς ὕμνον Θεοῦ ὅση τῶν ἐμψύχων τε C tatur ad Deum celebrandum, quæcunque anima
καὶ μή, καὶ ὅση τῶν αἰσθητικῶν καὶ μή. Καὶ ἔτι ἡ prædita et destituta, quæcunque sensu sunt præ-
τοῖς διδασκομένοις ἐντέχνως ἐκ προϋπαρχούσης γί- dita et destituta, et porro eos qui docte instituun-
νεται γνώσεως. Ἐν ᾗ τὸ εἰδέναι καὶ τὸ ἐπίστασθαι tur ex cognitione antea substante : in qua cum
ἔχοντας, δεκτικοὺς τῆς δημιουργοῦ τῶν ὅλων σοφίας scientiam et intelligentiam habeamus testari nos
ἡμᾶς οἱ θεῖοι Πατέρες φάσκουσι γίνεσθαι τὸν ἑκά- sapientiam omnia creantem suo quemque insito
στοις ἐνόντα τρόπον. Καὶ τὸ γνωστὸν τοῦ Θεοῦ φα- more Patres divini contendunt ; ac quæ in Deo
νερὸν διὰ τῶν κτισμάτων. Ἄκτιστος δὲ σοφία ὁ cognosci possunt clara sunt creatis ; increata au-
Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα tem est sapientia Filius et Verbum Dei, qua et in
γέγονε. Πλὴν οὐχὶ τούτῳ Λόγος ἡ Υἱὸς ᾧ καὶ σοφία. qua universa facta sunt. Sed non est eidem **333**
Ἡ μὲν γὰρ Υἱὸς καὶ Λόγος [f. 151 v.] φωνὴ μονότροπον semper verbum aut Filius cui sapientia. Vox enim
ἔχει τὴν σημασίαν καὶ ἀναφορικὴν πρὸς τὸν Filii et Verbi simplicem habet significationem
Πατέρα, ἡ δὲ τῆς σοφίας διπλῆν. Λέγεται μὲν γὰρ et ad Patrem relatam : sapientiæ autem vox du-
καὶ καθ' αὐτὸ σοφία καθολικωτέραν ἔχον τὴν ἔν- plicem. Dicitur enim per se sapientia quod gene-
νοιαν, ὅτε ταυτὸν εἴη σαφῶς τῇ οὐσίᾳ καὶ τοῦτ' εἴη raliorem habet notionem, ubi aperte idem est
τὸ εἶναι ταύτῃ ὃ τὸ σοφίαν εἶναι κατὰ τὸν τοῦ εἴ- D cum essentia : atque hoc idem fere est quod sa-
δους εἴτουν τὸν τῆς φύσεως καθολικώτερον λόγον, piens essentia secundum formæ sive naturæ ratio-
ὅτε σοφία καλεῖται ὁ Πατὴρ καὶ ὁ Υἱὸς ὁμοίως ὥσ- nem generaliorem, ubi sapientia vocatur Pater et
περ καὶ οὐσία ἑκάτερα. Λέγεται δὲ σοφία καὶ ἡ Filius eodem modo quo etiam essentia utraque.
ὑπόστασις ἐκ τοῦ καθολικωτέρου λαμβάνουσα τοῦ- Dicitur autem sapientia etiam substantia, nomen
νομα, ὥσπερ καὶ ἄνθρωπόν φαμεν εἰδικῶς καὶ κα- accipiens a genere : ut secundum formam et genus
θόλου τὴν οὐσίαν καὶ φύσιν, εἴτουν καθ' αὐτὸ καὶ essentiam et naturam etiam hominem appellamus,
κυρίως, καὶ οὐδαμῇ πρὸς ἕτερον, ἔστι δ' ὅτε καὶ sive per se et proprie, et nullo modo referentes
τήνδε τὴν ὑπόστασιν, τὸν Πέτρον δηλαδή, τὸ εἰδικόν ad aliud, interdum etiam certam hanc substan-
τε καὶ καθολικώτερον ὄνομα εἰς τὸ προσωπικὸν καὶ tiam, Petrum nimirum, ita ut formæ et generis
ἰδιάζον μεταφέροντες. Οὐ γάρ ἐστιν ἰδιώτατον πε- nomen in certum et secretum transferamus. Neque
ρικλειόμενον ἡ σοφία τινὶ, οὐδ' ἀναχωρικὸν ὡς ὁ enim sapientia cum sit aliquid maxime secretum,
υἱὸς πρὸς τὸν πατέρα καὶ ὁ λόγος πρὸς τὸν οὗ λόγος circumclusum ulla re, neque referri debet ut Fi-
ἐστὶν ἐστὶ νοῦς· τὰ μὲν γὰρ οὐσιώδη καὶ φυσικὰ lius ad Patrem, et ratio ad id, cujus ratio est
περιεκτικώτερά εἰσι καὶ ἄφετον ἔχει τὴν ἔννοιαν, τὰ mens. Essentialia enim et naturalia latius patent

liberamque habent notionem : quæ autem referuntur inter se et habitu mutuo conjuncta sunt neque ullo modo conceditur iis ut liberiorem habeant significationem ; ut igitur Pater est essentia, Filius essentia, Spiritus sanctus essentia, ita Pater etiam sapientia, **334** Filius sapientia, Spiritus sanctus sapientia : simulque sapientia una, ut essentia una, neque vero sapientiæ tres, ut neque tres essentiæ. Cum igitur Filius dicit : « Ego sum sapientia, » et rursus Apostolus : « Christus Dei potentia et Dei sapientia, » ut ex Patre qui est potentia et sapientia, genitus cogitatur, ut lux e luce, et Deus e Deo. Quo igitur impietatis non procedit, qui dixerit, Deum esse suppositum sapientiæ tanquam accidenti, neque sapientiam esse potius essentiam; neque Deum esse ut essentiam suam, ita etiam sapientiam suam, sed in eo ut in supposito tanquam artificiosam istam sapientiam in animo humano? Hoc enim facere etiam magnus Athanasius regulas et leges philosophicas veritatis secutus valde vetat, impietatis participes reddit sectam eorum secutos, qui in Deo dicant esse sapientiam ut habitum accidentem et non accidentem, neque vero ipsum esse sapientiam. Hic igitur cum sapientia sit duplex, altera creans et prima et faciens, altera creata, itemque altera excogitans, altera excogitata, dein item altera progenerans, altera effecta, sequitur ut illius quidem sit genitor et Pater Deus, hujus autem artifex et creator, et ut propterea harum sit altera essentia sempiterna et immota et immutabilis, cum oporteat esse omnino essentiam quæ universa primum moveat immotam et per se et per accidens, altera autem semper mutabilis et mobilis et semper mota secundum similes qui in creationem et essentiam et ordinem fiunt proventus eorum quæ **335** apud nos sunt, et interdum ex monade definita in multitudinis infinitatem procedat indefinitam; interdum autem ex unitate definita secundum oppositionem ad infinitatem recedat indefinitam. Generis enim cujusdam obtinere et rationis locum etiam artificiosam hanc sapientiam dixerunt veteres philosophi et theologi ; atque ut neque genus abesse potest ab iis quarum est genus formis et atomis, neque ratio quæ est essentia ab iis, quarum est ratio rebus, ita neque artificiosam sapientiam sejunctam esse a quibusque hujus formis et atomis : non magis quam superficies corporum, quas et ipsas non esse unquam per se scimus sive positis quorum sunt superficies. Omnes igitur scientiæ et artes sapientes ex hac sapientia artificiosa pendent, velut diversi radicis unius rami : et ut Deus est omnium auctor et progenitor, ita etiam hujus ex qua illi pendent. Quamobrem ibi quidem conjunctio mutua et relatio locum obtinet ut propriam vim omnino sinceram servet, cum sint ejusdem generis et id quod dividitur et ea in quæ dividitur : hic autem illa cum sint usque ad solam vocem arti-

δ' ἀναφορικὰ πρὸς ἄλληλά τέ ἐστι, καὶ τῇ μεταξὺ συνδεόμενα σχέσει ἄφετον ἔχειν οὐδαμῇ συγχωρεῖται τὴν σημασίαν. Ὥσπερ οὖν οὐσία ὁ Πατήρ, οὐσία ὁ Υἱός, οὐσία τὸ Πνεῦμα τὸ ἅγιον, οὕτως ἄρα καὶ σοφία ὁ Πατήρ, σοφία ὁ Υἱός, σοφία τὸ Πνεῦμα τὸ ἅγιον· καὶ ὁμοῦ μία σοφία ὡς μία οὐσία, καὶ οὐ τρεῖς σοφίαι ὥσπερ οὐδὲ τρεῖς οὐσίαι. Ὅταν οὖν ὁ Υἱὸς λέγῃ, « Ἐγώ εἰμι ἡ σοφία, » καὶ αὖ ὁ Ἀπόστολος, « Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, » ὡς ἐκ Πατρὸς δυνάμεως ὄντος καὶ σοφίας νοεῖται, ὥσπερ φῶς ἐκ φωτὸς καὶ Θεὸς ἐκ Θεοῦ. Ποῦ τοίνυν οὐκ ἂν ἀσεβείας ἐλαύνοι τὸν Θεὸν ὑποκεῖσθαι λέγειν τῇ σοφίᾳ καθάπερ συμβεβηκότι, καὶ μὴ εἶναι μᾶλλον τὴν σοφίαν οὐσίαν, μηδὲ τὸν Θεὸν εἶναι, ὥσπερ τὴν οὐσίαν αὐτοῦ, οὕτω καὶ τὴν σοφίαν αὐτοῦ, ἀλλ' ἐν αὐτῷ ὡς ἐν ὑποκειμένῳ, καθάπερ τὴν τεχνικὴν ταυτηνὶ σοφίαν ἐν ἀνθρωπίνῃ ψυχῇ; Τοῦτο γὰρ καὶ ὁ μέγας Ἀθανάσιος, κανόσι καὶ νόμοις ἐπιστημονικοῖς ἀληθείας ἑπόμενος, λίαν ἀπαγορεύει καὶ ἀσεβείας ἀποκληροῖ θιασώτας, περὶ τὸν Θεὸν εἶναι φάσκουσι τὴν σοφίαν ὡς ἕξιν συμβαίνουσαν καὶ ἀποσυμβαίνουσαν καὶ οὐδαμῇ γε σοφίαν αὐτόν. Διπλῆς ἐνταῦθα τοιγαροῦν τῆς σοφίας οὔσης, τῆς μὲν δημιουργικῆς τε καὶ ἀρχικῆς καὶ ποιητικῆς, τῆς δὲ δημιουργουμένης, καὶ τῆς μὲν σοφιζούσης, τῆς δὲ σοφιζομένης, καὶ τῆς μὲν γεννωμένης, τῆς δὲ ποιουμένης, ἕπεται τῆς [f. 152 r.] μὲν εἶναι γεννήτορα τὸν Θεὸν καὶ Πατέρα, τῆς δὲ ποιητὴν καὶ δημιουργὸν, καὶ εἶναι διὰ ταῦτα καὶ τούτων τὴν μὲν οὐσίαν ἀΐδιόν τε καὶ ἄτρεπτον καὶ ἀκίνητον (δεῖν γὰρ εἶναι παντάπασιν τὴν τὰ πάντα πρώτως κινοῦσαν οὐσίαν ἀκίνητον καθ' αὑτό τε ἅμα καὶ κατὰ συμβεβηκός), τὴν δ' ἀεὶ τρεπτὴν καὶ ἀλλοιωτὴν καὶ ἀεὶ κινουμένην κατὰ τὰς εἰς γένεσιν καὶ οὐσίωσιν καὶ τάξιν ἀναλόγους προόδους τῶν καθ' ἡμᾶς, καὶ νῦν μὲν ἐξ ὡρισμένης μονάδος εἰς πλήθους ἄπειρίαν ἀνιοῦσαν ἄοριστον, νῦν δ' ἐξ ὡρισμένης ὁλότητος κατ' ἀντιπεκόνθησιν πρὸς ἀπειρίαν κατιοῦσαν ἀόριστον. Γένους γάρ τινος ἐπέχειν καὶ ἰδέας τόπον καὶ τὴν τεχνικὴν ταύτην σοφίαν ἔφασσν οἱ πάλαι φιλοσοφήσαντες καὶ θεολογήσαντες. Καὶ ὡς οὔτε τὸ γένος ἀπεῖναι δυνατὸν ὧν ἐστι γένος εἰδῶν καὶ ἀτόμων, οὔτ' αὖ τὴν ἰδέαν οὖσαν οὐσίαν ὧν ἐστιν ἰδέα πραγμάτων, οὕτως οὐδὲ τὴν τεχνικὴν σοφίαν χωρὶς εἶναι τῶν καθ' ἕκαστα τούτων εἰδῶν καὶ ἀτόμων, οὐ μᾶλλόν γ' ἂν ἡ τὰ ἐν σώμασι χρώματα, ἃ καὶ αὐτὰ μὴ εἶναί ποτε καθ' αὑτὰ ἴσμεν ἄνευ ὧν ἐστιν ὑποκειμένων χρώματα. Πᾶσαι τοίνυν ἐπιστῆμαι καὶ τέχναι σοφαὶ τῆς τεχνικῆς ταύτης σοφίας ἐξήρτηνται, καθάπερ διάφορα ῥίζης μιᾶς βλαστήματα. Καὶ ἔστιν ὥσπερ τούτων ἁπάντων αἴτιος καὶ προαγωγεὺς ὁ Θεὸς, οὕτω καὶ ταύτης ἀφ' ἧς ἐκεῖνα. Διόπερ ἐκεῖ μὲν ἡ σχετικὴ συνάφεια καὶ ἀναφορὰ χώραν ἔχει τὸ οἰκεῖον ἀξίωμα παντάπασιν ἀκαπήλευτον διασώζειν. ἅτε ὄντων ὁμογενῶν ἀμφοῖν, τοῦ τε διαιρουμένου καὶ πρὸς ἃ διαιρεῖται· ἐνταῦθα δὲ μέχρι μόνης ἐνάρθρου καὶ σημαντικῆς φωνῆς αἰτιατὰ ὄντα αὐτὰ πρὸς τὸν αὐτῶν αἴτιον καὶ ποιητὴν τὴν ἀναφορὰν ἀπευθύνει. Ὥστε διαβάλλειν μὲν ἥκιστα πάντων ἐστὶ, θαυμάζειν δ' οὖν ἄξιον μάλιστα πάν-

των Μάξιμον ἐκεῖνον τὸν θεῖον τῆς εὐσεβείας διδάσκαλον, κάλλιστα πάντων ἐνταῦθα περὶ σοφίας φιλοσοφήσαντα, καὶ διελόντα σαφῶς ἑκάτερα, τήν τε σοφίαν τὴν ἄκτιστον, δι' ἧς καὶ ἐν ᾗ τὰ πάντα γέγονε, καὶ αὖ τὴν ὑπ' αὐτῆς καὶ δι' αὐτῆς συνυφανθεῖσαν καὶ συντεθεῖσαν οὐρανῷ καὶ γῇ καὶ πᾶσι τεχνικῶς τε καὶ σοφῶς τοῖς κτίσμασι, ψιλὴν καὶ ἀνυπόστατον φάμενον καθ' αὑτὴν ἐπίνοιαν. A culam et significantem effecta, ad auctorem et creatorum relationem advertunt, ita ut omnino non debeamus criminari, sed maxime **336** admirari Maximum illum divinum pietatis præceptorem, quod pulcherrime omnium hic de sapientia philosophatus est et sapienter utrumque secrevit, sapientiam nimirum increatam, qua et in qua universa facta sunt, et rursus alteram ab ea et per eam intextam et compositam cœlo et terræ et omnibus creatis artificiose et sapienter quam tenuem dicit et substantia carentem per se cogitationem.

Κθ'. Ἐπὶ δὴ τούτοις καὶ τοῖς τοιούτοις πολὺς ἐφεξῆς ὁ Γρηγορᾶς ἐρρύη κατατρέχων Παλαμᾶν τε αὐτὸν καὶ τὰς αὐτοῦ βλασφημίας, ἀλλότριον ἐπιστήμης ἀπάσης δεικνὺς τῆς τε ἡμετέρας καὶ θύραθεν. Δι' ἃ καὶ κακίας ὄργανον γεγονέναι ῥᾳδίως αὐτὸν ἐβεβαίου τε καὶ συνεπέραινε, τῆς ὀληθοῦς σοφίας B εἰσάπαξ ἀπερρωγότα καὶ ἐκτετοπισμένον. Ὅθεν ὁ βαρύστονος ἐκεῖνος καὶ ἀλιτήριος [f. 152 v.] πληγεὶς τὴν καρδίαν καὶ οἷον ἐμβρόντητος γεγονὼς ἐδόα τε ἀσελγῶς, τὰ συνήθη φύρδην καὶ συγκεχυμένως συνείρων, καὶ οἷον εἰπεῖν ἐμεμήνει τὸ κάθαρμα. Διὸ καὶ ὁ βασιλεὺς οἱονεί πως αὐτοῦ φειδόμενος, πράως καὶ μετὰ σεμνοῦ μειδιάματος στραφεὶς πρὸς τὸν Γρηγορᾶν, ἡσυχῇ πως καὶ ὅσον μὴ ἐξακούεσθαι πρὸς τὸν Παλαμᾶν, παρῄνει τε καὶ συνεβούλευε πραοτέρως ἀντιδιδόναι τοὺς λόγους αὐτῷ, μή τι καὶ πάθῃ τῶν ἀδοκήτων. Ὁ δ', « Ἔσται τοῦτο, » ἀποκρινάμενος ἐσιώπησε τοῦ λοιποῦ.

XXIX. Ad hæc et talia deinde Gregoras multas suas in Palamam ejusque blasphemias effudit insectationes, ostendendo alienum eum esse ab omni scientia et nostra et externa ; quapropter etiam pravitatis instrumentum illum factum esse facile affirmabat et concludebat, a vera sapientia semel abruptum et exsulem. Deinde miser ille et piacularis pectus pulsans et ut attonitus nimis valde clamabat, notissima indiscrete et confuse conserens, et ut ita dicam, furebat hostiæ modo. Propterea etiam rex quodammodo ei parcens et placide animoque æquo et augusto cum risu ad Gregoram conversus, leniter fere et ita ut a Palama audiri non posset, suadebat dabatque consilium, ut placidiores ei redderet sermones, ne quid inexspectatum pateretur. Qui cum, Hoc erit, respondisset, jam conticuit postea.

Λ'. Ὁ γε μὴν Παλαμᾶς τὴν ἑαυτοῦ βουλόμενος ἔτι πολυθρύλητον συνιστᾷν, τοὺς μὲν προενηνεγμένους ἐλέγχους ἐκείνους αὐτῷ καὶ τὴν κατ' αὐτοῦ χυθεῖσαν χλεύην ἐφ' οἷς προὔθετο πᾶσι τάχιστα ἐκλαθόμενος διὰ σκληρότητα καὶ ἀναλγησίαν, ὡς ἔοικε, γνώμης, ἑτέρας αὖθις εἰσῆγε λόγων προφάσεις, παραθαῤῥύνοντας ἔχων ὁποῖος αὐτὸς θιασώτας ἐκεῖ τὰ προστυγχάνοντα λέγειν ἀεί, μὴ σιωπήσας δόξῃ νικᾶσθαι τοῖς πλείστοις, οἳ τὸ νικᾶν μόνῃ δὴ τῇ πολυλογίᾳ παραμετροῦσιν. Ἰταμὸν γὰρ ἡ ἀμαθία καὶ σῴδρα τι ἀναιδὲς, καὶ φιλεῖ γε ὡς τὰ πολλὰ τὸ τῆς μαθήσεως ἐλλιπὲς θράσους ἀνασώζειν πλεονεξίᾳ, καὶ μάλισθ' ὅταν ἀμαθέσιν ἀκροαταῖς ἐντυγχάνῃ. Ἂν δὲ καὶ ἰταμοὺς ὁμοίως ἐξεπίτηδες ἐνίους ἔχῃ σπουδαστὰς, ἀσήμοις ἐπικροτοῦντας κραυγαῖς καὶ τῇ τῆς ἀκοῆς ἀντιπαταγοῦντας ἐλευθερίᾳ καὶ συγχέοντας τὸ τῆς ἀληθείας κριτήριον, ποῦ οὐκ ἂν τὸ δεινὸν D αὐθαδείας προβαίη ; Διὸ καὶ βιβλίον ἐπὶ τούτοις ἀνεφῳὼς ὁ Παλαμᾶς ἀνεγίνωσκε ῥῆσιν ἄλλο λέγουσαν εἶναι τὸν ἐνεργοῦντα καὶ ἄλλο τὸ ἐνεργητικὸν καὶ ἄλλο τὴν ἐνέργειαν καὶ ἄλλο τὸ ἐνέργημα. Εἶτα ἡρμήνευεν ἀπὸ γλώττης αὐτὸς, ἐνεργοῦντα μὲν εἶναι τὸν Θεὸν, ἐνεργητικὸν δὲ τὴν φύσιν, ἐνέργειαν δὲ τὴν ἄκτιστον αὐτοῦ θεότητα, ἄλλην οὖσαν τοῦ ἐνεργοῦντός τε καὶ κινοῦντος αὐτὴν, ἐνέργημα δὲ τὸ ἀποτέλεσμα· εἶναι δ' ἐνέργειαν καὶ ἐνεργεῖν τὸ αὐτό. Καὶ ἐπὶ τούτοις ἠρώτα τί ἂν εἴη τὸ ἐνεργεῖν οἴεσθαι ; Ἢ οὐ ταυτὸν τῷ δημιουργεῖν ; Ἆρ' οὖν κτιστὸν εἴποιμεν ἂν τὸ δημουργεῖν ἐπὶ τοῦ Θεοῦ ; Ἄπαγε τῆς ἀλογίας. Εἶθ' ἑξῆς ἄλλα ἐπ' ἄλλοις προσετίθει, δεικνὺς τὸ δημιουργεῖν ἄλλο τε καὶ διάφορον

XXX. Palamas tamen cum dogma suum multorum deorum magis confirmare **337** vellet, prolatorum argumentorum illorum et cavillationis in eum effusæ propter ea quæ omnibus proposuit, oblitus celerrime, propter rigorem et torporem ut videtur animi, alias rursus introducebat sermonum species, cum haberet incitantes ibi, qualis ipse erat, socios ad omnia semper dicenda paratos, ne si taceret plerisque vinci videretur, qui victoriam loquacitate sola metiuntur. Audax enim ignorantia est et profecto valde impudens : et amat plerumque cognitionis inopiam restituere audaciæ accessione, et maxime cum in auditores indoctos incidit. Cum autem etiam æque audaces affatim nonnullos habet asseclas, qui clamoribus crepent indistinctis et contra narrandi libertatem fremant et veritatis normam confundant, quo non progrediatur superbiæ periculum? Igitur etiam librum præterea revolvens Palamas recitabat dictum, quod ait, aliud esse efficientem, aliud efficax, et aliud efficientiam, aliud effectum. Tum ipse ex tempore interpretabatur, efficientem esse Deum, efficax naturam : efficientiam divinitatem ejus increatam quæ alia esset atque efficiens eamque movens, effectum esse perfectionem. Esse autem efficientiam et efficere unum idemque : et præterea quærebat, quid esset putandum efficere, **338** an non idem cum creando ? Tum sane creatum diceremus creare in Deo : apage stultitiam istam ! Alia deinceps aliis addebat, demonstrans creare aliud esse et diversum ab essentia

et increatum per se, simulque multa locutus est, A plurima conserens ejusdem naturæ et ordinis cum prioribus illis et mediis conviciis ejus, ne alia in aliam mutata semper et sibi repugnans esset Chalanæ novæ turris ædificata et quæcunque ad purgationem igne egebant Sodomitico. Sed Gregoras plerisque prætermissis hæc ei dixit : Si aliud est creare et increatum, secundum te, semper igitur erat, et necessario jam accidit, ut sint simul cum Creatore sempiterna quæ effecta sunt; cum enim, secundum te, semper esset Creator et semper crearet, semper igitur erat etiam mundus simul cum Creatore : id quod ineptum est et impium. Providere enim semel creatis Deus dicitur et servare secundum quam facta sunt rationem, neque vero creare; cum non indigeant accessione B operæ, quæ omnia die septimo finivit : præsertim cum efficientiam et efficere idem esse et ipse concedas; efficientia autem est motio effecta magis quam efficiens. Si enim est efficientia, ait magnus in theologia Gregorius, efficietur videlicet, neque vero efficiet : et simulatque **339** effecta est desinet. Desiit itaque τὸ creare cœlum aliud et terram aliam et solem et sidera et talia quidem, atque si desiit, etiam initium habuit omnino. Quod autem incipit et desinit quomodo idem esse potest cum eo, quod neque incipit neque desinit? non igitur creare sempiternum est simul cum Deo. Ut enim ignis natura est facultas urendi, ut Dei facultas creandi, efficientia autem est urere, quod etiam præsente eo, quod uri potest, efficere videtur, C absente autem illo etiam ustio abest, ita etiam in creante dicat aliquis : Si adest quod debeat creari locum fortasse obtinet etiam creare; si illud deest, desiit etiam creare. Deinde efficientiam hanc quæ est in creatis compositis necesse est cogitare ut motionem effectam, ut divinus ait Joannes Damascenus, quæ est etiam relatio extrema conjungens, neque sine relatis cogitari potest. Extrema autem dico efficere et effectum : motio autem est in tempore et prioris et posterioris præsentia administratur, finibus temporum et locorum subjicitur : quam quidem Deo attribuere, omnium est ineptissimum. Cogitatum enim erat factum in Deo, ipsa voluntate ad D constitutum finem transeunte : discrimen temporis aut loci ibi introducere quocunque modo cogitatione quadam omnium est ineptissimum neque **340** fieri potest. « Impetus enim consilii divini, ait Gregorius Nyssenus, cum vult res fit, et voluntas essentia afficitur, ita ut statim fiat natura, voluntas nimirum potestatis omnipotentis, quæ quodcunque sapienter et artificiose vult efficit, ut voluntas non careat substantia. » Locus enim et ratio nullo modo conspicitur, secundum Cyrillum divinum, intercedens inter creatorem et creatum : efficientiam autem in Deo demonstratum est esse ejus declarationem magnorum et mirabilium operum nobis factam : hæc autem sunt opera

τῆς οὐσίας καὶ ἄκτιστον καθ' αὑτό. Καὶ ἅμα ἐπιλυλόγησε, πλεῖστα συνείρων ὁμοφυᾶ καὶ ὁμόστοιχα τοῖς προτέροις ἐκείνοις καὶ μέσοις βλασφήμοις αὐτοῦ, ἵνα [f. 153 r.] μὴ ἀλλοπρόσαλλός τις ᾖ καὶ ἀσύμφωνος ἑαυτῷ ὁ τῆς νέας Χαλάνης πύργος οἰκοδομούμενος, καὶ ὅσα τοῦ Σοδομιτικοῦ πυρὸς ἐδεῖτο πρὸς κάθαρσιν. Ἀλλ' ὁ Γρηγορᾶς πρὸς αὐτὸν τὰ πλείω παρεὶς ἐκεῖνά φησιν· Εἰ ἄλλο τὸ δημιουργεῖν καὶ ἄκτιστον κατὰ σέ, ἀεὶ ἄρα ἦν, καὶ συμβαίνει λοιπὸν ἐξ ἀνάγκης εἶναι τῷ δημιουργῷ συναΐδια τὰ δημιουργήματα· ἀεὶ γὰρ ὄντος τοῦ δημιουργοῦ καὶ ἀεὶ δημιουργοῦντος κατὰ σέ, ἀεὶ ἄρα ἦν καὶ ὁ κόσμος ὁμοῦ τῷ δημιουργῷ. Ὅπερ ἄτοπον καὶ ἀσεβές. Προνοεῖσθαι μὲν γὰρ τῶν ἅπαξ δημιουργηθέντων ὁ Θεὸς λέγεται, καὶ συντηρεῖν καθ' ὃν γεγόνασι λόγον αὐτά, δημιουργεῖν δ' οὔ, μὴ δεομένων προσθήκης ὧν κατέπαυσεν ἔργων ἁπάντων τῇ ἑβδόμῃ ἡμέρᾳ. Ἄλλως τε καὶ ἐπειδὴ ἐνεργεῖν ταὐτὸν καὶ αὐτὸς εἶναι ὁμολογεῖς, ἔστι δ' ἡ ἐνέργεια κίνησις ἐνεργουμένη μᾶλλον ἢ ἐνεργοῦσα (εἰ γὰρ ἐνέργειά ἐστι, φησὶν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, ἐνεργηθήσεται δηλονότι, καὶ οὐκ ἐνεργήσει, καὶ ὁμοῦ τῷ ἐνεργηθῆναι παύσεται), πέπανται ἄρα τὸ δημιουργεῖν οὐρανὸν ἄλλον καὶ γῆν ἄλλην καὶ ἥλιον καὶ ἀστέρας καὶ τά γε τοιαῦτα· καὶ εἰ πέπαυται, καὶ ἦρξατο πάντως. Τὸ δ' ἀρχόμενον καὶ παυόμενον τῷ μήτε ἀρχομένῳ μήτε παυομένῳ πῶς ἂν εἴη ταυτόν; Οὐκ ἄρα τὸ δημιουργεῖν συναΐδιον τῷ Θεῷ. Ὥσπερ γὰρ τοῦ πυρὸς φύσις μέν ἐστι τὸ καυστικὸν ὡς τοῦ Θεοῦ τὸ δημιουργικόν, ἐνέργεια δὲ τὸ καίειν, ὃ καὶ παρόντος μὲν τοῦ καίεσθαι δυναμένου δοκεῖ ἐνεργεῖν, ἀπόντος δ' ἐκείνου καὶ τὸ καίειν ἄπεστιν· οὕτω κἀπὶ τοῦ δημιουργοῦντος φαίη τις ἄν, παρόντος μὲν τοῦ δημιουργεῖσθαι δεομένου χώραν ἴσως ἔχει καὶ τὸ δημιουργεῖν, ἐκείνου δ' ἀπόντος πέπαυται καὶ τὸ δημιουργεῖν. Ἔπειτα τὴν ἐνέργειαν ταύτην ἐν τοῖς συνθέτοις κτίσμασι χρὴ νοεῖν κίνησιν οὖσαν ἐνεργουμένην, ὡς ὁ θεῖος ἐκ Δαμασκοῦ φησιν Ἰωάννης. Ἥτις καὶ σχέσις ἐστὶ συνθετικὴ τῶν ἄκρων, καὶ ἄνευ τῶν σχετῶν νοεῖσθαι μὴ δυναμένη· ἄκρα δέ φημι τό τε ἐνεργοῦν καὶ τὸ ἐνεργούμενον. Ἡ δὲ κίνησις ἐν χρόνῳ τέ ἐστι καὶ τῇ τοῦ προτέρου καὶ ὑστέρου παρουσίᾳ διοικεῖται, ὅροις τοπικοῖς ὁμοῦ καὶ χρονικοῖς δουλώσασα τὴν ἐλευθερίαν. Ταύτην δ' ἀνατιθέναι Θεῷ τῶν πάντων ἐστὶν ἀτοπώτατον. Τὸ γὰρ ἐννόημα ἔργον ἦν ἐπὶ Θεοῦ, ἀμέσως τοῦ βουλήματος πρὸς τὸ κατὰ πρόθεσιν τέλος μεθισταμένου. Καὶ διάστημα χρονικὸν ἢ τοπικὸν ἐκεῖ παρεισάγειν ὀπωσοῦν ἐπινοίᾳ τινὶ τῶν πάντων ἐστὶν ἀτοπώτατον καὶ ἀδύνατον. « Ἡ γὰρ ὁρμὴ τῆς θείας προαιρέσεως, » φησὶν ὁ Νύσσης Γρηγόριος, « ὅταν ἐθέλῃ πρᾶγμα γίνεται, καὶ οὐσιοῦται τὸ βούλημα εὐθὺς φύσις γινόμενον, τῆς παντοδυνάμου ἐξουσίας, ὅπερ ἂν σοφῶς τε καὶ τεχνικῶς ἐθελήσῃ, μὴ ἀνυπόστατον ποιούσης τὸ θέλημα. » Τόπος γὰρ καὶ λόγος οὐδὲς [f. 153 v.] ὁρᾶται, κατὰ τὸν θεῖον Κύριλλον, μεταξὺ ποιητοῦ καὶ κτίσματος. Ἐνέργεια δ' ἐπὶ Θεοῦ δέδεικται εἶναι ἡ τῶν μεγάλων καὶ θαυμασίων ἔργων αὐτοῦ πρὸς

ἡμᾶς φανέρωτις. Ταῦτα δ' ἔστι ποιήματα κτιστὰ, καὶ οὐδαμῆ θεοὶ καὶ θεότητες ἄκτιστοι. Ὧν οὐδεμία τις προηγήσατο κίνησις, ἣν ἐνέργειαν σύγε εἶναι ἀναπλάττεις νῦν καὶ θεότητα προσαγορεύεις ἄκτιστον καὶ τῆς θείας οὐσίας διάφορον. Ἀνάπλασμα ἄρα σῆς διανοίας ἡ σὴ θεότης ἐστὶν, οἷον οὐδ' ἂν οἱ τοὺς τραγελάφους πλάττοντες ἐννοήσαιεν.

ΛΑ'. Πολλῆς γε μὴν ἐνστάσεως τῶν ἑκατέρωθεν γενομένης, καὶ λόγων συχνῶν κενωθέντων οἷους ὁ τῆς ἔριδος μίτος ὑφαίνει, καὶ ἅμα θορύβου μακροῦ τῶν ἀμαθῶς ἐκείνων παρασπιζόντων τῷ Παλαμᾷ περιβομβήσαντος τὰς ἡμῶν ἀκοὰς, ὡς μηδ' ἐξακούεσθαι δύνασθαί τι τῶν λεγομένων, ἀνεχαίτισε τὸν δρόμον ὁ Γρηγορᾶς ἐκείνων τῶν ἐλέγχων, ἵνα μὴ καὶ πρόφασίς τις ὑπονοῆται τῶν τοῦ Παλαμᾶ καθίστασθαι βλασφημιῶν. Παυσαμένων γὰρ τῶν ἐλέγχων φησὶ, καὶ μηκέτι τὸ ἀμαθὲς ἐρεθιζόντων ἐκείνου, παύσεσθαι καὶ τὸ πολέμιον εὐθὺς καὶ ἀντίπαλον τῆς ἐκείνου βλασφήμου γλώττης καὶ ἀπεραντολογίας. « Ἔχομεν δὲ καὶ τὴν μίμησιν εἰς τοὺς θείους, ἔφησεν, ἐκείνους φωστῆρας καὶ διδασκάλους τῆς Ἐκκλησίας ἀνενέγκειν, κατ' Εὐνομίου πάλαι ζεσμένους. Τῆς γὰρ ἐκείνου καταγνόντες ἀναλγησίας, Βασίλειος μὲν ὁ μέγας, « Ἐοίκαμεν, φησὶ, διὰ τὴν πολλὴν τῆς ἀσεβείας ἐνάργειαν ἀπορεῖν λόγων, καὶ οὐκ ἔχειν πῶς τῆς ἀλογίας αὐτῶν καθαψόμεθα, ὥστε μοι δοκοῦσί τι κερδαίνειν παρὰ τὴν ἄγνοιαν. Ὡς γὰρ τὰ μαλακὰ καὶ ὑπείκοντα τῶν σωμάτων τῷ μὴ ἔχειν ἀντέρειδειν οὐκ ἔστι γενναίαν τὴν πληγὴν ἐνεγκεῖν, οὕτως οὐδὲ τῶν προδήλων εἰς ἄνοιαν δυνατὸν ἐλέγχῳ νεανικῷ καθικέσθαι. Λείπεται οὖν σιωπῇ τὸ βδελυκτὸν αὐτῶν τῆς ἀσεβείας παραδραμεῖν. » Γρηγόριος δ' αὖθις ὁ Νυσσαέων, κατ' Εὐνομίου φερόμενος καὶ αὐτὸς καὶ τὸν αὐτὸν τὰδελφῷ σταδιοδρομῶν δίαυλον, « Καλῶς ἂν ἔχοι, φησὶ, σιωπῇ μᾶλλον τὸν λόγον βδελύξασθαι καὶ βύσαντα τὰ ὦτα φυγεῖν ἀπὸ ἀκοῆς πονηρᾶς. » Ἐπὶ τούτοις ὁ βασιλεύς τε ἀνέστη, καὶ ὁ σύλλογος διελέλυτο. Εἰ δὲ καὶ ἕτερα πλείω μεταξὺ λαληθέντα παρὰ τοῦ Παλαμᾶ, σιγῆς ὑπάρχοντα καὶ οὐ μνήμης οὐδέποτ' οὐδεμιᾶς ἄξια, σιγῇ παρεπέμφθησαν καὶ ταύτῃ τῇ διηγήσει, μεμφέσθω μηδείς· περιττὰ γὰρ καὶ ἐπιβλαβῆ [f. 104 r.] καὶ συμπεφυρμένα καὶ βλασφημίας παντοδαπῆς καὶ ποικίλης ἀνάμεστα, μᾶλλον δὲ χείρω παντάπασιν ἢ ναυτιᾷν ὄντα, οὐδ' ἀκοῆς γοῦν μικρᾶς ἠξίωνται πρὸς τοῦ Γρηγορᾶ. Διὰ τοῦτο καὶ αὐτὸς σιγῇ παραπέμπειν ἔκρινα δεῖν, δυοῖν ἕνεκα, ἵνα δηλαδὴ μήθ' ὅρια Πατέρων ὑπερβαίνωμεν, μήτε βλασφημίαις Παλαμικαῖς ἀκοαὶ καθαραὶ καταβλάπτωνται.

ΛΒ'. Εὖ γε, ὦ φίλων ἄριστε Ἀγαθόνικε. Καί σοι τῆς διηγήσεως μακρά τις κεῖσεται χάρις ἐν τοῖς τῆς ἐμῆς καρδίας θαλάμοις. Ἡδέως δ' ἂν πυθοίμην καὶ ἥτις ἡ ψῆφος ἐπὶ τούτοις εἴη τοῦ τε βασιλέως αὐτοῦ καὶ ἅμα τῆς τῶν ἐνδόξων γερουσίας ἐκείνης.

ΛΓ'. Ἀλλ' οὐδὲ ταύτην ὀκνήσω σοι, βέλτιστε Θεότιμε, διηγήσασθαι. Κατέγνωκε μὲν τῶν μακρῶν τοῦ Παλαμᾶ καὶ ποικίλων βλασφημιῶν ὁ βασιλεὺς ὁπόσα

A creata : neque vero ullo modo dii et divinitates increatæ, quibus nulla antecedit motio, quam tu quidem efficientiam esse fingis nunc et divinitatem appellas increatam et ab essentia divina diversam. Fictio igitur mentis tuæ est divinitas tua, qualem ne tragelaphos quidem fingentes excogitare possint.

XXXI. Magna quidem oppositione partis utriusque facta et verbis consumptis qualia objurgationis Filium contexit, simulque tumultu magno exorto illorum indocte adjuvantium Palamam qui aures nostras obstrepuit ita ut neque exaudiri posset quidquam dictorum, Gregoras cursum retinuit argumentorum illorum, ne species simularetur conviciorum Palamæ ut consisterent. Etenim si desinerent argumenta, ait, **341** neque jam illius ignorantiam excitarent, fore ut etiam bellum statim et oppositio illius linguæ conviciantis et loquacitatis desinerent. « Possumus etiam imitationem ad divinos, inquit, præceptores et lumina Ecclesiæ referre contra Eunomium invehentes. Cum enim illius impudentiam cognoscerent, Basilius Magnus, « Videmur, inquit, propter multam impietatis perspicuitatem verbis carere neque habere quomodo insaniam eorum tangamus, ita ut fructum capere præter ignorantiam mihi videantur. Ut enim mollia et remittentia corpora, quia resistere non possunt, justum vulnus accipere nequeunt, ita neque eos quorum ignorantia est aperta ut argumento ingenti tangamus fieri potest; relinquitur igitur, ut impietatem eorum odiosam silentio prætermittamus. » Rursus autem Gregorius Nyssenus in Eunomium invehens et ipse idemque cum fratre currens stadium, « Honestum est, inquit, silentio potius sermones odisse et auribus obturatis auditionem miseram fugere. » Ad hæc rex assurrexit et colloquium finitum est. Quodsi alia quoque plura præterea dicta a Palama, quæ silentio subjecta neque ulla unquam memoria digna sunt, etiam narratione hac silentio prætermissa sunt, nemo hoc reprehendat; supervacanea enim et noxia et **342** confusa sunt et convicii diversi et varii plena : sive potius pejora omnino nausea ne auditione quidem minima a Gregora digna habita sunt. Propterea et ipse silentio ea prætermittenda esse censui, duabus ex causis : nimirum ne fines Patrum egrederemur, neve conviciis Palamicis aures sinceræ offenderentur.

XXXII. Optime profecto, o amicorum optime Agathonice : atque narrationis istius magna tibi aderit gratia in pectoris mei spatiis : libenter autem scire volo, quale judicium sit hac in re regis ipsius simulque virorum illustrium concilii illius.

XXXIII. Verum neque hoc, Theotimo optime, tibi enarrare invidebo ; judicavit quidem rex contra magna Palamæ et varia convicia id quod

æquum erat; aperuit autem nihil ullo modo; sed mutam omnino linguam tenuit cautus duabus ex causis, primo, quia neque ipsum illum Palamam publice spectandum præbere volebat aperteque vexare, neque per eum æque Cantacuzenum, qui totus aperte ex Palamæ gratia et conditione pendebat; secundo, quia etiam tales a natura habuit mores: neque enim ad conviciandum promptam habuit linguam neque ad castigandum manum: sed mansuetum omnino ingenium continuo servat, natum, ut ita dicam, et excultum ad clementiam. Propterea igitur **343** hic quoque neque ipse coram voluit Palamam proscindere, neque alium quemquam hoc facere passus est: sed et ipse lingua tacente sententiæ suæ effatum in tempus aliud reposuit et dispensavit, et alios ut idem facerent adhortatus est. Sed Palamas nullo modo ex verisimili, sed contra ex incerto regis sententiam interpretans et fingens, diem posterum naturalibus impudentiæ turbis et impetibus temerariis et præcipitibus plano consumpsit ut taurus œstro in furorem conjectus: et totas plateas et vias circumgrediens pervertit omnia loquacitate sua et vocum inanitate replevit: et in quos incideret omnium obruebat aures glorians vana et ficta et quæcunque ex inepta illa phalange erant. Neque vero solum nullum urbis templorum Minervæ reliquit et aliter comparatarum scholarum, quin insereret circumgrediens nota et profana sectæ dogmata, sed etiam in domibus majoribus et minoribus, ne lupanaribus quidem exceptis, neque si quæ anus erant ebriæ, omnes implevit aures fœdo tumultu: mane usque ad vesperum invicem circumcurrens totoque animi impetu et pedum celeritate, et emanabat jam hoc modo per plateas impudentiæ rumor: et quibuscum propter rusticitatem versari poterat, ad eos etiam rumore accedere poterat, prudentibus **344** autem, qui ratione et amussi audita examinarent, nullis dicta probari poterant, cum minime credere possent, tam indecora convicia regis mentem fugisse. Quod cum ineptiæ tantæ sive potius perversiones falsæque criminationes, quas contra regis sententiam divulgavit Palamas impudens, regi essent nuntiatæ, simulque quæcunque contra concilium nobile fingere ille non veritus est, accidit, ut non mediocriter gravaretur. Oportebat enim Palamam præter alios et præ aliis regi gratum esse propter ejus clementiam et providentiam, qua factum est, ut non in exsilium mitteretur propter magna illa convicia: ille autem effecit, ut rex erga eum beneficus etiam in suspicionem caderet alterutrius: aut quod neque rex neque aliorum quisquam, quæ dicta essent ab impio contra pietatem, intellexisset, aut quod intelligenti contempta et neglecta essent ea quæ plurima, sive potius omni cura studioque essent digna: propter quod etiam non modo accidit, ut Palamas propter impudentes et pravos mores damnaretur, sed essent, qui adducerentur ut non solum horam, qua maxime esset

A εἰκὸς, ἐξέφηνε δ' οὐδὲν οὐδαμῇ. Ἀλλ' ἄφθογγον τὸ παράπαν τὴν γλῶτταν εἶχε τετηρηκὼς, δυοῖν ἕνεκα, ἑνὸς μὲν ὅτι οὔτ' αὐτὸν Παλαμᾶν θεατρίζειν ἐβούλετο δημοσίᾳ καὶ λυπεῖν ἐκ τοῦ προφανοῦς, οὔτ' αὖ δι' αὐτοῦ Καντακουζηνὸν, ὅλον τῇ τοῦ Παλαμᾶ περιφανῶς ἐξηρτημένον ἀγάπης καὶ σχέσεως· δευτέρου δ' ὅτι καὶ τοιοῦτον ἐκ φύσεως ἔσχε τὸν τρόπον· οὔτε γὰρ ἐς τὸ λοιδορεῖν πρόχειρον τὴν γλῶτταν οὔτ' ἐς τὸ κολάζειν ἔσχε τὴν χεῖρα, ἀλλ' ἥμερον παντάπασι τὸ ἦθος φυλάττει διηνεκῶς, αὐτοφυὲς ὡς εἰπεῖν καὶ αὐτοχάλκευτον ἔχων αὐτὸ πρὸς ἐπιείκειαν. Διὰ δὴ τοῦτο κἀνταῦθα λοιδορεῖν οὔτ' αὐτὸς ἀντικρυς βεβούληται Παλαμᾶν, οὔτ' ἄλλον οὐδένα τοῦτο δρᾷν συγκεχώρηκεν, ἀλλ' αὐτός τε σιγώσῃ γλώσσῃ τὸ τῆς γνώμης κριτήριον εἰς ἕτερον ἐτα-
B μεύσατο χρόνον, καὶ τοὺς ἄλλους τὰ ὅμοια παρῆνεσε δρᾷν. Ἀλλ' ὁ Παλαμᾶς οὐδαμῇ κατὰ τὸ εἰκὸς, ἀλλ' ἐκ διαμέτρου πρὸς τὸ ἐπισφαλὲς τῆς τοῦ βασιλέως καταστοχασάμενος· καὶ καταψευσάμενος γνώμης, τοῖς φυσικοῖς τῆς ἀναιδείας κινήμασι καὶ ταῖς ἀταμιεύτοις καὶ ἐξυβρίποις ὁλοτχερῶς ὁρμαῖς ἐδεδώκει τὴν ὑστεραίαν, καθάπερ οἰστρηλατούμενος ταῦρος. Καὶ ὅλας πλατείας καὶ ἀγυιὰς περιὼν ἀμετροεπῆς ἐκόλφα, καὶ ὅλους ἐξήντλει ῥημάτων ὄγκους. Καὶ ὅσοις ἂν ἐντύχοι, πᾶσαν κατέκλυζεν ἀκοὴν, ἐγκαυχώμενος ἀνεμιαῖα καὶ ψευδῆ καὶ ὅσα τῆς ἀτόπου φάλαγγος. Καὶ οὐ μόνον οὐδὲν τῶν τῆς πόλεως ἦν αὐτῷ παρειμένον παρθενώνων τε καὶ τῶν ἄλλως
C ἐχόντων φροντιστηρίων, οἷς ἐγκατέσπειρε διιὼν τὰ συνήθη καὶ βέβηλα τῆς αἱρέσεως δόγματα, ἀλλὰ καὶ κατ' οἴκους μείζους τε καὶ ἥττους· μέχρι τῶν χαμαιτυπείων, καὶ εἴ τινες [f. 154 v.] εἶεν κωθωνιζόμεναι γραῖες, τοῦ τοιούτου θορύβου πάσας ἐμπέπληκεν ἀκοὰς, ἔωθεν ἐς ἑσπέραν ἀμοιβαδὸν περιτρέχων ὅλῃ τε ψυχῇ προθυμίᾳ καὶ ποδῶν ὀξύτητι. Καὶ ἔρρει λοιπὸν οὕτωσι διὰ τῶν ἀγυιῶν ἡ τῆς ἀναιδείας φήμη. Καὶ οἷς μὲν ἀγροικίᾳ συνοικεῖν ἐνῆν, τούτοις καὶ τῇ φήμῃ συμφέρεσθαί πως ἐνῆν· οἷς δὲ ἐλλογίμοις οὖσι βασανίζειν ἐπῆει σὺν λόγῳ καὶ στάθμῃ τὴν ἀκοὴν, τούτων δ' οὐδαμῇ προσίεσθαι τὰ
D λεγόμενα οὐδέσιν ἐνῆν, ἥκιστα πείθεσθαι δυναμένων ὡς οὕτω παχύτητος ἔχουσαι βλασφημίαι τὴν βασιλέως διάνοιαν ἐλελήθεσαν. Καὶ μὲν δὴ τῆς τοσαύτης ἀτοπίας ἐν ἀκοῇ γενομένῳ τῷ βασιλεῖ, μᾶλλον δὲ τῆς διαβολῆς καὶ συκοφαντίας ἣν κατὰ τῆς βασιλικῆς διεσκέδασε γνώμης ὁ ἀναιδὴς Παλαμᾶς, καὶ ἅμα ὁπόσα καταψεύσασθαι καὶ τῆς εὐγενοῦς γερουσίας οὐκ ὤκνησεν, οὐ μετρίως ἀχθεσθῆναι συμπέπτωκε. Δέον γὰρ Παλαμᾶν εὐχαριστεῖν πρός γε τοῖς ἄλλοις καὶ πρό γε τῶν ἄλλων τῷ βασιλεῖ τῆς μακροθυμίας καὶ προμηθείας τοῦ μὴ ἐκκήρυκτον γεγονέναι τῶν μακρῶν ἐκείνων ἕνεκα βλασφημιῶν, ὁ δὲ καὶ δι' ὑποψίας ἐληλυθέναι πέπραχε τὸν εὐεργέτην ὁποτέρῳ δυοῖν, ἢ ὅτι μὴ συνῆκεν οὔθ' ὁ βασιλεὺς οὔτε ἄλλων οὐδεὶς τῶν τῷ ἀνοσίῳ λαληθέντων κατὰ τῆς εὐσεβείας, ἢ συνιέντι περιπεφρόνηταί τε καὶ παρεῖται τὰ πλείστης, μᾶλλον δ' ἁπάσης ἄξια φροντίδος καὶ σπουδῆς. Διὸ δὴ καὶ οὐ μόνον τοῦ ἀναιδοῦς τε καὶ ἀγεννοῦς ἤθους κατεγνῶσθαι γέγονε Παλαμᾶν, ἀλλ'

ἦσαν οἱ καὶ καταρᾶσθαι ἐξήγοντο μὴ τῇ ὥρᾳ μόνον ἐν ᾗ τετύχηκεν αὐτὸν γεγεννῆσθαι, ἀλλὰ καὶ τοῖς αὐτὸν γεννήσασι καὶ θρεψαμένοις. Ἐκ γὰρ ῥίζης, ὡς ἔοικεν, ἔλεγον, τῆς πατρῴου τὸ τοσοῦτον αὐτῷ τῆς δυσσεβείας ἐγκατέσκηψε νόσημα, καθάπερ τις ἄλλη κηλὶς ταῖς γοναῖς καὶ τροφαῖς ἐγκεκαλυμμένη· οὐ γὰρ ἂν ἐς βάθος οὕτω κακῶν ἐνέπιπτε τὸ γέννημα καὶ ἀπορρῴξ ἐρινύων φάναι τὴν γνώμην καθέστατο. Διὸ οὔτε ἐκείνους ἀθῴους ἔφασκον ἄξιον μένειν τῆς καταδίκης, αἰτίους μὲν αὐτῷ τῆς ἐς τὸν βίον γενομένους παραγωγῆς, αἰτίους δὲ τοῦ τῆς Ἐκκλησίας δι' αὐτὸν χειμῶνος, οὔτ' αὐτὸν οὐδὲν ἐξαιρεῖσθαι τῆς καταδίκης, μεσιτεύοντος ἴσως τοῦ ἀβουλήτου διὰ τὰς σπερματικὰς ἐκ γενέσεως ἀρχὰς καὶ βιαίας δυνάμεις τῆς πατρικῆς πονηρίας, ζιζανίων δίκην ἐρανισθείσας ἐκεῖθεν καὶ προκαταβληθείσας εὐθὺς ἀφ' ἑστίας ἐν τῇ συστάσει. Ἀλλ' ἑκατέροις ἑκάτεροι τῶν ἀρῶν καὶ λοιδοριῶν κοινωνήσουσί τε, καὶ ὁπόταν ὁτῳοῦν [f. 155 r.] δουλεύσειν ἀμφοτέρους ὁμοῦ τῷ αὐτῷ συμπεσεῖται, τοῖς μὲν ὡς πονηρὸν ἐξενεγκοῦσι καὶ θρέψασι τόκον τῷ βίῳ, καὶ οὐκ εἰς Κιθαιρῶνα καὶ Χάρυβδιν, καὶ εἴ πού τις ἐκ μηχανῆς καινότερος ἐταμιεύετο θάνατος ἐν χαράδραις καὶ κύμασι γῆς καὶ θαλάττης, ῥίψασιν ἔκθετον, εὐθὺς ἐκραγὲν τῆς ἀτόπου γαστρὸς, τῷ δὲ ὡς μήτ' ἀβούλητον τὴν ἐκείνων ποιησαμένῳ κακίαν, ἅτε λόγου μετασχόντι καὶ παιδείας ὁπωσοῦν, ἧς μετεῖναι τοῖς γονεῦσιν οὐ συμπέπτωκε, μήτε μηδὲν ἐπιεικέστερον οὐδενὸς διατεθέντι, εἴ τις παραπλησίως ἐκείνοις ἐνόσει, μηδὲ κωφῇ γοῦν σιωπῇ τὸ κακὸν περιθάλπειν βεβουλημένῳ, ἀλλὰ πολλῷ τῷ μέτρῳ μοχθηροτέροις δήτισι καὶ σφόδρα ἀναιδέσι λογισμοῖς παραδεδωκότι τὴν τῆς γνώμης ἡγεμονίαν. Καὶ κακοῖς κακὰ παρμίξαντι ἦθη καὶ δόγματα μακροῖς τισι διαστήμασι τὴν τε πατρῴαν παρελάσαι συνεπεπτώκει δυσσέβειαν, καὶ ἅμα ψυχαῖς εὐσεβείας ἁπλότητι συντραφείσαις θανάσιμον ἀπὸ γλώττης κεράσαι τὸ φάρμακον. Πατέρας γὰρ μέχρι τούτου τιμᾷν προαιροῖτ' ἄν τις εἰκότως, μέχρι πρὸς τὸ εὐσεβὲς τὰς τῆς τροφῆς καὶ παιδείας πηγὰς, καὶ ὅσα τοῖς ἑπομένοις ἔστι δι' ἐφέσεως καὶ ῥᾳστώνης λαμβάνειν, ὁρᾷ προϊούσας· ἐπειδὰν δὲ πρὸς κακοδαιμονίαν τὸ ῥέον ἕρπειν τοῦ χρόνου δόξῃ, τῶν πάνυ τι προσηκόντων ἀλλοτριοῦσθαι νομίζοιτ' ἄν, τῆς τοῦ καιροῦ περιστάσεως βιαζομένης τὸ φιλοῦν τῆς ψυχῆς ἐκ τοῦ συγγενοῦς κακοῦ πρὸς τἀλλότριον μετατιθέναι ἀγαθόν. Καὶ μὲν δὴ δεῆσαν αὖθις ἐληλυθότα μέρος καὶ αὐτὸν γενέσθαι τῶν ἄλλων οἷς περὶ τὸν βασιλέα τέως συνέβαινε μείζοσί τε καὶ ἥττοσι τὴν ἀξίαν, ἣν σχεδὸν τῶν ἁπάντων οὐδεὶς ᾧ μὴ λοίδορος ὥπλισται γλῶσσα κατ' αὐτοῦ, τὰς ἐναγχος βλασφημίας ἐκείνας προβαλλομένη πρὸς ἔλεγχον νῦν ὑπ' αὐτῷ μάρτυρι καὶ αὐτηκόῳ τῷ βασιλεῖ. Ἦσαν δ' οἱ καὶ μέχρι πρὸ ἐτῶν ἑπτακαίδεκα (1) τὴν μνήμην ἀναπόμπιμον ἐποιοῦντο, ἃ πάλαι δὴ καὶ δρᾶσαι καὶ παθεῖν αὐτὸν ἐξεγένετο, καὶ ἀναθέμασιν ἐγγράφοις καὶ χωρισμῷ Θεοῦ καθυ-

A natus, sed etiam eos qui eum peperissent et enutrivissent, maledicerentur. E radice enim necessario paterna dicebant in eum incidisse tantum impietatis morbum, ut macula alia natis et educatis involuta. Neque enim in profunditatem malorum natum tantopere incideret neque ita **345** constitueret mentem, ut diceretur furiarum propago. Quamobrem contendebant, neque illos liberos esse debere condemnatione, qui auctores fuissent ejus vitæ simulque tempestatis per eum contra Ecclesiam exortæ, neque quidquam illum condemnatione eximere, quasi invitus coactus esset propter seminis nati origines, et cogentes vires pravitatis paternæ lolii instar comparatas inde et statim in ipsa origine dejectas. Sed uterque cum utroque
B detestationes et convicia communicabit et accidet ut uterque simul eidem judicio subjiciatur : illi quod propaginem pravam in vitam protulissent et enutrivissent, neque in Cithæronа et Charybdin, ac si qua magis nova inventa esset mors in voraginibus et fluctibus terræ et maris statim dejecissent illud e ventre inepto proruptum : hic autem quod neque invitus illorum pravitatem secutus esset, cum rationis esset particeps et educationis, quæ parentibus non contigisset, neque nihilo melius disposuisset quam si quis illis similiter ægrotaret, neque silentio muto malum fovere voluisset, sed multo miserioribus et valde impudentibus consiliis voluntatis principatum prodidisset. Et acci-
C dit illi, cum malis malos admisceret mores et sententias ut longis intervallis paternam **346** superaret impietatem, simulque animis in pietatis simplicitate educatis mortiferum subito immisceret venenum. Patres enim usque ad hoc colere certo malit quisque, donec ad pietatem victus et educationis fontes et quæcunque sequentes cupiditate et facilitate accipere possunt, progredi videt : cum autem flumen temporis in calamitatem labi videatur, a maxime affinibus abalienari se putet, cum temporis conditio cogat animi amorem a cognato malo in bonum quanquam alienum transferre, et ipsum accedentem fieri partem deficientem. Aliorum, qui circa regem majore vel minore erant dignitate, omnium fere nemo erat, cui non esset
D comparata lingua mordax in vituperationem tunc proferens ipso teste rege et præsente contra eum convicia illa nuper ab eo dicta. Erant autem qui memoriam reminisci juberent ea quæ olim jam ante septemdecim annos fecerat et passus erat, illumque anathemate proscriptum et separationi Dei subjectum esse a patriarcharum et sacerdotum primariorum concilis. Atque ut breviter dicam, magnus erat impetus hoc die judiciorum concilii illius beati **347** apud regem adolescentem, quæ contra Palamam tum aperirent : cum alii alia dicerent et alii aliis æmularentur et alii

(1) An δυοκαίδεκα? nam synodus in Palamam coacta est anno Christi 1345 ; hæc autem disputatio videtur pertinere ad annum 1356 incuntem. Bouvinus.

aliòs cōnvĭciis majoribus superarent. Erant autem, qui eum etiam proditorem appellarent et regis ipsius et omnium, qui regi affines essent genere et gloria : et quasi hoc ad se pertineret non abstinuit, cum principatum sententiæ semel subjecisset factis et sermonibus pravis, quin omnes in universum violentæ morti daret : neque enim quod gladiis ferreis et ipse sicariorum modo aperte non usus esset, videretur summam criminationum gravitatem pati : sed quod amicitiam simulans sine ullo dolo eum amantibus totum dolose effudisset veneni craterem, priusquam qui eo allicerentur insidias animadvertissent : atque illi quidem, qui genere et gloria præstarent, ita invecti sunt in Palamam scelestum, et his judiciis eum ulti sunt. Rex autem qui et ipse silentio convicia talia contra Palamam dicta audivisset et contra eum castigationem pœnæ imperare voluisset, tamen propter innatam clementiam parcere ei voluit et judicium propter sermones et facta illius editum prolatavit : atque hac in sententia permansit, quanquam ægre ferentem **348** et gravantem vidit Palamam : neque conviciantes prohibuit ab impetu, simulque gaudium animi sui risu obscuro clam aperuit : et per multum tempus sustinuit, convicia contra Palamam dicta libenter audiens : atque hoc erat judicium aut judicii procœmium et adumbratio eruptura jam in Palamam condemnationis prolata a rege et illustribus illis viris de colloquio nuper cum Gregora instituto.

A ποβεβλῆσθαι πρὸς τῶν τότε πατριαρχῶν καὶ ἀρχιερατικῶν συνόδων. Καὶ συνελόντι φάναι, πολλή τις ἦν ἡ καταδρομὴ τῶν τήμερον ψήφων τῆς εὐδαίμονος γερουσίας ἐκείνης ἐπὶ τοῦ νέου βασιλέως, ἃς δὴ κατὰ τοῦ Παλαμᾶ τηνικαῦτα ἀπεφήναντο, ἄλλων ἄλλα λεγόντων, καὶ ἄλλων ἄλλοις ἀμιλωμένων, καὶ ἄλλων ἄλλους παριόντων τῷ τῶν λοιδοριῶν ὑπερβάλλοντι. Ἦσαν δ' οἱ καὶ προδότην αὐτὸν ἐπεκάλουν αὐτοῦ [f. 155 v.] βασιλέως καὶ ὅσοι τῷ βασιλεῖ προσήκοντες εἶεν γένει καὶ δόξῃ· καὶ ὡς τό γε ἧκον εἰς αὐτὸν οὐκ ἀπέσχετο, τὴν ἡγεμονίαν τῆς γνώμης ὑπήκοον ἄπαξ ἔργων καὶ λόγων ὁμοῦ πονηρῶν πεπραχὼς, μὴ οὐ πάντας συλλήδδην βιαίῳ θανάτῳ δοῦναι. Οὐ γὰρ ὅτι μὴ σιδηραῖς καὶ αὐτὸς κατὰ τοὺς ἀνδροφόνους ἐχρήσατο λόγχαις ἐκ τοῦ προφανοῦς, B ὑποδεδηκός τι τὸ βάρος ἔχειν δόξῃ τῶν ἐγκλημάτων, ἀλλ' ὅτι φιλίαν σχηματιζόμενος ὅλον δολερῶς ἐκένωσε τοῖς ἀδόλως φιλοῦσι τὸν τοῦ δηλητηρίου κρατῆρα, πρὶν τῆς ἐπιβουλῆς αἰσθέσθαι τοὺς πάσχοντας. Καὶ οἱ μὲν γένει καὶ δόξῃ προῦχοντες ἄνδρες ἐκεῖνοι οὕτω προσηνέχθησαν τῷ μιαρῷ Παλαμᾷ, καὶ ταύτας ἐκείνῳ τὰς κρίσεις ἀπέτισαν· ὁ δὲ βασιλεὺς καὶ αὐτὸς σιγῇ τῶν κατὰ τοῦ Παλαμᾶ τοιούτων λοιδοριῶν αὐτήκοος γεγονὼς, καὶ βουληθεὶς μέν πως τὴν τῆς ἐκδικήσεως προστεταχέναι κόλασιν κατ' αὐτοῦ, φεισάμενος δ' οὖν διὰ τὴν ἔμφυτον ἐπιείκειαν, τέως μὲν τὴν ἀπὸ γλώττης καὶ τῶν ἔργων ὑπερέθετο ψῆφον, ἐπέμενε δ' οὖν ὅμως ὑβριοπαθοῦντα ὁρῶν καὶ ἀχθόμενον Παλαμᾶν, καὶ οὔτε τοὺς λοιδοροῦντας ἀνέκοπτε τῆς ὁρμῆς, καὶ ἅμα τὸ χαῖρον ὑπέφαινε τῆς ἑαυτοῦ ψυχῆς ἀμυδροῖς τισι μειδιάμασι, καὶ διεκαρτέρησε μέχρι πολλοῦ τινος χρόνου διακούων ἡδέως τῶν κατὰ τοῦ Παλαμᾶ λοιδοριῶν. Καὶ ἦν ταῦτα ψῆφος ἢ ψήφου προαναφώνησίς τις καὶ διατύπωσις τῆς μελλούσης ἔτι κατὰ τοῦ Παλαμᾶ καταδίκης, ἐξενεχθεῖσα πρός τε τοῦ βασιλέως καὶ τῶν ἐνδόξων ἐκείνων ἀνδρῶν τῆς ἐναγχος διαλέξεως ἣν ἐποιήσατο πρὸς τὸν Γρηγοραν.

---

ΤΟΥ ΑΥΤΟΥ ΜΟΝΑΧΟΥ

# ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ

*ΠΕΡΙ ΤΩΝ ΑΥΤΩΝ*

## ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ ΔΟΓΜΑΤΙΚΟΣ.

EJUSDEM MONACHI

# NICEPHORI GREGORÆ

DE EISDEM

## SERMO SECUNDUS DOGMATICUS.

**349** I. Quæ adhuc dicta sunt a te, amicissime Agathonice, satis multum et quam equidem volebam eorum quæ quæsiveram cognitionem mihi præstiterunt. Quare gratia tibi a Deo. Sunt autem ex ibidem

C Α'. Τὰ μὲν δὴ μέχρι καὶ ἐς τόδε σοι εἰρημένα, φίλων ἄριστε Ἀγαθόνικε, δαψιλῆ μοι παρέσχον καὶ ὡς ἐγωγε ἐβουλόμην τὴν τέως τῶν ζητουμένων σύνεσιν, καὶ χάρις εἴη σοι πρὸς Θεόν· ἐλλείπεται

δ' οὖν σοι τῶν ἐκεῖ πρὸς τοῦ Παλαμᾶ λαληθέντων ἔνια, ὡς ἐνίων ἐκεῖ παρόντων ἀκήκοα φίλων, σαθρὰ μὲν καὶ πλείω τῆς ἀσεβείας τὴν ἀμαθίαν ἔχοντα, ἐλλίλειπται δ' οὖν, ῥηθῆναί σοι δέον καὶ ταῦτα πρὸς τὸ σαφέστερον ἀκούειν ἐφιεμένων ἡμῶν. Ἀνατεθολῶσθαι γὰρ ἀεὶ τὰ τῆς αὐτοῦ δυσσεβείας φασὶ, τῇ συνήθει τῆς γλώττης ἀωρίᾳ πάσης ὡς πορρωτάτω βαδίζοντος ἀληθείας καὶ ἐπιστήμης, μάλιστα δ' οὖν ἐν τούτοις, εἴτε διὰ δέος ἧς πείσεται μακρᾶς αἰσχύνης, εἴτε καὶ συμπίπτον οὕτω διὰ τὸ τῆς ἐμφύτου μοχθηρίας ἀλόγιστον ἔθος. Καὶ ἵνα τὰ πλεῖστα δι' ἀκαιρίαν παρεὶς μετρίων μνησθῶ, ἓν μὲν καὶ πρῶτον ἐκεῖνο τῶν παρειμένων φασί. Θέλων γὰρ ἑαυτὸν ἀπολύσασθαι τῆς αὐτῷ πρὸς τοῦ Γρηγορᾶ προενηνεγμένης κατηγορίας, ὡς ἐκ πολλῶν καὶ διαφόρων θεοτήτων εἴτ' οὖν ποιοτήτων συγκεῖσθαι λέγοντι τὸν Θεὸν, καὶ ἀντικρυς περιπίπτοντι τοῖς τῷ θείῳ Δαμασκηνῷ λεγομένοις, ὅτι τὸ Θεῖον ἁπλοῦν ἐστι καὶ ἀσύνθετον, τὸ δὲ ἐκ πολλῶν καὶ διαφόρων συγκείμενον σύνθετόν ἐστι καὶ [f. 165 v.] τὰ ἑξῆς, οὐ κατὰ τὴν θέσιν ἐκείνης τῆς ῥήσεως, ἀλλὰ διαφθείρας, ὡς εἴωθε, τοιάδ' ἀπεκρίνατο. Πᾶν τὸ συγκείμενον καὶ οὐσιώδεις διαφορὰς ἔχον σύνθετόν ἐστιν· ὁ δὲ Θεὸς οὔτε τῶν συγκειμένων ἐστὶν οὔτε τῶν οὐσιώδεις διαφορὰς ἐχόντων. Οὐσιώδης γάρ ἐστι διαφορὰ καθ' ἣν διαφέρει οὐσία οὐσίας, ὥστε κατὰ πλειόνων εἰδῶν καὶ οὐσιῶν εἰσιν αἱ διαφοραί. Ἐπεὶ οὖν μία καὶ ἀμερὴς παντάπασιν ἡ τοῦ Θεοῦ οὐσία, διὰ τοῦτο διαφορὰς οὐκ ἔχει οὐσιώδεις. Μίαν μὲν δὴ τῶν ἐκείνου ταύτην προτίθημί σου τῇ διηγήσει πρόφασιν ἐφεξῆς, δευτέραν δὲ τὴν Ἀθανασίου τοῦ θείου ῥῆσιν, ἣν εὐσεβεστάτην ἀναμφιβόλως οὖσαν εἰς πολυθεΐας αὐτὸς ὑπόθεσιν μετενήνοχεν. Ἔφη γὰρ ἐν τῇ πρὸς Ἄρειον διαλέξει ὡς οὐχ ἕνεκεν κτιστῶν πραγμάτων ἔφη ὁ Σωτὴρ, « Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν. » Ἀλλ' ὅσα ἀνῆκε τῇ θεότητι τοῦ Πατρὸς, ταῦτα ἴδια ἔφη ὁ Κύριος, οἷον τὸ ἄφθαρτον, τὸ ἄτρεπτον, τὸ ἀκατάληπτον, τὸ δυνατὸν, τὸ προγνωστικόν. Καὶ ὅσα ἐστὶν ὁ Πατὴρ, ταῦτα ἴδια τοῦ Υἱοῦ τυγχάνει.

A a Palama dictis nonnulla tibi relicta; ut a nonnullis qui ibidem aderant amicis audivi, inania et plus ignorantiæ quam impietatis attestantia. Restat igitur, ut hæc proferas nobis accuratius audire cupientibus. Impietatem enim dicunt mistam semper innata linguæ insulsitate quæ omnem transit veritatem et scientiam, præsertim in his rebus, sive propter ejus quam passurus est contumeliæ metum, sive accidit insitæ pravitatis temeritate. Et ut plurimis ob temporis incommoditatem relictis pauca meminerim, unum et primum relictorum illud ferunt. **350** Etenim se liberaturus probro a Gregora objecto quod multis et variis deitatibus et qualitatibus contineri Deum dixisset et contra incidisset in ea quæ a divo Damasceno dicta erant, B Deum esse simplex et incompositum; quod autem multis et variis continetur compositum est; reliqua non ad illius orationis argumentum, sed permutata ita ut solet, protulit: Quidquid continetur et essentiales varietates habet, compositum est. Deus autem non ex iis quæ continentur aut essentiales varietates habent. Essentialis enim varietas est, qua differt essentia ab essentia ita ut plures formæ et essentiæ efficiant varietates. Cum igitur una et impartita sit Dei essentia, propterea varietates non habet essentiales. Unam illius causam ad narrationis tuæ viam pono, alteram divi Athanasii orationem, quam sine dubio religiosissimam ipse in polytheismi argumentum immutavit. Dixit enim in dialogo contra Arium: Non rerum creatarum causa dixit Salvator: C «Omnia quæ Pater habet, mea sunt,» sed quæ deitati Patris attribuit, ea propria dixit Dominus, velut incorruptibile, immutabile, infinitum, omnipotens, providens, et quæcunque sunt Patris, eadem propria Filii sunt.

Β'. Πρὸς γῶν φιλίου, βέλτιστε Ἀγαθόνικε, μὴ ζημιοῦν ἄξιου με τὸν φίλον οὕτω βελτίστην ἀκρόασιν, σχήματι εὐλαβεῖ τὸ ῥᾴθυμον ὁπωσδηποτοῦν ὑποκοριζόμενος, ὡς κἂν πολλοῖς εἰώθεις ἐνίοτε δρᾷν. Ὁρῶ γάρ σε πρὸς ἕτερα τρόπον τινὰ τὸν νοῦν περισπώμενον καὶ ὅσον εἰκάσαι λογισμῶν πολυπλόκων μεστὸν τὴν ὀφρύν.

Γ'. Ἐμὸν τουτὶ πάθος, ὦ φίλε Θεότιμε, καὶ πάνυ γε ἄχθομαι τῷ συμβεβηκότι· [f. 166 r.] ἔοικα γάρ πως ἀγνοοῦντι πολλάκις καὶ οἷον οὐκ ἐπαΐοντι ὧν ἐνίοτε ὁμιλεῖν μοι προσγίνεται λήθης ἐξορχουμένης ὡς τὰ πολλὰ κατὰ τοῦ φανταστικοῦ, ὃ καὶ βιβλίον φασὶν οἱ σοφοὶ τῆς ψυχῆς. Διὸ καὶ πρὸς τὰς σὰς ἔτι διεξιόντος παρασκευαζόμενος πεύσεις, ἀνελογιζόμην τε καὶ συνῆγον ὅσα δὴ τὴν μνήμην ἔτι περιέρρει κύκλῳ, καὶ ὁπόσα ταύτης αὖ παρερρύηκει πόρρω τοῦ βήματος, ἴσως μείζοσιν ἄλλοις παραχωροῦντα· καὶ τοῦτ' ἦν ὅ μοι τὴν τοῦ ἤθους τέως ἐποίει παράλλαξιν. Ὅθεν καὶ ἄλλης ἐξ ἄλλου φαντασίας ἡμῖν ὁπωσδηποτοῦν ἀθροισθείσης πρὸς ἕδα-

**351** II. Precor, optime Agathonice, ne me amicum castiges, optimo sermone per nimiam cunctationem obiter tantum perstringendo, ut multis quibusdam aliis facere interdum soles. Nam video mentem tuam in adversam partem distractam et, D quantum conjicio, variarum plenam cogitationum frontem.

III. Hoc mihi accidisse, amicissime Theotime, moleste fero; fit enim quibus intersum ut sæpe non animadvertere neque audire videar, dum oblivio multa depellit e memoria, quam animi librum philosophi dicunt. Quamobrem ad quæstiones quas proferebas attentus, concludebam apud me et conferebam quæ per memoriam dispersa erant et quæ aliis forte et gravioribus cesserant. Hoc erat quod animum meum mutaverat. Unde cum alia nobis ex alia cogitatio, ut solet, in mentem pervenerit, licet tibi reliquum orationis momentum videre ad voluntatem tuam levem moram removentem nunc sicut antea, promptam vero aperte recipien-

tem alacritatem. Utraque in sermonibus et rebus gerendis necessaria cum sit, utramque aptis temporibus memoramus et habita ratione reputamus : motum ut quietis negationem et exstasim, quietem autem ut motionis speciem et complementum, **352** quanquam omne illius effusum et dissolutum et non finitum terminantem et finibus circumscribentem. Utrumque autem adhibendum est secundum utriusque rationem et modum. Cognoscere igitur te oportet, quam multa ejusmodi relicta sint aut oratione non digna, aut quæ comicum risum effugere non possint. Statim enim de quæstione prima a te prolata, Gregoras paucis quibusdam dictis abstitit, superfluum arbitrans indoctis omnino sermonibus e doctrina respondere conari. Ut enim, inquit, inter lumen et tenebras, ita neque inter doctrinam et inscitiam ulla societas. Ob hanc igitur rei confusionem me ejus rationis argumentum non plane percepisse valde doleo. Tamen ex iis quæ adhuc in memoria remanserunt quomodocunque potero breviter enarrabo, non quo ineptis verbis Palamæ narrationem afferam, verum quod tibi amico ægritudinem afferre nolim.

καὶ οὕτως ἔχουσαν σύγχυσιν οὐδ' ἔμοιγε ἀκριβῶς εἰληφέναι τὴν τῶν εἰρημένων ἐκείνῳ τέως ἐπὶ τούτοις κατάληψιν ἐπιμελὲς ἐγεγόνει. Σὴν δ' ὅμως χάριν ἐρῶ πῶν ἐκείνου βραχέα, καὶ ὅσα ἐς τόδε παρέμεινε τῇ διανοίᾳ μου ὁπωσδηποτοῦν ἐπιτρέχοντα, οὐ τοῖς παραλόγοις λόγοις τοῦ Παλαμᾶ τὴν ἀφήγησιν χαριζόμενος, ἀλλὰ τὴν σὴν φιλίαν λυπεῖν οὐ βουλόμενος.

IV. Gregoras ad eos qui aderant conversus et oculos intendens, « Nonne stulta, inquit, et omnino inanis hæc a Palama dicta propositio, quod omne quod continetur et essentiales varietates habet, compositum **353** sit ? Non enim hoc ita dixit Joannes Damascenus, sed, Quod multis et variis continetur, compositum est. Palamas autem ob inscitiam et perfidiam docta et pia sancti nostri oratione leviter quodammodo mutata totam simul sententiam evertit. Neque enim aliud videtur dictum ab eo esse, quam si quis dixerit omnem nivem albam, cui est essentialis albedo; hoc esse multo pejus quam ab initio postulari. Dein miram illam conclusionem addidit : Deus neque ex iis est quæ continentur, neque ex iis quæ essentiales differentias habent. Jam dicat mihi quispiam per Deum, cujusmodi sit talis mirabilis conclusio et e qua nova et recenti radice orta. Dein alienam et male comparatam alteram conclusionem comparavit. Cum enim una, inquit, et impartita omnino Dei essentia est, differentias essentiales non habet. Essentialis enim differentia est, qua differt essentia ab essentia. Et concluditur, plures formas et essentias efficere varietates. Verumtamen ei propositum fuit, eo, quod sibi objectum erat, se liberare et minime in ea quæ a sancto negata erant, incidisse, ostendere. Negat enim Damascenus dicendum esse, compositum Deum esse et multis ac variis contineri, quæ erant increatum, æternum, omnipotens, infinitum, quæ **354** Palamitæ multa et varia increata ad unam increatam et simplicem essentiam referunt. Ipse nescit in duo inepta se incidere. Neque enim

Δ'. Ὁ γάρ τοι Γρηγορᾶς πρὸς τοὺς ἐκεῖ τηνικαῦτα παρόντας στραφείς, καὶ τούτοις ἐνερείσας τοὺς ὀφθαλμούς, « Ἆρ' οὐκ ἠλίθιος, » φησί, « καὶ παντάπασι νηπιώδης ἡ οὕτω γ' εὐθὺς εἰρημένη πρότασις πρὸς τοῦ Παλαμᾶ τουτουΐ, ὡς πᾶν τὸ συγκείμενον καὶ οὐσιώδεις διαφορὰς ἔχον σύνθετόν ἐστιν ; Οὐ τοῦτο γάρ, οὐδ' οὕτως ὁ θεῖος ἐκ Δαμασκοῦ φησιν Ἰωάννης, ἀλλὰ τὸ ἐκ πολλῶν καὶ διαφόρων συγκείμενον σύνθετόν ἐστιν. Ὁ δὲ Παλαμᾶς ἐξ ἀμαθίας ἅμα καὶ κακουργίας μικρὸν ὑπαλλάξας τὴν ἐπιστημονικὴν καὶ θεοπρεπῆ ῥῆσιν τοῦ ἁγίου, ὅλην ὁμοῦ καὶ τὴν ἔννοιαν συνδιέφθαρκεν. Οὐδὲν γὰρ ἕτερον ἔοικεν εἶναι τὸ λεχθὲν ὑπ' αὐτοῦ ἢ ὥσπερ ἂν εἴ τις λέγοι πᾶσαν χιόνα λευκότητα ἔχουσαν οὐσιώδη, χιόνα εἶναι λευκήν. Τοῦτο δ' εἶναι [f. 167 r.] καὶ τοῦ ἐν ἀρχῇ αἰτεῖσθαι πολλῷ δήπου χεῖρον. Εἶτα ἐπήγαγε τὸ θαυμαστὸν ἐκεῖνο συμπέρασμα, ὡς ὁ Θεὸς οὔτε τῶν συγκειμένων ἐστὶν οὔτε τῶν οὐσιώδεις διαφορὰς ἐχόντων. Ἐνταῦθα λεγέτω μοί τις πρὸς Θεοῦ, ποίου σχήματος ὁ τοιοῦτος ἂν εἴη τερατώδης συλλογισμός, κἀκ ποίας καινοφανοῦς καὶ νεήλυδος ῥίζης ἐξέφυ. Εἶτα ἐπήγαγε ξένην αὖθις καὶ ἀκατάσκευον κατασκευὴν ἑτέρου δῆθεν συλλογισμοῦ. Ἐπεὶ γάρ, φησί, μία καὶ ἀμερὴς παντάπασιν ἡ τοῦ Θεοῦ οὐσία, διὰ τοῦτο διαφορὰς οὐκ ἔχει οὐσιώδεις. Οὐσιώδης γάρ ἐστι, φησί, διαφορὰ καθ' ἣν διαφέρει οὐσία οὐσίας. Καὶ τὸ συμπέρασμα ὅτι κατὰ πλειόνων ἄρα εἰδῶν καὶ οὐσιῶν εἰσιν αἱ διαφοραί. Καὶ μὴν τὸ προκείμενον ἦν αὐτῷ τοῦ ἐπενηνεγμένου ἑαυτὸν ἀπολύσασθαι ἐγκλήματος, καὶ δεῖξαι μηδαμῇ τοῖς τῷ ἁγίῳ περιπίπτουσι ἀπηγορευμένοις. Ἀπαγορεύει γὰρ ὁ Δαμασκηνὸς μὴ

λέγειν εἶναι σύνθετον τὸ Θεῖον, μηδ' ἐκ πολλῶν καὶ διαφόρων συγκείμενον, ἃ ἦσαν τὸ ἄκτιστον, τὸ ἄναρχον, τὸ δημιουργικόν, τὸ ἀπερίγραπτον, καὶ ὅσα δὴ πουθεν οἱ ἀμφὶ τὸν Παλαμᾶν πολλά τε καὶ διάφορα τὰ ἄκτιστα ἐπὶ τῇ μόνῃ ἀκτίστῳ καὶ ἁπλῇ συναριθμοῦσιν οὐσίᾳ. Ὁ δὲ λέληθεν ἑαυτὸν δυοῖν περιπίπτων ἀτόποις. Οὔτε γὰρ οὐδὲν πρὸς ἔπος ἔοικε λέγειν, ἀλλ' ἄλλην τρέχων ἄλλην [f. 167 v] ἐβάδισεν, οὔτε εἰ ἀντιλέγειν ἐβούλετο, τὰς ὁμόσε προσηκούσας ἀντιθέσεις ἐπήνεγκεν, ἀλλ' ὅμοιον ποιεῖ ὥσπερ ἂν εἰ τὴν πρὸς ἕω τῶν τε Αἰθιόπων καὶ Ἰνδῶν εἰπεῖν ἀπαιτούμενος οἴκησιν, ὁ δ' ἐκ διαμέτρου τοὺς ἑσπερίους ἐπειρᾶτο δεικνύειν Κελτοὺς, καὶ ὅποι τὰ Βρετανῶν προσοικοῦσιν ἔθνη. Ποῦ γὰρ ἡ ἀκόλουθος ἢ ἀντίθετος ἡ λύσις πρὸς τὸ προτεθὲν, ὅτι τὸ ἐκ πολλῶν καὶ διαφόρων συγκείμενον σύνθετόν ἐστιν, ἣν αὐτὸς ἐπάγει, λέγω δὴ τὴν ἀναπόδεικτον ἀπόδειξιν καὶ τὴν ἀκατάσκευον κατασκευὴν καὶ τὸν ἀσυλλόγιστον συλλογισμὸν, μᾶλλον δ' ἄμεσόν τε καὶ διεσπασμένον συμπέρασμα; Ἐπεὶ γὰρ, φησὶ, μία καὶ ἀμερὴς ἡ τοῦ Θεοῦ οὐσία, κατὰ πλειόνων ὅρα εἰδῶν καὶ οὐσιῶν εἰσιν αἱ διαφοραί. Ἆρ' οὐ Δημοκρίτου δεῖ τὰ τοιαῦτα, πάνυ γελῶντος τὴν τοῦ ἀνδρὸς ἀμαθίαν, ἢ μᾶλλον Ἡρακλείτου θρηνοῦντος τὴν αὐτοῦ γε ἀπόνοιαν; Τοσαύτης γὰρ ἃ λέγει τῆς ἀλογίας γέμει, ὡς μήτε τῷ λέγοντι ξυνιέντι εἶναι ὧν λέγει, μήτε τοῖς ἀκούουσι ξυνιεῖσιν ὧν ἀκούουσιν. Ἵνα γὰρ τἄλλα σιγῇ παραδράμωμεν, τίνα κοινωνίαν ἐνταῦθα ἔχει τὰ νόθα ταυτὶ καὶ διάφορα τῶν αὐτοῦ προτάσεων ἀμαθῆ συμπεράσματα πρὸς τὰς προτεθείσας ῥήσεις τοῦ ἁγίου; Ὁ δ' ἐκείνας ζητούμενος ταυτὶ συνεπέρανε, παραπαιδαγωγῶν καὶ μεθαρμόττων ἀσεβῶς εἰς τὸν οἰκεῖον τῆς ἀμαθίας κρημνόν. Βαβαὶ τῆς καινῆς ἐπιστήμης καὶ τῆς γε τῶν φρενῶν λεπτότητος! Καίτοι εἰ ἀντιλέγειν ἐβούλετο ἀντικρυς, φιλονεικότερον μὲν ἴσως, ἐλλογιμώτερον δ' οὖν, εἰ καὶ μὴ ὀρθῶς, εἶπεν ἂν καὶ αὐτὸς ἃ πολλάκις ἔνιοι τῆς [f. 168 r.] μοχθηρᾶς αὐτοῦ φατρίας προὔτειναν εἰς ἀντίθεσιν ῥήματα τοῦ ἁγίου αὐτοῦ κατὰ τῶν αὐτοῦ (δεδόχθω γὰρ ἂν, οἷς ἀσυνέτως μετιέναι ἔπεισι, ταῦτα ἀντίπαλα εἶναι ἀλλήλοις ἄλληλα), ἐκεῖνα δή φημι τὰ περὶ τῶν τοῦ Χριστοῦ δύο φύσεων τῷ ἁγίῳ λεχθέντα. Τίνα δὴ ταῦτα; Ἄνωθεν γὰρ ἀρξάμενος καὶ ἀποδείξεων ἐπιστημονικῶν καὶ θεοπρεπῶν τὸν λόγον ἐμπεπληκὼς ὁ θεῖος ἐκεῖνος Δαμασκηνὸς Ἰωάννης (1), « Εἰθ' ἑνωθεισῶν, » φησὶν, « ἀλλήλαις κατὰ ἀλήθειαν τῶν δύο φύσεων εἰς μίαν ὑπόστασιν τοῦ Υἱοῦ τοῦ Θεοῦ, σώζεσθαι αὐτῶν τὴν οὐσιώδη διαφορὰν ὁριζόμεθα. Τὸ γὰρ κτιστὸν μεμένηκε κτιστὸν καὶ τὸ ἄκτιστον ἄκτιστον, καὶ τὸ θνητὸν ἔμεινε θνητὸν καὶ τὸ ἀθάνατον ἀθάνατον, καὶ τὸ περιγραπτὸν περιγραπτὸν καὶ τὸ ἀπερίγραπτον ἀπερίγραπτον, καὶ τὸ ὁρατὸν ὁρατὸν καὶ τὸ ἀόρατον ἀόρατον. » Καὶ μετ' ὀλίγα, « Ἴσμεν γὰρ, » φησὶν, « ὥσπερ μίαν αὐτοῦ τὴν ὑπόστασιν, οὕτω καὶ τὴν τῶν φύσεων οὐσιώδη διαφορὰν σώζεσθαι. » Πῶς

ad verbum respondere videtur, sed aliam ingressus viam aliam sequitur, nec si contra dicere velit, oppositiones ad rem eamdem pertinentes affert, sed simile facit ac si ad orientem Æthiopum et Indorum quærens habitationem, ipse e contrario occidentales vellet ostendere Celtas et quæ Britanniam incolunt gentes. Quomodo enim aut consequens est aut oppositа solutio ad propositum, quod multis et variis contineatur, id esse compositum, quod ipse affert, dico argumentationem illam sine argumento, artem sine arte, irrationalem ratiocinationem, sine medio et conjunctione conclusionem? Cum enim una, inquit, et indivisa est Dei essentia, plures igitur formæ et essentiæ efficiunt varietates. Nonne talia digna Democrito qui cavillatur hominis ignorantiam, aut potius Heraclito, qui ejus amentiam deplorat? Adeo enim ea quæ loquitur stultitiæ plena sunt, ut nec qui loquitur intelligat quæ loquitur, nec qui audiunt intelligant quæ audiant. Nam ut cætera silentio prætereamus, qualem conjunctionem habent falsa et discrepantia ejus propositionum indocte conclusa ad **355** proposita. viri sancti verba? Illas enim quæsitus hæc impie in propriæ ignorantiæ voraginem seduxit transvexitque. O novam doctrinam et ingenii acrimoniam! Atqui si contra voluit dicere, forte litigiosius quidem, at doctius etsi non recte, dixisset quæ sæpe nonnulli improbæ suæ gentis in oppositionem protulerunt ipsa sancti verba, (quæ, si quis imprudenter sequi volet, utinam inter sese pugnare videantur!) dico ea quæ de Christi duabus naturis dicta a sancto sunt. Quænam illa? Inde ab initio incipiens, oratione doctis et religiosis argumentationibus intenta divus Joannes Damascenus: « Naturarum duarum, inquit, ad veritatem inter se in unam Filii Dei personam conjunctarum manere essentialem differentiam constituimus. Nam creatum mansit creatum, increatum vero increatum, mortale mansit mortale, immortale vero immortale, finitum finitum, infinitum infinitum, visibile visibile, invisibile invisibile. » Et paucis interjectis, « Scimus enim, dixit, quod ut una ejus persona, ita essentialis etiam naturarum varietas manet. » Quomodo autem maneat varietas non manentibus iis quæ varietatem **356** inter se habent? Vides, ut divus Joannes Damascenus nihil prorsus quidem contendit eorum quæ nunc in eum conferuntur? Profecto enim ipse secum pugnaret; sed iis qui talibus varietatibus contineri divinam essentiam dicunt objicit et repugnat, ne essentiales in Deo varietates esse dicant, quæ essentiam efficiant, ut in nobis, sed quæ a creatis essentiis distinguant. Divina enim essentia, una et simplex, omnis et omnimodæ varietatis imparticeps est. Nam varietas quæ dissimilitudinem habet natura factam, pluralem statim numerum involvit. Ubi numerus et multitudo est, unicæ simplicitati locus nullus est. Eodem modo etiam D. Maximus im-

(1) Δαμασκηνοῦ ἐκ τοῦ περὶ τῶν β' φύσεων τοῦ Χριστοῦ.

partitum Deum dicit et infinitum. Et alias : Omnis varietas quæ rerum inter se discrepantiam et dissimilitudinem ad qualitatis rationem explicat quantitatem rerum dissimilium secum inducit, sive essentiarum sive qualitatum, sive proprietatum. Quæ enim non omnino eadem inter se sunt, unam et eamdem essentiæ rationem non admittunt, quæ vero inter se eadem, varietatis imparticipia sunt. Nam cum simplicem antea dixit Deum, dein simplex varietatis esse omnino particeps dixit. Ideo omnino sibi idem **357** et unicum et constans, quippe quantitatis genus non habens, ergo plane non numerabile nec dissolubile.

A δὲ σωθεὶη διαφορὰ, μὴ σωζομένων τῶν τὴν διαφορὰν ἐχόντων πρὸς ἄλληλα ; Ὁρᾷς ὡς οὐκ ἀπαγορεύει Ἰωάννης ὁ θεῖος ἐκ Δαμασκοῦ οὐδ' ἐκεῖ κατ' οὐδὲν τὸ παράπαν ἃ νῦν ἐπὶ τοῦδε συντίθεται ; ἦ γὰρ ἂν ἦν αὐτὸς ἑαυτῷ μαχόμενος. Ἀλλὰ τοῖς ἐκ τῶν τοιούτων διαφορῶν συγκεῖσθαι τὴν θείαν φάσκουσιν οὐσίαν ἐπιτιμᾷ, καὶ ἀνασοβεῖ μὴ λέγειν οὐσιώδεις διαφορὰς ἐπὶ Θεοῦ, αἳ τὴν οὐσίαν συντιθέναι λέγονται ὡς ἐφ' ἡμῖν, ἀλλ' αἳ διαστέλλουσιν ἐκ τῶν κτιστῶν οὐσιῶν. Τὸ γὰρ τῆς θείας οὐσίας ἑνιαῖον παντάπασι καὶ ἁπλοῦν [f. 168 v.] πάσης καὶ παντοίας πάντη διαφορᾶς ἀνεπίδεκτον. Ἡ γὰρ διαφορὰ φυσικῶς ἑπομένην ἔχουσα τὴν ἑτερότητα, πληθυντικὴν εὐθὺς ἀριθμὸν συνεισάγει· ὅπου δ' ἀριθμὸς καὶ πλῆθος, ἁπλότης εἶναι οὐ συγχωρεῖται μοναδική· καθάπερ καὶ ὁ θεῖος Μάξιμος ἀμερές φησι τὸ Θεῖον, διότι καὶ ἄποσον. Καὶ πάλιν, Πᾶσα, φησὶ, διαφορὰ τῆς ἄλλων πρὸς ἄλλα κατὰ τὸν τοῦ πῶς εἶναι λόγον ἀνομοιότητός τε καὶ ἑτερότητος οὖσα δηλωτικὴ, τὸ ποσὸν τῶν διαφερόντων πραγμάτων συνεισάγειν ἑαυτῇ πέφυκεν, εἴτ' οὐσιῶν εἴτε ποιοτήτων εἴτ' ἰδιοτήτων· τὰ μὲν γὰρ μὴ ἀλλήλοις πάντη ταυτὰ ἕνα καὶ τὸν αὐτὸν τοῦ εἶναι οὐδαμῶς ἐπιδέχεται λόγον, τὰ δὲ πάντη ἀλλήλοις ταυτὰ διαφορᾶς ἀνεπίδεκτα. Καὶ γὰρ ἁπλοῦν ὡμολογηκὼς πρότερον εἶναι τὸ Θεῖον, εἶτα τὸ πάντη φησὶν ἁπλοῦν διαφορᾶς εἶναι ἀνεπίδεκτον· διότι καὶ πάντη ταυτὸν ἑαυτῷ καὶ μοναδικὸν καὶ ὅλον ὅλως ἄσχετον, ὡς τὸ ἐν ποσῷ γένος οὐκ ἔχον κατηγορούμενον, καὶ διὰ τοῦτο παντελῶς οὐκ ἀριθμούμενον οὐδὲ διαιρούμενον.

Ε'. Ὁρᾷς πῶς ὅπου διπλόη φύσεων καὶ ἀριθμὸς, ἐκεῖ καὶ τῆς διαφορᾶς χώραν ἐχούσης ἔστι καὶ διαίρεσις εὐθὺς καὶ μερισμὸς, ὅπου δ' ἁπλότης μοναδικὴ, ξένη τὸ παράπαν, ἐκεῖ καὶ ἀφόρητός ἐστιν ἡ διαφορὰ καὶ ὁ μερισμός ; ὥστε συλλογιστέον καὶ τὸν Δαμασκηνὸν Ἰωάννην μηδαμῆ μαχόμενον εἶναι δοκεῖν αὐτὸν ἑαυτῷ, ὅτ' ἐκεῖ μὲν λέγει τὸ ἄκτιστον καὶ ἀθάνατον καὶ τὰ τοιαῦτα μὴ εἶναι διαφορὰς οὐσιώδεις, ἐνταῦθα δὲ τὴν οὐσιώδη σώζεσθαι διαφορὰν ἐπὶ τῆς εἰς μίαν ὑπόστασιν ἑνώσεως τῶν δύο φύσεων τοῦ [f. 169 r.] Υἱοῦ τοῦ Θεοῦ, καὶ μένειν τό τε κτιστὸν κτιστὸν καὶ τὸ ἄκτιστον ἄκτιστον, καὶ ἔτι τὸ θνητὸν θνητὸν καὶ τὸ ἀθάνατον ἀθάνατον, καὶ τὰ τοιαῦτ' ὁμοίως ἅπαντα· ἀλλὰ τὸ προσῆκον ἑκατέρᾳ διδόντα διδασκαλίᾳ, σύμφωνα φθέγγεσθαι καθάπαξ ἑαυτῷ καὶ τῇ ἀληθείᾳ. Προσεκτέον δὲ καὶ τῷ θείῳ Μαξίμῳ τὸν Παλαμᾶν διὰ τῶν εἰρημένων ἀντικρυς ἐλέγχοντι, τό τε ἁπλοῦν τῆς μιᾶς ἐξωθοῦντα θεότητος, καὶ πολλὰς τὰς διαφορὰς καὶ συνθέσεις ταῖς αὐτοῦ χαριζόμενον θεότησι, μᾶλλον δ' εἰπεῖν θεαῖς καὶ θεοῖς οἰκειότερον.

Ϛ'. Ἀλλ' ἐπανακτέον τὸν λόγον. Ἐπὶ μὲν γὰρ τῶν συνθέτων ἡμῖν αἱ οὐσιώδεις διαφοραὶ διπλῆν ποιοῦσι καὶ τὴν σημασίαν. Τά τε γὰρ ὑπὸ τὸ ζῷον εἴδη συντιθέασιν εἰδοποιοῦσαι, καὶ πρός γε ἔτι τῶν ἑτεροφυῶν διαστέλλουσιν οὐσιῶν. Ἐπὶ δὲ τῆς μακαρίας ἐκείνης καὶ ἑνιαίας οὐσίας θάτερον μὲν, τὸ τῆς συνθήκης, ἀπηγορευμένον τοῖς θείοις ἑνομίσθη Πατράσι, θάτερον δὲ, τὸ τῆς ἐκ πασῶν τῶν κτιστῶν διαστολῆς οὐσιῶν, καὶ σφόδρα συνδέδοκται· ἑνωθεισῶν γὰρ ἀλλήλαις, φησὶ, τῶν δύο φύσεων εἰς μίαν ὑπόστασιν τοῦ Υἱοῦ τοῦ Θεοῦ, σώζεσθαι αὐτῶν τὴν οὐσιώδη διαφορὰν ὁρίζοντα θεότητος καὶ ἀνθρωπότητος.

Ζ'. Τί πρὸς ταῦτα φῄς, ὦ φίλε Θεότιμε ; Ἦ γὰρ οὐ λελῆθέναι δοκεῖ σοι σαφῶς ἑαυτὸν ὁ Παλαμᾶς βακχικώτερον κατὰ τοὺς μαινομένους τρόπον ταῖς θείαις Γραφαῖς προσιὼν, καὶ μεθαρμόζων ἀμούσως καὶ πόρρω θέων βαλβίδος εἰπεῖν, πῶς μὲν ἐκὼν, πῶς [f. 169 v] δ' οὐχ ἑκὼν, καὶ μηδέσι συμφωνῶν,

V. Videsne, ut ubi duplicatio naturarum et numerus est, varietati loco date, dissolutio est et partitio, ubi autem unica simplicitas, aliena et intolerabilis varietas et partitio ? Itaque concludendum est Joannem Damascenum minime secum pugnare, qui hic dicat increatum, immortale, et reliqua ejusmodi non esse varietates essentiales, illic vero essentialem remanere varietatem in duarum Filii Dei naturarum in unam personam conjunctione, et manere creatum creatum, increatum increatum, mortale mortale, immortale immortale, et ejusmodi similiter omnia. Sed cum utrique doctrinæ suum tribuat, loquitur secum et cum veritate congruentia. Sed audiendus est etiam divus Maximus ubi ob dicta refutat Palamam, quippe simplex deitatis auferentem et multas varietates et compositiones deitatibus suis aut potius deis deabusque tribuentem.

VI. Sed recipienda est oratio. Quod enim composita nostra attinet, essentiales varietates duplicem notionem efficiunt. Formas enim **358** animantium sponte formando componunt et a diversis essentiis sejungunt. Quoad autem beatam illam et unicam essentiam, altera compositio jam a SS. Patribus probata est, altera ab omnibus creatis essentiis sejunctio vehementer quadrat. Nam duarum Filii Dei naturarum inter se in unam personam conjunctarum manere ait essentialem differentiam, deitatis et humanitatis.

VII. Quid ad hæc dicis, amicissime Theotime ? Nonne tibi videtur Palamas evidenter, licet insciis, bacchico insanorum more sacras Scripturas adire et indoctas conclusiones proferre ? tum spontanee, tum non sponte, nunc cum quoquam consentiens, nunc nec cum familiaribus nec impie-

μήτε τοῖς οἰκείοις καὶ ὁμογνώμοσιν αὐτῷ τὴν δυσ- A
σέβειαν, μήτε τοῖς ἀντιθέτοις, μήθ' ἑαυτῷ; Εἰ δὲ
βούλει, μικρὸν ἀναμείνας ἀκούσῃ καὶ ἃ μεταξὺ λέ-
γων ὁ Γρηγορᾶς περὶ τῆς τοῦ Παλαμᾶ κακονοίας
συνελογίσατό τε καὶ ἀπεφήνατο. Ἐκεῖνα μὲν γάρ,
φησὶν, οὐ προσίεται, δεδιὼς τὸν αὐτόθεν κατ' αὐ-
τοῦ φυόμενον ἔλεγχον ἐκ τοῦ εὐθέος, ἅτε σύνθεσιν
αὐτὸς κατὰ τῆς θείας ἐπινοῶν καὶ λέγων οὐσίας·
ταῦτα δ' αὖ λήθης ἐκὼν παραπέμπει βυθοῖς, ἅτε
καὶ αὐτοῖς ἐναντιούμενος ἄντικρυς καὶ λέγων καὶ
γράφων. Μεμενηκέναι γὰρ ὁ ἅγιος ἔφη τὸ ἀόρατον
ἀόρατον καὶ τὸ ἀπερίγραπτον ἀπερίγραπτον, καὶ τὸ
ἄκτιστον ὁμοίως καὶ τὸ ἄπειρον, καὶ οὕτω σώζε-
σθαι σαφῶς τὴν τῶν δύο φύσεων οὐσιώδη διαφοράν·
ὁ δὲ μιγνύει τὰ ἄμικτα, φύρδην οὕτως συγχέων καὶ
ἀνακεραννὺς κακοτρόπως καὶ ἀμαθῶς. Οὔτε γὰρ τὸ B
ἀόρατον μένειν ἀόρατον δίδωσι κατὰ τὴν τοῦ ἀκτί-
στου τε καὶ ἀπείρου φύσιν καὶ ἰδιότητα, οὔτε τὸ
ἀπερίγραπτον ἀπερίγραπτον· ἀλλ' ἐν τῇ τοῦ περι-
γραπτοῦ καὶ ὁρατοῦ φύσει ταῦτα παρὰ φύσιν ὁ μά-
ταιος συνελαύνει, καὶ ἅμα τῇ τῶν κτισμάτων. Πῶς
γὰρ ἂν ἔτι δύναιτο μένειν τὸ ἄκτιστον ἄκτιστον ὁρώ-
μενόν τε καὶ περιγραφόμενον σωματικοῖς ὀφθαλμοῖς,
τὴ νοερᾷς, καὶ ταῦτα κεκαθαρμένοις, οὐδ' ὅλως
δυνάμενον; ὡς γὰρ ἡ τε ἐπιστήμη καὶ ὁ ταύτῃ ἑπόμενος
Νύσσης Γρηγόριος φάσκει, τὸ περιγεγραμμένον ἄ-
πειρον οὐ δύναται εἶναι· [f. 170 r.] ὃ δὲ μὴ ἄπειρον,
πεπερασμένον πάντως. Πεπερασμένος ἄρα ὁ διάφο-
ρος τῆς θείας οὐσίας Παλαμίτης ἄκτιστος Θεὸς καὶ
ὁμοφυὴς τῷ ἀνάρχῳ καὶ ἀκτίστῳ γίνεται Παλαμᾶ. C
Τὰ γὰρ τούτου τοῦτον ἐλέγχει γράμματα, ὡς δειχθή-
σεται ἑαυτόν τε καὶ εἴ τις βούλοιτό οἱ προσιέναι,
μενος· οὕτως εὔωνον παντάπασι τὸ τῆς ἀκτιστότητος
γέγονε χρῆμα τῷ καταράτῳ, καὶ οἷον ἂν ἐξ ἀγο-
ρᾶς τις πρίαιτο δραχμῆς.

Η'. Ἐκεῖνο δὲ πῶς ἂν τις κωφὸν παραδράμοι, τὸ,
Ἐπεὶ μία καὶ ἀμερὴς ἡ τοῦ Θεοῦ οὐσία, διὰ τοῦτο
διαφορὰς οὐκ ἔχει οὐσιώδεις; Ἐχρῆν γὰρ αὐτῷ μὴ
ἀνατρέπειν τοὺς ὅρους καὶ τοὺς ἐπιστημονικοὺς κα-
νόνας τοῦ τε αἰτίου καὶ αἰτιατοῦ, μηδ' ἀνειστρέφειν
ἀμαθῶς οὑτωσί· ἐπὶ γὰρ τῶν ἰδίων τε καὶ ἴσων ἀλ-
λήλοις τὰ τῆς ἀντιστροφῆς συγχωρεῖται, ὡς τοῦ γε-
λαστικοῦ τοῦ ἀνθρώπου καὶ τοῦ χρεμετιστικοῦ τοῦ
ἵππου, καὶ οὐκ ἔνθα τὸ μεῖζόν τε καὶ ἔλαττον ἢ τὸ
πρῶτον καὶ δεύτερον θεωρεῖται. Αἴτιον γὰρ κἀνταῦθα
καὶ πρῶτον, οὐχ ὡς ἀμαθῶς αὐτός φησι, διότι ἀμε- D
ρὴς ἡ οὐσία, διὰ τοῦτο διαφορὰς οὐκ ἔχει οὐσιώδεις·
ἀλλὰ τοὐναντίον, εἰ καὶ τοῦτο δοίη τις ἐνταῦθα, διότι
διαφορὰς οὐκ ἔχει οὐσιώδεις, διὰ τοῦτ' ἴσως ἐστὶ καὶ
ἀμερής. Καίτοι ἐχρῆν κἀνταῦθα τεχνικῶς διελόντα
πρότερον εἰπεῖν, ποτέρας τῶν οὐσιωδῶν διαφορῶν
ἐνταῦθα λαμβάνει. Τὰς μὲν γάρ φασιν εἶναι καθ' ἃς
ἄνωθεν κάτω τὰ γένη διαιρεῖται εἰς εἴδη καὶ ταῦτα
εἰς ἄτομα, [f. 170 v.] ἢ μᾶλλον εἰπεῖν τὰ ὅλα εἰς μέρη
(ὅλον γὰρ ἑκάτερον, τό τε γένος καὶ τὸ εἶδος, καὶ
ὅσα οὑτωσὶ πρὸς ἄλλα διαιρεῖται), τὰς δὲ καθ' ἃς τὰ
διαιρεθέντα εἰδοποιεῖται. Ὅμως ἐξ ἧς ἐπιφέρει γρα-
φικῆς μαρτυρίας, δῆλον ὅπως ποτὲ καὶ τοῦτο ποιεῖ,
ὅτι τὰς διαιρετικὰς καὶ ἄνωθεν ἐκ τῶν φύσει προτέ-
ρων εἰς τὸ κάτω μεριζομένας πλῆθος ὁμολογεῖ, ἄκων

tatis sociis nec cum adversariis nec cum semetipso? Si morari paulisper velis, audias quæ interim Gregoras de Palamæ stultitia conclusit et protulit. Illa quidem, inquit, non aggreditur, verens ne inde contra se statim moveatur accusatio, quod ipse in deitate compositionem cogitat et profert. Hæc vero in oblivionem sponte mittit quippe lis repugnans et dictis et scriptis. Manere enim sanctus dicit invisibile invisibile, infinitum infinitum, increatum similiter et indefinitum, et ita manere aperte duarum naturarum essentialem **359** varietatem. Ille vero miscet non miscenda, prorsus confundens et perturbans maligne et indocte. Neque enim invisibile manere invisibile concedit secundum increati et indefiniti naturam et proprietatem, neque infinitum infinitum, sed in finiti et visibilis natura hæc contra naturam stultus ille consociat cum creatorum natura. Quomodo posset increatum manere increatum et visibile et perceptibile corporeis oculis, quod ne mentalibus quidem et puris plane cerni potest? Hanc eamdem doctrinam secutus Gregorius Nyssenus dicit: Finitum immensum esse non potest. Quod vero immensum non est, determinatum omnino. Determinatus igitur ille et a divina essentia diversus Palamitarum increatus Deus æterno et increato Palamæ cognatus est. Sua enim illum convincunt scripta, ut se ipsum ostendet et si quis ad eum accedere velit, omnes plane increatos se facere posse profitens; ita venalis increationis res facta est abjecto huic homini, quasi quis emat pretio drachmæ in foro.

VIII. Quomodo quispiam temere prætereat illud, Cum una et impartita Dei essentia est, ideo essentiales differentias non habet? Oportebat **360** eum non fines excedere et doctrinæ regulas de causa et causato, neque tam indocte oppugnare. Nam in similibus et paribus transpositioni locus est, velut hominis cachinnus et equi hinnitus, nec ibi majus et minus, aut primum et alterum habent locum. Causa enim est et primum, non ut ipse indocte dicit, quod impartita essentia, idcireo varietates non habet essentiales, sed contrarium, si quis illud concedit: quod varietates non habet essentiales, ergo non impartita est. Quamquam necesse erat docte distinguentem prius dicere, utram essentialem varietatem recipiat. Esse enim dicunt, ad quas a summo ad imum genera dividentur in species, et hæ in atoma aut potius tota in partes, (totum enim utrumque, genus, species, et quæcumque inter se dividuntur) esse autem, ad quas divisa formantur. Tamen ex Scripturæ testimonio, quod affert, etiam hoc declarat, dividentes et quæ a summo priores natura sunt ad numerum infra divisarum se æquare. Temere et indocte quidem, at ita facit. Pluralem D. Maximus ait esse Deum unumquodque eorum quæ sunt præcognito eventu multiplicata, manere

impartitum unum ut solem multos radios emittentem, **361** manentem vero in unitate. Pluralem esse Deum præcognitis eventibus, hoc est, naturalibus et supernaturalibus miraculis; divisio et partitio est ad similitudinem. Assentit fraudulentus ille et Ð. Maximum calumniatur. Orationem enim in contrariam partem transfert perturbatam et eversam, de quo plura dicere et indoctum examinare et docere juvaret, sed tempus jam aptum non video. Nam rerum inde ab initio series non patitur me morari ubi propter inertem et malignam mentem non facile assequi sani quidquam possemus, ne brevissimo quidem tempore.

A μὲν καὶ ἀμαθῶς κατὰ τὸ αὐτόματον εἰπεῖν, ποιεῖ δ' οὖν. Πληθύνεσθαι γὰρ τὸ τοῦ θείου φάσκει Μαξίμου τὸν Θεὸν τὸ καθ' ἕκαστον εἰς παραγωγὴν τῶν ὄντων βουλήματα ταῖς προνοητικαῖς προόδοις πολλαπλασιαζόμενον, μένειν δ' ἀμερίστως ἕνα καθάπερ τὸν ἥλιον ἀκτῖνας πολλὰς προπέμποντα, μένοντα δ' ἐν τῇ ἑνότητι· τὸ γὰρ πληθύνεσθαι τὸν ἕνα Θεὸν ταῖς προνοητικαῖς προόδοις, τουτέστι τοῖς τε ἐγκοσμίοις καὶ ὑπερκοσμίοις θαύμασι, διαιρεῖσθαι καὶ μερίζεσθαί ἐστιν ἀναλόγως, συμμαρτυρεῖν κάνταῦθά οἱ ψευδόμενος καὶ συκοφαντῶν τὸν θειότατον Μάξιμον. Εἰς γὰρ ἕτερον τὴν ῥῆσιν μεταφέρει νοῦν, κακοτρόπως συγχυκῶν καὶ ἀναμοχλεύων. Περὶ ἧς καὶ πλείω λέγειν καὶ ἐξετάζειν καὶ διδάσκειν κάνταῦθα τὸν ἀμαθῆ βουλόμενος ἔγωγε προσήκοντα νῦν τὸν καιρὸν οὐχ ὁρῶ· ὅ τε γὰρ τῶν ἄλλων ἄνωθεν ἀνθέλκων εἰρμὸς οὐκ ἐᾷ διατρίβειν με, καὶ ἅμα πρὸς ἄτεχνόν τε καὶ κακότεχνον ψυχὴν οὐκ εἰσιέναι δύναιτ' ἂν ῥᾳδίως· οὔτε γοῦν βραχύ τι τῶν εὐλόγων μέρος [f. 171 r.] οὔτε μὴν ἐν βραχυτάτῳ μέρει χρόνου.

IX. Sed jam ad pristinam orationem redeamus. Elementalium essentiarum unaquæque unica est et primaria et impartita, et ob id ipsum non dissolubilis. Non enim specie aut numero constare ullam intelleximus, ideo elementales essentias vocamus. Essentiales tamen varietates habent in propriis suis finibus. Nihil enim eorum quæ separata sunt aut dissoluta aut partita, essentiales in se differentias habet, sed ab initio progredientem recipit definitionem compositam ex genere et componentibus varietatibus. Definientes enim hominem, non elementales et naturæ subjectas essentias perscrutando dicimus; exempli gratia, **362** quod ab Homero dictum est: « Contortus humeros, fuscus, densisque capillis, » et si tale quid ad separatas duntaxat essentias pertinet; sed animal esse rationabile et mortale, intelligentiæ et scientiæ particeps. Primis a principio naturæ elementis eum explicantes non dicimus hominem esse quod in se habeat Platonem et Socratem, has ille elementales et impartitas essentias, ut diximus, sed quod ad animalium genus et nominatas componentes varietates componitur et formatur et in definitam inducitur naturam. Palamas autem ob magnam ignorantiam adverso flumine, ut dicitur, fluvios ire cogit, ubi dicit: Cum unica et impartita sit Dei essentia, varietates non habet essentiales. Et dein: Conjunctio est probabilis et exsistentiam et positionem consequentiæ causalem afferens, quod duo illa utrinque conciliat et causam eorum involvit. Hæc dicta ita propter inscitiam turbata sunt, ut Calchante vate Homerico opus sit. Sed ne illum quidem puto obscuris his quæstionibus, si adesset, explicationem afferre posse, cum ipse, ut opinor, quæ ex sua ipsius mente protulit, solvere nequeat. Quæ enim causali ratione ponuntur, ea simili ratione solvuntur; quæ non, ea non solvuntur.

B Θ'. Ὅμως ἵν' ἐκεῖθεν ἀναλάβωμεν ἐπανιόντες αὖθις τὸν λόγον, καὶ τῶν ἀτόμων οὐσιῶν ἑκάστη μία καὶ πρώτη καὶ ἀδιαίρετός ἐστι, καὶ κατ' αὐτό γε τοῦτο καὶ ἀμερής. Οὔτε γὰρ εἶδει οὔτε ἀριθμῷ εἶναι καθ' αὑτὴν μεμαθήκαμεν οὐδεμίαν αὐτῶν· διὰ γὰρ τοῦτο καὶ ἄτομους οὐσίας φαμὲν τὰ τοιάδε· ἀλλ' οὐσιώδεις ὅμως ἔχουσι διαφορὰς ἐν τῷ οἰκείῳ ὅρῳ. Οὐδὲ γὰρ οὐδὲν οὔτε τῶν ὁριζομένων οὔτε τῶν διαιρουμένων ἢ μεριζομένων ὑφ' αὐτὸ τὰς οὐσιώδεις ἔχει διαφορὰς, ἀλλ' ἄνωθεν κατιόντα δέχεται τὸν συντιθέντα ὁρισμὸν, ἐκ γένους ὄντα καὶ συστατικῶν διαφορῶν· ὁριζόμενοι γὰρ τὸν ἄνθρωπον οὐ τὰς ἀτόμους καὶ φύσει δευτέρας οὐσίας κάτωθεν ἀνιχνεύοντες λέγομεν, φέρε εἰπεῖν ἐκεῖνο δὴ τὸ ῥηθὲν ὑφ' Ὁμήρου, « Γυρὸς ἐν ὤμοισι, μελανόχροος, C οὐλοκάρηνος, » καὶ εἴ τί που τοιονδὶ ταῖς καθ' ἕκαστα καὶ μερικαῖς συμπέπτωκεν οὐσίαις· ἀλλὰ ζῶον εἶναί φαμεν λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ἐκ τῶν ἄνωθεν καὶ φύσει πρώτων δηλοῦντες αὐτὸν, ἐπεὶ μηδὲ φαμὲν ἄνθρωπον εἶναι διὰ τὸ ἔχειν ὑφ' αὑτὸν Πλάτωνα καὶ Σωκράτην καὶ τὰς τοιαύτας, ὡς ἔφημεν, ἀτόμους οὐσίας καὶ ἀμερεῖς, ἀλλ' ὅτι διὰ τοῦ γένους τοῦ ζώου καὶ τῶν εἰρημένων συστατικῶν διαφορῶν εἰδοποιεῖται καὶ περιγράφεται καὶ εἰς ὡρισμένην καθίσταται φύσιν. Ὁ δὲ Παλαμᾶς ἐξ ἀμαθίας μακρᾶς ἄνω ποταμῶν, τὸ τῆς παροιμίας, χωρεῖν τὰς πηγὰς ἀναγκάζει, λέγων ὡς Ἐπεὶ μία καὶ ἀμερὴς ἡ τοῦ Θεοῦ οὐσία, [f. 171 v.] διὰ τοῦτο διαφορὰς οὐκ ἔχει οὐσιώδεις. D Καὶ μὴν τὸ, Ἐπεὶ σύνδεσμός ἐστι κατασκευαστικὸς, καὶ ὕπαρξιν καὶ τάξιν ἀκολουθήσεως αἰτιατικὴν δηλῶν, ἅτε συναπτικὸς τῶν ἑκατέρωθεν ἄκρων ὑπάρχων καὶ τὴν αἰτίαν ἔχων αὐτῶν. Τούτῳ δ' οὕτω δι' ἀμαθίαν ἀνατεθόλωται τὰ εἰρημένα ὡς Κάλχαντός τινος δεῖσθαι μάντεως Ὁμηρικοῦ. Ἀλλ' οὐδ' ἐκεῖνον οἶμαι δυνηθῆναι ἂν τῷ ἀνακολούθῳ τῆς θέσεως, εἰ παρῆν, τὴν λύσιν παρασχεῖν· πῶς γὰρ, ἃ μηδ' αὐτὸν λύειν οἶμαι δύνασθαι τὸν ἐξ ἰδίας γαστρὸς ἐρευγόμενον τὰ τοιάδε; Ἃ γὰρ αἰτιώδει λόγῳ τίθενται, ταῦτα δήπουθεν καὶ λόγῳ λύονται τοιῷδε, ἃ δὲ μή, ταῦτα δὴ μή.

X. **363** Videndum igitur est post primam inscitiam quæ sit secunda. Nam in eo quod est causam simul cum causato esse nescit nec sine eo

Ι'. Σκεπτέον οὖν ἂν εἴη καὶ τὴν ὑστέραν ταύτην ἀμαθίαν ἐπὶ τῇ προτέρᾳ αὐτοῦ· οὐδὲ γὰρ οἶδεν ὡς τῶν πρός τι ὂν τὸ αἴτιον ἅμα ἐστὶ τῷ αἰτιατῷ καὶ

ἄνευ αὐτοῦ νοεῖσθαι οὐκ ἔχει, ἅτε σχετικήν τινα καὶ συνδετικὴν δύναμιν ταύτην πρὸς ἄλληλα τῶν ἄκρων ἐχόντων· οἷον ὡς ἐν ὑποδείγματι βραχεῖ, πολλαχῶς λεγομένου τοῦ αἰτίου, ποιητικόν ἐστιν αἴτιον, ὡς ὁ οἰκοδόμος τοῦ οἴκου· τελικόν, ὡς ἡ σκέπη δι' ἣν ὁ οἶκος· ὑλικόν, ὡς λίθοι καὶ ξύλα ἐξ ὧν ὁ οἶκος· εἰδικόν, ὡς ἡ διατυπουμένη καὶ εἰδοποιουμένη μόρφωσις ἐν τῷ φανταστικῷ τοῦ τεχνίτου· παραδειγματικόν, ὡς ἕτερος οἶκος πρὸς ὃν ἀφορῶν ὁ τεχνίτης τὸ ἀνὰ χεῖρας ἔργον τελεῖ· φυσικόν, ὡς ὁ πατὴρ τοῦ υἱοῦ. Εἰσὶ καὶ ἀλλήλων αἴτια, ὡς τῆς εὐξίας τὸ πονεῖν καὶ τοῦ πονεῖν ἡ εὐξία. Λέγουσι δ' ἔνιοι τῶν σοφῶν καὶ τὴν τύχην κατὰ συμβεβηκὸς συναίτιον ἐνίοτε ἐν τοῖς κατὰ προαίρεσιν ἕνεκά του γινομένοις. Τοσούτων τοίνυν καὶ πλειόνων ὄντων τοῦ αἰτίου εἰδῶν, [f. 172 r.] καὶ πάντων σαφῆ τὴν πρὸς ἄλληλα κεκτημένων συνάφειαν, λεγέτω μοι παρελθὼν ἐκεῖνος ὑπὸ ποίων τούτων ἀνάγει τὴν τῶν αὐτῷ γε νῦν εἰρημένην σχέσιν. Τριῶν γὰρ τοὐλάχιστον ὅρων ἐν τοῖς συλλογισμοῖς ἀεὶ λαμβανομένων, τὴν συνδετικὴν τῶν ἄκρων ἐξ ἀνάγκης ἔχειν ὁ μέσος αἰτίαν ὀφείλει. Ἀλλ' οὐχ οὕτω καὶ τῇ τοῦ Παλαμᾶ δοκεῖ ὁμαθίᾳ· ὅμοιον γὰρ τὸ παρ' αὐτοῦ λεγόμενόν ἐστιν ὥσπερ ἂν εἴ τις ἔλεγεν ὅτι, ἐπείπερ ἡ χιὼν λευκή ἐστι, διὰ τοῦτο οὐκ ἔστιν αἰσθητικόν· ὡς γὰρ ἐνταῦθα συνάφειαν μεταξὺ σχετικὴν οὐδεμίαν ἡ λευκότης ἔχει πρὸς τὸ αἰσθητικόν, ἀναγκαίως ἐφελκομένην τὰ ἄκρα πρὸς ἑαυτήν (ἑτερογενὲς γὰρ ἑκάτερον ἑκατέρου), οὕτως οὐδ' ἐκεῖ πρὸς τὸ τῆς οὐσίας ἀμερὲς τὸ ἥκιστ' ἔχειν οὐσιώδεις διαφοράς. Ἔπειτα καὶ τὴν θείαν οὐσίαν διαφέρειν φάσκοντες τῶν τε ἐγκοσμίων καὶ ὑπερκοσμίων πασῶν οὐσιῶν, οὐδαμῇ τῷ ταύτης ἀμερεῖ ἐνοχλοῦμεν· ταύτης γὰρ τὸ ἀμερὲς οὐ κατὰ τὰς ἐν κόσμῳ ταύτας ἀτόμους ἐστὶν οὐσίας (ἠλίθιον γὰρ καὶ νοεῖν καὶ λέγειν τοῦτο), ἀλλ' ὅτι ἀσώματόν τε καὶ ἄογκον καὶ ἄναρχον καὶ ἀπερίγραπτον καὶ ὑπερούσιον καὶ πάντων ἥκιστα ὁρισμοῖς καὶ μερισμοῖς τεχνικοῖς ὑποπίπτον, πλὴν εἰ μὴ διὰ τὴν τῷ θείῳ Βασιλείῳ συγκαταβατικώτερον μέν τινα τρόπον, ἐμφιλοσόφως δ' οὖν καὶ κατ' ἐπιστήμην ἐξενηνεγμένην ἀποφαντικὴν ῥῆσιν, ὡς ἐπὶ τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν ἡ οὐσία τῇ ἐνεργείᾳ δέχεται λόγον, φαίη τις ἂν ὁριζόμενος ὡς πρᾶγμά γε [f. 172 v.] εἴη αὐθύπαρκτον ἡ οὐσία μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν. Ἐκείνῃ γὰρ μόνῃ τῇ θείᾳ καὶ ἁπλουστάτῃ φύσει τὸν τοιοῦτον προσήκειν φαμὲν ὁρισμόν, ἑτέρᾳ δ' οὐδεμιᾷ τῶν κτιστῶν ἁπασῶν. Σύνθετοι γὰρ ἅπασαι, πᾶν δὲ σύνθετον ἐκ διαφόρων ἔχει τὸ εἶναι· ὧν ἕκαστα δεῖται ἀλλήλων. Οὐκ ἂν οὖν ἀνενδεᾶ εἴη οὔτε τὰ μέρη οὔθ' ὅλον ἐξ ἐνδεῶν συμπληρούμενον. Σαφῆ γὰρ τὴν ἀπόδειξιν ἔχει τοῦ πρὶν τῆς ἑκάστων ἐκείνων προσθήκης ἐνδεᾶ εἶναι. Καὶ ἅμα ἀρχόμενον, οὐκ ἄρχον· ἡττᾶσθαι γὰρ ἀνάγκη οὗ δεῖται τὸ ἐνδεές. Ὃ δέ τι ἥττηται, τούτῳ καὶ δεδούλωται. Ὁ δὲ δοῦλον, οὐκ ἂν εἴη κύριον οὐδ' αὐθύπαρκτον. Οὐκ ἄρα, πλὴν μόνης τῆς θείας οὐσίας, τῶν ἄλλων οὐδεμιᾷ τὸ κυρίως ἁρμόττει αὐθύπαρκτον. Οὐσιῶν γὰρ πεποιωμένων

A posse cogitari, quod copulativam et conjunctivam vim inter se summa illa habent. Addamus breve exemplum, cum sæpe causa addatur, causa efficiens est, ut domus architectus; finis, tutela propter quam ædes ædificata est; materia, lapides et ligna quibus exstructa; figura, forma in artificis animo concepta et ficta; exemplar, aliud ædificium ad cujus exemplar artifex id quod in manibus habet perficit; naturale, ut pater filii. Sunt enim sibi invicem causalia, ut sanitati insanitas et insanitati sanitas. Nonnulli docti casu causalem interdum dicunt in rebus consilio quodam rei alicujus causa factis. Cum igitur plures sint causæ formæ quæ omnes apertam inter se conjunctionem habent, dicat mihi ille, sub quas redigat dictorum suorum rationem. Tres B enim ad minimum fines in conclusionibus cum semper admittantur, conjunctionum summorum causam habere medius necessario debet. Non vero ita Palamæ inscitiæ placet. Nam, quod dicit, simile est ac si quis dixerit: Quod nix alba est, ergo non est sensibilis. Ut enim albedo **364** conjunctionem quæ summa illa per se ad sensum trahat nullam habet, diversum enim utrumque, ita neque ad essentialiter impartitum esse spectat minime habere essentiales varietates. Dein divinam essentiam differre dicentes ab naturalibus et supernaturalibus omnibus essentiis, ejusdem impartitum minime premimus. Impartitum est non secundum has in mundo elementales essentias (stultum est C hoc cogitare aut dicere), sed quod incorporeum et immateriale et æternum et indefinitum et supersubstantiale et nullis omnino finibus et artis divisionibus obnoxium est. Nisi propter explicationem D. Basilii ad philosophiam et doctrinam magis accommodatam, in simplici et incorporea natura essentiam eamdem vi sua definitionem accipere, quispiam definiturus dixerit, essentiam esse rem per se exsistentem, non altero ad exsistentiam opus habentem. Soli enim divinæ illi et simplicissimæ naturæ talem esse definitionem dicimus, alteri omnium creatorum nulli. Compositæ enim omnes. Omne autem compositum ex variis habet esse, alterum altero indiget. Non igitur non indigæ sunt partes, nec totum ex indigis compositum. Apertum D enim argumentum habet, se antea omnium illorum accessionis fuisse indigum et simul incœptum, **365** non incipiens. Inferius enim esse necesse est id quo indigum indiget. Ut inferius fit, ita in servitutem venit. Quod servit, non est proprium sui, nec per se exsistens. Non igitur præter unam divinam essentiam, aliarum ulli est per se exsistentia. Essentiarum enim qualitate præditarum creatorem esse Deum D. Maximus declaravit, et natura ipsa docet perceptionibus mentem adjuvantibus. Una enim, inquit, et simplex et non indigens et immobilis creatrix universi essentia sanctæ Trinitatis. Omnis autem creatura composita est ex essentia et qualitate. Omnis qualitas est essentiæ omnino subjecta, in qua cernitur et dicitur, mini-

me per se habens exsistentiam. Ideo sine qualitatibus cuique aptis nullam licet essentiam invenire, quæ possit exsistere in mundo. Exempli gratia, si quis abstulerit, non re dicam, quod fieri nequit, verum cogitatione, lapidis aut nivis insitas qualitates, albedinem, frigus, humorem, tale quiddam, esset relictum omnino nihil. Nihil autem per se quomodo exsistat? Quod in similibus ubique essentiis idem invenies.

εἶναι ποιητὴν τὸν Θεὸν ὁ θεῖός τε ἀπεφήνατο Μάξιμος, καὶ ἡ φύσις αὐτὴ διδάσκαλος ταῖς συνέσει διαφερούσαις αἰσθήσεσι γίνεται. Μόνη γάρ, φησιν, ἁπλῆ καὶ ἀνενδεὴς καὶ ἄτρεπτος ἡ δημιουργικὴ τῶν ὅλων οὐσία τῆς ἁγίας Τριάδος. Πᾶσα δὲ κτίσις σύνθετός ἐστιν ἐξ οὐσίας καὶ ποιότητος. Πᾶσα δὲ ποιότης ὑποκειμένης πάντως οὐσίας ἐστί, περὶ ἣν καὶ θεωρεῖται καὶ λέγεται, τὸ καθ' αὑτὴν εἶναι οὐδαμῶς ἔχουσα. Διὸ καὶ δίχα ποιοτήτων ἀναλόγων ἑκάστοις οὐκ ἔστιν εὑρεῖν οὐδεμίαν οὐσίαν ὑφίστασθαι δυναμένην ἐν κόσμῳ. Οἷον ὡς ἐπὶ ὑποδείγματος, εἴ τις ἀφέλοι, ἐνεργείᾳ μὲν οὐκ ἂν φαίην (ἀδύνατον γὰρ τοῦτο), ἐπινοίᾳ δ' οὖν ὅμως, λίθου τινὸς, ἢ μᾶλλον εἰπεῖν, τὰς τῆς χιόνος ἐμφύτους ποιότητας, τήν τε λευκότητα δηλαδὴ καὶ ψυχρότητα καὶ [f. 175 r.] ὑγρότητα καὶ εἴ τι τοιοῦτον, εἶναι τὸ λειπόμενον πάντως οὐδέν. Ὃ δ' οὐδὲν καθ' αὑτὸ, πῶς αὐθύπαρκτον; Καὶ ἐπὶ τῶν ὄντων εὑρήσεις ἁπάντων ὁμοίως ἀεὶ καὶ πασῶν οὐσιῶν τοῦτο.

XI. Potes igitur, amicissime Theotime, in paucis videre Palamæ irregulares et ab omni regula remotas regulas et infirma fundamenta et **366** normam styli, ut ita dicam, Lesbiaci male normalem, conclusiones dico ineptas quas propter inscitiam ex abjecto insanæ mentis ærario ille depromit, et quemadmodum maculis multis et pravis implevit puram et sanam religionem, effusa, ut sapientis Sophoclis verbo utar, inepta in ipsam lingua Neque enim liberum illato opprobrio se subducere potuit et magnam ignorantiam sibi sociam propalam ostendit et majorem hæreseos stultitiam. Propterea recte audit quæ non vult, non recte enuntians quæ vult, non modo quod profanus et irreligiosus, verum etiam quod temere profanus et irreligiosus est et omnes irreligiosos nimia impietate exsuperat et nefandum honorem accumulatis ad immensum pravis facinoribus sibi conciliat. Atque de prima tibi proposita quæstione satis dictum est. De altera, D. Athanasii dicto, ita respondit Gregoras, ut testimoniis e Scriptura depromptis rem probaret et, quæ ex priore quæstione relicta erant, adderet. Scis enim, amicissime Theotime, in colloquio ad Arium dixisse Athanasium : Non creatarum rerum causa dixit Salvator: « Omnia quæ Pater habet mea sunt, » sed quæcunque deitati Patris attribuit, ea propria dixit Dominus; verbi gratia, **367** incorruptibile, immutabile, incomprehensibile, omnipotens, providens; quæcunque sunt Pater, ea propria Filii sunt. Ibidem Gregoras magnum ait Athanasium plurali dictioni illa, non creatarum rerum causa, negare non solum creata esse, sed etiam res esse. Si vero negationi positionem non addidit, hoc minime mirum. Dicit enim et magnus theologus Gregorius, esse multa quæ sic negative dicuntur, non positive, velut: Non ex mensura Deus Spiritum tribuit; non enim tribuit ponderatum, non mensuratur apud Deum Deus. Atque ita refellit aperte eos qui multas res et simul increata putant Deo digna et multa nomina. Non enim, inquit, multarum rerum causa dixit Salvator illa omnia. Impossibile enim est non esse creata, quæ multa sunt et plurali numero dicuntur. Una autem est divina natura, scilicet sanctæ Trinitatis. Et unum, non multa quod sæpe supra a nobis argumentis e Scriptura sumptis probatum

ΙΑ'. Ἔχεις τοίνυν, ὦ φίλε Θεότιμε, διὰ βραχέων ὁρᾷν τοὺς ἀκανονίστους καὶ πόρρω παντὸς κανόνος κανόνες τοῦ Παλαμᾶ, καὶ τὰς ἀκαθέκτους καθέτους, καὶ τὴν ἀστάθμητον, ἵν' οὕτως εἴπω, στάθμην τῆς Λεσβίας οἰκοδομῆς, τοὺς ἀσυλλογίστους λέγω συλλογισμούς, ὁποίους δι' ἀμαθίαν πονηρῶν ἐξεμεῖ θησαυρῶν τῆς ἀτόπου γαστρὸς ἐκεῖνος, καὶ ὅπως κηλίδων μακρῶν καὶ ἀκαίρων ἐμπέπληκεν, οὖσαν ἀνενδεᾶ τε καὶ ὑγιαίνουσαν, τὴν εὐσέβειαν ὁ ταλαίπωρος, μάτην ἐχέας κατὰ τὸν σοφὸν Σοφοκλέα τὴν ἄτοπον γλῶτταν αὐτοῦ κατ' αὐτῆς. Οὔτε γὰρ ἐλεύθερον ἑαυτὸν τῆς ἐπενηνεγμένης αὐτῷ κατηγορίας φυλάξαι δεδύνηται, καὶ ἅμα φανερὸν ἐπεπράχει πολλῇ μὲν συζῶντα τῇ ἀμαθίᾳ, πλείονι δὲ τῇ τῆς αἱρέσεως κακοδοξίᾳ. Διόπερ ἀκούει δικαίως ἃ μὴ βεβούληται, φράσας ἀδίκως ὅσα βεβούληται, οὐ μόνον ὅτι βέβηλος καὶ δυσσεβὴς, ἀλλ' ὅτι γε καὶ προῖκα βέβηλος καὶ δυσσεβὴς, καὶ πάντας δυσσεβεῖς τοῖς ἄγαν βεβήλοις νικῶν, καὶ πρεσβεῖον κακόδαιμον εἰς μοχθηρῶν πραγμάτων ὑπερβολὴν ἐκτινυὺς ἑαυτῷ. Καὶ περὶ μὲν τοῦ πρώτου σοι προτεθέντος ζητήματος ἀπόχρη τὰ εἰρημένα· περί γε μὴν τοῦ δευτέρου, τῆς Ἀθανασίου λέγω τοῦ θείου [f. 137 v.] ῥήσεως, οὐτωσί πως ἀπήντησεν αὖθις ὁ Γρηγορᾶς, ἐπεξεργαζόμενος μὲν αὐτῷ διὰ μαρτυριῶν γραφικῶν, ἅμα δ' ἀναπληρῶν καὶ τὰ ἐνδέοντα τῷ προτέρῳ ζητήματι. Οἶσθα γάρ, ὦ φίλε Θεότιμε, ἐν τῇ πρὸς Ἄρειον διαλέξει φάσκοντα Ἀθανάσιον ὡς οὐχ ἕνεκεν κτιστῶν πραγμάτων ἔφη ὁ Σωτὴρ, « Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν, » ἀλλ' ὅσα ἀνῆκε τῇ θεότητι τοῦ Πατρὸς, ταῦτα ἴδια ἔφη ὁ Κύριος, οἷον τὸ ἄφθαρτον, τὸ ἄτρεπτον, τὸ ἀκατάληπτον, τὸ δυνατὸν, τὸ προγνωστικὸν καὶ ὅσα ἐστὶν ὁ Πατὴρ, ταῦτα ἴδια τοῦ Υἱοῦ τυγχάνει. Ἐνταῦθα τοίνυν ὁ Γρηγορᾶς τὸν μέγαν ἔφασκεν Ἀθανάσιον διὰ τῆς πληθυντικῆς ἀπαγορεύσεως, τῆς οὐχ ἕνεκεν κτιστῶν πραγμάτων, ἀναιρεῖν μὴ ὅτι οὐ κτιστὰ, ἀλλ' ὅτι οὐδὲ πράγματα. Εἰ δὲ μὴ καὶ τὴν θέσιν τῇ ἀρνήσει ἐπήνεγκεν, ἥκιστα τοῦτο καινόν. Φησὶ γὰρ καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος εἶναι πολλὰ τῶν οὕτω λεγομένων, ἀρνητικῶς μὲν, οὐ θετικῶς δέ· ὡς τὸ, « Οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα. » Οὔτε γὰρ δίδωσιν οὔτε μεμετρημένον· οὐ γὰρ μετρεῖται παρὰ Θεοῦ Θεός. Καὶ οὕτως εὐθὺς ἀναιρεῖ προφανῶς ἐκείνους οἳ πολλά τε πράγματα

καὶ ἅμα ἄπειστα οἴονται τὰ θεοπρεπῆ τε καὶ κατὰ A
τὴν προφορὰν πολλὰ τῶν ὀνομάτων· Οὐχ ἕνεκεν
γὰρ, φησὶ, πραγμάτων πολλῶν ἔφη ὁ Σωτὴρ ἐκεῖνα
τὰ πάντα. Ἀδύνατον γὰρ μὴ κτιστὰ εἶναι, ἃ πολλά
τέ ἐστι καὶ πληθυντικῶς λέγεται. Μονὰς γὰρ ἡ
θεία φύσις εἴτουν ἡ ἁγία Τριὰς, καὶ ἓν καὶ οὐ
πολλὰ, ὡς πολλάκις ἡμῖν ἀνωτέρω διὰ γραφικῶν
συνεπεράνθη δείξεων. Φησὶ γὰρ καὶ ὁ θεῖος ἐκ
Δαμασκοῦ Ἰωάννης, [f. 174 r] ὡς εἰ πολλοὺς ἐροῦμεν θεοὺς, ἀνάγκη διαφορὰν ἐν τοῖς πολλοῖς θεωρεῖσθαι. Εἰ δ' οὐδεμία διαφορὰ ἐν αὐτοῖς, εἷς μᾶλλον καὶ οὐ πολλοί. Οὐ γὰρ ἂν διέφερον ἀλλήλων τὰ διαφέροντα κατὰ τὸν θεῖον Μάξιμον, εἰ μὴ τῶν λόγων οἷς γεγόνασιν ἐχόντων διαφοράν· οὔτε γὰρ τὸ τέλειον οὔτε τὸ ἄπειρον οὔτε τὸ ἀπερίγραπτον ἐν τοῖς πολλοῖς φυλάττεσθαι δύναται.

est. Dicit etiam D. Joannes Damascenus: Si multos deos appellaremus, necesse esset ut varietas inter multos cerneretur. Si nulla inter eos differentia est, unus est, non multi. Non enim differrent inter se quæ differunt apud D. Maximum, nisi causæ quibus nati sunt, haberent **368** varietatem. Nec enim perfectum nec immensum nec indefinitum in multis servari potest.

ΙΒ'. Ὁρᾷς πῶς, ὅπου διαφορᾶς ὁ λόγος ἔννοιαν παρεισάγει, ἕπεται μὲν εὐθὺς τὸ πλῆθος, ἐλαύνεται δὲ τὸ ἓν μετὰ τοῦ τελείου καὶ ἀπείρου καὶ ἀπερι- B
D ea composuerant et in primis pro sancto viro Theodoro, Grapti nomine, in quem homo protervus ille et doctrinæ omnis violator sævierat. Sed cum in pejus verti blasphemorum arrogantiam et mentem illorum et furibundam linguam omnem verecundiam deponere videret, surrexit repente et abiit. Maluit enim loco cedere quam audire quæ magis etiam insolentia, et pati aliquid ab iis improviso, retibus irretitus instar avium cœlestium quæ libertatis in aere et a natura sibi datæ oblitæ in retia ruunt voluntariæ et huc illuc temere volitantes semet ipsæ irretiunt cæcæ prius quam senserint et animadverterint et observarint quæ ipsis imminerent pericula.

Η'. Ὁ μὲν οὖν Γρηγορᾶς τοιαῦτα εἰπὼν καὶ οὑτωσὶ προοιμιασάμενος, ἔπειτα μακροὺς ἐπὶ τούτοις διεξῆλθε λόγους, ἐλέγχων μὲν τὰ φρυγανώδη καὶ νέα τῶν ἀντιθέτων δόγματα, καὶ ταῖς ἀναμφιλέκτοις ἀποδείξεσι βάλλων κατὰ σκοπὸν ὡς ἀπὸ εὐκύκλου τόξου καὶ στερροῦ, ὑπερμαχῶν δὲ ὧν θείων τῆς Ἐκκλησίας δογμάτων, καὶ ὅσοι ταυτὶ καλῶς συνέθεντο θεῖοι Πατέρες, καὶ μάλιστα πάντων τοῦ θείου ἐκείνου ἀνδρὸς, Θεοδώρου φημὶ τοῦ Γραπτοῦ, εἰς ὃν ὁ Ὀρασὺς ἐκεῖνος καὶ πόῤῥω παιδείας ἁπάσης βαδίζων ἐξύβρισεν ἄνθρωπος. Ἐπεὶ δ' ἐπὶ τὸ χεῖρον ἐκραγεῖσαν ἤδη τὴν τῆς βλασφημίας εἶδεν ὑπερβολὴν, καὶ ἅμα θυμοῦ καὶ μανιώδους γλώττης οὐ πόῤῥω τὸ ἦθος ἐκείνων, ἀνέστη τε εὐθὺς καὶ ἀπῆει, χαίρειν φράσας αὐτοῖς πρὶν καὶ παραβολώτερόν τι ἀκοῦσαι καὶ παθεῖν ὑπὸ σφῶν παρὰ προσδοκίαν ὡς ἐν δικτύῳ μόνος περικλεισθεὶς, τοῖς αἰθερίοις παρὰ πλησίους πτηνοῖς, οἳ τὴν αἰθέριον ἐκείνην καὶ φυσικὴν ἐλευθερίαν ἀφέμενοι πρὸς δίκτυα καὶ βρόχους αὐτομολοῦσιν ἐθέλονται, σχεδίῳ καὶ φαντασιώδει πλάνῃ ἑαυτοὺς ἐμπίπτοντες δι' ἁπλότητα, πρὶν εἰσθέσθαι τε καὶ σκέψασθαι, καὶ πρὶν μαθεῖν ἃ χρὴ παθεῖν.

Θ'. Ἐξιών γε μὴν ἐκεῖθεν ἐνετύγχανε παρὰ τὴν A
δὸν σποράδην ἄλλοτ' ἄλλοις τῆς Παλαμικῆς φα-
τρίας, ἐπὶ τὸ τοῦ Καντακουζηνοῦ βαδίζουσι φρον-
τιστήριον, ὑπ' ἐκείνου πρὸ τῶν ἑωθινῶν αὐτῶν δι'
ἀποστόλων κρυφίως κληθεῖσι πρὸς διαλεκτικὴν
σύνοδον πάλαι μελετηθεῖσαν κατὰ τοῦ Γρηγορᾶ,
ἐπαγγελίας προειληφόσιν ἐκεῖθεν παρ' αὐτῷ τὴν
ἡμέραν ἐκείνην διατελέσειν ἅπασαν. Ἐθαύμαζον
οὖν ἐκεῖνοι παρὰ προσδοκίαν αὐτὸν ἀπιόντα ὁρῶν-
τες ἀρτίως τὸν Γρηγορᾶν, τοῦ ἡλίου τὰς πρω.νὰς
ἀνύοντος ἔτι πορείας. Καὶ τοίνυν ἔνιοι τούτων κα-
τόπιν δραμόντες ἠρώτων τῆς οὕτω ταχείας ἐπανό-
δου τὴν αἰτίαν. Ἀρξαμένου δ' ἐκείνου καθ' ἕκαστα
διηγεῖσθαι, ἔρως κατέσχεν αὐτοὺς ἕπεσθαί τε καὶ
ἀντιλέγειν ὅσα εἰδέναι σφίσιν ἐπῆει τῇ κοινότητι τῆς
φατρίας ὁμόλογα καὶ ὁμόστοιχα. Ἐπεὶ δὲ καὶ παρὰ B
τὴν οἰκίαν ἤδη τῷ Γρηγορᾷ συνεληλύθεσαν, τὸ
συνεχὲς ἐκείνης τῆς διαλέξεως πλατυτέρᾳ γλώττῃ
διήνυον, καὶ τὴν νόσον τῆς δυσσεβείας εἰς προῦπτον
ἐξῆγον. Καὶ ἦν ἰδεῖν τῆς νόσου χαλεπώτερον τὸ
νοσεῖν ἐφίεσθαι. Ἃ γὰρ ἤδεσαν, οὐ καλῶς ἤδεσαν,
καὶ ἃ προὔφερον, ἀπὴν αὐτῶν ἡ σὺν εὐκοσμίᾳ
πρόοδος. Τῶν γὰρ βιβλίων ἀνοιγομένων εὐθὺς ἃ
πάλαι τοῖς Θείοις Πατράσιν ἐκτέθειται, ἠναγκασμέ-
νης τέχνης θεῖσθαι τὴν ἀλήθειαν οὐκ ἔτι ἐνῆν· αὐ-
τόματος γὰρ ἐκ τοῦ ῥᾴστου πρὸς φῶς ἐβάδιζεν ὁ
τοῦ ψεύδους ἔλεγχος. Οἷς οὖν ἀνέλεγκτα ψεύδεσθαι
ᾖδιστον, τοιούτοις [f. 160 r.] ἀψευδῶς ἐλέγχεσθαι
ἐχθιστόν τε καὶ Ὀλυμπίων ἁπάντων βαρύτερον.
Δυσανασχετοῦντες ἐδόων παγγλωσσίᾳ κόρακες ὡς C
κατὰ Πίνδαρον, ἵνα μὴ λέγω δίκην κολοιῶν ἀσήμοις
κραυγαῖς παταγούντων καὶ ὁμιχλώδη τινὰ τὸν ἀέρα
τῇ ἀκοῇ καὶ πάνυ τι δύσχρον παρασκευαζόντων. Ἃ
πάντα κατ' ἐμαυτὸν ἀνακυκλῶν καὶ ἀνελίττων ἐγὼ,
καὶ διευθύνειν καὶ ἀναφέρειν ἐθέλων εἰς τὸν εἰρμὸν
ἐκεῖνον καὶ συνάπτειν εἰς ἓν τὰς ἐκδρομὰς καὶ
ἀναστροφὰς ἐκείνας καὶ ἀναλήψεις τῶν καθ' ἕκαστα
ἐπιχειρημάτων τε καὶ ἐργασιῶν, καὶ ὅσαι κατ' ἐνστασιν ὑποφοραὶ καὶ ἀνθυποφοραὶ καὶ λύσεις ἐξ
ἀνάγκης ἔπονται τούτοισι, λίαν ἐργῶδες ὁρῶ καὶ ἀναχωρῶ πρὸς ἐμαυτὸν, τὸ τῆς σιωπῆς ἀσπαζόμενος
ἄπραγμόν τε καὶ ἀνεπίφθονον.

IX. Itaque cum abiisset, ipsa in via passim singulos viros offendit e familia Palamitarum, qui ad Cantacuzeni monasterium pergebant, ab illo jam ante primam lucem per præcones clam advocati ad synodum dialecticam quæ jam multo ante in Gregoram decreta erat. Hi jussi erant totum diem illum in cella manere. Quare stupuerunt cum præter opinionem abire viderent Gregoram tempore quo sol **391** primas luces pandebat. Jam nonnulli obviam ei procedentes rogabant cur tam repente abiisset. Hic igitur cum cœpisset enarrare singula, desiderium eos invasit longius sequendi eum et opponendi quæcunque sociorum sententiis convenientia et communia sciebant; et cum præter domum jam comitati essent Gregoram, sermonem ejus supra modum mutabant et impietatis pestem sic palam proferebant, etiam quod peste pejus conspicuum erat in pestem arripi libenter sese patiebantur. Quæ autem sciebant non bene sciebant; et quæ afferebant ab omni decore aliena erant. Neque Scripturarum quæ olim a sanctis Patribus exposita sunt veritas defensione non amplius egebat; nam sponte facillime in lucem prodiit fraudis opprobrium. Quibus verissima in fraudem vertere jucundissimum, iis simpliciter reprehendi odiosissimum et omnibus Olympis molestius est. Hi igitur subirati clamabant ut Pindari corvi multilingues, ne dicam ut graculi qui dissonis clamoribus strepitum edunt et aures vehementer perstringunt. Quare si cuncta animo volutare et explicare et ordinare et referre volo ad ordinem et comprehendere in unum sermonum deverticula et flexiones illas et tentamina observationesque ad singula institutas et quæ in concertationibus in contrariam partem afferri solent et exponi, id **392** mihi nimis difficile fit et recipio me in silentii otium et tranquillitatem.

Γ'. Μή μοι τοιαῦτα λέγε καὶ πρότεινε, φίλων ἄριστε Πρωταγόρα. Μίαν γὰρ οὐδεμίαν οὐδετέρῳ φέρει τὴν ὄνησιν τὰ τῆς σιωπῆς. Ἐμοί τε γὰρ ἐπιεικῶς ἀφόρητον τὴν ζημίαν κομίζει, καὶ ὅσοι λίχνον κατ' ἐμὲ περὶ τὰ βελτίω τὴν ἀκοὴν ἐξέθρεψαν. Σοὶ δ' ὅσον ἀπειλεῖ τῆς ψυχῆς τὸ πρᾶγμα τὸν κίνδυνον, αὐτός τ' ἂν εἰδείης ἐξετάσει καὶ βασάνῳ τελεωτέρᾳ διδοὺς, καὶ ἅμα συλλογιζόμενος πῶς μὲν τῶν ἀντιθέτων αἰσχυνεῖς τὰς γλώττας λέξας τὰ καίρια, πῶς δὲ τῶν ἡμετέρων ἐπιῤῥώσεις τὰ; φρένας, ἀμφιῤῥεπεῖς ἐνίων ἐνιαχοῦ γινομένας δι' ὀλιγομαθίαν ἴσως· οὐ γὰρ ἂν ποτε φαίην κἀγὼ κατ' ἐνίους τὴν νόσον καλοῦντας ἀγκυρῶν ὀρφανήν τινα οἴησιν, εὐχερῶς ἐφ' ἑκάτερα ταλαντευομένην, ὁλκάσι παραπλησίως, ἃς ταραχώδεις ἀγκάλαι θαλάττης ἀπολαβοῦσαι νυκτὸς ἀλιμένους ἀκταῖς καὶ χωρίοις ἐπέῤῥιψαν. Ἔπειτα οὐδὲ φορτικός τις ἐγώ σοι φανοῦμαι, πάντα καθ' ἕκαστα λέγειν ἐκεῖνα καὶ ἀπαρέλλακτα σήμερον τὴν ἀνάμνησιν ἐπάγων·

X. Noli hæc dicere mihi et obtrudere, charissime Protagora. Nam neutri nostrum ulla utilitas e silentio evadet. Mihi quidem intolerabile damnum afferet unaque iis quorum aures rerum optimarum curiosæ sunt. Tibi vero quantum res periculum minitaretur videres facile si rem penitius et melius inquireres et reputares quomodo adversariorum linguam mutam redderes argumentis electis gravioribus, et quomodo animos nostros confirmaturus esses cum nonnulli jam titubent propter rerum ignorantiam; ne dicam ut nonnulli morbum vocant opinionem ancoris orbatam et modo huc modo illuc fluctuantem instar navium quæ remulco trahuntur; quas maris turbidi fluctus abripiunt noctu et in proximas oras et continentem projiciunt. Sed tibi ne molestus videar nolo te singula omnia mihi narrare, continuam hodie rerum memoriam excitando. Nam secundum oraculum, nimium nunquam desidero et quibus semper interesse eos ne

animum amplectantur momento. Age igitur, solve linguæ retinacula, passis velis currum institue, tu qui aures offendis attentas, quæ fundamentum solidum præbent eo **393** quod narrationem vehementer desiderant. Id etiam optimum incitamentum apparet si amicitiæ gratia lingua cum voluptate vult loqui et narrationis vim summam consequi.

γλώττῃ σύν γε προθυμίᾳ λέγειν ἐθελούσῃ τε καὶ στάται.

XI. Jam ego qui sæpe, charissime Cleodeme, vim tui sermonis et rationes verissimas admiratus sum nunc potius quam antea paucis ad persuasionem res tibi exponam. Nolo enim dolorem facere cui servire me oportet. Proferam autem e multis pauca et quæ necessaria sunt usui et huic tempori. Idque ad utilitatem tuam facio et eorum qui una tecum audire hæc cupiant. Sed si ex tua et sociorum tuorum voluntate orationem omni ornatu denudo et simplicem reddo; quo sane Gregoræ auctoritas elevabitur et mea qualiscunque est cognata ratio et disciplina; hinc concludere tibi licet, qualem et quantam intimo in animo meo amicitiam erga te habeam. Si vero narratio voluntati non convenerit, noli mihi irasci. Nam in his ut in aliis multis dominatur fortuna, quæ res inter se diversas et dissidentes tenet; in illis autem quæ animum benevolum et in cœptis maturum reddunt, omnia tanquam trutina certa et divina examinata sunt.

ἁπλῆς γάρ τινος ἀφηγήσεως ἀκροατὴς καὶ ἀπεριέργως γενέσθαι ἐρίεμαι, κατὰ τὸ ἐν Πυθοῖ λόγιον, τοῦ ἄγαν αὐτός τε ἀεὶ φειδόμενος, καὶ οἷς ἀεὶ ξύνειμι φείδεσθαι παραινῶν. Φέρε τοι νῦν τὰ τῆς γλώττης πρυμνήσια λύσας, εὐρυτέραις ὀθόναις δίδου τὸν πλοῦν, ἀκοαῖς χαιρούσαις ἐντυχών, κρηπῖδα στερρὰν ὑποβαλλομέναις τὸν τῶν λεχθησομένων πόθον. Ὃ δὴ κράτιστον ὁρμητήριον εἰς ἅγαλμα φιλοτιμίας πρὸς τὰ ἐρῥωμένα τῆς διηγήσεως ἀφορώσῃ καθίσταται.

ΙΑ'. Ἐγὼ δέ σε τῆς τῶν λόγων οἰκονομίας καὶ τῆς τῶν τρόπων χρηστότητος πολλάκις θαυμάσας, ὦ φίλε Κλεόδημε, νῦν μᾶλλον ἢ πρότερον τὴν εἰς βραχὺ συνωθουμένην σοι τῶν λόγων ἄγαμαι πειθώ. Ταῦτ' ἄρα καὶ μὴ λυπεῖν ἐθέλων ὃν θεραπεύειν εἱλόμην σέ, ἐρῶ μὲν, μέτρια δ' ἐκ πολλῶν, καὶ ὅσα ἀναγκαῖα τῇ χρείᾳ καὶ τῷ καιρῷ, σῆς τε ὠφελείας ἕνεκα καὶ ἅμα τῶν σοι παραπλησίως αἱρουμένων ἀκούειν ταυτί. Εἰ δὲ κάλλους ἐκείνου γυμνώσας τὴν φράσιν παντὸς διά τε σὲ καὶ ὅσοι κατὰ σὲ, ἐστενωμένην καὶ ἁπλουστέραν προθείην σοι τὴν ἀφήγησιν, ἀναξίως μὲν τῆς τῷ Γρηγορᾷ καθηκούσης δόξης παντάπασι δρῶν, ἀναξίως δ' εἴ τις εἴη κἀμοὶ σύντροφος γνώμη τε καὶ παιδεία, ὥρα σοι ἐννοεῖν τίνα ποτὲ καὶ ὅσην τὴν σὴν ἐν τοῖς τῆς ἐμῆς καρδίας τεθησαύρισμαι [f. 160 v.] κόλποις φιλίαν. Εἰ δὲ καὶ μὴ οὐ κατὰ τὸν σὸν ἅπαντῴη σκοπὸν ὁ λόγος, σὲ δ' ἀνεμέσητον ἐμοὶ τὴν πρόθεσιν τῆς ψυχῆς σου φυλάττειν χρεών. Τὸ μὲν γὰρ ὑπὸ τύχης ὡς τὰ πολλὰ τυραννεῖσθαι συμβαίνει, ἄλλοτ' ἄλλα κεκτημένης καὶ ἀσύμφωνα τὰ ἐφόδια· τὸ δὲ, ἀλλὰ καὶ τοῦτο μόνην τὴν προθεσμίαν καὶ πρώτην κίνησιν τῆς ψυχῆς ὡς ἐπὶ πλάστιγγος ἁρρεποῦς τε καὶ θεοπρεποῦς τελαντεύεσθαι ἀξιοῖ.

**394** XII. De cæteris igitur rebus quas te opus erat audire jam audivisti me narrantem ab initio hucusque quantum fieri potuit. Jam si de miraculis in Thabore monte dicere coner, vereor ne in aliorum argumentis proferendis statim ante portas laquei mihi ponantur et quotquot sunt impietatis nequitiæ. Scio quidem secundum veras rei naturæ rationes nullam in re exsistere difficultatem: nam facile est sanctorum testimoniis quæ veritatem invincibilem continent niti et sic e difficultatibus nos expedire. Sed ut insidiatores quidam duo in via utrimque proruunt repente ante pedes nostros et ex improviso et ex latebris tenebricosis et continuo vexant nos et ex quiete volunt excitare. Volunt enim disserere de Dei essentia et natura et fines justos transilire, quare nos a Patribus silentium tenere et a theologicis disputationibus abstinere jubemur; et quæ indoctis auribus audiunt sana ut ridicula habent, neque quidquam ipsorum opinionibus melius ducunt et ex arbitrio judicium faciunt prorsus insana mente et lingua. Quæ omnia mihi magnum faciunt periculum, non solum animæ meæ cujus pretium nihil toto mundo exæquat, ut sacra Scriptura dicit, sed etiam doctrinæ nostræ et cautioni in hujusmodi rebus necessariæ. Neutrum enim **395** viris qui tuti et otiosi vivere volunt convenit. Quare nequaquam, amice Cleodeme, in animo vol-

ΙΒ'. Περὶ μὲν οὖν τῶν ἄλλων ὅσα σοι ἐχρῆν ἀκοῦσαι, διεξεληλυθότος ἐμοῦ γε ἀκήκοας ἄνωθεν ἄχρι καὶ ἐς δεῦρο τὸν ἐφικτόν γε τρόπον· περί γε μὴν τῶν ἐν Θαβωρίῳ τῷ ὄρει πάλαι θαυματουργηθέντων εἰ λέγειν ἐπιχειροίην, πολλή μοί τις ξενοδοχεῖν ἀπειλεῖ δυσχέρεια, εὐθὺς πρὸ πυλῶν τὰς ἑαυτῆς ἐφαπλοῦσα παγίδας καὶ ὅσα δήπου τὰ τῆς κακίας ἔνεδρα. Οὐχ ὅτι κατὰ τοὺς ὀρθοὺς τῆς φύσεως λόγους προσεῖναι τῇ ὑποθέσει συμπίπτει δυσχερές· καὶ πάνυ τι γάρ ἐστι ῥᾴδιον τὰς τῶν ἁγίων ἡμῖν προκομίσασι μαρτυρίας, δυσαντίβλεπτον ἐχούσας τἀληθὲς, ἀπαλλάχθαι πραγμάτων. Ἀλλ' οἱονεί τινες ἑαυτοὺς προλοχίσαντες ἡμῖν εὐθὺς ὁδοστάται δύο τινὲς πρὸ ποδῶν ἑτέρωθέν ποθεν, ἐξ ἀπροσδοκήτου τινὸς καὶ ζοφώδους χαράδρας, ἐξαίφνης ἐπιδραμόντες τό τε ἀνήνυτον ἐπισείουσι καὶ τὸ ἄπραγμον ἰσχυρῶς ἀφαιρεῖν ἐπαγγέλλονται. Τό τε γὰρ περὶ Θεοῦ λέγειν οὐσίας καὶ φύσεως, καὶ ὅρια κινεῖν διὰ τοῦτο Πατέρων σιγῆς μὲν ἔχεσθαι προτρεπομένων, ἐνταῦθα θεολογίας δ' ἀπέχεσθαι, καὶ τό γε πρὸς ἰδιώτιδας ἐξάγειν ἀκοὰς τὰ τοιάδε, γέλωτα ἡγουμένας τὰ τίμια καὶ μηδὲν τοῦ κενοδοξεῖν ὑπέρτερον τιθεμένας μηδὲ τοῦ τὰ ἐκ κοιλίας ἀνέδην λαλεῖν, καὶ κριτήριον αὔθαδες ποιεῖσθαι τὸ τῆς ἀμαθοῦς διανοίας καὶ γλώττης πάνυ τι ἀταμίευτον, ταῦτα δ' ἔμοιγε πολὺν ὑπισχνεῖται τὸν κίνδυνον, μὴ ὅτι γε τῆς ψυχῆς, ἧς μηδὲν τὸν πάντα κόσμον ἀντάξιον

εἶναι τὰ θεῖά φησι παραγγέλματα, ἀλλὰ καὶ τῆς ἡμῖν συντρόφου παιδείας καὶ εὐλαβείας ἐν τοῖς τοιούτοις· μηδὲ γὰρ εἶναι μηδέτερον ἀνδρῶν ἀσφαλῶς τε καὶ ἀπραγμόνως ζῆν αἱρουμένων. Ἥκιστα οὖν σε χρεὼν, ὦ φίλε Κλεόδημε, λογισμοὺς ἐπὶ σαυτοῦ κινεῖν πολὺ τὸ μεμφόμενον καθ' ἡμῶν ὠδίνοντας, εἰ μὴ κατὰ τοὺς ἐκ φαρέτρας τὰ βέλη πέμποντας καὶ ἡμεῖς ἀπερισκέπτως τὰ προστυχόντα θαῤῥοῦμεν φθέγγεσθαί τε καὶ οἷον ἀποδισκεύοντες διδόναι τὰ ἅγια τοῖς κυσὶ καὶ τοὺς μαργαρίτας τοῖς χοίροις. Τότε γάρ που τὴν σιγὴν ἀποσειομένους λέγειν ἴσως εἶναι χρεὼν, ὅτε μὴ μέλλοι τις ἄξια λέγειν σιγῆς, ἐκ τῆς τῶν πραγμάτων βιαίας ἀνθολκῆς καθελκόμενος. Ὅτε δὲ μακρὰ τὸν λόγον καὶ ἀτέκμαρτα περικλύζειν ἐπαγγέλλεται κύματα καὶ πολυειδῆ καὶ διάφορον τῶν θορύβων ἐπάγειν τὴν ἅλμην, τότε δὴ πολλῷ τινι βέλτιον ἄφθογγον ἢ φθεγγόμενον κεκτῆσθαι τὴν γλῶτταν. Τὸ γὰρ αὐτὸ θαδώριον ὄρος καθάπερ Εἰκονομάχοις δέδοται πάλαι τῆς αἱρέσεως πρόφασις, οὕτω δὲ καὶ Παλαμᾷ τουτῳὶ καὶ ὁπόση τις [f. 161 r.] εἴη σύννομος αὐτῷ ἑταιρία κοινοπραγοῦσα τὰ δυσσεβῆ καὶ παράνομα καὶ τῶν ἱερῶν τῆς Ἐκκλησίας ἐξορχουμένη θεσμῶν, οἱονεί τινος ἄκρατου βαφῆς κατασχούσης εἰς βάθος αὐτοὺς τῆς κακίας. Ἰλὴν εἰ μή τις ἀπαντήσῃ λέγων πολλοῖς ταυτηνὶ καὶ μοχθηροτέροις νοσήμασιν ὑπερβάλλειν ἢ κατ' ἐκείνην τὴν τῶν Εἰκονομάχων αἵρεσιν, καὶ πλέονος διὰ ταῦτα δεῖσθαι τῆς ἐξετάσεως ἐκείνων ταυτὶ καὶ μακροτέρων πολλῷ τῶν ἐλέγχων ἢ κατ' ἐκείνους. Ἐκείνοις μὲν γὰρ ἑνὸς τουτουὶ καὶ μονοειδοῦς σκανδάλου τὸ πρᾶγμα γέγονε πρόφασις, δι' ἣν κακῶς τῷ καλῷ προσκεκρουκότες τῆς ἀληθείας ἐκέντες ἐξώσθησαν, πρὸς εἰκονομαχίαν ῥᾳδίως ἐκκυλισθέντες· οὗτοι δ' οὐ μόνον μόνου τοῦ πάθους ἐκείνου μετέσχον τε ἅμα καὶ ὑπερέσχον, ὡς εἴρηται, ἀλλὰ καὶ κακίαν ἄλλην ἐπὶ κακίᾳ προσεπεδαψιλεύσαντο πολυειδῆ καὶ πολύμορφον. Τίνα δὴ ταύτην; Τὴν τῶν Εὐχιτῶν δηλαδὴ καὶ Μασαλιανῶν, ὧν τὸ τῆς γνώμης σαθρὸν καὶ ἀμφισβητήσιμον καὶ ἅμα τὸ τῆς πίστεως ἄπιστον οἱ θεῖοι τῆς Ἐκκλησίας διδάσκαλοι πάλαι κατεγνωκότες ἡμᾶς ἀπέχεσθαι παρηγγυήσαντο. Τούτων γὰρ οἱ μὲν ἀσέμνῳ λογισμῷ καὶ γλώττης ἀκρασίᾳ αὐτὴν ὁρᾶν φασι τοῦ Θεοῦ τὴν οὐσίαν, αὐτοί; ὁμιλοῦσαν ἀμέσως; ἅμα καὶ οὐχ ὃν ἐκείνη τρόπον καὶ ὅτε βούλεται, ἀλλ' ὃν αὐτοί· οἱ δὲ τὸ τῆς θείας οὐσίας ἁπλοῦν τε καὶ μόνον ἄκτιστον ἀθετοῦντες παντάπασιν ἀπείροις τε διαφόροις θεότησιν ἀκτίστοις κατατέμνουσιν. Καὶ σιωπῶ τὰς ἀθεμίτους καὶ δαιμονιώδεις πράξεις αὐτῶν διά γε δήπου τὸ μὴ ὅτι γλώττῃ γε προφέρειν, ἀλλὰ καὶ ψιλῇ τινι ἐπινοίᾳ μεμνῆσθαι λίαν αἰσχρόν· λεκτέον δ' ὅμως τὰ τοῦ θείου Μαξίμου περὶ αὐτῶν εἰρημένα, ἐξηγουμένου τὸν ἱερὸν Διονύσιον (1). Φησὶ γὰρ ὅτι τριετίαν μόνον ἄκρως ἀσκήσαντες, ἀδιαφοροῦσιν ἐπὶ τοσοῦτον τὸν λοιπὸν τῆς ἑαυτῶν ζωῆς χρόνον ὡς πᾶσαν ἀτοπίαν πράττειν ἀδεῶς, μοιχείαις, ἀσελγείαις, γαστριμαρ-

A vitare debes quomodo nec reprehendas si nos non secundum eos qui e pharetra sagittas abjiciunt temere quæ in promptu sunt declarare et tanquam jaculatores canibus sancta projicere et margaritas porcis volumus. Illo tempore oportebat sane silentium nos abjicere et disputationem inire, si nemo quæ verbis nostris non digna sunt dixisset neque insolentissime e rebus argumenta in suam partem protraxisset. At si sanæ rationes non tutæ sunt a magna et continua inundatione et a multis variisque tumultus clamoribus, multo profecto melius est silentium tenere quam lingua uti. Idem enim mons Thaborius, sicut Iconomachorum hæresis causa erat, ita etiam Palamæ hujus ejusque sociorum cæterorumque omnium qui una cum eo impia
B et injusta faciunt et sanctas Ecclesiæ leges transiliunt. Quos omnes vehemens quædam insania in impietatis profundum immersit; quorumque hæresin recte profecto quis dixerit pestifero morbo magis laborare quam Iconomachos, ideoque contra hanc majori opus esse examine et firmioribus argumentis quibus refellatur, quam contra illos, quibus una illa et simplex res causa erat ut impie **396** pulchra offenderent et a veritate sponte recederent ad simulacra evertendi studium redacti. Hi vero non solum cum hac re societatem fecerunt et, ut dictum est, plus perpetrarunt, sed etiam alio modo quantum fieri potuit exercuerunt impietatem suam multiformem. Quid autem Euchitas et Masalianos commemorem, quorum opiniones falsas
C et ambiguas hæreticasque sancti Ecclesiæ Patres olim condemnarunt, et a quibus abstinemus nos volunt? Quorum hi indigna ratiocinatione et linguæ ineptiis ipsam se videre contendunt Dei essentiam quæ adesset ipsis nulla re intercedente idque non quo modo et quando hæc vellet, sed ut ipsi vellent. Illi autem divinam essentiam simplicem et unam et solam increatam agnoscunt; sed in infinitas et varias deitates increatas eam dissolvunt. Taceo horum insolentia et nefaria facinora quæ lingua proferre, imo, vel uno tantum verbo attingere turpissimum est. Sed recitanda de his sunt sancti Maximi verba quæ fecit in interpretatione ad sanctum Dionysium. Dicit enim eos postquam per
D tres annos supra modum asceticam vitam exegissent, tantopere per reliquum vitæ tempus indifferentes esse ut sine pudore quodcunque scelus admitterent, ut stuprum, venereas cupiditates, edacitatem, **397** usum cum aliorum uxoribus, omnino, ne multis verbis utar, omnem libidinem, qua immersi talia facere palam non verentur et sic tanquam omni sensu alienatos laborare eos morbo intemperantiæ suæ et duros a semet ipsis et a dæmonibus qui in iis habitarent perpeti cruciatus ut qui phrenesi affecti essent.

(1) Μαξίμου ἐκ τῆς εἰς τὸν ἅγιον Διονύσιον ἑρμηνείας ἐν τῇ θεωρίᾳ τοῦ μυστηρίου τῆς μοναχικῆς τελειώσεως.

γίαις, ἀλληλογαμίαις, καὶ ἁπαξαπλῶς ἐν πάσαις ἀσωτίαις ἐγκυλινδούμενοι, τὰ τοιαῦτα πράττειν ἀπαθῶς τεταπείνωνται, ἀναισθήτως νοσοῦντες τὴν ἐμπάθειαν, καὶ ἀναλγήτως ὑφ' ἑαυτῶν πάσχοντες καὶ τῶν ἐν αὐτοῖς οἰκούντων δαιμόνων, ὥσπερ οἱ φρενίτιδι κατεχόμενοι νόσῳ.

XIII. Inveniet autem quicunque consulere velit in disciplina de practicis sanctæ et œcumenicæ tertiæ synodi, etiam septimæ, quomodo diffament et condemnent turpia horum facinora et quomodo Massalianos istos appellent et Marcionistas. Satisfacient autem nunc ad evidentiam alia plurima testimonia luculenta et præ aliis omnibus quæ ab Atho monte bis et ter et sæpius ad nos pervenerunt evulgata et libere palam exposita documenta, quibus illorum singula flagitia indicantur. At si pietatis nostræ et sanctæ doctrinæ intererat intelligere quomodo Thabor et Hermon in nomine Domini celebrati essent, et si hac de re necessarium omnino erat quæ cum miraculis ibi editis conjuncta fuissent inquirere, iisque venerationem summam tribuere : primum opus erat ut a viris doctis quæ certa sint accurate inquirerentur, **398** neque quidquam injustius erat quam de eo qui de nostra doctrina loquebatur si revera viri docti plurimum valebant quanquam non eadem facultas cæteris omnibus inerat qui nobiscum faciunt eamdemque doctrinam habent, quærere, num e numero sutorum aut fossorum aut sophistarum esset. Deinde autem fateor si nullo modo evitabile et prorsus necessarium fuisset, me nequaquam ibi omissurum fuisse verba facere, eo ut caverem mihi ne ludibriis mihi obtrectarent unaque aliis qui indocti sunt ne facile a scelestis impietatis præsidibus deciperentur. Nunc vero cum vanam eorum demonstrationem esse nobis satis eluceat, et frustra eos et sine eventu concertationis multum lutum concitasse, tacere, ut dixi, malebam quam dicere, nec vero ea de causa ac si dicere omnino per se inutile esset, sed quia nobis ipso eo tempore inutile fore videbatur. Quod inopportunum esse et nobis tanquam probro fore ipsum illud tempus satis monebat. De quibus enim quæstionem proponunt non necessariam, hæc responsionem necessariam non postulant. Audio enim magnum Basilium quando ab Arianis rogaretur ut enuntiatum «Deus creavit me» explicaret id repudiasse et silentii causam eam professum esse, quod nulla sibi de ejusmodi sententia dicendi esset necessitas, præsertim cum per paraboiam et obscura verba et ænigmata prolata essent, ne qui audiret **399** ambigui quiddam inde conciperet. Eademque de causa ego quoque tacere ibi malebam, idque non solum propter ea quæ supra exposui, sed etiam propter plurima alia. Sunt enim qui sermone perspicuo utantur, alii qui prorsus non perspicuo ; qui etsi argumentis non differunt a nobis, tamen verbis et vocibus suis peculiaribus differre videntur iis qui indocti sunt et quibus sacras Scripturas in controversiam ducere placet Alio autem modo intelligunt qui in hujusmodi rebus nimium semper exquirere et per allegorias dicere volunt ; alio modo qui simpliciter interpretari et illustrare stu-

ΙΓ'. Εὑρήσει δ' ὁ βουλόμενος περὶ τούτων κἀν τῷ ὅρῳ τῶν Πρακτικῶν τῆς ἁγίας καὶ οἰκουμενικῆς τρίτης συνόδου, καὶ ὁμοίως τῆς ἑβδόμης, ὅπως τε ἐκπομπεύουσι καὶ ἀναθεματίζουσι τὰς μυσαρὰς αὐτῶν ἐργασίας, καὶ ὅπως τοὺς αὐτοὺς Μασαλιανούς τε καλοῦσι καὶ Μαρκιωνιστάς. Ἀρκέσουσι δ' ἔτι καὶ νῦν εἰς δήλωσιν ἄλλα τε πλεῖστα μαρτύρια καὶ σαφῆ, καὶ πρό γε πάντων οἱ ἐκ τοῦ Ἄθω τοῦ ὄρους καὶ δὶς καὶ τρὶς καὶ πολλάκις ἐλληλυθότες πεπαῤῥησιασμένοι καὶ ὑπαιθρεὶ τόμοι, τὰ τούτων αἴσχρ' ἕκαστα παριστῶντες. Ἀλλ' εἰ μὲν τοῦτ' ἦν ὃ τῆς ἡμῶν εὐσεβείας καὶ πίστεως ὄρος, εἰδέναι πῶς Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματι Κυρίου ἠγαλλιάσαντο, καὶ εἰς τοῦτ' ἀνάγκης ἦν τὸ περιιστάμενον τὰς ἐκεῖ θαυματοποιίας εἰδέναι καὶ ταύταις τῆς προσκυνήσεως νέμειν τὸ [f. 161 v.] κράτιστον, πρῶτον μὲν σοφῶν ἀνδρῶν ἐδεῖτο πρὸς ἔρευναν τἀσφαλοῦς ἀκριβῆ, καὶ οὐδὲν ἂν ἦν ἀδικώτερον κατὰ τὸν εἰπόντα τῆς ἡμετέρας πίστεως, εἰ τὸ πλέον εἶχον οἱ σοφοὶ, καὶ οὐκ ἐπ' ἴσης τοῦ σώζεσθαι πᾶσι μετῆν ὁμοφύλοις καὶ ὁμογνώμοσι τὴν εὐσέβειαν, εἴτε τῶν σκυτέων τις εἴη καὶ σκαπανέων καὶ εἴ τις τῶν σοφιστῶν. Δεύτερον δ' εἰποιμι ἂν ὡς εἰς βλαβόν τι καὶ ἀναπόδραστον τὸ τῆς ἀνάγκης ἐνταυθοῖ περιίστατο τρόπαιον, περὶ πολλοῦ μέντ' ἂν καὶ αὐτὸς, μᾶλλον δὲ τοῦ παντὸς ἐποιούμην τὸ λέγειν ἐνταῦθα, ἐμαυτοῦ τε προμηθούμενος, ὡς μὴ διαβαλλοίμην τοῖς φιλοσκώμμοσι, καὶ ἅμα τῶν ἀφιλεστέρων, ὡς μὴ ῥᾳδίως ἐξαπατῷντο πρὸς τῶν ἀνοσίων τῆς ἀσεβείας προέδρων. Νῦν δ' ἐπειδὴ ματαίαν ἐπίδειξιν εἶναι τὸ πρᾶγμα κατανοεῖν ἡμῖν παραγίνεται, καὶ πολὺν μὲν, ἀνόνητον δὲ καὶ εἰκῇ τὴν τῆς ἔριδος ἐντεῦθεν κονιορτὸν ἐγειρόμενον, σιγᾷν, ὡς εἴρηται, ἐβουλόμην ἂν μᾶλλον ἢ λέγειν, οὐ τὸ λέγειν ὡς ἀνόνητον κατὰ φύσιν ὑπάρχον ἀποσειόμενος, ἀλλ' ὡς ἡμῖν ὑπάρχον ἀνόνητον ἄρτι, τὴν ὡραίαν τέως τοῦ χρόνου καθάπερ τινὰ κηλῖδα συμπεπτωκυῖαν ὀθνείοις ποτοῦν παρὰ τὸ εἰκὸς ἀναδεξαμένου· ἃ γὰρ ἐνδεχομένην οὐκ ἀναγκαίαν δὲ προβάλλονται ζήτησιν, ταῦτα πάντως οὐδ' ἀναγκαίαν τινὰ τὴν ἀκόλουθον ἀπαιτεῖ πανταχοῦ. Ἀκούω γὰρ καὶ τοῦ μεγάλου Βασιλείου περιφρονοῦντος, ὁπότε πρὸς τῶν Ἀρειανῶν ἀπαιτοῖτο τὴν τοῦ, « Κύριος ἔκτισέ με, » φωνὴν ἐξηγεῖσθαι, καὶ τῆς σιγῆς τὴν αἰτίαν φάσκοντος, μὴ εἶναι δηλαδὴ μηδεμίαν ἀνάγκην περὶ τοιαύτης λέγειν φωνῆς, καὶ ταῦτα διὰ παραβολῶν καὶ σκοτεινῶν λόγων καὶ αἰνιγμάτων προενηνεγμένης, ὡς μηδὲν ἀναμφισβήτητον εἶναι λαβεῖν ἐξ αὐτῆς τὸν ἀκούοντα. Διὰ γοῦν ταῦτα κἀγὼ σιωπᾶν ἐβουλόμην αὐτὸς ἐνταυθοῖ. Καὶ μὴ μόνον δι' ἃ προαπηριθμησάμην, ὅτι μὴ καὶ ἄλλων δήπου πλείστων ἕνεκα. Καὶ γὰρ ἔνιοι μὲν σαφηνείᾳ γλώττης, ἔνιοι δ' ἥκιστα κέχρηνται, καὶ εἰ μὴ ταῖς ἐννοίαις, ἀλλ' οὖν τῇ γε λέξει καὶ τῷ τῆς φράσεως σχήματι διενηνέχθαι δοκοῦσιν ἐναντοῦ τοῖς ἀμαθῶς τε καὶ ἐριστικῶς ταῖς Γραφαῖς ὁμιλοῦσιν. Καὶ ἄλλως μὲν οἷς τὰ περὶ τούτου πῶς μὲν

ἐγκωμιάζειν, πῶς δ' ἀναγωγικόν τινα λέγειν τρόπον καὶ ἀλληγοροῦντας διεξιέναι ἔπεισιν, ἄλλως δὲ τοῖς ἁπλῶς ἑρμηνεύειν καὶ ἐξηγεῖσθαι προελομένοις μόνας αὐτὰς τοῦ Εὐαγγελίου τὰς ῥήσεις φιλοτιμίας ἁπάσης ἐκτὸς, καὶ ἀνακαλύπτειν, ὅσον ἐφικτὸν, τὸν ἐγκείμενον ταῖς λέξεσι νοῦν ἀκριβῶς, καὶ πλέον οὐδὲν περαιτέρω ζητεῖν· ἄλλως δὲ τοῖς νῦν ἐπὶ συγχύσει τῆς εὐσεβείας ἐπιφυεῖσιν ἀσεβέσιν, οἳ τὴν μίαν ἄκτιστον θεότητα πρὸς ἀπείρους καὶ διαφόρους τέμνουσι, καὶ ἅμα ὁρᾷν αἰσθητοῖς ὀφθαλμοῖς ἐγκαυχῶνται καὶ ὁμιλεῖν ἐξ οἴνου καὶ τρυφῆς Παλαμικῆς. ὃν ἀδύνατον ἰδεῖν μεμαθήκαμεν μήτ' ἀνθρώπων μήτ' ἀγγέλων οὐδένα· ἄλλως δ' αὖθις τοῖς ἑπομένοις βαναύσοις καὶ τριωβολιμαίοις γυναικαρίοις καὶ ἀνδραρίοις. Ὡς εἶναι πολλαπλοῦς καὶ πολυειδεῖς τοὺς ἐντεῦθεν ἀποβλύζοντας τῆς θρησκείας ῥύακας, καὶ Πρωτέως τήμερον δεῖσθαί τινος, ἀλλοιοῦσθαι [f. 162 r.] δυναμένου συχνὰ πρὸς τὰ διάφορα τῶν ὁμιλούντων ἤθη καὶ ἅμα τάς τε γνώσεις καὶ διχοστατούσας γνώμας.

ΙΔ'. Διὰ δὴ ταῦτα καὶ τὰ τοιαῦτα βαθείας σιγῆς ἀνθεῖλκον ἔρωτες τὸ τῆς ἐμῆς ψυχῆς λογιζόμενον, καὶ τοιούτους δή τινας ἐν ἐμαυτῷ τοὺς λογισμοὺς ἐξήσκουν ἐγὼ, δεδιὼς μὴ μάτην ἀορίστῳ τε καὶ ἀστάτῳ στοιχείῳ τῷ ἀέρι δόξω δανείζειν λόγους αὐτίκα μάλα λυθησομένους. Ἐπεὶ δὲ πανταχόθεν ἡμᾶς περιθέοντες νῦν οἱ τῆς εὐσεβείας ἀγωνισταὶ καὶ σφόδρα τῆς πίστεως ἀντεχόμενοι πιθανωτέροις χρησάμενοι λόγοις ἐκθύμως τε ἀξιοῦσι καὶ ἀνάγκην τῇ ἀξιώσει ἐπάγουσι παντοδαπήν τινα καὶ πολὺ τὸ διάπυρον κεκτημένην, καὶ ἁρὰς προσεπιδαψιλεύουσι τῇ ἀνάγκῃ μὴ περιιδεῖν ἀναμοχλευομένην τὴν ἀλήθειαν, κινδυνεύοντας δὲ τοὺς πολλοὺς, τοὺς μὲν εἰς τὰ ἔσχατα τῆς κακίστης τῶν Μασαλιανῶν περιπίπτειν αἱρέσεως, τοὺς δ' εἰς τὰ τῶν Ἀκτιστιτῶν τε καὶ Ἀνθρωπομορφιτῶν βάραθρα, τοὺς δ' εἰς ἀλλοκότους καὶ τερατώδεις ἄλλους κρημνοὺς, καὶ ἄκων ἐξάγομαι λέγειν ἃ μὴ προῄρημαι, τὴν τοῦ κρύψαντος τὸ δῶρον καθ' ἕτερον τρόπον δεδὼς καταδίκην ἐκείνου, ἅτε στενοχωρῶν καὶ ἀδικῶν τὸ τῶν λόγων χρηστὸν οὐ μάλα ἄκων, πλείοσι φαίνεσθαι χρηστὸν ἀφαιρούμενος διὰ τῆς σιγῆς. Τρέποιτο δ' εἰς τὰς τῶν αἰτίων κεφαλὰς τὰ τῆς μέμψεως, ἐν οὐ καιρῷ βιασαμένων λέγειν τὰ τῇ φύσει μὲν καίρια, οὕπω δ' οὔτε τοῖς καθεστηκόσι πράγμασιν ὄντα οὔτε τοῖς ἀκούουσι καίρια. Ἐν γὰρ τῇ τῶν ἀκουόντων γνώμῃ τὴν νικῶσαν ἔχειν πεπείσμεθα ψῆφον ὡς τὰ πολλὰ κειμένην τὴν τῶν λεγόντων ἀλήθειαν.

ΙΕ'. Βέλτιον μὲν οὖν ἦν ἂν ἐν τοῖς τοιούτοις σιγᾷν, ὡς διείληπται· ἀλλ' ὅτε δὴ καὶ τῆς σιγῆς οἱ καιροὶ τὴν τῶν λεγομένων ξενοδοχοῦντες ἦσαν ἀσμένως φέρειν, καὶ οὐ τὴν ἀναγκαίαν τοῦ λέγειν προὔβαλλον πρόφασιν. Ἔστι μὲν γὰρ καὶ σιγῆς καιρὸς, ἀλλ' ὅτε δὴ σιγῆς δεομένοις ἀκροαταὶ ἐντυγχάνει· ὅτε δ' ἀξίοις καὶ πάνυ τι χρῄζουσι. Τότε δ' οὖν καὶ τὸ ἐνδεχόμενον εἰς τὴν νοῦ ἀναγκαίου μοῖραν σαφῶς ἀποκεκριμένον, λέληθε τὴν τοῦ ἐνδεχομένου δύναμιν ἀπολωλεκὸς, ὑπὸ τῆς ἀνάγκης καταποθὲν ὡς εἰπεῖν. Ἀθανάτου γὰρ τῆς ἡμετέρας οὔσης ψυχῆς καὶ ἀθάνατα dent ipsa tantum nuda Evangelii verba sine ulla æstimatione et detegere quantum fieri possit accurate quæ verbis subest sententiam, neque qui ulterius quidquam indagandum esse putant. Rursus alio modo differre videntur iis, qui hodie pios animos perturbare student impiis, quique unam increatam deitatem in infinitas et multimodas discindunt, simulque videre eam claris oculis se jactant et conjunctos se esse post vinum et comessationem Palamicam cum ea quam nos nequaquam cerni posse didicimus neque ab homine ullo neque ab angelis. Denique alio modo intelligunt, quæ in comitatu semper est plebs e tabernis et perditæ vilesque mulieres et homunculi. Itaque fit ut multiplices inde et variæ formæ sanctæ doctrinæ tanquam rivuli profluant; et profecto cogitare **400** liceat hodie de Proteo qui crebro mutari potest in varios ac diversos hominum mores eorumque cognitiones et dissidentes inter se sententias.

XIV. Propter hæc et similia alti silentii amor animum meum tenebat et tales fere apud me sententias conformavi. Timebam enim ne temere in aerem elementum infinitum et inane projicerem orationes statim in nihilum abituras. Quandoquidem autem undique nos circumstantes nunc pietatis vindices et tenacissime fidem amplectentes firmioribus uti argumentis par esse putant et necessitatem argumentationi adducunt undique collatam et multum roboris habentem et vota necessitati adjiciunt ne negligamus veritatis cernendæ studium et periculum a plerisque defendamus ne alii in summam nequitiam incidant Masalianorum hæresis, alii in foveas Actistitarum et Anthropomorphitarum, alii in alia pestiferæ et monstrosæ hæresis præcipitia, fit ut vel invitus cogar dicere quæ antea mihi non proposui, veritus alio modo pœnam ejus, qui donum celavit, utpote coarctans atque injuria afficiens bonas rationes non invitus, impediens silentio meo, ne pluribus appareret bonum. Vituperium autem se vertat in capita auctorum, qui **401** me coegerunt alieno tempore dicere ea quæ per se opportuna sunt, sed nondum neque pro præsenti rerum conditione neque pro auditoribus opportuna. Nam in auditorum opinione vincentem sortem positam esse arbitramur, ita ut sæpe jaceat dicentium veritas.

XV. In his igitur melius erat, ut censeramus, silentium tenere, quando scilicet silentii tempora dictorum vim libenter in se reciperent, neque dicendi necessariam causam obtenderent. Est enim silentii tempus opportunum, ubi auditores silentio egeant hique eo digni sint et valde id cupiant. Quo pacto id quod licitum est, in necessitatis vim plane sejunctam transit, vi liciti abjecta tanquam a necessitate devorata. Cum enim anima nostra immortalis sit et immortales eorum quæ aguntur contineat necessitates, uni vero animæ ipsum totum

mundum non æquiparandum esse sacra confirmet Scriptura, cur non necessarium fiat id quod licitum est? Etenim si nobis id facere licet, ut eam servemus et æternæ gloriæ tutores ei simus, et si horum contrarium est perdere et æternæ pœnæ transmittere, sane hoc necessarium **402** est, ne negligamus id quod secundum naturam necessarium esse dicimus. Quantum enim perdere turpissimum est et contra rationem, tantum servare necessarium. Quæ ergo sæpe accepimus et ipsi experti sumus ut bona, ea exercere judicamus esse necessarinm. Verum ab iis quæ exercere necessarium esse judicamus recedere, quomodo extremæ ignaviæ opprobrium effugiat? Qui igitur vitiis virtutem antèponere didicerunt magis magisque ad perfectionem, et inde ad immortalitatem, me judice, procedunt. Hac ratione apud nos quoque rerum honestarum exercitatio veritatis viam nobis recludit. Et cum hodie nobis necessitas imposita est de his loqui, quærendum est quo ordine et qua successione loqui necesse sit.

A νάτους ἐκδεχομένης τὰς τῶν πεπραγμένων σαφῶς ἀμοιβὰς ἐξ ἀνάγκης, καὶ ἅμα μιᾶς ψυχῆς μὴ εἶναι τὸν πάντα κόσμον ἀντάξιον τῆς θείας λεγούσης Γραφῆς, πῶς οὐκ ἀναγκαῖον ἐνταῦθα γίγνοιτ' ἂν καὶ τὸ ἐνδεχόμενον; Εἰ γὰρ ἐφ' ἡμῖν καὶ ἐνδεχόμενον τὸ σώζειν ἐστὶν αὐτὴν καὶ δόξης ἀῒδίου προξένους αὐτῇ καθίστασθαι, καὶ αὖ τοὐναντίον φθείρειν καὶ κολάσει παραπέμπειν αἰωνίῳ, ἀλλ' οὖν τῶν ἀναγκαίων καὶ τοῦτ' ἂν εἴη μάλιστα μεταξὺ μὴ παρατρέχειν κείμενον τὸ κατὰ φύσιν εἰπεῖν ἀναγκαῖον. Ὅσον γὰρ τὸ φθείρειν τῶν ἀτοπωτάτων ἐστὶ καὶ παραλόγων, τοσοῦτο τῶν ἀναγκαίων τὸ σώζειν. Ἃ γοῦν ἀκούσαντες πολλάκις καὶ ὧν πειραθέντες ἐμάθομεν εἶναι τῶν ἀγαθῶν, ταῦτα ποιεῖν τῶν ἀναγκαίων [f. 162 *v*] καθάπαξ κρίνομεν εἶναι. Ἃ δὲ B ποιεῖν τῶν ἀναγκαίων κρίνομεν εἶναι, τούτων ἀφίστασθαι, ποίαν οὐκ ἀτοπίας ὑπερβολὴν παρελαύνει; Ὥστε τῶν χειρόνων ἀνθαιρεῖσθαι τὰ βελτίω μαθοῦσιν εἶναι βέλτιον ἐξ ἀνάγκης, βελτίους καὶ ἑαυτῶν ἀναγκαζομένους γίνεσθαι ἕπεται, καὶ τοῦ δέοντος, ὅσον ἐφικτὸν, ἐγγύτατα θεῖν ἀεί, τὴν ἀθανατογόνον; καὶ ἀναγκαίαν ὁδὸν, ὡς ἐμέ γε οἴεσθαι. Καὶ οἶμαί γε ὀρθοτέραν πάνυ τι οἴεσθαι. Καὶ οὕτως ἐνδεχομένης καὶ ἐφ' ἡμῖν τῆς τῶν ἀγαθῶν προαιρέσεως οὔσης ἀναγκαῖον γίνεται τὸ συμπέρασμα, πρὸς ὃ πέφυκεν ἀνατρέχον μάλα τι προσηκόντως, καὶ τὸ ἐν τοῖς τοιούτοις καίριον εἰς τὸ τῆς ἀληθείας μουσεῖον παιδαγωγούμενον ἀνευρίσκον. Ἀλλὰ γὰρ εἰς τοῦτο τύχης ἡμᾶς τῆς τοῦ λέγειν τήμερον ἐλαυνούσης ἀνάγκης, σκεπτέον τίνα δεῖ πρῶτον καὶ τίνα δεύτερον εἰπεῖν, καὶ τίνα τάξιν εἰληφέναι δέον ἕκαστα τῶν ἐξῆς.

---

# ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ

## ΛΟΓΟΣ ΔΟΓΜΑΤΙΚΟΣ Δ'.

# NICEPHORI GREGORÆ

## LIBER DOGMATICUS QUARTUS.

**403** I. Primum omnium inquit Gregoras, e re est quærere, utrum statutis Ecclesiæ dogmatis unum Deum adorare magis conveniat vel unam in Trinitate increatam Deitatem, ut Gregorius magnus ille theologus dicit, Deum, lucem unam, inaccessibilem et sempiternam et semper in Trinitate lucentem: an plures deitates et plura lumina, ut volunt sanctæ doctrinæ nostræ adversarii. Equidem neminem puto eorum qui in sancta doctrina educati sint in tantam sponte incidere posse amentiam ut plures quam unam deitatem fingat sibi et credat; cum Patrum sanctæ Ecclesiæ dogmata una ac clara voce acclament ei, lucem unam sempiternam et inaccessibilem esse Deum, nec vero lumina **404** plura nec præter Trinitatem; deinde lucem reve-

C [Cod. Reg. 1276, f. 162 *v*.] Α'. Πρῶτον μὲν οὖν ἂν εἴη σκέψασθαι ἄξιον, ἔφησεν ὁ Γρηγορᾶς, πότερον ταῖς κοιναῖς μᾶλλον ἐννοίαις τῆς Ἐκκλησίας ἁρμόττει σέβειν ἕνα Θεὸν, εἴτουν μίαν ἐν τρισὶν ἀκτίστου θεότητα, καὶ ὃ φησιν ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, φῶς ἓν ἀπρόσιτον καὶ ἀδιάδοχον τὸν Θεὸν, ἀειλαμπὲς, τριλαμπὲς, ἢ πλείστας μὲν θεότητας, πλείω δὲ φῶτα, κατά τινας τῆς ἀντιθέτου τῇ εὐσεβείᾳ φάλαγγος. Ἐγὼ μὲν οἶμαι μηδένα τῶν εὐσεβέσι λογισμοῖς συντεθραμμένων πρὸς τοσαύτην ἐκπεσεῖν ἀπόνοιαν, ὥστε πλείους μιᾶς εἰδέσθαι νομίζεσθαι δικαιοῦν θεότητας, κοινῇ τῶν τῆς εὐσεβοῦς Ἐκκλησίας πατρίων δογμάτων ἀκούοντα διαρρήδην βοώντων, φῶς ἓν ἀδιάδοχον καὶ ἀπρόσιτον εἶναι τὸν Θεὸν, καὶ μὴ πολλὰ μηδὲ πέρα τῆς Τριά-

ὸς, δεύτερον δὲ φῶς ἄγγελον μηδενὸς ἑτέρου μεταξὺ μεσιτεύοντος, καὶ πάλιν ἕνα Θεὸν εἶναι, διότι μία θεότης, ἀναγκαίαν αἰτίαν τοῦ σέβειν ἕνα Θεὸν τὴν τῆς μιᾶς θεότητος πρώτην ὁμολογίαν τιθέντων, εἰ μή τις ἐν ἀθύρματος μοίρᾳ καὶ γέλωτος ἐκὼν ἑαυτοῦ προδότης τοῖς ἐν ἀγοραῖς καλινδουμένοις παιγνίοις καθίσταιτο ἐθελοκωφῶν.

Β'. Τούτου γε μὴν ὁμολογηθέντος, δεύτερόν ἐστι πυθέσθαι ἄξιον εἰ δέοι παραδραμόντας τὴν κοινὴν αὖθις τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἔννοιαν μεταξὺ καθάπερ λύχνον ἐπ' ὄρους κειμένην, ἔπειτα ὁρατὴν εἶναι λέγειν τὴν μίαν ταύτην καὶ μόνην ἄκτιστον θεότητα, εἴτουν τὸ ἓν (1) φῶς ἐκεῖνο τὸ ἀειλαμπὲς καὶ ἀπρόσιτον καὶ ἀδιάδοχον· κοινὸν γὰρ εἶναι δόγμα τῆς Ἐκκλησίας καὶ τοῦτ' εἰλήφειμεν πρός τε τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν αὐτοῦ φοιτητῶν, ἑωρακέναι Θεὸν ὑπάρχειν ἀδύνατον ἅπασι, πλὴν διὰ συμβόλων καὶ τύπων σωματικῶν. « Οὔτε γάρ, » φησὶν, « εἶδε Θεὸν οὔτ' ἰδεῖν δύναται τῶν ἁπάντων οὐδείς. » Ἅπερ ὁ εἰπὼν αὐτὸς ἐπισφραγίζων αὖθις θεῖος Παῦλος, « Εἴ τις εὐαγγελίζεται, » φησὶ, « παρ' ὃ παρελάβετε, [f. 163 r.] ἀνάθεμα ἔστω, » ταῦτα δὴ λέγων τὰ εἰρημένα, τὸ μίαν τε σέβειν ἄκτιστον Θεότητα καὶ φῶς ἓν ἐν τρισὶν ὑποστάσεσι, καὶ ἅμα ταύτην ἀόρατον εἶναι ὁμολογεῖν, μὴ ὅτι ἀνθρώποις, ἀλλὰ καὶ ἀγγέλοις αὐτοῖς. Τίς γὰρ οὕτως ἠλίθιος καὶ μανίᾳ σύνοικος μακρᾷ ὥστε κτισμάτων ἀοράτων ὄντων, ἀγγέλων φημὶ καὶ ψυχῶν καὶ δαιμόνων, λέγειν ἔπειτ' ἀνθρώποις τολμᾷν ὁρατὴν εἶναι τὴν φύσιν τοῦ τῶν ἁπάντων δημιουργοῦ Θεοῦ; Μὴ οὖν ὅτι θρήνων καὶ δακρύων ἄξιον παμπόλλων πάτριον δόγμα τῆς Ἐκκλησίας κινοῦντας τοῖς ἀποστολικοῖς ἐκείνης ἀναθέμασιν ἑαυτοὺς ἐκόντι παρέχειν, ἀλλὰ καὶ μανίας ὁμοῦ καὶ ἠλιθιότητος γέμει τοιαῦτα λογίζεσθαι. Ἐπὶ γὰρ πᾶσαν διδασκαλίαν καὶ πᾶσαν μάθησιν ἐκ προϋπαρχούσης γίνεσθαι φάσκουσι γνώσεως. Δεῖ γὰρ μαρτυρίας ἐν τοῖς τοιούτοις ἐκείνας προβάλλειν εἰς προῦπτον καὶ σαφεστέραν δήλωσιν τῶν ἀτελεστέρων, αἳ τῇ τῶν ἀνθρωπίνων αἰσθήσεων ἐκ πρώτης γενέσεως συνηθείᾳ κανόσιν ἀθανάτοις μαθήσεις ἡλικιώτιδες γίνονται, κἀντεῦθεν ἀμοιβαίοις ἴχνεσιν ἀναγομένους βαθμίδων δέκην ταῖς κατὰ μικρὸν ὑπαλλαγαῖς τῶν ἀναλόγων προσθέσεών τε καὶ ὑφαιρέσεων συμβιβάζειν καὶ τῷ τῆς ἐπιστήμης ἡλίῳ καθαρώτερον ἤδη προσάγειν, χρεὼν διδακτῆς οὔσης τῆς ἐπιστήμης προϋπάρχουσαν εἶναι λογίζεσθαι γνῶσιν τὴν τῶν αἰσθήσεων αὐτοδίδακτον πρώτην κατάληψιν, ἀφ' ἧς ὡς ἐκ πρώτης ἀρχῆς καὶ πηγῆς οἱ πάσης ἐπιστήμης ἀποβλύζουσι ῥύακες τῶν τε τοῖς αἰσθητοῖς καὶ διανοητοῖς καὶ νοητοῖς ἐνυπαρχόντων ὁρῶν καὶ λόγων. Τὸ γὰρ βλέπειν ἡμᾶς καὶ ἀκούειν, καὶ νῦν μὲν γλυκέων καὶ πικρῶν αἰσθάνεσθαι διὰ τῆς γεύσεως, νῦν δὲ τραχέων τε καὶ λείων διὰ τῆς ἁφῆς, καὶ ὅτι θερμὸν καὶ καυστικὸν τὸ πῦρ καὶ ψυχρὸν ἡ χιὼν, κοιναί εἰσιν ἔννοιαι πάντα καὶ αὐτοδίδακτα τοῖς αἰσθητηρίοις. Οὐ γὰρ διδασκόμεθα παρ' οὐδενὸς βλέ-

(1) Εἰ τοῦτο ἓν Cod.

A lantem nullo alio intercedente; et rursus unum Deum esse, quippe unam deitatem, consentaneum autem esse unum adorare Deum, ubi primum convenerit unam esse deitatem, nisi quis, cum surdis auribus sit ipse, ut ludibrium et ridiculum se tradere velit totius fori irrisioni.

II. Quæ si concessa erunt, secundo loco quæramus, num divinæ Ecclesiæ dogma vulgatum transcurrere tanquam in monte positam lucernam, et deinde dicere liceat cerni posse unam hanc et solam increatam Deitatem. Si hæc una lux illa semper lucens, inaccessibilis, sempiterna est, dogma hoc Ecclesiæ vulgatum est idemque a Deo nostro et Salvatore Jesu Christo ejusque discipulis nobis traditum, Deum cernere posse neminem nisi per symbola et typos corporeos. « Nemo enim, inquit, Deum vidit, neque potest quisquam eum videre. » Quod Dominus ipse proclamavit et confirmat rursus sanctus Paulus qui dicit : « Si quis vobis evangelizaverit præter id quod accepistis, anathema sit » Dicit autem ille ipsis his verbis adorandam esse increatam Deitatem et lucem unam in trinis substantiis, 405 eamque invisibilem esse non solum hominibus, sed etiam ipsis angelis. Quis igitur tam temerarius erit tantaque amentia captus, ut cum creaturæ invisibiles sint, dico angelos, animas, dæmones, hominibus dicere audeat visibilem esse naturam Dei qui cuncta procreavit ? Neque solum in misericordia nostra et multis lacrymis sunt qui patrio dogmate Ecclesiæ læso apostolicum anathema sibimet ipsi contraxerint; sed patet etiam multa eos in temeritate et amentia versari, quippe qui omnem dicant doctrinam et omnem cognitionem fieri ex nostra ratione. Nam in hujusmodi rebus iis utendum est testimoniis ad conspicuam et planiorem infinitorum revelationem, quæ ex humanorum sensuum inde a primis a pueritia motibus consuetudine cognitiones evadant immortalibus regulis æquales. Deinde progrediendum est alterno vestigio gradatim et in analogis addendis et demendis concludendum ex exiguis quæ intercedant differentiis, et ut scientiæ sol clarior fiat, quoniam scientia doceri potest, demonstrare opus est subesse rationem, sensuum propriam ac primitivam perceptionem. E qua tanquam e prima origine ac fonte scientiæ omnis prosiliunt rivuli et iis quæ percipiuntur, cogitantur, cognoscuntur, subsunt primæ 406 notiones et notitiæ. Nam quod videmus nos et audimus, modo palato dulcia et amara percipimus, modo aspera et levia tactu, et quod calidus et ardens ignis est, nix frigida, perceptiones communes sunt et propriæ sensuum. Neque enim a quoquam edocemur videre et audire aut ignem ardere, frigere nivem, mel dulce esse. Sua sponte enim sensus ad alia inclinat, alia fugit, nulla ascita geometrica necessitate vel alia qualibet argumen-

tatione. Sic enim Deus universi procreator initio distribuit et injecit naturæ semina has radices primitivas, fundamenta certissima in scientia quacunque comprehendenda et demonstranda. Unde invicta et vel maxime stabilia veritatis argumenta petuntur. Nam argumentorum dicunt principia per se debere esse data, et quæ per se fidem habeant et omnino firma sint et quibuscum singula omnia consentiant, quasi cum his omnia consentiant; quasi ratione instigatrice quadam firma ac certa lumixi philosophi tanquam sub sole ab luce in argumentando protrahere possint ad cujusque rei veram necessitatem, vim veritatis.

A πειν ἢ ἀκούειν, ἢ ὅτι καίει τὸ πῦρ καὶ ψυκτὸν ἡ χιών, καὶ τὸ μέλι γλυκύ. Αὐτόθεν γὰρ ἡ αἴσθησις τὰ μὲν προσίεται, τὰ δ' ἀποσείεται δίχα τινὸς ἐπεισάκτου γεωμετρικῆς ἀνάγκης καὶ δίχα συλλογιστικῆς ἀποδείξεως οἱασδηποτοῦν, τοῦ δημιουργοῦ Θεοῦ πανσόφως προοικονομήσαντός τε καὶ προϋποθέντος τῇ φύσει σπερματικῶς οὑτωσὶ τὰς τοιαύτας ἀρχεγόνους ῥίζας, ἐφόδιον κράτιστον ταῖς ἐπιστημονικαῖς ἕξεσι πάσαις μεθόδοις καὶ ἀποδείξεσιν, ἐξ ὧν οἱ ἀκαταμάχητοι καὶ δυσαντίβλεπτοι μάλιστα τῆς ἀληθείας περατοῦνται συλλογισμοί. Δεῖν γὰρ εἶναι τὰς ἀρχὰς τῶν συλλογισμῶν αὐτοδιδάκτους καὶ αὐτόθεν ἔχούσας τὸ πιστὸν καὶ ἀναντίῤῥητον πανταχοῦ καὶ ὁμόλογον ἐξ ἁπάντων τὸ συγκεχωρημένον, ὡς ἂν ἐξ ὁρμητηρίου βεβαίου καὶ ἀσφαλοῦς ταῖς τῶν σοφῶν ἀποδεικτικαῖς φωναῖς τε καὶ γλώτταις κινουμέναις ἀγώγιμον ὡς ὑφ' ἡλίῳ καὶ φωτὶ μέχρι τοῦ προσήκοντος ἑκάστῳ συμεράσματος τὸ τῆς ἀληθείας εἶδος πορευόμενον εὐγενές.

III. Sed ut exemplis tribus vel quatuor illustrentur quæ dicta sunt, dicat nunc magister noster magnus ille Ecclesiæ pharus Dionysius qui ex iis quæ percipiuntur sensibus et per se fidem habent et cum **407** omnibus consentiunt, argumenta nobis præbet. Qui dum docere vult Deum esse ubique locorum et in rebus omnibus, ut etiam docebat, rationibus communibus et quæ omnibus apertæ sunt utitur ad illustranda ea quæ supra sensus posita sunt. « Quemadmodum enim, inquit, in centro omnes circuli radii in unum coeunt, et centrum omnes in se radios illos conjunctos tenet ratione unitatis non minus inter se quam ad unum unde provenerunt principium, ita e Deo et in Deo omnia omnino conjuncta et in unitate comprehensa et invicem sibi opposita sunt. » Rursus : « Quemadmodum vox una eademque ab auribus multorum ut una percipitur, ita Deus unus et individuus in iis quæ per se divisa sunt ; ut individuus est. » Rursus : « Quemadmodum sigilli unius signa plura respiciunt ad sigillum archetypum idque in singulis signis expressi, totum apparet et idem, neque ulla in parte ut dividuum, ita ad Deum omnia respiciunt. » Rursus : « Quemadmodum in anima conjunctæ sunt inter se quæ ex parte in lucem veniunt totius corporis facultates, ita in Deo quoque. Neque enim absurdum esse dicit ex obscuris imaginibus ad universi principium procedere et oculis divinis singula quæque contemplari in universi prima causa conjuncta et in unitate comprehensa. »

B Γ. Καὶ ἵν' ὑποδείγμασι τρισὶ καὶ τέτρασι διαλευκανθείη τὰ εἰρημένα, προκείσθω νῦν διδάσκαλος ἡμῖν ὁ μέγας τῆς Ἐκκλησίας φωστὴρ Διονύσιος, ἐκ τῶν τῇ αἰσθήσει γνωρίμων καὶ αὐτόθεν τὸ πιστὸν ἐχόντων καὶ ἅπασιν ὡμολογημένων τὸ συγκεχωρημένος παριστῶν τὸ ζητούμενον. Θέλων γὰρ διδάξαι πανταχοῦ τὸν Θεὸν εἶναί τε καὶ [f. 163 v.] πᾶσι μεθεκτόν, ὡς ἐκείνῳ προσήκει, ταῖς κοιναῖς καὶ πᾶσι προδήλοις ἐννοίαις πρὸς τὴν τῶν ὑπὲρ αἴσθησιν κέχρηται δήλωσιν. « Ὥσπερ γὰρ ἐν κέντρῳ, » φησὶ, « πᾶσαι αἱ τοῦ κύκλου γραμμαὶ κατὰ μίαν ἕνωσιν συνυφιστήκασι, καὶ πάσας ἔχει τὸ κέντρον ἐν ἑαυτῷ τὰς εὐθείας ἑνοειδῶς ἡνωμένας πρός τε ἀλλήλας καὶ πρὸς τὴν μίαν ἀρχὴν ἀφ' ἧς προῆλθον, οὕτως ἐκ Θεοῦ καὶ ἐν Θεῷ τὰ ὄντα πάντα συνειλημμένως καὶ ἑνιαίως εἰσὶ, καὶ τὰ ἀλλήλοις ἐναντία. » Καὶ πάλιν, « Ὥσπερ φωνὴ μία καὶ ἡ αὐτὴ πρὸς πολλῶν ἀκοῶν ὡς μία μετέχεται, οὕτω καὶ ὁ Θεὸς εἷς ὢν καὶ ἀμερὴς ὑπὸ τῶν μεριστῶν ἀμερίστως μετέχεται. » Καὶ πάλιν, « Ὥσπερ σφραγῖδος μιᾶς ἐκτυπώματα πολλὰ μετέχει τῆς ἀρχετύπου σφραγῖδος ἐν ἑκάστῳ τῶν ἐκτυπωμάτων ὅλης καὶ τῆς αὐτῆς οὔσης καὶ ἐν οὐδενὶ κατ' οὐδὲν μέρος, οὕτω καὶ τοῦ Θεοῦ τὰ πάντα μετέχει. » Καὶ πάλιν, « Ὥσπερ ἐν τῇ ψυχῇ μονοειδῶς αἱ τῶν κατὰ μέρος πάντων προνοητικαὶ τοῦ ὅλου σώματος δυνάμεις, οὕτω κἀν τῷ Θεῷ. Οὐδὲν γὰρ ἄτοπον, » φησὶ, « ἐξ ἀμυδρῶν εἰκόνων ἐπὶ τὸ πάντων αἴτιον ἀναβάντας ὑπερκοσμίοις ὀφθαλμοῖς θεωρῆσαι πάντα ἐν τῷ πάντων αἰτίῳ μονοειδῶς καὶ ἡνωμένως. »

C

IV. Quibus dictis, Videte, inquit Gregoras, quomodo ex iis quæ sensibus **408** percepta ac aperta sunt mens invisibilis arripiat quæ firma sunt et ad rerum divinarum et supra sensus positarum cognitionem facile ascendat, et quomodo ex iis quæ natura sua sunt individua ad ea quæ in partes discreta cernuntur descendat, deinde rursus ex his ad individua redeat, neque tamen naturæ ipsius mysteriis excedat et simul materiæ naturam cum soleat induere et pro modo implere, alternis ac reconditis, ut dicunt, complicationibus et confusioni-

D Δ'. Ταῦτα εἰπὼν, Ὁρᾶτε, φησὶν ὁ Γρηγορᾶ, πῶς ἐκ τῶν τῇ αἰσθήσει γνωρίμων καὶ φανερῶν ὁ νοῦς ἀφανῆ, ὧν ἁρπάζων τὸ βέβαιον, ῥᾳδίως ἐκ τῆς πρὸς τὴν τῶν θείων καὶ ὑπὲρ αἴσθησιν εὕρεσιν ἀνατρέχει, κἀκ τοῦ φύσει ἀμεροῦς ἐς τὸ μεριστὸν κατιὼν ἀμερῶς αὖθις πρὸς τὸ ἀμέριστον ἐκ τῶν μεριστῶν παλινδρομεῖ (1), μήτε τῶν τῆς ἑαυτοῦ φύσεως ἐξιστάμενος μυστηρίων, καὶ ἅμα τὰς ὑλικὰς ἐνεργείας εἰωθὼς περιτίθεσθαί τε καὶ οἰκονομικῶς ἐκπληροῦν, ἀμοιβαίαις καὶ λελησμένοις φάναι παραπλοκαῖς τε καὶ συμφυΐαις συνάγων πρὸς ἑαυτὸν, καὶ

(1) Παλινδρομεῖων Cod.

ἀναλόγως τὸ ἑαυτοῦ φῶς πολλοῖς ἐνσπείρων ὑποκειμένοις, καὶ ὥσπερ πολλοῖς ἐφεξῆς κειμένοις καθόπτροις ἓν ἐμφανίζων πρόσωπον, καὶ τὸ κεχυμένον τῆς ὕλης ἄπειρον καὶ ἀόριστον οἰκείοις πέρασί τε καὶ σχήμασι μορφῶν καὶ συνδέων καὶ συναρμόττων. Καὶ ἡ πρὶν περιοδεύουσα τοὺς ἔνδον λογισμοὺς τῶν ἀπορρήτων καὶ θείων πραγμάτων ζήτησις, τῶν αἰσθητῶν ἤδη ἀναχωροῦσα τῇ τῷ νῷ προσηκούσῃ γνώσει ἀκολουθεῖ. Ἐντεῦθεν γὰρ καὶ τὰς θείας καὶ νοερὰς προόδους ἐθέλοντες δηλοῦν οἱ θεῖοι Πατέρες παραδείγματι φαινομένῳ ταῖς ἡλίου χρῶνται ἀκτῖσιν, αἳ τὴν ἐτυμολογίαν ἀπὸ τοῦ ἐκτείνεσθαι ἔχουσαι χέονται μὲν, οὐκ ἐκχέονται δὲ, ἀλλ' ἐκτείνονται πέρις κατὰ τὸ ἀνάλογον τῆς τῶν δεχομένων εὐρυχωρίας. Πληθύνεσθαι γὰρ ὁ θεῖος ἔφησε Μάξιμος τὸν Θεὸν τῷ καθ' ἕκαστον εἰς παραγωγὴν τῶν ὄντων βουλήματι, ταῖς προνοητικαῖς πρόοδοις πολλαπλασιαζόμενον, μένειν δ' ἀμερίστως ἕνα καθάπερ τὸν ἥλιον ἀκτῖνας μὲν πολλὰς προπέμποντα, μένοντα δ' ἐν τῇ ἑνότητι. Ὅταν γὰρ εἰς τὴν προβλητικὴν ἀποσκοπῶμεν δύναμιν τοῦ ἡλίου, μονοειδὲς καὶ ἑνιαῖον τὸ τῶν ἀκτίνων καταλαμβάνομεν πλῆθος· ὅταν δ' εἰς τὴν ἀστάθμητον καὶ μεριστὴν ποικιλίαν τῆς τοῦ κόσμου γενέσεως, τὰς ἀκτῖνας ἐκτεινομένας οἱονεί τινας χεῖρας ἐργατικὰς τό τε τῆς ἀριθμητικῆς ἐπιστήμης [f. 164 r.] ἀναλισκομένης δι' ἀπορίαν, τὸ ἓν εἰς ἀναρίθμητον πλῆθος σχιζόμενόν τε καὶ μεριζόμενον βλέπομεν. Οὕτω δὴ κἀπὶ τῆς ψυχῆς καὶ τῶν ταύτης δυνάμεων καὶ ἡμεῖς τοιούτοις χρώμεθα παραδείγμασιν, ἐνίοτε μὲν τὸν ὅμοιον τρόπον, ἐνίοτε δὲ τὸν ἀντίστροφον· δυοῖν γὰρ ὀργάνων ὄντων τῷ τῆς ψυχῆς ὀφθαλμῷ τῷ νῷ πρὸς γνῶσιν τῶν αἰσθητῶν πραγμάτων, τῆς τε αἰσθήσεως ἅμα καὶ διανοίας, ἐκ τούτων αὐτῷ τὴν ἐπιστήμην ἀεὶ συσκευαζομένην ὁρῶμεν κἀξ ἀτελοῦς διχονοίας εἰς ὁμόνοιαν συγγενῆ συνιοῦσαν, τῆς μὲν ἀναλήψεσιν ὁλοσχερεστέραις ἔξωθεν εἰσαγούσης τὰς πρώτας ἀρχὰς, ἐκ τῆς τῶν αἰσθητῶν συμπεφορημένης τε καὶ διηνεκῶς μεταβαλλομένης πολυφωνίας (1), τῆς δὲ παραδεχομένης τε καὶ παραπεμπούσης εἰς ἓν ἀκριβέστερον ἐπισκέψεως ἐργαστήριον τὸν νοῦν, καὶ ἀναχωνευούσης ἐκεῖ πρὸς ἐμπειρίας ὁμόνοιάν τε καὶ ἑνότητα. Οἷς γὰρ ἑτερότης πάρεστι, τούτων ἄπεστι σαφῶς ἡ ὁμόνοια· οἷς δὲ μὴ, τούτοις δὲ καὶ τὰ τῆς ὁμονοίας ῥᾷστα ἐμφύεται. Καὶ ὁ τοῦ ἡλιακοῦ παραδείγματος ξυνιεὶς εὐφυῶς τῆς κατ' αἴσθησιν ἐξεκεχωρήκει συνηθείας εὐθύς, καὶ τὴν τῆς ὁράσεως προσεδρείαν εἰς τοὺς νοητοὺς ῥᾳδίως ὀφθαλμοὺς μετενήνοχεν, ἡγεμόνας τῆς τοιαύτης εὑρίσκων ὁδοῦ τοὺς ἁγίους, τοῖς μὲν αἰσθητοῖς ἐνεῖναι λέγοντας ἔκστασιν γίνεσθαι, Θεῷ δ' ἥκιστα πάντων παρόντι πανταχοῦ καὶ τὰ πάντα πληροῦντι καὶ μηδενὸς λειπομένου τόπου ὃς τὴν θείαν ἔκτασιν δέξασθαι ἂν ἐπινοηθείη.

Ε'. Ὅμοιον γὰρ ἠχοῦσιν αἱ λέξεις, οὐχ ὅμοιον δ' ἔχουσι τὸ τῆς ἀναγωγῆς καὶ καταγωγῆς ὁρμητήριον, ἀλλ' ἄλλως μὲν ἐπὶ Θεοῦ, ἄλλως δ' ἐπ' ἀνθρώπων τοῖς ὀρθῶς τε καὶ εὐσεβῶς φρονοῦσι λαμβάνον-

A bus ad se referat et pro ratione ipsius lucem infundat multis eorum quæ ipsi subjecta sunt. Itaque quemadmodum multis e speculis una eademque facies apparet, et materias quæ effuse infinitæ sunt et interminatæ mens ad suam rationem ac naturam formet et inter se conjungit et componit. Investigatio autem quæ prius in rebus arcanis ac divinis versabatur, e sensibilibus jam egressa mentis consentaneæ rationi se adjungit. Quare sancti Patres dum divina ac spiritualia facta explicare student, pro exemplo luculento utuntur radiis solis, qui etymologice a radiando explicati funduntur quidem, nec tamen omnino effunduntur, sed extensi radiant circumcirca pro locorum latitudine. Nam plenum esse dicit sanctus Maximus Deum B cujusque rei causæ propriæ et varia multa transire rationes ejus providentiæ; tamen individuum eum **409** unum manere, ut sol, qui quanquam multos effundat radios, tamen maneat in unitate. Cum enim solis vim quæ effundit radios respicimus, totum aliquid et unum esse quod radios in se complectatur dicemus; sin autem vagam et particularem solis in mundo efficientiam spectamus, radios qui effunduntur tanquam manus operarias ad numerum referemus propter inopiam nostram, et unum illud quod ad numerum referri proprie non potest dividuum aliquid et in partes divisum putabimus. Sic de anima nostra ejusque facultatibus nos quoque hujusmodi exemplis utimur, interdum ad rationem consentaneam, interdum ad contrariam. C Nam cum duo organa animi nostri, oculus, mens, habeant ad res externas cognoscendas sensum et rationem, his ei semper parari videmus scientiam eamque ex imperfecto dissensu in unitatem et consensum coeuntem. Altera enim via extrinsecus primæ rerum imagines petuntur, ita quidem ut contemplatio res ipsas plenas concipiat earumque naturam in varietate sistat et continuo contrahat: altera autem via et recipit contemplatio et transfert res, ad unam dico firmiorem operationem mentis, ibique recondit ad rerum consensum et unitatem efficiendam. Quibus enim contraria insunt, sane consensus ille deest; quibus non, his facillime quoque consensus adhæret. Qui bene solis illud **410** D exemplum intellexerit, e mera sensuum perceptione facile egredietur, et res externas facile transferet ad oculos mentis, quos tanquam divinos hac in via duces deprehenderit, quippe qui in rebus externis dicant esse confusionem, contra Deum esse pulcherrimum ubique locorum et permanare omnia, neque ullum esse locum qui solus Dei extensionem contineat.

V. Sonant quidem verba notionem eamdem: sed non eamdem habent vim deductionis et relationis, sed alio modo de Deo, alio de hominibus accipiuntur ab iis qui ut fideles ac pii cogitant. Rursus

(1) πολυφωνίαις cod.

alio modo de rebus externis visibilibus, et mente cognitis, et divinis : « Hominis, inquit Chrysostomus, sunt verba, sed divina sunt cogitata per illa expressa. Fuge vocum ambiguitatem et rebus fidei adhære et verba ad calumniam arripere noli, sed inquire totum et judica secundum verba prolata; neve judex exsistas odiosus, sed concertator placidus. » Hæc quidem Chrysostomus : nos autem etiam ex aliis testimonia proferre possumus. Etenim de Deo et homine verba non ejusdem essę rationis dicit **411** etiam sancta Scriptura. « Ut enim pater, ait, misericors est erga filios, ita Dominus misericors erat erga eos qui timent eum . » Sed inter Domini misericordiam et patris humani mirum quantum intercedit. Rursus sancta Scriptura : « Estote vos perfecti sicut Pater vester cœlestis perfectus est. » Sed ad hanc perfectionem venire hominibus nunquam omnino continget. Rursus : « Ut me Pater misit, ego vos mitto. » Sed utriusque legationis non eadem est auctoritas. Hic enim qui cum Patre unus, missus est tanquam lumen a sole, contra illi ut ministri a despota. De quo hæc dicit Apostolus : « Tum cognoscam sicut et cognitus sum ; » nam plane necessarium est, inter Dei et hominis intelligentiam discrimen tantum esse, quantum inter Dei et hominis naturam.

VI. Quos igitur delectat superbire, et qui animum impium alunt et falsis excogitatis magna se facere opinantur, itaque pro arbitrio pervertunt et perverse explicant nominum ac verborum notiones, hi sane brevi manu a sanctis divinæ Ecclesiæ Patribus, ex aula cœlesti expelluntur Cylonii instar piaculi. Licet etiam afferre condemnationem illam quam Plato in Homeri carmina pronuntiavit, utpote quæ pravas libidines commendarent, deos tanquam homines repræsentantia, quæque ipsius reipublicæ constitutionem facile pervertere possent **412** pravisque moribus bonorum hominum aures offendere ; vel, ut quod magis huc quadrat dicam, blasphemorum ex pulsionem e sacris per ipsum nostrum Dominum Quemadmodum in rebus externis natura rudem quantam materiam exhibet hominibus, neque ut alia plurima ad usum satis apta, cum naturæ id proprium sit ut pro ordine sua res inter se conjunctas et inseparatas contineat, tamen ut res ad vitam necessariæ semper præsto sunt et invicem permutantur, ita quoque nomina ac verba sese habere conspicuum est, et præcipue quæ similitudinem reddant, tanquam materia quædam per se confusa, arte formata et ad usum modo pro singulari ratione modo pro scribentium aut dicentium argumentis commode adhibita et inversa. In his autem architecti sunt nostri sancti Ecclesiæ doctores, si nos revera Patrum bonorum bona proles dici neque quæ ab illis confecta, volumus suffodere, distrahere, conscindere, ut amentes et parricidæ isti faciunt, quos

ται, καὶ ἄλλως μὲν ἐπὶ τῶν αἰσθητῶν, ἄλλως δ' ἐπὶ τῶν θείων καὶ νοητῶν. « Ἀνθρώπινα γὰρ, ὁ θεῖος ἔφη Χρυσόστομος, τὰ ῥήματα (1), ἀλλὰ θεῖα νοήματα δι' αὐτῶν. Φεῦγε τὰ ἀπὸ τῆς λέξεως ὑποπαλλόμενα, καὶ νόει τὰ διὰ τῆς πίστεως θεωρούμενα. Μὴ προλαβὼν ἁρπάσῃς τὸ ῥῆμα εἰς διαβολὴν, ἀλλ' ἀνάμεινον τὸ τέλος καὶ κρῖνον τὸ λεγόμενον. Μὴ γίνου δικαστὴς δυσμενὴς, ἀλλὰ συναγωνιστὴς εὐμενής. » Καὶ ταῦτα μὲν ὁ Χρυσορρήμων· ἡμεῖς δὲ καὶ ἐξ ἑτέρων ἔχομεν παριστᾶν τὸ λεγόμενον. Καὶ γὰρ καὶ τὸ καθὼς ἐπὶ Θεοῦ καὶ ἀνθρώπων λεγόμενον οὐχ ὁμοίαν ἔχειν διάνοιαν ἡ θεία Γραφὴ συγχωρεῖ. « Καθὼς » γὰρ, φησὶν, « οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν. » Καὶ εἰσὶν οἱ τοῦ Κυρίου οἰκτιρμοὶ τῶν τοῦ ἀνθρώπου πατρικῶν οἰκτιρμῶν ἀπειροπλασίως ὑπέρτεροι. Καὶ πάλιν, « Γίνεσθε τέλειοι καθὼς καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι. » Πρὸς οὖν τοιαύτην ἐληλυθέναι τελειότητα πάντως ἀνθρώποις ἀδύνατον. Καὶ πάλιν, « Καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. » Ἀλλ' οὐχ ὁ αὐτὸς ἐπ' ἀμφοῖν τῆς ἀποστολῆς ὁ τρόπος· ὁ μὲν γὰρ ὁμοούσιος [f. 164 v.] ὢν τῷ Πατρὶ ὡς ἐξ ἡλίου φῶς ἀπεστάλη, οὗτοι δ' ὡς δοῦλοι πρὸς δεσπότου. Καὶ τὸ τοῦ Ἀποστόλου δὲ, « Γνώσομαι τότε, καθὼς καὶ ἐπεγνώσθην· » πᾶσα γὰρ ἀνάγκη τοσοῦτον εἶναι τὸ ὑπερβάλλον μεταξὺ τῆς θείας γνώσεως καὶ τῆς ἀνθρωπίνης, ὅσον καὶ τῆς θείας φύσεως πρὸς τὴν ἀνθρωπίνην.

Ϛ'. Οἱ οὖν πρὸς ὕβριν τρυφᾷν οἱ καιροὶ χαριζόμενοι νοῦν τε ἀλάστορα βρεφουργοῦσιν ἐν τῇ ψυχῇ, κἀκ τοῦ σαθρὰ φρονεῖν μεγάλα φρονεῖν χρηγοῦσι, κἀντεῦθεν πρὸς τὸ βουλόμενον ἕπεισι διαστρέφειν καὶ ἀνελίττειν κακῶς τὴν τῶν ὀνομάτων τε καὶ ῥημάτων διάνοιαν, τούτους οὐ μέγα ἔργον τοῖς θείοις Πατράσι τῆς θείας ἐλαύνειν αὐλῆς, καθάπερ Ἀθηναῖοι πάλαι τὸ Κυλώνειον ἄγος. Προσθείην δ' ἂν καὶ ξενηλασίαν ἐκείνην ἐγὼ, ἣν τῶν Ὁμήρου πάλαι Πλάτων ἐπῶν κατεψήφισται, ὅσα δήπουθεν αἰσχροὶ καθυβρίζουσιν ἔρωτες καὶ λέξεις ἀνθρωποπαθεῖς, ὁποῖαι τὸ τῆς ἐκείνου πόλεως; ἦθος κιβδηλεύειν ἔμελλον ἂν, σεμναῖς ἀσέμνως ἀκοαῖς ἐνοχλοῦσαι· μᾶλλον δ' εἰπεῖν οἰκειότερον, ὡς πρὸν τοὺς θεοκαπήλους ἐκείνους ὁ Κύριος ἐκ τοῦ ἱεροῦ. Ὥσπερ γὰρ ἐπὶ τῶν φαινομένων πραγμάτων ἡ μὲν φύσις ἀνεῖδεον τρόπον τινὰ τὴν ὕλην παρέχει τοῖς ἀνθρώποις καὶ ὑπεναντίαν ὡς τὰ πολλὰ πρὸς τὸ χρήσιμον, ἐπειδήπερ ἡ μὲν φύσις τὸν αὐτὸν ἀεὶ συγκεχυμένον καὶ ἀδιάκριτον τρόπον τηρεῖ τῆς γενέσεως, ἃ δ' ἀπαιτοῦσιν αἱ διηνεκεῖς καὶ διάφοροι τῶν ἀνθρώπων χρεῖαι, ταῦτα μεταβάλλει πάντα πολλαχῇ καὶ πολυτρόπως ὑπ' αὐτῶν πρὸς τὸ χρήσιμον, οὕτω καὶ τά τ' ὀνόματα καὶ ῥήματα διαγνοίη ἄν τις ἔχοντα, καὶ μάλισθ' ὅσα ταῖς ὁμωνυμίαις περιδινεῖται, καθάπερ ὕλη τις διάφορος ὑπὸ τῆς τέχνης παιδαγωγούμενά τε καὶ πρὸς τὸ χρήσιμον τοῖς καιροῖς καὶ ταῖς τῶν γραφόντων καὶ διαλεγομένων κατ' οἰκονομίαν ὑποθέσεσι μεθαρμοζόμενά τε καὶ μεταλαμβανόμενα. Καὶ τούτων ἡμῖν ἀρχιτέκτονες

(1) Χρυσοστόμου ἐκ τοῦ Εἰς τὰς σφραγῖδας τῶν βίων καὶ εἰς τὴν τοῦ Σωτῆρος οἰκονομίαν.

οἱ θεῖοι τῆς Ἐκκλησίας διδάσκαλοι γίνονται, εἰ βουλοίμεθα προγόνων φάναι χρηστῶν ἀπόγονοι χρηστοὶ καλεῖσθαι, μηδαμῇ τὰ ἐκείνων τοιχωρυχοῦντες καὶ παρασπῶντες καὶ σπαράττοντες κατὰ τοὺς ἀγνώμονας καὶ πατραλοίας παῖδας ἐκείνους, οὓς ἐξώλεις καὶ προώλεις ἐπαρῶνται πάντες ἀπόλλυσθαι· ὥσπερ δήπου καὶ Πέτρος ὁ θεῖος ἀπόστολος, διδάσκων μὴ διαστρέφειν τὰς θείας Γραφὰς πρὸς κακίαν ἀντίβλωπον, καὶ τάδε προστίθησιν· « Ὡς ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος κατὰ τὴν αὐτῷ δοθεῖσαν σοφίαν ἔγραψεν ὑμῖν, ὡς καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς λαλῶν ἐν αὐταῖς περὶ τούτων. Ἔν αἷς ἐστι δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν, ὡς καὶ τὰς λοιπὰς Γραφάς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν. »

A perditos, scelestos, dignos qui pereant, exsecrantur omnes. Quare sanctus apostolus Petrus dum monet ne sacras Scripturas interpretemur malitiose, hæc dicit : « Sicut et charissimus frater noster Paulus secundum datam sibi sapientiam scripsit vobis, sicut 413 et in omnibus epistolis, loquens in eis de his, in quibus sunt quædam difficilia intellectu, quæ indocti et instabiles depravant, sicut et cæteras Scripturas, ad suam ipsorum perditionem. »

Ζ'. Ὁρᾶτε πῶς δεῖ τοῖς τοιούτοις συνετῶν ὁμοῦ καὶ εὐγνωμόνων καὶ οὐδαμῇ κακοδαιμόνων ἀκροατῶν, ὁποῖοι πρὸς ἀμαθίας ἄμουσον μουσεῖον φοιτᾷν [f. 225 v ] εἰώθεσαν ἐκ παίζων καὶ ἐπαλέα λέσχην, ὅπου μηδαμῇ δικαιοσύνης γεωργεῖσθαι ἴσασι καρποί, μήτε μὴν οὐδ' οἱ μετ' ἀρετῆς εὐδοκιμεῖν ἰδρῶτες, ἀλλὰ κακίας τρόφιμοι φωναὶ καὶ γλῶτται, καὶ πρός γε τοντρχί τε καὶ διάστροφοι διάνοιαι πρὸς τὴν ἰδίαν ὑπόληψιν τὰ τῶν θείων Πατέρων διαστρέφουσαι ῥήματα· ὃ δὴ καὶ Παλαμᾶς τετόλμηκεν ἐφ' ἡμῶν, μισθοφόρον ὄργανον ἀσεβείας γενόμενος ἐκεντί. Ἐπεὶ δ' ἐς τόδε τέλους εὔζωνον εἶπεῖν καὶ μάλα γέ τι ῥᾴδιον τὸ τῆς διαλέξεως ἐκείνης ἐχώρει προοίμιον, καὶ τὰς τῶν Παλαμιτῶν ἐκείνων ὁμολογίας διὰ τῶν θείων καὶ ἀφύκτων Γραφῶν ἀναμφιλέκτους ἐκ πρώτης φάναι γραμμῆς ὁ Γρηγορᾶς ἐχειροῦτο, καὶ μίαν ἔπειθεν ὁμολογεῖν εἶναι θεότητα ἄκτιστον καὶ φῶς ἓν ἀπρόσιτον καὶ ἀδιάδοχον, τὴν μακαρίαν καὶ τριυπόστατον μόνην οὐσίαν, καὶ ταύτην μὴ μόνον ἀόρατον, ἀλλὰ καὶ νοῦ καὶ λόγου παντὸς ὑπερτέραν παντάπασι, « Σκεπτέον, » ἔφησε, « πόθεν κἀκ ποίας αἰτίας ὁρμώμενος Παλαμᾶς δεύτερον ἐδογμάτισεν ἄκτιστον εἶναι φῶς ὑπὲρ τοὺς ἀγγέλους μὲν, ὑφειμένον δ' οὖν ἀπειράκις τῆς μακαρίας ἐκείνης καὶ θείας οὐσίας· πόθεν δὲ καὶ ποίαν εἰλήφει τὴν πρόφασιν ἐκ τοῦ τοιοῦδε φωτὸς πλῆθος εἰσενεγκεῖν θεοτήτων ἀκτίστων καὶ ἀνουσίων, τῆς θείας οὐσίας διαφόρων πάντη καὶ ἑτερογενῶν. Ἐγὼ γὰρ οὐκ οἶδ' ὁπότερον εἴποιμι ἄν· ἢ γὰρ οὐκ ἀκήκοε διαῤῥήδην τῆς ἁγίας ἕκτης καὶ οἰκουμενικῆς συνόδου βοώσης τὰ ἐναντία, ἢ ἀκούσας οὐκ ἤσθετο, ἢ αἰσθόμενος, ἀπῳδόν τε ἔκρινε καὶ μηδεμιᾶς τινος ὅλως ἀξίαν φροντίδος εὐλόγου. Φασὶ γὰρ οἱ τὴν θείαν ἐκείνην σύνοδον συγκροτήσαντες θεῖοι Πατέρες ὡ, Ἡμεῖς οὔτε τρεῖς τινας θεοὺς ἐπιστάμεθα οὔθ' ὅλως πολλοὺς θεοὺς ἢ φύσει, ἢ οὐσίας ἢ θεότητας ἔγνωμεν ἢ γινώσκοντας οἴδαμεν, ἀλλὰ καὶ τὸν ἔχοντα ἢ φρονοῦντα ἢ γινώσκοντα τοῖς ἀναθέμασι βάλλομεν.» Τούτοις ἡ Παλαμικὴ φατρία ἐκείνη τοιάνδε τινὰ τὴν ἀντίθεσιν ἐπεισήνεγκε· « Τὸν μὲν τῆς ἕκτης συνόδου τοῦτον ἀναθεματισμὸν ὑπερθετέον ἐν τῷ παρόντι. Δεῖ γὰρ ἀποκρίνασθαι ὡς οὐκ ἄλογός τις ἡμῖν ἐγεγόνει πρόφασις πρὸς δευτέρας θεότητος ἔννοιάν τε καὶ πίστιν, ἀλλὰ καὶ μάλα τι εὔλογος. Δείξασι γὰρ ἡμῖν τὴν τῶν θείων Γραφῶν δύναμιν ὅθεν ἡμῖν

VII. Videte igitur ut hujusmodi res desiderent viros prudentes et placidos, nec vero auditores B malignos quales sunt qui ignorantiæ museum indoctum frequentare inde a pueritia consuerunt et officinas ferrarias ubi neque justitiæ fructus capiuntur neque sudor honestus æstimatur, sed nequitiæ voces et linguæ clamant, et malæ pravæque notiones pro cujusque mentis conceptu captæ sanctorum Patrum præcepta pervertunt. Quod inter nos Palamas ausus est, qui ultro impietatis mercenarius exstitit, cum ad illud bene exstructum, ut ita dicam, et subtile dialectices proœmium successisset et Palamitarum homologias divinis et invictis Scripturis prima ut dicant litterula Gregoras repressisset. Nam unam contendit esse deitatem increatam et lucem unam inaccessibilem et sempiternam beatitudinem, et in Trinitate unam essentiam eamque non solum invisibilem, C sed etiam supra mentem ac rationem nostram positam. Inquirendum autem, inquit, unde et qua ratione commotus Palamas alteram statuerit esse lucem increatam, angelis quidem 414 superiorem, sed multo inferiorem beatitudine illa et divina essentia. Deinde, unde et qualem prætextum habuerit e luce illa multitudinem deducere deitatum increatarum et inessentialium, quæ, a divina essentia prorsus diversæ sunt et alius generis. Equidem sane dicere nescio. Aut non audivit ille quæ sancta sexta œcumenica synodus contraria clara voce exclamavit; aut audivit, sed non concepit, aut concepit, sed dissona esse judicavit et quæ nulla D omnino digna essent æstimatione. Dicunt enim qui sanctam illam synodum congregarunt sancti Patres: « Nos neque tres quosdam deos novimus, neque plures deos vel naturas vel essentias vel deitates agnoscimus, neque hujusmodi opinionis asseclas agnoscimus; sed cum qui hæc intelligat aut cogitet aut agnoscat anathemate damnamus. » Quibus Palamitarum sodalitas opposuit hæcce : « Sextæ synodi anathema illud in hujusmodi rebus nihil valet. Nam licet respondere, nos non sine ratione alteram deitatem agnoscere et credere, sed profecto ratione sana. Jam si nos niti demonstraverimus sacræ Scripturæ auctoritate, hinc utrumque patefiet, in nos neque vituperationem ullam neque anathema cadere posse. Neque id aliunde

demonstramus quam e luce quæ in monte Thabor olim circum Domini corpus apparuit, **415** de qua etiam magnus ille theologus Gregorius dicit, eluxisse in corpore et deitatem submanifestasse et revelasse Deum in carne latentem ; et iterum quam dicit lucem in monte deitatem oculis clarissimam prodentem, quæ olim visa sit apostolis, nunc vero iis qui Palamam sequuntur, et ante hos aliis paucis. Quare dicere licet, hanc invisibilem esse in Deo, illam visibilem, sed increatam ; hanc imparticipabilem, illam participabilem; hanc superiorem, illam inferiorem. Ineptum enim esse dicit, credere cœli regione relicta totum illud divinum terrenis hisce hominibus rudibus maximam partem et sordidis et maculatis interesse. Qui enim, inquit, Deus ille nominari potest supremus, qui descenderit inde et in terra hominibus iisque flagitiosis intersit ? Est igitur essentia ejus superior deitas increata semper in cœlestibus thalamis, et hac de causa semper invisibilis et imparticipabilis, sed naturæ hujus inferiores variæ essentiæ sunt deitates, eaque de causa inessentiales simul participabiles et visibiles nobis. »

A ἡ πρόφασις, αὐτόθεν αὐτομάτως πάντως ἐκάτερα ἔψεται, τῆς τε μέμψεως ἡ ἀπόφασις καὶ ἅμα ἡ τοῦ ἀναθεματισμοῦ ἀναχώρησις. Οὐ γὰρ ἄλλοθεν ἀλλ' ἢ ἐκ τοῦ ἐν Θαβωρίῳ πάλαι τῷ ὄρει περὶ τὸ τοῦ Κυρίου σῶμα γενομένου τε καὶ φανέντος φωτὸς, περὶ οὗ καὶ τὸν ἐν θεολογίᾳ μέγαν συνηνέχθη λέγειν Γρηγόριον λάμψαι τῇ μορφῇ καὶ τὴν θεότητα παραδεῖξαι, καὶ γυμνῶσαι τὸν ἐν τῇ σαρκὶ κρυπτόμενον. Καὶ πάλιν · [f. 226 b] » Φῶς ἦ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους μικροῦ στερρότερα καὶ ὄψεως · ὃ τότε μὲν ἐωράθη τοῖς ἀποστόλοις, νῦν δὲ τοῖς ἀμφὶ τὸν Παλαμᾶν ἀεί, καὶ πρό γε τούτων ἄλλοις οὐκ ὀλίγοις, ὡς ἐξεῖναι λέγειν ἐντεῦθεν τὸ μὲν ἀόρατον τοῦ Θεοῦ, τὸ δ' ὁρατὸν μὲν, ἄκτιστον δὲ, καὶ τὸ μὲν ἀμέθεκτον, τὸ δὲ μεθεκτὸν, καὶ τὸ μὲν ὑπερκείμενον, τὸ δ' ὑφειμένον. Ἄτοπον γὰρ τὸν οὐράνιον χῶρον ἀπολιμπάνον ὅλον παρεῖναι τὸ θεῖον τοῖς ἐπιγείοις τούτοις, οὕσι ῥυπαροῖς τὸ πλεῖστον εἰπεῖν καὶ δυσώδεσι καὶ μεμολυσμένοις. Ἢ πῶς ἂν ὕψιστος λέγοιτο Θεὸς κατιὼν ἐκεῖθεν καὶ τοῖς ἐπιγείοις καὶ ἐφαμάρτοις συνδιατρίβων ; Ἀλλ' εἶναι τὴν μὲν οὐσίαν αὐτοῦ ὑπερκειμένην θεότητα ἄκτιστον, ἀεὶ τοῖς οὐρανίοις θαλάμοις ἐνδιατρίβουσαν, καὶ διὰ τοῦτο μένουσαν ἀόρατον πάντη καὶ ἀμέθεκτον · τὰς δὲ ἐνεργείας αὐτῆς ὀφειμένας θεότητας, διαφόρους τῆς οὐσίας, καὶ διὰ τοῦτ' ἀνουσίους καὶ ἅμα μεθεκτὰς καὶ ὁρατὰς ἡμῖν. »

B

VIII. Ad hæc Gregoras, « Quomodo, inquit, melius quis convincatur se cum semet ipso unaque cum deitate pugnare ? ut ejusdem Gregorii de hoc verbis utar. Nam si quis, quæ modo fundamenta sibi posuit **416** communibus et piis Ecclesiæ præceptis innisus, hæc paulo post tempore quasi pœnitentia commotus ipse suffodit et aufert : nonne præceptorum violatorem se reddit, ut sanctus apostolus dicit, unaque qui semet ipsum et deitatem impugnet ? Affirmavit enim ipse in proœmiis, docens lucem unam inaccessibilem esse unam illam increatam beatæ Trinitatis essentiam et deitatem ; et quia inaccessibilem dixit et invisibilem, declaravit etiam multo præstantiorem ; quæ vero luce hac inferiora lumina, esse creata. Sunt autem hæc alia innumera et quotquot ille ipse eodem nomine secundum lucis in pluribus manifestationem commemorat in libro de baptismate. Quid igitur ? nonne magnus hic præceptor semet ipsum et deitatem impugnare videtur ? Apage, hæc amentis doctrinæ et linguæ peccata in Spiritum divinum, dolose in verbis quibusdam pulchris recondita. Nam cum multa hic enumeret lumina et horum unum dicat illud quo deitatem nobis non ipsam manifestari, sed tantum submanifestari : ipsa hæc *sub* præpositio temeritatem coercet eorum qui tam stulte divina ludere student, ut a nobis in aliis multis dictum est, et cum progressi erimus loco suo planius exponetur. Breviter nunc dicat Chrysostomus noster Joannes : « Sæpe, **417** inquit, dictum est divinam naturam non qualis revera sit nobis apertam fieri, sed qualis oculis vel auribus naturæ mor-

C

D

Η'. Πρὸς ταῦτα ὁ Γρηγορᾶς, « Καὶ πῶς ἄν τις, » φησὶν, « ἐλεγχθείη μᾶλλον καὶ ἑαυτῷ μαχόμενος καὶ τῇ θεότητι; ἵνα τοῖς αὐτοῦ Γρηγορίου περὶ αὐτοῦ λέγων χρήσωμαι. Εἰ γὰρ ἅπερ αὐτὸς θεμελίων ὑπέθηκε τρόπον, ταῖς κοιναῖς καὶ εὐσεβέσι τῆς Ἐκκλησίας ἐννοίαις ἐπόμενος, ταῦθ' ὥσπερ ἐν μεταμέλῳ γενόμενος γνώμης διορύττει καὶ ἀναιρεῖ, πῶς οὐ παραβάτην ἑαυτὸν δείκνυσι, κατὰ τὸν θεῖον φάναι ἀπόστολον, καὶ ἅμα ἑαυτῷ μαχόμενον καὶ θεότητι; Δέδεικται γὰρ αὐτὸς ἐν προοιμίοις διδάσκων ἡμᾶς ὡς ἓν ἀπρόσιτον εἶναι τὴν μόνην ἐκείνην ἄκτιστον τῆς μακαρίας Τριάδος οὐσίαν τε καὶ θεότητα. Ἀπρόσιτον δ' εἰπὼν καὶ ἀόρατον δεδήλωκεν εἶναι μετὰ πολλοῦ τοῦ κρείττονος · τὰ δὲ μετ' αὐτὸ πάντα φῶτα κτιστά. Εἶεν δ' ἂν ἄλλα τε μυρία, καὶ ὅσα μᾶλλον αὐτὸς τὴν ὁμώνυμον φωνὴν τοῦ φωτὸς κατὰ τὴν εἰς πλεῖω σημαινόμενα ποιησάμενος ἔκτασιν ἐν τῷ περὶ βαπτίσματος ἐξέθετο λόγῳ. Οὐ τοίνυν ἑαυτῷ [f. 227 a] μαχόμενος καὶ θεότητι φαίνοιτ' ἂν ὁ μέγας οὗτος διδάσκαλος ; Ἄπαγε. Μαινομένης ταυτὶ διανοίας καὶ γλώττης εἰσὶ παρευρήματα κατὰ τοῦ ἁγίου, ἤθεσι χρηστοτέροις δολερῶς κρυπτόμενα. Πολλὰ γὰρ ἐκεῖνος ἀπαριθμησάμενος λέγεσθαι φῶτα, ἓν τῶν πολλῶν εἶναι λέγει κἀκεῖνο τὸ φῶς, ἐν ᾧ μὴ δεδεῖχθαί φησιν, ἀλλὰ παραδεδεῖχθαι τηνικαῦτα τὴν θεότητα, τῆς *παρὰ* προθέσεως κολαζούσης τὸ αὔθαδες τῶν ἀτόπως τὰ θεῖα βωμολοχεῖν ὡρμημένων, ὡς καὶ ἡμῖν ἐν ἄλλοις εἴρηταί τε καὶ αὖ προϊοῦσι τρανότερον εἰρήσεται κατὰ χώραν. Παρίτω δ' ὅμως ἐν βραχεῖ ὁ Χρυσορρήμων ἡμῖν συμμαχῶν Ἰωάννης, Εἴρηται, λέγων (1) πολλάκις ὡς ἡ θεία φύσις οὐ φαίνεται ὡς ἔστιν, ἀλλ' ὡς

(1) Ἐκ τοῦ Εἰς τὸ Εὐαγγέλιον, καὶ τίνος χάριν ἐν τῇ ἁγίᾳ Πεντηκοστῇ ἦλθε τὸ Πνεῦμα τὸ ἅγιον.

ἐπιμετρεῖτῇ ὄψει ἢ τῇ ἀκοῇ τῆς θνητῆς φύσεως· καὶ ἵνα μὴ εἰς ὕβριν ἐκλάδῃς τὸ τὴν ἁγίαν καὶ προσκυνητὴν φύσιν πυρὸς ὄψει φανῆναι, « Ὤφθησαν γάρ, φησί, διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, » ἑρμηνεύει τὰ νέα τὰ διὰ Μωϋσέως πάλαι γενόμενα. Λέγει γὰρ Μωϋσῆς, « Καὶ ἦν τὸ εἶδος τοῦ Θεοῦ Ἰσραὴλ ἐν τῷ ὄρει Σινᾶ ὡς πῦρ καιόμενον. » Ἀλλ' ὅρα, φησί, καὶ τὴν λέξιν ἐκείνην συμφωνοῦσαν ταύτῃ τῇ νέᾳ· οὐ γὰρ εἶπε πῦρ, ἀλλ' ὡς πῦρ. Καὶ ἐνταῦθα Ὤφθησαν γλῶσσαι ὡσεὶ πυρός.» Καὶ ταῦτα μὲν ὁ Χρυσορρήμων ἐκ πολλῶν ἀπολεξαμένοις ἡμῖν ὀλίγα διέξεισιν· ὁρᾶτε δὲ πῶς βραχείας λέξεως προσθήκη τὸ αὔθαδες καὶ τολμηρὸν θεραπεύει τῆς ἐννοίας, καὶ ἀναστέλλει τὸ ἀχαλίνωτον, εἴ τινες εἶεν ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν ὡρμημένοι δι' ἀμαθίαν ἢ δυστοπίαν κακοδαίμονος γνώμης. Κἀνταῦθα τοιγαροῦν τῆς παρὰ προθέσεως προστεθείσης, μεγίστη γέγονε καὶ τῶν ἀτόπων ἐννοιῶν συστολή, καὶ διὰ τῆς βραχείας ταυτησὶ προσθήκης μεγίστην ἔσχε ῥοπὴν ἡ τῆς ἀληθοῦς ἐννοίας ἔνδειξις ὁμοῦ καὶ εὐγένεια, περιφανῶς ἀνατρέπουσα τὴν πολύγλωσσον ἀωρίαν οἷς οὐκ αἰδὼς τὰ θεῖα βοσκηματώδεσι βεβηλοῦν ἐννοίαις. Εἰ δέ τῳ πρὸς βουλήσεως εἴη ἐνταῦθα καὶ τοῦτ' αὐτῶν ἐπισκώπτειν, ὅθ' ὑπερτιμᾷν δοκοῦντες ἐκεῖνο τὸ φῶς ἀτιμάζουσι μᾶλλον ὑπὲρ τὸ δέον, κεραννύντες καὶ συμμιγνύντες τοῖς ἐκ διαμέτρου πᾶσιν ἐναντιώμασιν, ὁρατὸν [f. 227 *b*] ἄκτιστον λέγοντες καὶ μεθεκτὸν ἀπρόσιτον καὶ ἄϋλον καθ' αὐτὸ μεριστὸν καὶ ὅσα τοιαῦτα, οὐκ ἔγωγε διοίσομαι, οὐδ' ἑκών γε εἶναι τουτῳὶ νεμεσήσειν ἄν. Ἀλλὰ καὶ τὸ ἀνεγκλήτῳ μένειν παντάπασι τό γ' ἐμὸν μέρος ἀσμένως αὐτῷ κομιδῇ χαρισαίμην· καὶ οὗτοι γὰρ ἃ μηδὲ τοῖς κτίσμασιν οὐκ ἄν τις τολμήσῃ παρέχεσθαι, δαίμοσι δηλαδὴ καὶ ψυχαῖς καὶ ἀγγέλοις (ἀόρατος γὰρ καὶ τούτων ἁπάντων ἡ φύσις, εἰ μὴ διὰ συμβόλων καὶ τύπων σωματικῶν ἐνίοτε φαίνοιντο τὸν ἑκάστοις προσήκοντα τρόπον), τούτοις ἀσμένως συναριθμεῖσθαι τὰς οἰκείας θεότητας συνωθοῦσι τὰς ἀκτίστους καὶ ἀπροσίτους, καὶ μάλιστα πασῶν τὸ διειλημμένον ἐκεῖνο φῶς. Ὥσπερ γὰρ ἀνανδρίας ἑκατέρωθεν ἔλεγχον ἀμφοῖν ἄμφω κομίζει, τῷ τε μὴ θέλοντι θνήσκειν ὅτε δεῖ, καὶ τῷ θέλοντι πάλιν ὅτε μὴ δεῖ, οὕτω κἂν ταῖς θείαις τιμαῖς τὸ ὑπερβάλλον οὗ μὴ προσήκει, οὐ τιμὴν παρέχει Θεῷ, σκοπὸν ὕβρεως τηνικαῦτα τῆς τοῦ εὐλαβοῦς προσποιήσεως συμπορευόμενόν τε καὶ συμπλέοντα κεκτημένης. Πολλοῦ μέντ' ἂν δεήσειε μὴ καὶ πρὸς τὴν Ναυάτου μισανθρωπίαν ὠθεῖν τὴν μίμησιν, ὃς τὴν ἀρετὴν ἐς τὸ ὑπερβάλλον τιμᾷν προσποιούμενος, ἔλαθε τὸ τοῦ Θεοῦ φιλάνθρωπον ἐξ αὐτῶν κρηπίδων ἀντικρυς ἀναιρῶν, τὴν ἐξ ἁμαρτίας μετάνοιαν οὐδαμῶς προσιέμενος, καὶ προσηγορίαν εὐλαβείας ἐν ἀωρίᾳ προφάσεως ἑαυτῷ προμνώμενος, τὰ χείριστα τῆς κακίας τοῖς ἠκολουθηκόσι προὐξένησεν· οὕτω χείριστόν ἐστι ὑπὲρ τὸ δέον ἄττειν καὶ Πατρῶν ὅρια κινεῖν. Ἀντιφωνεῖν γὰρ ἀνάγκη τοῖς ἀφανέσι τῶν ὀρέξεων ἐνταῦθα πάθεσι τὰ χειρὸς καὶ γλώττης ἐμφανῆ κινήματα, καὶ σφετέροις σφέτερα μέρεσι

talis appareat. Et ne scandalizeris quod divina et adoranda natura ignis specie visa sit; nam « Linguæ, ut legimus, dispersæ tanquam igneæ apparuerunt, » explicantur hæc Novi Testamenti verba his quæ Moses tradit: « Et videbatur forma Dei Israel in monte Sinai tanquam ignis flagrans. » Vide autem hæc verba quomodo cum Novo Testamento consentiant. Nam non « ignem » hic dicit, sed « tanquam ignem; » itemque linguæ videbantur « tanquam igneæ. » Hæc igitur quæ ex aliis multis pauca elegi dicit Chrysostomus. Videtisne ergo quomodo breve etiam verborum additamentum temeritatem et licentiam mentis castiget, et frenet insolentiam, si fines quidam transilire propter ignorantiam et pravam certandi libidinem studeant? Nam adjecta illa *sub* præpositione, gravissima orta est ineptorum argumentorum publicatio, et breve additamentum illud ad veram sententiam declarandam et confirmandam summi momenti est; quo nempe manifesto vana concertatio repressa est eorum quibus non pudor est divina turpissimis sententiis profanare. Sed liceat mihi etiam perstringere quod illi lucem illam dum nimii æstiment, **418** plus æquo potius abjiciunt, cum confundant sic et commisceant cum iis quæ prorsus aliena sunt, visibilem dicentes quæ lux increata, participabilem quæ inaccessibilis, dividuam quæ sine materia est. Hujusmodi jam alia sunt multa quæ nunc taceo. Neque consulto illi succenseam, imo quod quidem ad me attinet, illum omnino non reprehendendum esse malim. Sed hi quod quis non facile creaturis tribuere velit, dæmonibus aperte et animis et angelis, quorum sane omnium natura invisibilis est, præter quod symbolis et typis corporeis interdum pro ipsorum singuli quique natura nobis apparent, annumerant ipsas deitates increatas et inaccessibiles et præ aliis omnibus lucem illam quam diximus. Quemadmodum autem ignaviæ opprobrio dignus est uterque, et qui mori non vult cum debet, et qui vult cum non debet, ita quoque in divinis attributis quod nimium est non honorem fert Deo, cum semper si quid additur id arrogantiæ culpam habeat et secum ferat. Qua ratione non multum abest quin ad Novati odium imitandum compellamur, qui cum virtutem supra modum æstimare simulans, Dei hominum amorem in ipsis fundamentis evertit. Nam peccatoris pœnitentiam nihili habuit; et cum cautioni pro inutili excusatione **419** totus confideret, posteris flagitia summa præparavit. Quare pessimum est supra modum æstimare aliquid et Patrum præcepta immutare. Fit enim ut discrepent ab occultis animi motibus manus et linguæ motus conspicui, et inter singula membra repugnantia quædam et dissensio alatur, donec tempus justitiæ certa trutina adhibita apertum opprobrium in lucem ferat et eos qui honore fruituros se sperarent ignominia notatos ostendat. Quod experti sunt qui Actistitarum hæresin protulerunt. Hi enim Christi corpus celebraturi in-

creatum id esse dogmate statuerunt; qua re non levem Christi Ecclesiæ morbum conflaverunt et pro honoratione majori effecerunt contaminationem. Quare inventio ista proprio nomine Actistitarum (increatistarum) nominata et a fidelibus proclamata est. Simile quiddam Gregorius Theologus ad Eunomium scribit : « Tu, inquit, quæ supra essentiam et naturam sunt Patri adjicis, Filium autem iisdem privas'; cui secundam tribuis honorationem et venerationem; nam etsi verbo quidem ei idem concedis, re tamen deitatem circumcidis, et a nominis similitudine **420** quæ unum idemque continet, recedis ad eam quæ non idem amplectitur. » Rursus alias : « Deus non est creatura, neque dominus idem qui servus, etiamsi princeps sit inter servos vel creaturas. »

μέρη πολέμια καὶ ἀντίφθογγα τρέφειν αὐτόν τινα ἑαυτῷ, ἕως ἂν σαφῆ τὸν ἔλεγχον ὁ χρόνος ἐπικούρους εἰληφὼς τὰς ἀψευδεῖς τῆς δίκης πλάστιγγας εἰς ὕπαιθρον ἐξενέγκῃ θέατρον, καὶ οἰομένους τιμὴν κερδαίνειν ἐν τοῖς ὄφλουσιν αἰσχύνην εὑρισκομένους ἐνδείξηται. Ὁποῖον δήπου πεπόνθασι καὶ οἱ τὴν τῶν Ἀκτιστιτῶν [f. 228 a] αἵρεσιν ὑποστήσαντες· οἰόμενοι γὰρ τιμᾷν τὴν τοῦ Χριστοῦ σάρκα ἄκτιστον ταύτην ἐδογμάτισαν εἶναι, κἀντεῦθεν οὐ μικρὸν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ παρεισήνεγκαν νόσημα καὶ ἀντὶ τιμῆς ἀτιμίαν πεπράχασι· διὸ καὶ ἰδία τις αὕτη αἵρεσις Ἀκτιστιτῶν ὠνομάσθη τε καὶ ἀποκεκήρυκται πρὸς τῶν εὐσεβῶν. Παραπλήσιον δέ τι καὶ ὁ Θεολόγος ἔφη Γρηγόριος πρὸς Εὐνόμιον, « Τὸ ὑπὲρ πᾶσαν, λέγων (1), οὐσίαν καὶ φύσιν τῷ μὲν Πατρὶ διδοὺς, ὦ ἄνθρωπε, τὸν δ' Υἱὸν ἀποστερῶν καὶ τὰ δεύτερα νέμων αὐτῷ τῆς τιμῆς καὶ τῆς προσκυνήσεως, κἂν ταῖς συλλαβαῖς χαρίζῃ τὸ ὅμοιον, τῷ πράγματι περικόπτεις τὴν θεότητα, καὶ μεταβαίνεις ἀπὸ τῆς τὸ ἴσον ἐχούσης ὁμωνυμίας ἐπὶ τὴν τὰ μὴ ἴσα συνδέουσαν. » Καὶ ἀλλαχοῦ, « Οὐ γὰρ Θεὸς τὸ κτιζόμενον, οὐδὲ δεσποτικὸν τὸ ὁμόδουλον, κἂν τὰ πρῶτα φέρηται δουλείας καὶ κτίσεως, καὶ τοῦτο μόνον φιλανθρωπεύηται ὑβριζόμενον· ὁ γὰρ τῆς ὀφειλομένης ἀποστερῶν τιμῆς οὐ μᾶλλον τιμᾷ τῷ δεδομένῳ ἢ ἀτιμάζει τῷ ὑφαιρουμένῳ, κἂν προσποίησιν ἔχῃ τιμῆς τὸ γινόμενον. »

A

B

IX. Videsne quomodo plus æquo honorare et ultra fines justos progredi arrogantiæ fructus gignat? Iis enim quæ supra modum adduntur opprobrio fit quod alia dempta sunt, itaque non revera quidquam additur, potius detrimentum est cum magis conspicua fiant quæ a justa honoratione resecta quam quæ huic nova adjecta sunt. Quare metuendum ne abundantiam in honorando sequamur quæ nos in egestatis ignominiam ducit. E duobus autem alterum consequitur : aut tale quiddam mali consilii inventum apparet per fraudem excogitatum, aut e dæmonum timore natus morbus est et mentis fallax imago et indicium ignaviæ summæ animorum muliebrium, unde metus oritur quem mortis dicunt affinem : et quem inferi dicuntur vivis immittere in somniis. Qui timor contrarius quidem est atheismo; attamen in utroque eadem apparet amentia. Nam amentiæ est signum et si quis Deum omnino non timet, et si timet ubi non debet. Ille enim pietatem nullam habet, hic contra nimia religione captus Deum nimis severum **421** putat etiam in rebus minutissimis. Utriusque autem idem malum est, etsi consequitur diversum.

Θ'. Ὁρᾷς πῶς τὸ μὴ προσηκόντως τιμᾷν, ἀλλ' ὑπερβαίνειν δοκεῖν τοὺς νενομισμένους ὅρους, ὕβρεως τίκτει καρπούς; Ἡ γὰρ τοῦ ὑπερβάλλοντος παρενθήκη ἔλεγχος γίνεται τοῦ πρὶν ἐλλιποῦς, καὶ οὐ μᾶλλον δίδωσιν ἢ ζημιοῖ, περιφανεστέραν ποιοῦσα τῆς ἀληθοῦς τιμῆς τὴν ὑφαίρεσιν ἢ τὴν πεπορισμένην ταύτης ἐπίτασιν, ὡς κινδυνεύειν ἐν τῇ τοῦ δοκεῖν ἀφθονίᾳ τὰ τῆς πτωχείας ὑπομένειν αἰσχρά. Δυοῖν οὖν κἀνταῦθα θάτερον ἕπεται· ἢ γὰρ κακουργίας ἐγχείρημα φαίνεται εἶναι τοῦτο, δι' ἀπάτην τῶν ἁπλουστέρων ἐπινενοημένον, ἢ δεισιδαιμονίαν ὀνομαστέον τὸ τοῦ νοσήματος πάθος, ἔκγονον λόγου διεψευσμένως ἔχοντος ὃν πρὸς τὸ ἀγαθὸν, δειλίας δ' ἀορίστου καὶ ἀτεκμάρτους ταῖς μητράσι ψυχαῖς ἐντιθὲν καὶ φόβους ἐν οὐ καιρῷ φυομένους, θανάτου γείτονας καὶ οἷους οἱ ἐν ᾅδου μυθεύονται πέμπειν τοῖς ζῶσιν ἐν ὕπνοις, ἐκ διαμέτρου μὲν καὶ [f. 228 b] ἀντιδιῃρημένην τῇ ἀθεΐᾳ τὴν τάξιν ἐσχηκὸς, γένος δ' ὅμως ἐκείνῃ ταυτὸν κεκτημένον, τὴν ἄγνοιαν δηλαδή. Ὁμοίως γὰρ τῶν διαβεβλημένων ἐστὶ τό τ' ἀκίνητον εἶναι πρὸς τὴν τοῦ Θεοῦ τιμὴν, καὶ αὖ τὸ κινεῖσθαι πρὸς αὐτὴν καθάπερ οὐ χρή· τὸ μὲν γὰρ πίστεως ἄμοιρον, τὸ δὲ καὶ δόξαν ἐμπαθῆ προσλαμβάνει, σμικρολογίαν μακρὰν τῷ Θεῷ προστρίβον. Καὶ ἔστιν ἐν ἀμφοτέροις ὅμοιον τὸ κακὸν, κἂν ἀντίθετον ἐκληρώσατο τύχην ἄλλήλοις ἑκάτερον.

C

X. Sed ut exempla quædam nobis magis dilucida et sat cuique aperta exhibeam, dicam luminum illorum quæ divino annumerata sunt unum et illud quidem lumen quod eadem esse qualitate etsi diversa claritate putant, præ aliis multis ex memoria bonis et Deo dilectis viris unum nomine magnum illum Mosen, per quem summa Deus miracula in Ægypto fecit, et præterea ejus ipsius vultum luce divina fulsisse audimus ita ut, quod sanctus Apostolus dicit, Israelis filii vultum ejus intueri

Ι'. Ἵνα δὲ κἀκ τῶν συνηθεστέρων τῇ φύσει καὶ οἷον εἰπεῖν κοινῶν τοῖς ἅπασιν ἐννοιῶν ὑποδείγματά τινα πρὸς σαφήνειαν ὁ λόγος εἰληφὼς τῶν τῷ ἀγίῳ ἠριθμημένων ἐκείνων φώτων ἓν καὶ τὸ φῶς ὃν ἐκεῖνο δείξῃ, καὶ τῆς ὁμοίας ποιότητος, εἰ καὶ τῇ λαμπρότητι παραλλάττειν ἔδοξε, φαίην ἂν ὡς πολλῶν ἐξ αἰῶνος ἀγαθῶν γεγονότων ἀνδρῶν καὶ θεοφιλῶν εἷς ἦν φέρε εἰπεῖν καὶ Μωσῆς ὁ μέγας ἐκεῖνος, δι' οὗ τὰ μέγιστα τῶν θαυμάτων κατὰ τὴν Αἴγυπτον ὁ Θεὸς ἐπεπράχει. Οὐ μόνον δὲ, ἀλλὰ καὶ θείῳ τὸ

D

(1) Ἐκ τοῦ, Περὶ Υἱοῦ.

πρόσωπον αὐτοῦ φωτὶ κατελάμπρυνεν, ὡς μηδὲ τοὺς υἱοὺς Ἰσραὴλ, κατὰ τὸν θεῖον φάναι Ἀπόστολον, ἀτενίσαι δύνασθαι εἰς τὸ πρόσωπον αὐτοῦ διὰ τὴν δόξαν τοῦ προσώπου τὴν τότ' ἐκείνην ἐκεῖ φανεῖσαν. Καὶ κάλυμμα ἔχειν ὁ θεῖος ἔφη Χρυσόστομος ἐπὶ τοῦ προσώπου τότε Μωσέα· καὶ τὸ αἴτιον, ἐπεὶ μὴ ἐδύναντο, φησὶ, τὴν δόξαν ὑπενεγκεῖν τοῦ προσώπου αὐτοῦ. Ὁρᾶτε πῶς καὶ τῆς τῶν ὁρώντων ὄψεως στερρότερον γέγονε καὶ τὸ φῶς ἐκεῖνο τὸ τοῦ Μωσέως πρόσωπον πάλαι λαμπρῦναν. Φῶς οὖν καὶ Γρηγόριος ἓν ἐκεῖνο πρὸς τοῖς ἄλλοις καὶ τὸ φῶς ἐκεῖνο πρὸς τοῖς ἄλλοις φησὶν ᾧ τὸ Μωσέως δοξάζεται πρόσωπον. Καὶ πολλὰ τοιαῦτα συνείρας διάφορα μὲν τὴν ποιότητα καὶ οὐ τὴν φύσιν, κἀκ τῶν ποιημάτων τὸν Ποιητὴν ὑμνήσας, ὃν καὶ ἀδιάδοχον εἶπε φῶς καὶ κυρίως ἕν, ἔπειτα τοῖς ἄλλοις καὶ τὸ φῶς ἐκεῖνο συναριθμεῖ, ᾧ παρεδείχθη τυπικῶς ἡ θεότης, λαμπρότερον μὲν τὴν τῆς αἴγλης ποιότητα, τὴν δὲ φύσιν [f. 229 a] τηροῦν τοῖς ἄλλοις τὴν αὐτήν. Καὶ τὸ τῆς ἀληθοῦς ἐννοίας ἐνταῦθα κράτος ἡ τοῦ ἄρθρου παρίστησι θέσις, τὴν θεότητα περιγράφουσα, καὶ τὸ ἄφετον καὶ ἀόριστον τῶν σημαινομένων πρὸς τὸ μοναδικὸν καὶ ἑνιαῖον συστέλλουσά τε καὶ περισφίγγουσα. Οὐ γὰρ θεότητις ἀπειρθμούμενος ὁ διδάσκαλος μίαν εἶπε θεότητα καὶ τὸ φῶς ἐκεῖνο, ἀλλὰ τοὐναντίον φώτων ἀριθμουμένων πολλῶν ἓν ἐκεῖνο τῶν πάντων εἰρηκεν εἶναι, τιμηθὲν μὲν ὑπὸ Θεοῦ πλέον, ἵν' οὕτως εἴπω, τῶν ἄλλων, οὐ μὴν δυνάμενον ἄκτιστον γενέσθαι θεότητα, ἀλλ' ἀκτίστου θεότητος παράδειξιν τυπικήν τε καὶ συμβολικήν, ὡς εἰρήσεται προϊοῦσιν ἡμῖν ἐμφανέστερον. Ὥσπερ οὖν πολλῶν ὄντων ἀνδρῶν ἀγαθῶν καὶ θεοφιλῶν προφητῶν ἕνα τῶν πάντων εἶναι καὶ Μωσέα εἰρήκειμεν, τιμηθέντα μὲν πρὸς Θεοῦ πλέον τῶν ἄλλων σχεδὸν τῇ τε λαμπρότητι τοῦ προσώπου καὶ τοῖς ἐν Αἰγύπτῳ θαύμασι, καὶ θεὸν γενόμενον Φαραὼ, ἄκτιστον δ' οὔ, οὕτω καὶ περὶ τοῦ φωτὸς νοητέον ἐκείνου. Αἱ γὰρ τιμαὶ καὶ δόξαι καὶ λαμπρότητες, ποιότητές τινες ἐπουσιώδεις οὖσαι καὶ συμβεβηκότων εἴδη, αὐταὶ μὲν ἀλλοίωσιν καὶ μεταβολὴν ὑπομένειν πεφύκασιν, ἡ δ' οὐσία τῶν τοιούτων ἀθῶος μένει παθῶν· ὑποδάθρα γάρ τις καὶ θεμέλιος γίνεται τούτοις ἅπασι, καὶ ταύτης ἄνευ ὑπόστασις ἐκείνοις οὐκ ἔστιν οὐδ' ἡτισοῦν, οὐσιωδῶς γε μὴν αὐτοῖς καὶ αὕτη συναλλοιοῦσθαι ἥκιστα οἶδεν. Εἰ δὲ δι' ἀμαθίαν ἔνιοι καὶ ἕκστασιν λογικῆς ἐπιστήμης, δι' ἧς οἱ θεῖοι Πατέρες τὰς δογματικὰς συνεστήσαντο βίβλους, ἕπεσθαι ἥκιστα δύνανται, τί τοῦτο πρὸς τὴν ἀληθῆ γνῶσιν; Οὐ γὰρ ἀτιμαστέον τὴν παίδευσιν δι' αὐτοὺς, ἀλλὰ σκαιοὺς καὶ ἀπαιδεύτους ὑποληπτέον τοὺς οὕτως ἔχοντας ὁ μέγας φάσκει διδάσκαλος. Πολλοῦ μὲν γὰρ ἂν δεήσειε τοὺς ὅρους ἐκείνους τῆς οἰκείας φυλάττειν φύσεως τά τε ἄλλα δήπουθεν, καὶ τό γε τὴν αὐτὴν καὶ μίαν μένουσαν τῷ ἀριθμῷ τὴν οὐσίαν τῶν ἐναντίων εἶναι δεκτικήν, εἰ ὧν ἀνυποστάτων ὄντων καθ' αὑτὰ ὑπόστασις αὕτη γίνεται, τούτοις συμμεταβάλλοιτο, τῆς οἰκείας ἐξισταμένη [f. 229 b] φύσεως. Ἀνούσιοι μὲν γὰρ αἱ περὶ τὰ

A nequiverint, propter splendorem circa vultum effusum. Velamentum autem, inquit sanctus Chrysostomus, eo tempore Moses supra vultum habuit; nam vultus ejus splendorem perferre nemo potuit. Videtis igitur oculorum intuitu solidiorem illam quoque lucem fuisse quæ in Mosis vultu effulsit. Sed Gregorius etiam lucem unam illam inter alias et lucem hanc quoque inter alias dicit quæ in Mosis vultu eluxit; item multa ille adnumerat lumina quæ quidem eadem qualitate, sed diversa natura sunt et e creaturis Creatorem prædicant. Quem sempiternam lucem et proprie unam dicit, deinde aliis illam **422** quoque adjungit, qua typice deitas manifestata est: quæ pro splendoris qualitate clarior quidem, sed pro natura ab
B aliis non diversa. Sed hæc revera tanquam artus se habent in deitate conspicui quibus omnia quæ soluta et interminata nobis videntur in unum connexa et constricta sunt. Nam cum deitatis præceptor ille enumerat, non unam dicit deitatem etiam illam lucem, sed in adversum cum lumina multa enumerat unum illud dicit præ aliis omnibus a Deo quidem pluris esse æstimatum, ut ita dicam, sed quod increata esse deitas non possit et nobis increatam deitatem submanifestet tantum typice et symbolice, ut paulo post lucidius a nobis exponetur. Sicut igitur inter multos viros bonos et Deo dilectos prophetas unum nominavimus Mosen a Deo præcipue honoratum, et vultu splendido et
C miraculis in Ægypto; qui deus visus sit Pharaoni, sed non est increatus: ita quoque de luce illa, cogitandum est. Hujus attributa et gloria et splendor qualitates quædam sunt ad essentiam accedentes et fortuitæ formæ, quæ variationes et immutationes ineunt: sed quæ his subest essentia ipsa nullas prorsus partitur affectiones, sed fundus illarum est ac fundamentum. Itaque sine essentia illa fundamentum **423** illarum nullum est, neque hæc ipsa ullo modo immutari potest. Si vero propter ignorantiam quidam et amentiam logicas notiones quibus sancti Patres dogmaticos libros composuerunt, assequi mente nequeunt, quid hoc ad rei veritatem? Neque igitur propter
D illos præcepta repudianda sunt, sed potius illi ipsi mente capti et indocti habendi sunt, ut magnus noster præceptor dicit. Nam multum sane abest quin suæ ipsius naturæ fines aliaque omnia servare possit et essentia pro numero una maneat, ubi partem habet eorum quæ contraria sunt, si ipsa quæ substantia fit insubstantialium, cum his societatem init propria sua natura egressa. Inessentiales enim sunt circa corpora qualitates et incorporeæ, itaque perceptibiles et in eis quæ sensuum perceptioni subjecta sunt circa corpora substantiam et fundamentum habent. Sed omnia, inquit sanctus Chrysostomus, quæ sensibus subjecta sunt, neque angeli quidem essentia dici possunt, sed corpus crassum et trifariam extensum. Qui igitur deitas increata dici potest lux illa sensibus sub-

jecta et percepta, ut omnes et vos imprimis testamini? Sed vobis propter inscitiam tacentibus interpretatur hæc sanctus Joannes **424** Damascenus. « In Thabore monte, inquit, solis instar lucem circa vultum sibi Christus incendit, ut sicut Deus submanifestaret discipulis deitatis suæ majestatem. Itaque factum ut, cum etiam Mosis olim vultus effulserit, calumniatorem latuerit, splendorem hunc sensibus perceptibilem fuisse. » Vides igitur et hunc dicere corpus et sensibus subjectum et perceptum fuisse illuminatum Christi vultum. Non enim imago mysterium incarnatæ naturæ erat; si vero corpus, ergo essentia omnino creata. Increatistarum enim hæresis Domini carnem existimavit increatam. Unde igitur increatus splendor ille sensualiter conceptus? Quis est qui hæc proferre ausus sit nisi Iconomachi postea, Manichæi et Massaliani antea, nunc autem Palamitæ? Nonne auditis quam manifestissime sanctos loquentes: quod ad sensum cadat esse visibile; increatum autem non modo non visibile, verum etiam mentem ac rationem superans? At vero quid tandem erit ex omnibus alterum quoddam, nisi quod lux una inaccessibilis est et una tantum proprie Deus? Quanquam, cum regula quadam ac statera communes illas et probatas omnibus opiniones examinaverimus, ut ad priora illa respicientes **425** rationum quæ inde sequuntur operationes et conclusiones gubernemus, nobis quærendum est quomodo ea quæ communibus illis ac probatis sententiis opposita sunt, liceat dilucide persequi. Universitas enim rerum cum et sit et vocetur deitas, vocatur etiam lux; igitur si lux una inaccessibilis et sempiterna Deus est et proprie unum et solum increatum, quomodo et unde inventa est jam a Palamæ familia altera increata lux a Thaboria illa diversa divinæ essentiæ, quæ ex luminibus illis a Gregorio Theologo collectis multis sit una? Quæ enim una ex multis est non proprie una est; quæ autem proprie una est, ea etiam sempiterna, neque ex multis una esse potest. Quomodo enim increata amplius esse possit in aliarum et diversarum creaturarum numero relata? An quomodo id quod non est, idem atque essentia? Si enim idem, non diversum; sin vero diversum, non idem: misceri enim per naturam omnino non possunt neque unquam in unum conciliari. Præter hæc alterum quoddam opposuerunt cum re non posse liberari damnatione illa ab synodo sexta œcumenica sibi illata sentirent. Hæc oppositio ita se habebat: Deinde nec magnum capis, inquiunt, Dionysium ubi dicit: « Quando immortalitatem adepti erimus et ad Christi similem et beatam pacem pervenerimus, semper cum Domino, ut dictum est, erimus contemplationibus visibilis ejus manifestationis completi, quæ nos magnifico splendore circumdabit, sicut **426** discipulos in divina illa transfiguratione, et spiritualis illius clari-

A σώματα ποιότητες καὶ ἀσώματοι, αἰσθηταὶ δ' οὖν, καὶ περὶ τὰ τῇ αἰσθήσει ὑποκείμενα σώματα τὴν ὑπόστασίν τε καὶ σύστασιν ἔχουσαι· πᾶν δὲ τὸ τῇ αἰσθήσει ὑποβαλλόμενον ὁ θεῖος φάσκει Χρυσόστομος (1) μηδ' οὐσίαν εἶναι ἀγγέλου δύνασθαι λέγειν, ἀλλὰ, σῶμα πάχος ἔχον καὶ τριχῇ διαστατόν. Πῶς οὖν ἂν εἴη θεότης ἄκτιστος ἐκεῖνο τὸ φῶς, αἰσθήσει ὑποβαλλόμενον καὶ ὁρώμενον, ὡς ἅπαντες μὲν καὶ πρό γε πάντων ὑμεῖς μαρτυρεῖτε; Ἢ πάντως καὶ ὑμῶν σιωπώντων ἐξ ἀπορίας ὁ θεῖος ἑρμηνεύει Δαμασκηνὸς Ἰωάννης, « Ἐν τῷ Θαβὼρ, λέγων (2), τῷ ὄρει ἐλάμπρυνε μὲν ἡλίου δίκην τὸ πρόσωπον ἑαυτοῦ ὁ Χριστὸς, ἵν' ὡς Θεὸς παραδείξῃ τοῖς μαθηταῖς τὴν τῆς οἰκείας θεότητος δύναμιν· ἀλλ' ἐπειδὴ καὶ Μωσέως ἐλάμπρυνε πάλαι τὸ πρόσωπον

B ἔξωθεν, ἔλαθε νῦν τὸν διάβολον διὰ τῆς αἰσθητῶς δηλαδὴ κἀνταῦθα φανείσης λαμπρότητος. » Ἰδοὺ καὶ οὗτος σῶμα καὶ αἰσθήσει ὑποβληθὲν καὶ ὁραθὲν τὸ λαμπρυνθὲν τοῦ Χριστοῦ φησι τηνικαῦτα πρόσωπον. Οὐ γὰρ φαντασία τὸ τῆς ἐνσάρκου μυστήριον οἰκονομίας ἦν· εἰ δὲ σῶμα, καὶ οὐσία πάντως κτιστή· τῇ γὰρ τῶν Ἀκτιστιτῶν αἱρέσει περιφανῶς ἐρρίπται τὴν τοῦ Κυρίου σάρκα δοξάζειν ἄκτιστον· πῶς οὖν ἄκτιστος ἡ αἰσθητῶς φανεῖσα τηνικαυτα λαμπρότης; Καὶ τίς ὁ ταῦτα τολμῶν κηρύττειν πλὴν τῶν Εἰκονομάχων μὲν ὕστερον, Μανιχαίων δὲ καὶ Μασσαλιανῶν πρότερον, νῦν δὲ τῶν Παλαμιτῶν; Ἢ γὰρ οὐκ ἀκούετε σαφέστατα τῶν ἁγίων λεγόντων τὸ τῇ αἰσθήσει μὲν ὑποβαλλόμενον ὁρατὸν, ὃ δ'

C ἄκτιστον, μὴ ὅτι οὐχ ὁρατὸν, ἀλλὰ καὶ νοῦν καὶ λόγον ὑπερβαῖνον; Τοῦτο δὲ τί ἂν εἴη τῶν πάντων ἕτερον ἢ ὁ φῶς ἐν ἀπρόσιτόν ἐστι καὶ μόνον ἐν κυρίως ὁ Θεός; Ὅμως, ἐπειδὴ κανόνι τε καὶ σταθμῷ ἄνω τὰς κοινὰς ἐκείνας καὶ ὡμολογημένας τοῖς πᾶσιν ἐννοίας προεβαλόμεθα, ὡς ἂν [f. 230 *a*] πρὸς ἐκεῖνα βλέποντες τὰς ἐξῆς τῶν λόγων διευθύνωμεν ἐργασίας καὶ τὰ ἐπιχειρήματα, ἀναληπτέον ἡμῖν ἐστι καὶ ζητητέον πῶς ἐναντία ταῖς κοιναῖς καὶ ὡμολογημέναις ἐκείναις ἐννοίαις ἔνεστι περιφανῶς συμπεραίνειν. Πάντα γὰρ οὖσα καὶ καλουμένη ἡ θεότης καλεῖται καὶ φῶς· εἰ οὖν φῶς ἓν ἀπρόσιτον καὶ ἀδιάδοχον ὁ Θεὸς καὶ κυρίως ἓν καὶ μόνον ἄκτιστον, πῶς καὶ πόθεν εὕρηται νῦν τῇ Παλαμικῇ

D φατρίᾳ δεύτερον ἄκτιστον φῶς Θαβωρίῳ διάφορον τῆς θείας οὐσίας, τῶν τῷ Θεολόγῳ Γρηγορίῳ ἀριθμηθέντων ἐκείνων φώτων πολλῶν ἓν ὄν; ὃ γὰρ τῶν πολλῶν ἓν ὄν, οὐχ ἓν κυρίως· ὃ δὲ κυρίως ἓν καὶ ἀδιάδοχον, τῶν πολλῶν ἓν εἶναι οὐ δύναται. Πῶς γὰρ ἂν ἄκτιστον ἓν εἶναι δύναιτο, τοῖς ἄλλοις καὶ διαφόροις αὐτοῦ ποιήμασι συναριθμούμενον; Ἢ πῶς τὸ ἀνούσιον τῇ οὐσίᾳ ταυτόν; Εἰ γὰρ ταυτὸν, οὐ διάφορον, εἰ δὲ διάφορον, οὐ ταυτόν· ἄμικτα γὰρ φύσει παντάπασι ταῦτα, καὶ λίαν ἀσύμβατα καὶ οὐδέποτε σύμφωνα. Ἐπὶ δὴ τούτοις αὖθις ἑτέραν ἀντεπῆγον ἀντίθεσιν, οὐ δυνηθέντας ἑαυτοὺς ἀπονίψασθαι τὸν σφίσιν ἐπενηνεγμένον ὑπὸ τῆς θείας καὶ οἰκουμενικῆς ἕκτης συνόδου ἀναθεματισμὸν

(1) Κατὰ Ἰω. ὁμιλία κη'.

(2) Ἐκ τοῦ εἰς τὴν Μεταμόρφωσιν λόγου.

αἰσθόμενοι. Καὶ ἦν ἡ ἀντίθεσις ἔχουσα οὕτως. Εἶτα οὐδὲ τὸν μέγαν δέχῃ, φασὶ, Διονύσιον λέγοντα, « Ὅταν ἄφθαρτοι καὶ ἀθάνατοι γενώμεθα καὶ τῆς χριστοειδοῦς καὶ μακαρίας ἐφικώμεθα λήξεως, πάντοτε σὺν Κυρίῳ, κατὰ τὸ λόγιον, ἐσόμεθα, τῆς μὲν ὁρατῆς αὐτοῦ θεοφανείας ἐν πανάγνοις θεωρίαις ἀποπληρούμενοι, φανοτάταις ἡμᾶς μαρμαρυγαῖς περιαυγαζούσης ὡς τοὺς μαθητὰς ἐν ἐκείνῃ τῇ θειοτάτῃ μεταμορφώσει, τῆς δὲ νοητῆς αὐτοῦ φωτοδοσίας ἐν ἀπαθεῖ καὶ ἀΰλῳ τῷ νῷ μετέχοντες. »

ficationis sensu incorrupto et incorporeo participes fiemus. »

ΙΑ'. Πρὸς ταῦτα ὁ Γρηγορᾶς, « Καὶ μὴν, » φησὶ, « πολλαχόθεν ὁρῶ τὴν τοῖς ὑμετέροις σπουδάσμασιν ἑπομένην αὐτόθεν ἀναίρεσιν· οὐ γὰρ σύνεσιν [f. 230 b] ὧν λέγετε λαβεῖν ἐδυνήθητε, πρὶν τὸν οὐδὸν ὑπερβῆναι τῶν οἰκείων χειλέων μάλα ὀφείλοντες. Πρῶτον μὲν γὰρ τὸ τὴν ἐντελῆ σαφήνειαν τῶν προλεχθέντων ἔχον ἄνω λιπόντες, τὸ συνεχὲς ἡμίτομον ἐκεῖθεν ὑφελόμενοι προηνέγκατε. Μεμυήμεθα γὰρ, ὁ θεῖος φησι Διονύσιος, νῦν μὲν ἀναλόγως ἡμῖν διὰ τῶν ἱερῶν παραπετασμάτων, τῆς τῶν λογίων καὶ τῶν ἱεραρχικῶν παραδόσεων φιλανθρωπίας αἰσθητοῖς τὰ νοητὰ καὶ τοῖς οὖσι τὰ ὑπερούσια περικαλυπτούσης, καὶ μορφὰς καὶ τύπους τοῖς ἀμορφώτοις τε καὶ ἀτυπώτοις περιτιθείσης, καὶ τὴν ὑπερφυᾶ καὶ ἀσχημάτιστον ἁπλότητα τῇ ποικιλίᾳ τῶν μεριστῶν συμβόλων πληθυνούσης τε καὶ διαπλατούσης. » Τούτων δ' οὕτως ἐχόντων, μορφὰς καὶ τύπους καὶ μεριστὰ σύμβολα τίς ἂν ποτ' ἄκτιστα φαίη σωφρονῶν καὶ μανίας ὑπάρχων ἐλεύθερος; Ὅμως καὶ ἡ τοῦ θείου Μαξίμου τὸ παρὸν χωρίον ἑρμηνεύοντο; μαρτυρία τὴν ἐξ ἀμαθίας παράνοιαν τῶν ἄλλως λεγόντων ἐλέγξει· εἶναι γάρ φησι ταῦτα ἐπὶ μὲν Θεοῦ, ὅταν φαίνηται ὡς πῦρ καὶ ὡς γέρων ἐν Δανιὴλ καὶ ὡς ἀνὴρ παλαίων τῷ Ἰακὼβ, καὶ ὅσα τοιαῦτα· ἐπὶ δ' ἀγγέλων, ὅταν τὰ Χερουβὶμ ὡς θηριόμορφα καὶ ἄλλα ἐν τάξει ἀνδρῶν καὶ νεανίσκων φαίνωνται. Καὶ πάλιν, « Σημειωτέον ὅτι τὸ θεῖον σῶμα τοῦ Κυρίου ὁρατὴν φησι θεοφάνειαν, νοητὴν δὲ ἥτις κατὰ νοῦν ἔσται μεθεκτή. » Ὁρᾶτε πῶς ὁλοκλήρου τοῦ τῆς Γραφῆς σώματος κειμένου, κτίσματα προδήλως εἶναι δείκνυνται μορφαὶ καὶ τύποι καὶ τὰ μεριστὰ καὶ πλασματώδη ταῦτα σύμβολα; Πρῶτον μὲν οὖν τοῦτ' ἄτοπον πεπραχότες ἐστὲ, τὰς τῆς θείας Γραφῆς ἡμιτόμους προφέροντες ῥήσεις· δεύτερον δ' ὅτι τὰ κατιώτερα τῶν τοῦ Διονυσίου λόγων σιωπῇ [f. 231 a] κρύψαντες μέλλοντά φατε καὶ οὔπω δῆλα· τὸ γὰρ, « Ὅταν ἄφθαρτοι γενώμεθα καὶ ἀθάνατοι, » καὶ τὰ ἑξῆς, οὔπω προσγέγονεν ὑμῖν, εἰ μὴ τὸν Ἐνδυμίωνος ὕπνον καθεύδειν δοκεῖτε, καὶ λελήθατε τὴν ὑμετέραν κατάλυσιν ἀφ' ἑστίας καθ' ἑαυτῶν ἐπαγόμενοι. Ἢ οὐδὲ τοῦ Ἀποστόλου βοῶντος ἠκούσατε, ὡς « Καὶ ἡμεῖς ἐν ἑαυτοῖς στενάζομεν υἱοθεσίαν ἀπεκδεχόμενοι τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν· τῇ γὰρ ἐλπίδι ἐσώθημεν, ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; Εἰ δ' ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα. » Εἰ οὖν τοῦτ' εἴη τὸ τοῖς Παλαμίταις ὑμῖν ὁρώμενον φῶς, ὡς αὐτοὶ διατείνεσθε, καὶ τῷ μέλλοντι ταυτὸν ἐκείνῳ φωτὶ ὃ σωμάτων ἀφθάρτων κατὰ τὸν θεῖον εἰπεῖν Διονύσιον δεῖται πρὸς θεωρίαν, περιττὸν ἄρα τὸ τοῦ θανάτου μυστήριον, περιττὸν δὲ καὶ ὃ φησι Παῦλος ὁ θεῖος, « δεῖν τὸ θνητὸν τοῦτο ἀθανασίαν ἐνδύσασθαι καὶ τὸ

XI. Ad quæ Gregoras : « Sæpenumero, » inquit, « studia vestra sequi eversionem video ; nam comprehendere ea quæ dixistis non possetis, priusquam verborum vestrorum finem transeatis fere necesse sit. Relicto enim eo quod ad illustrandam superiorem orationem pertinet, jam dimidium illorum protulistis. Interpretamur enim, divus ait Dionysius, ad similitudinem quamdam per sacrorum involucrorum comitatem quæ est in proverbiis et Ecclesiæ traditionibus : hæc sensibilibus quæ in cogitatione sunt, et iis quæ sunt, ea quæ supra essentiam sunt complectitur, et formas et imagines iis quæ sine formis et imaginibus sunt tribuit, et simplicitatem quæ supra naturam et sine figura est symbolorum dividuorum varietate implet et dilatat. » Quæ cum ita sint, quis est tam imprudens et amens ut formas illas et imagines et dividua symbola increata putet? Quanquam divi Maximi illud quod hunc locum explicat testimonium adversariorum opinionem quæ ex inscientia sequitur refutat. Sunt enim, ait, hæc de Deo dicta **427** ubi apparet tanquam lux, et tanquam senex apud Danielem, et tanquam vir luctans apud Jacobum, et quæ sunt similia ; de angelis autem ubi Cherubim cum animalium corporibus : et alii in virorum aut adolescentium personis apparent. Et rursus quod tenendum est, divinum Domini corpus visibilem dixit manifestationem ; invisibilem autem quæ menti attributa esset. Videtisne quomodo ubi integerrimum Scripturæ documentum exstat creaturæ aperte esse ostendantur formæ et imagines et dividua et ficta symbola? Primum igitur illud inepte fecistis quod non integra sacræ Scripturæ verba protulistis ; deinde quod aptioribus Dionysii verbis silentio omissis, futura loquimini, et nondum aperta. Illud enim : « Quando immortales et incorruptibiles erimus » et cætera, nondum vobis accidit, nisi in Endymionis somno jacere videamini, et obliti sitis delegationis a patria vestræ per nosmet ipsos factæ. Profecto neque Apostoli voc m auditis : « Et ipsi inter nos gemimus adoptationem filiorum Dei exspectantes, redemptionem corporis nostri. Spe enim salvi facti sumus ; spes autem quæ videtur non est spes. Nam si quis videt, quid sperat amplius? Si autem quod non videmus speramus, per patientiam exspectamus. » Si igitur hæc est quam vos Palamitæ videre contenditis et eadem atque futura illa lux quæ corpora incorruptibilia, ut ait divus Dionysius, ad contemplationem sui postulat, supervacaneum esset mortis mysterium ; supervacaneum etiam **428** quod ait divus Paulus : « Oportet mortale hoc induere immortalitatem, et corruptibile hoc induere incorruptionem, et in ex

spectationibus quæ non videntur positam esse adoptationem nostram post corporis dissolutionem. » Si enim post corpoream vibrationem et Palamicam crapulam et luxuriam liceret futura luce illa frui, quid opus esset morte quæ immortalitatem nuntiatam secum duceret et vitam sempiternam et indissolubilem, si quidem non ad futurum et ad spem post mortem pertineret, sed quæcunque ingemiscunt luxuria et libidinibus reviviscere quodammodo piis exspectationibus et quæ præterea in talibus promissionibus insunt sentiret? Una igitur hæc dissolutio omnino quod vos attinet non multis caret verbis. Deinde Dionysius Dei manifestationem dicit visibilem, non vero deitatem increatam visibilem; porro illa inter sese distant longius quam ab oriente occidens. Manifestationes enim nobis visibiles et varias et plurimas factas tradiderunt sacri et divini libri, ut postea fusius exponemus. Deitatem autem increatam præter unam trium personarum essentiam nemo unquam omnino alteram usque ad hunc diem aut invenit aut protulit, aut in animum inducere ausus est impietate commotus præter Palamicam familiam.

**429** XII. Duas igitur protulimus oppositionum vestrarum refutationes paucis verbis; tertia nunc est quæ pertinet ad lectionem, dico illud ὡς, monosyllabam quidem, sed homonymam et multis cum notionibus conjunctam. Quarum pleræque tradendæ sunt grammaticis ut hominibus circa hæc versantibus. Nobis satis est ad divinarum Scripturarum interpretes recurrere. Modo enim confirmandi vim habet et notionem quæ subest amplificandi; modo similitudinem aut dubitationem significat, et id quod admodum incertum est. Quorum exempla hæc in promptu sunt; ubi confirmandi vim aut notionis quæ subest amplificandæ habet: « Vidimus gloriam ejus, gloriam quasi Unigeniti a Patre, » in carne scilicet occultatam, sed quasi re vera Unigeniti et proprii Filii et Verbi Dei per mirabilia facta declarati. Notionis alterius: « Splendebat facies ejus sicut sol. » Ubi similitudinis rationem recepit nec valde incertum erat, nec extra errorem quale est etiam antea prolatum divi Dyonisii verbum illud, ubi dicit: « Tanquam discipulos in divina illa transfiguratione. » Similitudinem enim ibidem, non identitatem significat hæc vox, nec errorem inferre potest. Hæc enim nec ejusdem naturæ nec generis nec speciei sunt. Essentiæ enim **430** identitas qualitatis similitudo. Quomodo enim identitatis erit locus eis qui contraria omnino cognata inter se adepti sunt? quippe qui adhuc mortalis vitæ et corporis vinculo constricti sint, et quorum ob distantiam nulla identitas. Itaque ὡς illud non identitatis ibidem notionem habere, sed similitudinis alicujus colorem dicam. Atque ipse divus Chrysostomus illud. « Splendebat ut sol, » interpretaturus: «In-

A φθαρτὸν ἀφθαρσίαν, καὶ πρός γε τὸ ἐν ἐλπίσι μὴ βλεπομέναις κεῖσθαι τὴν υἱοθεσίαν ἡμῶν μετὰ τὴν τοῦ σώματος ἀπολύτρωσιν.» Εἰ γὰρ μετὰ τοῦ σωματικοῦ πάχους καὶ τῆς Παλαμικῆς κραιπάλης καὶ τρυφῆς ἐξείη καὶ τοῦ μέλλοντος ἐκείνου φωτὸς ἀπολαύειν ἐνταῦθα, τί δεῖ θανάτου πρὸς ἀθανασίαν ἐπηγγελμένην μετάγοντος καὶ ζωὴν ἀΐδιόν τε καὶ ἄφθαρτον, εἰ οὐκ εἰς τὸ μέλλον, οὐδ' εἰς ἃ τὰς μετὰ θάνατον ταμιεύει ἐλπίδας, ἀλλ' ὅσα γέμει μὲν τρυφῆς καὶ σαρκικῶν ὀρέξεων, ἐρρῶσθαι δέ πως φράζει μετὰ τῶν σεμνῶν ἐλπίδων, καὶ εἴ τί που τοιαῦτα ἐπαγγελίαις ἐγκέκρυπται; Μία μὲν οὖν αὕτη κατάλυσις αὐτόχρημα καθ' ὑμῶν, οὐ πολλῶν δεηθεῖσα λόγων· δεύτερον δ' ὅτι Διονύσιος Θεοφάνειαν μέν φησιν ὁρατήν, οὐ θεότητα δ' ἀκτιστον ὁρατήν·

B [f. 231 b] πόρρω δ' ἀλλήλων ἄλληλα, καὶ διεστηκότα μᾶλλον ἢ ὅσον ἐκ δυσμῶν ἀπέχουσιν ἀνατολαί· θεοφανείας μὲν γὰρ ἡμῖν ὁρατὰς διαφόρους καὶ πλείστας γεγονυίας παραδιδόασιν αἱ θεῖαι καὶ ἱεραὶ βίβλοι, καθὰ προϊόντες ἐς πλάτος ἐκθήσομεν· θεότητα δ' ἄκτιστον πλὴν τῆς τρισυποστάτου μιᾶς οὐσίας οὐδείς πω τὸ παράπαν ἑτέραν ἄχρι καὶ τήμερον οὔθ' εὗρεν οὔτε λελάληκεν, οὔτε μὴν οὐδ' εἰς νοῦν βαλέσθαι τετόλμηκεν εὐσεβείᾳ συντεθραμμένος, πλὴν τῆς Παλαμικῆς φατρίας.

ΙΒ'. Δύο μὲν δὴ ταύτας ἠνέγκαμεν ταῖς ὑμῶν ἀντιθέσεσι λύσεις διὰ βραχέων· εἴη δ' ἂν καὶ τρίτη, ἡ παρὰ τὴν λέξιν, λέγω δὴ τὴν ὡς, μονοσύλλαβον μὲν οὖσαν, ὁμώνυμον δὲ καὶ κατὰ πολλῶν λεγομένην σημαινομένων. Ὧν τὰ μὲν πλείω γραμματισταῖς

C παραπεμπτέον, οἷς προὐργιαίτερον τοῦτοί· ἡμῖν δ' ἀπόχρη κατὰ τοὺς τῶν θείων ἐνταῦθα Γραφῶν ἐκθέχεσθαι ἑρμηνέας, ποτὲ μὲν ὡς βεβαιωτικὴν δηλαδὴ καὶ τῆς ὑποκειμένης ἐννοίας ἐπίτασιν ἔχουσαν, ποτὲ δ' ὡς ὁμοιωματικὴν ἢ διστακτικὴν καὶ οὐ μάλα ἀναμφισβήτητον. Ὧν ὑποδείγματ' ἂν εἴη ταῦτ' ἐκ προχείρου παραστάντα τῇ μνήμῃ, τῆς μὲν βεβαιωτικῆς καὶ τῆς ὑποκειμένης ἐπίτασιν ἐχούσης ἐννοίας τὸ, « Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός, » ἐν σαρκὶ μὲν κεκρυμμένην δηλονότι, ἀλλ' ὡς τῷ ὄντι Μονογενοῦς καὶ κυρίως Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ διὰ τῶν παραδόξων ἔργων φαινομένου· τῆς δ' ἑτέρας τό, « Ἔλαμψε τὸ

D πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος· » ἐνταῦθα γὰρ ὁμοιώσεως ἔσχε τρόπον, καὶ οὐ μάλα ἀναμφισβήτητον ἔμεινεν, οὐδ' ἐκτὸς παραλλάξεως. Ὁποῖόν ἐστι καὶ τὸ προβληθὲν ἐν τῷ παρόντι θείου Διονυσίου ῥητόν, « ὡς τοὺς μαθητὰς ἐν ἐκείνῃ τῇ θειοτάτῃ, » λέγοντος, « μεταμορφώσει· » ὁμοιότητα γὰρ ἐνταῦθα καὶ οὐ ταυτότητα σημαίνει τὸ ῥῆμα, καὶ ἀπαραλλαξίαν ἔχειν οὐ δύναται· οὔτε γὰρ ὁμοφυᾶ ταυτὶ οὔθ' ὁμογενῆ οὔθ' ὁμοειδῆ· οὐσίας μὲν γὰρ ἡ ταυτότης, [f. 232 a] ἡ δ' ὁμοιότης ποιότητος· ποῦ γὰρ ταυτότητος ἂν εἴη τόπος τοῖς ἐκ διαμέτρου συμφυᾶ τἀναντία κληρωσαμένοις; Οἷς γὰρ ἔτι φθαρτῷ συνεῖναι βίῳ καὶ σώματι συνδεδράμηκε, καὶ οἷς μή, τούτοις οὐκ ἔστι καθὸ διεστήκασιν οὐδεμία ταυτότης. Ὡς εἶναι τὸ ὡς οὐ ταυτότητος ἐνταῦθα λόγον ἔχον, ἀλλ' ὁμοιότητός τινος σκιαγραφίαν εἰπεῖν. Καὶ γὰρ καὶ ὁ θεῖος Χρυσόστο-

μος τὸ, « Ἔλαμψεν ὡς ὁ ἥλιος, » ἐξηγούμενος, « Ἡ τῶν ἀφθάρτων σωμάτων δόξα, φησὶν, οὐ τοσοῦτον ἀφίησι τὸ φῶς ὅσον τοῦτο τὸ σῶμα τὸ φθαρτὸν, οὐδὲ τοιοῦτον οἷον καὶ θνητοῖς ὄμμασι γενέσθαι χωρητὸν, ἀλλ' ἀφθάρτων καὶ ἀθανάτων δεόμενον ὀφθαλμῶν πρὸς τὴν θέαν αὐτοῦ. Ἀκούετε τοῦ μεγάλου φωστῆρος τῆς Ἐκκλησίας, διδάσκοντος καὶ αὐτοῦ τοῖς ἄλλοις Πατράσιν ὁμοίως, ὡς οὐκ ἄφθαρτον ἔλαβε σῶμα ὁ Κύριος (τοῦτο γὰρ τῆς Μαρκίωνός ἐστι λέγειν αἱρέσεως), οὐδ' ἄκτιστον αὐτὸ πεποίηκέ τε καὶ ἔκτισε (τοῦτο γὰρ τῆς τῶν Εἰκονομάχων καὶ Μανιχαίων ἐστὶ λέγειν μανίας), ἀλλ' ἡ ἀναλλοίωτος φύσις, κατὰ τὸν θεῖον εἰπεῖν μελῳδὸν, τῇ βροτείᾳ μιχθεῖσα τῇ; ἐμφεροῦς ἀΐδιου θεότητος φῶς παραγυμνοῦσα τοῖς ἀποστόλοις ἀπορρήτως ἐξέλαμψε, καὶ πάλιν ἀμυδροὺς θείκῆς αὐγῆς παρεγύμνου χαρακτῆρας. Ὁρᾶτε πῶς οἱ τῆς εὐσεβοῦς Ἐκκλησίας πάντες διδάσκαλοι σωματικῶς τε καὶ συμβολικῶς τὴν ἀμυδρὰν καὶ αἰνιγματώδη πανταχοῦ διὰ τῆς παρὰ προθέσεως ἐμφαίνουσι δήλωσιν; Συμμαρτυρεῖ δ' ἡμῖν καὶ ὁ μέγας ἀπόστολος Παῦλος, λέγων, « Νῦν μὲν δι' ἐσόπτρου ἐν αἰνίγματι βλέπομεν, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. » Ὁρᾶτε δὲ πῶς καὶ οὗτος αἰνιγματώδη φάσκει τὴν ὁρατὴν θεοφάνειαν καὶ οὐκ ἄνευ συμβόλων καὶ τύπων; Ἀκουστέον δὲ τί καὶ ὁ εὐαγγελιστὴς ἐνταῦθα Ἰωάννης φησίν· « Ἀγαπητοὶ, νῦν τέκνα Θεοῦ ἐσμεν, καὶ οὔπω ἐφανερώθη τί [f. 232 b] ἐσόμεθα· οἴδαμεν δὲ ὅτι, ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστιν. » Ἀκηκόατε πῶς ὁ συμπαρὼν μεταμορφουμένῳ τῷ Κυρίῳ σαφῶς ὁμολογεῖ διαῤῥήδην μήπω πεφανερῶσθαι, σκιαγραφεῖσθαι δ' ἐν ἐπαγγελίαις αἰνιγματώδεσι τὴν ἐς τὸ μέλλον καθαρωτέραν πρόσωπον πρὸς πρόσωπον μετὰ σαρκὸς ἐκείνου φανέρωσιν, ὅτε δήπουθεν τοῖς ἀξίοις ὀφθήσεσθαι φάσκοι μεθ' ἧς ἀνέστη σαρκὸς κατὰ τὸ γεγραμμένον, « Οὗτος Ἰησοῦς ὁ ἀναλημφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται πάλιν ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. » Καὶ ταῦτα τίς καὶ ποῖος ὁ ταῦτα γράφων ἐστίν; Ὁ καὶ πρὶν ἀποδύσασθαι τὸ θνητὸν τοῦτι καὶ φθαρτὸν τῆς σαρκὸς μείστῃ συνοικῶν καθαρότητι. Ἀλλ' ὁ Παλαμᾶς ἀπὸ χλιδῆς καὶ πότου καὶ τρυφῆ; ὀφθαλμοῖς αἰσθητοῖς ἐνταυθοῖ διατείνεται βλέπειν οὐ τὴν ὁρατὴν αὐτοῦ θεοφάνειαν, ἀλλὰ τὴν ἄκτιστόν τε καὶ ἀγγέλοις ἄγνωστον θεότητα. Τί πρὸς ταῦτά φατε οἱ τῶν ἐκείνου πρεσβυτικότες ὑμεῖς; Ἦ οὐ δακρύων ἄξιος πολλῶν μὲν ἑκὼν, πλειόνων δ' οἳ καθάπερ δεσπότῃ πείθονται; Ἆρ' οὐκ ἐργαλέον, κατὰ τὸν φάμενον, πρᾶγμά ἐστιν, ὦ γῆ καὶ ἥλιε, δούλους γενέσθαι παραφρονοῦντος δεσπότου; Εἰ δέ τις ἐξ ἀμαθίας κεκινημένος αὐτὸν ἑαυτῷ τ ν ἄγιον νῦν μὲν συμφωνεῖν, νῦν δ' ἐναντιοῦσθαι λέγοι, ὅτ' ἄνω μὲν, « Ὃ ἑωράκαμεν, » ἔλεγε, « καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, » καὶ, « Ὁ λόγος τῆς ζωῆς ἐφανερώθη ἡμῖν, » καὶ, « Ὃ ἑωράκαμεν καταγγέλλομεν ὑμῖν, » καὶ ὅσα περὶ τῆς ὁρατῆς τοῦ Κυρίου θεοφανείας δίεισι τὸν ἀνθρωπικώτερον τρόπον, βραχὺ δ' ἔπειτα παρακατιὼν ἕτερα μὲν διεξιέναι ἔδοξεν, ἐκείνοις δ' οὖν παραπλήσια, οἷς, « Θεὸν οὐδεὶς

corruptibilium autem corporum gloria, inquit, non tantam emittit lucem, quantam corpus hoc incorruptibile, nec talem ut ab mortalibus oculis percipi possit; sed incorruptibilibus et immortalibus oculis opus est ad ejus contemplationem. » Auditis magni Ecclesiæ luminis explicationem simulque aliorum non incorruptibile corpus recepisse Dominum, quod docet Marcionis hæresis; nec increatum illud fecit et creavit, quod Iconomachorum et Manichæorum excogitavit insania. Sed natura immutabilis, ut cum divo poeta loquar, mortalitati immixta similis incorporeæ deitatis lucem denudavit apostolis mirum in modum et inclaruit, et rursum involutos divini splendoris radios denudavit. Videtisne quomodo sanctæ Ecclesiæ cuncti præceptores corporaliter et symbolice latentem et involutam ubique explicationem per παρά **431** præpositionem proferant? Testis nobis est ipse magnus Apostolus: « Videmus nunc per speculum in ænigmate, tunc autem facie ad faciem. » Videtisne quomodo ipse obscuritate involutam dixerit visibilem Dei manifestationem, nec sine symbolis et imaginibus? Audiendum autem est etiam quod Joannes evangelista dicit: « Carissimi, nunc filii Dei sumus, et nondum apparuit quid erimus; scimus quoniam cum apparuerit similes ei erimus, quoniam videbimus eum sicuti est. » Audistis quomodo ille qui Domini transfigurationi aderat nondum plane patefactam fuisse eam profiteatur; adumbrari autem in obscuris promissionibus in futurum apertiorem post incarnationis mysterium, facie ad faciem, cum scilicet a dignis aspectum iri dicat cum eadem qua surrexit carne, sicut scriptum est: « Ille Jesus qui assumptus a vobis in cœlum, sic veniet quemadmodum eum vidistis euntem in cœlum. » Et quis est et qualis ille qui hæc scripsit? Ille in quo priusquam carnis mortalitas et dissolubilitas abjecta erat summa inerat puritas. At Palamas in deliciis et potatione et luxuria oculis sensualibus videre contendit non visibilem Dei manifestationem, sed increatam et ne angelis quidem cognitam deitatem. Quid ad hæc dicitis vos qui illius causam agitis? Nonne lacrymabilis ille, lacrymabiliores autem qui **432** eum tanquam ducem sequuntur? Nonne igitur res plane insolerabilis est, ut dicit poeta comicus, hisce verbis: O rem nefandam, per solem et terram, domino servire amenti! Si quis autem luscitia ductus sanctum illum sibi modo constare, modo non constare dixerit, quod supra dixit: « Vidimus » et « Manus nostræ eum tetigerunt » et « Verbum vitæ nobis apparuit » et « Quod vidimus id vobis referimus, » et quæcunque visibilem Domini manifestationem ratione quadam ad hominum captum magis accommodata explicant, et paululum inde digrediens alia videtur ille proferre atque illorum similia, quibus Deum neminem vidisse unquam pro certo confirmat; is non sancti illius ambiguitatem coarguet, sed suam potius

tarditatem, qua divina non digne explicare possit, nec quæ nec quomodo de visibili Domini manifestatione sancti varie disputaverint, nec quæ de increata et beata illius natura, sicut concentui musicorum instrumentorum tanquam artifex harmoniæ vim atque artem afflatu quodam suo inspirat. Quod capiet quis credo, quamvis tarda et imbecilla mente, cum Dionysium planius et fuse de his rebus disserentem audierit : « Arbitror hoc etiam sermonem divinum insinuare, nempe prophetarum, ex abdito suprasubstantialem illum in **433** conspectum nostrum humanitus substantiatum prodiisse. Attamen occultus etiam post manifestationem aut, ut divinius dicam, in ipsa manifestatione. Etenim hoc Jesu mysterium occultum est, neque ullo sermone vel intellectu expressum : quin imo dum profertur arcanum, et dum intelligitur ignotum manet.» Et post nonnulla : « Jam, ut summatim dicamus, ne homo quidem erat, non quod non esset homo, sed quod ex hominibus natus homines longe superarit et supra hominem vere homo factus sit. Cæterum divina non ut Deus, neque humana quatenus homo gerebat, sed quatenus Deus et homo novam quandam nobiscum conversando dei-virilem operationem exhibebat.» Rursus : «In hoc apparet cui Deum cognoscere et intelligere contigit, quod neque intelligit neque cognoscit re vera, quippe qui supra intelligentiam et cognitionem sit.» Videtisne concordiam discipulorum pietatis? Quam enim Paulus visionem nominavit in ænigmate per speculum, in futuro autem facie ad faciem, et Joannes : nondum nobis apparuisse Dominum, sed in futuro carne corruptibili abjecta a nobis conspectum iri, eamdem ille ad hominum sensum occultam dicit Domini essentiam esse in manifestatione et post manifestationem, et mysterium illud quamvis exprimatur per se tamen infandum, et quamvis cogitetur, non tamen posse cognosci. **434** «Novam, inquit, quamdam nobiscum conversando dei-virilem operationem exhibebat, et supra hominum conditionem gessit ea quæ sunt hominis. Quod declarat et virgo quæ supra naturæ conditionem parit, et aqua instabilis quæ pedum ex materia et terra gravitatem sustinet neque cedit, sed vi supernaturali sine diffusione subsistit.» Et alias : « Si quis viso Deo cognovit id quod vidit, nequaquam ipsum vidit, sed aliquid e rebus quæ in eo exsistunt et cognoscuntur ; ipse autem supra mentem et substantiam manens, quia omnino non cognoscitur neque exsistit supra substantiam est et supra mentem cognoscitur ; et illa perfectissima in bonam partem ignoratio notitia est ejus qui est supra omnia quæ in cognitionem cadunt.»

XIII. Itaque apostoli cum in monte Thabor lucem illam vidissent, nec deitatem increatam nec Deum viderunt, sed aliquid eorum quæ exsistunt in eo et cognoscuntur. Neque ea quæ sunt et co-

ἑώρακε πώποτε, » εὐαγγελιζόμενος ἀποφαίνεται, μὴ τοῦ ἁγίου διχόνοιαν καταψηφιζέσθω, [f. 233 a] ἀλλ' ἑαυτοῦ μᾶλλον ἀσθένειαν, ὅτι μὴ θεοπρεπῶς τὰ θεῖα διαιρεῖν δύναιτο, μήθ' ὅσα μήθ' ὅπως περὶ τῆς ὁρατῆς τοῦ Κυρίου θεοφανείας οἱ ἅγιοι διαφόρως ἀπεφήναντο, μήθ' ὅσα περὶ τῆς ἀκτίστου τε καὶ μακαρίας αὐτοῦ φύσεως, καθάπερ ἐν πολυφωνίᾳ μουσικῶν ὀργάνων, μίαν τοῦ τεχνίτου Θεοῦ τὴν ἐναρμόνιον τέχνην καὶ δύναμιν ἐμπνέοντός τε καὶ ἐνηχοῦντος. Συνήσει δ', οἶμαι, καὶ εἰ λίαν εἴη νωθρὸς καὶ εὐήθης, τὴν γνώμην Διονυσίου καθαρώτερόν τε καὶ ἀποτάδην ἀκούων διεξιόντος ταυτί (1)· « Καὶ τοῦτο γὰρ οἶμαι, φησί, τὴν θεολογίαν αἰνίττεσθαι, τὴν τῶν προφητῶν δηλαδὴ, τὸ ἐκ τοῦ κρυφίου τὸν ὑπερούσιον εἰς τὴν καθ' ἡμᾶς ἐμφάνειαν ἀνθρωπικῶς οὐσιωθέντα προελθεῖν· κρύφιος δέ ἐστι καὶ μετὰ τὴν ἔκφανσιν, ἤ ἵνα τὸ θειότερον εἴπω, καὶ ἐν τῇ ἐκφάνσει· καὶ τοῦτο γὰρ τοῦ Ἰησοῦ πέκρυπται, καὶ οὐδενὶ λόγῳ οὔτε νῷ τὸ κατ' αὐτὸν ἐξῆκται μυστήριον, ἀλλὰ καὶ λεγόμενον ἄῤῥητον μένει καὶ νοούμενον ἄγνωστον.» Καὶ μετ' ὀλίγα, « Καὶ γὰρ, ἵνα συνελόντες εἴπωμεν, οὐδὲ ἄνθρωπος ἦν, οὐχ ὡς μὴ ἄνθρωπος, ἀλλ' ὡς ἐξ ἀνθρώπων ἀνθρώπων ἐκείνα καὶ ὑπὲρ ἄνθρωπον ἄνθρωπος ἀληθῶς γεγονὼς, καὶ τὸ λοιπὸν οὐ κατὰ Θεὸν τὰ θεῖα δράσας, οὐ κατὰ ἄνθρωπον τὰ ἀνθρώπινα, ἀλλ' ἀνδρωθέντος Θεοῦ καινήν τινα τὴν θεανδρικὴν ἐνέργειαν ἡμῖν πεπολιτευμένος. » Καὶ πάλιν, « Ἐν τούτῳ γίνεται πᾶς ὁ Θεὸν γνῶναι καὶ ἰδεῖν ἀξιούμενος, αὐτῷ τῷ μὴ ὁρᾷν μηδὲ γινώσκειν ἀληθῶς ἐν τῷ ὑπὲρ ὅρασιν καὶ γνῶσιν γινόμενος. » Ὁρᾶτε τὴν συμφωνίαν τῶν διδασκάλων τῆς εὐσεβείας ; Ἣν γὰρ Παῦλος ἔφησεν ὅρασιν ἐν αἰνίγματι νῦν δι' ἐσόπτρου, ἐν δὲ τῷ μέλλοντι πρόσωπον πρὸς πρόσωπον, καὶ ὅπερ αὖθις Ἰωάννης, οὔπω πεφανερῶσθαι τὸν Κύριον ἡμῖν, [f. 233 b] ὀφθήσεσθαι δ' εἰς τὸ μέλλον ἀποθεμένοις τὸ τῆς σαρκὸς φθαρτὸν, ταῦθ' οὗτος ἀνθρωπικῶς φησιν οὐσιωθέντα τὸν Κύριον κρύφιον εἶναι καὶ ἐν τῇ ἐκφάνσει καὶ μετὰ τὴν ἔκφανσιν, καὶ τὸ κατ' αὐτὸν μυστήριον μένειν λεγόμενον ἄῤῥητον καὶ νοούμενον ἄγνωστον. Καινὴν γάρ τινα τὴν θεανδρικὴν ἐνέργειαν ἡμῖν αὐτὸν πεπολιτεῦσθαί φησι, καὶ ὑπὲρ ἄνθρωπον ἐνηργηκέναι τὰ ἀνθρώπινα· καὶ δηλοῖ παρθένος, φησὶν, ὑπερφυῶς κύουσα, καὶ ὕδωρ ἄστατον ὑλικῶν καὶ γεηρῶν ποδῶν ἀνέχον βάρος καὶ μὴ ὑπεῖκον, ἀλλ' ὑπερφυεῖ δυνάμει πρὸς τὸ ἀδιάχυτον συνιστάμενον. » Καὶ πάλιν, « Εἴ τις ἰδὼν Θεὸν συνῆκεν ὃ εἶδεν, οὐκ αὐτὸν ἑώρακεν, ἀλλά τι τῶν αὐτοῦ τῶν ὄντων καὶ γινωσκομένων· αὐτὸς δὲ ὑπὲρ νοῦν καὶ οὐσίαν ὑπεριδρυμένος αὐτῷ τῷ καθόλου μὴ γινώσκεσθαι μηδ' εἶναι καὶ ἔστιν ὑπερουσίως καὶ ὑπὲρ νοῦν γινώσκεται· καὶ ἡ κατὰ τὸ κρεῖττον παντελὴς ἀγνωσία γνῶσίς ἐστι τοῦ ὑπὲρ πάντα τὰ γινωσκόμενα.»

ΙΓ'. Ὥστε καὶ οἱ ἀπόστολοι τῷ ἐν τῷ Θαβωρίῳ λάμψαν τότε θεασάμενοι φῶς οὔτε θεότητα εἶδον ἄκτιστον οὔτε Θεὸν, ἀλλά τι τῶν ὄντων καὶ γινωσκομένων. Ὄντα δὲ καὶ γινωσκόμενα πάντως, εἰ μὴ

(1) Ἐκ τῆς πρὸς Γάϊον ἐπιστολῆς τρίτης.

μεθύοι τις, οὐκ ἔξω τῶν κτισμάτων εἶναι λογίσαιτ' ἄν ποτε, τοῦτο μὲν καὶ ὡς πληθυντικῶς λεγόμενα (ἓν γὰρ ὁ Θεὸς καὶ ὑπὲρ τὰ ὄντα), τοῦτο δὲ καὶ ὡς γινωσκόμενα· ὃ μᾶλλον εἰς τὸ χαμερπὲς καὶ ταπεινὸν κατάγει τὴν ἔννοιαν· καὶ ἄγγελοι μὲν γὰρ ὄντα μὲν καὶ κτίσματά εἰσιν, οὐ τῶν γινωσκομένων δ' οὖν, ἅτε ὑπερκειμένης οὐσίας ὄντες· ἢ καθ' ἡμᾶς. Ὥστε καὶ εἰ τὸ φῶς ἐκεῖνο τῶν ὄντων ἦν καὶ γινωσκομένων καὶ ὁρατῶν, οὐκ αὐτὸ θεότης ἄκτιστος ἦν· θεότης γὰρ ἀπείρηται παντάπασιν ὁρᾶσθαι καὶ ἀπηγόρευται· ὃ γὰρ ὑπὲρ νοῦν καὶ οὐσίαν ὑπερίδρυται, πῶς ὀφθαλμοῖς ὑποπεσεῖται σωματικοῖς; Ἢ πῶς καὶ ποίᾳ γλώττῃ γένοιτ' ἄν ποτε ῥητὸν, ἢ ποίαις ἀκοαῖς ἀκουστὸν, οὗ γνῶσίς ἐστιν ἡ κατὰ τὸ κρεῖττον παντελὴς ἀγνωσία [f. 234 *a*] καὶ ὃ ὑπὲρ πάντα ἐστὶ τὰ γινωσκόμενα; Ἐκ γὰρ τῶν γινωσκομένων δύναταί πως καὶ τὰ ὑπὲρ νοῦν καὶ αἴσθησιν νοεῖσθαι, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα. Ἄλλως δ' οὐκ ἂν δήπου. Ὥσθ' ὁποτέρωθεν ἄν τις ὁρᾷ σκεπτόμενος, ὑπὲρ τὴν ἀνθρωπίνην εὑρήσει θεωρίαν τὴν διὰ τοῦ φανέντος ἐκείνου φωτὸς παραδειχθεῖσαν συμβολικῶς τε καὶ τυπικῶς θεότητα. Οὐ γὰρ στοχασμῷ καὶ εἰκασίᾳ τινὶ φάσκομεν τὰ τοιάδε, ἵνα πως καὶ ἀπιστώμεθα· ἀλλ' ὁ Εὐαγγελιστὴς ὁ τὴν θείαν ἐκείνην διηγούμενος μεταμόρφωσιν, αὐτὸς ἐκεῖνός φησι μὴ εἰδέναι τὸν Πέτρον ἃ λέγει, ἅτε ὑπὲρ τὴν ἐκείνου γνῶσιν ὑπάρχοντα καὶ αὐτὰ τὰ τῆς ἐκφάνσεως τοῦ μεταμορφουμένου τέως Χριστοῦ. Κρύφιον γάρ φησι Διονύσιος αὐτὸν καὶ μετὰ τὴν ἔκφανσιν εἶναι, ἢ ἵνα τὸ θειότερον εἴπω, φησὶ, καὶ ἐν τῇ ἐκφάνσει· καὶ τοῦτο γὰρ τοῦ Ἰησοῦ κέκρυπται καὶ λεγόμενον ἄῤῥητον μένει καὶ νοούμενον ἄγνωστον· ὃ δὲ καὶ ἀγγέλοις μένει καὶ νοούμενον ἄγνωστον, πῶς ἀνθρώποις γνωσθείη ἄν; Ἄλλως τε καὶ ὁ τῶν Εὐαγγελίων ἐξηγητὴς Χρυσορῥήμων ἀτελεῖς ἔτ' εἶναι τότε φάσκει καὶ τοὺς ἀποστόλους, καὶ οὔπω τῶν τοιούτων ἐφικνεῖσθαι ἰσχύοντας, οὐδ' ἐκ τῶν φαινομένων ἃ μὴ πέφυκε φαίνεσθαι βλέπειν. Ὥσπερ οὖν οὐδ' αἱ μετὰ ταῦτα ὀφθεῖσαι ὡσεὶ πυρὸς διαμεριζόμεναι γλῶσσαι οὐκ ἦσαν ἄκτιστα πνεύματα, ἀλλὰ τὸ δι' αὐτῶν παραδεικνύμενον ἓν ἄκτιστον Πνεῦμα ἅγιον· οὕτως οὐδ' ἐκεῖνο τὸ φανὲν φῶς ἐν Θαβὼρ ἄκτιστον ἦν, ἀλλ' ἡ δι' ἐκείνου παραδειχθεῖσα θεότης. Πόθεν οὖν ὁρατὴν εἶναι θεότητα ἄκτιστον καὶ ἀνούσιον ἡ Παλαμικὴ μαθοῦσα φατρία ἐκεῖνο τὸ φῶς ἰσχυρίζεται, μιγνῦσά τε τὰ ἄμικτα καὶ δικτύῳ θηρεύειν ἐπιχειροῦσα τὸν ἄνεμον; Ἄλλως τε καὶ εἰ τὸ ἡλιακὸν φῶς οὐσία ἐστὶ [f. 234 *b*] κατά τε τὸν Δαμασκηνὸν Ἰωάννην καὶ ὅσοι κατ' ἐπιστήμην περὶ αὐτοῦ λέγουσιν, ἐκεῖνο δ' ἦν καὶ τοῦ ἡλιακοῦ φωτὸς ὑπέρτερόν τε καὶ τιμιώτερον, πῶς καὶ πόθεν ἀνούσιον; Πῶς δὲ καὶ ὁρατὸν ὃ καθ' αὐτὸ ἀνούσιον; Εἰ γὰρ ἀνούσιον μὲν' ὁρατὸν δὲ, χρῶμα ἂν ἴσως εἴη· καὶ εἰ χρῶμα, συμβεβηκὸς πάντως· καὶ εἰ συμβεβηκὸς, πῶς Θεός; Τὸ γὰρ συμβεβηκὸς οὐ μόνον οὐ Θεὸς, ἀλλ' οὐδὲ ὄν. Ὥστε ὁ τῷ μὴ ὄντι λατρεύων ἔλαθε καὶ ἄθεος ἐκ πολυθέου γενόμενος. Καὶ εἰκότως·

gnosci possunt omnino, nisi quis hebes sit, extra creaturas esse judicabit, quippe quæ plurali numero proferantur; unum enim Deus et supra ea quæ sunt; hæc autem sicut cognoscibilia, quæ ad vulgare et humile mentem ducunt. Angeli quoque sunt essentiales et creaturæ, **435** non autem cognoscibiles, quippe qui essentiam habeant altiorem quam quæ nobis est. Itaque si lux illa ex essentialibus et cognoscibilibus et visibilibus erat, non ea erat deitas increata; deitatem omnino videndi potestas et copia data non est. Quod enim est supra mentem et essentiam situm est, quomodo sub oculos cadat corporeos, vel quomodo et qua lingua possit unquam exprimi, vel quibus auribus percipi, cujus cognitio est summi numinis absoluta incognitio, quodque supra omnia cognoscibilia est? Etenim ex cognoscibilibus possunt quodammodo etiam ea quæ supra mentem et sensum sunt intelligi, alia ex alia cogitatione ducta ad unam veritatis imaginem. Nec vero de quibuscunque quis erit speculatus, supra humanam contemplationem inveniet luce illa tanquam symbolo quodam et imagine manifestatam deitatem. Quod non conjectura quadam et verisimilitudine loquimur, ita ut fidem nostram amittamus; sed Evangelista qui divinam illam transfigurationem interpretatur, ipse dicit Petrum nescire quæ dicat, quod illius intelligentiam excedant ipsa illa quæ in transfigurati Christi manifestatione fiebant. « Occultus, Dionysius inquit, etiam post manifestationem fuit, vel ut divinius loquar, etiam in manifestatione. Ipsa lux hæc Jesu occulta est, et quamvis dicta, tamen infanda, quamvis cogitata, tamen incognita: » quod vero ipsis angelis quamvis cogitatum incognitum **436** manet, quomodo ab hominibus cognoscatur? Alias Evangelorum interpres divus Chrysostomus dixit nondum initiatos fuisse tunc apostolos, necdum talia consequi potuisse, neque ex visibilibus quæ non facta essent visibilia vidisse. Quemadmodum igitur nec postea linguæ tanquam igneæ dispartitæ erant increati spiritus, sed illis manifestatus est unus increatus Spiritus sanctus, ita nec lux quæ in Thabor apparuit increata erat, sed per eam manifestata est deitas. Unde tandem dicit Palamica illa familia ut visibilem deitatem increatam et inessentialem esse lucem illam contenderit et commistis inter se non miscendis, quasi ventum retibus capere studuerit? Atque etiam si lux solis essentia sit, secundum Joannem Damascenum eosque qui disciplinam hujus tradunt, illa vero solis luce præstantior et superior, quomodo et unde inessentialis? Quomodo visibilis quæ per se inessentialis? Si enim inessentialis et visibilis, forte superficies erit, et si superficies, accidens omnino est: si accidens, quomodo Deus? Accidens non modo non Deus, verum ne ens quidem. Ita ut qui veneratur id quod non est nesciat se atheum ex polytheo factum: nec enim miro modo est atheismus polytheismo adjunctus, sicut virtutum mediocritati quæ ad intemperan-

tiam et ignaviam pertinent vitia. Deinde in Scripturis legimus etiam Deum Mosi apparuisse et Manoi, et uterque vidisse **437** persymbolum quoddam et imaginem dicitur, non quidem deitatem; magis enim vulgare et populare nomen dii; Dei enim etiam inter homines justi vocantur, non vero deitates. Usitatum enim plerumque est in sacra Scriptura non dicere plurali numero deitates, sed unam increatam et ex tribus personis constantem tanquam naturam, quod ita usitatum et fuit et semper fidelibus est. Ita ut etiam Deum ex Virgine natum esse dicat, deitatem autem minime indefinite. Deitas enim in tribus personis nominata cogitatur: Virgo unam Verbi peperit personam. Unde intelligi potest in quas ineptias inscitia sua et opinione aberravit Palamas. Plures venerari se deos erubescebat confiteri, deitates autem ipse venerabatur et alios adhortabatur, et qui non sequebantur excludebat. Et hoc tanquam non nefarium propalam impudenter professus est et apud populum libere protulit.

A Παρατέπηγε γὰρ ἡ ἀθεΐα τῇ πολυθεΐᾳ, ὥσπερ ταῖς τῶν ἀρετῶν μεσότησιν αἱ καθ' ὑπερβολήν τε καὶ ἔλλειψιν κακίαι. Ἔπειτα καὶ Θεὸν μὲν ἀκούομεν, λεγουσῶν τῶν Γραφῶν, Μωϋσεῖ φανῆναι καὶ Μανωέ, καὶ οἷς ἑτέροις ὀφθῆναι συμβολικῶς τε καὶ τυπικῶς λέγεται, οὐ μὴν θεότητα. Δημοσιώτερον γὰρ καὶ κοινὸν τὸ τοῦ Θεοῦ ὄνομα· θεοὶ γὰρ καὶ τῶν ἀνθρώπων οἱ δίκαιοι λέγονται, θεότητες δ' οὔ. Τετήρηται γὰρ τὸ πλεῖστον εἰπεῖν τῇ θείᾳ τοῦτο Γραφῇ μὴ λέγειν πληθυντικῶς θεότητας, ἀλλὰ μίαν ἄκτιστον καὶ τρισυπόστατον, καθάπερ καὶ φύσιν. Καὶ οὕτω τοῦτ' τετήρηταί τε καὶ ἀεὶ τοῖς εὐσεβέσι τηρεῖται, ὥστε καὶ Θεὸν μὲν ἐκ παρθένου φησὶ γεννηθῆναι, θεότητα δ' ἀπροσδιορίστως ἥκιστα πάντων· ἡ μὲν γὰρ θεότης ἐν τρισὶν ὑποστάσεσι λεγομένη νοεῖται, B ἡ δὲ Παρθένος μίαν τὴν τοῦ Λόγου γεγέννηκεν ὑπόστασιν. Ὥστε σκεπτέον εἰς πόσην ἀτοπίαν ἐξ ἀμαθίας ὁμοῦ καὶ οἰήσεως· τὸν Παλαμᾶν ἐκκεκυλίσθαι συμπέπτωκεν, ὡς πολλοῖς μὲν λατρεύειν θεοῖς, αἰσχύνεσθαι δ' οὖν ἐκλαλεῖν, θεότητας δ' ἀπειράκις ἀπείρους αὐτόν τε σέβειν καὶ ἄλλους παραινεῖν, καὶ ὅσοις ἂν χρῷτο μὴ πειθομένοις, ἀποκηρύττειν, καὶ τοῦτο δ' ὡς μάλα ἀνέγκλητον ἐν ὑπαίθροις ἀναιδῶς ἐκλαλεῖν καὶ δημοσίᾳ παῤῥησιάζεσθαι.

XIV. Si igitur a tota Scriptura se coargutum non intelligere potest, miseret me viri imprudentiæ. Sin vero intelligit, vanam autem ob gloriam ipse sibi malignum malignitatis patrocinium sumit, id omni dignam obsecratione insaniam duco; quod morbo afflictus omnino remedia non desiderat, sed plane consulto medicinam rejicit et contemnit, **438** et simile paupèrum illorum facit, qui ob C vanum nomen divites se esse simulantes majorem sibi paupertatem acquirunt. Est idem ex eorum numero, qui in discrimine morborum versantur; jam vero dissimulato morbo ægrotare tamen mavult et morti similem vitam continuare. Quid hoc miserius?

ΙΔ'. Εἰ μὲν οὖν πρὸς ἁπάσης Γραφῆς [f. 235 a] ἐλεγχόμενος ἥκιστα συνιέναι δύναιτο, οἰκτείρω τῆς ἀπονοίας τὸν ἄνθρωπον· εἰ δὲ συνίησι μέν, κενοδοξίας δ' εἵνεκα ματαίας αὐτοχειροτόνητον ἑαυτῷ τὴν κακοδαίμονα τοῦ κακοῦ προεδρείαν κατεψήφισται, πάσης ἔνοχον αὖθις ἀρᾶς ἡγοῦμαι τὴν ἐμπληξίαν, ὅτι νοσῶν προφανῶς οὐ δεῖται φαρμάκων, ἀλλ' ἄντικρυς ἑκὼν ἀποποιεῖται καὶ ἀποσπεύδει τὴν ἰατρείαν, καὶ ποιεῖ παραπλήσιον τῶν πενήτων ἐκείνοις οἱ διὰ κενοδοξίαν πλουτεῖν προσποιούμενοι πλείω τὴν πενίαν ἑαυτοῖς ἐπιδαψιλεύουσι· τῶν γὰρ τὰ καίρια νοσούντων καὶ οὕτος ὤν, ἔπειτα συγκαλύπτων τὴν νόσον νοσεῖν ἀνθαιρεῖται διηνεκῶς καὶ θανάτου γείτονα βίον ἀνύειν· οὗ τί τῶν πάντων ἀθλιώτερον;

---

# ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ

## ΔΟΓΜΑΤΙΚΟΣ ΛΟΓΟΣ Ε'.

# EJUSDEM NICEPHORI GREGORÆ

## LIBER DOGMATICUS QUINTUS.

**439** I. Hucusque quod visibilem Domini theophaniam attinet vidimus, aliud esse deitatem increatam, aliud theophaniam, alteram invisibilem, alteram visibilem, dein deitatem luce illa in monte

D [Cod. Reg. 3075.] Α'. Περὶ μὲν οὖν τῆς ὁρατῆς τοῦ Κυρίου θεοφανείας, καὶ ὡς ἄλλο θεότης ἄκτιστος καὶ ἄλλο θεοφάνεια, καὶ ὡς ἡ μὲν ἀόρατος, ἡ δ' ὁρατή, καὶ ὡς ἡ θεότης διὰ τοῦ ἐν Θαβωρίῳ

τῷ δρει φωτὸς παρεδείχθη μὲν, οὐκ ἐδείχθη δὲ, καὶ ὡς ἀδύνατον μὴ μόνον τὰς θεανδρικὰς ἐνεργείας, ὡς ἐγένοντό τε καὶ γίνονται, ἀλλ' οὐδὲ τὰ διὰ τῶν ἁγίων τελούμενα θαύματα, δι' ὧν ποι αὐτῶν ὁ θεὸς παραγυμνοῦται καὶ παραδείκνυται καὶ δι' αὐτῶν ἡμῖν τὸν ἐφικτὸν γινώσκεται τρόπον παραγυμνούμενος, ἐῶ γὰρ λέγειν οὐρανὸν καὶ γῆν καὶ ὅσα ἐν μέσῳ, περὶ ὧν καὶ Σολομὼν φησιν ἐκ μεγέθους καὶ καλλονῆς αὐτὸν θαυμάζεσθαι τὸν Θεὸν παραγυμνούμενον, εἰ καὶ τὸ κατ' αὐτὸν μυστήριον καὶ λεγόμενον ἄρρητον μένει καὶ νοούμενον ἄγνωστον, κατὰ τὸν θεῖον εἰπεῖν Διονύσιον, καὶ ὡς οὐ χρὴ μιᾷ δοξάζειν πλείους ἀκτίστους θεότητας, ἵνα μὴ τῷ τῆς ἁγίας καὶ [f. 235 b] οἰκουμενικῆς ἕκτης συνόδου καθυποβληθείη ἀναθέματι, ὡς ἀνωτέρω περὶ τῶν οὕτως ἐχόντων διείληπται, περὶ μὲν οὖν τούτων καὶ τῶν τοιούτων ἱκανῶς ἡμῖν οἶμαι εἰρῆσθαι διὰ βραχέων. Εἰ δέ τινες ἐριστικῶς ἐνίστασθαι, γλώττης ἀφειδοῦντες, βούλοιντο, κἄπειτα ῥήσεις ἁγίων ὡς ἐν μετατχμίῳ τὴν ἔννοιαν ἀμφιῤῥεπῆ κειτημένας καὶ οὐ πάνυ σαφῆ κομίζειν οὐκ ὀκνοῦσι, προσαγέτωσαν ταῖς κοιναῖς ἐκείναις ἐννοίαις τῆς θείας Γραφῆς, αἳ καὶ ἡμῖν ἐν προοιμίοις προβέβληνται καθάπερ στάθμαι τινὲς καὶ γνώμονες καὶ κανόνες τὸ αὐτόπιστον ἑκατέρωθεν ἔχοντες ὁμολογημένον, διευθύνουσί τε καὶ ἐπανάγουσι οἷά τινες οἰακοσπόροι καὶ εὐθυντῆρες νεῶν τὴν ἑλίκην καὶ τὸν πόλον ἀποσκοποῦντες τὰ ναυτικὰ πλημμελήματα διορθοῦνται, πρὸς ἕνα πλοῦν ἐκ ἐξιῶν τε καὶ εὐωνύμων σοφῶς οἰακίζοντές τε καὶ περιστρέφοντες· καὶ ἔσται σφίσιν εὑρημένα τὰ τῆς ἰατρείας αὐτίκα.

A Thabor sub lemonstratam esse, non patefactam, porro nec posse repræsentari non solum divinas virtutes quales factæ sunt et fiunt, verum ne sanctorum miracula quidem, quibus Deus subdenudatur et subostenditur atque quoad fieri potest cognoscitur, cœlum dico et terram et quæcunque media sunt, quorum ob magnitudinem et pulchritudinem se admirari dixit Salomo Deum subdenudatum. Quanquam hoc mysterium vocetur, **440** tamen per se infandum est, et etsi cogitetur, incognoscibile, ut ait sanctus Dionysius. Deniquè nec necesse esse una credi plures deitates, ne sanctæ œcumenicæ synodi sextæ anathemate condemnemur : de his et ejusmodi rebus satis antea paucis dictum puto. Sin vero nonnulli, qui linguæ non B parcunt, litigiose velint intercedere, nec dubitent sanctorum verba quasi ancipitis sensus nec plane aperta accipere, advertant animum ad communes sacrarum Scripturarum sententias, quæ in proœmio nobis prolatæ sunt tanquam leges ac normæ, de quarum fide ab utraque parte nulla dissensio est, et quæ sunt quasi navium gubernatores, qui Ursam et polum spectantes, navium cursum ad certam navigationem perite gubernando et divertendo regunt. Unde salutem reperire poterunt.

Β'. Ἐπὶ τούτοις αὖθις καὶ τρίτην ἐκεῖνοι παρῆγον ἀντίθεσιν, « Ἀλλὰ καὶ τῆς θείας Γραφῆς λεγούσης ἀκούομεν, » λέγοντες, « Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται, » καὶ πάλιν, « Οἱ ἄγγελοι αὐτῶν καθ' ἡμέραν ὁρῶσι τὸ πρόσωπον τοῦ Θεοῦ, » καὶ ἀλλαχοῦ, « Ὤφθη τῷ Ἀβραὰμ ὁ Θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῆ· » ἰδεῖν δὲ καὶ Ἡσαΐας φησὶ τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. Καὶ αὖθις τῆς Μωσαϊκῆς ἀκούομεν ἱστορίας λεγούσης, « Ἐλάλησε Κύριος τῷ Μωϋσεῖ ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσει πρὸς φίλον αὐτοῦ. » Καὶ αὐτὸς δ' ἀντικρύς φησιν ὁ Θεὸς, « Στόμα κατὰ στόμα λαλήσω αὐτῷ ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων. »

C II. Præterea illi tertiam antithesin protulerunt : At vero legimus in sacris libris : « Beati mundo corde, quoniam ipsi Deum videbunt. » Et rursus : « Angeli eorum quotidie conspiciunt faciem Dei » Et alibi : « Conspectus est ab Abraam Deus ad quercum Mambre. » Et Isaias se dicit vidisse Dominum **441** sedentem in throno alto et firmo, et rursus Mosem legimus narrare : « Locutus est Dominus cum Mose de ore ad os, ita ut cum amico. » Et e contra ipse Deus dixit : « De ore ad os loquar cum eo ad faciem, non per ænigmata. »

Γ. Πρὸς ταῦτα ὁ Γρηγορᾶς ἀπήντησεν οὑτωσί πως· Εἰ ἐμμένειν βούλοισθε ταῖς κοιναῖς ἐκείναις τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἐννοίαις, ὡς μία παρὰ πᾶσιν ὁμολογεῖται [f. 236 a] θεότης ἄκτιστος, ἥ δὴ καὶ οὐσία καὶ φύσις καλεῖται καὶ ἐν φῶς ἀπρόσιτον καὶ ἀδιάδοχον ἀειλαμπὲς καὶ τριλαμπὲς, εἴη ἂν καὶ λόγος ἡμῖν καὶ διάλεξις· ἐν ἐλπίσι γὰρ κεῖσθαι προῖοῦσι τὴν τε τῆς ἀληθείας εὕρεσιν καὶ τὴν τῆς κακίας ἀναίρεσιν· ἄλλως δ' ἄμεινον σιωπᾷν. Ἐπεὶ τοίνυν τὴν ἀρχὴν ταῖς κοιναῖς τῆς Ἐκκλησίας ἐννοίαις καὶ τῶν δογμάτων ὡμολογήκατε, δέον τἀ ἑπόμενα δέχεσθαι· εἰ δ' οὖν, ἑαυτοὺς ἀφ' ἑστίας αὐτοὶ καταλύετε· καὶ πῶς ἄλλων λεγόντων ἀνέξεσθε; Ἢ ἐπὶ τίσιν ἐλπίσιν ἀναμφιβόλοις ὁ προσδιαλεγόμενος τὸν τοῦ λέγειν μόχθον ὑπομενεῖ; Ἐπεὶ τοίνυν θεῖον τὸ δόγμα καὶ κοινὴ τῆς Ἐκκλησίας ἔννοιά ἐστιν ὡς Θεὸν οὐδεὶς ἑώρακε πώποτε οὔτ' ἰδεῖν δύνα-

III. Ad hæc Gregoras ita fere respondit : Si acquiescere voltis communibus illis divinæ Ecclesiæ sententiis, unam esse pariter apud omnes D deitatem increatam, quæ et essentia et natura appellatur, et unam lucem inaccessibilem et incomprehensibilem, semper lucentem et triluccntem, erit vobis ratio et disceptatio, quippe qui in spe ponatis fore ut veritas inveniatur, improbitas tollatur. Alias melius est tacere. Cum igitur ab initio conspiratis cum communibus Ecclesiæ et dogmatum sententiis, etiam consequentia accipienda sunt, quo quidem facto fundamentum vestrum sublatum est. Num aliorum rationes recipietis? An orator certa quadam spe dicendi laborem sustinebit? Si igitur divinum dogma et communis Ecclesiæ sententia est, neminem unquam mortalium vidisse Deum nec posse videre quemquam

aut angelorum aut hominum, si quidem aperte liquet ex scriptis testimoniis, dubitationi locus debet nullus concedi. Sin vero nobis non omnino facile 442 evenerit, ob involucra et obscuritatem Scripturæ quasi tenebris interdum involutæ et ob profanos secundum eam rationem, qua sæpe divinam Scripturam uti videmus. Utitur enim, ut magnus Basilius dicit, Scriptura sæpe obscuritate et difficilem intellectu reddit sensum dogmatum ad legentium utilitatem et ob imprudentiam eorum qui aliter intelligunt, tamen de firmis et irrefutabilibus communibus sententiis ne minima quidem dubitatio exsistere potest, sed omnes pariter intelligere debent, magnus Basilius monet, ne ad profanas aures divinorum dogmatum quæ spinosa et ad intelligendum difficilia sunt transferantur. Deus enim, sanctus Dionysius ait, profanis perfectus esse videtur, initiatis autem infinitus; profani enim se scire putant, sed nesciunt; initiati autem non putant, sed sciunt. Cum inscitia necessario conjuncta est humilitas. Scientia enim, dicit, opposita est humilitati. Non enim ex deitate magnitudinem incomprehensibilium intelligere student, verum tamen ex operibus opificem intelligendum esse docentur, sicut magnus Chrysostomus ostendit, ubi dicit : « Quod non percipi possit nec comprehendi doctorum oratio, non erit nobis fractæ fidei opprobrium, sed laus. Ubi enim debilis est ratio, nec succedit sententia, intellige Domini tui magnitudinem ob eam ipsam causam, quod virtus ejus 443 tanta est, ut rationem omnium earum rerum quæ ea continentur non accurate intelligere possimus; hoc rectæ intelligentiæ est, hoc animi sobrii. »

IV. Deus enim propter amorem erga homines prudenter hominibus ut infantibus ab initio rebus manifestis et captui accommodatioribus succurrens, trita via ad perfectiorem conditionem ducit. Mosi enim, ait sanctus ille Chrysostomus, per lucem primum Dei manifestatio facta est in rubo, deinde e nube cum eo collocutus est Deus; cum autem ad altiora aptior et ad reconditiora factus esset, in procella Deum vidit. Venit enim, ait, Moses in turbinem ubi erat Deus; id est, obscura et incognita divina et omnem hominum intelligentiam superantia probe intellexit. Et alias, ubi legitur : « Qui videt me, videt et Patrem, » docemur jam perfectos nos non credere per oculos percipere Deum, sed Dei visionem cognitam habere, scilicet intelligentiam et spiritualem perceptionem, non corporalem. Non igitur novum, si discipulis profanis et iis qui spes debiles et infirmas de eo habebant, quia non Deum eum, sed hominem videbant, per lucem apparentem in eis, ubi apparere non poterat fecit ut intelligentiæ qua possent via et ordine perciperent. Divina enim majestas, ut sanctus Dionysius ait, mysticis 444 eloquiorum traditionibus tan-

ταί τις οὔτ' ἀγγέλων οὔτ' ἀνθρώπων, εἰ μὲν εὐτρήσαιμεν ἐκ τοῦ εὐθέος μαρτυριῶν γραφικῶν, οὐκέτι χώραν ἔχειν χρεὼν τὸ ἀμφισβητήσιμον· εἰ δὲ μὴ τοῦθ' ἡμῖν ἀρτίως ἐκ τοῦ ῥᾴστου προσγίνοιτο διὰ τὸ γρίφον τε καὶ ὁμιχλώδες τῆς Γραφῆς, παραπετάσματι καλυπτομένης ἐνίοτε τῇ ἀσαφείᾳ διά τε τοὺς βεβήλους κατὰ τρόπον οἰκονομίας, ᾗ πολλάκις τὴν θείαν ὁρῶμεν Γραφὴν κεχρημένην (χρῆται γὰρ κατὰ τὸν μέγαν Βασίλειον ἡ Γραφὴ πολλάκις τῇ ἀσαφείᾳ, δυσθεώρητον κατασκευάζουσα τῶν δογμάτων τὸν νοῦν πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελὲς), καὶ διὰ τὴν τῶν ἄλλως ἀκουόντων ἀγνωμοσύνην, ἀλλὰ τοῦ γε στερρροῦ καὶ ἀναντιῤῥήτου τῶν κοινῶν ἐννοιῶν οὐδὲ τὸ σμικρότατον γοῦν ἐξίστασθαι χρή, ἀλλ' ὁμολογεῖν μὲν μὴ νοεῖν, καθὰ καὶ ὁ μέγας παραινεῖ Βασίλειος, μὴ ἐξάγειν δὲ πρὸς βεβήλους ἀκοὰς τὸ τῶν θείων δογμάτων ὀστῶδες καὶ δυσθεώρητον τοῖς ἀτελέσιν. Ὁ Θεὸς γὰρ, ὡς ὁ θεῖος ἔφη Διονύσιος, τοῖς μὲν ἀτελέσι τέλειος εἶναι δοκεῖ, τοῖς δὲ τελείοις ἀτελής. Οἱ μὲν γὰρ ἀτελεῖς εἰδέναι μὲν οἴονται, οὐκ ἴσασι δέ· τοῖς δὲ τελείοις οἴησις μὲν οὐκ ἔστι, γνῶσις δὲ τοῦ μὴ εἰδέναι πρόσεστιν αὐτόχρημα διδάσκουσα ταπεινοῦσθαι· ἐπίτασις γὰρ, φησὶ, σοφίας ἐπίτασιν ποιεῖ ταπεινώσεως· οὐ γὰρ ἐκ τῆς θεότητος τὸ μέγεθος τοῦ ἀκαταλήπτου νοεῖν ἐκζητοῦσιν, ἀλλ' ἐκ τῶν ποιημάτων τὸν [f. 256 *b*] ποιητὴν ἀνεξερεύνητον εἶναι μανθάνουσι, καθὰ καὶ ὁ μέγας διδάσκει Χρυσόστομος, « Τὸ μὴ ἐφικνεῖσθαι, » λέγων, « μηδὲ δύνασθαι τῶν δημιουργηθέντων τὸν λόγον καταλαβεῖν μὴ γινέσθω ἡμῖν ἀπιστίας ὑπόθεσις, ἀλλὰ δοξολογίας ἀφορμή· ὅταν γὰρ ἀτονήσῃ ὁ λογισμὸς, καὶ μὴ χωρήσῃ ἡ διάνοια, ἐννόει τοῦ δεσπότου τοῦ σοῦ τὸ μέγεθος καὶ ἐξ αὐτοῦ τούτου, ὅτι τοσαύτη αὐτοῦ ἡ δύναμις ὡς μηδὲ τὸν λόγον ἡμᾶς μετὰ ἀκριβείας εἰδέναι τῶν ὑπ' αὐτοῦ γενομένων. Τοῦτο γὰρ διανοίας εὐγνώμονος, τοῦτο ψυχῆς νηφούσης. »

Δ'. Καὶ γὰρ ὁ Θεὸς διὰ φιλανθρωπίαν οἰκονομικῶς τοῖς ἀνθρώποις ὡς νηπίοις πατὴρ συγκαταβαίνων διὰ τῶν ἐκδηλοτέρων πρῶτον ἐμφανειῶν καὶ τοῖς οἷον βρέφεσι προσφυεστέροις, οὕτως ἀνάγει διὰ λείας ὁδοῦ πρὸς ἕξιν τελεωτέραν. Καὶ Μωσεῖ γὰρ, ὁ θεῖός φάσκει Χρυσόστομος, διὰ φωτὸς ἡ τοῦ Θεοῦ ἐπιφάνεια ἤρξατο ἐν τῇ βάτῳ· εἶτα διὰ νεφέλης αὐτῷ διαλέγεται ὁ Θεός. Τελειότερος δὲ γενόμενος καὶ ὑψηλότερος ἐν γνόφῳ τὸν Θεὸν βλέπει. Εἰσῆλθε γὰρ, φησὶν, Μωϋσῆς εἰς τὸν γνόφον οὗ ἦν ὁ Θεός· τουτέστιν, ἔγνω σαφῶς ὅτι σκοτειναὶ καὶ ἄγνωστα τὰ θεῖα καὶ πᾶσαν ὑπερβαίνοντα γνῶσιν ἀνθρωπίνην. Καὶ ἀλλαχοῦ τὸ, « Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα, » ἀκούσαντες ἐδιδάχθημεν ὡς ἤδη τέλειοι μὴ προσδοκᾷν δι' ὀφθαλμῶν δύεσθαι Θεὸν, ἀλλ' εἰδέναι τὴν τοῦ Θεοῦ ὅρασιν γνῶσιν οὖσαν καὶ νοερὰν κατάληψιν, οὐκ αἴσθησιν σωματικήν. Οὐδὲν οὖν καινὸν εἰ τοῖς μαθηταῖς ἀτελέσιν οὖσιν ἔτι, καὶ τὰς ἐλπίδας ἀβεβαίους καὶ ἀσθενεῖς ἐπ' αὐτῷ κεκτημένοις διὰ τὸ μὴ ὡς Θεὸν, ἀλλ' ὡς ἄνθρωπον ὁρᾷν αὐτὸν διὰ φωτὸς φαινόμενον, πρὸς ἃ μὴ φαίνεσθαι δυνατὸν, παρεσκεύαζεν ὁδῷ καὶ τάξει νοητῶς κατὰ δύναμιν ἀνιέναι. Τὴν γὰρ σεβασμίαν μακαριότητα, κατὰ

τὸν θεῖον εἰπεῖν Διονύσιον (1), αἱ μυστικαὶ τῶν λογίων παραδόσεις καὶ ὡς φῶς ἀναπλάττουσι καὶ ζωὴν ἀποκαλοῦσιν.

Ε'. Ὅτι μὲν οὖν διὰ συμβόλων καὶ τύπων σωματικῶν οὐ μόνον ὁ Θεὸς ὁμιλεῖ τοῖς ἀνθρώποις, ἀλλὰ καὶ οἱ ἄγγελοι κτίσμα ὄντες, εἴρηταί τε καὶ νῦν πάλιν διὰ βραχέων ἐροῦμεν. Φησὶ γὰρ ὁ μέγας εὐθὺς Διονύσιος ὡς καὶ τὰς θείας ὁράσεις οἱ κλεινοὶ Πατέρες ἡμῶν ἐμυοῦντο διὰ μέσων τῶν οὐρανίων δυνάμεων. Καὶ τὴν ἱερὰν τοῦ νόμου θεσμοθεσίαν δι' ἀγγέλων εἰς ἡμᾶς προελθεῖν διδάσκει σαφῶς ἡ θεολογία ὡς τῆς θεωνυμικῆς τάξεως ἐκεῖνο νομοθετούσης, τὸ διὰ τῶν πρώτων [f. 237 a] τὰ δεύτερα πρὸς τὸ θεῖον ἀνάγεσθαι. Καὶ τῇ Παρθένῳ δὲ τὸ θεῖον μυστήριον ἄγγελος ἦν κομίσας ἀνθρωπίνῳ τύπῳ καὶ σχήματι. Καὶ τοῖς ποιμέσιν ἄγγελος Κυρίου τότε, φησὶν, ἐπέστη, καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς. Καὶ τὸν δι' ἀγγέλων λαλούμενον λόγον γίνεσθαι βέβαιον ἀκούομεν· τὰς γὰρ ἀΰλους ἱεραρχίας ὑλαίοις σχήμασι καὶ μορφωτικαῖς συνθέσεσι διαποικίλασα παραδέδωκεν ἡ Διονυσίου τοῦ θείου βίβλος· οὐ γὰρ δυνατὸν, φησὶ, τῷ καθ' ἡμᾶς νῷ πρὸς τὴν ἄΰλον ἐκείνην ἀναταθῆναι τῶν οὐρανίων ἱεραρχιῶν μίμησίν τε καὶ θεωρίαν, εἰ μὴ τῇ κατ' αὐτὸν ὑλαίᾳ χειραγωγίᾳ χρήσαιτο. Λειτουργικὰ γὰρ οἱ ἄγγελοι, φησὶν, εἰσὶ πνεύματα, πρὸς διακονίαν ἀποστελλόμενα. Καὶ τῷ Χριστῷ δὲ ἄγγελοι διηκόνουν, φησὶν ἡ Γραφή. Καὶ ἀγγέλους αὖθις ἐνισχύειν αὐτῷ λέγεται ὡς ἀνθρώπῳ. Καὶ πάλιν, « Ἠδυνάμην πλείους ἢ δώδεκα λεγεῶνας παραστῆσαι ἀγγέλων, » φησίν. Καὶ πολλὰ τοιαῦτα σωματοειδῶς εἰρημένα περὶ τῶν ἀσωμάτων δυνάμεων σωματικῶς φαινομένων ταῖς θείαις καὶ ἱεραῖς ἐμφέρεται βίβλοις οἰκονομικόν τινα τρόπον· ἅσπερ καὶ μορφωτικὰς δυνάμεων εἰκόνας καλεῖ Διονύσιος, ἀνθρωπομόρφους ἀναγράφων καὶ θηριομόρφους, λεόντων φημὶ καὶ βοῶν καὶ ἵππων καὶ ἀετῶν μορφὰς αὐτοῖς περιτιθείς. Ἐῶ λέγειν τὰς τῶν λίθων πολυχρωμάτους ἰδέας καὶ τἄλλα πάντα, ζώνας καὶ τροχοὺς καὶ ῥάβδους λέγω καὶ πελέκεις, δι' ὧν εὑρίσκειν ἡμᾶς παραινεῖ τὴν τῶν τυπικῶν εἰκόνων ἀνακάλυψιν, ὁποίαν καὶ ὅσην αὐτὸς ἑρμηνεύων ἐκτίθησι. Τῆς οὖν Γραφῆς λεγούσης, « Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται, » τὴν κατὰ διάνοιαν ὄψιν ὁ θεῖος ἐξηγεῖται Χρυσόστομος. Καὶ τὸ, « Οἱ ἄγγελοι δὲ αὐτῶν καθ' ἡμέραν ὁρῶσι τὸ πρόσωπον τοῦ Θεοῦ, » τὴν αὐτὴν, φησὶν, ἔχει διάνοιαν· τὸν γὰρ αὐτὸν ἀνθρώποις τε ἔστιν ἰδεῖν ἀδύνατον, καὶ οὗ μηδὲ τῶν ἀγγέλων τολμᾷν ἀτενίσαι τὰ τάγματα. Καὶ ὅλον τοῦτο τίθησι Παῦλος λέγων « Ἐφανερώθη ἐν σαρκὶ, ὤφθη ἀγγέλοις· » πρὸ γὰρ τῆς τοῦ Κυρίου σαρκώσεως καὶ ἀγγέλοις ἀθέατος ἦν, ὡς καὶ ὁ θεῖος ἔφη Χρυσόστομος ὅτι αὐτὸ ὅπερ ἐστὶν ὁ Θεὸς, οὐ προφῆται οὐδ' ἄγγελοι εἶδον, οὐδ' ἀρχάγγελοι. Εἰ γὰρ καὶ ὁμιλοῦσιν ἀνθρώποις ἐκ προσώπου τοῦ Θεοῦ καὶ ἄγγελοι, ἀλλ' οὐδὲ προφήταις ἄηθες τοῦτ' καὶ ἀνθρώποις οὖσι· ποτὲ μὲν γὰρ προστιθέντες φασὶ καὶ αὐτοὶ, « Τάδε λέγει Κύριος, »

A quam lumine explendescit et vivifica illustratione exornatur.

V. Si igitur sub symbolis et formis corporeis non solum Deus locutus est cum hominibus, verum etiam angeli creati, ut jam diximus, et nunc paucis iterum dicemus. Dicit enim magnus Dionysius Patres illustres contemplatos esse Deum per mediascœlorum virtutes, et sacram legis constitutionem per angelos ad nos venisse aperte docet theologia et divina lex jubet ex principiis consequentia ad Deum referri. Virgini quoque divinum mysterium attulit angelus sub humana forma et specie, et pastoribus angelus Domini, inquit, astitit, et gloria Domini circumdabat eos, et verbum per angelos nuntiatum B esse pro certo audivimus. Nam sacras hierar hias incorporeas corporeis imaginibus et formarum compositione variatam tradidit sancti Dionysii liber. Non enim posse inquit per nostram mentem ad incorporalem cœlestium hierarchiarum imitationem et contemplationem pervenire, nisi corporali auxilio adhibito. Servientes enim animæ, inquit, sunt angeli ad ministerium missæ, et Christo angelos servisse Scriptura refert. Porro angeli filius ut hominis animum confirmasse traduntur. **445** Rursus legitur : « Possem mihi plus duodecim legiones angelorum arcessere. » Et multa ejusmodi corporaliter dicta de virtutibus incorporeis quæ corporaliter apparent divinis et sacris libris utilitatem quamdam tribuunt. Quas virtutum imagines C vocat Dionysius hominum et bestiarum formas. Leonum enim et bonm et equorum et aquilarum formis eas circumdat. Omitto lapidum varias formas et cætera omnia, cingula, annulos, virgas, secures, quibus nos docet invenire imaginum explicationem, qualem ipse interpretando exponit. Igitur quod in Scriptura legitur, « Beati mundo corde, quoniam ipsi Deum videbunt, » de contemplatione per mentem intelligit sanctus Chrysostomus. Et illud, « Angeli eorum quotidie vident faciem Dei, » eamdem sententiam præstare dicit. Ipsum enim videre nec homines possunt neque angelorum ordines contemplari eum audent. Quod aperte dicit Paulus : « Apparuit in carne, conspectus est ab angelis ; » D ante enim Domini incarnationem nec ab angelis conspici poterat, ut etiam sanctus Chrysostomus dicit, Dei personam nec prophetas neque angelos vidisse neque archangelos. Si enim cum hominibus etiam angeli in Dei persona conversantur, nec prophetis hoc inusitatum est, **446** quippe qui homines sint : modo enim addunt, Hoc locutus est Deus, modo ex sua sententia loquuntur, quod nec novum est nec a Scripturæ consuetudine alienum. Etenim et regia imperia præconum ore per urbes nuntiata quasi ex ipsius regis ore accepimus. Dicit et propheta, in quantum ej ipse homo est : « Audi me, populc, et loquar tecum, Israel, et testis tibi ero : Deus, Deus

(1) Τοῦ ἁγίου Διονυσίου ἐκ τοῦ περὶ τῆς οὐρανίου ἱεραρχίας κεφαλαίου πρώτου.

tuus ego. «Non enim sicut alias addit, «Hæc locutus est Dominus; » nec dicit : Deus hæc et illa dixit; angelus vero ex rubo : « Ego sum Deus Abraham et Deus Isaac et Deus Jacob. » Supra enim dictum est : « Angelus Domini ei apparuit »

ποτὲ δ' ἐξ ἑαυτῶν ἁπλῶς. Καὶ καινὸν οὐδὲν οὐδὲ πόρρω Γραφικῆς συνηθείας· καὶ γὰρ καὶ τὰ βασιλικὰ προστάγματα τῶν δημοσίων ἐν ταῖς πόλεσι κηρύκων βοώντων ὡς ἐξ αὐτοῦ δὴ τοῦ βασιλικοῦ λεγόμενα στόματος ἡμεῖς ἐκδεχόμεθα. Καὶ ὁ μὲν προφήτης, ἄνθρωπος ὤν, ὡς ἐξ ἑαυτοῦ φησιν, « Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι· Ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι· ὁ Θεὸς ὁ Θεός σού εἰμι ἐγώ. » Οὐ γὰρ προσέθηκεν ὡς ἐν ἄλλοις, « Τάδε λέγει Κύριος· [f. 237 b] καὶ, « Εἶπεν ὁ Θεὸς τὰ καὶ τά· » ὁ δὲ ἄγγελος ἐκ τῆς βάτου, « Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ· » Προείρηται γὰρ, « Ὤφθη αὐτῷ ἄγγελος Κυρίου. »

VI. Si igitur, ut cum sancto Chrysostomo loquar, quantum interest inter cæcum et videntem, tanta est inter angelos et homines differentia, quomodo tandem, si angeli non possunt videre essentiam Dei aut cognoscere, homines poterunt, qui angelorum essentiam non modo non cernere, sed ne cogitare quidem possunt? Si enim, ut cum Chrysostomo loquar, essentia essentiam altiorem cognoscere non potest, multum sane abest, ut homines angelorum essentiam videant, tanto illis superiorem, quanto cæcis videntes. Ne turbetur igitur mens vestra ut communium divinæ Ecclesiæ sententiarum obliviscamini, quæ ad Hebraicæ dialecti **447** proprietatem dicta sunt, qualia a nobis illa jam prolata sunt, et quæcunque sunt similia, dico autem illud : « Locutus est Dominus ad Mosem de facie ad faciem, ut si quis cum amico de ore ad os loquitur, in specie, non per ænigmata. » Et rursus : « Mons Sinai fumabat, quoniam Deus per ignem in eum descendebat. » Et alias : « Species divinæ gloriæ ut ignis fulgor de vertice montis adversus filios Israel, » et multa ejusmodi quæ creata sunt, cum increata Dei essentia conciliari minime licet, ad discipulorum autem institutionem non inutile, imo quam utilissimum est. Volo vocare prophetarum verba in specie Dei et angelorum cum hominibus conversationem sensualem et vigilantibus illis apparentem. Quæ quidem Abraham contigit, qui primo Deum non ut Deum vidit, sed ut hominem in hospitium recepit. Et laudatus est ob reverentiam qua eum recepit. Et præter permultos alios postea Manoe se perditum dixit, quod Deum vidisset. Non ad hominem captum, inquit, apta est Dei cognitio, nedum natura, sed per somniorum ænigmata; hæc enim luce quodammodo et claritate destituta est, quippe quæ aliam alia implicatam nebula obscuritatis explicationem præbeat. **448** Cujus rei permulti alii testes sunt integri, sed etiam Daniel et Joseph, quibus nocturnæ visiones in somnis earum rerum quæ factæ nondum erant, veram præcognitionem præbebant. De utroque sapiens ille theologus Gregorius dubitans ipse quidquam scire se negat, scire autem prophetarum Deum, sive phantasia est diurna sive nocturna vera visio, sive rationis effigies præcognoscentis futura tanquam præsentia. Cæterum nemo Dei naturam vidit aut professus est. Quibus igitur divinæ Ecclesiæ communes sententiæ cum firma

Ϛ'. Εἰ οὖν κατὰ τὸν θεῖον Χρυσόστομον, ὅσον τυφλοῦ καὶ βλέποντος τὸ μέσον, τοσοῦτόν ἐστιν ἀγγέλων καὶ ἀνθρώπων τὸ διάφορον, πῶς τῶν ἀγγέλων μὴ δυναμένων οὔθ' ὁρᾷν τὴν οὐσίαν οὔτε νοεῖν τοῦ Θεοῦ, εἴη ἂν δυνατὸν ἀνθρώποις τουτὶ, οἷς μηδ' ἀγγέλων οὐσίαν μὴ ὅτι μὴ βλέπειν, ἀλλ' οὐδὲ νοεῖν δυνατόν; Εἰ γὰρ κατὰ τὸν αὐτὸν Χρυσόστομον οὐσία οὐσίαν ὑπερκειμένην νοεῖν οὐ δύναται, πολλοῦ μέντ' ἂν δεήσειεν ἀνθρώπους ἀγγέλων βλέπειν οὐσίαν, ὑπερκειμένην τούτων ὅσων οἱ βλέποντες τῶν τυφλῶν. Μὴ ταραττέτω τοίνυν ὑμῶν τὴν διάνοιαν, ὥστε τῶν κοινῶν τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἐννοιῶν ἐκλελῆσθαι, ὅσα κατά τινα ἰδιοτροπίαν τῆς Ἑβραΐδος ἐστὶ λεγόμενα διαλέκτου· οἷα τὰ ὑφ' ἡμῶν ἐκεῖνα νῦν προβληθέντα καὶ ὅσα παραπλήσια, λέγω δὴ τὸ, « Ἐλάλησε Κύριος πρὸς Μωσῆν ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσει πρὸς ἑαυτοῦ φίλον, στόμα πρὸς στόμα ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων· » καὶ πάλιν, « Τὸ δὲ ὄρος τοῦ Σινᾶ ἐκαπνίζετο διὰ τὸ καταβεβηκέναι ἐπ' αὐτὸ τὸν Θεὸν ἐν πυρί· » καὶ πάλιν, « Τὸ δὲ εἶδος τῆς δόξης Κυρίου ὡς πῦρ φλέγον ἐπὶ κορυφῆς τοῦ ὄρους ἐναντίον τῶν υἱῶν Ἰσραήλ. » Καὶ τοιαῦτα μυρία, ὁπόσα κτιστὰ ὄντα τῇ μὲν ἀκτίστῳ οὐσίᾳ τοῦ Θεοῦ πάντων ἥκιστά ἐστιν ἁρμόττειν ὅσιον, πρός γε μὴν παιδευτικὴν τῶν χρωμένων οἰκονομίαν οὐ μάλα ἀχρήστως ἔχει, ναὶ μὴν οὐδ' ὡς πορρωτάτω τοῦ ὠφελίμου κεῖται. Καλεῖν δ' οἶμαι τὰ λόγια τῶν προφητῶν ἐν εἴδει μὲν ὁμιλίαν Θεοῦ καὶ ἀγγέλων πρὸς ἀνθρώπους τὴν αἰσθητὴν καὶ ἐγρηγορόσιν αὐτοῖς φαινομένην, ὁποίας καὶ Ἀβραὰμ ἠξίωται πρότερον Θεὸν οὐχ ὡς Θεὸν ἰδών, ἀλλ' ὡς ἄνθρωπον θρέψας· ὃς καὶ ἐπηνέθη, φησὶ, σεβασθεὶς ὁπόσον κατέλαβε. Καὶ μετὰ πλείστους ἄλλους ὕστερον Μανωέ· ὃς καὶ ἀπολωλέναι ἐδόα, διότι Θεὸν ἑώρακεν, ὡς οὐ χωρητῆς ἀνθρώποις οὔσης, φησὶν, οὐδὲ φαντασίας θείας, μὴ ὅτι φύσεως. Δι' αἰνιγμάτων δ' οὖν τὴν δι' ὀνειράτων· ἀλαμπὴς γάρ τις αὕτη, καὶ οὐ πάνυ τι πρόδηλος· καὶ γὰρ δι' ἄλλων ἄλλα συμπλέκουσα καὶ συγκρύπτουσα, νέφει τινὶ καλυπτομένην ἀσαφείας παρέχει τὴν δήλωσιν. Ὧν καὶ πλεῖστοι μὲν ἕτεροι κήρυκες ἀψευδεῖς, ἀλλὰ καὶ Δανιὴλ καὶ Ἰωσὴφ, οἷς νυκτεριναί τινες ὄψεις καθεύδουσι μήπω γεγονότων ἀληθῆ παρεῖχον τὴν πρόγνωσιν. Περὶ ὧν ἀμφοτέρων ὁ σοφώτατος ἀπορῶν Θεολόγος Γρηγόριος (1) αὐτὸς μὲν ὁμολογεῖ μὴ εἰδέναι, εἰδέναι δὲ τὸν τῶν προφητῶν Θεὸν, εἴτε φαντασία τις ἦν ἡμερινὴ, εἴτε νυκτὸς ἀψευδὴς ὄψις, εἴτε τοῦ ἡγεμονικοῦ τύπωσις συγγινομένη τοῖς μέλλουσιν ὡς παροῦσι·

(1) Ἐκ τοῦ περὶ θεολογίας δευτέρου λόγου.

πλὴν οὐδεὶς Θεοῦ φύσιν εἶδε, φησὶν, ἢ ἐξηγόρευσεν. Οἷς τοίνυν τὰ τῶν κοινῶν ἐννοιῶν τῆς τοῦ Θεοῦ Ἐκκλησίας πέπηγεν ἀσειστα [f. 238 a] κατὰ γνώμην ἑστῶσαν καὶ ἀναμφίβολον, τούτοις καὶ σφόδρα τι ῥᾴδιον ἀόρατον καὶ μόνην ἄκτιστον δογματίζειν τοῦ Θεοῦ τὴν οὐσίαν καὶ γνώμῃ καὶ ψυχῇ καὶ χειρὶ πρὸς κανόνα καὶ στάθμην ἀνάγειν ἐκεῖ.

A et constanti mente probatæ sunt, iis etiam perfacile est Dei essentiam ut invisibilem et solam increatam pervulgare et animo et lingua et mente et manu diu noctuque. Quæ omnia ad normam et regulam deduci possunt.

Ζ'. Εἰ γὰρ καὶ Μωσῆς τὴν ἀόρατον οὐσίαν ὁρᾷν ἐδύνατο τοῦ Θεοῦ, οὐκ ἂν ἁπάσῃ γνώμῃ καὶ ὅλῃς ψυχῇς προθυμίᾳ οὕτως ᾔτει δεόμενος ὕστερον καὶ λέγων, « Εἰ εὗρηκα χάριν ἐναντίον σου, Κύριε, ἐμφάνισόν μοι σεαυτὸν γνωστῶς, ἵνα σε, ὅπως ἂν εὑρηκὼς χάριν ἐναντίον σου· » καὶ πάλιν· « Δεῖξόν μοι τὴν σεαυτοῦ δόξαν. » Δῆλον γὰρ ὡς σωματικῶς βλέπων ἐπεθύμει καὶ τῆς θείας οὐσίας θεατὴς γενέσθαι. Τὸ δὲ ἦν ἀδύνατον· ἀπερίγραπτος καὶ ἀνείδεος ὁ Θεός· « Τὸ πρόσωπόν μου » γάρ φησιν « οὐκ ὀρθήσεταί σοι· οὐδεὶς γάρ, » φησὶν, « ὄψεται τὸ πρόσωπόν μου, καὶ ζήσεται. Ἀλλ' ὄψει τὰ ὀπίσθιά μου, » εἴτε τοὺς λόγους τῶν ὄντων λέγων, καὶ ὅσα μὲν ἐκεῖνον ἐκείνου γνωρίσματα κατὰ τὸν θεῖον Γρηγόριον, εἴτε τὴν διὰ σαρκὸς ἐπιφάνειαν, τὴν ἐκ Παρθένου δηλονότι γέννησιν· περὶ ἧς καὶ ὁ Ἀπόστολός φησιν, « Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, » ἐπιφάνειαν ἐνταῦθα λέγων οὐ κατὰ τὴν πάλαι τῶν προφητῶν, ἀλλὰ τὴν νῦν τὴν διὰ σώματος ἀληθοῦς· τότε γὰρ διὰ σωματικῶν σχημάτων καὶ τυπικῶν φαντασμάτων ἀναλόγων τῇ τῶν ὁρώντων δυνάμει ἐγίγνοντο. Διὰ γὰρ τοῦτο καὶ διάφοροί τε αἱ ὁράσεις καὶ πολυειδεῖς ἐφαίνοντο· καὶ γὰρ, « Ἐγὼ, » φησὶν, « ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. » Εἰ γὰρ αὐτὴν, ὁ Χρυσορρήμων φησὶν, ἑώρων τὴν τοῦ Θεοῦ φύσιν, οὐκ ἂν διαφόρως ἐθεῶντο· ἁπλῆ γάρ τις καὶ ἀσχημάτιστος καὶ ἀσύνθετος. Εἶτα οὐκ ὤφθην, ἀλλ' ὡμοιώθην, φησίν· οὐ γὰρ ἄλλος ὁ λέγων, ἀλλ' αὐτὸς περὶ ἑαυτοῦ ἐστιν ὁ Θεός· ἡ γὰρ ὁμοίωσις ποιότητος ἔνδειξιν ἔχει καὶ οὐχὶ φύσεως, σχήματος λέγω καὶ χρώματος καὶ ὅσα τῇ ὄψει πέφυκεν ὑποκείμενα, καὶ ὅσα τῇ ἀκοῇ, λέγω δὴ τὸ τῆς λαλιᾶς ἦθος καὶ βούλημα. Καὶ γὰρ καὶ ὁ τοῦ ἀνθρώπου νοῦς ἀσώματος ὢν αἰσθήσει οὐχ ὑπόκειται· ἀλλ' ἐπειδὰν εἰς λαλιὰν ἔλθῃ καὶ λόγους ἐνάρθρους, τηνικαῦτα καὶ αἰσθήσει μὲν ὑποβάλλεται· καὶ τὸ τῆς οἰκείας βουλήσεως εἶδος καὶ ἦθος ἐνδείκνυται μὲν σκιωδῶς καὶ σωματικῶς εἰπεῖν, τὴν δὲ φύσιν ἐνδείξασθαι ἥκιστα ἔχει· σωματικοῖς γὰρ τοῦτ' ἀδύνατον ὄμμασιν. Εἰ δὲ νοῦ φύσιν ἰδεῖν αἰσθητῶς ἀδύνατον, πῶς Θεὸν ἰδεῖν δυνατόν; Ὅθεν καὶ διπλῆν ὁ Θεὸς τὴν τῶν ὄντων εἴργασται φύσιν, διὰ τὸ καὶ τὴν ἀνθρώπου, δι' ὃν τὰ ποιηθέντα πεποίηται, ποίησιν εἶναι διπλῆν, ἔκ τε νοητοῦ καὶ αἰσθητοῦ συγκειμένην· καὶ εἰσὶν οἰκείως ὑποκείμενα τῷ μὲν νῷ τὰ νοητὰ, τῇ δ' αἰσθήσει τὰ φαινόμενα πάντα. Ὧν οὐδὲν οὐδαμῆ ποτε ἄκτιστον· εἴρηται [f. 238 b] γὰρ ὡς οὐδὲν τῶν τῇ αἰσθήσει ὑποβαλλομένων ἀσώματον· ὃ δὲ μὴ ἀσώματον, πῶς ἄκτιστον; Τίς γὰρ οὕτως ἄμοιρος αἰσθήσεώς τε καὶ νοῦ ὡς ἀγγέλων καὶ ψυχῶν καὶ τῶν τοιούτων, ὁ σωμάτων μὲν ὄντων κτιστῶν δὲ, ἔπειθ'

VII. Si enim ipse Moses invisibilem Dei essentiam videre potuisset, non tota mente et omni animi intentione postea rogasset : « Si inveni gratiam apud te, Domine, ostende mihi faciem tuam ut sciam te et inveniam gratiam apud te, Domine. » Et rursus : « Ostende mihi gloriam tuam. » Manifestum est enim corporaliter cum vidisset, optasse eum ut divinam essentiam cognosceret. Hoc vero fieri non poterat : non enim forma aut imagine quadam circumscribi Deus potest. « Facies enim mea, **449** dixit, non conspicietur a te; nemo conspiciet faciem meam, et vivet; sed conspicies tergum meum, » scilicet rerum creatarum rationes et quascunque ille Gregorius cognitiones nominavit, sive secundum carnem adventum id est, Virginis partum, de quo Apostolus dicit : « Apparuit gratia Dei salutaris omnibus hominibus. » Ubi epiphaniam intelligit non antiquam illam prophetarum, sed quæ hoc tempore facta est per veram carnem. Olim enim corporeis formis et imaginibus secundum videntium captum fiebant. Hac enim ratione visiones diversæ et variæ apparuerunt. Nam, « Ego, inquit, visiones implevi et prophetarum manibus me assimilavi. » Si enim ipsam vidissent Dei essentiam, ait Chrysostomus, non dissimiliter contemplati essent, quippe quæ simplex sit, non formata, non composita quædam. Præterea non conspectus sum, sed me assimilavi dicit. Nec enim alius quisquam, sed Deus ipse de sese loquitur. Similitudo enim habet argumentum qualitatis, non naturæ, formæ scilicet et coloris et quæcunque oculis sunt subjecta, et quæcunque auribus, dico loquendi consuetudinem et voluntatem. Etenim hominis ratio cum incorporea sit, sensui non subjecta est; sed postquam in linguam venit et verba articulata, tum sensibus subjicitur. **450** Et proprietas voluntatis et affectus ostenditur, ut ita dicam, per umbras et figuras natura ostendi minime potest. Corporeis enim cerni oculis nequit. Sin vero rationis natura per sensum percipi non potest, quomodo Deus poterit conspici? Quapropter duplicem Deus rerum creatarum fecit naturam, etiam hominis, cujus causa illæ factæ sunt, formatio duplex est ex intelligibilibus et sensibilibus compositum, et proprie subjecta sunt rationi intelligibilia, sensui autem omnia quæ apparent, quorum nihil unquam increatum. Jam dixi nihil earum rerum quæ sensui subjiciuntur esse sine corpore; quod autem non incorporeum, quomodo erit increatum? Quis enim tam sensus et rationis est expers, ut angelorum et animarum et quæ ejusmodi incorporea quidem,

sed creata sunt, quæcunque ad calorem et formam et dulcedinem et amaritudinem et odorem pertinent et ad videndum, audiendum, sentiendum increata, nominanda judicet? Quantum ille abhorreret ab insanis et sensus expertibus?

VIII. Atque ut iis quæ singulatim apparent rebus rationem confirmemus, atramento aut alio colore pictæ litteræ certe visioni subjectæ sunt, sed inest et quasi latet in illo atramento sententia quædam, quæ visioni subdita esse nullo modo potest. Attamen **451** quoniam homo ex anima et corpore constat, et per corporalem et sensualem visionem apprime percipit corporis formas, per mentalem et invisibilem animæ oculum sententias quæ litteris illis insunt. Ac mundum illum, qui e cœlo et terra et quæcunque media sunt constat, similiter ab initio homines modo universum modo partialem visu concipiunt secundum vim et naturam quæ rei unicuique inest. Ex his duobus omnium omnino constat cognitio, scilicet sensuali perceptione per oculos et vi mentis, quæ invisibiliter per naturam excitatur, apparet autem per litteras et sermonem. Hæc quamvis una in multas distribuitur perceptiones, quippe quæ duplicem vim exerceat; perceptionibus enim corporalibus corporalem per aerem sonum præbet, menti vero quæ non apparet eam sententiam quæ huic tantum apparet et ostenditur, mittit. Itaque rerum publicarum et domesticarum et omnium quæ in vita nascuntur et evanescunt, cognitio sensu ac mente una sensuali, altera invisibili, quoad intelligere possumus, oritur. Quapropter Deus Verbum caro factus mansit quidem qui erat spiritualis et præter mentem id quod non habuerat recepit et factus est duplex natura incredibili modo, ut per miracula quæ sensui apparent **452** deitatem, quæ non apparebat, denudaret atque ostenderet, atque ita ab miraculis quæ sensui apparent tempore erigeret et dirigeret ad spiritualem illam ac beatam vitam quæ supra sensum est. Etenim ex magnitudine et pulchritudine miraculorum, quæ ab initio in creaturis semper apparent, per analogiam quamdam Creator conspicitur. Nec enim, ut sanctus ille Dionysius ait, omnino cognosci potest quod ad essentiam pertinet nec percipi Deus, sed ob facta sua celebrandus est, quapropter baptismus nobis in duplicem gratiam erat, per aquam simul et Spiritum, ut per aquam quæ carnis nostræ sordes eluere solet, addito divino Spiritu, invisibiliter et insensibiliter una cum corpore eluatur anima. Ad sacram aquam autem accedere Spiritum sanctum per precum cæremoniam ostendit nobis sanctus Chrysostomus, « Tum super Christum, inquirens, columba apparuit, ita ut quasi digito ostenderet iis qui aderant et Joanni Filium Dei neque hoc solum verum etiam ut discas supra te quoque qui baptizatus es Spiritum descendere. Nunc autem sensuali nobis visione opus non est, cum pro omnibus fides satisfaciat. Nam signa non fidelibus, sed infidelibus. » Visibilem igitur theophaniam non

A ὅσα χρώμασι καὶ σχήμασι καὶ γλυκύτησι καὶ πικρότησι καὶ ὀσμαῖς ὑπόκειται καὶ ἀκοῇ καὶ ὄψει καὶ ἁφῇ κρίνεται, λέγειν ἄκτιστα; τί δ' ἀπεοίκοι ἂν οὗτος τῶν μαινομένων ἢ ἀναισθήτων;

B Η'. Καὶ ἵν' ἐκ τῶν καθ' ἕκαστα φαινομένων τὸν λόγον γυμνάσωμεν, τὰ διὰ μέλανος ἢ δι' ἄλλου τοῦ χρώματος γράμματα τῶν αἰσθήσεων μὲν ὑπόκεινται πάντως τῇ ὄψει· ἀλλ' ἔχει καὶ νοῦν ἐγκείμενον καὶ κρυπτόμενον ἐν τῷ μέλανι, ἀπηγορευμένου καὶ ἀδυνάτου παντάπασιν ὄντος ὄψει τοῦτον ὑποτεθῆναι. Ὅμως ἐπειδήπερ ὁ ἄνθρωπος διπλοῦς ἐκ ψυχῆς συνετέθη καὶ σώματος, καὶ ἀμφοτέρων ἐκείνων οἰκείως ἐπιλαμβάνεται, διὰ μὲν τῆς σωματικῆς καὶ φαινομένης ὄψεως τῶν διὰ σώματος χαρακτήρων, διὰ δὲ τοῦ νοεροῦ καὶ ἀφανοῦς τῆς ψυχῆς ὀφθαλμοῦ τῶν τοῖς γράμμασιν ἐκείνοις ἐγκειμένων νοημάτων. Καὶ τὸν ἐξ οὐρανοῦ δὲ καὶ γῆς καὶ τῶν ἐν μέσῳ πάντων συγκείμενον κόσμον ὁμοίως ἐξ αἰῶνος ὁρῶντες καταλαμβάνουσιν ἄνθρωποι πῶς μὲν καθόλου, πῶς δὲ κατὰ μέρος, κατὰ τὴν ἐνοῦσαν ἑκάστῳ φύσιν καὶ δύναμιν. Κἀκ τῶν δυοῖν τούτων πᾶσι πάντων ἡ γνῶσις συνίσταται, τῆς τε δι' ὄψεως αἰσθητικῆς καταλήψεως καὶ τῆς κατὰ τὸν νοῦν ἐνεργείας, ἀφανῶς μὲν κατὰ φύσιν αὐτῆς κινουμένης, ἐμφανιζομένης δ' οὖν διὰ γραμμάτων αὖθις καὶ λαλιᾶς. Ἥτις καὶ αὐτὴ μία οὖσα πρὸς πολλὰς μερίζεται ἀκοάς, διπλῆν τὴν ἐνέργειαν δρῶσα· ταῖς μὲν γὰρ ἀκοαῖς σωματικαῖς τισιν οὔσαις τὸν σωματικὸν δι' ἀέρος ἐνάρθρου δίδωσιν ἦχον, τῷ δὲ μὴ φαινομένῳ τῆς ψυχῆς νοερῷ τὸν ἐμφαινόμενον αὐτῇ καὶ ἐνσημαινόμενον παραπέμπει νοῦν. Καὶ οὕτως ἡ τῶν πολιτικῶν καὶ οἰκονομικῶν πραγμάτων καὶ τῶν ἐν βίῳ πάντων κατάληψις ὅσα γένεσιν ἄγει καὶ φθοράν, δι' αἰσθήσεώς τε καὶ νοῦ, τῆς μὲν φαινομένης τοῦ δὲ κρυπτομένου, τὸν ἐφικτὸν ἡμῖν περιγίνεται τρόπον. Διὰ δὴ ταῦτα καὶ ὁ Θεὸς Λόγος σὰρξ ἐγένετο, μείνας ὅπερ ἦν, νοητὸς καὶ ὑπὲρ νοῦν, προσλαβὼν δ' ὅπερ οὐκ ἦν καὶ γενόμενος διπλοῦς τὴν φύσιν ἀπόῤῥητον τρόπον, ἵνα διὰ τῶν τῇ αἰσθήσει φαινομένων θαυμάτων τὴν μὴ φαινομένην παραγυμνοῖ καὶ παραδεικνύῃ θεότητα, καὶ οὕτως ἀπὸ τῶν κατ' αἴσθησιν φαινομένων καὶ προσκαίρων θαυμάτων ἀνιστᾷ τὴν ψυχὴν ἐμμελῶς καὶ εἰς τὴν ὑπὲρ αἴσθησιν ἀπευθύνῃ νοητήν τε καὶ μακαρίαν ἐκείνην ζωήν. Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς τῶν ἐξ ἀρχῆς ἐν τοῖς κτίσμασι φαινομένων ἀεὶ θαυμάτων ἀναλόγως ὁ δημιουργὸς ὁρᾶται· ἀνεννόητον γὰρ, ὁ θεῖός φησι Διονύσιος, πάντη κατὰ τὴν οὐσίαν καὶ ἀκατάληπτον τὸ θεῖον, ἀλλ' ἐκ τῶν αἰτιατῶν ὑμνητέον, διὸ καὶ τὸ θεῖον ἡμῖν βάπτισμα διπλοῖς οὖσι διπλοῦν ἐχαρίσθη [*f.* 239 *a*], δι' ὕδατος ὁμοῦ καὶ Πνεύματος, ἵνα τῷ ὕδατι, τοὺς σαρκικοὺς ἡμῶν ἀεὶ ῥύπους καθαίρειν εἰωθότι, προσγενομένου καὶ τοῦ θείου Πνεύματος ἀοράτως καὶ ἀφανῶς, ἅμα τῷ σώματι συγκαθαίρηται καὶ ἡ ψυχὴ νοερῶς τε καὶ ἀφανῶς. Ὅτι δὲ συμπαραγίνεται τῷ ὕδατι ἁγιαζομένῳ καὶ τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῆς τῶν εὐχῶν ἐπικλήσεως, δῆλον ὁ θεῖος ἡμῖν ποιεῖται Χρυσόστομος, « Τότε μὲν, » λέγων, « ἐπὶ Χριστοῦ διὰ τοῦτο

C

D

ἐφάνη ἡ περιστερὰ, ἵνα ὥσπερ δακτύλῳ τινὶ δείξῃ τοῖς παροῦσι καὶ τῷ Ἰωάννῃ τὸν Υἱὸν τοῦ Θεοῦ· οὐ μόνον δὲ, ἀλλ' ἵνα καὶ σὺ μάθῃς ὅτι καὶ ἐπὶ σὲ βαπτιζόμενον τὸ Πνεῦμα ἔρχεται. Νῦν δ' ἡμῖν αἰσθητῆς οὐ χρεία δψεως, τῆς πίστεως ἀντὶ πάντων ἀρκούσης· τὰ γὰρ σημεῖα οὐ τοῖς πιστεύουσιν ἀλλὰ τοῖς ἀπίστοις. » Ὁρατὴν οὖν θεοφάνειαν οὐ μίαν ἔχομεν καὶ μόνην τὴν μεταμόρφωσιν λέγειν, οὐδ' ἀριθμῷ συγκλειομένας· ἀλλ' ἐν ὅσοις ὁ Θεὸς ἐμφανίζεται διὰ συμβόλων θαύμασι μεγίστοις, πάσας θεοφανείας εἰκότως ἄν τις καλέσειεν ὁρατάς. Ἀλλὰ καὶ τὸ θεῖον τοῦ Χριστοῦ σῶμα Θεοφάνειαν Μάξιμος ὁρατὴν ἐπισημαίνεται λέγειν τὸν μέγαν Διονύσιον. Καὶ γὰρ καὶ ἡ κατὰ σάρκα γέννησις ὁρατὴ θεοφάνεια ἦν, ὡς καὶ ὁ μέγας φάσκει Γρηγόριος, οὑτωσὶ λέγων, « Τὰ δὲ νῦν Θεοφάνια ἡ πανήγυρις εἴτουν Γενέθλια· λέγεται γὰρ ἀμφότερα· ὄνομα δὲ τῷ φανῆναι μὲν Θεοφάνια, τῷ δὲ γεννᾶσθαι Γενέθλια. » Οὐ μόνον δὲ, ἀλλὰ καὶ « Ὁ ἀόρατος, » φησὶν, « ὁρᾶται, καὶ ὁ ἄναρχος ἄρχεται, » καὶ ὅσα ἑξῆς φρικωδέστερα μέν εἰσι τοῦ τὴν σάρκωσιν τοῦ Κυρίου Θεοφάνειαν ὁρατὴν ὀνομάζειν, ὁμόλογα δὲ τοῖς εὐαγγελικοῖς ῥήμασι τοῖς, « Ὁ Λόγος σὰρξ ἐγένετο, » ἀποφαινομένοις. Οὐ μὴν ἄκτιστον διὰ τοῦτο θεότητα τὴν τοῦ Κυρίου σάρκα φαμὲν, ἀλλὰ τῇ προσηκούσῃ γνώσει νοῦν καὶ γλῶτταν ῥυθμίζοντες ἐκ τῶν ὁρατῶν θεοφανειῶν πρὸς τὴν τῶν ἀοράτων κατὰ δύναμιν ἀγόμεθα ἔννοιαν, καὶ κατὰ τὸν θεῖον εἰπεῖν Διονύσιον ἐπὶ τὴν ἁπλῆν καὶ ἡνωμένην τῶν νοητῶν θεαμάτων ἀλήθειαν ἀναλόγως ἀνατεινόμεθα. » Ἀλλὰ καὶ ὁ μελῳδὸς τὴν σάρκωσιν ὑμνῶν τοῦ Κυρίου, « Θεοφανείας σου, » φάσκει, « Χριστὲ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης Ἰσαΐας φῶς ἰδὼν ἐκραύγαζεν. » Καὶ ἁπλῶς τὰ ἐν πᾶσι καιροῖς γενόμενα καὶ γινόμενα θαύματα παλαιά τε καὶ νέα ὁρατὴ Θεοφάνειαι λέγοιντ' ἂν καὶ ἱερὰ παραπετάσματα. Δηλώσει δὲ περὶ τῶν τοιούτων καὶ ὁ θεῖος ἐκ Δαμασκοῦ Ἰωάννης· « Ἐπεὶ, » γάρ φησι, « διπλοῦς ὁ ἄνθρωπός ἐστι καὶ σύνθετος ἐκ ψυχῆς καὶ σώματος, διπλοῦς γέγονε καὶ ὁ Χριστὸς ἐκ θεότητος ἧς εἶχε καὶ ἧς ὕστερον προσειλήφει σαρκὸς, ὡς εἶναι τὴν αὐτὴν καὶ μίαν ὑπόστασιν τοῦ Κυρίου κτιστὴν καὶ ἄκτιστον, ὁρατὴν καὶ ἀόρατον. Διπλῆν οὖν δίδωσι καὶ τὴν κάθαρσιν τῷ διπλῷ ἀνθρώπῳ δι' ὕδατος καὶ Πνεύματος. Καὶ σωματικῷ εἴδει ὡσεὶ περιστερὰ κατεφίτησε τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ τὸν Κύριον· τὰ γὰρ ὁρατὰ σύμβολα τῶν νουμένων εἰσί. Καὶ διπλῆν προσκύνησιν ἡμεῖς τῷ Θεῷ προσάγομεν, τῷ τε νῷ καὶ [f. 239 *b*] τοῖς σωματικοῖς ψάλλοντες χείλεσι. Καὶ διπλῶς τῷ Κυρίῳ ἐνούμεθα, τῶν τε μυστηρίων μετέχοντες καὶ τῆς τοῦ Πνεύματος χάριτος· ἐπεὶ γὰρ ἔθος ἀνθρώποις ἐσθίειν ἄρτον ὕδωρ τε καὶ οἶνον πίνειν, συνέζευξεν αὐτοῖς τὴν αὐτοῦ θεότητα, καὶ πεποίηκεν αὐτὰ σῶμα καὶ αἷμα αὐτοῦ, ἵνα διὰ τῶν συνήθων καὶ κατὰ φύσιν ἐν τοῖς ὑπὲρ φύσιν γινώμεθα.

Θ'. Ἀλλὰ καὶ ὁ θεῖος Μάξιμος, Διονύσιον ἑρμηνεύων, παραπετάσματα λέγειν φησὶ Διονύσιον τὰ σωματικῶς ἐν τῇ λατρείᾳ τελούμενα τῆς χάριτος ἕθη ἐν τῇ Ἐκκλησίᾳ, τουτέστι τὸ τοῦ βαπτίσματος, τῆς ἁγίας κοινωνίας καὶ τῶν λοιπῶν. Καὶ τί δεῖ πλειόνων ἐνταῦθα λόγων; Αὐτὸς γὰρ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος καὶ αὐτὸ δὴ τὸ Πάσχα τοῦ Κυρίου τύπον ἔφησεν εἶναι, μὴ ὅτι τῶν πάλαι προφητῶν ἐκεῖνα ὅσα τούτου τύπους εἶναι καὶ σκιὰς αἱ θεῖαι Γραφαὶ διεξῆλθασι.

A unam habemus et solam transfigurationem nec numero paucas, sed in quibuscunque **453** Deus apparet per magna symbolorum miracula, omnes theophanias dixerit quis visibiles. Sed etiam sanctum Christi corpus theophaniam visibilem dicere magnum Dionysium Maximus affirmat. Etenim partus per carnem visibilis erat theophania, ut magnus Gregorius ait, dicendo : « Theophania nunc panegyris, id est, nativitas : utrumque enim dicitur, theophania a φανῆναι, ab nasci nativitas. Nec hoc solum, verum etiam invisibilis conspicitur et, qui initium non habet, initium capit. Et quæ porro duriora sunt quam incarnationem Domini visibilem theophaniam appellare, similia iis Evangelii verbis quæ : « Et Verbum caro factum est, » ostendunt. B Neque enim increatam ob hanc causam deitatem Domini carnem dicimus, sed ad aptam cognitionem mentem et linguam conjungentes ex visibilibus theophaniis ad invisibilium pro viribus nostris cognitionem ducimur, et ut sanctus Dionysius dicit, ad simplicem et perfectam spiritualium contemplationum veritatem per similitudinem erigimur. Divus poeta incarnationem Domini celebrans : « Theophaniæ tuæ, Christe, inquit, quæ per misericordiam facta est, lumen cum vidisset Isaias exclamavit. » Atque miracula cujusque temporis et antiqua et nova poterunt visibiles theophaniæ nominari et sacra involucra. **454** Quæ ita interpretatus est sanctus Joannes Damascenus : « Cum enim C homo compositus sit ex anima et corpore, duplex fuit et Christus ex deitate quam habuerat, et carne postea assumpta una eademque Domini essentia creata et increata, visibilis et invisibilis est. » Duplicem igitur baptismus ministrat purgationem duplici homini per aquam et Spiritum. Corporea forma sicut columba descendit in Dominum Spiritus sanctus. Visibilia enim sunt symbola eorum quæ mente concipiuntur. Et duplici veneratione Deum prosequimur et animo et corporeis vocibus canentes, et dupliciter cum Domino et mysteriis et Spiritus gratia reconciliamur. Cum enim panem edere, aquam et vinum bibere soleant homines, consociavit cum iis rebus deitatem suam Deus easque reddidit corpus et sanguinem suum, uti per consuetudinem et naturam ad ea quæ supra naturam sunt perveniamus.

IX. At sanctus Maximus ubi Dionysium interpretatur, refert eum involucra dicere cæremonias D quæ in dispensandis gratiis corporaliter fiunt, in Ecclesia scilicet baptismi, sacræ communionis, reliquorum. Quid pluribus jam verbis opus est? Gregorius enim ille in theologia magnus ipsum illud Pascha Domini speciem dixit esse, non quomodo veterum **455** prophetarum verba omnia illa hujus figuras et adumbrationes esse divini libri ex-

posuerant. «Participes enim erimus, inquit, Paschatis nunc quidem ad figuram, quamvis apertioris, quam illud antiquum fuerat. Pascha enim dico figuram figuræ fuisse obscuriorem, paulo post perfectiorem et sinceriorem, cum novum illud bibit nobiscum Verbum in regno, revelatis et traditis quæ adhuc mediocriter patefecerat.» Tantam igitur eum copiam habeamus innumerabilium testium et tantorum tamque sapientium hominum et discipulorum divinæ Ecclesiæ, qui omnes omnino quæcunque divina mirabilia per lumina fiunt, visibiles manifestationes quidem dicunt, minime autem increatas deitates, minime æquum est non cum populari indoctiorum et ineruditorum existimatione conjunctis deitatem increatam subesse docere, et diversum a divina essentia illud quod olim supe Domini faciem in monte Thabor apparuit lumen, et consentire cum Manichæis et Masalianis ob unam Palamicam blanditiem stultam et illicitam ut nihil cogitari putemus, sed cogitandi omnino ineptam viam uni sensui totam tribuamus, Arius ille impius creatum blasphemans nominavit Filium et Verbum Dei et Deum suppositum : nec quidem ad tantam impudentiam pervenit et **456** puerilem inscitiam ut insubstantialem visibilem nominarit deitatem. Neque enim esse ad disciplinam nec divinam neque humanam nec causam esse ullam cur aliquid ex iis quæ sunt insubstantiale visibile nominaret. Et quamvis ille creatum diceret Deum, tamen visibilem non poterat addere. Superiorem enim angelicis essentiis cum declarasset, nullo certe modo, cum illæ invisibiles sint, poterat eum visibilem dicere. Palamas argumentatus est de iis quæ ab argumentis abhorrent et eructavit obscura et inepta, non ad poeticam quamdam licentiam, sed ad imperitam Palamicam temeritatem. Nemini enim profanorum doctorum unquam in mentem venit talis ostentatio, neque apud Barbarorum quemquam talis argumentandi methodus inventa est usque ad hunc diem. Restat igitur, ut nos qui huc pervenimus simul nos talia abominemur et orationem transeamus insanam et impietatis plenam.

X. Lucem igitur unam illam increatam esse lucem et cæterarum omnium procreatricem deitatem tribus personis constantem, quam nemo vidit nec potuerit videre ; cætera autem præter illam esse creata et visibilem esse manifestationem nominari a sanctis carnem, lucemque quæ olim in monte Thabor Domini faciem circumdedit, certe non increatas deitates, et indicatam iis esse, non manifestatam unicam illam increatam **457** deitatem ; denique Manichæorum et Masalianorum dogma hoc esse, non alius cujusdam eorum, qui superiore tempore sectarum duces fuerunt, visibilem scilicet esse oculis humanis simplicem et increatam essentiam illam divinam quam neque angelicæ potestates cernere possunt, jam exposui et exponam postea clarius. Hujus multiplicis hæresis pestem concepit et pro-

A « Μεταλῆψόμεθα, » γάρ φησι, « τοῦ Πάσχα νῦν μὲν τυπικῶς ἔτι, καὶ εἰ τοῦ παλαιοῦ γυμνότερον· τὸ γὰρ νομικὸν Πάσχα, τολμῶ καὶ λέγω, τύπου τύπος ἦν ἀμυδρότερος· μικρῷ δ' ὕστερον τελεώτερον καὶ καθαρώτερον, ἡνίκα ἂν αὐτὸ πίνῃ καινὸν μεθ' ἡμῶν ὁ Λόγος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς, ἀποκαλύπτων καὶ διδάσκων ἃ νῦν μετρίως παρέδειξε. » Τοσοῦτον τοίνυν ἔχοντες περικείμενον νέφος μαρτύρων ἀπαραγράπτων καὶ οὕτω μεγίστων καὶ θεοσόφων ἀνδρῶν καὶ διδασκάλων τῆς τοῦ Θεοῦ Ἐκκλησίας, καὶ πάντων καθάπαξ λεγόντων ἅπανθ' ὅσα διὰ φώτων ἀεὶ τελεῖται θεῖα τεράστια, θεοφανείας μὲν ὁρατὰς, θεότητας δ' ἀκτίστους, οὐδαμῶς που δίκαιον καὶ ἡμᾶς, τῇ δημώδει τῶν ἀμαθῶν καὶ ἀγοραίων συμφερομένους ὁπολήψει, θεότητα ὑφειμένην ἄκτιστον δογματίζειν καὶ διάφορον τῆς θείας οὐσίας τὸ πάλαι φανὲν ἐπὶ τοῦ Κυριακοῦ προσώπου φῶς ἐν Θαβὼρ τῷ ὄρει, καὶ ὁμοδοξεῖν Μανιχαίοις καὶ Μασαλιανοῖς διὰ μόνην Παλαμικὴν ἀρέσκειαν μωρὰν καὶ παράνομον, μηδὲν νοητὸν ἡγουμένους, ἀλλὰ νοητῶς κομιδῇ τὸν ἄλογον τρόπον τῇ αἰσθήσει μόνῃ πάντα χαριζομένους. Καίτοι Ἄρειος ἐκεῖνος ὁ δυσσεβὴς κτίσμα μὲν ἔλεγε βλασφημῶν τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, καὶ Θεὸν ὑφειμένον· οὐ μὴν εἰς τοσαύτην ἦκεν ἀναισχυντίαν καὶ νηπιῶδες ψέλλισμα ὥστε ἀνούσιον ὁρατὴν ὀνομάσαι θεότητα· μηδὲ γὰρ εἶναι κατ' ἐπιστήμην μήτε θείαν μήτ' ἀνθρωπίνην, μήτε λόγον ἔχειν οὐδένα λέγειν τι τῶν ὄντων ἀνούσιον ὁρατόν. Καίτοι ἐκεῖνος μὲν κτιστὸν λέγων Θεὸν ὅμως ὁρατὸν οὐκ ἐδυνήθη προσειπεῖν· ὑπέρτερον γὰρ τῶν ἀγγελικῶν οὐσιῶν ἀποφηναμένῳ οὐ μέντ' ἂν αὐτῷ δυνατὸν ἔπειτα ἦν, ἀοράτων ἐκείνων οὐσῶν, ὁρατὸν αὐτὸν δογματίσαι· Παλαμᾶς δὲ καὶ συλλογίσασθαι τετόλμηκε τὰ ἀσυλλόγιστα, καὶ ἐξηρεύξατο τὰ ἀσύμβλητά τε καὶ ὡς ἐπίπαν ἀσύμφωνα, οὐ κατὰ ποιητικήν τινα τῶν θύραθεν ἄδειαν, ἀλλὰ κατὰ ἀνεπιστήμονα Παλαμικὴν αὐθάδειαν· οὔτε γὰρ οὐδενὶ τῶν θύραθεν σοφῶν πώποτ' εἰς νοῦν τοιαύτη τις ἠνέχθη τερατεία, οὔτε μὴν βαρβάρων ἔψαυσέ τινος λογισμοῦ τηλικαύτη μωρία μέχρι καὶ τῆμερον. Λείπεται οὖν ἐντυθοῖ γενομένοις καὶ ἡμῖν, σιωπῇ τὰ τοιαῦτα βδελυξαμένοις, ἀκοὴν παραδραμεῖν μανιώδη καὶ δυσσεβείας μεστήν.

Γ'. Περὶ μὲν οὖν τοῦ ὅτι φῶς ἐν ἀκτίστον ἐστιν ἡ μία καὶ μακαρία καὶ ποιητικὴ τῶν μετ' αὐτὴν ἁπάντων θεότης ἡ τρισυπόστατος, ἣν οὐδεὶς οὔτ' εἶδεν οὔτ' ἰδεῖν δύναται, τὰ δὲ μετ' αὐτὴν πάντα κτιστὰ, καὶ ὅτι ὁρατὴ μὲν θεοφάνεια λέγεται τοῖς ἁγίοις ἥ τε σὰρξ τοῦ Κυρίου καὶ [f. 240 a] τὸ ἐν τῷ Θαβωρίῳ πάλαι τῷ ὄρει περιλάμψαν τὸ τοῦ Κυρίου πρόσωπον φῶς, οὐ μὴν ἄκτιστοι θεότητες, καὶ ὅτι δι' αὐτῶν παρεδείχθη μὲν, οὐκ ἐδείχθη δ' οὖν ἡ μόνη ἄκτιστος ἐκείνη θεότης, καὶ ὅτι Μανιχαίων καὶ Μασαλιανῶν τὸ δόγμα τοῦτο, καὶ οὐκ ἄλλου τούτων ὅσοι πρεσβύτεροι γεγόνασιν αἱρέσεων ἀρχηγοί, ὁρατὴν εἶναι λέγειν ὀφθαλμοῖς ἀνθρωπίνοις γυμνὴν τὴν ἄκτιστον θείαν οὐσίαν, ἣν καὶ ἀγγελικαῖς δυνάμεσι βλέπειν ἀδύνατον, εἴρηταί τε καὶ εἰρήσεται προϊοῦσι σαφέστερον. Τὸ γὰρ τῆς πολυπλόκου ταύτης αἱρέσεως νόσημα Μάνης μὲν πρότερον ὁ τῶν Μανιχαίων πρό-

εῖρος ὠδίνησέ τε καὶ ἔτεκε, Μασαλιανοὶ δ' ἐμαιεύσαντο, ἡ δὲ τῶν Εἰκονομάχων εἰς ἀνήμερον ἡμέραν ἐξήνεγκεν ὕστερον τυραννίς· ἡ δὲ νῦν ἐπιπλάσασα Παλαμικὴ φατρία ἐπὶ μείζονι λύμῃ τῆς εὐσεβείας, συμμάχῳ τῇ δυναστευούσῃ τέως χειρὶ χρησαμένη, μέχρις ἤδη καὶ τῆς αἱθερίας λήξεως αὐξηθῆναι τὴν τῆς κακίας πέπραχε φλόγα. Διὸ καὶ ἀναληπτέον τὸν εἰρμὸν ἡμῖν ἐκεῖθεν τοῦ λόγου, ὡς ἂν ἐντελέστερον ἔτι καὶ ἡ τῶν τοιούτων ἀφήγησις δέχηται τὸν χρωματισμόν· Ἐλαθον γὰρ ἐγὼ συνεπενεχθεὶς τῷ τοῦ ζήλου ῥεύματι, μὴ ἀνασχόμενος σιγῇ παρελθεῖν συκοφαντουμένων τῶν μεγάλων τῆς Ἐκκλησίας καὶ θείων φωστήρων, Γρηγορίου τε καὶ Διονυσίου. Διὸ τὸν περὶ τούτου λόγον πλατυτέρας δεόμενον ἐξετάσεως, βραχέα μὲν ἀρτίως, καὶ ὅσον τὴν προθυμίαν ἀφοσιώσασθαι, διεξῆλθον· τὰ δὲ πλείω τοῖς ἔμπροσθεν ταμιεύεσθαι κρίνας δίκαιον ἐκεῖσε ἐπάνειμι, τοῖς διδασκάλοις κἀν τούτῳ πειθόμενος τουτοισὶ, τὰς οὕτω βεβήλους καινοφωνίας τῶν λόγων καὶ τὴν πολλὴν φλυαρίαν, οἷς σχολὴν ἔπεισιν ἄγειν, ἐπιτάττουσι παραχωρεῖν τε καὶ ἀποτίθεσθαι. Εἶναι γάρ φησι τὸ κινοῦν ἄσχετόν τινα θερμότητα χωρὶς λόγου καὶ ἐπιστήμης καὶ πίστεως πλοῦν ἀκυβέρνητον· τὸ γὰρ τῆς ἐπιστήμης πηδάλιον ἥκιστα ἔχειν αὐτοῖς προσγεγένηται.

A creavit primus Manes, Manichæorum antistes. Masaliani procreandam curarunt, Iconomachorum postea tyrannis in lucem protraxit, Palamica autem quæ nunc regnat familia ad majorem perniciem religionis et sortis cœlestis, cum imperii auxilio conjuncta ad hunc usque diem effecit, ut impietatis cumulus augeretur. Inde igitur excipiendus est orationis cursus, ut etiam harum rerum narratio formam recipiat multo perfectiorem. Abreptus enim nimia animi vehementia non commisi ut silentio præterirem magna illa ac divina Ecclesiæ lumina, Gregorium et Dionysium. Quamobrem hujus rei narrationem, quamvis latiore opus sit tractatione, breviter tantum et uti inspirationi satisfacerem persecutus sum, et cum plura ad posterum B differri æquum esse putem, illuc redeo, magistros ita secutus ut ejusmodi profanam verborum insolentiam et **458** loquacitatem iis qui studium in eis collocandum putent concedam et committam. Nam animi motum dicit sine ratione nimis ardere nec scientiam ac fidem satis gubernari; non enim eorum esse scientiæ gubernacula tenere.

ΙΑ'. Ἐμοὶ δὲ σκοπός τε καὶ πρόθεσις ἦν τῆς ψυχῆς, δι' ἣν εἰρήκειμεν ἐξ ἀρχῆς αἰτίαν, πρόμαχον πρασχέσθαι γλῶτταν, ὅσον ἐφικτόν, ἐκείνῳ τῷ σοφῷ θεοδώρῳ καὶ μάρτυρι τῆς ἀληθείας, περιφανῶς συκοφαντουμένῳ νῦν πρὸς τῶν Παλαμιτῶν, καθάπερ πρὸς τῶν Εἰκονομάχων τότε, οἷς καὶ μέχρι θανάτου τὴν οἰκείαν ἐκεῖνος ἀντέστησεν ἔνστασιν, τὸ μὲν σῶμα παντοίαις ὑπὲρ Χριστοῦ προδοὺς κολάσεσιν, τὴν δὲ φιλόσοφον ἐκείνην καὶ ἔντεχνον γλῶτταν κατὰ τῶν ἀντιθέτων ὁπλίσας δογμάτων· οἷς κἀγὼ τἡμερον, τοῖς τῶν ἐκείνου λόγων ὅπλοις θαῤῥήσας, ἀνθίσταμαί τε καὶ ἀντιστήσομαι, καὶ τοὺς ὑπὲρ ἀληθείας ἀναχαινίζειν ἄθλους ἐκείνου τό γε εἰς ἐμὲ ἧκον οὐ κατοκνήσω κατὰ τῶν τὴν αἵρεσιν ἐκείνην ἀνακαινίζειν τολμώντων τἡμερον, ἀλλὰ κατὰ τοὺς προμηθεστέρους τῶν ἰατρῶν καὶ αὐτὸς κολάζειν καὶ ἀναστέλλειν, τὸν ἐφικτόν γε τρόπον, πειράσομαι τῆς τῶν ἀντιθέτων γνώμης καὶ γλώττης τὸ ἀσελγὲς καὶ ἀστάθμητον, καθάπερ ἐκεῖνοι τῆς τῶν σωμάτων εὐεξίας τοὺς [f. 240 b] παρανόμους ἀνασοβεῖν ἐγχειροῦσιν ὀλίσθους, ἕως ἡ τε γλῶττα ἐῤῥῶται σύν γε θεῷ καὶ τὴν ὥρην ἀνθοῦσαν δίδωσιν ἐμοὶ δοκεῖν ἔτι κεκτῆσθαι τοὺς λογισμοὺς ὁ χρόνος, μήπως ἡ ζῶσα τῆς εὐσεβείας δύναμις, πολλαχόθεν κατ' αὐτῆς ἀκμάζοντος τοῦ τῆς ἀσεβείας χειμῶνος, πρωϊαίτερον καὶ τῆς ἐνίων ἴσως ὑπολήψεως καὶ δόξης τὸν ἄδικον μαρασμὸν ὑποστῇ, καθάπερ ἄνθος ἐν ἀγρῷ καὶ ῥόδον ἐν λειμῶνι.

XI. Consulto autem atque ex proposito quodam ab initio diximus disserendi artem quantum fieri poterat tribuisse linguam Theodoro sapienti illi, propter veritatis testimonium injuria accusato nunc a Palamitis, ut quondam ab Iconomachis, quibus ad mortem ipsam suis illo viribus restitit, C et corpore variis propter Christum suppliciis tradito prudentissimam et doctissimam linguam in dogmatis inter sese diversis exercuit. Quibus equidem his illius disputationibus armatus forti animo repugno repugnaboque, nec propter veritatem illius certamina quod me attinet redintegrare dubitabo, ubi hæresim illam redintegrare audeant, sed ad prudentiorum medicorum consuetudinem retardare et tollere quantum potero vagam et incertam adversariorum opinionem et linguam conabor. Quemadmodum illi corporum valetudinem ab noxiis discriminibus defendere student, ita ego donec lingua mea cum Deo valebit et ratiocinandi arte pollere mihi per ætatem videbor, ne vivus D **459** religionis vigor undique accrescenti impietatis peste citius, quam forte nonnulli putent, injustam mortem obeat quemadmodum flos in agro aut in prato rosa.

ΙΒ'. Πρῶτον οὖν ἐξεταστέον τί ἐστι μεταμόρφωσις, μᾶλλον δὲ τί ἐστι μορφὴ καὶ τί τὸ γένος αὐτῆς· οὕτω γὰρ ἂν καὶ τὰ εἰρημένα σαφέστερα γένοιτ' ἄν. Τῶν γὰρ ὁμωνύμων οὖσα ἡ φωνὴ ἐπὶ μὲν Θεοῦ λεγομένη ταυτὸν δύναται τῇ οὐσίᾳ, καθὰ καὶ τοῖς θείοις τῆς Ἐκκλησίας φωστῆρσι νενομοθέτηταί τε καὶ παραδίδοται, ἐπί γε μὴν τῶν αἰσθητῶν μορφή ἐστι τὸ περὶ τὴν ἐπιφάνειαν ποιὸν τύπωμα, πρὸς ὃ βλέ-

XII. Primum igitur disquirendum est, quid sit transfiguratio, aut potius quid sit figura et quid sit ejusdem genus. Ita enim ea quæ dicta sunt melius intelligi possunt. Nam vox ut quæ inter similes sit, ubi de Deo dicitur id valet, quod a divis Ecclesiæ luminibus constitutum et traditum est quoad quidem sensualia attinet. Figura est adumbratio quædam ad oculos spectans. Iis qui cernunt pulchrum

dicere licet aut turpe id quod subest animal. Accedens enim est in subjecto quæ cernitur forma, genus habet qualitatem, quarta secundum partitionem imago invenitur ejusdem. Mutatio autem ipsa cum sit accedens, cernitur in essentia, et quantitate et qualitate varietatem mutationis efficiens. Mutationem autem incitationem quamdam ejus esse, quod ante fuit, ubi essentia remaneat definiunt. Libenter quæro equidem Palamam ejusque asseclas quid esse cogitent transfigurationem. Nec enim vocabulum plane explicat, utrum sit formæ variatio, an permutatio. **460** Igitur si quis essentiæ divinæ dixerit, Manichæorum morbum ostenderit ista vox. Quid vero magis impium est, quam essentiæ permutationem dicere Christi in monte Thabor transfigurationem, alteram duarum ineptiarum inducere, aut immutabile divinæ essentiæ deprimere ad subjectum et ab illa alienum, aut inscientia et maligna mente in duas increatas deitates distrahere unam increatam et individuam et simplicem, et unam dicere visibilem, invisibilem alteram, unam participabilem, imparticipabilem alteram, unam subjectam, superjectam alteram? quod ipsam Iconomachorum hæresin superavit, ut in procedente oratione fusius dicetur. Sin omnem omnino dixerit immutatam servi formam, ut Iconomachi dicunt, in lucem infandam et increatam et deitatem alienam ut in sermonibus de luce disserit vocibus humanis, usam esse lucem illam gloriantem de sese et « Non terrore commovearis, tecum enim sum, » pignus futuræ lucis præbentem, quærendum est, quomodo creatum abierit ad increatum et inchoatum ad non inchoatum et temporale ad non temporale et finitum ad infinitum. Nam hoc corruptibile, ut divus Apostolus dicit, induturum incorruptionem audivimus credidimusque, creatum autem fieri increatum vel corpus incorporeum **461** nondum ad hoc usque tempus ulla ratione prædita creatura aut dixit aut audivit unquam aut denique cogitavit. Neque increatum et infinitum ulla ratione aut ullo modo recipit qualemcunque motum aut mutationem ad subjectum, non habens quomodo mutetur aut quo moveatur. Etenim mutatio ad naturam infiniti et ad motum non facti aut variatio aut distractio esset, quod fieri non potest: omnis enim, ait divus Maximus, propria ratione natura habet perfectionem et spiritualis et corporalis, sive simplex sive composita. Quorum enim causæ apud Deum cum esse etiam perfectione receperunt, eorum propriis causis declinatio et transsubstantiatio adjectionem aut omissionem ad esse quatenus essentia contingunt non admittunt. Sin vero variatio quædam fit, certe non ad naturæ, sed ad variandæ rei mutationem, ratio enim mutata interitum statim naturæ affert, mutatio quæ sequitur mirificæ virtutis speciem habet. Ægyptii Nili aqua aspectum et gustu[illegible] mutavit, et variata est in sanguinis color[illegible] sudirem, liquidam et fluidam naturam[illegible]

A πους εὔμορφόν τε λέγειν ἔνεστι καὶ δύσμορφον τὸ ὑποκείμενον ζῶον τυχόν. Συμβεβηκὸς γάρ ἐστιν ἐν ὑποκειμένῳ τινὶ θεωρούμενον ἡ μορφή. Γένος δ' ἔχουσα τὴν ποιότητα τέταρτον κατὰ διαίρεσιν εἶδος εὑρίσκεται ταύτης. Ἐπεὶ δὲ καὶ ἡ κίνησις, συμβεβηκὸς οὖσα καὶ αὐτή, θεωρεῖται μὲν καὶ ἐν οὐσίᾳ καὶ ποσῷ καὶ τόπῳ, θεωρεῖται δὲ μᾶλλον κάν τῇ ποιότητι τὸ πολυειδὲς ἐργαζομένη τῆς ἀλλοιώσεως, τὴν δ' ἀλλοίωσιν ἐκστατικόν τι εἶναι τοῦ πρότερον ὄντος ὁρίζονται τῆς οὐσίας μενούσης· ἡδέως ἂν ἐροίμην ἔγωγε Παλαμᾶν καὶ τοὺς ἀμφ' αὐτὸν, τί ἂν εἶναι νοοίη τὴν μεταμόρφωσιν. Οὐδὲν γὰρ ἡ λέξις ἕτερον πάντως δηλοῖ ἢ μορφῆς ἀλλοίωσίν τε καὶ μεταποίησιν. Εἰ μὲν οὖν τῆς οὐσίας λέγοι τῆς θείας, Μανιχαίων τὸ νόσημα δείξων ὁ λόγος ἔρχεται· καὶ

B τί ἂν ἀσεβέστερον εἴη τοῦ μετουσίωσιν λέγοντος τὴν ἐπὶ τοῦ Θαβωρίου ὄρους μεταμόρφωσιν τοῦ Χριστοῦ, καὶ δυοῖν τῶν ἀτοπωτάτων θάτερον πάντως εἰσάγοντος, ἢ τῆς θείας οὐσίας τὸ ἀναλλοίωτον δηλαδὴ καθαιροῦντος εἰς τὸ ὑφειμένον καὶ διάφορον ταύτης, ἢ διαιροῦντος ἐξ ἀμαθοῦς καὶ κακοτρόπου γνώμης εἰς δύο θεοτήτων ἀκτίστων διχοτομήματα τὴν μόνην ἄκτιστόν τε καὶ ἀμερῆ καὶ ἁπλῆν, καὶ τὴν μὲν λέγοντος ὁρατὴν τὴν δ' ἀόρατον, καὶ τὴν μὲν μεθεκτὴν τὴν δ' ἀμέθεκτον, καὶ τὴν μὲν ὑφειμένην τὴν δ'

C ὑπερκειμένην; ὃ καὶ τὴν τῶν Εἰκονομάχων ὑπερβέβληκεν αἵρεσιν, ὡς εἰρήσεται χωροῦντι τῷ λόγῳ πλατύτερον. Εἰ δ' ἐξ ὅλων ὅλην μεταβεβλῆσθαι φάσκοι τὴν τοῦ δούλου μορφὴν, κατ' αὐτοὺς ἀκριβῶς εἰπεῖν τοὺς Εἰκονομάχους, ἐπὶ φῶς ἄῤῥητόν τε καὶ ἄκτιστον καὶ θεότητα ξένην, καθὰ κἀν τοῖς περὶ φωτὸς διέξεισι λόγοις αὐτοῦ φωναῖς ἀνθρωπίναις κεχρῆσθαι τὸ φῶς ἐκεῖνο, καυχώμενον πρὸς αὐτὸν, καὶ, « Μὴ φοβοῦ, » παρακελευόμενον· « μετὰ σοῦ γάρ εἰμι, » τοῦ μέλλοντος ἀῤῥαβῶνα φωτὸς παρεχόμενον, ζητητέον πῶς τὸ κτιστὸν μετακεχώρηκεν [f. 211 a] ἑαυτῷ πρὸς τὸ ἄκτιστον καὶ τὸ ἠργμένον πρὸς τὸ ἄναρχον καὶ τὸ χρονικὸν πρὸς τὸ ἄχρονον, καὶ πρὸς τὸ πεπερασμένον τὸ ἄπειρον. Ὅτι μὲν γὰρ τὸ φθαρτὸν τοῦτο κατὰ τὸν θεῖον Ἀπόστολον ἐνδύσεται ἀφθαρσίαν, ἠκούσαμέν τε καὶ πεπιστεύκαμεν· τὸ δὲ κτιστὸν γενέσθαι ἄκτιστον ἢ τὸ σῶμα ἀσώματον οὔπω

D ἐς δεῦρο οὔτε τι τῶν λογικῶν ζώων εἴρηκεν οὔτ' ἀκήκοεν οὐδὲν οὐδαμῆ, οὔτε καθάπαξ εἰπεῖν τῶν ἁπάντων κτισμάτων οὐδὲν οὐδαμῆ πω νενόηκεν. Οὔτε μὴν οὐδ' αὖ τὸ ἄκτιστόν τε καὶ ἄπειρον οὔτε κατ' οὐδένα λόγον οὔτε κατ' οὐδένα τρόπον ἐπιδέχεται τὴν οἱανδήποτε κίνησιν καὶ τροπὴν εἰς τὸ ὑφειμένον, οὐκ ἔχον οὔθ' ὅπως τραπήσεται οὔθ' ὅπου κινηθήσεται· τροπὴ γὰρ τοῦ κατὰ φύσιν ἀπείρου, κινεῖσθαι μὴ πεφυκότος, [ἥ τ'] ἀλλοίωσις καὶ διαίρεσις εἴη ἄν, ὅπερ ἀδύνατον· πᾶσα γάρ, ὁ θεῖος ἔφησε Μάξιμος, φύσις τῷ οἰκείῳ λόγῳ διὰ παντὸς ἔχει τὸ τέλειον, νοητή τε καὶ αἰσθητὴ, εἴτ' οὖν ἁπλῆ τε καὶ σύνθετος· ὧν γὰρ οἱ λόγοι παρὰ τῷ Θεῷ ἅμα τῷ εἶναι τὸ τέλειον ἔσχον, τούτων ἡ κατὰ τοὺς οἰκείους λόγους [illegible] οὐσίωσις προσθήκης πάσης καὶ [illegible] περ ὄντα τυγχάνει, [illegible] που τις ἀλλοίωσις

γένοιτό πη, οὐ μέντοι περὶ τὸν τῆς φύσεως, ἀλλὰ περὶ τὸν τοῦ ἀλλοιουμένου γίνεται πράγματος τρόπον. Ὁ μὲν γὰρ λόγος μεθαρμοζόμενος φθορὰν αὐτίκα παρέχει τῇ φύσει, ὁ δὲ τρόπος τοῦθ' ὑπομένων θαυματοποιοῦ δυνάμεως ἔνδειξιν ἔχει· τοῦ γὰρ Αἰγυπτίου Νείλου τὸ ὕδωρ ὄψιν μὲν καὶ γεῦσιν πάλι μεταμορφοῦται καὶ ἠλλοίωται πρὸς αἵματος χρῶμα καὶ ἀηδίαν, τήν γε μὴν ὑγρόν τε καὶ ῥέουσαν ἥκιστα ἥρνηται φύσιν· καὶ ἡ Βαβυλώνιος ἐκείνη κάμινος τοῖς μὲν ὁσίοις παισὶ τὴν ἀναλωτικὴν μεθήρμοσται δύναμιν, οὐκ ἐχούσης τῆς ἀρετῆς φθορὰν ἀναδέχεσθαι ῥᾷστα καὶ ὁπωσοῦν, τὸ μέντοι φωτεινόν τε καὶ πυρῶδες ἦθος καὶ τὸ τῆς φύσεως ἀνωφερὲς οὐ μεθήρμοστο· τοῖς γὰρ Βαβυλωνίοις τὸ κατὰ φύσιν ἔδειξε καυστικόν, φύσει δεκτικοῖς γεγονόσι διὰ τὸ τῆς κακίας ὁλῶδες.

A simulavit. Atque Babylonius ille caminus sanctis pueris vim suam vehementem immutavit, **462** quoniam virtus non facile damnum recipere possit. Proprietas lucis et ignis et naturæ vis præcellens mutata non est. Nam Babyloniis id quod secundum naturam urit ostendit, quippe qui a natura ad sensualem conceptionem facti essent propter pravitatis materiam.

ΙΓ'. Καὶ ἵνα κατὰ ῥῆμα τὰ τῶν Εἰκονομάχων εἰς μέσον προενεγκόντες, καὶ τοῖς τοῦ Παλαμᾶ παρεξετάσαντες, δείξωμεν ὡς ἐς τὸ πάνυ τι ἀκριβὲς καὶ αὐτοῖς συμπεφώνηκε μὲν, παρήλασε δ' οὖν, τὸ παρ' ἑαυτοῦ συγκεχραγὼς, ὡς εἴωθεν, ἐπὶ τὰ αἴσχιστα μᾶλλ φιλότιμον, ἀκούετε δή. Μετὰ γὰρ πολλὰς κἀκεῖνοι τὰς ἄλλας αὐτῶν βλασφημίας καὶ τάδε βεβλασφημήκεσαν. Ἐν ἀνθρώποις ἔτι, φασὶ, βιοτεύων ὁ θεὸς Λόγος, τοῖς ἐκκρίτοις τῶν ἑαυτοῦ μαθητῶν προαρράβδωνιζόμενος τὴν θέαν τῆς αὐτοῦ βασιλείας, μεταβαλὼν τὴν τοῦ δούλου μορφὴν ἐπὶ τοῦ ὄρους, ὑπὲρ τὴν ἀνθρωπείαν φύσιν ἐπιδέδεικται, ὥστε τὸ μὲν πρόσωπον αὐτοῦ ἀπήστραψεν ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ὡς τὸ φῶς. [f. 241 *b*] Εἰ δὲ τότε ἡ ἐν σαρκὶ αὐτοῦ μορφὴ τοσαύτης ἔλαχε δυνάμεως πρὸς τῆς ἐνοικούσης ἐν αὐτῇ θεότητος μεταβληθεῖσα, τί χρὴ λέγειν μετὰ τὴν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον καὶ τὴν ἐκ δεξιῶν τοῦ Πατρὸς ἵδρυσιν, ὅτ' ἐξ ὅλων ὅλη μεταβέβληται ἐπὶ φῶς ἄῤῥητον καὶ ἀνεκδιήγητον; μεταμεμόρφωται γὰρ, καὶ ἀπηθανάτισται, καὶ ἄκτιστον γέγονε καὶ ἄφθαρτον.

XIII. Atque ut Iconomachorum dictis ad verbum in medium prolatis et cum Palama comparatis ostendamus eum plane cum eis consensisse, imo eos superasse, commistis, ut solebat, cum turpissimis honestis, jam audiatis velim. Post enim multas illi blasphemias has quoque professi sunt: Inter homines, inquiunt, cum viveret divinum Verbum, discipulorum electis contemplationem regni sui antecepturus, mutata servi forma in monte supra hominum naturam apparuit ita ut facies ejus lucem emitteret ut sol, vestes autem ejus ut lux. Si vero tum carnea ejus forma tantam vim nacta erat, quippe immutata in eam quæ inerat deitatem, quid opus est dicere ad resurrectionem et in cœlos ascensionem et ad dexteram Patris sessionem, quod omnino omnis est immutata in lucem infandam et inexplicabilem? nam permutata est et immortalitatis gloria ornata, et facta est increatum et incorruptibile.

ΙΔ'. Ἀκηκόατε τὴν ἐπὶ κακῷ συμφωνὴν τοῦ Παλαμᾶ περί τε τοῦ ἐν Θαβωρίῳ φωτὸς, ὅτι μεταμεμόρφωται πρὸς τὸ ἄκτιστον ἐκ τοῦ κτίσματος, καὶ ὅτι ἀῤῥαβὼν τοῦ μέλλοντος οὕτωσὶ φωτὸς ἐγεγόνει. Γνοίητε δ' ἂν ἀκριβέστερον καὶ ὅσον τὸ τῆς κακίας ταυτησὶ μέγεθος, ἐπειδὴν καὶ τοὺς κατ' αὐτῆς ἐλέγχους ὑφ' ἡμῶν ἐκτεθέντας ἀκούσητε, ὁποίους καὶ ὅσους οἱ τότε σοφοὶ τῆς τοῦ Θεοῦ Ἐκκλησίας προστάται, λόγοις ἅμα καὶ ἔργοις ἐῤῥωμένως ἐνστηλικότες, συνεγράψαντό τε καὶ ἡμῖν τοῖς μετ' ἐκείνους ἰοῦσι συμμαχίας προεμνηστεύσαντο κρατίστης ὑπόμνημα. Προῆδεσαν γὰρ ἐκεῖνοι, τῷ θείῳ φωτιζόμενοι Πνεύματι, τὴν ἐν τῷ τέλει τῶν αἰώνων τῆς εἰκονομαχίας ἀναβίωσιν ταυτηνὶ, ἣν Παλαμᾶς μὲν ὠδίνησέ τε καὶ ἔτεκεν, αἱ δὲ τηνικαῦτα ἡγεμονίαι καὶ ἐξουσίαι τοῦ παρόντος αἰῶνος καὶ σκότους ἐπὶ πονήρῳ τῶν πατρίων δογμάτων τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἀνειλήφυσαι κακῶς ἐμαιεύσαντό τε καὶ ἐξέθρεψαν. Ὧν εἷς προβληθεὶς ἐπὶ τοῦ παρόντος ἀρκέσει κάμνοντας ἡμᾶς ἀναῤῥῶσαι, καὶ ἅμα ἱκανῶς ἐν βραχεῖ παραστῆσαι τὸ τῆς κακίας νεμόμενον ἄπαν, μέχρι πόσου μὲν ἀτοπίας ἐξώκειλε τότε, μέχρι πόσου δὲ νῦν προήνεγκεν ηὐξημένως Παλαμᾶς, προσλαβὼν μὲν τὰς ἐκεῖθεν εὑρημένας ῥίζας, καὶ προσεπενεγκὼν ἐφευρημένας μιαρωτέρας προφ ὁ πολὺς μὲν τὴν σοφίαν, πολ ἂν ἀρετήν τε καὶ σύν-

C

D

**463** XIV. Nonne audistis improbam Palamæ consensionem de luce in Thabor, permutatam eam esse in increatum ex creato, et futuræ lucis pignus factam? cognoscetis autem accuratius hujus improbitatis magnitudinem, cum ejusdem accusationes a nobis expositas audieritis, quales et quam docti illius temporis antistites divinæ Ecclesiæ et dictis et factis fortiter pugnantes conscripserint et nobis cum illis conferentibus ad firmissimam pugnandi societatem commentarium paraverint. Præcognoverunt enim illi divino Spiritu illuminati in tempore ordine iconomachiæ hanc resuscitationem quam Palamas genuit protulitque, imperia autem illius temporis et potestates nostræ ætatis et caliginis ad patriorum divinæ Ecclesiæ dogmatum perniciem receptas nefarie sustulerunt et nutriverunt. Quorum unus in aciem vocatus hoc tempore sufficiat laborantibus nobis recreandis et ad brevi omnem depascentem improbitatem abunde proponendam, quo ineptiarum tunc deflexerit et quo nunc protulerit auctim Palamas, receptis radicibus inde inventis et additis proprio marte repertis impuris rationibus. Theodorus enim doctrina excellens et virtute genuina magnum in Iconomachicis **464** certaminibus studium ostendit, ut in principiis horum librorum fusius a nobis dictum est, longe acerrimum

propter religionem animum exhibuit et tyrannis illo tempore contra sacras imagines furentibus opposuit, a quibus facies ejus descripta est et depicta, unde Grapti nomen tulit; cum plurimis aliis libris Dei Ecclesiam exornavit, tum eis maxime, quos contra Iconomachos edidit; in historiam incidens illius impii Eusebii, qui in hac re primum obtinet locum, præter alia hæc disserit: quod lucem infandam et inexplicabilem et Deo Verbo decentem attinet, illudendo profert Eusebius servi formam permutatam esse in monte, lucem quam nullus oculus vidit, nulla auris percepit et quæ in nullius hominis cor descendit. Hæc Eusebii sunt verba, quibus totam suam hæresin conflavit. Quo vero illi hæc doctrina et dogma flectat, quam maxime paucis videamus et quæ qualisque sit permutationis ratio disquirere conemur. Omne quod permutatur aut essentialiter permutatur, id quod spectat ad ortum et occasum, aut particulariter, quæ ratio duplex est. Aut enim ad quantitatem permutatur, ut auctio et diminutio; aut ad qualitatem, ex qua consequitur variatio. Si igitur ad qualitatem permutata est, adducta est ad variationem, quæ est transfiguratio characteris alicujus aut in re subjecta mutatio finite **465** aut infinite facta, quæ ostendit varium et diversum. Non enim aliud fit quod variatur, quippe non essentialiter permutatur, sed ex tali idem talis ad qualitatem fit. Non omnis omnino permutatur, subjectum enim plane mansit integrum. Sin vero ad quantitatem, auctionem quamdam aut diminutionem recepit, sed ne hæc quidem aliud quam quod ab initio aderat efficiunt, sed ex tanto idem tantum secundum quantitatem efficitur. Non igitur hac ratione omnino omnis forma permutatur. Restat igitur ut dicamus de permutatione per se, id est, essentialiter facta, qua necesse est ex ortu in occasum et ex esse in non esse transire. Sed mortalitatem, inquit, deposuit et corruptionem abluit. Adde, si lubet, in invisibile mutari visibil eet i n intemporale temporale, et creatum in increatum, et quæ alia ejusmodi sibi opposita sunt. Sed non mortalitatem aliquis scripserit, nec transfigurationem per se; non enim sine corpore per se unquam apparuit. Non enim albedo aut nigritia sine substrato constabunt. Forma et facies non, ut hicce putat, in deitatis naturam immutata est. Non posse hoc fieri, jam antea dictum est et testatur veritas ipsa ex accurata tractatione rerum naturam et **466** dogmatum veritatem quam verissime et firmissime. Sed transfiguratus est, inquit, et immortalis factus et incorruptibile et increatum. Transfiguratum et immortale factum corpus aut mansit, aut non mansit. Si mansit, vana Eusebii oratio deprehenditur et nullius momenti erit. Sin non mansit, non transfiguratum est nec immortalitatem et incorruptionem recepit neque habebat, in quod transfiguraretur. Neque erat quod immortalitatem induceret, cum non sit locus, in quo hæc

A εσιν, πολλὴν τὴν σπουδὴν ἐν τοῖς κατὰ τῶν Εἰκονομάχων ἀγῶσιν ἐπιδειξάμενος ἐς τὸ πάνυ τι κράτιστον, ὡς ἐν ταῖς ἀρχαῖς τῶν ἡμετέρων τῶνδε λόγων ἡμῖν τὰ περὶ αὐτοῦ πλατύτερον εἴρηται, πάντων μάλιστα πλεῖστον ἀντεισενεγκὼν ὑπὲρ εὐσεβείας τὸν ζῆλον, καὶ ἀντιστήσας τοῖς τότε κατὰ τῶν θείων εἰκόνων μανεῖσι τυράννοις, ὑφ' ὧν καὶ τὸ πρόσωπον γέγραπταί τε καὶ ἔστικται, καὶ τὴν ἐπωνυμίαν Γραπτὸς ἐκεῖθεν κληθεὶς ἀπηνέγκατο, πλείσταις μὲν καὶ ἄλλαις ἱεραῖς αὐτοῦ βίβλοις τὴν τοῦ Θεοῦ Ἐκκλησίαν κεκόσμηκε, μάλιστα δ' αἷς κατὰ τῶν Εἰκονομάχων ἐξέθετο, τοῖς συγγράμμασιν ἐντυγχάνων τοῦ τότε τὰ πρῶτα φέροντος ἐν λόγοις ἀσεβοῦς Εὐσεβίου· ἐν αἷς τά τε ἄλλα καὶ τάδε διέξεισι. Κατακομψεύεται, φησὶν, Εὐσέβιος ἐπὶ φῶς ἄῤῥητον
B καὶ ἀνεκδιήγητον [f. 242 a] καὶ τῷ Θεῷ Λόγῳ πρέπον τὴν τοῦ δούλου μεταβεβλῆσθαι μορφὴν ἐν τῷ ὄρει, φῶς ὅπερ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὗς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. Καὶ ὁ μὲν Εὐσεβίου λόγος τοιοῦτος καὶ οὕτως ἔχων, καὶ τὸ πᾶν αὐτῷ ἐνταῦθα τῆς ἀσεβείας ἐξήρτηται· ὅποι δ' αὐτῷ φέρει τὰ τῆς καινῆς ταύτης διδασκαλίας καὶ τοῦ δόγματος, ὡς ἔνι μάλιστα, συντομώτερον σκεψώμεθα, καὶ ὁποῖος δὴ καὶ ὅστις ὁ τῆς μεταβολῆς τρόπος, ἐπισκέψασθαι πειρασώμεθα. Πᾶν τὸ μεταβαλλόμενον ἢ κατ' οὐσίαν μεταβάλλεται, ὃ δὴ περὶ γένεσιν καὶ φθορὰν θεωρεῖται· ἢ κατά τι τῶν ἐν
C αὐτῷ, καὶ τοῦτο διχῶς· ἢ γὰρ κατὰ ποσὸν μεταβάλλεται, καθὸ ἡ αὔξησις καὶ ἡ μείωσις δείκνυται, ἢ κατὰ τὸ ποιὸν, ἐξ οὗ ἐμφαίνεται ἡ ἀλλοίωσις. Εἰ μὲν οὖν κατὰ τὸ ποιὸν μεταβέβληται, κεκίνηται μὲν πρὸς ἀλλοίωσιν, ἡ δέ ἐστι μετασχηματισμὸς χαρακτῆρός τινος ἢ κατά τι τῶν τοῦ ὑποκειμένου πράγματος ἰξαλλαγὴ, χωριστῶς ἢ ἀχωρίστως ἐπισυμβαίνουσα. Ἅπερ ἀλλοῖον μὲν καὶ διάφορον τοῦ προτέρου δείκνυσιν, οὐ μὴν δέ γε ἄλλο τι τὸ ἀλλοιούμενον ἀπεργάζεται· οὐ γὰρ οὐσιωδῶς μετέβαλεν, ἀλλ' ἐν τοιοῦδε τὸν αὐτὸν τοιόνδε κατὰ τὸ ποιὸν γενέσθαι πεποίηκε. Τοῦτο δ' οὐκ ἔστιν ἐξ ὅλων ὅλον μεταβεβλῆσθαι· τὸ γὰρ ὑποκείμενον ὑπομένει πάντως σωζόμενον. Εἰ δὲ κατὰ τὸ ποσὸν, αὔξησίν τινα ἢ μείωσιν ἐδέξατο. Ἀλλ' οὐδὲ ταῦτα ἄλλο τι παρὰ τὸ ἐξ
D ἀρχῆς ὑπάρξαν ποιεῖ, ἀλλ' ἐκ τοσοῦδε τὸν αὐτὸν τοσόνδε κατὰ τὸ πηλίκον γενέσθαι πεποίηκεν. Οὐκοῦν οὐδὲ κατὰ τοῦτον τὸν τρόπον ἐξ ὅλων ὅλη μεταβέβληται ἡ μορφή. Λείπεται οὖν λέγειν καθ' αὑτὴν μεταβεβλῆσθαι, περὶ τὴν οὐσίαν δηλαδὴ, ὡς ἀνάγκην εἶναι πᾶσαν ἐκ γενέσεως εἰς φθορὰν καὶ τοῦ ὄντος εἰς τὸ μηδαμῶς εἶναι κεχωρηκέναι. Ἀλλὰ τὴν θνητότητα, φησὶν, ἀπεδύσατο καὶ τὴν φθορὰν ἀπενίψατο. Πρόσθες, εἰ βούλει, ὅτι καὶ εἰς τὸ ἀόρατον τὸ ὁρατὸν μέτεισι καὶ εἰς τὸ ἄχρονον τὸ ὑπὸ χρόνου, καὶ τὸ κτιστὸν εἰς τὸ ἄκτιστον, καὶ ὅσα ἄλλα τοιαῦτα ἀντίκειται. Ἀλλ' οὐ τὴν θνητότητά τις γράφει οὐδὲ τὴν μεταμόρφωσιν αὐτὴν καθ' αὑτήν· οὐ γὰρ ἄνευ σώματος ἐφ' ἑαυτήν ποτε θεωρηθήσεται, ἐπεὶ μηδὲ λευκότης ἢ μελανότης ὑποκειμένου δίχα ὑποσταίεν ἄν. Ὡς γὰρ οὐ μεταβέβληται ἡ μορφὴ ἐκείνη καὶ τὸ εἶδος εἰς θεότητος φύσιν, ὡς οὗτος νομίζει (καὶ γὰρ

ἀμήχανον τοῦτο γενέσθαι), ἤδη καὶ πρόσθεν εἴρηται, καὶ μαρτυρεῖ ἡ ἀλήθεια αὐτὴ κἀκ τῶν ἀκριβῶς ἐπεσκεμμένων τὴν τῶν πραγμάτων φύσιν καὶ τῶν δογμάτων ἡμῶν τὴν ἀλήθειαν τὸ ἁπλανὲς καὶ ἀνεπίληπτον. Ἀλλὰ μεταμεμόρφωται, φησί, καὶ ἀπηθανάτισται, καὶ ἄφθαρτον καὶ ἄκτιστον γέγονεν. Εἶτα μεταμορφωθὲν καὶ ἀπαθανατισθὲν μεμένηκε σῶμα, ἢ οὔ; Εἰ μὲν γὰρ μεμένηκε, μάταιος ὁ Εὐσεβίου ὁρᾶται λόγος, καὶ οὐδὲν ἡμῖν πρᾶγμα ἔσται· [f. 242 b] εἰ δὲ οὐ μεμένηκεν, οὐδὲ μεταμεμόρφωται ἄρα, οὐδ' ἀθανασίαν καὶ ἀφθαρσίαν ἐνδέδυται. Οὐδὲ γὰρ εἶχεν εἰς ὃ μεταμορφωθήσεται, οὐδὲ ἦν ὃ τὴν ἀθανασίαν ἐνδύσεται, οὐκ ὄντος ἐν ᾧ ταῦτα θεωρηθήσεται. Ἀλλ' ἄτοπον καὶ τὸ ἐννοεῖν τοιαῦτα, μᾶλλον δ' ἀδύνατον. Καὶ πάλιν, ἀπὸ τοῦ κατὰ τὴν μεταμόρφωσιν τρόπου ἀποσεμνύνων τὴν δουλικὴν μορφὴν πλέον ἢ καλῶς εἶχε, καὶ ταύτῃ τιμῶν ᾗ μηδὲ Χριστὸς τετίμηκε, καὶ τῆς μεταβολῆς ἐντεῦθεν κατάρξας, προϊὼν καὶ αὐτὴν τὴν μορφὴν καὶ τὸ εἶδος ἀπεσεμνύνθαι λέγει καὶ μεταβεβλῆσθαι εἰς θεότητα, ὡς καὶ ἐν τοῖς μετέπειτα δηλώσει τὰ παρ' αὐτοῦ ἐκτιθέμενα τηλαυγέστερον, καὶ ἔτι μᾶλλον κατὰ πρόδηλον ἀπὸ τοῦ τὴν θνητότητα ἀποδεδύσθαι καὶ τὴν φθορὰν ἀπονίψασθαι καὶ εἰς τὴν τοῦ Θεοῦ δόξαν μετασκευάσθαι. Ἀλλὰ τὸ μὲν φθαρτὸν τοῦτο ἐνδύσασθαι δεῖν ἀφθαρσίαν καὶ τὸ θνητὸν ἀθανασίαν ὁ μέγας μυσταγωγεῖ Ἀπόστολος· τὸ δὲ σῶμα ἀσωματότητα ἐνδύσασθαι ἢ τὸ κτιστὸν γενέσθαι ἄκτιστον ἢ τὸ περίγραπτον εἰς ἀπεριγραψίαν μετατεθήσεσθαι ὥπω μέχρι καὶ σήμερον ἠκούσαται. Ἀλλ' ἐπανακτέον τὸν λόγον, καὶ ζητητέον τί ἂν εἴη τοῦτο τὸ φῶς· οὐ γάρ πω σαφῶς· ὅ τι ἐστὶν ὁ γεννάδας ὑπέδειξε νῦν, ὅτι μὴ μόνον τῷ Θεῷ Λόγῳ πρέπον προσθεὶς, ἐσύστερον ἐρεῖν ἐκδηλότερον. Ὅμως πρὸς τὰ δεδογμένα αὐτῷ ἐν τῷ παρόντι τὸν λόγον ἡμεῖς ἐξετάζομεν. Τί οὖν ἐστιν; Ἆρα καὶ οὐσία τις καὶ ἐνυπόστατον καθ' ἑαυτὸ ὑφεστὼς καὶ μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν, ἢ ποιότης ἀσώματος καὶ ἀνούσιος, ἐν ἄλλῳ τὸ εἶναι ἔχουσα, οὐκ ἐν ἑαυτῇ θεωρούμενον; Ἀλλ' εἰ μὲν οὐσία ἐστὶ, πότερον ἀγγελικὴ, ἐπεὶ καὶ ἄγγελος φῶς, καὶ τοῦ πρώτου καὶ ἀνωτάτω φωτὸς μαρμαρυγὴ καὶ ἀπόλαμψις; Ἀλλ' οὐκ ἂν τοῦτο εἴποι· οὐ γὰρ ἂν εἰκονισμοῦ καὶ γραφῆς γραφὴν που διέφυγε μάρτυρες ἀπαράγραπτοι τὰ ἱερὰ λόγια, ἡνίκα Θεὸν τῶν ὅλων διδάσκει προστάττοντα καὶ Μωσέα τὸν προστατοῦντα πράττοντα τῶν Χερουβὶμ ἐκείνων τὴν ποίησιν, εἰ καὶ οὗτος τὰς θείας φωνὰς ἀπαναίνεται. Εἰ δὲ θεία οὐσία ἐστὶ, πῶς εἰς τοῦτο μετῆλθεν; Εἰ μὲν ἐν ἰδίᾳ ὑποστάσει καὶ καθ' ἑαυτὴν μετελθοῦσα θεωρουμένη, καὶ οἷον ἄλλο καὶ εἰδικὸν ἀποτεμομένη πρόσωπον, καὶ πρὸς τὴν τοῦ Λόγου διαπρέπον ἐμφέρειαν, μηδεμιᾷ τῶν ἐν τῇ Τριάδι νοουμένων συμπαρυποστᾶσα καὶ συμφυεῖσα, τετρὰς αὐτῷ σαφῶς ἡ Τριὰς ἀποτετέλεσται, καὶ ὁρᾶται ὡς φιλότιμος περὶ τὴν θείαν οὐσίαν Εὐσέβιος, ἀφθονίᾳ ὑποστάσεων πληθύνων καὶ αὔξων τὰ ἁπλήθυντα καὶ ἀμείωτα καὶ πάσης τῆς ὁπωσοῦν ὑφέσεως ἢ πλεονασμοῦ παντάπασιν ἀνεπίδεκτα. Εἰ δὲ εἰς τὴν τοῦ Λόγου συγχυθεῖσα καὶ οἷον συνουσιωθεῖσα παρῆλθεν ὑπόστασιν, μετὰ πλείονος τῆς εὐγνωμοσύνης προσ-

appareant. Sed ineptum est cogitare ejusmodi, imo fieri nequit. Et rursus : Per transfigurationis modum servilem formam magis quam æquum est clarefecit, eaque gloria qua ne Christus quidem illustratus est, ab permutatione exordiens, procedit et formam et faciem mutari dicit, et permutari in deitatem, ut in sequentibus explicabunt planius ejus observationes. Imo per illa : mortalitatem deponere et corruptionem abluere et in Dei gloriam mutari. Sed corruptibile hoc induere incorruptionem et mortale immortalitatem magnus docet Apostolus. Corpus autem induere incorporalitatem aut creatum fieri increatum, aut definitum in indefinitum mutari, nondum in hunc usque diem auditum est. Sed recipienda est res et quærendum quid sit hæc lux. Non enim **467** planc se habet, quod ingenuus ille ostendit; ne dignum quidem Deo Verbo dedisse, postea dicetur planius. Nos quidem ad ejus placita hunc sermonem dirigamus. Quid igitur est? Num essentia quædam et substantia per se exsistens et non alia ad exsistendum egens, aut qualitas incorporea et inessentialis, in alio essentiam habens, non in se ipsa? Sed si essentia est, estne angelica, cum et angelus lux, et summæ et infimæ lucis splendor? Sed nemo hoc dixerit. Non enim librum librorum fugerit, testes innumeri sunt sacra verba, quæ Deum jubentem et Mosem tradunt jussum, jussam cherubim illorum actionem, licet divina verba rejicit. Sin vero divina essentia est, quomodo eo pervenit? Si in propria exsistentia et per se cernitur, et sicut alia quæque facies æstimata et ad verbum explicandum apta, cum nulla Trinitatis persona eamdem substantiam et naturam habet, et quaternitas scite ab eo Trinitas facta est. Apparet, quomodo de divina essentia Eusebius gloriæ cupidus personarum largitate cumulet, **468** et augeat quæ angeri non licet nec minui, et quæ nullam contractionem aut pleonasmum admittunt. Sin vero in Verbi substantiam transfusa est et transsubstantiata, porro benevolentiam Verbi substantiæ addit, quæ eadem apud Patrem essentiam est. Solum nativitate ut propria proprietate diversa. Talia ex illius principiis recepta sunt inepta et absurda, si lucem illam infandam essentiam esse putat. Reliquum est quærere, sive qualitatem hanc incorpoream, sive inessentialem dixit, quid attineat? Estne splendor ab essentia aliqua deductus, in quem forma illa immutata est? Sed nihilominus omnium ultima superbia et absurditas divino corpori adhibita. Poterit essentiæ verbum contumelia afficere, quo induceretur insubstantiale. Alias non licet qualitatem subjecto sublato per quid sit demonstrari, etsi quis essentialem dicat. Quæ in essentiæ partem recipitur; ut exemplo utar, logica stare non poterit sine subjecto, quod est animans, nisi quis antea vitalem et sensualem essentiam proposuerit.

ὑήκην καὶ αὔξησιν τῇ τοῦ Λόγου αὐτῇ δίδωσιν ὑποστάσει· ἥτις οὐκ ἄλλη παρὰ τὴν τοῦ Πατρὸς οὐσίαν καὶ φύσιν ἐστὶ, τῷ χαρακτηριστικῷ τῆς ἰδιότητος μόνον κατὰ τὴν γέννησιν διαφέρουσα. Τοιαῦτα μὲν τὰ ἐκ τῶν ἐκείνου ἀρχῶν ἀναφανέντα ἔκτοπα καὶ παράλογα, εἰ τὸ φῶς ἐκεῖνο τὸ ἄῤῥητον οὐσίαν εἶναι λέγοι· [f. 243 *a*] ὑπόλοιπον δ' οὖν ἐστι ζητεῖν, εἰ ποιότητα τοῦτο ἀσώματον ἢ ἀνούσιον εἶπε, τί συμβαίνει, οἷον ἀπόῤῥοιάν τινος οὐσίας καὶ ἀπαύγασμα, εἰς ἣν ἡ μορφὴ ἐκείνη μεταβέβληται. Ἀλλ' οὐδὲν ἧττον ἡ πασῶν ἐσχάτη ὕβρις καὶ ἀτοπία τῷ θείῳ προστετρίψεται σώματι· λωβήσαιτο γὰρ ἂν τὸν τοῦ εἶναι λόγον· καὶ ταύτῃ τὸ ἀνύπαρκτον εἰσαχθήσεται, ἄλλως τε οὐδὲ ἐνὸν ποιότητα ὑποκειμένου δίχα καθ' ἑαυτήν ὅ τι ποτέ ἐστι διαδειχθῆναι, κἂν τῶν οὐσιωδῶν αὐτὴν εἴποι τις, ἢ καὶ ἐς οὐσίας μέρος ἀνάγεται· ὡς ἐπὶ παραδείγματος εἰπεῖν, οὐκ ἂν τὸ λογικὸν που συσταίη ὑποκειμένου ἄνευ, ὅ ἐστι τὸ ζῶον, εἰ μὴ πρότερόν τις ὑποθοῖτο οὐσίαν ἔμψυχον αἰσθητικήν.

XV. Itaque Iconomachis Salvatoris in monte transfigurationem non formæ variationem in splendidiorem putari, sed salutiferum corpus in increatum **469** permutatum esse et incorruptibile, lucem autem tum lucentem deitatem increatam et insubstantialem esse, in monte increationis hominis et incorruptionis initium factum in pignoris modum, post mortem et in cœlos assumptionem absolute jam increatum, denique initium Iconomachorum hæreseos eis esse ex transfigurationis opinione factum, jam non me, sed magnum Patrem et divinæ Ecclesiæ præceptorem narrantem audistis. Cujus fidem ne diabolum quidem superaturum puto; non quia omni doctrina profana et quæ ad religionem nostram spectat magnus cognominatus est, sed quod omnem in Deum virtutem perfectissime excoluit, et ad summum in ea fastigium pervenit, ita ut omnia facile mitteret non modo quæ extra corpus, verum etiam ipsum corpus amore in Deum ductus in pericula ob religionem subeunda lubenter traderet. Quod denique impudenter eorum placita refutavit, ut ex ejus doctis et firmis argumentationibus apparuit, nec equidem fortunis quæ me ab amicis circumstabant, retinebar, quominus illius libros ab his furtim sublatos permultos colligerem, ex quibus multa antea petere **470** non dubitavi, nunc plura quam quæ a nobis dicta sunt, et firmiora proferam ut omnes planius intelligant, quanta illorum irreligio sit et illius viri quam ampla doctrina et quam acre religionis studium.

Ἰε'. Ὅτι μὲν οὖν τοῖς Εἰκονομάχοις ἡ μεταμόρφωσις τοῦ Σωτῆρος ἐπὶ τοῦ ὄρους οὐ μορφῆς ἀλλοίωσις ἐπὶ τὸ λαμπρότερον ἐνομίσθη, ἀλλὰ τὸ μὲν σωτήριον σῶμα πρὸς τὸ ἄκτιστον μεταβεβλῆσθαι καὶ ἄφθαρτον, τὸ δὲ φανὲν τηνικαῦτα φῶς θεότης ἄκτιστος καὶ ἀνούσιος εἶναι, τότε μὲν ἐπὶ τοῦ ὄρους οἷον ἀρχῆς γενομένης τῇ ἀκτιστότητι τοῦ ἀνθρώπου καὶ ἀφθαρσίᾳ ὡς ἐν ἀῤῥαβῶνος τρόπῳ, μετὰ δὲ θάνατον καὶ πρὸς οὐρανοὺς ἀνάβασιν τελέως ἤδη γενέσθαι καὶ φύσει ἄκτιστον, καὶ ὅτι ἀρχὴ τῆς εἰκονομάχου αἱρέσεως ἐκείνοις ἡ τῆς μεταμορφώσεως γέγονε πρόφασις, ἀκηκόατε, οὐκ οἰκοθεν ἐμοῦ διηγουμένου, ἀλλὰ τοῦ μεγάλου Πατρὸς καὶ διδασκάλου τῆς τοῦ Θεοῦ Ἐκκλησίας, οὗ τὸ ἀξιόπιστον μηδ' αὐτὸν οἶμαι παραλογίσασθαι τὸν διάβολον, μὴ οὐκ ἀληθῆ λέγειν, οὐχ ὅτι σοφίᾳ πάσῃ τῇ τε θύραθεν καὶ ὅση τῆς καθ' ἡμᾶς εὐσεβείας ὁ μέγας κεκόσμηται, ἀλλ' ὅτι καὶ ὅση κατὰ Θεὸν ἀρετὴ, τελείως ἐξήσκητο πᾶσαν καὶ πρὸς τὸ ἀκρότατον ταύτης ἀφίκετο, ὡς πάντα προέσθαι ῥᾳδίως, μὴ ὅτι γε ὅσα τοῦ σώματος εἴη ἐκτὸς, ἀλλὰ καὶ αὐτό γε τὸ σῶμα τῆς θείας ἕνεκεν ἀγάπης εἰς τοὺς ὑπὲρ τῆς εὐσεβείας κινδύνους προδοῦναι προθύμως, ὡς ἀνωτέρω προέφημεν. Ὅτι δὲ καὶ ἀσεβῶς τὰ σφίσι νομισθέντα νενόμισται, δῆλον καὶ τοῦτ' ἐκ τῶν αὐτοῦ σοφῶν καὶ ἀναντιῤῥήτων γέγονεν ἀποδείξεων. Καίτοι διὰ τὰς περιεστηκυίας κἀμὲ πρὸς τῶν διωκτῶν συμφορὰς οὐδ' ἔσχον ὅπως ὑπ' αὐτῶν κλαπείσας τὰς ἐκείνου βίβλους παμπόλλας οὔσας ἀνειληφὼς, ἐξ ὧν καὶ ὅθεν πολλάκις ἀναλαμβάνων πρότερον ἐθεώρουν, προθείναι νῦν ἡμῖν τὰ πολλῷ τῶν εἰρημένων πλείω τε καὶ ἐναργέστερα, ὡς πᾶσι γνωσθῆναι τελεώτερον τῆς τε ἀσεβείας ἐκείνων τὸ μέγεθος καὶ τοῦ θείου τοῦδε ἀνδρὸς τῆς σοφίας τὸ περιὸν καὶ τοῦ πρὸς εὐσέβειαν ζήλου τὸ σφόδρα διάπυρον.

XVI. Quorum auditores facti contradicere e vestigio nihil poterant, nec scriptarum illis disceptationum copia erat. Igitur ad alterum confugientes postum tutum, tanquam canonem et legem illegitimum proferebant volumen piraticum et impia sacerdotum et grammaticorum de Domini transfiguratione placita in ore habebant. Quibus Gregoras respondit: «Nec in mentem vobis venit tandem aliquando sentire vos majores plagas novæ Palamæ iconomachiæ texere eis quas nunc introducitis, ut infra monstrabimus. Licet enim nobis perscrutantibus intelligere illum similia suis illudere, si improbitatis radices et primam originem viderit. Licet nec minus intelligi, quantam ille accessionem fecerit stirpi stirpe addita et licentiæ licentia. Sin vero aliquid sit ad perfectiorem perceptionem re-

ΙΕ'. Ὅτι μὲν οὖν τοῖς Εἰκονομάχοις ἡ μεταμόρφωσις τοῦ Σωτῆρος ἐπὶ τοῦ ὄρους οὐ μορφῆς ἀλλοίωσις ἐπὶ τὸ λαμπρότερον ἐνομίσθη, ἀλλὰ τὸ μὲν σωτήριον σῶμα πρὸς τὸ ἄκτιστον μεταβεβλῆσθαι καὶ ἄφθαρτον, τὸ δὲ φανὲν τηνικαῦτα φῶς θεότης ἄκτιστος καὶ ἀνούσιος εἶναι, τότε μὲν ἐπὶ τοῦ ὄρους οἷον ἀρχῆς γενομένης τῇ ἀκτιστότητι τοῦ ἀνθρώπου καὶ ἀφθαρσίᾳ ὡς ἐν ἀῤῥαβῶνος τρόπῳ, μετὰ δὲ θάνατον καὶ πρὸς οὐρανοὺς ἀνάβασιν τελέως ἤδη γενέσθαι καὶ φύσει ἄκτιστον, καὶ ὅτι ἀρχὴ τῆς εἰκονομάχου αἱρέσεως ἐκείνοις ἡ τῆς μεταμορφώσεως γέγονε πρόφασις, ἀκηκόατε, οὐκ οἰκοθεν ἐμοῦ διηγουμένου, ἀλλὰ τοῦ μεγάλου Πατρὸς καὶ διδασκάλου τῆς τοῦ Θεοῦ Ἐκκλησίας, οὗ τὸ ἀξιόπιστον μηδ' αὐτὸν οἶμαι παραλογίσασθαι τὸν διάβολον, μὴ οὐκ ἀληθῆ λέγειν, οὐχ ὅτι σοφίᾳ πάσῃ τῇ τε θύραθεν καὶ ὅση τῆς καθ' ἡμᾶς εὐσεβείας ὁ μέγας κεκόσμηται, ἀλλ' ὅτι καὶ ὅση κατὰ Θεὸν ἀρετὴ, τελείως ἐξήσκηται πᾶσαν καὶ πρὸς τὸ ἀκρότατον ταύτης ἀφίκετο, ὡς πάντα προέσθαι ῥᾳδίως, μὴ ὅτι γε ὅσα τοῦ σώματος εἴη ἐκτὸς, ἀλλὰ καὶ αὐτό γε τὸ σῶμα τῆς θείας ἕνεκεν ἀγάπης εἰς τοὺς ὑπὲρ τῆς εὐσεβείας κινδύνους προδοῦναι προθύμως, ὡς ἀνωτέρω προέφημεν. Ὅτι δὲ καὶ ἀσεβῶς τὰ σφίσι νομισθέντα νενόμισται, δῆλον καὶ τοῦτ' ἐκ τῶν αὐτοῦ σοφῶν καὶ ἀναντιῤῥήτων γέγονεν ἀποδείξεων. Καίτοι διὰ τὰς περιεστηκυίας κἀμὲ πρὸς τῶν διωκτῶν συμφορὰς οὐδ' ἔσχον ὅπως ὑπ' αὐτῶν κλαπείσας τὰς ἐκείνου βίβλους παμπόλλας οὔσας ἀνειληφὼς, ἐξ ὧν καὶ ὅθεν πολλάκις ἀναλαμβάνων πρότερον ἐθεώρουν, προθείναι νῦν ἡμῖν τὰ πολλῷ τῶν εἰρημένων πλείω τε καὶ ἐναργέστερα, ὡς πᾶσι γνωσθῆναι τελεώτερον τῆς τε ἀσεβείας ἐκείνων τὸ μέγεθος καὶ τοῦ θείου τοῦδε ἀνδρὸς τῆς σοφίας τὸ περιὸν καὶ τοῦ πρὸς εὐσέβειαν ζήλου τὸ σφόδρα διάπυρον.

XVI. Quorum auditores facti contradicere e vestigio nihil poterant, nec scriptarum illis disceptationum copia erat. Igitur ad alterum confugientes potum tutum, tanquam canonem et legem illegitimum proferebant volumen piraticum et impia sacerdotum et grammaticorum de Domini transfiguratione placita in ore habebant. Quibus Gregoras respondit: «Nec in mentem vobis venit tandem aliquando sentire vos majores plagas novæ Palamæ iconomachiæ texere eis quas nunc introducitis, ut infra monstrabimus. Licet enim nobis perscrutantibus intelligere illum similia suis illudere, si improbitatis radices et primam originem viderit. Licet nec minus intelligi, quantam ille accessionem fecerit stirpi stirpe addita et licentiæ licentia. Sin vero aliquid sit ad perfectiorem perceptionem re-

ΙϚ'. Τούτων ἐκείνοι τέως αὐτήκοοι γενόμενοι ἀντιλέγειν μὲν ἐκ τοῦ εὐθέος ἥκιστα εἶχον· οὐδ' ἦν εὐπορία γραφικῶν ἀποδείξεων σφίσι. Διὸ καὶ ἐς τὸν δεύτερον καταπεφεύγασι πλοῦν, καὶ κανόνα καὶ νόμον ἑαυτοῖς τὸν παράνομον προὔφερον τόμον ἐκεῖνον τὸν λῃστρικὸν, καὶ τὰ περὶ τῆς τοῦ Κυρίου μεταμορφώσεως ἐκεῖ τοῖς ἀρχιερεῦσι [f. 243 *b*] καὶ γραμματεῦσιν ἀσεβῶς κυρωθέντα διὰ στόματος ἔγον· πρὸς οὓς ὁ Γρηγορᾶς, « Εἶτα οὐδὲ νοῦς τις ἔπεισι, » φησὶν, « ὑμῖν, ὀψὲ γοῦν αἰσθέσθαι ὡς μείζω τὰ δίκτυα πλέκετε νῦν κατὰ τῆς νέας εἰκονομαχίας τοῦ Παλαμᾶ δι' ὧν εἰσάγετε νῦν, ὡς δειχθήσεται. Ἔξεστι μὲν γὰρ καὶ ὑμῖν δήπου παρεξετάζουσιν ἐκ τῶνδε συνορᾶν ὡς καὶ αὐτὸς τὰ αὐτὰ τοῖς αὐτοῦ βλασφημεῖ, εἴ τι ὀῤῥὴ τὰς τῆς κακίας ῥίζας αὐτὰς καὶ τὴν πρώτην βλάστην· ἔξεστι δ' οὐχ ἧττον συν-

ορᾷν καὶ ὅσην αὐτὸς πεποίηται τὴν προσθήκην, βλάστῃ βλάστην ἐφευρὼν καὶ ἀνομίαν ἐπενεγκὼν ἀνομίᾳ. Ἦν δέ τι καὶ πρὸς ἐντελεστέραν ἀντίληψιν ἔτι λείπηται, ἐγὼ λοιπόν, » φησὶν, ἀναλαβὼν καὶ νῦν θρηνήσω τὸν νεκρόν μου· ἐγὼ καὶ κλαύσομαι πικρῶς ἐπὶ τὸ σύντριμμα τοῦ γένους μου, κατεπάδων καὶ προσεπάγων τὰ ἐκ τῶν θείων Γραφῶν φάρμακα, καὶ ταῦτα προσάντη δυσχέρειαν ἔχων οὐ μάλα τι σφόδρα ἠγνοημένην ὑμῖν. Καὶ τοίνυν ἐπὶ τὴν τῆς μεταμορφώσεως πανήγυριν μέτειμι νῦν καὶ αὐτὸς δι' ὑμᾶς, λογικῷ φραγγελίῳ τελεώτερον τὰς θεοκαπήλους ἐξελάσων κἀκεῖθεν βωμολοχίας τοῦ δυσσεβοῦς Παλαμᾶ, ἐπεὶ καὶ αὐτὸς τὴν αὐτὴν ἑορτὴν ἐποιήσατο πρόφασιν τῆς αὐτοῦ κακίας, σκοτεινὸς περὶ τὸ φῶς ἐκεῖνο κατὰ τοὺς Εἰκονομάχους, ὡς ἔρθημεν εἰρηκότες, γενόμενος καὶ αὐτὸς, καὶ ταῖς εἰωθυίαις αὐτῷ βωμολοχίαις τε καὶ συκοφαντίαις ἐμβαλὼν καὶ αὐτὸ, καὶ ἅμα ὁπόσα περὶ αὐτοῦ τῶν ἁγίων οἱ πλείους εἰρήκεσαν, τὸν ἐνόντα διεφθαρκὼς νοῦν καὶ ἀνατετροφὼς ὁ νοῦν καὶ φρένας διάστροφος καὶ πάντα πάντῃ διεφθορώς, καὶ παραπλήσιον ὁρῶν καὶ αὐτὸς τοῖς τε νυκτικόραξι καὶ νυκτερίσι καὶ ταῖς γλαυξίν· ὡς γὰρ ταυτὶ τὰ ὄρνεα τὸν μὲν τοῦ παντὸς ὀφθαλμὸν, τὸν τοῦ οὐρανίου πέπλου λέγω λυχνίτην ἥλιον, ὄψεων ἀτονίᾳ βλέπειν ὅλως οὐ δυνάμενα τὸ μὲν φῶς ἡγεῖται σκότος, τὸ δὲ σκότος φῶς, οὕτω δῆτα καὶ αὐτὸς τοὺς τῆς διανοίας τόνους κεκλασμένους ἔχων καὶ σφόδρα ἀδρανεῖς, καὶ διὰ σκότους ἰὼν ἀμαθίας, συλᾷ καὶ διαστρέφει πρὸς τὸ οἰκεῖον σκότος Γραφῆς ἁπάσης αὐγὴν, ἐπεὶ μὴ ἀντιβλέπειν ὅλως εἰς τὸ τῆς ἀληθείας φῶς ἡ νυκτερινοὺς ἀντικρυς ὀφθαλμοὺς κεκτημένη κακότροπος δύναται νυκτερίς. Ἐγὼ μὲν οὖν πῶν πάλαι βίβλων τῆς αὐτοῦ μεμνημένος κακίας, μικρὰ μικροῖς ἐδεδώκειν ἐλέγχοις ἐνίοτε· ἐκ πολλοῦ γὰρ μιμητῇ γεγονότι τάνδρὶ τῆς τῶν Εἰκονομάχων αἱρέσεως λίθος αὐτῷ προσκόμματος ἐγεγόνει τὸ φῶς ἐκεῖνο· καὶ μάλα μὲν σκοτεινοὺς εὐθὺς καὶ αὐτὸς ἐξηρεύξατο [f. 264a] λόγους περὶ φωτὸς ἐπιγράψας, μάλα δ' ἡμῖν πολλὴν παρέσχε τὴν ὕλην ἐξ ἀντιῤῥόπου γράφουσιν ἐλέγχειν αὐτὸν τηνικαῦτά τε καὶ κατὰ διαστήματα διηνεκῶς ἐκεῖθεν καιρικὰ, ὡς εἶναι καὶ ταῦτα ἃ νῦν ἐφ' ὑμῶν μοι διεξιέναι συμπέπτωκε, τῆς πάλαι κακίας αὐτοῦ μικρά τινα ὑπομνήματα.

A lictum, equidem extremo recepto cadaver meum deplorabo, equidem lamentabiliter flebo generis mei interitum, allatis ex divinis scriptis remediis, rem molestam et **471** nobis percognitam expertus. Itaque transfigurationis laudationem aggredior et orationis flagello fortius vilem religionis mercenarium inde detrudam Palamam illum impium. Cum ipsum festum instituerit, quo impietatem suam defenderet, cæcus ille factus est, ut de Iconomachis antea diximus, ad cognoscendam lucem illam, quam vilitati qua erat et obtrectationi immiscuit. Atque, quod de eo sanctorum plerique dixerunt, mentem qua erat perdidit evertitque ille ratione atque animo captus et omnino dejectus, fecitque quod simile est corvis nocturnis et noctuis. Quemadmodum B enim aves illæ mundi oculum, nempe solem in cœlo lucentem visionis infirmitate cernere omnino non possunt, et lucem pro caligine et pro luce caliginem ducunt, ita ille fractis animi nervis et debilitatis per inscientiæ caliginem incedens ad suam caliginem Scripturæ totius claritatem deripit et devertit, cum omnino non aspicere veritatis lucem cum nocturnis oculis fallax noctua potest. Equidem vero ex veteribus libris ejus impietatis memor perpaucos in disceptationem interdum vocaram. Iconomachorum enim **472** hæresin jamdudum imitanti ad offensionem ille occasio facta est, et statim caliginosos edidit libros de luce inscriptos. Permultam nobis et adversariis scriptoribus silvam refutandi præbuit et illis temporibus et temporum deinceps intervallis, ita ut quæ apud vos narravi veteris illius impietatis pauci tantum commentarii sint. »

IZ'. Ἀλλὰ φέρε καὶ νῦν τὸν παράνομον ἀνελίξαντες ἐκεῖνον τόμον, τὰς νέας ἡμῖν παρανάγνωτε βλασφημίας αὐτοῦ, ὁπόσας δὴ καὶ οἵας κἀν τῷδε περὶ τῆς τοῦ Κυρίου διεξεληλύθει μεταμορφώσεως, ἵνα καὶ ἄμφω σαφέστερον γνῶμεν, τίνα ποτ' αὐτῷ καὶ ὁποίαν εἴργασται τὴν ἀλλοίωσιν ὁ πάντα κινῶν καὶ μεταβάλλων χρόνος, καὶ ὁποτέρῳ μέρει φέρων ἐκεῖθεν προσένειμεν οὗτος αὐτὸν, δυοῖν τε ὄντοιν ἀεὶ καὶ τῷ βίῳ δημοσίᾳ ἐμπολιτευομένοιν, τοῦ τε χείρονος, ᾧ πάλαι φέρων αὐτὸς ἑαυτὸν ἐθελοντὴν παρέσχετο λατρευτὴν, καὶ οὗ τοῦ βελτίονος, οὗ φυγάδα καὶ δραπέτην ἔδειξεν ἐθελοντὴν ἐκεῖθεν ἑαυτόν. Ἀλλὰ λελῆθέναι μοι δοκεῖ καὶ ὁ χρόνος αὐτὸς ἑαυτὸν, τὴν ἑαυτοῦ μᾶλλον αὐτὸς περιτρέψας ἐνταῦθα φύσιν ἢ τὴν τοῦ Παλαμᾶ κακίαν. Τῷ γὰρ καθάπαξ εἰς βάθος ἐμπεπτωκότι κακῶν παγχάλεπον εἶναι ῥᾳδίως παλινδρομεῖν ἐς τὸ πάνυ τι βέλτιον, εὐκτὸν δ' ἂν ἦν εἰ καὶ βραχεῖαν τὴν ἐκ τοῦ χείρονος ἐποιεῖτο ἀνάδυσιν, ὁπόθεν ἐστὶ καὶ ὁτῳοῦν ἀρχομένῳ ἐλπὶς ὄψὲ γοῦν ἐς τὸν μεταξὺ τοῦ χείρονός τε καὶ

XVII. Sed agedum evoluto illegitimo volumine, novas nobis ejus blasphemias legite, quantas qualesque hoc quoque libro de Domini transfiguratione protulerit, ita ut utrumque illud accuratius cognoscamus: et quam qualemque ætas quæ omnes res D transformat et permutat effecerit variationem et utri parti illa eum adjecerit. Nam ex duabus quæ in publica vita regnant conditionibus deteriori olim sponte se dederat ministrum, melioris transfugam lubenter se præbuit. Sed oblita sese esse videtur ætas cum citius suam perverterit naturam, quam Palamæ impietatem. Etenim cuique homini semel in impietatis barathrum lapso difficile est reverti ad meliorem statum. Optandum erat si vel ad breve tempus ex pejore resurrexerit qualiscunque ab initio spes erat, tandem **473** in statum inter meliorem et pejorem positum, vel parvis et continuis motibus factis, fore reditum. Neque enim arduum cum profundo nec cum nigro album facile conspirant in unum, priusquam medium nacta

sint: hic enim altius est, illic profundius. Deinde momento ad meliorem statum ab utraque parte dato, fortasse quis ad tritam virtutis viam et florida ejus prata, Deo fortiter adjuvante, pervenerit. Legenda autem quæ inde sequuntur, ne inchoata semel orationis nostræ via relicta esse videatur.

A βελτίονος χῶρον κατὰ μικρὰ καὶ συχνὰ ποιουμένῳ κινήματα τὴν ἐπιστροφὴν ἀφικέσθαι. Οὔτε γὰρ τῷ κυρτῷ πρὸς τὸ κοῖλον ὁμάσε, οὔτε μὴν τῷ μέλανι πρὸς τὸ λευκὸν δραμεῖν εὐθὺς εὐχερὲς ἐν οἷς ἐπιφύκει, πρὶν τοῦ μέσου τυχεῖν, ἐκεῖ μὲν τοῦ εὐθέος, ἐνταυθοῖ δὲ τοῦ φαιοῦ. Ἐκεῖθεν γὰρ ἔπειτα ῥοπῆς ἐπὶ τὸ βέλτιον ἀμοιβαδὸν ἀεὶ γινομένης ἀφίκοιτ' ἂν τις ἴσως καὶ ἐς αὐτὸ τὸ τῆς ἀρετῆς ὁμαλὸν πεδίον καὶ τοὺς ἀνθεινοὺς αὐτῆς λειμῶνας, ἐρρωμένως συναιρομένου Θεοῦ. Ἀναγνωστέον οὖν τὰ ἑξῆς, ὡς μὴ ἀτελὲς τὸ ἡμέτερον καταλείποιτο στάδιον.

---

# ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ
## ΤΟΥ ΓΡΗΓΟΡΑ
### ΛΟΓΟΣ ΡΩΜΑΙΚΗΣ ΜΕΝ ΙΣΤΟΡΙΑΣ ΛΕ'
#### ΔΟΓΜΑΤΙΚΟΣ ΔΕ Ϛ'.

# EJUSDEM NICEPHORI GREGORÆ
## BYZANTINÆ HISTORIÆ LIBER XXXV
### DOGMATICORUM VERO SEXTUS.

**474** I. Super his et similibus illo criminoso volumine consulto, ii qui ab adversariorum partibus stabant, hæc protulerunt.

Post hæc, inquit, quæsitum est a sanctis ut demonstraretur increatam esse lucem transfigurationis Domini, et non esse essentiam Dei. Consentiebant omnes scribæ et sacerdotes. Excelluit tamen Gregorius ille a theologia cognominatus qui hæc scripsit: «Nemo stetit in substantia et essentia Domini, sicut scriptum est, aut Dei naturam vidit vel explicavit.» Et Maximus ille divinus, qui scripsit in primæ rerum theologicarum centuriæ capite septimo: «Qui creaturis non quidem pro essentia participabilis est, sed alia via iis qui possunt cognosci **475** vult, non ab essentiæ obscuritate omnino disjunctus est.» Divus autem Chrysostomus in idem festum hæc scripsit: «In monte transfiguratus, inquit, Salvator tenui quodam modo tanquam Dominus discipulis suis invisibilis sui ac divini regni gloriam ostendit, scilicet aliquantulum deitatem aperuit, non quanta erat, sed quantum ferre poterant illi corporeis oculis instructi.» Omnes etiam sancti splendorem illum dicunt claritatem et gratiam et apotheosin et deitatem indicatam paulo obscuriorem quam visionem ipsam, et lucem inaccessibilem et physicum Filii radium nominant.

B [Cod. Reg. 3075, f. 55 v] Α'. Ἐπὶ δὴ τούτοις καὶ τοῖς τοιούτοις τὸν παράφωνον ἐκεῖνον ἀνελίξαντες τόμον οἱ τῆς ἀντιθέτου φάλαγγος ἐκεῖνοι τάδε παρῆγον ἐς μέσον.

Μετὰ ταῦτα, φησὶν, ἐζητήθη δειχθῆναι παρὰ τῶν ἁγίων ὅτι τε ἄκτιστόν ἐστι τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως, καὶ ὅτι οὐκ ἔστιν οὐσία τοῦ Θεοῦ· καὶ συνέθεντο πάντες γραμματεῖς καὶ ἀρχιερεῖς· Προηνέχθη γὰρ ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος γράφων, « Οὐδεὶς ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ Κυρίου κατὰ τὸ γεγραμμένον· καὶ Θεοῦ φύσιν εἶδεν ἢ ἐξηγόρευσε. » Καὶ ὁ θεῖος Μάξιμος γράφων ἐν ἑβδόμῳ κεφαλαίῳ τῆς πρώτης τῶν θεολογικῶν ἑκατοντάδος, « Ὁ τοῖς οὖσι μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτὸς, [f. 244 b] κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται. » Καὶ ὁ θεῖος Χρυσορρήμων εἰς τὴν αὐτὴν ἑορτὴν γράφων, « Ἐν τῷ ὄρει, » φησὶ, « Μεταμορφωθεὶς ὁ Σωτὴρ μικρῶς πως ὡς δεσπότης ἔδειξε τοῖς ἑαυτοῦ μαθηταῖς τῆς ἀθεάτου θεϊκῆς αὐτοῦ βασιλείας τὴν δόξαν. » Τουτέστι μικρὸν παρήνοιξε τὴν θεότητα, οὐχ ὅση τις ἦν, ἀλλ' ὅσην ἐδύναντο φέρειν οἱ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες. Ἀλλὰ καὶ πάντες οἱ ἅγιοι ἔλλαμψιν λέγουσιν αὐτὸ καὶ λαμπρότητα καὶ χάριν καὶ θέωσιν καὶ θεότητα παραδειχθεῖσαν μικροῦ στερροτέραν καὶ ὄψεως· καὶ φῶς ἀπρόσιτον καὶ φυσικὴν ἀκτῖνα τοῦ Υἱοῦ ἔλεγον.

Β'. Πρὸς ταῦτα ὁ Γρηγορᾶς ἀποκρίνεται οὐτωσί πως εἰπών· Ἰδοὺ καὶ νῦν ὁ Παλαμᾶς, ὡς ὁρᾶτε, θέωσιν καὶ θεότητα συμπεραίνει ἐνταῦθα τὸ φῶς τῆς μεταμορφώσεως, καὶ δυοῖν θάτερον, ἢ μετουσίωσιν τῆς τοῦ Λόγου θεότητος καὶ μεταβολὴν πρὸς ὑφειμένον καὶ ἀνυπόστατον φῶς, ἢ τῆς τοῦ δούλου μορφῆς ἀλλοίωσιν, ὡς εἰρήκειμεν, εἰς ἄκτιστον φῶς καὶ δευτέραν τῆς πρώτης ἀνούσιον θεότητα. Ἀλλ' ὁ μὲν περὶ τούτου λόγος βραχύ τι ἀναβεβλήσθω μοι τέως· ἐκεῖνο δέ μοι θαυμάζειν ἔπεισι, πῶς ἕτερα μὲν ἐν ταῖς τῶν τοῦ τόμου κεφαλαίων ἀρχαῖς ἐπαγγέλλεται, ἕτερα δ' ἀποδεικνύειν ἐπείγεται, καὶ αὖ ἑτέραν ἔχει διάνοιαν ἃ προκομίζει πρὸς ἑαυτοῦ συμμαχίαν ῥητά· ὡς γίνεσθαι τριπλῆν καὶ πολλαπλῆν τὴν ζάλην οἷς πρὸς βουλήσεως εἴη προσέχειν τὸν νοῦν, καὶ ἅμα διπλοῦν καὶ πολλαπλοῦν τῆς ἀμαθίας αὐτοῦ καὶ κακοτροπίας τὸν ἔλεγχον· ἔοικε γὰρ ὥσπερ αἰνίγματα συντιθέντι ὑμῖν. Διὸ καὶ σκοπεῖν ἔκρινα δεῖν, μήπου ἀποπειρᾶσθαι βούληται Παλαμᾶς, εἰ ἄρα γνώσομαι χαριεντιζομένου αὐτοῦ καὶ σφόδρα λέγοντος ἑαυτοῦ τἀναντία παντάπασιν, ὥσπερ ἂν εἰ ἀντωμοσίαν διαμειψάμενος ἔλεγεν ἀντικρυς, ὅτι Ἃ προείνω καὶ βούλομαι λέγειν, ταῦτα δῆτα οὐ βούλομαι λέγειν, καὶ οἷς ἀπαγορεύω μὴ συμφωνεῖν κακοδόξοις, τούτοις ἐκ τοῦ προφανοῦς συμφωνῶ, παρὰ τοσοῦτον αὐτῶν διιστάμενος πορ' ὅσον αὐτοὺς ἐν κακοῖς ὑπερβάλλω· τῆς γὰρ κακίας ἐπὶ τὸ φιλότιμον κινουμένης, οὐ μάλα βραχεῖαν τὴν παρενθήκην ἐπὶ τοῖς ἐκείνων βλασφήμοις ἐνεδειξάμην ἐγὼ, ἵν' οὐτωσὶ περιβόητον κτήσωμαι τοὔνομα· ποιεῖν γὰρ ἤκουσα περιβοήτους οὐ δεξιὰς πράξεις μόνον, ἀλλὰ καὶ κακίαν νικῶσαν πονηρῶν εὐδοκίμησιν.

Γ'. Οὕτως ἄστατος καὶ ἀβέβαιός ἐστι καὶ ἀνέδραστος ἐξ ἀμαθίας, ὡς μήθ' ἃ νοεῖ δύνασθαι λέγειν, μήθ' ἃ λέγει δύνασθαι ξυννοεῖν, ἀλλὰ καὶ οἷς μὲν κοινωνεῖ βλασφημοῦσι, τούτους δοκεῖν ἀποστέργεσθαι, ὧς δ' ἀποστέργεται, τούτοις δοκεῖν κοινωνεῖν, καὶ ἅμφω μὲν λοιδορεῖν, ἀμφοῖν δὲ συμφωνεῖν. Καὶ οὐκ οἶδ' ὁπότερον μὲν τῶν κακῶν ἀποστέργεται μάλιστα πάντων, ὁποτέρῳ δ' αὖ σπένδεται μάλιστα πάντων· πάντα μὲν γὰρ ὅσα οἱ λεχθείη, μεστὰ κακῶν, πάντα δ' ὅσα οἱ γνωσθείη, γέμει νυκτός. Βεβαίου δὲ καὶ ἀβεβαίου πέρι, οὔτε θάτερον οὔτ' οὐδέτερον οὔτ' ἀμφότερον εὕροι τις ἂν ἐρριμμένον ἢ ἀνειλημμένον ἐς τὸ ὁπωσδηποτοῦν σαφὲς τάνδρί. Οὕτω πρὸς ἀτοπόν τι καὶ τερατῶδες ὁ γεννάδας μεταπέπλασται χρῆμα· ἐκ μὲν γὰρ τοῦ ὁμοδοξεῖν τοῖς Εἰκονομάχοις σπένδεται μὲν καὶ χαίρει τοῖς αὐτὸς αὐτοῖς· ἐκ δ' αὖ τοῦ δεδιέναι μὴ καὶ τοῖς αὐτοῖς ἀναθέμασιν ἔνοχος γένηται ζῶν, ἐναλλάσσειν ἔνια ἐνίοτε δοκεῖ, πλὴν οὐκ ἐπὶ τὸ βέλτιον, ἀλλ' ἐπὶ τὸ μάλα γέ τι σφόδρα χείριστον· ὃ μὲν γὰρ ἐκεῖνοι περὶ τοῦ φωτὸς ἐκείνου τὴν εἰς ἄκτιστον [f. 245 a] μεταβολὴν τοῦ σώματος βεβλασφημήκεσαν, τούτῳ καὶ αὐτὸς συμφωνεῖ, ὃ δ' ἐκεῖνοι φύσιν ἥκιστ' ἔχειν εἶναι ἐνόμισαν, τοῦτο δὲ προσέθηκε τολμήσας οὗτος, τὸ δευτέραν δηλαδὴ καὶ ὑφειμένην καὶ ἀνούσιον καὶ ἅμα ἄκτιστον θεότητα τὸ φῶς ὑπάρχειν ἐκεῖνο. Ὥσθ' ἃ μὲν ἐκείνοις συμφωνεῖ, πάντως ἐκείνων οὐκ ἀπολείπεται. Ἃ δ' ἐκεῖνοι μήπω φάναι τετολμήκεσαν, τούτοις δὲ νενίκηκεν αὐτοὺς εἰπὼν αὐτός. Ἡδέως

II. Ad quæ respondens Gregoras in hunc fere modum locutus est: Ecce Palamas, ut videtis, apotheosin et deitatem confundit in luce transfigurationis, atque aut Verbi deitatem permutatam et dejectam ad substratam et insubstantialem lucem, aut servi formam, ut diximus, variatam in increatam lucem et alteram inessentialem deitatem. Sed disquisitione de hoc dilata, illud miror, quomodo alterum in voluminis capitibus inde ab initio profiteatur, alterum demonstrare conetur. Et porro alium sensum habent illa, quæ ad se defendendum præmittit, dicta, ita ut si qui velint, variam ac multiplicem rerum confusionem **476** animadvertant et multa inscientiæ ejus et malignitatis documenta. Similis enim ei est, qui ænigmata proponit. Ideo inquirere existimavi oportere, num velit experiri Palamas, num intelligerem e re mea se loqui eaque valde contraria, ut si quis in defendendo crimine exsisteret, quæ profiterer et vellem dicere, nor me velle dicere, et quibuscum contenderem ne consentirem improbis, cum eis me prorsus consentire, tantopere ab illis remotum, quantopere eos improbitate exsupero. Improbitatis enim quæ ad ambitionem progreditur, non breve certe illorum blasphemiis additamentum dedi, ut tali modo clarum nomen adipiscerer. Claros enim fieri non recte factis solum audivi, verum etiam ea quæ improbitatem exsuperat scelestorum gloria.

III. Adeo enim instabilis et mobilis et inconstans per ignorantiam est, ut nec dicere possit quæ cogitat nec cogitare quæ dicit, sed quibuscum blasphemias communicat, eos videatur aversari, quas autem aversatur, cum iis communicare, ita ut eosdem et calumnietur et sequatur. Nec scio quemnam impiorum omnium maxime aversetur, cuinam **477** vero omnium maxime faveat. Omnia enim ea quæ abeo dicta sunt, plena malignitatis, omnia quæ ab eo cognita sunt, scatent tenebris. Quod vero certum et incertum attinet, neutrum certe quisquam inveniet aut rejectum ab eo aut ad perspicuitatem quamdam vocatum. Itaque novum et mirum in modum ingenuus ille rem mutavit. Quod enim consentit cum Iconomachis, consociat sibi eos et amat. Quod vero veretur, ne ipsis anathematis obnoxius fiat, mutare nonnunquam videtur, sed non ad meliorem, verum ad omnino pessimam conditionem. Quod enim illi de luce illa impie protulerunt in increatum permutatum esse corpus, hoc ipse consentit; quod vero illi naturam minime essentiam habere putarunt, ille hoc addere conatus est, et subjectam et inessentialem et simul increatam deitatem esse lucem illam, ita ut in quibus rebus cum illis consentit, non relinquatur ab illis. Quæ vero illi nondum proferre conati sunt, iis propalam proponendis eos ipse vicit. Lubenter cum quærere vellem, num quis posset in probandis Iconomachorum sententiis non esse Icono-

machus. Simile enim esset ac si quis in publicum prodiens diceret citharœdos esse, non esse citharam ; sidera quidem cœlestia, non cœlum ; res **478** quidem terrenas, neque vero terram. Quid dicis, sodes? Ex duobus enim alterum cogitandum nobis dedisti. Etenim aut insanis ipse, aut omnes insanire putas. Hic autem non noster, sed tuus affectus. Si enim ebrius quemvis obviam euntem duplicem pro uno videre sibi videtur, non conspectorum hominum erroris affectus est, sed male conspicientis. Sigillatim enim illi ad unumquemque numerati erant. Nam professus est demonstrare id quod a sacerdotibus illis ac scribis quæsitum esse dixit. Jubeo jam sanctos in medium proferri, qui lucem quæ in Domini transfiguratione apparuit, increatam esse dicant, non essentiam Dei, sed inessentialem et insubstantialem ; jam vero quasi obliviscens sui quæstionem multis dubitationibus implicatam et omni dogmatum confusione perturbatam silentio prætermisit, de qua nulla erat dubitatio et contra quam neque ipse omnis malignitatis pater diabolus quidquam opponere conaretur, ei afferre studet testimonia, ut dicere aliquid quibusdam videatur. Quis enim qui secundum fidem vivere se profitetur, dixit unquam aut potuit dicere, stare in substantia et essentia Dei et illius naturam aut vidisse aut professum esse, cum omnes hoc dicere non modo prophetas, verum etiam quibus **479** multo propinquiores erant præceptores nostri audisset, qui præter multa alia loquuntur sic : Si quis cognovit Deum aut cognovisse putatur, eatenus cognovit, quatenus lucis similior apparuit quam aliud quidquam, quippe non similiter collustratum. Et id quod exsuperat perfectum putatum est non veritate, sed si cum alterius comparatur potentia.

δ' ἂν καὶ ἐρέσθαι βουλοίμην αὐτὸν εἰ δύναιτό τις τὰ τῶν Εἰκονομάχων τιμῶν μὴ εἶναι Εἰκονομάχος· ὅμοιον γὰρ ἂν εἴη ὥσπερ ἂν εἰ παρελθὼν ὁ τεῖνετό τις κιθαρῳδὸς μὲν εἶναι, κιθάραν δ' οὔ, καὶ οὐρανίους μὲν ἀστέρας, οὐρανὸν δ' οὔ, καὶ γῆϊνα μὲν πράγματα, γῆν δ' οὐδαμῆ. Τί φῄς, ἄνθρωπε; Δυοῖν γὰρ πάντως νοεῖν δίδως ἡμῖν θάτερον· ἢ γὰρ μαίνῃ, ἢ πάντας μαινομένους εἶναι λογίζῃ. Τοῦτο δ' οὐχ ἡμῶν, ἀλλὰ σοῦ γε τὸ πάθος, καθάπερ δῆπουθεν καὶ εἰ μεθύων τις πάντα τινὰ, ὅτῳ ἂν συναντήῃ, διπλοῦν τινα ἀνθ' ἑνὸς ὁρᾷν ἐδόκει, οὐ τῶν ὁρωμένων ἂν τὸ τῆς ἀπάτης πάθος ἦν, ἀλλὰ τοῦ σφαλερῶς ὁρῶντος· πάντες γὰρ ἂν μοναδικῶς ὑπῆρχον ἀριθμούμενοι καθ' ἕκαστον ἐκεῖνοι. Προὔθετο μὲν γὰρ δεῖξαι ὃ τοῖς ἀρχιερεῦσιν ἐκεῖνος καὶ γραμματεῦσιν αὐτὸς ζητηθῆναί φησι· λέγω δὴ τοὺς ἁγίους παραγαγεῖν εἰς μέσον οἳ τὸ φανὲν ἐπὶ τῆς τοῦ Κυρίου μεταμορφώσεως φῶς ἄκτιστον μὲν εἶναί φασιν, οὐκ οὐσίαν δὲ Θεοῦ, ἀλλ' ἀνούσιόν τε καὶ ἀνυπόστατον. Εἶθ' ὥσπερ ἐκλαθόμενος αὐτὸς ἑαυτοῦ, τὸ μὲν ζητούμενον, καὶ ᾧ πολλή τις περικέχυται ἀμφισβήτησις, καὶ περὶ ὃ τῆς ὅλης τῶν δογμάτων συγχύσεως ἡ πρόφασις ἔστηκε, τοῦτο μὲν παρέδραμε σιγῇ· περὶ οὗ δ' οὐκ ἦν ἀμφισβήτησις, οὐδεμία, καὶ ᾧ οὐδ' ἂν αὐτὸς ὁ πάσης κακίας γεννήτωρ διάβολος τολμήσειεν ἀντειπεῖν, τούτῳ δὲ κομίζειν δῆθεν ἐπείγεται συστατικὰς μαρτυρίας, ἵνα τι λέγειν δόξῃ τισί. Τίς γάρ ποτ' εὐσεβῶς αἱρούμενος ζῆν εἰπέ ποτε ἢ λέγει, ἢ δύναιτ' ἂν ποτ' εἰπεῖν, ὡς ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ Θεοῦ, κἀκείνου τὴν φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευσε, βοώντων ἁπάντων ἀκούων ταυτὶ μὴ ὅτι προφητῶν, ἀλλὰ καὶ οἷς ἐγγυτέρω πολλῷ διδασκάλοις ἡμῶν γεγονέναι συμπέπτωκεν. Οἳ τά τ' ἄλλα φάσκουσι, καὶ μὲν δὴ καὶ ὡς εἴ τις ἔγνω Θεὸν ἢ ἐγνωκέναι μεμαρτύρηται, τοσοῦτον ἔγνω ὅσον ἄλλου μὴ τὸ ἴσον ἐλλαμφθέντος φανῆναι φωτοειδέστερος· καὶ τὸ ὑπερβάλλον τέλειον ἐνομίσθη οὐ τῇ ἀληθείᾳ, τῇ δὲ τοῦ πλησίον δυνάμει παραμετρούμενον.

IV. Sed Palamas contra veritatem pugnaturus cum contra nihil dicere possit nec refugium quodquam habeat, ad latebrosos recessus statim oculos vertit, quia non intelligere potest se ipsa re manifestissime evinci, cum iis quos injuria lacessat nihil probabilitatis opponere possit. Quod enim dicit ea quæ nemo quæsivit unquam utpote manifesta, tacet de iis quæ se dicturum professus est nullo cogente, simile hoc facit, ac si quis accedens profitetur se dicturum id quod ignorat nemo, quid sit homo ; deinde cum dicere cœperit, id quod sit homo dicere non potest, quæ vero non cadunt in hominem, hæc omnia omnino esse negat, bovem scilicet et equum et cycnum et cornicem et quæcunque humidam in mari vitam agunt. Dein etiam brevia sancti Maximi verba affert, sed non integra nec sine eo quo est corrumpendi studio relinquit. Quomodo enim homo affectum jam inveteratum **480** et longinquitate temporis corroboratum et in naturam ipsam immutatum abjiciet? Distracta enim in duas partes integra cogitatione et dein

Δ'. Ἀλλ' ὁ Παλαμᾶς τῇ μὲν ἀληθείᾳ μαχόμενος, οὐ δυνάμενος δ' ἀντειπεῖν, οὐδ' ἀποφυγὴν οὐκ ἔχων οὐδεμίαν οὐδαμῆ, πρὸς λαβυρινθώδεις εὐθὺς ὁρᾷ καταδύσεις, καὶ οὐδ' αἰσθέσθαι δύναται ὅτι τοῦτ' ἐστὶν ὃ μάλιστα πάντων ἐπ' αὐτοφώρῳ τοῦτον καταδικάζει, μηδὲν τῶν εὐλόγων ἔχοντα τοῖς αὐτῷ παρανομουμένοις χαρίζεσθαι. Τὸ γὰρ λέγειν μὲν ἃ μηδεὶς ἐζήτησε πώποτε πρόδηλα ὄντα, σιγᾷν δ' ἃ προὔθετό τε καὶ ἐπηγγείλατο λέγειν αὐτὸς οὐδενὸς ἀναγκάζοντος, ὅμοιόν ἐστιν ὥσπερ ἂν εἴ τις μηδενὸς ἀγνοοῦντος παρελθὼν ἐπηγγέλλετο μὲν λέγειν τί ἐστι ἄνθρωπος, ἔπειτα λέγειν ἀρξάμενος, ὃ μὲν ἔστιν ἄνθρωπος εἰπεῖν οὐκ εἶχεν, ἃ δ' οὐκ ἔστιν ἄνθρωπος, πάντα σωρηδὸν ἁπηρνεῖτο μὴ εἶναι, βοῦν καὶ ἵππον δηλαδὴ καὶ κύκνον καὶ κορώνην, καὶ ὁπόσα τὸν ὑγρὸν ἐν θαλάττῃ διάγει βίον. Ἔπειτα καὶ βραχείας κομίζει ῥήσεις Μαξίμου τοῦ θείου, μηδ' αὐτὰς λελοιπὼς ἀπαθεῖς μηδὲ τῆς αὐτῷ συνήθους ἄνευ παραφθορᾶς· πῶς γὰρ ἂν ὁ ἀνήρ ἀνηθεὶς πάθος ἤδη παλαιωθὲν καὶ μήκει [f. 215 θ] χρόνου βεβαιωθὲν καὶ οἷον εἰς φύσιν τούτῳ μετα-

δληθές; Διελὼν γὰρ διχῇ τὸ συνεχὲς τῆς ἐννοίας, καὶ θάτερον ὑφελόμενος τμῆμα, ἡμίεργόν τινα καὶ ἀτελῆ τὴν τοῦ Λόγου καταλέλοιπεν ἑκατέρωθεν ἑκατέρωθι φύσιν, οὐκ οἶδ' ὁπότερον, εἴτ' ἐξ ἀμαθίας ἡλικιώτιδος, εἴτε βλάβην ὑπωπτευκὼς ἑαυτῷ. Ὅμως αὐτὰ δήπουθεν ἃ διῄρηται αὐτῷ, παραχθέντα μηνύσει τὸ δρᾶμα, τῆς διαιρέσεως ἐξωσθείσης. Ἔχει γὰρ οὑτωσίν· « Ὁ τοῖς οὖσι μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτός, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται. » Ἐνταῦθά οἱ τὸ κατ' οὐσίαν κρύφιον ἀκούσαντι ἀποχρῶν ἐνομίσθη μὴ πλέον ζητεῖν· λυσιτελεῖν γὰρ μᾶλλον ἔδοξε τοῦτ', μονωθὲν τῶν ἑξῆς, πρός γε τὸ ἀνούσιον ἐλλελεῖφθαι τὸ τηνικαῦτα γενόμενον ἐκεῖνο φῶς ἐξαίφνης ἐν ὄρει τῷ Θαβωρίῳ πρὸς τοῦ Σωτῆρος Χριστοῦ καὶ ἐκστὰν τοῦ κατ' οὐσίαν κρυφίου ὄντος καὶ μηδόλως ἐξισταμένου, ἵν' ὡς ἐξ ὀρμητηρίου δῆθεν τῆς τοῦ ἁγίου ταύτης Γραφῆς δύο κηρύττῃ θεότητας ἀκτίστου; καὶ διαφόρους ἀλλήλων.

A recepta altera parte, semifactam et imperfectam orationis naturam ab utraque parte reliquit, nescio utrum ex juvenili inscientia, an ob damni nimium metum. Attamen ipsa illa quæ distraxit allata docebunt distractionis violentiam. Sic enim res se habet. Qui creaturarum non pro essentia particeps est, sed alia via eis qui possunt participari vult, non ab essentiæ obscuritate omnino alienus est. Ibi essentiæ obscuritatem cum audisset, sufficere putavit non amplius quærere. Magis enim prodesse existimavit hoc a sequentibus separatum, ad inessentiale relictam lucem illam olim e vestigio in monte Thabor circa Christum Salvatorem factam et sejunctam ab essentialiter obscuro et plane non dimoto, ita ut quasi ex hujus sacræ Scripturæ propugnaculo duas profiteatur deitates increatas et inter sese diversas.

Ε'. Ἐγνώτε, ὦ οὗτοι, κἀντεῦθεν, πῶς τῆς ὁμοίας ἔχεται κακοηθείας ὁ Παλαμᾶς πανταχῆ. Δυοῖν γὰρ κἀνταῦθά οἱ γίνεται θάτερον· ἢ γὰρ δι' ἀμαθίαν οὐδαμῇ συνίησι τῶν λεγομένων, ἢ συνιεὶς διὰ τρόπων ὅμως φαυλότητος τὴν Μαξίμου τοῦ Θείου καπηλεύει διάνοιαν· ὁ μὲν γὰρ ἅγιος τὸν τῆς ἐνταυθοῖ διειλημμένης αὐτῷ μεθέξεως τρόπον, καθ' ὃν θέλων, φησὶν, ὁ Θεὸς μετέχεται, αὐτῷ μόνῳ δείκνυσιν εἶναι καταληπτὸν τῷ Θεῷ, τοῖς δ' ἄλλοις πᾶσιν ἀνέφαντον· ὁ δὲ Παλαμᾶς φαινομένην τοῦτον καλῶν ἐνέργειαν, τὴν τοῦ ἁγίου διαστρέφει διάνοιαν, κακομηχάνως μετοχετεύων εἰς ἃ μὴ δεῖ. Ἐκεῖνο δὲ πῶς οὐκ ἀναισθὲς, τῷ μὲν Ἕλληνι Πρόκλῳ, καὶ πάνυ' ὁμοδόξῳ Πλάτωνος, ὁμοδοξεῖν μὲν καὶ ἀλλαχῇ πολλαχῇ, καθὰ καὶ πρόσθεν ἡμῖν κατὰ τῶν πρόσθεν αὐτοῦ βλασφημιῶν ἐν ταῖς προτέραις ἡμῶν ἀντιῤῥήσεσιν ἀποδέδεικται, ἔπειτα μηδὲ νῦν ἐπὶ τῇδε τῆς ἐκείνου κοινωνίας ἐκλελῆσθαι ἐνταῦθα; Λέγει γάρ που ταῖς αὐτοῦ καὶ Πρόκλος θεολογικαῖς ἐμφιλοσοφίαις ἀποδείξεσιν, ὅτι πᾶν τὸ μετέχον τοῦ μετεχομένου καταδεέστερον καὶ τὸ μετεχόμενον τοῦ ἀμεθέκτου· τὸ γὰρ μετέχον πρὸ τῆς μεθέξεως ἀτελὲς ὄν, τέλειον δὲ τῇ μεθέξει γινόμενον, δεύτερόν ἐστι πάντως τοῦ μετεχομένου, καθὸ τέλειόν ἐστι μετασχόν· ὃ γὰρ ἀτελὲς ἦν, κατὰ τοῦτο οὗ μετασχεθέντος, ὃ ποιεῖ τέλειον αὐτὸ, καταδεέστερον. Τὸ δὲ μετεχόμενον, τινὸς ὂν καὶ οὐ πάντων, τοῦ πάντων ὄντος καὶ οὐ τινὸς πάλιν ὑφειμένην ἔλαχεν ὕπαρξιν· τὸ μὲν γὰρ τῷ πάντων αἰτίῳ συγγενέστερον, τὸ δὲ ἧττον συγγενές. Ἡγεῖται ἄρα τὸ μὲν ἀμέθεκτον τῶν μετεχομένων, ταῦτα δὲ τῶν μετεχόντων.

B propugnaculo duas profiteatur deitates increatas et inter sese diversas.

V. Nonne ex eo intelligitis quam simili ubique pravitate Palamas sit obstrictus? Aut enim propter inscientiam dictorum nihil intelligit, aut si intelligit, pravitatis tamen rationibus divi Maximi sententia abutitur. Sanctus enim hic vir participationis ibidem tractatæ modum, **481** quo Deus se cognosci vult, soli ostendit esse comprehensibilem Deo, cæteris omnibus incognitam. Palamas autem illum vocans apparentem virtutem, sancti sententiam pervertit, dolose eo, quo non licet, perducendo. Nonne impudentis est, cum Græco illo Proclo, qui C cum Platone omnino consentit, consentire multis aliis locis, ut antea de ejus blasphemiis primis nostris refutationibus ostendimus, dein ne nunc quidem illius participationis oblivisci? Dicit enim Proclus theologicis usus argumentationibus, omne quod communicet esse imperfectius quam quod communicetur, et id quod communicetur, quam quod communicari nequeat. Quod enim communicet ob communicationem imperfectum, perfectum autem per communicationem factum, omnino communicato inferius est, quatenus communicans perfectum est; quod enim imperfectum fuit, ad illud communicatum quod ipsum perfectum reddit, imperfectum est. Quod com- D municatur cum aliquo et non cum omnibus, ejus quod universum est et non alicujus subjectam consecutum est essentiam. Hoc enim universi causato magis cognatum, illud minus cognatum. Præstat igitur incommunicabile communicatis, communicata autem communicantibus.

Ϛ'. Ὁρᾷς πῶς καὶ Πρόκλος ἐκεῖνος ὁ τοῖς εἰδώλοις προσκείμενος τρεῖς παραδίδωσι τάξεις, καὶ τῇ μὲν πρώτῃ τὸ ἀμέθεκτον ἀπονέμει καὶ τέλειον καὶ ἡγούμενον εἶτουν ὑπερκείμενον, τῇ δὲ δευτέρᾳ τὸ μετέχον καὶ μετεχόμενον καὶ τοῦ πρώτου καταδεέστερον, καὶ ἅμα μέσον ἀτελοῦς καὶ τελείου, τῇ δὲ τρίτῃ τό τε ἀτελὲς καὶ μετέχον μὲν, οὐ μετεχόμενον δέ. Σκεπτέον οὖν καὶ ὅπως συμφώνως ἐκείνῳ

VI. Vides, quomodo Proclus ille idolis addictus tres proponit **482** ordines, quorum primo incommunicabilitatem vindicat et absolutum et principale, id est subjectum; secundo id quod participat et quod participatur et priore minus absolutum et medium simul inter non absolutum et absolutum; tertio non absolutum et id quod participat et quod participatur. Videndum nunc est, quomodo cum illo

consentiens Palamas duplicem Christum ex duabus tantum naturis, deitatis et humanitatis, compositum in triplicem in monte Thabor immutatum docuerit. Aliam enim mediam increatam deitatem lucem illam interpositam dixit secundum Proclum locum habere inter absolutum et non absolutum et esse id quod participat et quod participatur. Et qua ubique malis artibus abundare solebat, ibidem increato et inessentiali visibile addidit; hæc vero conferri non possunt; nec veretur, ne falsis argumentationibus testem illum et divinum et sapientissimum Maximum puerili sermone et blasphemiarum ineptiis usus coarguat. Nec enim intellexit illius doctrinam, supra omnia quæ participant et quæ participantur esse in infinitum elatum Deum. Si enim participata illa lux eumdem cum participanti ordinem habet, et in infinitum eidem cum creaturis rationi subjecta est, fiet ex duobus alterum. Nam aut creatura idem ac participantia opera, aut omnia **483** participantia opera erunt omnino increata. Etenim ejusdem duplicia inter se omnino paria sunt et ejusdem dimidia similiter inter se paria, etiam omnino ejusdem in infinitum subjecta inter se paria sunt et ejusdem pretii et ordinis, quod ad creationem et subjectionem pertinet. Nam supra hæc in infinitum elatus est Deus, hæc omnia in infinitum inferiora Deo sunt et locum eumdem cum creaturis habent. Eadem ratione magnus Basilius quæ cum eadem mensura in quacunque re evadunt, inter sese paria esse dicit.

VII. Sed de his jam satis. Audistis enim causam, cur sequentia sacri sermonis silentio prætermiserit dimidia, et ab illius sententia plane aberrarit. Voluit enim Christum in Thabor triplicem redditum et principalem et æternum ostendere per ejus deitatem, et quod attinet lucem illam tum circa eum tactam, Christo esse duas increatas deitates, duas porro increatas voluntates, tertiam humanitatem. Deinde ubi divinum Maximum audiit dicentem voluntate Creatoris factam esse, non posse unquam volenti eam fieri coæternam, tripliciter et quadrupliciter divisit, et quam partem falsis argumentationibus **484** pervertere poterat sustulit; cæteris omnibus pepercit.

VIII. Hæc eum finem habuerunt. Jam reliquum est ostendere, quid invisibilis deitatis gloriam aperire significet, unde tanquam e radice factum est quondam, ut Eusebius Iconomachorum ille antistes, nunc autem Palamas, similis improbitatis auctor, multis erroribus simplicium hominum aures implicuerit, cum opinione ipse uteretur sane perniciosa et alios similiter ea frui cogeret. Cui enim contorta amentia sententiam cepit, ut Atheniensium arce quondam Pisistratus potitus orationum dux fuit suo jure, is ne minimum quidem de qua-

A καὶ Παλαμᾶς ὄντα διπλοῦν τὸν Χριστὸν κἀκ μόνων δυοῖν φύσεων, θεότητος λέγω καὶ ἀνθρωπότητος, σύνθετον, εἰς τριπλοῦν αὐτὸς αὐτὸν κατὰ τὸ Θαβώριον ἐδογμάτισεν ὄρος μεταπεπλάσθαι· μέσην γὰρ ἄλλην ἄκτιστον παρεμβαλὼν θεότητα, τὸ φῶς ἐκεῖνο, ὑφειμένην ἐκήρυξε [f. 246 a] καὶ αὐτὸς κατὰ Πρόκλον κεκτῆσθαι τὴν τάξιν μεταξὺ τελείου καὶ ἀτελοῦς, καὶ μετέχον καὶ μετεχόμενον εἶναι. Καὶ τό γε εἰθισμένον αὐτῷ πλεονεκτεῖν πανταχῇ τοῖς κακοῖς, προσέθηκε κἀνταῦθα καὶ αὐτὸς ὁκοθεν τῷ ἀκτίστῳ καὶ ἀνουσίῳ τὸ ὁρατὸν, ταῦτα δὴ τὰ ἀξύμβλητα. Καὶ οὐκ αἰδεῖται συκοφαντῶν καὶ μάρτυρα παράγων τὸν σοφώτατον ἐκεῖνον καὶ θεῖον Μάξιμον τοῖς βρεφικοῖς αὐτοῦ ψελλίσμασι καὶ βλασφήμοις παραληρήμασιν. Οὐδὲ γὰρ οὐδ' ἐκεῖνο

B συνῆκεν ἐκείνου λέγοντος αὖθις, ὡς πάντων τῶν ὄντων καὶ μετεχόντων καὶ μεθεκτῶν ἀπειράκις ἀπείρως ὑπερεξήρηται ὁ Θεός. Εἰ γὰρ τὸ μεθεκτὸν ἐκεῖνο φῶς τὴν αὐτὴν τῷ μετέχοντι τάξιν ἔχει, καὶ ἀπειράκις ἀπείρως ὑφεῖται τὸν αὐτὸν τοῖς κτίσμασι τρόπον, ἔσται ἄρα δυοῖν θάτερον· ἢ γὰρ κτίσμα καὶ αὐτὸ κατὰ ταυτὸν τοῖς μετέχουσι ποιήμασιν, ἢ τὰ μετέχοντα πάντα ποιήματα ἔσονται πάντως ἄκτιστα. Ὡς γὰρ τὰ τοῦ αὐτοῦ διπλάσια ἴσα ἀλλήλοις ἀναμφιδόλως ἐστὶ, καὶ αὖ τὰ τοῦ αὐτοῦ γε ἡμίσῃ ἴσα ὁμοίως ἀλλήλοις, ἔπειτ' ἂν πάντως καὶ τὰ τοῦ αὐτοῦ ἀπειράκις ἀπείρως ὑφειμένα ἴσα ἀλλήλοις εἶναι καὶ ὁμότιμα καὶ ὁμοταγῆ κατά γε τὸ ἐκτίσθαι καὶ ὑφεῖσθαι· ὧν γὰρ ἀπειράκις ἀπείρως ὑπερεξήρηται ὁ Θεὸς, ταῦτα πάντ' ἀπειράκις ἀπείρως ὑφεῖται τοῦ Θεοῦ καὶ χώραν ἐπ' ἴσης ἔχει τοῖς κτίσμασι τὴν αὐτήν. Μετὰ γὰρ τῆς αὐτῆς ἐπιστήμης καὶ ὁ μέγας φάσκει Βασίλειος τὰ ἐν τῷ αὐτῷ μέτρῳ παρ' ὁτουοῦν ὑπερεχόμενα ἴσα ἀλλήλοις εἶναι.

C Ζ'. Ἀλλὰ τούτων μὲν ἅλις· ἔχετε γὰρ μαθόντες τὴν αἰτίαν δι' ἣν τὰ ἑξῆς τῆς τοῦ ἁγίου ῥήσεως σεσιγηκὼς ἡμιτελῆ καὶ τὸν ἐκείνου συγκαταλέλοιπε νοῦν. Βουλόμενος γὰρ ἕνα τριπλοῦν κατὰ σύνθεσιν ἐν τῷ Θαβωρίῳ πεποιηκὼς τὸν Χριστὸν συνάναρχόν τε καὶ συναΐδιον ἀποδείξῃ τῇ αὐτοῦ θεότητι καὶ τὸ περὶ αὐτὸν ἐκεῖνο τηνικαῦτα γενόμενον φῶς, ὡς εἶναι τῷ Χριστῷ δύο μὲν ἀκτίστους ἐκεῖθεν θεότητας τοῦ λοιποῦ, δύο δ' ἀκολούθως ἀκτίστους θελήσεις, καὶ τρίτην τὴν ἀνθρωπότητα, ἔπειτ' ἀπαγορεύοντα θεασάμενος τὸν θεῖον Μάξιμον ἐν ταυτῷ, καὶ, « Τὸ θελήσει τοῦ πεποιηκότος γενόμενον, » λέγοντα, « οὐκ ἂν εἴη ποτὲ τῷ θελήσαντι αὐτὸ γενέσθαι συναΐδιον, » τριχῇ καὶ τετραχῇ τεμαχίσας, ὃ μὲν ἐδυνήθη συκοφαντῆσαι καὶ διαστρέ-

D ψαι μέρος, εἰλήφει, ὃ δ' οὔ, τοῦτο οὔ.

Η'. Καὶ τάδε μὲν τοιαύτην ἔσχε τὴν λύσιν· νῦν δὲ δεῖξαι πρόκειται, τί τὸ τὴν τῆς ἀθεάτου θεότητος παρανοῖξαι δόξαν ὡδε δηλοῖ· ἐντεῦθεν καὶ γὰρ ὡς ἐκ ῥίζης τινὸς πάλαι μὲν Εὐσεβίῳ τῷ τῶν Εἰκονομάχων ἐκείνῳ προέδρῳ, νῦν δὲ Παλαμᾷ συνερρύηκε, τῇ ὁμοίας κακίας ἠργμένῳ, μακρᾷ τῆς πλανης τὰς τῶν ἁπλουστέρων ἐμπεπληκέναι ἀκοὰς, αὐτῷ τε παρανοίᾳ χρησαμένῳ μάλα τι ἐλεθρίᾳ, καὶ ἅμα ἑαυτῷ τοὺς ἄλλους ὁμοίως χρῆσθαι βιαζομένῳ· ᾧ γὰρ τὴν γνώμην σκολιά τις παραφροσύνη χειρωσαμένη, καθάπερ τὴν Ἀθηναίων ἀκρόπολιν

πᾶσαι Πειρίστρατος, τῶν λεγομένων αὐτόνομος γί- A quam re discernere potest nec verecundia quadam
νεται πρύτανις, τούτῳ δὴ μηδὲ μικρὰ φροντίζειν linguæ impudentiam coercere neque iis quos frau-
ἔστι μηδαμῇ μηδενὸς, [f. 246 *b*] μήτ' αἰδοῖ τινι da parcere, donec in abyssum quem ipse meruit
τὸ τῆς γλώττης συστέλλειν ἀκόλαστον, μήθ' ὧν secum simul permultos trahat. Homo sanæ mentis
ἐξαπατᾷ φείδεσθαι μηδενὸς, ἄχρις ἂν εἰς τὸν αὐτῷ ratione utitur, non falsis ratiocinationibus se tradit.
προσήκοντα μάλα τι πλείστους ἅμα αὐτῷ συγκα- nec metuendum est, ne captus unquam audito
τορύξῃ κρημνόν. Ὃ δ' ὑγιαίνοντι συμβαίνει κε- quopiam sermone, qualiscunque hominum more
χρῆσθαι τῷ νῷ, οὐκ ἀωρίᾳ δίδωσιν οὐτοσὶ λογισμῶν interdum proferetur, in fide offendat, donec sen-
ἑαυτόν· οὐδὲ δέος ἐξαπατηθέντα ποτὲ δι' ἀκοὴν αὐ- tentiam cum mentis conscientia congruentem
τὸν οἱασδηποτοῦν λέξεως, δι' ὁἱονδήτινα τρόπον ἀν- teneat; nec posse conspici unquam corporeis qui-
θρωποπρεπῶς ἐνίοτε λεχθείσης, ὀλισθαίνειν περὶ dem oculis increatam deitatem, nec variationem
τὴν πίστιν, ἄχρις ἂν ὁμολογοῦσαν ἔχῃ τὴν διάνοιαν **485** aut mutationem ullam subesse. Quod si non
τῷ τῆς ψυχῆς συνειδότι, μήθ' ὁρᾶσθαι δύνασθαι esset, nihil omnino impediret, quominus ad impie-
σωματικοῖς τὴν ἄκτιστον θεότητά ποτ' ὀφθαλμοῖς, tatem propenderet et diu noctuque circumferretur
μήτ' ἀλλοίωσιν μηδὲ τροπὴν ποθ' ὑπομένειν ἠντι- et jactaretur, ut inanis navis æstuantis maris flu-
νοῦν. Εἰ γὰρ μὴ τοῦτ' εἴη, κωλύσει τῶν πάντων οὐ- B ctibus huc illuc jactata et multis ventis agitata et
δὲν πρὸς ἀσέβειαν ἔχειν ἐπιῤῥεπῶς ἀεὶ καὶ νύκ- in perniciem ducta. Etenim, ut ait magnus Basi-
τωρ καὶ μεθ' ἡμέραν κλονεῖσθαι καὶ περιτρέπεσθαι lius, si quis temere ad scripta animum attulerit,
πάντα τινὰ, καθάπερ ἀνερμάτιστον σκάφος ἐφ' ad Græcorum Judæorumque fabulas perveniet et
ὑγρῶν ἀστατούσης θαλάσσης κυμάτων ταλαντευό- egenus digna Dei cognitione senescet. Sed ei, qui
μενον ἐφ' ἑκάτερα καὶ παντοίαις ἀνέμων πνοαῖς duplicem et compositum ex divino et humano
ἀγόμενόν τε καὶ φερόμενον πλημμελῶς. Κατὰ γὰρ compositum Christum intellexit, non magnum
τὸν μέγαν Βασίλειον, εἴ τις ἀδασανίστως προσέχει opus est, grandia deitati tribuere, infima humani-
τοῖς γράμμασι, πρὸς Ἑλληνικούς τε καὶ Ἰουδαϊ- tati. Et si audierit « Caro factum est Verbum, » et
κοὺς ὁμοῦ καὶ γραώδεις μύθους ἐκτραπήσεται, καὶ rursus : « Nonnullæ divini sanguinis guttæ univer-
πτωχὸς παντελῶς τῶν ἀξίων περὶ Θεοῦ νοημάτων sum mundum sanarunt, » non mutationem aut
καταγηράσει. Ἀλλὰ τῷ γε διπλοῦν τε καὶ σύνθετον variationem omnino deitatis esse conjiciet, nec ubi
ἀκριβῶς τὸν Χριστὸν ἐγνωκότι μὲν ἐκ τῶν θείκων Dei Filium audit esse hominem, Deo naturalem
νῦν δ' ἐκ τῶν ἀνθρωπίνων... δηλούσης τὸ συναμφό- fuisse originem intelliget. Quin etiam si de transfi-
τερον, οὐ μέγα ἔργον τὰ μὲν ὑψηλὰ τῇ θεότητι νέ- C guratione audierit, non Iconomachorum dictis
μειν, τὰ δ' ὑφειμένα τῇ ἀνθρωπότητι· καὶ ὅταν decipietur, ita ut mutationem et variationem carnis
ἀκούῃ, « Σὰρξ τε ὁ Λόγος ἐγένετο, » καὶ αὖθις, in increatam deitatem intelligat, aut deitatis trans-
« Ὀλίγαι ῥανίδες αἵματος Θεοῦ κόσμον ὅλον ὑγίά- substantiationem in subjectam et insubstantialem
σαν, » οὐ μεταβολὴν οὐδὲ τροπὴν ὅλως ὑπολήψεται alteram et inessentialem deitatem secundum Pala-
τῆς θεότητος, οὐδ' ὅτε Θεοῦ Υἱὸν ἀκούει τὸν ἄνθρω- mam. Quod si ita est, multo magis ubi gloriam
πον, θεῷ φυσικὴν ἐννοήσει τὴν κάτω γέννησιν. Ναὶ deitatis paulum subapertæ aut subindicatæ audierit,
μὴν οὐδὲ μεταμόρφωσιν ἀκούσας τοῖς τῶν Εἰκονο- **486** ad sententias ineptas et a religione alienissi-
μάχων ὑπαχθήσεται λόγοις, ὥστε μεταβολὴν καὶ mas perducetur, et ab intelligentiæ lumine abhor-
τροπὴν σαρκὸς εἰς ἄκτιστον ἐννενοηκέναι θεότητα rentes, ita ut vehementer mihi mirari liceat, quo
ἢ θεότητος μετουσίωσιν εἰς ὑφειμένην καὶ ἀνυπό- tandem modo Palamas statim ad tales blasphemias
στατον ἄλλην καὶ ἀνούσιον θεότητα κατὰ τὸν Παλα- pervenerit. Non enim dici pro certo potest, nec
μᾶν. Εἰ δὲ τοῦθ' οὕτω, πολλῷ μᾶλλον οὐδ' ὅτε δόξαν quod ad subindicatam nec quod ad subapertam
ἀκούσῃ θεότητος μικρὸν παρανοιχθείσης ἢ παρα- deitatem pertinet, deitatis intelligentiæ lucem illam
δεικνυείσης, πρὸς ἀτόπους ἐννοίας καὶ μάλα τῇ εὐ- factam esse. Relicta enim præpositione *sub* et reli-
σεβείᾳ ἀπᾴδούσας ἐξενεχθήσεται, μηδαμῇ μηδὲ τῷ D ctis « subindicavit » et « subaperuit » et quæ sunt
τῆς ἐπιστήμης φωτὶ ἁρμοττούσας. Ὥστε καὶ σφό- similia, haberet et ipse et Iconomachorum turba, e si
δρα θαυμάζειν ἔμοιγε περίεστι, πῶς καὶ πόθεν ὁ non justam, at saltem haberet speciem hujusmodi
Παλαμᾶς εἰς τοιαύτας εὐθὺς ἐκτετόπισται βλασφη- hæreseos. Nunc vero nulla superest causa; locu-
μίας. Οὐ γὰρ ἔχει λέγειν ὡς παραστατικὸν οὔτε τὸ tionum enim rationem secuti divini Ecclesiæ Patres
παραδειχθῆναι οὔτε τὸ μικρῶς πως ἀνοιγῆναι θεό- ad ejusmodi venerationis insolentissimas sententias
τητα τοῦ θεότητος νοεῖν ἐκεῖνο τέως γεγενῆσθαι τὸ et ipsi inclinant et nos adhortantur. Dicunt enim
φῶς. Λειπούσης μὲν γὰρ τῆς *παρὰ* προθέσεως καὶ sapientiæ et scientiæ inventores, præter alia, etiam
τοῦ, « Μικρῶς πως ἔδειξε, » καὶ τοῦ, « Μικρὸν brevem ejusmodi vocabulorum venerationem esse,
παρήνοιξε, » καὶ τῶν ὁμοίων, εἶχεν ἄν πως αὐτός verbi gratia, illud *fere* aut *fortasse*, et quæcunque
τε καὶ τὸ τῶν Εἰκονομάχων σμῆνος, εἰ καὶ μὴ δι- adjectiones variæ et diversæ sermonibus adhiben-
καίως, ἀλλ' οὖν εἶχέ τινα πρόφασιν ἴσως τῆς τοι- tur. Breves quidem adjectiones orationis sunt, sed
αύτης αὐτῶν αἱρέσεως· νῦν δ' οὐδεμία οἱ λείπεται graviorem et insolentiorem sententiam valde miti-
πρόφασις. Καὶ γὰρ τῇ διδασκαλίᾳ τῆς τῶν λέξεων gant, quemadmodum medici ægris medicamenta
ἐπιστήμης οἱ θεῖοι τῆς Ἐκκλησίας Πατέρες ἐπό- administrant Et pleni ejusmodi vocabulorum sacri

libri, pleni Attici, **487** pleni quicunque omni tempore et loco confecti sunt. Illud enim : « Hodiernum tempus, Athenienses, pene loquitur voce alta, » Demosthenis est, et idem : « Quasi amarum nuntium respuere, » Platonis, et illud « Pæne dixerim, » et quæ sunt similia, fortiorem sententiam quodammodo coarctant, ita ut neque hic loquens animal putaretur esse tempus, neque illic marinam amaritudinem olere oratio. Atque ut remotiora relinquamus et ad inchoatam viam redeamus, eamdem divini Patres sententiam et doctrinam tenuerunt et in festo illo omnino caverunt, ne aperte et plane dicerent oculis humanis increatam cerni deitatem. Nec quisquam sive sapiens sive insipiens ostenderit unquam, vel scriptum vel librum aut sacrum aut profanum, aut prudenter conscriptum aut stulte, tanta impletum impietate usque ad hoc tempus. Quomodo enim, cum animam nostram sciant invisibilem esse et angelicam naturam et quidquid in corpore non corpus est. Si enim, divinus ait Chrysostomus, sancti Spiritus divini participes facti, ut vir desideriorum videns angelum præsentem, non ipsam essentiam (nullo enim modo licet incorpoream essentiam videre), sed concretam virtutem, pene ipsam animam amisit, et talis tantusque vir amens fere jacuit, quis est, etsi **488** admodum insipiens, qui blasphemare ausit? Non igitur aperte et inoculte talia omnino aut cogitare aut proferre divini Patres et Ecclesiæ magistri solebant. Quod autem a Deo factum ad rationem quamdam locuti sunt, coercendo illud quodammodo et brevi cuidam adjectioni serviendo inusitatum protulerunt, ita ut absolutæ notionis et significationis mente nostra remota, hac brevi præpositionis *sub* adjectione infinitis quibusdam finibus circumscripserint. Ut vero aliis argumentis orationem distinguamus, poeta ille statim mihi in promptu est, qui dicit : Signa sepulcri tui ostendisti olim visiones multiplicando. Aut potius illa, quæ Gregorius Theologus de Pascha disseruit : Quando, inquit, novum illud bibet in regno Patris, ubi aperiet et docebit, quæ nunc imperfecta indicavit.

A μενοι, θεραπείας [f. 247 *a*] τοιαύτας τοῖς οὕτω τόλμης ἔχουσι διανοήμασιν αὐτοί τε ἐπιφέρουσι καὶ ἡμᾶς παραινοῦσι. Φασὶ γὰρ καὶ οἱ τῆς Ἑλλάδος σοφίας καὶ ἐπιστήμης ἐφευρεταὶ τά τε ἄλλα καὶ θεραπείαν εἶναι τῶν τοιούτων βραχεῖαν προσθήκην· τὸ γὰρ οἷον καὶ μονονουχὶ καὶ ἴσως καὶ τὸ τῶν προθέσεων πολύσημον καὶ διάφορον τοῖς λόγοις προσλαμβανόμενον βραχεῖα μὲν ἔστι προσθήκη τοῖς λόγοις, ἀλλὰ πάνυ τι σφόδρα τὸ τῆς ἐννοίας ἀκόλαστον καὶ φλεγμαῖνον λεαίνει, καθάπερ τὰ πρὸς τῶν Ἀσκληπιαδῶν τοῖς νοσοῦσιν ἐπαγόμενα φάρμακα· καὶ μεσταὶ μὲν ἱεραὶ τῶν τοιούτων βίβλοι, μεσταὶ δ' Ἀττικαὶ, μεστοὶ δ' ὁπόσοι διὰ γλώττης ἐν παντὶ καιρῷ καὶ τόπῳ τοῖς ἀνθρώποις ἀνύονται δίαυλοι. Τὸ μὲν γὰρ « Ὁ παρὼν καιρὸς, ὦ Ἀθηναῖοι, μονονουχὶ λέγει φωνὴν ἀφιείς, » Δημοσθένους ὄν, καὶ αὖ τὸ, « Οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι, » Πλάτωνος, καὶ τὸ, « Μικροῦ δέω λέγειν, » καὶ ὅσα τοιαῦτα, συστέλλει πως τὸ αὔθαδες τῆς ἐννοίας, ὡς μήτ' ἐκεῖ λαλητικὸν ζῶον οἴεσθαι τὸν καιρὸν, μήτ' ἐνταῦθα θαλαττίας ἅλμης ἀντικρυς ἀπόζειν τὸν λόγον. Καὶ ἵνα τὰν μέσῳ παρέντες εἰς τὸν προκείμενον ἀνέλθωμεν δρόμον, τῆς αὐτῆς καὶ οἱ θεῖοι Πατέρες ἐχόμενοι γνώμης καὶ ἐπιστήμης, κἀπὶ τῆσδε τῆς ἑορτῆς, τοῦ μὲν γυμνῶς τε καὶ ἀπαρακαλύπτως εἰπεῖν ὀφθαλμοῖς ἀνθρωπίνοις τὴν ἀκτιστον ὁρᾶσθαι θεότητα παντάπασιν ἀπέσχοντο· καὶ οὐκ ἄν τις δείξειέ ποτε, κἂν σωφρονοῖη, κἂν μαίνοιτο, οὔτε γραφὴν οὔτε βίβλον, οὔθ' ἱερὰν οὔθ' ἑλληνίζουσαν, οὔτε σωφρονοῦσαν οὔτε μαινομένην, τοσαύτης ἀσεβείας μετεσχηκυῖαν ἄχρι καὶ ἐς δεῦρο. Πῶς γὰρ, οἱ καὶ ψυχὴν ἡμῖν ἡμετέραν ἀθέατον ἴσασιν οὖσαν καὶ φύσιν ἀγγελικὴν, καὶ ὃ μὴ σῶμα, μηδ' ἐν σώματι πᾶν; Εἰ γὰρ οἱ ἅγιοι, φησὶν ὁ θεῖος Χρυσόστομος, καὶ Πνεύματος ἁγίου ἠξιωμένοι, ὥσπερ καὶ ὁ ἀνὴρ τῶν ἐπιθυμιῶν θεασάμενος ἀγγέλου παρουσίαν, οὐκ αὐτὴν τὴν οὐσίαν (πῶς γὰρ οἷόν τε ἀσώματον οὐσίαν ἰδεῖν;), ἀλλὰ μετασχηματισθεῖσαν τὴν ἐνέργειαν, μικροῦ δεῖν καὶ αὐτὴν τὴν ψυχὴν ἀφῆκε, καὶ ὁ τοσοῦτος καὶ τηλικοῦτος ἀνὴρ ἄπνους σχεδὸν ἔκειτο, τίς ἄν, κἂν σφόδρα μεμηνὼς ᾖ, καταδέξαιτο τὸ βλάσφημον; Τὸ μὲν δὴ οὖν ἀπαρακαλύπτως καὶ γυμνῶς τοιαῦτα λέγειν καὶ νοεῖν

B

C

IX. Videsne, quomodo præpositio *sub* absolutam veritatis notionem removet, adumbratam autem et non absolutam introducit? Et rursus testimonii quoque arca renovatur magna cum magnificentia, quam Deus indicavit et Moses exstruxit et Beseliel perfectam reliquit, typico modo, minime ad veritatem. « Vide enim, inquit, ut facias cuncta **489**

D

οἱ θεῖοι Πατέρες καὶ διδάσκαλοι τῆς εὐσεβείας ἥκιστα παντάπασιν ἔσχον· ὃ δὲ κατ' οἰκονομίαν τινὰ παρὰ Θεοῦ γεγονὸς λέγειν προήχθησαν, κολάζοντές πως κἀκεῖνο καὶ βραχείᾳ τινὶ θεραπεύοντες προσθήκῃ τὸ ἐπίφθονον ἀπήγγειλαν, ὡς κἀνταῦθα τῆς γε δήπου τελείας ἐμφανείας καὶ δείξεως τὸν ἡμῶν ἀπάγοντες νοῦν βραχείᾳ ταύτῃ, τῇ τῆς *παρὰ* προθέσεως δηλαδὴ, προσθήκῃ τῆς ἐς τὰ ἀδύνατα συνέστειλαν ὁρμῆς οὕτωσί πως τὸ αὔθαδες. Ἵνα δὲ καὶ [f. 247 *b*] ὑποδείγματι ἑτέροις τὸν λόγον διαλευκάνωμεν, ὁ μελῳδὸς ἐκεῖνος αὐτίκα παρίτω μοι, « Σύμβολα, » φάσκων, « τῆς ταφῆς σου παρέδειξας πάλαι τὰς ὁράσεις πληθύνας. » Μᾶλλον δ' ἐκεῖνα παρίτω ἃ Γρηγορίῳ τῷ Θεολόγῳ περὶ τοῦ Πάσχα πεφιλοσόφηται· « Ὅταν αὐτὸ, » φησὶ, « πίνῃ καινὸν μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς, ἀποκαλύπτων καὶ διδάσκων, ἃ νῦν μετρίως παρέδειξεν. »

Θ. Ὁρᾷς πῶς ἡ *παρὰ* πρόθεσις παραχρούεται μὲν τὴν τελείαν τῆς ἀληθείας ἔνδειξιν, ἀντεισάγει δὲ τὴν σκιώδη καὶ ἀτελῆ; Καὶ πάλιν ἐγκαινίζεται δὲ καὶ ἡ σκηνὴ τοῦ μαρτυρίου καὶ λίαν πολυτελῶς, ἣν Θεὸς παρέδειξε καὶ Μωσῆς ἐπήξατο καὶ Βεσελεὴλ ἐτελείωσε, τυπικῶς δηλαδὴ καὶ ἥκιστά πω κατ' οὐσίαν· « Ὅρα, » γάρ φησι· « ποιήσεις πάντα κατὰ

τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. » Καὶ ἄγγελοι δέ, φησὶν ὁ θεῖος Χρυσόστομος, παρ' ἀνθρώποις φανέντες τὸ τῆς οἰκείας φύσεως ἀπαστράπτον φῶς παρήνοιξαν· ἡ γὰρ *παρὰ* πρόθεσις κολαστικόν τινα δείκνυσι τρόπον ἐν τούτοις τε καὶ τοῖς ὁμοίοις τούτοις, οἱονεὶ διὰ παραπετάσματος τὴν ἀλήθειαν κρυπτομένην συμβολικῶς ὑπεμφαίνουσα. Διὸ καὶ παραδειχθεῖσαν ἢ παραναιχθεῖσαν ἀκούοντες θεότητα οὐκ αὐτὴν ἀμέσως νοοῦμεν δειχθεῖσαν τὴν ἄκτιστον οὐσίαν· ἀλλὰ διὰ τῆς *παρὰ* μᾶλλον προθέσεως ῥᾷστα παρακρουόμεθα τὴν τοιαύτην ὑπόνοιαν καὶ τὸ ἄτοπον ἐντεῦθεν συστέλλομεν τοῦ τολμήματος, συγκαταβάσεως εἶναι ταῦτα καὶ οὐκ αὐτῆς δηλωτικὰ τῆς οὐσίας· καθὰ καὶ ὁ θεῖος Χρυσόστομος ἑρμηνεύων τὸ, « Ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. » συγκατέβη, φησὶ, καὶ οὐ τοῦτο ὅπερ ἦν ἐφάνη· ἐπειδὴ γάρ, φησὶν, ἔμελλεν αὐτοῦ ὁ Υἱὸς διὰ σαρκὸς φανήσεσθαι ἡμῖν, ἀνωθεν αὐτοὺς προεγύμναζεν ὁρᾶν τοῦ Θεοῦ τὴν οὐσίαν ὡς αὐτοῖς δυνατόν. Καὶ πάλιν, « Σάρκα, » φησὶ, « περιεβάλετο ὁ Θεὸς, ἵνα μὴ γυμνῇ τῇ θεότητι προσβαλὼν πάντας ἀπολέσῃ, μηδενὸς δυναμένου τὴν ἀπρόσιτον ἐκείνου τοῦ φωτὸς προσβολὴν ἐνεγκεῖν. »

A ad imaginem tibi in monte demonstratam. » Et angeli, ait divinus Chrysostomus, coram hominibus apparebant, splendentem propriæ naturæ lucem recluserunt; nam præpositio *sub* circumscriptam quamdam efficit dicendi rationem in his et aliis ejusmodi locutionibus, quasi per volucrum occultam veritatem symbolice prolatura. Ideo cum submonstratam et subapertam deitatem audiamus, non ipsam immediate monstratam cogitamus increatam essentiam, sed per præpositionem *sub* facile mitigamus talem sententiam et insolentiæ incommodum coercemus. Ad leniendum talia sunt, non ad ipsam sententiam explicandam. Quemadmodum divinus Chrysostomus interpretaturus illud : « Equidem visiones multiplicavi, et prophetarum manibus assimilatus sum; descendit et non id quod erat apparui. » Cum enim, inquit, Filius ejus per carnem nobis appareret, cœlitus hominum oculos aperuit, ut essentiam Dei qualem poterant viderent. Et rursus : Carnem, inquit, induit Deus, ne nuda deitate explicata omnes deperderet, quoniam nemo inaccessibilis illius luminis radies ferre potest.

B

Γ. Τὰ δ' αὐτὰ καὶ ὁ θεῖος διέξεισι Μάξιμος, « Οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ τὸν Θεὸν, » λέγων, « γινώσκομεν, ἀλλ' ἐκ τῆς μεγαλουργίας τῶν ὄντων· διὰ γὰρ τούτων ὡς δι' ἐσόπτρων τὴν ἄπειρον ἀγαθότητα καὶ σοφίαν καὶ δύναμιν αὐτοῦ κατανοοῦμεν. » Ὁρᾷς πῶς ἀνάγκη πειστέον ἡμῖν ἐστιν, ὡς δι' ἐσόπτρου τοῦ προσλήμματος συγκαταβάσει χρησάμενον τὸν Θεάνθρωπον Λόγον [f. 248 a] κἀπὶ τοῦ ὄρους ἐκείνου παραδειχθῆναι μὲν, οὐ δειχθῆναι δὲ, καὶ παραγυμνῶσαι μὲν, οὐ γυμνῶσαι δὲ τὴν τῆς ἀκτίστου θεότητος οὐσίαν αὐτοῦ, οὐδ' ἑτέραν τῆς οὐσίας αὐτοῦ Θεότητα ἀνυπόστατόν τε καὶ ὁρατὴν καὶ ἄκτιστον καὶ ὑφειμένην ἐκεῖ πεπραχέναι κατὰ τὴν τῶν ἀσεβούντων παρανομίαν· ἀνθρωπίνης γὰρ μορφῆς ἀλλοίωσις ἡ μεταμόρφωσις ἦν, καὶ οὐ μετουσίωσις τῆς ἀναλλοιώτου θεότητος· καθὰ καὶ ὁ μελῳδὸς διέξεισι θεῖος Κοσμᾶς, « Τὴν ἀνθρωπίνην, » λέγων, « ἀμαυρωθεῖσαν ἐλάμπρυνας πάλαι φύσιν, καὶ ἀλλοιώσει τῆς μορφῆς σου ἐθεούργησας. » Εἰ δ' οὖν προσεκτέον τί περὶ τούτου καὶ ὁ θεῖος διέξεισι Χρυσορρήμων, « Πορευθῶμεν, » φησὶν, « ἐπὶ τὸ ὄρος τῷ λόγῳ, ἔνθα μετεμορφώθη Χριστός. Ἴδωμεν αὐτὸν λάμποντα ὥσπερ ἔλαμψε. Καίτοι οὐδ' οὕτω πᾶσιν ἡμῖν ἔδειξε τὴν τοῦ μέλλοντος αἰῶνος λαμπρότητα. Ὅτι γὰρ συγκατάβασις ἦν τὸ φαινόμενον, ἀλλ' οὐκ ἐπίδειξις τοῦ πράγματος ἀκριβὴς, ἀπ' αὐτῶν δῆλον τῶν τοῦ Εὐαγγελίου ῥημάτων. Τί γὰρ, φησὶν, ἔλαμψεν ὡς ὁ ἥλιος, Ἡ δὲ τῶν ἀφθάρτων σωμάτων δόξα οὐ τοσοῦτον ἀφίησι τὸ φῶς ὅσον τοῦτο τὸ σῶμα τὸ φθαρτὸν, οὐδὲ τοιοῦτον οἷον καὶ θνητοῖς ὄμμασι γενέσθαι χωρητὸν, ἀλλ' ἀφθάρτων καὶ ἀθανάτων δεόμενον ὀφθαλμῶν πρὸς τὴν θέαν αὐτοῦ. » Ἀκούεις; Οὐ γὰρ ἄφθαρτον ἔλαβεν ἐκ Παρθένου σῶμα (τοῦτο γὰρ τῆς Μαρκίωνός ἐστι λέγειν αἱρέσεως), οὐδ' ἄκτιστον αὐτὸ πεποίηκέ τε

X. Idem divinus Maximus disserit : « Non ex essentia Deum cognoscimus, sed ex rerum creatarum magnificentia, quibus quasi per speculum infinitam bonitatem et sapientiam et potentiam ejus animadvertimus. » **490** Vides ut concedendum est quasi speculo adjectionis mitigatione usum divino-humanum Verbum in monte illo submonstratum quidem esse, non autem monstratum, et subaperuisse, non aperuisse increatæ deitatis essentiam et non alteram essentiæ suæ deitatem insubstantialem et visibilem et increatam et subjectam effecisse secundum impiorum opinionem. Humanæ enim formæ variatio fuit transfiguratio, et non permutatio immutabilis deitatis, ut poeta dicit divinus Cosmas : « Humanam occultam olim naturam illuminasti, et variatione formæ tuæ Deum ostendisti. » Si adjiciendum est aliquid de hac re, divinus Chrysostomus disserit : « Proficiscamur, inquit, in oratione nostra ad montem, ubi transfiguratus est Christus. Videamus eum lucentem sicut lucebat. Attamen non ita omnem nobis futuri temporis gloriam ostendit. Nam mitigationem esse id quod apparuit, non accuratam rei patefactionem, ex ipsis Evangelii verbis apparet. Quid enim, inquit, lucebat ut sol? Incorruptibilium corporum gloria non tantam emittit lucem, quantam hoc corpus corruptibile nec qualem humanis oculis licet fieri, sed incorruptibilibus et immortalibus oculis opus est ad ejus contemplationem. » Audisne? Non enim incorruptibile corpus e Virgine habuit. Hæc **491** est Marcionis hæreseos opinio. Nec increatum illud reddidit et creavit divinum Verbum. Hoc est Iconomachorum hæreseos. Sed immutabilis natura, ut divinus ait poeta, cum mortali mista æqualis incorporeæ deitatis lucem

C

D

aperuit, apostolis mirifice splendebat, et rursus opertos divini luminis radios detegebat. Vides, quomodo omnes ubique piæ Ecclesiæ doctores circumscriptam et non absolutam notionem per præpositionem *sub* proferunt. Igitur si omnes Palamicæ gentis discipuli convenerint, ostendunto, ubinam Scripturæ inveniatur quisquam omnium sanctorum dicens increatam aliam et inessentialem et subjectam olim apparuisse deitatem. Nimirum sine magna opera ostendere forte poterunt, nec in subjectum nec in superjectum dispertiri unam illam increatam et individuam essentiam et deitatem. Quocirca divinus Maximus symbolum et effigiem esse lucem illam et δραματούργημα dicit. « Puto enim, inquit, omnino duas theologiæ rationes occulto quodam modo inducendi transfigurationes illius in monte divina δραματουργήματα : unam principem et simplicem et causalem, alteram illi, secundam et compositam et magnifica distinctione ex causatis **492** describentem. » Et rursus : « Videamus, num non optime et sapientissime utramque illam rationem habeat divinæ Domini transfigurationis symbolum. Necesse enim erat propter incredibilem in homines amorem inter nos creatum fieri effigiem et symbolum et sese ex se symbolice ostendere et ad sese omnino occultum per apparentem adducere cunctam naturam. » Et rursus : « Cum neque accessibile creaturæ increatum factum est, nec comprehensibile finitis infinitum. » Et rursus : « Summum faciei splendorem, radiis fulgentem et tanquam omnem oculorum vim exsuperantem deitatis supra mentem et sensum et essentiam et cognitionem elatæ ejus symbolum esse docebant. Candidas vestes symbolice significare verba sacræ Scripturæ, quæ tum dilucide et perspicua et evidentia iis fiebant, et sine ænigmatis implicatione et symbolica adumbratione intelligebantur, et quæ verbum quod inter eos versabatur occultum aperiebant, ubi perfectam et rectam de Deo cognitionem persequebantur. » Et rursus : « Dixi igitur supra, splendore in monte de Domini facie quasi luminis facto beatos apostolos ad omnibus creaturis incomprehensibilem Dei potentiam et gloriam inexplicabili et non intelligibili modo adducebantur, cum **493** impenetrabilis obscuritatis symbolum esse lucem supra sensum apparentem intelligerent. » Videsne, quomodo ille invisibilis increatæ divinæ essentiæ divino-humani Verbi effigiem et symbolum nec increatam alteram insubstantialem deitatem dicit lucem tum in Thabor super eum apparentem, et subpatefactionem, non patefactionem ? Non enim posse cerni ab creatis increatum neque infinitum ab finitis. Dilucidius etiam hoc explicat magnus Ecclesiæ lumen Cyrillus : « Factam enim cogitamus Domini transfigurationem, inquit, non abjecta corporis humani forma, sed claritate quasi luminis circumdata, integri corporis, quod formam attinet. Vultus ejus lucis colore imbutus est. » Si igitur

A καὶ ἔκτισεν ὁ θεῖος Λόγος (τοῦτο γὰρ τῆς τῶν Εἰκονομάχων ὑπάρχει λέγειν αἱρέσεως) · ἀλλ' ἡ ἀναλλοίωτος φύσις, ὡς ὁ θεῖος αὖθίς φησι μελῳδὸς, τῇ βροτείᾳ μιχθεῖσα, τῆς ἐμφεροῦς ἀΰλου θεότητος φῶς παραγυμνοῦσα τοῖς ἀποστόλοις ἀπορρήτως ἐξέλαμψε, καὶ πάλιν ἀμυδροὺς θεϊκῆς αὐγῆς παρεγύμνου χαρακτῆρας. Ὁρᾷς πῶς πανταχῇ πάντες οἱ τῆς εὐσεβοῦς Ἐκκλησίας διδάσκαλοι τὴν ἀμυδρὰν καὶ οὐ μάλα ἄμεσον διὰ τῆς *παρὰ* προθέσεως ἐμφαίνουσι · δήλωσιν. Εἰ δ' οὖν, παρελθόντες ὁμοῦ πάντες οἱ τῆς Παλαμικῆς θιασῶται φατρίας δεικνύτωσαν ποῦ τῆς Γραφῆς εὑρίσκεται λέγων τις τῶν ἁπάντων ἁγίων ἄκτιστον ἄλλην ἀνούσιον καὶ ὑφειμένην φανῆναι τότε θεότητα. Ἀλλ' οὐδὲ παλλὰ μογήσαντες δεῖξαί ποτ' ἂν δυνηθεῖεν οὔτ' ἐς τὸ ὑφειB μένον οὔτ' εἰς τὸ ὑπερκείμενον μεριζομένην τὴν [f. 248 *b*] μόνην ἐκείνην ἄκτιστον καὶ ἀμέριστον οὐσίαν τε καὶ θεότητα. Ὅ γε μὴν θεῖος Μάξιμος καὶ σύμβολον καὶ τύπον εἶναι τὸ φῶς ἐκεῖνο καὶ δραματούργημα λέγει · « Οἶμαι, » γάρ φησι, « τοὺς καθόλου δύο τῆς θεολογίας τρόπους μυστικῶς ὑφηγεῖσθαι τὰ ἐπὶ τοῦ ὄρους κατὰ τὴν μεταμόρφωσιν θεοπρεπῆ δραματουργήματα, τόν τε προηγούμενόν φημι καὶ ἁπλοῦν καὶ ἀναίτιον, καὶ τὸν ἐπόμενον τούτῳ καὶ σύνθετον καὶ διὰ καταφάσεως μεγαλοπρεπῶς ἐκ τῶν αἰτιατῶν ὑπογράφοντα. » Καὶ πάλιν · « Σκοπήσωμεν δὲ εἰ μὴ καλῶς ἑκατέρᾳ τῶν εἰρημένων τρόπων κατὰ τὴν θείαν ἐκείνην τοῦ Κυρίου μεταμόρφωσιν καὶ σοφῶς ἐνυπάρχει τὸ C σύμβολον · ἔδει γὰρ αὐτὸν, καθ' ἡμᾶς ἀτρέπτως κτισθῆναι δι' ἄμετρον φιλανθρωπίαν καταδεξάμενον, ἑαυτοῦ γενέσθαι τύπον καὶ σύμβολον, καὶ παραδεῖξαι ἐξ ἑαυτοῦ συμβολικῶς ἑαυτὸν, καὶ δι' αὐτοῦ φαινομένου πρὸς ἑαυτὸν ἀφανῶς πάντη κρυπτόμενον χειραγωγῆσαι τὴν ἅπασαν κτίσιν. » Καὶ πάλιν, « Ἐπεὶ μηδὲ χωρεῖσθαι τῇ κτίσει τὸ ἄκτιστον πέφυκε, μηδὲ περινοεῖσθαι τοῖς πεπερασμένοις τὸ ἄπειρον. » Καὶ πάλιν, « Τὴν μὲν ἀκτινοφανῶς ἐκλάμπουσαν τοῦ προσώπου πανόλβιον αἴγλην, ὡς πᾶσαν ὀφθαλμῶν νικῶσαν ἐνέργειαν, τῆς ὑπὲρ νοῦν καὶ αἴσθησιν καὶ οὐσίαν καὶ γνῶσιν θεότητος αὐτοῦ σύμβολον εἶναι ἐδιδάσκοντο · τὰ δὲ λευκανθέντα D ἱμάτια τῶν ῥημάτων τῆς ἁγίας Γραφῆς φέρειν σύμβολον ὡς τηνικαῦτα λαμπρῶν καὶ τρανῶν καὶ σαφῶν αὐτοῖς γενομένων, καὶ παντὸς γριφώδους αἰνίγματος καὶ συμβολικοῦ σκιάσματος χωρὶς νοουμένων, καὶ τὸν ἐν αὐτοῖς ὄντα τε καὶ καλυπτόμενον παραδηλούντων λόγον, ὁπηνίκα τὴν τελείαν καὶ ὀρθὴν περὶ Θεοῦ γνῶσιν ἔλαβον. » Καὶ πάλιν, « Εἴρηται τοίνυν ἀνωτέρω ὅτι διὰ μὲν τῆς γενομένης ἐπὶ τοῦ ὄρους τοῦ προσώπου τοῦ Κυρίου φωτοειδοῦς λαμπρότητος πρὸς τὴν πᾶσι καθόλου τοῖς οὖσιν ἄληπτον τοῦ Θεοῦ μυστικῶς οἱ τρισμακάριοι ἀπόστολοι κατὰ τὸ ἄῤῥητόν τε καὶ ἄγνωστον ἐχειραγωγοῦντο δύναμίν τε καὶ δόξαν, τῆς ἀφανοῦς κρυφιότητος τὸ φανὲν αὐτοῖς ὑπὲρ τὴν αἴσθησιν φῶς σύμβολον εἶναι μανθάνοντες. » Ὁρᾷς πῶς καὶ οὗτος τῆς μὴ φαινομένης ἀκτίστου θείας οὐσίας τοῦ θεανθρώπου Λόγου τύπον καὶ σύμβολον, καὶ οὐκ

ἄκτιστον ἄλλην ἀνυπόστατον φάσκει θεότητα, τὸ A
τηνικαῦτα φαινόμενον φῶς ἐν Θαβὼρ ἐπ' αὐτοῦ,
καὶ παράδειξιν, οὐ δεῖξιν; Μηδὲ γὰρ εἶναι δυνατὸν
ὁραθῆναι τοῖς κτίσμασι τὸ ἄκτιστον μηδὲ τοῖς
πεπερασμένοις τὸ ἄπειρον λέγει. Δηλοῖ δ' ἐναργέστε-
ρον ἔτι καὶ ὁ μέγας τῆς Ἐκκλησίας τοῦτο φωστὴρ
Κύριλλος· « Πεπρᾶχθαι γάρ φαμεν τὴν τοῦ Κυ-
ρίου, » λέγει, « μεταμόρφωσιν, οὐ δήπου τὸ σχῆμα
τὸ ἀνθρώπινον ἀποβαλόντος τοῦ σώματος, ἀλλὰ
θέσεώς τινος φωτοειδοῦς περιστελλούσης αὐτό· μεί-
ναντος γὰρ τοῦ σώματος ἐπὶ τοῦ σχήματος, ἐπὶ τὸ
ἐνδοξότερον οἱ χαρακτῆρες διὰ φωτοειδοῦς χρώμα-
τος διεχρώννυντο. » [f. 249 a] Εἰ οὖν κατὰ τὰς τῶν
ἁγίων γραφὰς τύπος καὶ σύμβολον ἀκτίστου θεό-
τητος ἦν κἀκεῖνο τὸ φῶς, ἕτερον ἐκείνης ἦν καὶ
οὐκ ἐκείνη, οὐδ' ἄκτιστος θεότης εἶτουν οὐσία. Ὡς B
γὰρ τὸ ἕτερον παρὰ τὴν δύναμιν κατὰ τὸν Νυσ-
σαέα Γρηγόριον δύναμις οὐκ ἔστιν, οὕτω καὶ τὸ
ἕτερον παρὰ τὴν μόνην ἄκτιστον οὐσίαν θεότης
ἄκτιστος οὐκ ἔστιν· εἰ γὰρ ἄλλη, καὶ ἄκτιστος καὶ
ἀνούσιος καὶ ἀνυπόστατος. Ἀνύπαρκτος ἄρα, καὶ
τὸ σέβας ἀθεΐα σαφής. Οὕτως ἐκ μὲν πολυθεΐας
Παλαμικῆς εἰς ἀθεΐαν Παλαμικὴν ἡ ἀνούσιος αὕτη
καὶ ἀνυπόστατος νέα τοῦ Παλαμᾶ θεότης εἰς τὸ τοῦ
Παλαμᾶ βάραθρον τοὺς ἁπλουστέρους ἐφέλκεται.
Καὶ ἵνα τελεωτέραν ἔτι τὴν περὶ τοῦ φωτὸς ἐκείνου
διδασκαλίαν ἐπιγνῷς, ἀκούετε τοῦ Χρυσορρήμονος
αὖθις Ἰωάννου. Ἐν γὰρ τῷ κατὰ τὴν τοῦ Σωτῆρος
ἀνάληψιν λόγῳ τάδε διέξεισι· « Θαῦμα, » φησὶ,
« τοῖς ἀποστόλοις καὶ ἔκστασις καὶ θροῦς ἐγένετο. C
Θνητοὶ γὰρ τὴν φύσιν ὄντες, καὶ ἀσυνήθεις τοιού-
των θεωριῶν, ἐξέστησαν τῇ διανοίᾳ. Ἀλλ' ἐρεῖ τις
ὅτι προῳδόντες ἦσαν καὶ τὴν μεταμόρφωσιν ὅ τε
Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης. Προεῖδον μὲν
ἐκεῖ μεταμορφωθέντα τὸν Κύριον καὶ νεφέλην
σκιάσασαν αὐτόν· ἀλλ' οὐκ εἶδον τὴν νεφέλην εἰς ἀέρα ἁρπασθεῖσαν καὶ εἰς οὐρανοὺς τὸν Δεσπότην
ἀναλαμβάνουσαν. Θαῦμα ἐκεῖνο, θαῦμα καὶ τοῦτο· ἀλλὰ θαῦμα θαύματος φοβερώτερον, τοῦτο ἐκείνου
ὑψηλότερον, κἂν ἑνὸς Θεοῦ ἡ δύναμις καὶ τὸ μυστήριον ὑπῆρχε. Τότε Μωσῆς καὶ Ἠλίας ὤφθησαν τοῖς
περὶ τὸν Πέτρον μετ' αὐτοῦ συλλαλοῦντες· νῦν δὲ θρόνος Χερουβικὸς, τουτέστιν ἀόρατος δύναμις τῇ
νεφέλῃ καλυπτομένη, ἀθρόον ἐπιστᾶσα τὸν δεσπότην τοῖς δούλοις ὁμιλοῦντα ἁφῆρπασε. Τότε Πέτρος
μετὰ παῤῥησίας ἀπεκρίνατο, « Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· ποιήσωμεν τρεῖς σκηνάς, σοὶ μίαν,
καὶ Μωσεῖ μίαν καὶ μίαν Ἠλίᾳ. » Νυνὶ δ' οὐδὲ φθέγξασθαί τις ἐδυνήθη τῶν μαθητῶν, οὐδὲ τὸ
στόμα διανοῖξαι, ἀλλὰ φόβῳ μεγίστῳ καταπλαγέντες ἐξέστησαν. »

ΙΑ'. Ἐνταῦθα καὶ εἰ βασκανίᾳ κάτοχός τις εἴη, XI. Hic etsi quis invidiæ sit addictus aut plenus
καὶ εἰ μακρᾶς εὐηθείας μεστὸς, πάντας ἂν μοι D nimiæ simplicitatis, omnes tamen sententiam eam
δοκεῖ τῆς γνώμης ἐμοὶ κοινωνεῖν, μεταθεμένους mecum communicaturos puto, ita ut sublata teme-
τὸ ἄγνωμόν τε καὶ δύσερι πρός γε τὸ μήτε πλείονος ritate et litigio non amplius opus sit majore et
μήτε μείζονος μήτ' ἐναργεστέρας δεῖσθαι μαρτυ- manifestiore argumento, quo inter Christi mira-
ρίας, ὅτι τῶν τοῦ Χριστοῦ [f. 249 b] θαυμάτων ἓν cula numeranda esse etiam lux illa in Thabor de-
καὶ τὸ ἐν Θαβωρίῳ δειχθῆναι φῶς. Ὅμως δυοῖν ἐν- monstretur. Attamen cum duo magna ibi Christi
ταυθοῖ διειλημμένων μεγάλων τοῦ Χριστοῦ θαυμά- miracula monstrata essent, aut duabus necesse erat
των, ἢ καὶ δυοῖν ἐχρῆν Παλαμᾷ τὴν λατρευτικὴν veneratione vindicari Palamæ increatis deitatibus,
ἀπονέμειν προσκύνησιν ὡς ἀκτίστοις θεότησιν, ἵνα ita ut major et manifestior pravitatis ejus vindi-
μεῖζον καὶ φανερώτερον ᾖ τὸ νεμόμενον τῆς αὐτοῦ catio esset, aut alteri majori et superiori. Quod
κακίας, ἢ θατέρῳ, τῷ μείζονι δηλαδὴ καὶ ὑψηλο- si nemo unquam conatus est in animum in-
τέρῳ. Εἰ δὲ τοῦτο μηδεὶς μηδαμῇ πω τετόλμηκεν ducere, quippe nutritus religione et præditus sana
οὐδ' εἰς νοῦν εἰληφέναι τρόφιμος εὐσεβείας καὶ ἅμα bonæ erudionis scientia, num æquum est Iconoma-
παιδείας εὐσχήμονος ἔχων ἡλικιῶτιν διάνοιαν, ποῦ chis illis et novæ huic Palamæ genti mentem adver-
δίκαιον τοῖς τε Εἰκονομάχοις ἐκείνοις καὶ ἅμα τῇ tere, qui et omnia impune audent pessima loqui

494 in atheismum Palamicum
495 nunc ne loqui quidem ullus poterat discipulorum, neque os aperire, sed metu maximo perculsi erant.

et omnium maximæ divinam venerationem illi in Thabor miraculi luci vindicare, et inessentialem habere deitatem illam subjectam et insubstantiabilem. Me quidem in hac re videbit hostem et omni sermone et cunctis libris, etiamsi **496** ubicunque non placuerit, tacentem vero non ubi placuerit. Idem sane barbaricæ opinionis plenus esse debebit et Græco atheismo multo inferiora tenere, cui quæcunque per lucem fiunt miracula venerari omnia in animo sit. Nam ne corpus quidem est increata illa Salvatoris essentia, ita ut pars appareat, pars non appareat. Quid enim? indivisa enim est potentia et unum, atque omni omnino numero superius. Quæ nec divisione ulla duplicitatem genuit nec numero ullo divisa est, sed unum natura et semper unitas, mansit semper monadica et constans et invisibilis. Dicit etiam divinus Chrysostomus: Si ipsam vidissent prophetæ Dei naturam, non varie contemplati essent. Simplex enim quædam est ea et insubstantiata et incomposita et inexplicabilis et semper eadem mansit, sed ostendit invisibilis divini regni gloriam. Ergo illud detegendi non majorem vim habet, quam ostendendi. Obscuræ enim rei explicationem affert; ostendere autem est locutio etiam in apparentibus rebus plane necessaria, quemadmodum si quis margaritis in capsa inclusis capsam solummodo ostendit, non detegit id quod quæritur, ut etiam magnus Chrysostomus dicit: Non ascendit Jesus navem, miraculum majus effecturus et simul deitatem illis manifestius probaturus.

ξητούμενον· ὡς καὶ ὁ μέγας διδάσκει Χρυσόστομος, θαῦμα μεῖζον ἐργάσασθαι βουλόμενος καὶ ἅμα τὴν

XII. **497** Scitu dignum est, quomodo duorum miraculorum ibidem tractatorum, alterius ostendentis, alterius detegentis deitatem, illud inferius, hoc detegens superius. Quod inferius, huic Palamas venerationem vindicat, quod superius, eidem ne minimum quidem. Ridiculum est inferius habere summæ potentiæ honorem, superius ne inferioris quidem et quod sibi stare minime potest, id utrique tribuere, quod maxime, id alteri neutiquam et quod in stateris non par est potentia, huic momentum omnino æquale, quod vero multo majorem momenti gravitatem habet, id illo multo inferius putare. Si quidem simplicitatis illud est, quæ omnem simplicitatem superavit, quod tantum abest, ut cum patefactione in unum redeat, ut ne accedat quidem, huic increatæ deitatis honorem vindicare. Quomodo enim unquam quid potest rerum sensibili forma apparentium et sensui subjectarum deitas increata esse. Cum ne angelorum quidem incorporeorum natura in humanos oculos cadere possit, ut infra supraque demonstratum est, et cuique humanæ menti disci potest. Explicabit denuo magnus præceptor nobis Chrysostomus non modo lucem illam non fuisse deitatem **498** increatam et inessentialem, sed ne incorpoream quidem. Dicit ille ita fere: « Si corporaliorem Salvator hanc

νέᾳ ταύτῃ τοῦ Παλαμᾶ φάλαγγι προσέχειν τὸν νοῦν ὁπωσοῦν; οἷς πάντα μὲν ἀδεῶς τολμᾶται λέγειν τὰ χείριστα, πάντων δ' οὖν μάλιστα θεϊκὴν ἀπονέμειν λατρείαν τῷ τοῦ ἐν Θαβωρίῳ θαύματος· φωτὶ, καὶ ἀνούσιον αὐτὸ νομίζειν θεότητα ὑφειμένην καὶ ἀνυπόστατον. Ἐμὲ μὲν γὰρ ἐνταυθοῖ Παλαμᾶς εὑρήσει πολέμιον, καὶ γλώττῃ πάσῃ καὶ βίβλοις ὅλαις ἀεὶ, κἂν μὴ βούληται, σιγῶντα δ' οὖν οὐδ' ἐὰν βούληται. Ἡ πολλοῦ μέντ' ἂν δεήσειε βαρβαρικῆς ἀπονοίας εἶναι μεστῷ, πολλοῦ δ' ἂν πολυθεΐας ἔχειν τὸ ἧττον Ἑλληνικῆς, ὅτῳ ἂν πάνθ' ὅσα διὰ φώτων γίνεται θαύματα λατρεύειν εἴη διὰ φροντίδος. Οὐδὲ γὰρ οὐδὲ σῶμά τί ἐστιν ἡ ἄκτιστος ἐκείνη τοῦ Σωτῆρος οὐσία, ἵνα μέρος μὲν παραφανῇ, μέρος δ' οὔ· πῶς γὰρ, ἀμερὴς οὖσα δύναμις καὶ κυρίως ἓν, ἀριθμοῦ παντὸς παντάπασιν ὑπέρτερον; Οὔτε γὰρ ἐκείνη μερισμῷ τινι δυάδα γεγέννηκεν, οὔτ' ἀριθμὸς οὐδεὶς ἐμέρισεν αὐτήν· ἀλλ' ἓν οὖσα φύσει καὶ μονὰς ἀεὶ, μεμένηκεν ἀεὶ μοναδική τε καὶ ἄτρεπτος καὶ ἀόρατος. Φησὶ γὰρ καὶ ὁ θεῖος Χρυσόστομος ὡς εἰ αὐτὴν ἑώρων οἱ προφῆται τὴν φύσιν τοῦ Θεοῦ, οὐκ ἂν διαφόρως ἐθεῶντο· ἁπλῆ γάρ τις ἐκείνη καὶ ἀσχημάτιστος καὶ ἀσύνθετος καὶ ἀπερίγραπτος καὶ ἀεὶ ὡσαύτως ἔχουσα. Ἀλλ' ἔδειξε, φησὶ, τῆς ἀθεάτου θεϊκῆς αὐτοῦ βασιλείας τὴν δόξαν. Εἶτα οὐ τὸ ἐκκαλύψαι μεῖζω τὴν δύναμιν ἔχει τοῦ δεῖξαι· κεκαλυμμένου γάρ τινος δηλοῖ φανέρωσιν πράγματος· τὸ δὲ δεῖξαι λέξις ἐστὶ κἂν τοῖς φαινομένοις χρειώδης ἁπλῶς, ὥσπερ ἂν εἰ ἐν βαλαντίῳ κεκλυπτομένων μαργάρων μόνον δεικνύοι τις τὸ βαλάντιον· οὗτος γὰρ ἔδειξε μὲν, οὐκ ἐξεκάλυψε δὲ τὸ λέγων ὅτι οὐκ ἐνέβη ὁ Ἰησοῦς εἰς τὸ πλοῖον, τὸ θεότητα αὐτοῖς ἐκκαλύψαι τρανότερον.

ΙΒ'. Ἐπιστῆσαι δ' ἄξιον πῶς δύο θαυμάτων ἐνταῦθα διειλημμένων, καὶ τοῦ μὲν παράδειξιν δηλοῦντος θεότητος τοῦ δ' ἐκκάλυψιν, καὶ τῆς μὲν εἰληχυίας τὸ ἧττον τῆς δ' ἐκκαλύψεως τὸ μεῖζον, ἡ μὲν τὸ ἧττον ἔχειν ἔλαχε, ταύτῃ Παλαμᾶς λατρευτικὴν νέμει προσκύνησιν, ἡ δὲ τὸ μεῖζον ἔλαχε, ταύτῃ δ' οὖν οὐδ' ἠντινοῦν. Γελοῖον [f. 250 a] γὰρ ἂν εἴη τὸ μὲν ἔλαττον κατὰ δύναμιν μεγίστην καρποῦσθαι τιμὴν, τὸ δ' ὑπέρτερον μηδὲ τὴν τοῦ ἥττονος· καὶ ὃ μὲν ἑαυτῷ ἥκιστ' ἔχει, τοῦθ' ἑτέροις ἐπαρκεῖν, ὃ δὲ μάλιστ' ἑαυτῷ, τοῦθ' ἑτέροις μηδαμῇ· καὶ ᾧ μὲν μηδ' ἰσορροπεῖν ταῖς τῆς ἰσότητος πλάστιγξ. δύναμις εἴη, τούτῳ πάσης ὁλοσχερῶς συγχωρεῖν τῆς ὁλκῆς, ὃ δὲ πλείω τὴν τῆς ῥοπῆς ἐμβρίθειαν ἔχει πολλῷ, τοῦτο δ' ἐκείνου κουφότερον ἡγεῖσθαι πολλῷ. Εἰ δ' εὐηθείας ταυτὶ, ἢ που πᾶσαν ὑπερήλασεν εὐήθειαν, ὃ τῇ ἐκκαλύψει μὴ συγχωρεῖται μηδ' ἐγγὺς ἐλθεῖν, τούτῳ δὲ καὶ τὴν τῆς ἀκτίστου θεότητος προσνέμειν τιμήν. Πῶς γὰρ ἄν ποτέ τι τῶν ἐν αἰσθητῷ φαινομένων εἶδει καὶ ὑποβαλλομένων αἰσθήσει θεότης ἄκτιστος εἴη; Ὅπου μηδὲ τὴν τῶν ἀσωμάτων ἀγγέλων φύσιν ἀνθρωπίνοις ὑποπεσεῖν δυνατὸν ὀφθαλμοῖς, ὡς ἄνω καὶ κάτω δέδεικταί τε καὶ αὐτοδίδακτόν ἐστιν ἀνθρωπίνῃ συνέσει πάσῃ. Δηλώσει δ' οὖν καὶ ὁ μέγας αὖθις διδάσκαλος ἡμῖν Χρυσορρήμων, μὴ μόνον ὅτι μὴ ἦν

ἐκεῖνο τὸ φῶς θεότης ἄκτιστός τε καὶ ἀνούσιος, ἀλλ' οὐδ' ἀσώματον· φησὶ γὰρ ὑμνῶν οὕτωσί πως οὗτος αὐτό· « Εἰ καὶ σωματικώτερον ὁ Σωτὴρ τοῦτ' ἐδείκνυ τὸ φῶς, ἀλλ' οὖν πολλὴν ἐπιθυμίαν τὸ πρᾶγμα εἶχε. » Καὶ πάλιν, « Εἰ δ' ἀμυδράν τινα τῶν μελλόντων ὁ Πέτρος ἰδὼν εἰκόνα, *Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι*, ἔφη, τί ἄν τις εἶπῃ ὅταν αὐτὴ τῶν πραγμάτων ἡ ἀλήθεια παραγένηται; » Καὶ πάλιν, « Ἐθεασάμεθα, » φησὶ, « τὴν δόξαν αὐτοῦ, οὐκ ἂν θεασάμενοι εἰ μὴ διὰ τοῦ συντρόφου σώματος ἡμῖν ὤφθη. » Καὶ πάλιν, « Ἂν θέλωμεν, καὶ ἡμεῖς ὀψόμεθα τὸν Χριστὸν, οὐχ οὕτως ὡς οἱ ἀπόστολοι τότε, ἀλλὰ πολλῷ λαμπρότερον· οὐ γὰρ οὕτως ὕστερον ἥξει. »

ostendit lucem, non magnum desiderium res nabebat. » Et rursus : Si obscuram futurorum imaginem videns Petrus : Bonum, inquit, nos hic esse, quid quisquam dixerit, si rerum veritas facta esset? » Et rursus : « Vidimus gloriam ejus, sed non nisi per adjunctum corpus nobis apparentem ; » et rursus : « Si volemus, et ipsi videbimus Christum, non ut apostoli olim, sed multo luculentius. Non enim sic postea veniet. »

ΙΓ'. Εἰ οὖν λαμπρὸν μὲν ὁ Χριστὸς ἐνταῦθα τὸ φῶς ἐκεῖνο δέδειχε, λαμπρότερον δ' οὖν ἐς τὸ μέλλον τοῖς ἁγίοις δείξει ἀνδράσι, πιστευτέον ἀνάγκη τῷ Χρυσορρήμονι σωματικώτερον εἶναι τὸ φῶς ἐκεῖνο σαφῶς παραινοῦντι, καὶ ἀληθείας ἀμυδρὰν εἰκόνα καὶ οὐκ αὐτὴν τὴν ἀλήθειαν. Εἰ δ' οὖν, ἀνάγκη λοιπὸν καὶ τὴν νῦν ὀφειμένην καὶ ἀνούσιον ταύτην τοῦ Παλαμᾶ θεότητα πρὸς τὸ λαμπρότερόν τε καὶ ὑπερκείμενον ἀπαλλάξαι, καὶ γενέσθαι τὸ μὲν ἄκτιστον ἀκτιστότερον, τὸ δ' ἀνούσιον ἀνουσιώτερον, καὶ ἅμα τὸ ὁρατὸν ὁρατώτερον, εἰ χρὴ καὶ τοιαῦθ' ὅλως ἐνθυμεῖσθαι γοῦν ἢ καὶ γλώττῃ προφέρειν· σκεπτέον δὲ ὅμως τί ἂν εἴη τουτὶ ὃ φανταζόμενος μὲν ἀγνοεῖ, ἀγνοῶν δὲ βλασφημεῖ, βλασφημῶν δ' ἀπατᾷ τοὺς πολλούς· πολλῷ γὰρ ἡμῖν πρεπωδέστερον τοιαῦτ' ἐρευνᾷν ἢ Σωκράτην ἐκεῖνον τὸν Σωφρονίσκου, ὅστις εἴη σοφὸς Ἀθηναίοις μᾶλλον αὐτοῦ ζητοῦντα, περιιέναι δικαστὰς καὶ ῥήτορας καὶ ποιητὰς τραγῳδιῶν καὶ διθυράμβων καὶ πρὸς τούτοις χειροτέχνας παντοδαποὺς, ὡς ἐνταῦθα ἐπ' αὐτοφώρῳ καταληψόμενον τὴν ἀλήθειαν. Φασὶ τοίνυν, οἷς λόγῳ καὶ ἔργῳ μεθοδικὴν ἐμπειρίαν ἀσκήσεως ἑαυτοῖς δεδωκέναι συμπέπτωκεν, ὡς ἀρχὴ πλάνης νοῦ κενοδοξία, ἐξ ἧς κινούμενος ὁ νοῦς ἐν σχήμασι καὶ μορφαῖς περιγράφει τὸ θεῖον· καὶ πάλιν, « Μακάριος ὁ νοῦς ὃς κατὰ [1. 250 *b*.] τὸν καιρὸν τῆς προσευχῆς τελείαν ἀμορφίαν ἐκτήσατο. » Καὶ πάλιν, « Μὴ ζήτει παντελῶς μορφήν τινα ἢ σχῆμα ἢ χρῶμα δέχεσθαι ἐν τῷ τῆς προσευχῆς καιρῷ. » Καὶ πάλιν, « Μὴ πόθει ἀγγέλους ἰδεῖν ἢ δυνάμεις ἢ Χριστὸν αἰσθητῶς, ἵνα μὴ τέλεον φρενήρης γένῃ, λύκον ἀντὶ ποιμένος δεχόμενος καὶ προσκυνῶν τοῖς αἰσχροῖς δαίμοσιν. Ὅ τι γὰρ πᾶν τὸ ἐν σχήματι φαινόμενον τῷ νῷ εἴτε ὡς φῶς εἴτε ὡς πῦρ ἐκ τῆς τοῦ ἐχθροῦ κακοτεχνίας γίνεται, ὁ θεσπέσιος Παῦλος σαφῶς διδάσκει, εἰς ἄγγελον φωτὸς αὐτὸν λέγων μετασχηματίζεσθαι. Οὐ δεῖ οὖν ἐπὶ ταύτῃ τῇ ἐλπίδι τινὰ τὸν ἀσκητικὸν μετιέναι βίον, ἵνα μὴ ὁ Σατανᾶς ἑτοίμην εὕρῃ τὴν ψυχὴν ἐντεῦθεν εἰς ἁρπαγήν. » Καὶ τί δεῖ πλείους ἐνταῦθ' ἀνελίττειν βίβλους ἁγίων ἀνδρῶν, ὁπόσοι σύν γε σοφίᾳ καὶ νόμοις ἀσκήσεως τὸν ἑαυτῶν ἐκεκοσμήκεσαν βίον, οἷς συνέσεως μέτεστιν ἅπασιν, ἐξὸν ἀρκεῖσθαι μόνοις τούτοις οἳ θεραπεύται τῆς ἐνεστώσης χρείας ἡμῖν ἐν τῷ παρόντι προβέβληνται; Ὅτι μὲν γὰρ αἱ φαινόμεναι τοῖς ἁγίοις ἐνίοτε μορφώσεις καὶ οἱ σχηματισμοὶ δι' ἀγγέλων τελοῦνται Θεοῦ, πάνυ γέ τι ἱκανῶς ἀποδεδεῖχθαι οἶμαι· μηδὲ γὰρ εἶναι δυνατὸν ἀμέσως γενέσθαι τῷ ποτὲ θεότητος ἐπιφάνειαν καθ' αὐτήν.

XIII. Si igitur splendidam in monte lucem illam Christus ostendit, splendidiorem in futuro sanctis viris ostendet, credendum necessario est Chrysostomo, corporaliorem esse lucem illam aperte admonenti et obscuram veritatis imaginem, non ipsam autem veritatem. Si hæc ita sunt, necessario etiam consequitur subjectam et inessentialem hanc Palamæ deitatem in splendidiorem et superjectam permutari et ex increato fieri increatius, ex inessentiali inessentialius, et ex visibili visibilius, si opus est talia omnino dijudicare aut verbis explicare. Attamen videndum porro est, cur qui fingit sibi aliquid, nescit; qui nescit, illudit ; qui illudit, multos decipit. Multo enim magis **499** nos decet talia exquirere quam de Socrate illo Sophronisci filio, quis fuerit Atheniensium eo sapientior, quærentem discurrere ad judices et rhetores et poetas tragicos dithyrambicosque et præterea ad varias artes, ut inde veritas manifeste deprehendatur. Dicunt ii qui verbis et factis rationalem vitæ viam inierunt, initium erroris esse mentis arrogantiam, qua animus perducitur ad divinum formis et figuris circumscribendum. Et rursus : « Beatus animus, qui orationis tempore ab omni forma se abstrahit. » Et rursus : « Ne quære omnino formam quamdam aut figuram, aut corpus recipere in orationis tempore. » Et rursus : « Ne desideres angelos videre, aut potestates, aut Christum sensibiliter, ut ne plane amens fias, lupo pro pastore recepto, et veneratione turpibus dæmonibus tradita. » Nam quidquid sub forma menti apparet sive ut lucem sive ut ignem fieri diaboli malignitate, divinus Paulus sapienter docet de angelo lucis, quem transfiguratum dicit. Non igitur opus est huic spei asceticam quamdam vitam superstruere, ne Satanas paratam prædam deprehendat animam. Atque quid necesse est ibidem libros sanctorum virorum evolvere, qui sapientia et legibus **500** asceticis vitam eorum exornarunt, quibus in omnibus prudentia inest, cum sufficiant, qui præsenti necessitati serviunt? Nam formationes et visiones quæ sanctis interdum apparebant, per angelos factas esse, satis demonstratum puto. Non enim potest immediate unquam deitas ipsa apparere.

# ΤΟΥ ΑΥΤΟΥ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ

## ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛΟΓΟΣ ΛϚ'.

# EJUSDEM NICEPHORI GREGORÆ

## BYZANTINÆ HISTORIÆ LIBER XXXVI.

**501** I. Incipiens historiam proposueram mihi, ut rerum publicarum enarrationem et explicationem posteris traderem; sed quemadmodum sævus ventus e septentrionalibus delapsus regionibus antequam animadvertamus et ei resistere conemur repente prorupit, et animi consuetam tranquillitatem turbat, divinæ Ecclesiæ tempestates et fluctus afferens. Idcirco cum semel cœpissem describere, quæcunque qualiaque ex Ecclesiæ fundamento naufragia acciderant, necesse erat etiam et qui et quomodo et quantopere et quo studio in tempestatum illarum fluctibus perseverassent, hujus historiæ seriei et inter se conjungere, quæ causæ fuissent, ut docebitur, præmittere. Eorum quæ inter sese connexa sunt, nec unquam a communi connexu abrumpi possunt, variam et **502** multiplicem historiam pro simplici et nuda effecimus. Nam præter opinionem et inde ab initio propositum in rebus et publicis et ecclesiasticis accidit nobis quasi medio in itinere, ut multas excursiones et repetitiones sermonum instituere et interserere et subsidia permulta plerumque et admonitiones et varias ambages adhibere cogeremur modo ex longinquo, modo ex propinquo. Igitur cum ad talem necessitatem pervenimus, discernendum est in rebus diversimode exponendis. Etenim quæ ab hominibus et animo et corpore utentibus tractantur cum et natura et legibus et moribus dirigantur, necesse est diversas fieri vitas, propter diversitatem tractantium et tractandorum, eorum, quæ dirigunt et quæ diriguntur, ut dictum est : et verso ordine, quæ per longa, quæ per breviora temporis spatia, quæ modicam vilitatem nacta sunt, quæ ad majorem quam illa redacta sunt; quæ per se, quæ non per se; modo sub temere, modo prudenter gerentibus, quæ denique non eadem nusquam, ne dicam diversa et implicata et plane dissimillima. Quod igitur cum fecimus, non inèptum quoddam facere neque ipsi putavimus neque **503** aliis visi sumus nec si postea faciemus, inane quoddam faciemus nec facere

A [Cod. Reg. 3075] [f. 251 *a*] Α'. Ἐμοὶ δ' ἀρχομένῳ τῆς ἱστορίας τὸ σκοπιμώτατον ἦν τὴν τῶν δημοσίων πραγμάτων τοῖς ἔπειτ' ἀνθρώποις γράφοντι παραπέμπειν διήγησίν τε καὶ δήλωσιν· ἀλλ' ὥσπερ τις ἄγριος ἄνεμος ἐξ ἀρκτῴων καταῤῥαγεὶς πηγῶν, πρὶν ἡμᾶς αἰσθέσθαι καὶ πρὶν παρεσκευάσθαι πρὸς τὴν ἀπάντησιν, ἐξαίφνης συνεκύκησέ τε καὶ συνετάραξε τῆς ἡμετέρας καὶ συνήθους ἐκείνης γαλήνης τοὔδαφος, τοὺς κατὰ τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἐπενεγκὼν χειμῶνας καὶ κλύδωνας. Κἀπειδήπερ διὰ τάδ' ἀναγκαῖον ἅπαξ προελομένῳ διεξιέναι πάνθ' ὅσαπερ ἂν καὶ οἷά γε εἴη τὰ τέως παρεκπεσόντα τῆς ἐκκλησιαστικῆς ὑποθέσεως ναυάγια, καὶ οἵτινες εἶεν καὶ ὅπως καὶ μέχρι πόσου καὶ μεθ' οἵας τῆς προθυμίας τοῖς τῶν χειμώνων ἐκείνων ἐνεκαρτέρησαν κύμασι συνείρειν καὶ συνυφαίνειν τῷ τῆς ἱστορίας σώματι ταυτησὶ, καὶ συνάπτειν ἑκατέροις ἑκάτερα ἅτε συναίτια γινόμενα ἀλλήλοις, ὡς δειχθήσεται προϊοῦσιν ἡμῖν, καὶ ὑφ' ἑαυτῶν ἀλλήλοις συμπλεκόμενα, καὶ οὐδαμῇ τῆς πρὸς ἄλληλα συμφυΐας τε καὶ ἀλληλουχίας διασπασθῆναι δυνάμενα, πολυειδῆ καὶ διπλῆν ἀνθ' ἁπλῆς καὶ μονοειδοῦς εἰάθομεν δρῶντες τὴν ἱστορίαν δημοσίων πραγμάτων καὶ ἅμα ἐκκλησιαστικῶν, παρὰ πᾶσάν τε προσδοκίαν καὶ παρὰ πᾶσαν τὴν ἐξ ἀρχῆς ἡμῶν πρόθεσιν συμβὰν οὐτωσί πως ἐν μέσῃ φάναι πορείᾳ, ὡς ἀναγκάζεσθαι ἡμᾶς συνεχεῖς τὰς ἐκδρομάς τε καὶ ἀνελίξεις καὶ ἐπαναλήψεις τῶν λόγων ποιεῖσθαι καὶ ἐφαρμόττειν καὶ συντιθέναι, καὶ παραπομπὰς παμπόλλας πολλαχῇ ποιεῖσθαι καὶ ἀναμνήσεις καὶ περιόδους πολυτρόπους, νῦν μὲν διὰ μακροῦ τοῦ μεταξὺ, νῦν δ' ἐκ τοῦ σύνεγγυς. Ἀνεμέσητον οὖν εἶναι χρεὼν τὸ καθ' ἡμᾶς εἰς τοῦτ' ἀνάγκης συνελαθέντας τῇ τῶν ἐξ ἀνάγκης ἄλλοτ' ἄλλως ἐχόντων πραγμάτων φορᾷ. Ὑπὸ γὰρ δυοῖν ἐναντίοιν, ψυχαῖς δηλαδὴ καὶ σώμασι, χρωμένων ἀνθρώπων αὐτὰ διοικούμενα, πῶς μὲν ὑπὸ φύσεως καὶ αὐτὰ, πῶς δ' ὑπὸ νόμων καὶ ἐθῶν ῥυθμιζόμενα, [f. 251 *b*] ἀνάγκη διαφόρους γίνεσθαι τοὺς βίους διαφόρων ὄντων τῶν τε διοικούντων καὶ διοικουμένων, τῶν τε ῥυθμιζόντων καὶ ῥυθμιζομένων, ὡς εἴρηται, καὶ ἐξαλλάττεσθαι

πῶς μὲν διὰ μακρῶν, πῶς δὲ διὰ συχνῶν τῶν μεταξὺ χρονικῶν περιόδων, καὶ πῶς μὲν μετριωτέραν καρπουμένων φαυλότητα, πῶς δ' εἰς μείζω τὴν ἀμετρίαν ἐκφερομένων ἢ κατ' ἐκεῖνα, καὶ πῶς μὲν ὑπὸ τῶν αὐτῶν, πῶς δ' οὐχ ὑπὸ τῶν αὐτῶν, νῦν μὲν τὰ αὐτὰ διὰ βίου πλημμελούντων ἢ σωφρονούντων, πῶς δ' οὐδαμῇ τὰ αὐτὰ ὅτι μὴ διάφορα καὶ πολυειδῆ καὶ πολυτροπώτατα. Ὁ γοῦν πολλάκις ἡμεῖς δεδρακότες οὐ τῶν ἀτόπων οὐδὲν οὐδαμῇ ποτε δρᾷν οὔτ' ἐνομίσαμεν, οὔτ' ἐνομίσθημεν, τοῦτ' αὐτὸ καὶ νῦν τε καὶ ἔπειτα δρῶντες, φλαῦρον οὐδὲν οὔτε δρῴημεν ἄν ποτε, οὔτε δρᾷν ποτε νομισθείημεν ἄν. Ἡ πολλὴ μέντ' ἂν εἴη νέμεσις πολλὴν πανταχόθεν ἡμῖν τὴν χλεύην ἐπισωρεύουσα, τῷ μεγίστῳ μέρει ζημιοῦν αἱρουμένοις διὰ ῥᾳστώνην τοὺς ὅσοι τὸ πρὸς Θεὸν ἀκήρατον ἔτι σέβας τηροῦντες ἔχουσι λίαν ἐρωτικῶς τῆς ἐς τὰ δόγματα χρείας τε καὶ ζητήσεως. Ἢ που σχετλιώτερον μέχρι θανάτου τοῖς ἐντεῦθεν ἐνηθληκόσι δεινοῖς ἡμᾶς ὑπὲρ εὐσεβείας περιβλέπτοις πράξεσιν ἰδίᾳ τε καὶ δημοσίᾳ, ἔπειτα ῥᾳστώνης δοῦναι γαστρὶ, αἰωπῶντας καὶ ὥσπερ ἀωρίαν κατεγνωκότας, ὅσα πάσης ὥρας πέφυκε καὶ πάσης ἄξια σκουδῆς. Δι' ἃ δὴ καὶ ἐπανιτέον ὅθεν ἡμῖν πρὸ βραχέος ὁ λόγος καὶ ὅπῃ τὸν δρόμον ἀνεπεπαύκει.

A putabimur. Magnum profecto supplicium esset et multam nobis ignominiam maximam partem accumulaturum, si libidine ducti eos illudendos aggrederemur, qui sincera in Deum veneratione conservata, magno cum amore desiderium dogmatum et studium tenent. Certe nihil miserius ad mortem usque, quam tristibus nos ac pervulgatis ob religionem fortunis implicatos privatim et publice cum facilitate servire corpori et tanquam intempestiva habere, quæ omni tempore facta sunt et digna omni studio. Jam vero redeundum est, unde paulo antea oratio de via deflexit.

Β'. Τοῦ γὰρ χειμῶνος ἐκείνου πάνυ σκληροῦ γενομένου διὰ τὸ πάνυ τι πλείστην καὶ ἐπὶ πλεῖστον καταῤῥαγεῖσαν χιόνα πᾶσαν σχεδὸν ἑαυτῆς οἰκίαν ἐμπλῆσαι, ἐπὶ πλέον ὁ βασιλεὺς τῇ Τενέδῳ ἐνδιατέτριφε, τά τε ἄλλα διοικῶν, καὶ πάντων μάλιστα τὴν εἰς τὸ ἔπειτα τοῦ βασιλέως γυναικαδέλφου Ματθαίου φυλακὴν ἐν φροντίδι μεγίστῃ ποιούμενος. Ἔδοξεν οὖν ἀπενεχθέντα εἰς Μιτυλήνην ἐκεῖ παρὰ Καταλούζῳ φυλάττεσθαι τῷ Λατίνῳ, ὃς ἐπ' ἀδελφῇ γαμβρὸς ὑπάρχων τῷ βασιλεῖ πάσης ἐπετρόπευε Λέσβου τῆς νήσου. Οὗ γενομένου ἀπῆει μὲν καὶ ἐς Φώκαιαν αὖθις διὰ τὸν τοῦ Ὑρκανοῦ παῖδα ὁ βασιλεὺς, ἐπανῆκε δ' οὐδὲν ὧν ἐβούλετο πεπραχώς. Καὶ ὁ χειμὼν ἐν τούτοις [f. 252 a] ἐτελεύτα. Ἐπανελθυθότος δ' ἐς Βυζάντιον αὖθις τοῦ βασιλέως ἐκεῖθεν, ἦρος ἤδη ἀρχομένου, κατῆει καὶ ὁ βάρβαρος Ὑρκανὸς ἐκ τῶν ὑψηλοτέρων τῆς Βιθυνίας μερῶν ἄχρι τῶν παραλίων τῆς Χαλκηδονίας ἠπείρου, καὶ ὠμίλησεν ἐκεῖθεν τῷ βασιλεῖ, καὶ ἀκοινολογήσατο περὶ τοῦ υἱέως αὖθις, οὐκ αὐτοπροσώπως ἀλλὰ δι' ἀκατίων καὶ πρέσβεων ἀπὸ βραχέος πάνυ τοῦ διαστήματος, ἐγγυτέρω γενομένου τοῦ βασιλέως διὰ ῥᾳστώνην τῆς χρείας, καὶ μετὰ τῶν οἰκείων ἐπάνω τοῦ πύργου τὴν σκηνὴν πηξαμένου, ὃς ἐν μέσῳ τῆς μεταξὺ θαλάττης ἐκ παλαιοῦ πεπηγὼς Ἄρκλα καλεῖται πρὸς Βυζαντίων. Ὅσα μὲν οὖν καὶ οἷα ἦν ἅπερ σφίσιν εἴρηταί τε καὶ ἐπήγγελται τηνικαῦτα διὰ τῶν μεταξὺ πρέσβεων, ἡμέρας ἀνηλωκόσιν ἐνταῦθα τρεῖς, καὶ οἷας πρὸς ἀλλήλους τάς τε δεξιώσεις καὶ φιλοφροσύνας πεποίηνται, οὐκ ἀναγκαῖον διεξιέναι καθ' ἕκαστα· τὸ δ' οὖν τῆς ἐνταῦθ' ὁμιλίας συμπέρασμα ἦν, ὅτι δεδώκασιν ἀλλήλοις ἐγγύας ἐπὶ θυγατρὶ γενέσθαι γαμβρὸν τῷ βασιλεῖ τὸν ἐλευθερωθησόμενον τοῦ Ὑρκανοῦ παῖδα, καὶ ἅμα εἶναι διηνεκεῖς καὶ ἀλύτους σπονδὰς μεταξὺ Ῥωμαίων τε καὶ Βαρβάρων. Κἀπὶ τούτοις χρήματα εἰληφὼς ὁ βασιλεὺς οὐκ ὀλίγα πρός τε τοῦ Ὑρκανοῦ καὶ ἅμα πρὸς Βυζαντίων, ἔρανον πεπραχότων κοινῇ, πλήρεσιν ἱστίοις ἄρας κατέπλευσεν αὖθις ἐς Φώκαιαν. Καὶ χρήματα δοὺς τῷ Καλοθέτῳ μέχρι τῶν ἑκατὸν χιλιάδων ἔγγιστα, καὶ ἅμα ἀξιωμάτων τοῦτον κοσμήσας λαμπρότησιν, ὀψὲ καὶ μόλις

Β II. Hieme illa aspera cum multæ et plerumque continuæ nives hominum domicilia obruerent, majorem temporis partem imp. Tenedi degebat, et alia procurans et omnium maxime futuro tempore soceri imp. Matthæi custodiam in maxima cura collocans. Visum est igitur Mitylenam abductum a Cataluzo Latino custodiri, qui per sororem socer imp. toti **504** præerat insulæ Lesbo. Quæ cum facta essent, in Phocæam ob Hyrcani filium imp. rediit, nec quidquam eorum quæ volebat assequi potuit. Et hiems his rebus finita. Inde Byzantium cum imp. redisset, primo jam vere, Hyrcanus barbarus ex altis Bithyniæ regionibus usque ad Chalcedonicam oram profectus est, et ibidem cum imp. collocutus consilium de filio communicavit, non C ipse quidem, sed per scaphas et legatos, cum breve tantum spatium imp. abesset propter rei levitatem. Et cum suis supra arcem domicilium collocavit, quæ mari circumdata et antiquo tempore firma Arcla a Byzantiis nominabatur. Quæ qualiaque fuerint, quæ ab illis dicta sunt nuntiataque per legatos tribus diebus, quales honores et benevolentiæ documenta sibi invicem contulerint, non opus est pluribus referre. Finis autem colloquii erat, postquam pignora sibi invicem dederunt propter filiam ut socer imp. futurus esset Hyrcani filius in libertatem restitutus, et perpetua atque inalterata fœdera inter Romanos et Barbaros essent. Præterea nummis acceptis non paucis ab Hyrcano et Byzantiis, qui cœnam publice celebrarant, imp. D plenis velis in urbem Phocæam renavigavit et opibus Calotheto fere mille centum datis **505** et dignitatum honoribus in eo collocatis, sero vix quæsitum Hyrcani filium recepit. Lætus Byzantium profectus est. Et tum temporis annus in summa æstate erat, qua circa horrea et fructuum curam necessita cogit laboribus operam dare, quibus negotium agricultura est. Romanorum igitur rebus ubique lætioribus factis cum imp. usque ad Byzantium navibus pergeret, una triremis regia princeps e imp. et Hyrcani filium dimisit. Cæteræ triremes

præternavigantes cum carminum admodum lætissimorum cantu, quippe quæ pacem ab barbaro duce nuntiatam, non amplius in spe dormientem viderent, sed in lucem prolatam publicam tranquillitatem incredibili Dei providentia. Quas igitur gratias et honores in epulis et quantam magnificentiam in vestibus continuo mutandis Hyrcani filio tribuerit, generum eum appellans et filium et quæ præterea ejusmodi amat humanus et domesticus mos et dicere et facere, hæc enumerare superfluum mihi videtur. Nota enim erunt omnibus etsi silentio a nobis omissa. Nam communium opinionum et morum largam scientiam unusquisque e variis vitæ casibus **506** colligere et singulorum experientiam in unum componere pro sua ratione potest. Quantopere autem peracta navigatione in conspectu Byzantiorum cum honoraverit, et quot adfuerint ex peregrinis terris et urbibus, enumerare non ad rem spectare putavi. Videre poterant enim omnes imp. equitem equidem barbarum introducentem in regia domicilia. Ille post imp. cum solis imp. liberis et patribus vehebatur. Cæterum nimium honorem animadvertisse barbarum et quomodo veritus esset, inaudita ex regiis portis introductio ostendit. Porrecta manu comprehendentem imp. manum et præbens habenas ejus quo vehebatur equi alta voce ut sibi descendere liceat postulet et invitus et quasi obstrepens, in mediam usque aulam regiam venit. Ubi non quidem ad voluntatem imp. ex equo descendit et regium equum comprehensis habenis in equile usque regium duxit. Deinde cum imp. in regia conclavia introibat, ubi Helenam imperatricem cum videret, servorum more venerationem præstando hæc fere verba protulit: « Equidem, inquit, per vias quas universi Creator et Dominus novit, repente captus eram medio e foco, ut ita dicam, et ipsa ex patria ereptus et summas, heu! miserias passus. Quodsi multos potentissimus hicce rex **507** meus et varios propter libertatem meam labores suscepit et itinera et longarum hiemum frigora pertulit et æstuosissimos æstatis ventos intolerabilem medio in mari ardorem circumferentes et ita me servitutis vinculis liberavit, dignum in justam remunerationem nihil habeo, supra enim potestatem meam est illud. Quod autem in potestatem cadit, non possum negare me omne debitum omnibus studii et voluntatis modis per omnem vitam meam præstiturum esse. » Quæ cum locutus esset et audisset, ut decebat, in conclave sibi antea destinatum abiit, non extra regiam, sed regio foco propinquum. Vestes præterea splendidas et continuo mutatas et varia gratiæ documenta, modo ab imperatrice, modo ab imperatore, modo ab illustribus et nobilibus viris ipsi data proferre minime necessarium mihi videtur, ut etiam balneorum, epularum luxum quæ omnia omnibus cognosci possunt, tacere præstat.

A εἰλήφει τὸν ζητούμενον παῖδα τοῦ Ὑρκανοῦ, καὶ ἐπανῆει χαίρων ἐς τὸ Βυζάντιον. Καὶ ἦν τηνικαῦτα τὸ ἔτος ἐν ταῖς ἀκμαῖς τοῦ θέρους, ὅτε δὴ περὶ ἄλωνας καὶ σίτου κομιδὴν ἀνάγκη συνήλαυνεν ἀσχολεῖσθαι πάντας οἷς ἔργον οἱ πόνοι γῆς, εἰρήνης ἄρτι παντοδαπῆς περιχορευούσης τὰ Ῥωμαίων πράγματα. Καὶ μέχρι μὲν ἐς Βυζάντιον ὁ πλοῦς ἦν ἐπινιόντι τῷ βασιλεῖ, μία τριήρης, ἡ βασιλικὴ ναυαρχὶς, ἐκόμισεν ἄμφω, τόν τε βασιλέα καὶ [f. 252 b] τὸν Ὑρκανοῦ παῖδα· αἱ δ' ἄλλαι τριήρεις περιπλέουσαί τε καὶ παραπλέουσαι ἐν ᾠδαῖς ἦσαν πάνυ χαιρούσαις, τὴν ἐπηγγελμένην πρὸς τοῦ τῶν Βαρβάρων ἡγεμόνος εἰρήνην οὐκέτ' ἐν ἐλπίδων σκιαῖς καθεύδουσαν βλέπουσαι, ἀλλ' εἰς φῶς προεληλυθυῖαν

B ἤδη κατάστασιν πρακτικὴν ἀπορρήτοις προνοίαις τοῦ φιλανθρώπου Θεοῦ. Οἵας μὲν οὖν τὰς βασιλικὰς φιλοφροσύνας καὶ δεξιώσεις ἐν εὐωχίαις καὶ ὅσον τὸ μεγαλοπρεπὲς ἐν ταῖς τῶν ἐνδυμάτων συχναῖς ἀλλαγαῖς ἐνεδείξατο πρὸς τὸν τοῦ Ὑρκανοῦ παῖδα, γαμβρὸν αὐτὸν ἀποκαλῶν καὶ υἱὸν, καὶ ὅσα ἐπὶ τούτοις φιλεῖ τὸ ἀνθρώπινον καὶ δημόσιον ἔθος καὶ λέγειν καὶ δρᾶν, περιττόν μοι διεξιέναι δοκεῖ· γνώριμα γὰρ ἂν εἴη πᾶσι καὶ σιωπώμενα, τῶν κοινῶν ἐννοιῶν καὶ τῶν συντρόφων ἐθισμῶν τὴν τῆς ἐνταῦθα γνώσεως ὕλην ἄφθονον χορηγούντων αὐτόθεν ἑκάστοις, ἐκ τῶν τοῦ βίου πολυειδῶν πραγμάτων διδασκομένοις ἀεὶ, καὶ ἀναλεγομένοις τὴν τῶν ἑκάστων ἐμπειρίαν εἰς ἓν ἠθροισμένον συνέσεως ἐμπρακτον σύστημα. Ὅσα δ' ἄρτι καταπεπλευκότων

C ἐς Βυζάντιον τετίμηκε τοῦτον ὁ βασιλεὺς, θεωμένων τῶν Βυζαντίων καὶ ὅσοι ἐξ ἀλλοδαπῶν παρῆσαν χωρῶν καὶ πόλεων, παρέλκον καὶ ταῦτα διεξιέναι μοι νενόμισται· εἶδον γὰρ ἅπαντες ὡς ἔφιππος ἔφιππον ὁ βασιλεὺς τὸν Βάρβαρον εἰσήνεγκε τὰς βασιλείους αὐλὰς, ὃ δὴ μόνοις ἐφεῖται μετὰ βασιλέα βασιλέων παισί τε καὶ ἀδελφοῖς· πλὴν ὅτι αἰσθόμενος ὁ Βάρβαρος τὸ τῆς τιμῆς ὑπερβάλλον, καὶ οἷον αἰδεσθεὶς, τὸ ἀκούσιον τῆς εἰσαγωγῆς εὐθὺς ἐκ τῶν βασιλείων πυλῶν ἐνεδείκνυτο, ἀντιτείνων καὶ ἀνθέλκων τὴν καθέλκουσαν ἐκ χειρὸς χεῖρα τοῦ βασιλέως, καὶ ἐπέχων τὰς ἡνίας οὔπερ αὐτὸς ἐπωχεῖτο ἵππου, καὶ γλίττῃ πάσῃ δεόμενος ἀφεθῆναι. Ὅμως οὕτω δυσανασχετῶν καὶ ἀχθόμενος καὶ οἷον ἀφηνιάζων

D ἦκε μέχρι καὶ ἐς τὸ μέσον τῆς βασιλικῆς αὐλῆς. [f. 253 a] Ἐνταῦθα δὲ καὶ μὴ πάνυ τι βουλομένου τοῦ βασιλέως ἀπεπήδησέ τε τοῦ ἵππου πρὸς γῆν, καὶ τὰς ἡνίας τοῦ βασιλικοῦ χειρωσάμενος ἵππου ἔθυνεν ἄχρι τοῦ βασιλικοῦ πεζευτηρίου. Ἔπειτα συνεισῆει τῷ βασιλεῖ πρὸς τοὺς βασιλικοὺς θαλάμους· ἔνθα δὴ καὶ τὴν βασιλίδα Ἑλένην ἰδὼν δουλικῷ τε αὐτῇ τὴν προσκύνησιν ἀπέτισε σχήματι, καὶ ἅμα τοιάδε ἐφθέγξατο ῥήματα· « Ἐγὼ, » φησὶ, « διὰ τρόπους οὓς ὁ τῶν ὅλων οἶδε δημιουργὸς καὶ Δεσπότης, ἐξαίφνης ἐγεγόνειν αἰχμάλωτος, ἐκ μέσης ἑστίας εἰπεῖν καὶ πατρίδος αὐτῆς ἁρπαγείς, καὶ τὰ μέγιστα ἐπαπόνθειν, φεῦ! τῶν δεινῶν. Ἐπὶ δὲ πολλοὺς οὐμὸς αὐθέντης οὗτος καὶ βασιλεὺς καὶ μάλα τι πολυτρόπους ὑπὲρ τῆς ἐμῆς ἐλευθερίας κατεβάλετο πόνους καὶ ἱδρῶτας, καὶ χειμώνων ὑπέμεινεν ψύξεις μακρῶν καὶ θέρους καύσωνας δυσκαρτέρητον ἐν μέσῃ θαλάττῃ φέροντας κάμινον, καὶ οὕτω

με τῶν δεσμῶν τῆς αἰχμαλωσίας ἐξείλετο, ἄξιον μὲν εἰς ἀμοιβὴν ἀποχρῶσαν οὐκ ἄν ποτε σχοίην (ὑπὲρ γὰρ ἐμὲ τοῦτό γε), τὸ δ' οὖν εἰς δύναμιν ἦκον ἐμὴν, οὐκ ἂν δυναίμην ἀρνεῖσθαι μὴ οὐχ ἅπαν τελεῖν τὴ εἰκὸς καθ' ἅπαντας τρόπους ὁρμῆς καὶ θελήσεως διὰ παντός μοι τοῦ βίου. Ταῦτα δὴ καὶ τοιαῦτα φθεγξάμενος, καὶ ἀκούσας ὁπόσα χρεών, πρὸς τὴν αὐτῷ γε ἀπολεχθεῖσαν ἀπῆει σκηνὴν, οὐκ ἔξω τῶν βασιλείων, ἀλλὰ τῆς βασιλικῆς ἑστίας ἐγγύς. Τὰς δ' ἐπὶ τούτοις τῶν ἐνδυμάτων συχνὰς καὶ λαμπρὰς ἀλλαγὰς, καὶ τὰ ποικίλα χαρίσματα νῦν μὲν τῆς βασιλίδος, νῦν δὲ τοῦ βασιλέως, νῦν δὲ τῶν ἐνδόξων καὶ εὐγενῶν τῆς βασιλείας ἀνδρῶν, καὶ ταῦτα τῶν ἥκιστα ἀναγκαίων μοι λέγειν δοκεῖ, ναὶ μὴν καὶ ὅσα περὶ λουτρῶν ἀναπαύσεις καὶ τραπεζῶν πολυτέλειαν πέφυκεν· ἃ πάντα πᾶσι γινωσκόμενα σιγᾷν παραινεῖ.

[f. 263 *b*] Γ'. Ἐκεῖνο δ' ἄξιον μᾶλλον θαυμάσαι. Ἰδιον δὴ τοῦτο; Τὴν τοῦ βασιλέως φημὶ μεγαλοψυχίαν, πῶς μεταξὺ τῶν τοιούτων τέρψεων βραχὺ νοσῆσαν τὸ διετὲς αὐτοῦ βρέφος καὶ τεθνηκὸς οὐκ ἐπάλευσε τῶν αὐτοῦ φρενῶν τὰς κρηπῖδας, οὐδ' ἀθυμίαν ἀνήκεστον εὐθυμίας ἀλλάξασθαι προσκαίρου παρέπεισεν· ἀλλ' αὐτοσχέδιον ξενηλασίαν μηχανησάμενος αὐθημερὸν θρηνούντων ἅμα καὶ θρηνουσῶν, ἐπὶ τῆς προτέρας αὖθις κατέστησε θυμηδίας τὰ πράγματα, καὶ προσκαλεσάμενος μετὰ τρίτην ἐκεῖθεν ἡμέραν τὸν νέον μνηστῆρα τὸν Βάρβαρον κατά τι κρατῆσαν ἔθος ἐκ παλαιοῦ, τὴν μνηστευομένην ἔδειξεν αὐτῷ κόρην πρὸς δέκατον ἄρτι προβαίνουσαν ἔτος. Τούτων δ' οὕτω διῳκημένων, ἐπειδὴ τὴν ἐς τὸν Ἀστακηνὸν κόλπον ὁ βασιλεὺς ἀφῆκοε κάθοδον ἐκ Νικαίας τοῦ Ὑρκανοῦ, ἐξέπλευσεν εὐθὺς σύν γε τῷ τοῦ Ὑρκανοῦ παιδὶ, καὶ ἦκε δευτεραῖος ἐκεῖσε καὶ οὗτος, ἀποδιδοὺς τῷ πατρὶ τὸν παῖδα καὶ ἅμα ἀξιῶν τὰ σύμβολα τῆς διαδοχῆς τῆς τῶν Βιθυνῶν ἀρχῆς τήμερον αὐτῷ ἐγχειρίσαι· δίκαιον γὰρ εἶναι καὶ ὡς τῶν ἄλλων παίδων μᾶλλον αὐτῷ ἀγαπωμένῳ, καὶ ὡς μνηστῆρι τῆς βασιλέως θυγατρὸς, καὶ ὡς ἀξίῳ τῆς ἀρχῆς διά τε τὸ ἀνδρεῖον τῆς γνώμης καὶ ῥωμαλέον τοῦ σώματος καὶ πρός γε τὸ τῆς φρονήσεως δραστικόν. Τοῦτο δὴ οὖν καὶ πάλαι βεβουλημένῳ τε καὶ βεβουλευμένῳ τῷ Ὑρκανῷ, ἐπεὶ καὶ τὸν τοῦ βασιλέως συμπέπτωκε τέως ἐρεθισμὸν συνεργὸν τῇ ἐκείνου ταύτῃ βουλήσει γενέσθαι, ῥᾷστα λοιπὸν καὶ τὰ τῆς αἰτήσεως πεπρᾶχθαι ἔδοξεν. Ὅθεν καὶ στρατιωτῶν Βυζαντίων συχνοί τινες, καὶ ἅμα τῶν εὐγενῶν ἀνδρῶν οὐκ ὀλίγοι, τοῖς Βαρβάροις ἀναμὶξ στρατιώταις τὸν τοῦ Ὑρκανοῦ προὔπεμψαν παῖδα, [f. 254 *a*] σόν γε κυμβάλοις καὶ τυμπάνοις καὶ ἐπισήμῳ καὶ ἀρχικῇ σημαίᾳ, μέχρι πόλεώς τε καὶ ἑστίας τῶν ἐν Βιθυνίᾳ περιβλέπτων τε καὶ ἐνδόξων μιᾶς· Νίκαια ταυτηὶ τὸ ἐπώνυμον· ἔνθα δὴ πάντες συνῆσαν Βιθυνοὶ, ὅσοι τε τῶν Βαρβάρων καὶ ὁμοφύλων αὐτῷ, καὶ ὅσοι μιξοβάρβαροι, καὶ πρός γε ὅσους τῶν ὁμοφύλων ὄντας ἡμῖν ὅπως ποτὲ τοῖς βαρβάροις ἡ τύχη δουλεύειν ἠνάγκασε, δῶρα φέροντες παντοδαπὰ, πρόβατα καὶ βόας καὶ ἐπιπλα καὶ τοιαῦτα ἅττα πάμπολλά τε καὶ πολυειδῆ. Ὀλίγαις δ' ὕστερον ἡμέραις οἱ προπέμψαντες ἐπανῆκον Βυζάντιοι μεθ' ὧν προσῆκεν ἐκεῖθεν χαρίτων καὶ δώρων.

Δ'. Καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον, καὶ τὸ θέρος ἐν τούτοις ἐτελεύτα, ξηρὸν ἐς τοσοῦτον γενόμενον καὶ αὐχμῶδες καὶ παντάπασιν ἄνικμον ὡς καὶ ἀπογνώσεως ἤδη παρασχέσθαι τοῖς ἀμπελουργοῖς ὑπονοίας· ἔσεσθαι γὰρ οἴνου μακράν τινα σπάνιν καὶ ἀφορίαν ᾤοντο. Τὸ δ' ἐς πᾶν ἀπέβη τοὐναντίον, ὡς ἀνωμολογημένον ἅπασι γεγενῆσθαι θαῦμα ἐπὶ θαύματι τοῦτο παρὰ τοῦ κρείττονος. Πρῶτον μὲν γὰρ ἦν ἐκεῖνο θαῦμα θεῖον καὶ μέγιστον, ἐν καιροῖς τοιούτοις, ὅτε τὸ ἀκμαιότατον τῆς βαρβαρικῆς ἰσχύος τὴν Ῥωμαίων πάλαι πολύν τινα χρόνον

A III. Nonne præstat potius mirari illud? dico regis animi magnitudinem. Nam inter has oblectationes unius anni infans ejus brevi implicatur morbo et mortuus animi fundamentum non labefactavit neque **508** ei persuasit, ut tristitiam cum hilaritate commutaret, sed sine arte ubi hospites depulit cum quotidie et viri et mulieres lamentarentur, priori hilaritati se tradidit et tertio die sponso juveni barbaro more quodam antiquo sponsam ostendit puellam decem fere annos natam. Quæ cum eo essent adducta, rex, audito Hyrcani Nicæa in sinum Astacenum itinere, statim cum Hyrcani filio navigavit, ille quidem dein huc venit, tradito patri filio et documenta recipiendi regni Bithynici hodie

B ei tradi jubet. Dignum esse quippe qui magis quam cæteri liberi amaretur, quippe qui imp. filiæ sponsus esset, dignum esse regno propter virilem animum et corporis robur et strenuam mentem. Hoc quondam optarat Hyrcanus et animo tum volvebat, cum forte per regem excitaretur illud desiderium facile reliqua petitio impetrari posse visa est. Deinde milites Byzantiorum multi quidam et nobilium hominum non pauci cum Barbarorum militibus misti Hyrcani filium produxerunt cum cymbalis et tympanis et picto regni signo usque ad urbem **509**

C et focum ex Bithyniæ celeberrimis et illustribus oppidis, cui nomen est Nicæa. Huc omnes Bithynii quicunque Barbari et incolæ et misti cum Barbaris conveniebant, et præterea, quos incolarum nostros olim Barbaris servire fortuna coegerat, dona attulerunt varia, agnos et boves et supellectilem et ejusmodi multa et varia. Paucis diebus post Byzantii reversi sunt cum quibus miserat gratiis et donis.

IV. Hæc eum finem habuerunt. Et æstas his rebus confecta est, quæ quidem pulverulenta adeo et squalosa et omnino æstuosa erat, ut vinitorum spes in desperationem venerit. Nam vini magnam

D inopiam et penuriam futuram judicabant, quod plane aliter evenit et omnium consensu, miraculum secutum est miraculum melioris fortunæ. Primum enim divinum miraculum et summum fuit illud, quod ejusmodi temporibus, ubi summum Barbarorum robur per longum tempus Romanorum olim depascens paulisper ipsas Byzantiorum portas

occluserat; adeo inculta et invia deserta erant omnia extra portas loca. Denique Dei nutu inopinata ac repentina ex Hyrcani filii captivitate Romanis libertas facta est, ut omnibus accessibilis et culta **510** brevi esset Thracia fera olim et latronum plena. Deinde quamvis admodum æstuosa visa esset æstas, tamen tanta vini copia nata est, ut plurimis vasa defecerint. Duplex enim et triplex permultis cum priore anno comparata messis fuit, quibusdam quadruplex data est, ita ut cuncti communem honorem et gratiam ex intima animi sententia egerint Deo, qui contra omnium opinionem eis qui in summam desperationem venerant, inopinatam et mirabilem salutis viam aperuisset, qui e profundo terræ sustulit et ex stercore detraxit et in rupe immutabili cogitationum pedes collocavit.

V. Quamprimum autumnus fieri cœpit, commorandi et animi recreandi causa cum imperator Selymbriam usque pervenisset, venit ad eum e Bizya Manuel Asan domini petitionem prolaturus quam ante duos annos a Matthæo tum regnante et in Thracia secum colloquente, Byzantiorum socio impetraverat. Sed cervice vinculis constricta domo venit et ut miseratio sibi fieret petiit, frustratus per tres annos incursionibus et prædationibus quas ex Bizya fecisset non parva Byzantiis damna attulisset, combustis et direptis agris et cultura deperdita **511** et quodcunque poterat Palæologo imp. molitus esset. Sed ubi tantis opibus ad diuturnum ac perpetuum bellum opus fuit (erat sane diuturnum et multorum sumptuum, quas vero ex incursionibus et prædationibus quotidie colligebat vix quotidiano militum sumptui sufficiebant et priusquam pericula in quibus versabatur videret, in discrimen et inopiam insuperabilem quotidie se collabentem non vidit), eam ob causam ad imp. profectus et venia qua opus erat impetrata Bizyæ ut antea tenendæ et administrandæ, lætus et exsultans rediit, curis et metu, quæ diu noctuque animum ejus perturbaverant sublatis.

VI. Postquam vicesimo octavo hujus Romanæ historiæ libro de Russia in Hyperboreis terræ partibus jacente nonnulla scripsimus ad rei opportunitatem aptam, jam rursus cætera narrare necesse est, et adnectere dictis illis quæ interea disputata sunt et facta. Ita enim per necessarium connexum singula a singulis non disjuncta videri, nec partes cum partibus pugnare nec cum partibus cuncta nec cum **512** cunctis diversarum rerum partes, sed bene et concinne varias historias quasi uno vinculo conjunctas fore puto. Narravi autem Russiæ esse hominibus frequentissimam nationem et terræ longitudinem et latitudinem men-

A ἐπιβοᾶχόμενον γῆν μικροῦ καὶ αὐτὰς Βυζαντίων τὰς πύλας ἐγκέκλεικεν, ὡς ἀοίκητον εἶναι καὶ ἄβατον ἐρημίαν τὰ ἔξω πυλῶν ἅπαντα, ἔπειτα νεύσει θεοῦ παράδοξόν τινα καὶ ἀπροσδόκητον ἐξαίφνης ἐκ τῆς τοῦ παιδὸς Ὑρκανοῦ κατασχέσεως Ῥωμαίοις ἐλευθερίαν γενέσθαι, ὡς πᾶσι βάσιμόν τε καὶ ἦμερον ἐν βραχεῖ τὴν πρὶν ἀγρίαν ἐκείνην καὶ λῃστῶν γέμουσαν [f. 254 b] Θρᾴκην. Δεύτερον δ' ὅτι τοῦ θέρους ἀνίκμου πάνυ τι λίαν φανέντος, τοσοῦτον οἴνου ταῖς ἀμπέλοις πλῆθος καρποφορῆσαι συμπέπτωκεν ὡς μηδ' ἀποχρῶντα τοῖς πολλοῖς ὑπάρξειν εἰς ὑποδοχὴν ἀγγεῖα· διπλάσια γὰρ καὶ τριπλάσια τοῖς πλείστοις ἢ κατὰ τὴν πέρυσι γέγονε γεωργίαν, ἔστι δ' οἷς καὶ ἐς τὸ τετραπλάσιον ἀνήχθη, ὡς κοινὴν ἅπαντας δόξαν κάξ ὅλης εὐχαριστίαν ψυχῆς B τῷ τὰ μέγιστά τε καὶ παράδοξα τοῖς ἐς τὰ τῆς ἀπογνώσεως ἔσχατα ἐρριμμένοις ἀπροσδόκητόν τινα καὶ πάνυ τι θαυμασίαν παρεχομένῳ τὴν ἔγερσιν, κἀκ τῶν ἀβύσσων τῆς γῆς ἀνυψοῦντι, κἀκ πηλοῦ ἰλύος ἀνάγοντι καὶ ἐπὶ πέτραν ἀτίναχτον τοὺς πόδας ἱστῶντι τῶν λογισμῶν.

Ε'. Εἶεν. Ἄρτι δ' ἀρχομένου τοῦ φθινοπώρου διατριβῆς εἵνεκά τινος καὶ ψυχαγωγίας μετρίας ἄχρι Σηλυμβρίας ἐξεληλυθότι τῷ βασιλεῖ πρόσεισιν ἐκ Βιζύης Μανουὴλ ὁ Ἀσὰν τὸ τοῦ δεσπότου ἀξίωμα περικείμενος, ὃ πρὸ δυοῖν ἐτῶν εἰλήφει πρὸς Ματθαίου τότε βασιλεύοντός τε καὶ κατὰ Θρᾴκην ὁμιλοῦντος αὐτῷ συμμαχοῦντι κατὰ τῶν Βυζαντίων. Ἦκε δὲ τὸν τράχηλον δεδεμένος οἴκοθεν καὶ τυχεῖν συμπαθείας δεόμενος ἅτε ἐπταικὼς οὐ μικρὰ διὰ τὰς C τῶν τριῶν ἤδη ἐτῶν ἐπιδρομὰς καὶ καταδρομὰς καὶ λεηλασίας, ἃς ἐκ Βιζύης ὁρμώμενος ἐνεποίει τοῖς προαστείοις τῶν Βυζαντίων, κώων καὶ ληζόμενος ἀγροὺς καὶ γεωργίας ἁπάσας αὐτῶν, καὶ προσδοκῶν καὶ μηχανώμενος οἷον δή τινα Παλαιολόγου κίνδυνον τοῦ βασιλέως. Ἐπεὶ δὲ τὰ τοιαῦτα δεῖται χρημάτων εἰς ἐπίμονον μάχην καὶ πολυχρόνιον, [f. 255 a] ὃ δὲ καὶ πολυχρόνιον, τοῦτο καὶ πολυδάπανον, ἃ δ' ἐξ ἐπιδρομῆς αὐτῷ καὶ λαφύρων ἡθροίζετο καθ' ἡμέραν, μόλις εἰς αὐθημερινὴν ἐξήρκει τοῖς στρατιώταις δαπάνην, χορηγεῖν δ' οὐκ εἶχεν αὐτὴς ἐξ ἀφθόνων οἴκοθεν πηγῶν, ἔλαθε, πρὶν ὧν ἐπόλεμα καὶ ὧν ἐφίετο κινδύνους ἰδεῖν, κινδυνεύων αὐτὸς καὶ πρὸς πενίαν ἀκαταγώνιστον καταῤῥέων ὁσημέραι. Διὰ δὴ ταῦτα τῷ βασιλεῖ προσεληλυθὼς, καὶ ἧς ἐδεῖτο συγγνώμης τυχὼν, καὶ ἅμα τὴν ἐπιτροπὴν καὶ διοίκησιν τῆς Βιζύης ἔχειν ὡς πρότερον τὸ ἐνδόσιμον ἤδη καὶ πρὸς τοῦ βασιλέως αὖθις εἰληφὼς, ἐκεῖσε ἐπανῆλθε χαίρων καὶ ἀγαλλόμενος ὅτι φροντίδων καὶ φόβων νύκτωρ καὶ μεθ' ἡμέραν τὴν αὐτοῦ ψυχὴν σπαραττόντων ἀπήλλακτο.

Ϛ'. Ἡμῖν δ' ἐν ὀγδόῳ καὶ εἰκοστῷ τῆς παρούσης Ῥωμαϊκῆς ἱστορίας περὶ τῆς παρὰ τὰ ὑπερβόρεια μέρη τῆς οἰκουμένης κειμένης Ῥωσσίας ἔνια διεξεληλυθόσι, καὶ ὅσα τῇ ἐνεστώσῃ χρείᾳ περισπούδαστα ἦν τηνικαῦτα, διὰ πολλῶν αὖθις ἤδη τῶν μεταξὺ παλινδρομεῖν ἀναγκαῖον γίνεται, καὶ συνείρειν τοῖς εἰρημένοις ἐκείνοις ἐκεῖ ἃ μεταξὺ λελάληταί τε καὶ γεγένηται· οὕτω γὰρ ἑκάστων ἑκάστοις κατὰ τὴν δέουσαν ἁρμοζομένων ἀναδρομὴν, οὐκ ἂν ποτ' ἀπάδειν ἐθελήσειεν οὐδὲ μάχεσθαι οὔτε μέρη μέρεσιν οὔθ' ὅλα μέρεσιν οὔθ' ὅλοις ἃ τῶν ἄλλων πέφυκεν εἶναι μέρη, ἀλλ' εὔρυθμόν τινα καὶ μίαν τι ἔμμουσον οἶμαι φανήσεσθαι τὸ τῶν ὑποθέσεων

συμμιγὲς καὶ πολύπλοκον, εἰς ἕνα τῆς ἱστορίας εἱρμὸν ἀναγόμενον. Εἴρηται τοίνυν ἡμῖν ἀνωτέρω ὡς ἔθνος ἐστὶ πολυανθρωπότατον ἡ Ῥωσία, καὶ ἡ πρὸς αὐτῶν οἰκουμένη γῆ μῆκος καὶ πλάτος οὐ πάνυ τι σφόδρα ῥᾳδίως ἀριθμεῖσθαι ἐθέλουσα, καὶ πλοῦτον ἐτήσιον ἀεὶ γεωργοῦσα καὶ καρπουμένη πάνυ μακρὸν καὶ πολύχουν· ἄσημός τε γὰρ χορηγεῖται πλεῖστος ἐκεῖθεν, μετελλευόμενος ἐκ τῶν ἐγχωρίων, καὶ ἅμα τῆς γῆς ἐκείνης πολλῷ τῷ ψύχει κρυσταλλουμένης διὰ τὴν ἀποχὴν τοῦ ἡλίου, ζώων, ὡς τὸ εἰκός, πηγεσιμάλλων ὑπὸ τῆς φύσεως γίνεται πλῆθος, ὧν θηρευομένων αἱ σισύραι πρὸς τῶν ἐκεῖ κατοικούντων διὰ πάσης ἄλλης πεμπόμεναι χώρας καὶ πόλεως πολλὰ πορίζονται σφίσι τὰ κέρδη. Καὶ μὴν κἀκ τῶν ἐξ ὠκεανοῦ γειτονοῦντος θηρευομένων ἰχθύων ἔστιν ἃ τῶν ὀστῶν τέρψιν χρειώδη παρέχονται σατράπαις καὶ ἄρχουσι καὶ βασιλεῦσι καὶ πᾶσι μικροῦ τοῖς ἐνδόξοις κατὰ τὸν βίον καὶ περιβλέπτοις ἀνθρώποις. Ἐῶ λέγειν ὅσα πρὸς τούτοις ξενίζοντα ἀφιλέστερον ἐκεῖθεν ἐκείνοις οὕτωσὶ παρέχει τὸν πλοῦτον. Τοῦτο τοίνυν τὸ ἔθνος ἀφ' οὗ τῇ εὐσεβεῖ προσερρύη θρησκείᾳ καὶ τὸ τῶν Χριστιανῶν θεῖον ἐδέξατο βάπτισμα, ὑφ' ἑνὶ τυποῦσθαι τέτακται καθάπαξ ἀρχιερεῖ, κατὰ τὸ ἀνάλογον τῶν ἑκάστοις ἐκασταχῇ προσηκόντων εἰς ἐπισκοπὰς διαφόρους καὶ μείζους καὶ ἥττους διανειμαμένῳ τὴν τοῦ παντὸς ἔθνους ἐκκλησιαστικὴν διοίκησιν· καὶ εἶναι τὸν πρῶτον τοῦτον ἀρχιερέα τῷ τῆς Κωνσταντινουπόλεως ὑπείκοντα θρόνῳ, καὶ ὑπὸ τούτου τὰ νόμιμα δέχεσθαι τῆς ἀρχῆς τῆς πνευματικῆς· εἶναι δ' αὐτὸν καὶ νῦν μὲν ἐκ τῶν τῇδε φύντων ὁμοῦ καὶ τραφέντων, ἀμοιβαδὸν τὴν ἐκεῖ προεδρίαν ἀεὶ διαδεχομένων, μετὰ τὸν προτέρου θάνατον παραλλάξ, ὡς ἂν τὸ τῶν δυοῖν γενοῖν συναφὲς οὕτωσὶ βεβαιούμενον καὶ κυρούμενον βεβαιοτέραν ἐς τὸ ἀκήρατόν τε καὶ ἀκραιφνὲς καὶ τὴν τῆς πίστεως σύμπνοιαν ἔχῃ φυλάττειν ἀεὶ καὶ μονιμωτέραν τὴν οὐσίαν καὶ δύναμιν. Καὶ ἵνα τἀν μέσῳ παρέλθω, τῆς ἐνεστώσης ἡμᾶς ἀντιπερισπώσης ἅμα καὶ ἀνθελκούσης χρείας, ἦν πρὸ ἐτῶν ἤδη συχνῶν ἐκ τῶν καθ' ἡμᾶς Ναζιραίων ἐκεῖσε πεμφθεὶς ἐπίσκοπος, συνετὸς ἀνὴρ καὶ θεοφιλής, Θεόγνωστος τοὔνομα· καὶ ἦν ἀποκεκληρωμένον ἐκ πολλοῦ τοῦ παρῳχηκότος ἐκείνῳ τῷ ἔθνει τέμενος ἱερὸν εἰς μητρόπολιν Κύγεβον οὕτωσί πως καλούμενον, ὃ δὴ πρὸ βραχέος ἐπιδραμόντων Σκυθῶν τῶν βορειοτέρων ἐρημία κατὰ τὴν παροιμίαν κατέστη Σκυθῶν, ὡς μηκέθ' ἱκανὸν εἰς προεδρίαν καὶ θρόνον ἄξιον εἶναι τοῦ τῆς καθολικῆς ἐπισκόπου Ῥωσίας. Διὸ καὶ μεταθέσθαι τὸ σχῆμα τῆς μητροπόλεως ἀνάγκη γεγένηται πρὸς ἕτερόν τινα τῇ παρούσῃ προσήκοντα χρείᾳ τόπον. Τὸ γὰρ ἔθνος ἅπαν ἐκεῖνο τῶν Ῥὼς, πολυανθρωπότατόν τε ὂν καὶ πολλούς τινας τόπους καὶ διαφόρους ἐκ παλαιοτέρων τῶν χρόνων νεμόμενον, εἰς τρεῖς που καὶ τέτταρας ἔφθη διαιρεθὲν τὰς ἀρχὰς καὶ ἡγεμονίας ἐκ πολλοῦ. Τοῦ δὲ θείου τῆς εὐσεβείας κηρύγματος ἐν ὑστέροις καιροῖς ἐπιδεδημηκότος ἐκεῖ, τὰ πλείω μὲν αὐτῶν αὐτοῦ γε ἐδράξαντο μέρη, ἅμα μὲν θειοτέρου πρὸς τὸ [f. 256 b] θερμότερον ἑαυτοὺς ἐμπλήσαντες ζήλου,

surari haud facile posse. Annuus proventus multus ac dives; argenti multa inde copia ducitur et cum terra illa constricta est magno frigore propter solis distantiam, animalium ut verisimile est pelliterum natura nascitur multitudo. Captorum pelles ab incolis per omnes terras urbesque mittuntur, et inde multum lucrifaciunt. Et piscium ex Oceano finitimo captorum nonnulli sunt qui delectationem præbent præfectis et principibus et regibus et omnibus vivendi ratione delicatis et nobilibus hominibus. Mitto dicere, quot et quæ præterea transportata per peregrinas terras largum illis fructum præbent. Hæc gens superstitione per religionem remota et sacro baptismo Christianorum accepto ab uno omnino episcopo administrabatur, qui pro ratione singularum necessitudinum in diversas provincias modo majores, modo minores totius gentis administrationem ecclesiasticam distribuit. Fuit ille primus episcopus Constantinopolitanæ **513** sedi subjectus et inde animarum regendarum legibus institutus, qui modo ex gente illa, modo ex nostra terra natis educatisque post antecedentis mortem mutuo sedem occupat, ita ut inter duas gentes firmior conjunctio et firmior potestas ad incorruptam et sinceram fidei unitatem conservari possit. Atque ut remotiora omittam, hujus operis necessitate ductus, fuit ex illuc missis Nazaræis qui apud nos sunt episcopus missus, vir prudens et pius nomine Theognostus. Inde ab longinquo tempore genti illi electum erat templum quoddam tanquam caput Kygebon nominatum, quod brevi antea invadentibus Scythis septentrionalibus desertum, ut dicitur, factum est, ut amplius catholici Russiæ episcopi sede dignum non esset. Quamobrem metropolim transferri necesse erat in alium locum ad præsentem necessitatem aptum. Tota enim illa Russorum gens frequentissima et multas et diversas inde ab antiquis temporibus regiones habitans in tria vel quatuor imperia **514** et provincias distributa erat. Posteris temporibus divina religione ibi divulgata, plures partes statim divino zelo impleti sunt et sacrum baptismum sponte acceperunt. Nonnulli huc illuc dispersi in priore pravitate manserunt. Trium autem religioni addictarum gentium primariarum metropolis Kygebon nominata est, unius imperio propinqua, cui Litbarum gens omnis subjecta est, numerosissima et bellicosissima, ignem colens exemplum Domini. Ad administrationem in meliorem statum perducendam cohortatus est ut metropolis fieret propter superstitionis insolentiam, nescio paulo ante nos an multo. Utut res est, inventa est urbs altera longinquius sita, cujus dominatum pius ille vir tenebat et honeste regnum administrabat. Cum altera comparata urbs illa nominata est Volodimir. In qua administrationem suam Theognostus episcopus in futurum habere constituit et lubenter imperium illius terræ traditum patiebatur et amabat, honorem sibi regni fortunam arbitratus neque irritam et

inanem fore domestici imperii gloriam. Non enim ut hominem spectabant episcopum, sed ut angelum quemdam e cœlis vocatum. Cum enim sanctum mysterium **515** offerret Deo, rex labiis suis vestigia illius demissus osculabatur et splendidis donis ac muneribus donabat, ita ut cæterorum quicunque aderant cives eum imitarentur et pulchrum inter sese certamen certarent. Nec quisquam fuit, quin cæteris circa illum omnibus ex voluntatis sententia de adipiscenda meliore virtute præstare studuerit aut superesse se putarit, aut omnes si non alios aliis, at ipsis inferiores omnino cæteros esse putarit cogitaritque. Atque si cujus pietas erga Deum et erga omnes aut videbatur aut erat non aperta ( qui propinqui erant ejusdem gentis ) is cæteris omnibus inferior putabatur. Tam pius fuit hic populus ab initio et summum Constantinopoleos sedi pudorem injecit usque ad Cantacuzeni regnum, qui et rempublicam et Ecclesiam crudeliter tractavit et dogmata a recta via dejecit et ad varias hæreses accommodavit et patriarchas, quos ad suam pravitatem adduxit, præponebat. Quæ commemorare brevibus verbis hoc loco non supervacaneum est. Dicetur igitur in sequenti historiæ libro, si non copiose et sufficienter, at saltem ut lector rerum exponendarum causas pernoscat.

ἅμα δὲ καὶ τὸ θεῖον ἀκραγμόνως δεξάμενοι βάπτισμα· ἕνια δ' ἐνιαχοῦ καὶ σποράδην τῆς προτέρας ἔμειναν ἔτι κακίας ἐχόμενα. Τῶν οὖν τριῶν τῇ εὐσεβείᾳ προστιθεμένων ἄνωθέν τε καὶ ἐξ ἀρχῆς ἡγεμονιῶν ἐκεῖ τετύχηκέ πως ἡ βηθεῖσα μητρόπολις, τὸ Κύγεβον δηλαδή, τῇ τοῦ ἑνὸς ἡγεμονίᾳ παροικοῦσα καὶ πλησιόχωρος οὖσα ᾧ τὸ τῶν Λιτεβῶν ὑπήκοον ἅπαν ὑπάρχει γένος, πολυανθρωπότατόν τε ὂν καὶ μαχιμώτατον, πυρσολατροῦν δὲ κατὰ τὸν σφῶν ἡγεμόνα· ὃ δὴ καὶ τὴν μετάθεσιν τῆς οἰκήσεως εἰς τὸ βέλτιον τὴν μητρόπολιν ἠρέθισε γεγενῆσθαι τάως διὰ τὸ τῆς θρησκείας ἀλλόκοτον, οὐκ οἶδα εἴτ' ὀλίγῳ πρότερον ἢ καθ' ἡμᾶς, εἴτε μακρῷ τινι πρότερον ἢ καθ' ἡμᾶς. Ὅμως, εἴθ' οὕτως εἴτ' ἐκείνως, εὑρηταί τις ἑτέρα πόλις ἐκεῖθεν ὡς πορρωτάτω κειμένη, ἧς τὴν ἡγεμονίαν ἀνὴρ εὐσεβὴς περιεζώννυτό τε καὶ σεμνῶς τὴν ἀρχὴν διεκόσμει, μέγα πρὸς ἀντιδιαστολὴν ἑτέρου κεκλημένη παρὰ τῶν ἐγχωρίων ἐκεῖ Βολοντίμοιρον. Ἐν ᾧ δὴ καὶ τὴν οἴκησιν ἑαυτοῦ τηνικαῦτα καὶ αὐτός τε Θεόγνωστος ὁ ἐπίσκοπος ἔχειν ἔκρινε τοῦ λοιποῦ, καὶ ἅμα ἀσμένως, ᾗ τὰ τῆς ἡγεμονίας ἐκείνης ἀνεῖται τῆς γῆς, προσίετό τε καὶ ἥδετο κομιδῇ, τιμὴν ἑαυτῷ τὴν τοῦ πράγματος ἡγούμενος περιπέτειαν, καὶ δόξαν τῆς οἰκείας ἀρχῆς, οὐ πάνυ τι δήπου τῶν ἐρρίμμένων καὶ φαύλων· οὐ γὰρ ὡς ἄνθρωπον ἐκ γῆς τὸν ἐπίσκοπον ἐώρα, ἀλλ' ὡς ἄγγελόν τινα τῶν οὐρανίων ἄρτι καταπτάντα ἀντύγων. Καὶ γὰρ καὶ ὁπότε τὴν ἱερὰν αὐτὸν [f. 257 *a*] ἔδει μυσταγωγίαν τελεῖν τῷ Θεῷ, τοῖς οἰκείοις ὁ ῥῆξ οὐτοσὶ χείλεσι κύπτων ἐκείνου κατεφίλει τὰ ἴχνη καὶ ἀβροτέραις ἠμείβετο δωρεαῖς τε καὶ χάρισιν, ὡς ἐντεῦθεν καὶ τῶν ἄλλων ὁρώντων ὁπόσοι ὑπήκοοι, ἐμιμοῦντό τε καὶ τὴν καλὴν πρὸς ἀλλήλους ἤριζον ἔριν. Καὶ ἦν οὐδείς ὡς εἰπεῖν ὃς οὐ τῶν ἀμφ' αὐτὸν ἁπάντων ἄλλων τῷ βουλομένῳ τῆς γνώμης ἐς τὴν τοῦ βελτίονος μοῖραν ὑπερέχειν ἐσπεύδέ τε καὶ κρατεῖν ᾤετο· καὶ πάντας αὖ τοὺς ἄλλους, εἰ μὴ ἀλλήλων, ἀλλ' ἑαυτοῦ γε τοὺς ἄλλους καθάπαξ τὸ ἧττον ἔχειν ἐφρόνει τε καὶ ἐλογίζετο ἕκαστος. Καὶ εἰ μὴ περιφανέστερον ἐδόκει τε καὶ ἦν ἑκάστῳ τὸ εὐσεβὲς πρὸς Θεὸν ἢ κατὰ πάντας ὅσοι γείτονες ἦσαν ὁμόφυλοι, ἁπάντων ἐκείνων καθάπαξ ἡττᾶσθαι ἐνόμιζεν. Οὕτω φιλόθεον ἄνωθεν καὶ ἐξ ἀρχῆς τὸ ἔθνος ὑπῆρχεν ἐκεῖνο, καὶ οὕτω τι πλείστην παρεῖχε τὴν αἰδὼ τῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ μέχρι καὶ ἐς τὴν Καντακουζηνοῦ βασιλείαν. Ἀφ' οὗ δὲ τήν τε βασιλείαν ὁμοῦ καὶ τὴν Ἐκκλησίαν αὐτὸς ὡς μὴ ὤφελε τετυράννηκε, τά τε δόγματα τοῦ δέοντος ἐξέστησέ τε καὶ πρὸς αἱρέσεις πολυπλόκους μεθηρμόσατο, καὶ πατριάρχας οὓς αὐτοῦ τῇ κακοδοξίᾳ προσῆκε προὐβάλετο (ἃ δὴ καὶ λέγειν μὲν διὰ πάνυ βραχέων ἐνταῦθα ἥκιστά μοι περίεστι, λελέξεται δ' οὖν προϊόντος τοῦ λόγου τῆς ἱστορίας, εἰ καὶ μὴ ἀποτάδην καὶ ἀποχρώντως [f. 257 *b*] ἀλλ' ὅσον τῆς ἐξῆς ῥητὸν ἐκεῖθεν διαστροφῆς τὰς πρώτας αἰτίας εἰδέναι).

**516** VII. Quæ cum ita sint, non tamen possum pro certo dicere, utrum vere primus mutationem illius metropoleos effecerit Theognostus noster, an rebus jam constitutis usus sit. Attamen ipse in metropoli habitavit et provincia illa, quæ magnæ Russiæ pars est, cujus pius ille rex erat dominator. Et justam vitam egit et qualem degere pium episcopum decet. Prædicabat virtutem sanctæ vitæ et ornavit religionem, ornavit hanc megalopolim, qua ortus erat et educatus et quæ illuc eum miserat. Itaque a viro adeo pio ultro omnes illius populi viri et mulieres, juvenes et senes ad honestatis studium incitabantur et illis magis duces, qui Byzantium permagnam pecuniarum copiam miserant ad restaurandam collapsam partem sancti divinæ Sophiæ templi, de quibus in historiæ libro XXVIII dixi, præterea honorifice illos misisse, sed

Ζ'. Τούτων δὲ οὕτως ἐχόντων, ἀκριβῶς μὲν οὐκ ἔχω λέγειν εἴτ' αὐτὸς πρῶτος τὴν τῆς μητροπόλεως ἐκείνης μετάθεσιν ὁ Θεόγνωστος οἰκοθεν πέπραχεν, εἴτε καθεστηκότι καὶ αὐτὸς ἐχρήσατο ἐπελθὼν τῷ πράγματι· ᾤκησε δ' οὖν ὅμως καὶ αὐτὸς ἐπὶ τῆς μητροπόλεως καὶ τῆς ἐπαρχίας ἐκείνης, ἣ μέρος τῆς μεγάλης ἐστὶ Ῥωσίας, ἧς ὁ εὐσεβὴς ἐκεῖνος ῥὴξ ἡγεμὼν ἐτύγχανεν ὤν, καὶ ἦν ἐπιεικὴ βίον ἄγων ἐκεῖ, καὶ τοιοῦτον οἷον εἰκὸς ἐπισκόπῳ θεοφιλεῖ διάγειν, μονονουχὶ βοῶντα τὴν ἀρετὴν αὐτόθεν τῆς τοῦ βίου σεμνότητος, καὶ κοσμοῦντα μὲν τὴν εὐσέβειαν, κοσμοῦντα δὲ τὴν μεγαλόπολιν ταύτην, ἐξ ἧς αὐτὸς ἔφυ τε καὶ τέθραπται, καὶ ἣ τοῦτον ἐκείσε πεπομφέναι προείλετο. Ὡς καὶ ὑπὸ τῆς τοιαύτης τοῦ ἀνδρὸς ἀρετῆς αὐθορμητοὶ πάντες τοῦ ἔθνους ἐκείνου ἄνδρες τε καὶ γυναῖκες καὶ νέοι καὶ γέροντες πρὸς τὸν τοῦ καλοῦ ζῆλον ἠγεί-

ρουτο, καὶ πλέον αὐτῶν οἱ τούτων ἡγεμόνες, ἐξ ὧν καὶ ἐς Βυζάντιον χρήματα ἀπεστάλησαν ἀποχρῶντα πρὸς οἰκοδομίαν τοῦ πεπτωκότος τηνικαῦτα μέρους τοῦ μεγίστου νεὼ τῆς ἁγίας τοῦ Θεοῦ σοφίας· περὶ ὧν κἀν τῷ κη' τῆς ἱστορίας λόγῳ διείληπταί μοι τά τε ἄλλα, καὶ ὡς καλῶς μὲν ἐκεῖθεν ἐπέμφθησαν, οὐ καλῶς δ' οὔτ' ἐνταυθοῖ διῳκήθησαν οὔτ' ἐκεῖσε τὴν φήμην ἀξίαν τοῖς πεπομφόσιν ἀντιπεπόμφασιν, ἀλλ' εἰς οἰκεῖον ἄχαρι κέρδος βωμολοχήσαντες καὶ νεμάμενοι, πρόφασιν δεδώκασι τοῖς [f. 258 a] ἀκούουσιν αἰσχρὰν κομιδῇ καὶ σφόδρα λοιδορίας ἁπάσας προσκαλουμένην, καὶ τἀναντία λογίζεσθαι πείθουσαν τῶν προτέρων· ὅσῳ γὰρ πρὶν ἰσοθέους τιμὰς τοῖς τῆς Κωνσταντινουπόλεως θρόνοις παρεῖχον, τοσούτῳ χαλεπωτάτην ἐξ ἀντιπάλου τὴν νέμεσιν ἀντεδίδουν. Καὶ ὁ τρόπος ὃς πρὶν τὴν τοῦ συνειδότος ἐκείνων χειραγωγῶν ἐκόσμει σεμνότητα πρὸς τὸ τῆς ἀκοῆς περίβλεπτον, ἐπιεικῶς ἐρρύη πρὸς τὸ περιφρονούμενον ἀρτίως, εἰ μὴ διὰ πάντων καὶ παντάπασιν, ἀλλὰ διὰ μὲν τῶν πλείστων καὶ ἁπλουστέρων ἐπ' ἔλαττον, ἅτε δὴ τῶν τοιούτων μικρὰ συνιέντων, διὰ δ' ἐνίων ὡς ἐπὶ τὸ πλεῖστον ἅτε δὴ βασκάνῳ λογισμῷ καὶ κριτηρίῳ παρεχομένων καὶ οὐχ ὁμοζυγούσας τὰς πλάστιγγας συνορώντων τῆς τε προτέρας φήμης καὶ τῆς κατόπιν ἰούσης ὀψέ.

non honorifice ibidem, quæ missa erant, administrata esse, nec enim justam famam mittentibus remiserunt, sed domestico commodo sacrificantes et attribuentes, audientibus omnino turpem et ignominiosam causam obtulerunt et contraria cogitare eos atque antea coegerunt. Quo enim divinorem antea honorem Constantinopolitanæ **517** sedi tribuerant, eo graviorem iram reddiderunt et odium, ac studium illud quod antea eorum pietatem rexerat et ornaverat illustri fama, nunc nec injuria in contemptum venit, non apud omnes omnino, sed plurimos et vulgares quippe qui minus rem cognoscerent, apud multos, qui, ut plerumque fit, invidioso judicio tenerentur nec et anterioris famæ et posterioris momenta examinarent.

Η'. Ἀλλ' ἐπαναληπτέον τὸν λόγον. Ἔφθημεν γὰρ εἰπόντες τοὺς μὲν τρεῖς τῶν τῆς ὅλης Ῥωσίας ἡγεμόνων ὁμοῦ τοῖς σφῶν ὑπηκόοις ὀρθόδοξον ἔχειν σέβας καὶ ἡμῖν ὁμόφρονας εἶναι, τόν γε μὴν τέταρτον καὶ μάλα ἥκιστα· ὃς δὴ καὶ μεῖζον καὶ ἰσχυρότερον ἔχων κράτος κατά τε πλῆθος στρατιᾶς καὶ ὅπλων ἐμπειρίαν ἤδη καὶ τοῖς βορειοτέροις ἀνθίσταται Σκύθαις ἐκ πολλοῦ τοῦ κρείττονος, καὶ τῶν ἄλλων ἐτησίους διδόντων φόρους ἐκείνοις οὐδαμῆ ποτ' αὐτὸς, ἅτ' ὀχυρούς τινας τόπους οἰκῶν καὶ ἀγχιτέρμονας ἔχων Κελτοὺς καὶ Γαλάτας, οἳ παρὰ τὸν πρὸς ἄρκτους καὶ Θούλην τὴν νῆσον οἰκοῦσιν ὠκεανὸν, ὅθεν ζέφυρός τε ἀναῤῥήγνυται καὶ ὅποι δύων πορεύεται ἥλιος, μάχιμον ἔθνος ὡς τὰ [f. 258 b] πολλὰ καὶ οὐ πόῤῥω που γίνομαι λέγειν ἀναντιγώνιστον. Ἀλλ' ἔστιν ἀλλοτριόφρων τε καὶ τῷ ἡλίῳ τὸ τῆς λατρείας σέβας νέμων μὲν, ὑπισχνούμενος δ' ἐν τῷ ἄρτι καὶ ὁμόδοξος ἡμῖν κατὰ τὸ τῆς θρησκείας ἔσεσθαι σέβας, εἰ τῷ πρὸς αὐτοῦ πεμφθέντι πρεσβευτῇ Ῥωμανῷ τὴν τῆς ὅλης Ῥωσίας ἐπισκοπὴν καὶ μητρόπολιν ἐγχειρίσαιμεν κατὰ τοὺς νενομισμένους τῆς Ἐκκλησίας θεσμοὺς ἐκ διαδοχῆς τοῦ τετελευτηκότος ἀρτίως ἐκείνου Θεογνώστου. Ἔστεργε γὰρ αὐτῷ καὶ προσέκειτο λίαν, τοῦτο μὲν καὶ ὡς ἐκ γυναικὸς συγγενεῖ τοῦ κηδεστοῦ ῥηγὸς, ὃς ὁμορροῦντα μὲν τετύχηκεν ἔχων αὐτὸν, εὐσεβῆ δ' ἦν οὗτοσὶ καὶ τοῖς θείοις προσκείμενος δόγμασι καθ' ἡμᾶς, ὡς διὰ ταῦτα φίλον εἶναι κἀκείνῳ Ῥωμανῷ τουτῳῖ, καὶ ἡδέως αὐτοῦ ἀκούειν συχνὰ προσιόντος καὶ παραινοῦντος τὰ τῆς εὐσεβείας καὶ διδάσκοντος τά; τε δὴ τῶν προφητῶν καὶ ἀποστόλων ῥήσεις, ὡς καὶ ἀνὰ στόμα φέρειν κἀκεῖνον αὐτάς. Ἔστεργεν οὖν κἀκεῖνος Ῥωμανῷ πῶς μὲν δι' ἐκεῖνα, πῶς δὲ διὰ ταῦτα, καὶ μάλιστα ὡς προτελεσθεὶς τὰ τῆς εὐσεβείας ὑπ' αὐτοῦ δόγματα συχναῖς διδασκαλίαις καὶ παραινέσεσι· καὶ ἦν ἐγγὺς τοῦ καὶ τῷ θείῳ τελεσθῆναι βαπτίσματι. Ἦν δ' ὁ Ῥωμανὸς οὗτοσὶ τῶν εὐσε-

VIII. Sed recipiatur sermo necesse est. Narravimus tres totius Russiæ duces cum civibus religiosam pietatem colere et eamdem nobiscum fidem sequi; minime autem quartum, qui majores exercituum numeros ac nervos et armorum usum habens, gentibus septentrionalibus, ut Scythis, multo superior viribus est, et cum reliqui populi annua Barbaris vectigalia solvunt, nunquam ipse solvit, quod munita quædam loca tenet et propinquos habet Celtos et Galatas, qui ad oceanum septentrionalem et Thulam insulam versus vergentem habitant, unde zephyrus spirat et sol occidit; gens plerumque bellicosa et, quod nimium non est, invicta, sed diversæ **518** mentis et solis adorationi deditus, pollicens se in nostram religionem venturos, si Romano legato a se misso totius Russiæ sedem episcopalem et metropolim ad leges ab Ecclesia constitutas, ut subsequenti Theognostum brevi antea mortuum tradiderint. Nam ei cum amore dediti erant, orto ex soceri regis uxore, qui cum vicinum habebat; pius autem ille fuit et divinis nostris dogmatis deditus, ita ut amicus Romano esset, quem lubenter audiebat disserentem de religione et discebat prophetarum apostolorumque verba, ita ut in ore ejus versarentur. Igitur amabat ille Romanum et ob has et ob illas causas, præsertim quod ab eo in religionis dogmata initiatus erat crebris doctrinis et admonitionibus, nec multum aberat, quin sacro baptismo renovaretur. Fuit Romanus vir religione et civili prudentia et ingenio insignis, factus sacerdos et justam a legendis sacris libris scientiam et doctrinam adeptus. Quinquaginta quinque annorum ætatem agens, faciem a natura habuit venerabilem ac piam, et operi revocandæ ab superstitione illius gentis finem imposuisset, si ad missi præfecti voluntatem fieri licuisset; sed restitit divina ira Romanos nihil boni perficere patiens

519 propter polytheismi hæresin (1), quam in Ecclesiam modo antistites nefarii intulerunt. Statim enim delecto Romano surrexit quidam nomine Alexius, qui celeriter Byzantium se contulit, non inde ortus et educatus, sed pecunia vilem ab episcopis quibusdam dignitatem adeptus et ad terrigenarum Gigantum similitudinem eodem die metropolitanus factus, vir humilis et parvus et multiplex, ab omni disciplinæ prudentia alienus et multis capitalibus accusationibus, ut postea civium libri protulerunt, obnoxius. Sed pecuniarum copiam edit Cantacuzeno tum regnanti et Philotheo patriarchæ, ad utriusque voluntatem et utilitatem cum facilitate quadam offerens, et ut libere dicam, os totum obstraxit. Quorum animis conciliatis et legibus sublatis ejectisque e memoria, factum est ut tota Russia in duas partes et Romanam et Alexianam divideretur. Utinam mansisset quæ antea fuerat divisio! Sed abeuntem Romanum in partem quam sortitus erat, Alexius pluribus opibus datis et largioribus iterum prævaluit et tempore opportuno Romanum supplantavit. Quocirca brevi post spei plenus Romanus Byzantium profectus est necessitate coactus cum imperii gubernacula 520 delata esse ad Palæologum, et patriarchicam sedem ad Callistum audisset. Huic enim injuriis vexato operam daturus patriarcha et qui forte aderant sacerdotes litteras et damnationes scripserunt. Sed priusquam res ad finem perducitur, rursus adest Alexius maximam pecuniarum copiam offerens. Quibus primum patriarchæ animum cepit, materiæ terrenæ cupiditate plenum neque a mentis pravitate liberum; dein ad alios accedens unumquemque sibi conciliavit. Jam vero etiam principes viros adiit et multis pecuniis corruptos facile ad voluntatem suam traxit, qui pactum jam a Callisto patriarcha acceperant, qui sacerdotales leges se defensurum juraverat nec proditurum pacta nec sancti Spiritus gratiam tanquam venalem in foro expositurum Simonis Magi sectatoribus, dein ipse proditor esse apparuit, dignitates ac munera pretio venalia habens et alios in pravitatis societatem alliciens. Quamobrem primum retractavit quæ 521 de sancto baptismo civibus suis plurimis promiserat. Præstat enim, ait, venerari solem, toti mundo lucem, vigorem, calorem afferentem et Creatoris mundi dilucida quædam vestigia et documenta præbentem, quam avaritiæ dæmonem, quo Romanorum patriarchas nunc captos audio, si ipsorum magistri exemplum spectamus, qui diabolum pollicentem se totius terræ regna et opes daturum si procumbere et adorare se vellet, aversatus est et enixe repulit. Itaque qui in talia se insane præcipitaverit et pro iisdem eum quem Dominum et Deum sibi colendum sumpserat, rejecerit, quibus tandem pœnis, quibus suppliciis non dignus erit, quippe qui Christo Domino ac Salvatori diabolum

(1) Palamiticam scilicet.

Α δεία καὶ μοναδικὴ πολιτεία καὶ εὐλάβεια συντεθραμμένων ἀνδρῶν, ἱερωμένος τε καὶ πεῖραν ἐξησκημένος τῆς τῶν ἱερῶν βίβλων ἀναγνώσεως ἱκανήν, πέντε που καὶ πεντήκοντα ἐτῶν ἡλικίαν ἄγων ἐγγύς, καὶ εἶδος ἔχων ἐκ φύσεως σεμνὸν κομιδῇ καὶ αἰδέσιμον. Καὶ προὔβαινεν ἂν εἰς πέρας τὸ πρᾶγμα χρηστὸν περὶ τὸ ἔθος ἐκεῖνο τῆς θρησκείας ἕνεκα, εἰ ἐγίγνετο τελέως κατὰ τὴν ζήτησιν τοῦ πεπαμφότος ἐθνάρχου. Ἀλλ' ἀντέπραξεν ἡ μηδὲν τῶν χρηστῶν ἐῶσα Ῥωμαίους θεομηνία τελεῖν διὰ τὴν τῆς πολυθεΐας αἵρεσιν, [f. 259 a] ἣν οἱ τῆς Ἐκκλησίας ἄρτι προεστηκότες ἀνόμως εἰσήνεγκαν. Εὐθὺς γὰρ χειροτονηθέντος ἐνταῦθα τοῦ Ῥωμανοῦ, ἀφρόνων ἐπεφύη τις ἐκεῖθεν ἕτερος, τοὔνομ' Ἀλέξιος, κατεσπουδασμένην ποιούμενος τὴν ἐς Βυζάντιον ἄφιξιν, Β ὁμοῦ τε σπαρεὶς καὶ ἀναδοθεὶς οὐκ ἐντεῦθεν, ἀλλὰ χρήμασιν ὠνίοις πρὸς ἑνίων δῆθεν ἐκεῖθεν δεξάμενος τὴν ἀξίαν ἐπισκόπων, κατὰ τὸ τῶν σπαρτῶν καὶ αὐτὸς αὐθήμερον γιγάντων ἐκεῖνο γένος· ὤφθη μητροπολίτης, ἀνὴρ μοχθηρὸς καὶ πανοῦργος καὶ ἔμπληκτος, πάσης τε ἀλλότριος εὐλαβοῦς καταστάσεως, καὶ ἅμα πολλοῖς ἐγκλήμασι καθαιρέσεως ἔνοχος ὤν, ὡς τὰ τῶν ἐγχωρίων ἐκεῖθεν ἐληλυθότα κατόπιν ἐσήμαινε γράμματα. Ἀλλὰ χρημάτων πλῆθος κεκομικὼς, καὶ δοὺς μὲν Καντακουζηνῷ τῷ τηνικαῦτα βασιλεύοντι, δοὺς δὲ καὶ τῷ τηνικαῦτα πατριαρχεύοντι, τοὔνομα Φιλοθέῳ, ὧν ἐφίεντο δώρων ἑκάτερος, ὧν ἐδεῖτο μετὰ ῥᾳστώνης αὐτὸς ἀντελάμβανε. Καὶ συνελόντι φάναι, ἅπαν ἔφριξε C στόμα, καὶ πάσας ἐν τῷ ἀφανεῖ τεθνάναι κατηγορίας ἐκ τοῦ ῥᾴστου κατέπραξε, τὰς μὲν γνώμας σφῶν δουλωσάμενος, τοὺς δὲ νόμους συλήσας καὶ πόῤῥω μνήμης κεῖσθαι παρωσάμενος. Ὅθεν καὶ μεμερίσθαι διὰ ταῦτα συμπέπτωκε τὴν τῆς ὅλης Ῥωσίας μητρόπολιν εἰς δύο μοίρας, εἴς τε Ῥωμανὸν καὶ Ἀλέξιον. Καὶ εἶθε ἐνέμενεν ὡς τὴν πρώτην γοῦν ὁ μερισμὸς ἐγεγόνει. Ἀλλ' ἀπιόντος Ῥωμανοῦ πρὸς ἣν ἔλαχε μοῖραν, πλείω δεδωκὼς Ἀλέξιος χρήματα πλείω καὶ κρείττω καὶ τὴν μοῖραν αὖθις συγκυκήσας ἀνείληφε, ζημιώσας ἐν τοῖς καιρίοις τὸν Ῥωμανόν. Διὸ καὶ αὖθις μετὰ βραχὺ πρὸς Βυζάντιον ἐπανεληλυθέναι [f. 259 b] μεστὸν ἐλπίδων Ῥωμανὸν ἡ ἀνάγκη συνήλαυνεν, ἅτε καὶ μεταπεσεῖν αἰσθόμενον τά τε τῆς μοναρχίας ἐνταῦθα σκῆπτρα πρὸς Παλαιολόγον καὶ αὐτοὺς τῆς D πατριαρχίας θρόνους αὖθις ἐς Κάλλιστον τοὔνομα. Ἐληλυθότι δὴ οὖν βοηθεῖν, ὁπόση δύναμις, ἀδικουμένῳ τῶν πάνυ τι σφόδρα κρίνας εἶναι δικαίων ὁ πατριάρχης, ὁμοῦ τοῖς παρατετυχηκόσι τηνικαῦτα ἀρχιερεῦσι, τὰ ἐπὶ τούτοις παρεσκευάζοντο γράμματα καὶ ψηφίσματα. Ἀλλὰ πρὶν ἐς πέρας ἰέναι, πάρεστιν αὖθις Ἀλέξιος χρημάτων ἐπιφερόμενος πλεῖστα βαλάντια, δι' ὧν τὴν τοῦ πατριάρχου χειρωσάμενος γνώμην τὰ πρῶτα, ὕλης γηγενοῦς ὑπερφυῶς ὀρέξεσιν ἡλικιῶτιν οὖσαν καὶ δεσμῶτιν οὐκ ἐξῶ φαυλότητος λογισμῶν, ἔπειτα περιῇει τοὺς ἄλλους ἀναλόγως· διδοὺς καὶ δουλούμενος καθ' ἕκα-

στον ἅπαντας. Ἴδῃ δὲ καὶ τοῖς ἄρχουσι προσιὼν, καὶ παραβύων ἀβρότερα κέρματα, ῥᾷστα καὶ σφᾶς πρὸς τὸ βουλόμενον εἶλκε, τὸ συγκεχωρηκὸς εἰληφότας ἤδη παρὰ τοῦ πατριάρχου Καλλίστου, ὃς τὸν τῆς ἱερωσύνης κανόνων πρόμαχος εἶναι ὁμωμοκὼς, καὶ μὴ προδότης γίνεσθαι τῶν ταύτης θεσμῶν, μηδὲ τὴν ἄπρατον χάριν τοῦ Πνεύματος ὤνιον ὡς ἐν ἀγορᾷ προτιθέναι τοῖς κατὰ Σίμωνα τὸν Μάγον ζητοῦσιν, ἔπειτα αὐτός τε παραβάτης ὤφθη περιφανὴς, διακυβεύων τὰ τίμια, καὶ τοὺς ἄλλους προτρεπόμενος ἀπαρακαλύπτως ἐς τὴν τοῦ κακοῦ κοινωνίαν. Καὶ διὰ ταῦτα ἀπηνήνατο ἐς προῦπτον τὰς πρὶν ὑποσχέσεις ἐκείνας αἱ περὶ τοῦ θείου βαπτίσματος ἦσαν αὐτῷ παρεσκευασμέναι σύν γε τοῖς ὑπηκόοις κομιδῇ παμπληθέσιν ὑπάρχουσιν· βέλτιον γὰρ ἔφησεν ἡλίῳ λατρεύειν, κόσμον ὅλον φωτίζοντι καὶ ζωοῦντι καὶ περιθάλποντι, καὶ τῆς τοῦ πάντων εἰκόνος δημιουργοῦ σαφῆ τινα φέροντος ἴχνη καὶ σύμβολα, ἢ τῷ τῆς φιλαργυρίας δαίμονι, [f. 260 *a*] ᾧ τοὺς τῶν Ῥωμαίων ἀκούω νυνὶ πατριάρχας ἁλίσκεσθαι, εἰ χρὴ κατὰ τὸν τῶν αὐτῶν ἀποφήνασθαι διδάσκαλον, ὃς ὑπισχνουμένῳ τῷ διαβόλῳ δώσειν βασιλείας τε καὶ χρήματα γῆς ἁπάσης, εἰ βούλοιτο προσκυνεῖν καὶ λατρεύειν αὐτῷ, ἐπετίμησέ τε καὶ ἀπεκρούσατο μάλα σφοδρῶς· ὥστ' ὀ τούτοις ἐκθύμως ἐγκυδιστῶν, καὶ ἀντὶ τούτων αὐτὸν προτέμενος ὃν εἵλετο Δεσπότην ἔχειν καὶ Θεὸν, ποίων μὲν κολάσεων, ποίων δὲ πρηστήρων οὐκ ἄξιος εἴη ἂν, Δεσπότου χρηστοῦ τε καὶ εὐεργέτου διάβολον ἀλλαττόμενος ἐχθρὸν καὶ πολέμιον, καὶ οὐδὲ τουτονὶ τὸν ὑπ' ἐμοῦ τιμώμενον ἥλιον αἰδεῖται μάρτυρα τῆς ἀναιδείας ὁρῶν ἑαυτοῦ, ὅτι τὸν καὶ αὐτοῦ δημιουργὸν γνήσιος ὅλῃ ψυχῆς προαιρέσει προΐεται χρήμασι; Σαφῆ γὰρ εἶναι ταύτην ἔγωγε τίθεμαι εἰδωλολατρείαν· τὸν μὲν γὰρ ἥλιον στοιχεῖον ἐξ ἀρχῆς εἶναι κατειλήφεσαν ἄνθρωποι συστατικὸν τῆς τῶν ἐν γῇ πάντων φύσεως· χρυσὸς δὲ καὶ ἄργυρος ἅπας γῆ πατουμένη καὶ τοῖς εὐφρονοῦσι πρὸς μηδὲν ἀγαθὸν χρησιμεύοντα· πῶς γὰρ ἂ μηδ' εἰκόνος εἴδωλον ἡλίου σώζειν δύναται; Εἰ δὲ καὶ πρὸς ἀνιέρου; καὶ βεβήλους πράξεις καταδαπανᾷ τῆς φιλαργυρίας τοὺς τρόπους ὁ καὶ προϊστασθαι λαχὼν, καὶ λαλεῖ μὲν πρὸς ἀργύριον, χρημάτων δ' ὤνιον τὸ τῆς ἱερωσύνης ποιεῖται ἀξίωμα, καὶ τούτων οὐ μικρῶν τινων καὶ βραχύτητι περικλειομένων ὄγκου καὶ ἀριθμοῦ πηλικότητι καὶ ποσότητι, ἀλλὰ καὶ τοὺς τοιούτους ὅρους ὑπερβαινόντων τε καὶ ὑπερεκτεινομένων, ποῦ οὐκ ἂν ἐλάσειεν ὕβρεώς τε καὶ ἀτοπίας ἡ ἀκρασία; Τίνας δ' οὐκ ἂν ὑπερβαίη Καυκάσους ὁρῶν καὶ Ταναΐδος ἐκβολὰς καὶ Σκυθῶν ἀγριότητα; ἡ φήμη βαδίζουσα τῆς αἰσχρότητος; Ἤ τίς ἂν καὶ ὁποία ποτὲ συσταίη πολιτεία βεβαίας τὰς τοῦ μένειν οὐκ ἐπίπαν αὐχοῦσα κρηπῖδας; Τίνες δ' ἂν οἰκιῶν καὶ πόλεων διοικήσεις εὐνομηθεῖεν ὅπουπερ ἂν οἱ τῶν κανόνων καὶ νόμων προστάται, τῶν χρηστῶν ἀμελοῦντες; [f. 260 *b*] ἠθῶν, παρευημερεῖσθαι δρῶσι τὰ τῆς δικαιοσύνης ἀνάκτορα, καὶ παρὰ φαῦλον τίθενται τὰ τῶν νομίμων κράτη, καὶ τὸ ψεῦδος προτιμῶσι τῆς ἀληθείας, καὶ νόμον τὴν ἀνομίαν ἡγοῦνται, καὶ ψῆφον δικαιοσύνης τὸ τὰς

hostem et inimicum anteponat et ne hunc Solem quidem, quem equidem veneror, edito impietatis testimonio vereatur? Apertam ego hanc esse idololatriam statuo. Solem enim primum rerum elementum esse componens universi naturam homines intellexerunt. Aurum vero et argentum omne per orbem terrarum sanis quidem hominibus ad bonum nihil prosunt, quippe quæ solis imaginis ne umbram quidem servare possint. Sin vero ad impia et scelerata negotia adhibet avaritiæ dolos **522** is cui præesse contigit, et loquitur quidem contra argentum, verum sacerdotii dignitatem reddit venalem pecuniis non parvis neque ad magnitudinem modicis neque ad numeri multitudinem, sed quæ ejusmodi modum valde exsuperent, quousque hæc per veniet immoderata superbiæ et insolentiæ turpitudo? Nonne Caucasum montem et Tanais impetum et Scytharum immanitatem superat hic impudentiæ rumor? Quæ et qualis unquam respublica firma steterit, quæ non fundamenta firma tenuerit? Num familiæ et civitates bene administrentur, ubi qui observandis legibus ac normis præsunt, neglectis probe institutis, justitiam potestate et dignitate detrahunt et legum auctoritatem ad nihilum redigunt, qui mendacium veritati anteponunt, qui legem illegem ducunt et justitiam juris inquinationem, qui denique quemadmodum civitatibus et urbibus suis aperiendis et propalam evertendis diu noctuque operam dant, ita sedem et domicilium similiter in cœlestibus thronis immobile et immutabile tenere se secure putant, male periti illi et inscii non aliter, ac cæci qui ne ante pedes quidem quæ jacent videre possunt. Fructus enim tantæ malignitatis et **523** insolentiæ qui a tergo sequuntur cernentes, magis quæ ante oculos positæ sunt semper improbitatis pœnas nequaquam animadvertunt, sed insanorum similes dentes suis corporibus injicere satagunt, quasi quamplurima emolumenta et quam plurimæ sortes evenerint terra marique, nec plane contrarium acciderit, cum usque ad portas et, ut ita dicam, ædificia eorum pœna progrediatur et in ignis modum aucta pestem carpat porro et in stipulas ante oculos positas flammæ impetus libere irrumpat. Quapropter si quis me vituperarit, oportebit ter infelices eos appellem, quibus acciderit administrare et regere non levem et inanem materiam, sed magnum bonum, et pretiosissimum et omni morte superius, hominis scilicet animam. Cui enim legis ac normæ rationem tenere accidit et cæteris exemplo esse injungitur, is si non secundum nomen regit nec quæ ad legem et normam pertinent agit, sed impie factis sanctum nomen polluit, aperte docet non pejores a melioribus, sed meliores a pejoribus esse regendos. Miserius autem puto et perniciosius esse populis et familiis, imperatoribus et civibus, juvenibus et senibus, viris et mulieribus, divitibus et pauperibus, fere omnibus **524** peritis et imperitis, si melioribus pessimi imperant. Nam præfectorum im-

probitatem non direxeris unquam ad bonas leges, nec si quid respublica ægrotet ad pristinam felicitatem reditum facile effeceris, sed plane contrarium feceris, quam si chorostata et magister instituit et claudicare docet inter pulchri et veri cancellos. Vicina sibi ægrotum et validum, et prosperum semper spectat ad vanum. Et si quis desertum quasi socium sibi sumpserit, ejus vita a legibus et qua instituta est vivendi ratione discrepat. Quemadmodum enim justitia consociationem facit, ita disjunctio ab justitia et in deserto habitatio bestialem et omnino immanem vitam reddit. Urbem enim ex ædificiis compositam publicæ salutis fundamentum esse et justarum legum obstrictam cancellis necesse est. Cui igitur ob inscitiam commodi minime convenit administratio familiæ, tanquam magnæ partis civitatis, multum deerit ut toti urbi præsit. Quemadmodum igitur homo, cui jus et leges innatæ sunt, optimus esse et optime rem regere poterit, ita, cui non insunt, pessimum fieri et pessime rem administrare eum ex contrario sequitur. Homo enim a natura præditus **525** quasi instrumentis ad varias virtutes exercendas, si non velit ad jus et leges regi et regere, labentem et deperditam totam urbem, civitatem, domum, omnes omnino res brevi ostendet, neque aliud quidquam ei, qui virtutis instrumentis male utitur, superest, quam ut ad ignis similitudinem urat et in perniciem trahat, quibus brevi antea felicitatis quid adhuc inerat. Dicat igitur mihi quispiam, num aliunde in ejusmodi diabolorum fines magna illa et talia eorum facta pervenerint. Profecto non aliunde, nisi ab semet ipsis, e domo in domum, ut dicitur. Multo equidem lubentius cum justitia et æquitate solem et Deum solis Creatorem propalam semper venerer, quam ut ob avaritiam pestem turpissimam cum iniquitate et injustitia vitam transigam et variis ac multiplicibus maculis baptismum quem animæ lavacrum dicunt polluam. Quis enim et quomodo me baptizabit ejusmodi macularum semper plenus et mihi tantopere suspectus? Non enim auditores legis justi sunt apud Deum, sed factores legis justificabuntur; et in omni gente qui veretur Dominum gratus ei est; non enim persona valet apud Deum, sed quisquis invocabit nomen Domini salvabitur. **526** Et indignatio et ira et tristitia in animam uniuscujusque hominis malum facientis, Judæi primum, et Græci; gloria vero et gratia et pax unicuique bonum facienti, Judæo primum et Græco.

ψήφους τῆς δίκης αἰσχροποιεῖν· καὶ ἦν τῶν τοιούτων καὶ πόλεων σφῶν προφανῆ καὶ ὕπαιθρον κατάλυσιν νύκτωρ καὶ μεθ' ἡμέραν οὐ λήγουσιν αὐτοὶ καθ' ἑαυτῶν ἐργαζόμενοι, ταύτην ἕδραν καὶ στάσιν ἐπ' ἴσης τοῖς οὐρανίοις πόλοις πρὸς ἀσφάλειαν τὸ ἀκίνητόν τε καὶ ἀναλλοίωτον ἔχειν οἰόνται, κακῶς εἰδότες καὶ λίαν ἀμούσως, καὶ μηδὲν ἄμεινον ἢ ὥσπερ οἱ τυφλώττοντές τε καὶ μηδὲ τὰ ἐν ποσὶν ὅλως ὁρᾷν δυνάμενοι· καὶ οὗτοι γὰρ κατόπιν ἑπομένους ὁρῶντες τοὺς τῆς τοσαύτης καὶ τηλικαύτης κακοτροπίας καὶ ἀτοπίας καρποὺς, μᾶλλον δὲ πρὸ ὀφθαλμῶν κείμενα νύκτωρ καὶ μεθ' ἡμέραν τὰ τῆς σφῶν κακίας ἐπίχειρα, οὐδαμῆ ἐπαΐουσιν, ἀλλ' ἐπ' ἴσης τοῖς μαινομένοις τὰς σφῶν αὐτῶν ἐσθίοντες σάρκας χαίρουσιν· ὥσπερ ἂν εἰ προσετίθεσαν κέρδεσι κέρδη καὶ κλῆρῳ κλῆρον γῆς καὶ θαλάσσης, καὶ μὴ πᾶν τοὐναντίον ἔπασχον, ἄχρι πυλῶν καὶ αὐτῶν εἰπεῖν οἰκιῶν τῆς σφῶν ζημίας ἀεὶ προχωρούσης καὶ δίκην πυρὸς αὐξομένης κἀπὶ σφετέρῳ κακῷ νεμομένης τὰ πρόσω, καὶ μάλισθ' ὅταν καλάμης κατὰ πρόσωπον ἱσταμένης λαμπρῶς ἐπιδράττηται τοῦ πυρὸς ἡ φορά. Εἰ οὖν ἐμοῦ, φησὶ, κατηγορεῖ ἐθέλοι τις τοιαῦτα, πολλοῦ μέντ' ἂν δεήσειε τρισαλίους αὐτοὺς καλεῖν, καὶ ταῦτα ποιμαίνειν λαχόντας καὶ ῥυθμίζειν οὐ ῥέουσαν ὕλην καὶ φθειρομένην ἀεί, ἀλλὰ τὸ μέγα κτῆμα καὶ τιμιώτατον καὶ θανάτου παντὸς ἀνώτερον, τὴν ἀνθρώπου ψυχὴν δηλαδή· ᾗ γὰρ εὐθυντῆρος καὶ κανόνος ἔχειν συμπέπτωκε τύπον, καὶ ὃς ἀρχέτυπον ἄλλων εἶναι πεπίστευται, οὗτος εἰ μὴ κατὰ τοὔνομα πολιτεύοιτο, μηδὲ τὸ προσῆκον ἀποδοίη τῇ τοῦ κανόνος καὶ τῆς εὐθύτητος ἀρετῇ, [f. 261 *a*] ἀλλὰ πράγματα ἀνοσίοις δόξαις περιτιθείη χρηστὸν, δείκνυσιν ἐναργῶς μὴ τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος εἶναι ἀρχόμενον δεῖν, ἀλλὰ τὸ γε κρεῖττον ὑπὸ τοῦ χείρονος. Σχετλιώτερον δ' οἶμαι καὶ οὐ μάλα εὐσχήμονος εἶναι δλέθρου δήμους τε καὶ οἴκους, ἄρχουσί τε δὴ καὶ ἀρχομένους, νέους καὶ γέρουσιν, ἀνδράσι τε καὶ γυναιξὶ, πλουσίους τε καὶ πένησι, καὶ πᾶσι σχεδὸν λογικοῖς καὶ ἀλόγοις, ὅτον τοῖς βελτίοσι νομοθετῶσιν οἱ κάκιστοι· οὐ γὰρ τὸ διεφθορὸς τῶν ὀρώντων κατευθυνθείη ἂν ποτε πρὸς εὐνομίαν, οὐδ' εἴ τι νοσοίη τῆς πολιτείας, παρασκευασθείη πρὸς τὴν πρὶν εὐεξίαν παλινδρομεῖν, ἀλλὰ πολλῷ τοὐναντίον γένοιτ' ἂν, παραπαιδαγωγοῦντος τοῦ χοροστάτου καὶ διδασκάλου, καὶ χωλεύειν ποιοῦντος τοῦ καλοῦ καὶ τῆς ἀληθείας τὸν δρόμον. Πρόξενος γὰρ αὐτὸς ἀντικρυς γίνεται νοσεῖν καὶ τὸ ὑγιαῖνον, καὶ ἐξ οὐρίας ἀεὶ καταβαίνειν πρὸς τὸ φθειρόμενον· καὶ ὁ τὴν ἐρημίαν ὡς ἐπίπαν ἐκτήσατο πάρεδρον, ἀντιφωνοῦντος σὺτῷ τοῦ βίου τοῖς λόγοις καὶ ᾗ τέτακται διοικήσει· ὥσπερ γὰρ δικαιοσύνη κοινωνίας ποιητικὸν, οὕτως ἀκοινώνητον ἀδικία καὶ σύνοικον ἐρημίᾳ, θηριώδη ποιοῦσα τὸν βίον καὶ παντάπασιν ἄγριον. Τὴν γάρ τοι πόλιν ἐξ οἰκιῶν συγκειμένην κοινωνικῆς εὐταξίας θεμέλιον εἶναι ἀνάγκη καὶ νόμων δικαίων ἐμπεφραγμένην δεσμοῖς· ᾧ γοῦν οἰκίας δι' ἀμαθίαν τοῦ κρείττονος ἥκισθ' ἁρμόττει προστασία, πολλοστοῦ τινος μέρους μακρᾶς πολιτείας, πολλοῦ μέντ' ἂν δεήσειε δεόντως πόλεως ὅλης προστῆναι. Ὡς γοῦν τῶν ἀνθρώπων ᾧ δίκη καὶ εὐνομία συντέθραπται, τούτῳ καὶ τὸ βελτίστῳ τε εἶναι καὶ κατὰ τὸ βέλτιστον ἄρχειν προσγίνεται, οὕτως ᾧ μὴ, τούτῳ καὶ χειρίστῳ γίνεσθαι κατὰ τὸ ἀντίπαλον ἕπεται καὶ παγχάλεπον ἄρχειν ἀρχήν. Ὄργανα γὰρ ἐκ φύσεως ἄνθρωπος ἔχων πρὸς ἀρετῶν ἐργασίαν πολυειδῶν, εἰ μὴ βούλοιτο δίκῃ τε καὶ εὐνομίᾳ διοικεῖσθαι καὶ διοικεῖν, παγχάλεπον καὶ ἐξίτηλον πόλιν πᾶσαν καὶ πολιτείαν καὶ οἰκίαν καὶ συλλήβδην ἅπαντα φάναι πράγματα δεῖ-

ξιεν ἂν ἐν βραχεῖ· καὶ οὐδὲν ἕτερον τούτῳ λελείψεται ἢ τοῖς τῆς ἀρετῆς ὀργάνοις κακῶς χρωμένῳ δίκην πυρὸς ἐμπιπρᾷν καὶ ᾄδου μυχοῖς παραπέμπειν, καὶ εἴ τι σφίσι χθές που καὶ πρώην προσῆν ἐκείνοις τὸ εὐδαιμον. Εἰ δ' οὖν, φρασάτω μοί τις παρελθών, πόθεν ἄλλοθεν ἐς τοιάσδε κακοδαιμονιῶν ἐσχατιὰς τὰ μέγιστ' ἐκεῖνα καὶ τηλικαῦτα κατενήνεκται [f. 261 *b*] σφίσι πράγματα. Πάντως οὐδαμόθεν ἢ κατ' αὐτῶν ἐξ αὐτῶν, οἴκοθεν οἰκαδε, τὸ λεγόμενον. Ἤδ.ον γοῦν ἔγωγ' ἂν πολλῷ μετὰ δικαιοσύνης καὶ εὐνομίας ἡλίου τε καὶ τοῦ τὸν ἥλιον πεποιηκότος Θεοῦ διατελοίην σαφὴς λατρευτὴς, ἢ διὰ φιλοχρηματίαν, αἰσχίστην νίσον αἰσχίστου τρόπου, μετὰ ἀνομίας καὶ ἀδικίας εἶην ἀνύων τὸν βίον, καὶ παντοδαποῖς τε καὶ ποικίλοις μιάσμασι καταβαπτίζων ὅ φασι ψυχῆς καθαρτήριον βάπτισμα. Πῶς γὰρ καὶ τίς με βαπτίσει τηλικούτοις ἑαυτὸν ἐμπιπλὰς ἐφ' ἡμέρᾳ πάσῃ καὶ νυκτὶ μολυσμοῖς, καὶ τοσοῦτον ὑπ' ἐμοῦ καταγινωσκόμενος; Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι, φησὶ, παρὰ τῷ Θεῷ, ἀλλὰ οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται· καὶ ἐν παντὶ ἔθνει ὁ φοβούμενος τὸν Κύριον δεκτὸς αὐτῷ ἐστιν. Οὐ γὰρ ἔστι προσωποληψία παρὰ τῷ Θεῷ, ἀλλὰ πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. Καὶ θυμὸς καὶ ὀργὴ καὶ θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακὸν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος· δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.

Θ'. Τοσαῦτα καὶ τοιαῦτα σὺν ὀργῇ καὶ ζήλῳ διεξελθὼν ὁ ῥὴξ ἐκεῖνος ἐνταῦθα τὸν λόγον κατέπαυσε, τὴν δὲ γνώμην εἶχεν ἠρεθισμένην πρὸς ἄμυναν ὑπὲρ ὧν προσῆκε τῷ Ῥωμανῷ. Ἔξεστι δ', οἷς τῇ ἀκοῇ σύνεσις ἀπαθὴς συνοικεῖ, κρίνειν εἰ προσήκοντος ἔχεται λόγου τὰ εἰρημένα· ἔξεστι δ' αὖθις συλλογίζεσθαι ἔτι καὶ εἰ Χριστιανῶν παισὶν εὐσεβέσιν ἀνεκτὸν οὕτω γῆς καὶ θαλάττης ὡς πορρωτάτω τῆς αἰσχίστης ταυτησὶ κακίας τὴν φήμην δραμοῦσαν μέχρις Ὠκεανοῦ καὶ Σκυθῶν ἀφικνεῖσθαι, καὶ τοσοῦτον τὴν τῆς αἱρέσεως αὐξήσασαν βλάστην διαπεφοιτηκέναι πανταχῇ τῆς Ῥωμαίων Ἐκκλησίας τὰς ὕδρεις κομίζουσαν, κρηπῖδας ἀφθόνων πηγῶν εἰληφυῖαν τὰς τῶν νῦν πατριαρχῶν τε καὶ ἐπισκόπων ἀ.όπους καὶ παρανόμους πράξεις καὶ ἣν τετυραννηκότες δογμάτων ἐνέπλησαν πονηρῶν Ἐκκλησίαν αὐτοί· οὐ γὰρ ἐν παρεδύστῳ τὰ βέβηλα δρῶσιν οἱ ἀναιδεῖς, οὐδ' εἰς ἀφεγγές που καταδύντες χωρίον, ἀλλ' ἐν ὑπαίθρῳ καθ' θεάτρῳ πομπεύουσι πάσῃ τῇ οἰκουμένῃ τὴν σφῶν αὐτῶν ἐξάγιστον ἀθελονταὶ μοχθηρίαν αὐτοί. Οὕτω; ἐξόριστος παντάπασι καὶ κομιδῇ γε ἀλλότριος τῶν τῆς ἀρχαίας γέγονεν ἠθῶν πολιτείας ἡ δικαιοσύνη καὶ φρόνησις, καὶ εἴ τι σεμνότητος [f. 262 *a*] καὶ εὐσχημοσύνης ἐνῆν ἀγαθὸν, ὡς ἐξεῖναι λέγειν νῦν ἐνταυθοῖ καὶ ἡμῖν ἃ πάλαι θεὸς διὰ τοῦ προφήτου φθέγγεται Ἰεζεκιὴλ περὶ Ἱερουσαλήμ. « Εἰπὲ, γάρ φησι, πρὸς τὴν θυγατέρα τὴν ἀσύνετον Ἱερουσαλήμ· Οὐχ ἥμαρτεν ἀδελφὴ σου Σόδομα κατὰ τὰ ἡμίσεια τῶν ἁμαρτιῶν σου, καὶ ἐδικαιώθη Σόδομα ἐκ σοῦ· » τουτέστι Σόδομα δικαιά ἐστι κατὰ σύγκρισιν σὴν, ὡς ὁ θεῖος φάσκει Χρυσόστομος. Ἔστι δὲ οὐκ ἄδηλον, οἶμαι, φρονίμων οὐδέσιν ἀνδρῶν ὡς εἰς τὴν μυθικὴν ἐκείνην ἔριν καὶ οὗτοι τὴν μίμησιν ἀναφέροντες, μεταξὺ τὴν διαίρεσιν ἀντὶ μήλου τῇ τοῦ ἔθνους ἐπαρχίᾳ ἐκείνου παρίῤῥιψαν, τὴν μὲν μίαν εἰς δύο διελόντες μητροπόλεις, τὰς δ' ὑπ' ἐκείνην ἐπισκοπὰς ἄλλοθεν ἄλλοθι μεταθέντες, ὡς ἂν πρὸς ἀλλήλους οἱ ταύτας λαγχάνοντες πρόφασιν ἔριδος ἔμμονον ἔχωσι, καὶ ἅμα ἀνάγκην ὡς εἰς μεῖζον ἰέναι κριτήριον τοὺς τῆς Κωνσταντινουπόλεως πατριάρχας, ἐγκλήματα μὲν κατ' ἀλλήλων, ὑπὲρ δ' ἑαυτῶν ἁδρὰ κομιδῇ κομίζοντες χρήματα, οὔτ' ἐκεῖνοι φυλὴν τινὰ καὶ ἀνανδρον σποδὸν ὑπέρ γε τοῦ τὸν ἕτερον ἕτερος περιέ-

IX. Hæc ubi cum ira et acerbitate locutus est, orationem inhibuit et mentem incensam habuit ad ea, quæ ad Romanum spectabant, repellenda. Licet autem quibus sana ratio inest, dijudicare, num dicta habeant justam sententiam. Licet porro dignoscere, num Christianorum piis filiis tolerabile sit hujus turpissimæ improbitatis famam tantopere terra marique crescentem ad Oceanum et Scythas usque pervenire, tantopere auctam sectæ stirpem ubique divulgari, Romanæ Ecclesiæ superbiam inferentem, fundamenta uberrima nanciscentem, nempe patriarcharum et episcoporum iniqua et injusta facinora et, quam per tyrannidem pravis dogmatis implevere, Ecclesiam. Non enim in abscondito nefanda agunt impii illi, neque in obscurum abditi locum, sed in foro et in omnium conspectu per totum terrarum orbem suam ex industria obscœnam pravitatem præ se ferunt. Tantopere remota et omnino sejuncta est ab antiquæ civitatis institutis, justitia et prudentia, et si **527** quod auctoritatis et dignitatis bonum inerat, ut jam dici possit apud nos, quod olim Deus per prophetam Ezechiel de Hierosolyma locutus est: «Loquere, inquit, ad filiam imprudentem Hierosolyma: Non peccavit soror tua Sodoma ad dimidium peccatorum tuorum, et justificata est Sodoma ex te,» hoc est, Sodoma justa est tecum comparata, ut D. Chrysostomus dicit. Non autem obscurum puto esse prudentibus viris, quemadmodum illi antiquam hanc litem imitati hæresin quasi malum in gentis illius imperium injecerunt, una in duas divina metropoli, illius episcopis huc illuc dimissis, ita ut qui has obtinent perennem litis causam habeant, et necessario ad majorem auctoritatem perveniant Constantinopolitani patriarchæ, tanquam crimina quidem, sed ad suam utilitatem divitias conferentes uberrima. Neque segnem et languentem laborem ostendunt, ut alter alterum anteveniat, illis qui inde donorum copiam apportant ad obtinenda sacra munera et episcoporum sedes, neque levem et inconsultam prudentiam adhibent ad litis flammam quam maxime excitandam et augendam. Sed magnam et variam incendii materiam comportant, commodum ad tempus quæstum **528** aditum, unde ea quibus inser-

viunt facile assequantur. Omnia dissolvunt et permutant hic illic, quæ heri aliter constituerant; quæ tribus ante diebus alia administrarunt ratione, hodie aliter componunt, et cras aliter component, quo frena trahunt, eorum, qui huc utrinque immensas divitias mittunt, graviores ponderis momento manus. Atque his studiis et contentionibus turpis et insidiosæ litis, tanquam ulceris continuo membra carpentis et exedentis, finis nullus est neque iniqui quæstus et injustæ usurpationes ullo modo terminantur.

A ναι δεικνύντες τοῖς ἐκεῖθεν κομιζομένοις τῶν δώρων πλήθεσιν ἐπ' ἀναλήψει τῆς ἱερατείας καὶ τῆς τῶν ἐπισκοπῶν προεδρίας, οὔθ' οὗτοι πρόνοιαν ἐρρᾳθυμημένην καὶ ἀναπεπτωκυῖαν ἐν τούτοις ἄγοντες πρός γε τὸ ἐρεθίζειν τε καὶ ἀναῤῥιπίζειν εἰς ὅτι πλεῖστον τὴν φλόγα τῆς ἔριδος, ἀλλὰ πολλὴν καὶ διάφορον ἐπισωρεύοντες ὑπεκκαύματος ὕλην, μάλα ἀνύσιμον σφίσιν αἰσχροκερδείας ἐφόδιον γινομένην. Ὅθεν καὶ ῥᾷστα περαίνοντες διετέλουν ἐφ' οἷς ἐμισθοῦντο, συχνὰ μὲν καταλύοντές τε καὶ μεταῤῥιπτοῦντες ἔνθεν καὶ ἔνθεν ἃ χθὲς ἄλλως ᾠκοδομήθησαν, ἃ δὲ πρότριτα καθ' ἕτερον διενείμαντο τρόπον, ὡς ἑτέρως μεταῤῥυθμίζοντες σήμερον καὶ ὡς ἑτέρως τὴν ὑστεραίαν, ὅπη τὰς ἡνίας ἕλκει τε καὶ ἀνθέλκει τῶν ἐκεῖθεν ἐνταῦθα συχνὰ πεμπομένων διχόθεν χρημάτων ἡ μᾶλλον θατέρου βρίθουσα δεξιά. Καὶ τῶν τοιούτων ἀγώνων καὶ παλαισμάτων τῆς κακομηχάνου τε [f. 262 *b*] καὶ μυσαρᾶς ἔριδος ταυτησὶ, δίκην ἕλκους διηνεκῶς ἠρέμα τὰ πρόσω νεμομένης καὶ προχωρούσης, ὅρον εἶναι συμβαίνει μηδένα, μηδὲ λῆξίν τινα τῶν ἀτόπων τε κερδῶν καὶ πονηρῶν λημμάτων.

---

# ΤΟΥ ΑΥΤΟΥ

## ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΛΟΓΟΣ ΛΖ'.

# EJUSDEM

## BYZANTINÆ HISTORIÆ LIBER XXXVII [1]

I. Equidem cum supra narratis plura ac graviora habeam quæ adnectantur historiæ ad nonnullorum qui bene intelligunt adhortationem : nam medicum esse posteris historiam scimus, laudatorem quidem omnium qui bona laudent et sequantur, reprehensorem vero omnium qui mala reprehendere nolint; vereor, ne in propositi mei contrarium incidam. Oportet enim, velut infinito pelago temporis, quo multis modis et subita conversione et ut ita dicam volutatim continuo fluit natura et in aliam semper abit corruens propter infinitam et immutatam vim orientium omni tempore et varia specie accedentium imaginum et rerum, explicare et subducere cognationem similitudinum **530** conversarum et confusarum in non aptam unitatem. Quare, cum non omnes ad meliora imitanda convertere sese possint propter innatam morum pravitatem, timendum ne in contrarium quidam imitationem vertant et in historia reprehensionem malorum in ipsorum labem accipiant, et aliorum forte impudentiam et temeritatem tanquam exemplum sibi proponant. Cujus rei exemplum nunc quod in memoria est, proferam. Paucis igitur verbis et quæ satis sint ad historiæ narrationem, demonstrabo, quomodo

B [Cod. Reg. 3075. fol. 83 r.] Α'. Ἐγὼ δὲ τῶν εἰρημένων πλείω καὶ μείζω συνείρειν ἔχων τῇ ἱστορίᾳ πρὸς ἐνίων οἳ καλῶς ἀκούειν ἴσασι διόρθωσιν (ἰατρὸν γὰρ τὴν ἱστορίαν τοῖς ὀψιγόνοις πεπείσμεθα γίνεσθαι, ἐπαινοῦσαν μὲν ὁπόσοι τἀγαθὸν ἐπαινοῦσί τε καὶ προσίενται, λοιδοροῦσαν δ' ὅσοι τὸ κακὸν οὐ βούλονται λοιδορεῖν), δέδια μὴ λάθω τοὐναντίον οὗ βούλομαι δρῶν. Ἐγχωρεῖ γὰρ ὡς ἐν ἀπείρῳ πελάγει τῷ χρόνῳ πολυτρόπως καὶ ἀγχιστρόφως καὶ ὡς εἰπεῖν ἑλικοειδῶς ἀεὶ ῥεούσης τῆς φύσεως, καὶ ἄλλοτ' ἄλλως περιπετοῦς ἑαυτῇ γινομένης διὰ τὴν ἀτέκμαρτον ἰδιοτροπίαν τῶν ἑκάστοτε φυομένων καὶ ἐπιφυομένων πολυειδῶς προσώπων καὶ πραγμάτων, ἐξελίττειν καὶ ἀνελίττειν ἔστιν οὗ καὶ ἔστιν ὅτε συγγένειαν ὁμοιοτήτων τινῶν περιαγομένην τε C καὶ περαινομένην εἰς παράδοξόν τινα τὴν ταυτότητα. Ὡς εἶναι δέος ἐντεῦθεν μὴ οὐ πάντων εἰς μίμησιν τοῦ βελτίονος παρῳθήσειεν ἑαυτοὺς δυναμένων δι' ἔμφυτον ἔνιοι κακοτροπίαν ἐπὶ τοὐναντίον τῇ μιμήσει χρήσωνται, καὶ τὴν ἐν ἱστορίᾳ διαβολὴν τῶν κακῶν ἐπὶ σφετέρᾳ μιμήσωνται βλάβῃ, τὴν τῶν φθασάντων ἀναισχυντίαν καὶ τόλμαν οἷόν τι παράδειγμα προβαλλόμενοι. Ὅθεν ἑνός τινος ἔτι μνησθεὶς ἀπαλλάξομαι, διὰ βραχέων μέντοι καὶ τοῦτον,

(1) Hunc librum jam ediderat D. Val. Parisot in *Notices et Extraits des mss. de la Bibliothèque royale*; quod editorem Bonnensem certe non fugit, sed de quo tacet.

καὶ δι' ὅσων ἀποχρήσειεν ἂν τῷ τῆς ἱστορίας λόγῳ δεῖξαι πῶς τῆς Παλαμικῆς αἱρέσεως ἐπὶ λύμῃ τῶν ἱερῶν τῆς Ἐκκλησίας δογμάτων παραδύσης ἅπανθ' ὁμοῦ συγκέχυται πράγματα, καὶ διέφθαρται τὸ τῆς Ἐκκλησίας ἀρχαῖον ἦθος ἐκεῖνο, καὶ ἀνατέτραπται καὶ [f. 263 a] ἀπόλωλεν εἴ τι σεμνόν τε καὶ τίμιον τῆς ὅλης ἦν πολιτείας, συσταλείσης, οἶμαι, τῆς τοῦ θεοῦ δεξιᾶς ὅσον αἰσθέσθαι τοὺς τῆς κακίας ταύτης προπάτας καὶ ἀρχηγοὺς, καὶ πρὸς ἐπιστροφὴν ἐλθεῖν πρὶν εἰς καταστροφὴν κατελθεῖν, ἐνδιδόντος θεοῦ τοῦ διὰ Δαβὶδ παραινοῦντος μὴ διδόναι πρὸς σάλον τὸν πόδα, ἵνα μὴ νυστάξῃ μηδὲ ὑπνώσῃ ὁ φυλάσσων τὸν Ἰσραήλ. Ὡς εἶναι κἀνταῦθα δέος μὴ πολλῷ κἀκείνων κακίοσιν οὖσι καὶ τοῖς τῆς Ἐκκλησίας ταύτης προέδροις ἡ πάλαι κατὰ τῶν Ἰουδαίων ἀποφαντικὴ σὺν θυμῷ κατερράγη ψῆφος, λέγουσα, «Ἐὰν προσφέρητέ μοι σεμίδαλιν, μάταιον· θυμίαμα βδέλυγμά μοί ἐστι· καὶ ἐὰν ἐκτείνητε τὰς χεῖρας ὑμῶν, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. Αἱ γὰρ χεῖρες ὑμῶν αἱματος πλήρεις, καὶ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος.» Ὧν γὰρ τὰς αὐτὰς εἶναι συμβαίνει πράξεις, τούτοις ἀνάγκη καὶ τὰς αὐτὰς ἐπιέναι θεόθεν εἰσπράξεις.

A post Palamiticam hæresin ad perniciem sanctorum Ecclesiæ dogmatum procreatam, cuncta simul conturbata sint instituta et corruptus vetus mos Ecclesiæ, et perversa et ad interitum adacta quæ veneranda et honorifica totius civitatis, admittente id, ut ego quidem credo, dextra Dei, quantum intelligerent perversitatis hujus auctores et principes et prius ut ad conversionem venirent quam ad finem. Sic enim per Davidem Deus hortatur, ne quis ad malignum pedem vertat, ut ne dormitorio capite somnum caperet custos Israelis. Ita ut hoc quoque timendum sit, ne his qui illis multo praviores, præfectis Ecclesiæ vox illa quæ olim Judæos condemnavit, cum ira sonet clamans: «Si similaginem **531** mihi offeretis, frustra erit; thus B abominandum mihi, et si manus vestras protendetis, ego oculos meos a vobis avertam, et si preces facietis, non exaudiam vos. Nam manus vestræ sanguine plenæ sunt.» Qui enim res agunt easdem, ab his easdem etiam Deus pœnas petit.

Β'. Διδάσκει δὲ καὶ ὁ θεῖος Χρυσόστομος τὴν εἰρημένην ἐνταῦθα ταυτότητα· καὶ γὰρ ἑρμηνεύων τὸ, «Καϊάφας ἀρχιερεὺς ἦν τοῦ ἐνιαυτοῦ ἐκείνου,» Καὶ τοῦτο τῆς Ἰουδαϊκῆς, φησὶν, ἐγένετο πονηρίας· κατῄσχυναν γὰρ τὸ τῆς ἱερωσύνης ἀξίωμα ὠνητοὺς ποιήσαντες ἀρχιερέας. Ἔμπροσθεν δὲ οὐχ οὕτως ἦν, ἀλλὰ τῇ τελευτῇ μόνῃ κατελύετο ἡ ἱερωσύνη τοῦ ἀρχιερέως. Τότε δὲ καὶ ζῶντες παρελύοντο τῆς τιμῆς. Οὐδὲν οὖν καινὸν τῶν ὁμοίων ἐκείνοις κἀνταῦθα παθῶν εἰκόνας ὑπάρχειν ἐνυποστάτους, τῶν νῦν πατριαρχῶν εἰς τὴν αὐτὴν ἰόντων πονηρίαν, ἵνα μὴ λέγω τὴν χείρω· κατῄσχυναν γὰρ τὸ τῆς ἱερωσύνης καὶ οὗτοι μᾶλλον ἐκείνων ἀξίωμα, ὠνητοὺς ποιοῦντες ἀρχιερεῖς, καὶ μειρακίων ἐφήβων καὶ ἀγενείων ἐσμὸν ἱερέας, οὔτε πω συλλαβίζειν δυναμένων οὐδὲ τὰ πρῶτα τῶν γραμμάτων στοιχεῖα, [f. 263 b] οὔτε βίον γοῦν ἐγγὺς καθαροῦ προεισενηνεγμένων, ἀλλ' ἀρκουμένων τῷ τε βούλεσθαι καὶ τῷ τὴν Παλαμικὴν, ταυτὸν δ' εἰπεῖν Μασαλιανικὴν καὶ πολύθεον αἵρεσιν προσκυνεῖν· τῆς γὰρ ἱερωσύνης εἰς ἀγοραίαν πρᾶσιν καθάπαξ ῥιφείσης, ὁ τὰ πλείω διδοὺς τὴν νικῶσαν ἐπ' ὀλίγον λαμβάνει καὶ τῶν πρωτείων γίνεται κληρονόμος, μέχρις ἂν ὁ κατόπιν ἰὼν χρημάτων ἀδρότερον πεποιηκὼς τὸ βαλάντιον, τὴν νικῶσαν τῆς ἥττης ἀλλάξηται καὶ τῆς κρείττονος χώρας ἐξ ἀμοιβῆς κληρονόμος αὐτὸς καταστῇ.

C II. Docet autem divus Chrysostomus eamdem illam allatam similitudinem. Interpretans enim, «Caiphas summus sacerdos erat anni illius,» id dicit factum esse Judæorum pravitate. Violabant nempe sacerdotii dignitatem cum venalem facerent dignitatem sacerdotum: antea vero ita se non habebat, sed solo in obitu finitum erat munus sacerdotis. «Tunc autem et vivi a munere amoti sunt.» Nihil igitur discrepat, si eadem apud illos perversitas ut imago exhibetur nostrorum patriarcharum qui eamdem inducunt, ne dicam pejorem. Hi enim sacerdotii dignitatem etiam turpius violarunt, cum pretio eligant sacerdotes, et in his adolescentulorum pubescentium et imberbium examen, qui neque syllabas connectere possunt et ne primis quidem litterarum elementis imbuti sunt, neque vitam saltem puram præ se ferunt et satis præstant modo inire velint, et Palamicam vel, eamdem ut dicam, Masalianam et polytheam hæresin venerentur. Ex quo enim sacerdotale **532** munus venale est factum, qui plurima dat, victoriam aliquandiu suscipit et principatus possessor est, donec alius surgat qui sacculo pleniore dato eum superet et victor superiorem D locum in successione occupet.

Γ'. Ἐπεὶ δ' ἑνὸς τῶν πολλῶν ὁτουοῦν ἐπηγγειλάμεθα μνησθέντες ἀπαλλάξασθαι, πέρας τῇ ἐπαγγελίᾳ παρασχεῖν ἀξιώσωμεν. Τὴν τῶν Ἀλανῶν ἐπαρχίαν πρὸς ἄρκτους τὴν θέσιν ἔχουσαν, καὶ Σκυθῶν τῶν νομάδων ὅμορον οὖσαν, οἱ πολλοί τε ἴσασι καὶ μάλιστα οἷς ἐξ ἐμπορίας ὁ βίος ἀθροίζεται ἔθος. Ταύτης ἐκ Κωνσταντινουπόλεως Τραπεζούντιός τις, ὄνομα Συμεών, ἀρχιερεὺς τῇ μητροπόλει χειροτονηθεὶς πρὸ ἐτῶν οὐ μικρῶν ἀπεστάλη. Μετὰ δὲ χρόνον βραχὺν παρ' ὁτουοῦν τῶν ἐκεῖ μοναζόντων πρὸς τοῖς ἄλλοις καὶ δωροδοκίαν ἐγκέκληται γεγρο-

III. Quanquam unum tantum e multis exemplis promisimus, nunc tamen ultra promissum præbebimus. Albanorum provinciam in septentrionales spectare, eosque Scythis nomadibus confines, certe omnibus notum est, et in primis iis qui ex mercatura vitam sustinent. E Constantinopoli Trapezuntius quidam nomine Simeon metropolis episcopus creatus multis abhinc annis missus erat. Verum is non multo post a monacho quodam ibi cum aliis degente corruptionis in ordinationibus accusatus est, et qui sacerdotii dignitatem ut caupo venalem haberet, et

opiniones, et sæpenumero judicio nostræ gentis privatas, ac veluti transfigurare in degenerantes varioseque colores, haud secus atque Pharius ille Proteus. Non enim juxta eamdem sententiam omnes eis utuntur, sed ut singuli opinionem sortiti sunt aut perspicientiam: hi quidem accedunt integrum ac sincerum afferentes judicium, alii vero admodum flagitiosum, quippe quod circa consentanea et opportuna insano studio errat; nonnulli porro semivitiosum et in utramque partem vergens. Nec quis eorum, qui hoc vel illo modo affecti sunt, timorem perperam et inconcinne respondeat, et nos aspergat crimine atrocique injuria improbæ opinionis, et postea linguæ sibi multa arrogantes, ignobiles, petulcæ, et ad maleficium propensæ nos tumore sinistro apud vulgus onerent: et nos nullo scelere polluti præmium infaustum et hostile reportemus hujus honesti et egregii studii. Nihilominus cum illis qui Indorum et Persarum in hunc nostrum auditum et sermonem transferunt sententiam, hi inculpati manent: hunc in modum et nos propter alienigenam gloriam candescentes, et ad dilucidiorem auditum trajicientes, latebimus omnino inculpati manentes, apud eos qui sunt e numero cordatorum elegantiumque hominum, et quorum nullatenus invidia præsidens concutit et agitat mentem. Postea etiam plures, ut opinor, semper æmulatores erunt, quibus perutilis hæc res videbitur. Quibus certe optima prompto alacrique animo nobis optantibus, nobis quidem Deus hujus operis quamdam dederit mercedem: sed obtrectatoribus, ut cum ipsis malis obtrectationibus male pereant.

Ἔσται δ' ἡμῖν τὸ τῆς ἐξηγήσεως, οὐ πρὸς ἐντελεστέρους μόνον γενόμενον, ἀλλ' ἤδη καὶ πρὸς ἀτελεστέρους τὴν γνῶσιν. Οἱ μὲν γὰρ τῷδε τῷ μέρει συνέσονται, οἱ δὲ τῷδε, οἱ δὲ ἑκατέροις, ὡς δύναμις ἑκάστῳ καὶ βούλησις. Περὶ μέν τοι ψυχῆς ὅ τι διέξεισι, καὶ τίσι μὲν συνῳδὰ φθέγγεται τῶν πάλαι σοφῶν, τίσι δ' ἀπᾴδοντα· καὶ τί μὲν οὗτος τὴν φαντασίαν εἶναί φησι, τί δὲ ἐκείνων ἕκαστος, καὶ ὅπῃ τοῦ σώματος τῆς καθ' ὕπνον μαντικῆς ἱστᾷ τὸν τρίποδα, δείκνυσι μὲν καὶ αὐτὸς πρὸς τὴν φιλόσοφον καὶ διδάσκαλον Ὑπατίαν, ὅτι πολλὰ τῶν μήπω φιλοσοφηθέντων Ἕλλησι προκεχείρισται. Δῆλον δ' οὖν καὶ ἡμεῖς κατ' αὐτήν γε ποιησόμεθα τὴν ἐξήγησιν· ἐπισημανούμεθα γὰρ ἕκαστα κατὰ χώραν ἑκάστων γενόμενοι. Σὺ δ' ὑπὲρ μὲν τῶν εὖ καὶ κατὰ γνώμην ἐχόντων χάριτας ἀπὸ γνώμης καὶ γλώττης ἀποδιδοὺς μὴ κατόκνει Θεῷ· ὑπὲρ δὲ τῶν ἄλλως ἐχόντων λαμπρὰν ἡμῖν τὴν μέμψιν. Τῶν μὲν γὰρ αὐτὸς χορηγὸς, τῶν δ' ἡμεῖς αἴτιοι.

Erit autem a nobis hæc explanatio non tantum in perfectiorum gratiam facta, sed jam propter intelligentiam eorum qui sunt minus idonei. Hi quidem hac in parte versabuntur, alii in alia, nonnulli autem in utraque, prout facultas et voluntas unicuique fuerit. Quæcunque porro de animo commemorat, cum quibusdam priscis sapientibus consentanea enumerat, cum quibusdam dissona discrepantiaque. Et quidnam proprie phantasiam esse ille dicat, quid vero eorum unusquisque: et in qua corporis parte, ejus quæ in somno est vaticinationis, statuat tripodem seu cortinam edendis oraculis idoneam, demonstrat quidem ipsemet ad sapientiæ studiosam et magistram Hypatiam, quod multa eorum quæ inter philosophandum excogitata nondum a Græcis fuerant, exposita traditaque essent. Conspicuum igitur etiam nos faciemus in ipsa explanatione. Ad hæc efficiemus ut singula innotescant et illustrentur, in singulorum statione degentes. Tu autem pro his quæ apposite et ex tui animi sententia constituta sunt, gratias animo et lingua reddere coram Deo ne torpescas: sed pro iis quæ aliter se habent, luculentam nobis expostulationem facito. Illorum enim ipse dux, princeps et choragus est: in his autem nos culpandi sumus.

## ΑΡΧΗ ΕΡΜΗΝΕΙΑΣ.

Pag. 130*. *Εἰ δέ εἰσιν ὕπνοι.* Ὥσπερ τὰ τῶν βασιλέων κειμήλια, καὶ ὁπόσα ἀνθρώποις ἱερά τε καὶ τίμια, ὑπὸ παραπετάσμασιν ἄλλα ἄλλοις καλύπτονται, ἵνα μήτε δήμοις ἀνοσίοις προκείμενα κιβδηλεύηται, μήτε περιφρονῆται· διὰ γὰρ τῆς χορηγίας ἄπονόν τε καὶ πρόχειρον· οὕτω καὶ ὅσα καθεύδουσι τοῖς ἀνθρώποις ὁρῶνται, ἐπεὶ θειοτέρα, φησὶ, καὶ προγνωστική τίς ἐστιν ὄψις, τοῦ φανταστικοῦ πνεύματος τῆς ψυχῆς τηνικαῦτα καθαρωτέρου καθισταμένου, διὰ τὸ ἀπηλλάχθαι πως τῶν σωματικῶν τε καὶ ὑλικῶν θορύβων, αἰνιγματωδῶς πως καὶ ταῦτα, καὶ ὥσπερ ὑπὸ παραπετάσματι δίδονται τοῖς ἀνθρώποις. Διὸ σοφὸν αὐτῶν φησι καὶ τὸ μὴ σαφές· βεβαιοῖ δὲ τοῦτο καὶ διὰ τῶν τοῦ Ἡσιόδου ἐπῶν. *Ἔκρυψαν γὰρ*, φησὶν, *οἱ θεοὶ τοῖς ἀνθρώποις τὸν ἄπονον βίον, καὶ πάντων καλῶν ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.* Τὸ δὲ ἀπόνως τυγχάνειν τῶν ἀγαθῶν δῶρον εἶναί φησι θεῖον. Δίδοσθαι δὲ τοῦτο μὴ πάνυ πολλοῖς τισιν, ὅτι μὴ σφόδρα ὀλίγοις· οἷον σοφία μὲν πόνων χωρὶς ἐβραβεύθη τῷ Σολομῶντι· Σαμψὼν δὲ ἡ τοῦ σώματος ἀνυπέρβλητος ἰσχύς τε καὶ ῥώμη· καὶ αὖ, ὡς Ἕλληνες πείθουσι λόγοι, σοφία τις οὐ πάνυ τοι ἀγεννὴς ἧκε παρὰ τῆς ἄνω προνοίας καὶ Αἰσώπῳ τῷ Φρυγὶ, καὶ πρό γε τού-

## INCIPIT EXPLANATIO.

*Quod si somni sunt fatidici.* Quemadmodum regum pretiosa munera, quæ propter valorem majoresve delicias reponuntur et asservantur, et quæcunque apud homines sacra, augusta et magnifacienda sunt, sub tapetis et aulæis alia aliis teguntur, ne profanæ ignaræque multitudini proposita corrumpantur et adulterentur, neque flocci fiant; nam propter sumptus, id facile et in promptu positum est: ita quæcunque ab hominibus somno sepultis cernuntur, quandoquidem divinior ac præsciens quidam aspectus denuntiat, tunc phantastico animæ spiritu puriore pacato, propterea quod solutus est quodammodo corporeis atque materialibus crassisque tumultibus, ænigmatice et obscure quadam ratione etiam ista, tanquam sub velis, hominibus conceduntur. Eam ob rem sapiens et industrium est in ipsis (ut aiunt) etiam id quod non apertum est. Istud porro versibus Hesiodi confirmatur. *Occultarunt siquidem* (ait ipse) *dii hominibus lenem et facilem vitam, et ante omnia bona sudorem dii collocarunt.* Illud autem, nempe citra laborem bonorum compotem esse, munus divinum asserit esse; verum id non admodum multis concedi, imo valde paucis: veluti sapientia sine labore Solomoni pro præmio distributa est; Sampsoni vero corporis insuperabilis fortitudo roburque; ac rursum, ut liberales Græcorum disciplinæ tradunt et suadent, sapientia quædam non

* Paginæ sunt editionis Synesii Petavianæ, quas in nostra numeris grandioribus expressimus. Edit.

του Ἡσιόδῳ τε καὶ Ὁμήρῳ. Τὸ δὲ προφήτας εἶναι τοὺς ὕπνους, καὶ τὰ ὄναρ θεάματα σκιώδεις τινὰς εἰκασίας τῶν ἐσομένων, οὕτω τοι βέβαιόν τε καὶ ἀναντίῤῥητον ἡγηται ὁ σοφὸς οὗτος Συνέσιος, ὥστε καὶ εὐθὺς ἐκ προοιμίων ἀποδεικτικοῖς τισι χρῆσθαι συλλογισμοῖς βούλεται μὲν, διὰ δὲ μὴ καὶ τοὺς πλείστους ἔχειν αἱρεσιώτας πρὸς τοῦτο, τῷ συναπτικῷ τε καὶ οἱονεὶ διστατικῷ ἐνδέσμῳ κολάζει τὸ αὐθάδες τοῦ τολμήματος, μονονουχὶ λέγων, ὡς Εἰ ταυτὰ δογματίζεις ἐμοὶ, ὅστις ποτὲ εἶ ὁ τῷ συγγράμματι τῷδε ἐντυγχάνων, καὶ δέχῃ ὡς οἵ τε

A ὕπνοι προφῆται εἰσι, καὶ τὰ ὄναρ θεάματα μελλόντων παρέχουσι πρόγνωσιν, εἰδέναι σε χρὴ καὶ ἐξ ἀνάγκης ἑπόμενον, ὅτι σοφοὶ μέν εἰσιν οἱ ὕπνοι, σαφεῖς δὲ οὐκ ἂν δήπου· καὶ ἐντεῦθεν συμπεραίνει καὶ τὸ μὴ σαφὲς εἶναι σοφὸν, ἐναντία λέγων τῷ Εὐριπίδῃ· ἐκεῖνος γὰρ ἐν τῷ τοῦ Ὀρέστου δράματι παράγει Μενέλαον λέγοντα, *Σοφὸν τὸ σαφές, οὐ τὸ μὴ σαφές*. Ἐσχημάτισεν οὖν τὸ προοίμιον, ἐφ' ἣν ἔφαμεν αἰτίαν εἰς τύπον συλλογισμοῦ ὑποθετικοῦ.







Pag 131. *Βίον*. Τὸν ἄπονόν φησιν ἐνταῦθα.

*Τῶν μεγίστων*. Ἀγαθῶν.

*Τῷ γνωστικῷ*. Τῇ λογικῇ δυνάμει τῆς ψυχῆς.

*Τὸ γιγώσκειν*. Οὐ γὰρ θύραθεν δεῖται ταύτης, ἀλλ' αὐτή ἐστι γνῶσις.

*Ἀνθρώπῳ*. Βοήθημα εἰς τὸ προορᾶν.

*Ὁ γὰρ πολύς*. Ὁ ἀγοραῖος ὄχλος.

*Τὸ παρόν*. Τὸ ἐνεστώς.

*Τοῦ μέλλοντος*. Τῶ μέλλοντος.

*Φερομένου*. Μετὰ ἀμφιβολίας.

*Τῶν πανελλήνων*. Τῶν ὅλων Ἑλλήνων, ὅσοι κατὰ τῆς Τροίας ἐστράτευσαν.

B *Πρό τ' ἐόντα*. Τὰ παρελθόντα.

*Καὶ Ὁμήρῳ*. Λέγει γὰρ ἐκεῖνος, ὅτι καὶ γενεῇ πρότερος ὁ Ζεύς.

*Συντείνειν*. Συντρέχειν.

*Ἐπεὶ τό*. Ἐν τούτῳ γὰρ ἔφησεν ἀνωτέρω διαφέρειν θεόν τε ἀνθρώπου, καὶ ἄνθρωπον θηρίου.

*Ἐπῶν*. Ὁμηρικῶν καὶ αὐτῶν.

*Φορτικῶς*. Τοῦτ' ἔστιν ἰδιωτικῶς καὶ παχέως καὶ ἀμαθῶς.

*Καθ' αὐτήν*. Τὴν ποίησιν.

admodum ignobilis accessit a suprema cœlestique providentia Æsopo Phrygio, et ante hunc Hesiodo, necnon Homero. At somnos prophetas esse, et C spectra per quietem visa futurorum umbratiles quasdam similitudines, usque adeo firmum et sancitum, cuique nihil ex adverso opponi queat, arbitratur sapiens et industrius ille Synesius, ut statim a primordio demonstrativis quibusdam uti syllogismis velit; sed quia in hoc non multos habet sectatores, conjunctivo ac veluti separativo vinculo subigit ac temperat morositatem et contumaciam temeritatis, propemodum dicens : Quod si mihi in istis dogmatis assentiris, quisquis commercium habes cum hoc commentario, atque etiam admittis somnos prophetas et vaticiniorum interpretes esse, et quæ inter dormiendum cernuntur futurorum præscientiam exhibere : te quoque nosse operæ pretium est ex necessitate id quod conse- D quens, nimirum sapientes et industrios esse somnos, non utique dilucidos et apertos. Et hinc concludit, id quod minime conspicuum et obvium est, ingeniosum ac sapiens esse: Euripidi contradicens. Ille siquidem in Orestis fabula introducit Menelaum dicentem : *Id quod solers et argutum est, planum ac perspicuum esse, non autem quod obscurum*. Ergo formavit ac texuit proœmium juxta id quod diximus argumentum in formulam syllogismi hypothetici.

*Vitam*. Hic laboris expertem dicit.

*Maxima*. Bona.

*Cognoscendi virtute*. Hoc est rationali potentia animæ.

*Ad cognoscendum*. Non enim extrinsecus hanc desiderat, sed ipsamet cognitio est.

*Homini*. Adjumentum ad perspiciendum.

*Homo quippe vulgaris*. Sordida turba.

*Quod adest*. Instans, et quod ante pedes est videt.

*Nondum evenit*. Futurum.

*Conjectura*. Cum ambiguitate.

*Græcorum omnium*. Universorum, quicunque in expeditionem Trojanam exiverunt.

*Quæ fuerunt*. Quæ transierunt et elapsa sunt.

*Et apud Homerum*. Inquit enim ille Jovem, quoad generationem, priorem et antiquiorem fuisse.

*Pertinere*. Convenire.

*Quandoquidem*. In hoc enim prius dixit Deum ab homine distingui, et hominem a bellua.

*Versibus*. Ipsis Homericis.

*Insolenter*. Hoc est, privato judicio, crasse et imperite.

*In ea*. Poesi.

***Φιλοσοφίας.*** Καλῶς τοῦτο εἰρήκει. Καὶ γὰρ οἱ ποιηταὶ φιλόσοφοι ὄντες, ἔλαθον ποιηταὶ παρὰ πάντων καλούμενοι. Τοῖς γὰρ ἰατροῖς παραπλήσια δρῶντες καὶ αὐτοὶ, ἑαυτῶν φιλοσοφίαν εἰς μύθους καὶ μέτρα καὶ μέλος ψυχαγωγοῦντα καταθέρμενοι, τῆς ἐκεῖθεν ὠφελείας οὕτωσὶ τὸ πικρὸν συνεκάλυψαν· καθάπερ καὶ ἰατρῶν παῖδες τὴν τῶν λυσιτελούντων φαρμάκων ἀηδίαν μέλιτι κεραννύντες, πολλάκις συγκρύπτουσιν· ὡς εἶναι λοιπὸν συνετὰ μὲν τοῖς σοφοῖς, τοῖς δὲ βεβήλοις δημοτερπῆ μέν, ἀσύνετα δέ. Εἰς οὐδὲν γὰρ ἕτερον ἐκλαμβάνουσι τὸν Δία ἢ εἰς νοῦν πρεσβύτατον καὶ ἀρχαιότατον, κἀντεῦθεν καὶ σοφώτατον· ὥσπερ καὶ τὴν Ἀθηνᾶν εἰς τὴν φρόνησιν, ἣν καὶ τῆς ἐκ τοῦ Διὸς κεφαλῆς γεννᾶσθαί φασιν. Ἀκολούθως οὖν καὶ ὁ σοφὸς οὗτος Συνέσιος ἐνταῦθ' εἰς νοῦν μὲν ἐκλαμβάνει τὸν Δία· εἰς ἰσχὺν δὲ αὐτοῦ τὴν σοφίαν· τὸ δὲ γενεᾷ πρότερος εἰς τὴν ἀρχαιότητα, ἀφ' ἧς καὶ ἡ σοφία τοῖς ἔχουσιν ὡς τὰ πολλὰ περιγίνεται. Φησὶ δὲ καὶ Ἀναξαγόρας, ὅτι νοῦς ἐστὶν ὁ διακοσμῶν τὰ πάντα καὶ πάντων αἴτιος· ὡς ἐντεῦθεν δείκνυσθαι, ὅτι καὶ οὗτος πρεσβύτερον καὶ τοῦδε τοῦ παντὸς δοξάζει τὸν νοῦν.

***Ἡ νοῦς.*** Νόας, νοερὰς οὐσίας.

***Ταύτῃ.*** Οὕτως, κατὰ τοιόνδε τὸν τρόπον.

***Προσπερονᾷ.*** Οὕτω τοι αἱρεσιώτης τοῦ Πλάτωνός ἐστιν ὁ παρὼν οὗτος Συνέσιος, καὶ οὕτω τῆς ἐκείνου

***Philosophiæ.*** Apposite istud dixit. Siquidem poetæ philosophi cum essent, latenter quod poetæ ab omnibus appellati sunt. Ipsi namque consimilia medicis facientes eorum philosophiam in fabulas, versus et modulationem ad animarum solatium litteris prodentes, eamque philosophandi rationem memoriæ mandantes, illius quæ inde procedit utilitatis ita amarulentam difficultatem obtexerunt, quemadmodum medicorum filii fructuosorum pharmacorum acerbitatem et molestiam melle temperantes crebro abscondunt: ut sapientibus reliquum sit solertes quidem et industrios esse, profanis vero ea supersint quæ plebi hilaritatem et oblectationem afferunt, cæterum intelligentiæ et reconditæ perspicacitatis expertia sunt. Nam in nullum alium sensum interpretantur Jovem, quam ad mentem natu maximam et antiquissimam, ac proinde sapientissimam: veluti Minervam ad prudentiam, quam etiam e Jovis cerebro natam perhibent. Consentanea igitur ratione sapiens ille Synesius hic ad mentem et intelligentiam refert Jovem: et ad fortitudinem ipsius sapientiam. Quod autem ætate prior sit, ad antiquitatem, per quam sapientia iis qui illam assecuti sunt suppetit, ut permulta alia. Dixit porro Anaxagoras mentem esse quæ omnia gubernat, et omnium bonorum causa est: ut inde demonstret, quod et ille antiquiorem esse, et hujus universi mentem opinatur.

***Quam animos.*** Mentes, substantias et naturas intellectuales.

***Hac ratione.*** Hunc in modum.

γλώττης ἐξήρτηται, ὥστε οὐ μόνον τῶν ἐκείνου δοξῶν τὰς πλείους ἐς ἄκρον ἐξεμελέτησεν, ὡς προϊόντες δείξομεν, ἀλλὰ καὶ αὐταῖς πολλαχοῦ κέχρηται ταῖς ἐκείνου λέξεσι.

Καὶ τὸ ***προσπερονᾷ*** δὲ ἐκ τοῦ Πλάτωνος παρειλῆφε. Φησὶ γὰρ ἐκεῖνος ἐν τῷ Φαίδωνι, ὅτι ἑκάστη ἡδονὴ καὶ λύπη, ὥσπερ ἧλον ἔχουσα προσηλοῖ τὴν ψυχὴν πρὸς τὸ σῶμα, καὶ προσπερονᾷ, καὶ ποιεῖ σωματοειδῆ, δοξάζουσαν ταῦτα εἶναι ἀληθῆ, ἅπερ ἂν καὶ τὸ σῶμα φῇ.

***Προσπερονᾷ.*** Προσηλοῖ καὶ συγκολλᾷ.

***Τῷ κατ' ἀλκήν.*** Τοῦτ' ἔστι, τῷ κατὰ ἰσχὺν ὑπερφέρειν τῶν ἄλλων.

***Ἀνακάμπτει.*** Συνάγεται, ἀνέρχεται, ὡς ἐπὶ κύκλου συμπεραίνεται.

***Ὅτι.*** Διότι.

***Αὗται μέν.*** Ταῦτα εἶπεν ἀποδείξεις εἶναι, ἡγοῦν τὸ τὴν γνῶσιν καὶ τὴν σοφίαν δύνασθαι προορᾶν τὰ ἐσόμενα, καὶ τὸ τὴν μαντείαν πραγματεύεσθαι περὶ ταῦτα.

***Εἰ δὲ σημαίνει.*** Ἕλλην καὶ οὗτος τῇ δόξῃ ὤν, τὰ αὐτὰ ἐκείνοις διέξεισι, καί φησιν εἶναι τὸν κόσμον ἔμψυχον, καὶ λοιπὸν, Ὥσπερ, φησὶν, ἕκαστον τῶν ἐν τῷ κόσμῳ ζώων σύγκειται ἐκ μερῶν καὶ μελῶν, ἃ δὴ κοινωνίαν καὶ συγγένειαν ἔχουσι πρὸς ἄλληλα· οὕτω καὶ ὁ κόσμος ὁ ἐξ οὐρανοῦ καὶ γῆς, καὶ τῶν μεταξὺ συνιστάμενος, ζῶον ἔμψυχον ὤν,

***Annectit, vel affigit.*** Sic utique obfirmatus Platonis sectator est hic noster Synesius, et ita ab ejus lingua pendet, ut non modo complures ejus opiniones usque ad apicem et sublimitatem meditando consecutus sit, quemadmodum in ipso progressu enarrabimus, verum etiam ipsasmet illius dictiones passim adhibuerit.

Et illud *annectit* e Platone assumpsit. Ait enim in Phædone, quamcunque voluptatem et ægritudinem veluti clavum habere, quo animum corpori affigat et annectat, corpulentumque efficiat, quippe qui ea vera esse arbitratur, quæ corpus dixerit.

***Affigit.*** Seu in suum jus recipit, et conglutinat.

***Virium præstantiæ.*** Id est, propterea quod viribus aliis præstantior sit.

***Reflectitur.*** Simul adducitur, redit, et tanquam in circulo concluditur.

***Hæc quidem argumenta sunt.*** Ea argumenta inquit demonstrationes esse, quod scilicet cognitio et sapientia possit eventura prospicere, et vaticinandi artificium philosophando circa eas res occupetur.

***Quod si omnia quidem omni ex parte quidpiam portendunt.*** Græcus cum sit opinione, ea quæ ipsi sentiunt commemorat: mundum sua natura esse animatum, et quod reliquum est. Quemadmodum, ait, unumquodque animantium in mundo compositum est ex partibus et membris, quæ certo societatem et cognationem mutuam inter se habent: sic et mundus e cœlo ac terra rebusque interjectis constans, animal cum sit vitæ particeps,

τὰ ὅμοια πάσχει καὶ ποιεῖ ἑκάστῳ ζώῳ, καὶ τὰ μέρη αὐτοῦ συγγένειαν καὶ ἀδελφότητα ἔχοντα πρὸς ἄλληλα, σημαίνουσι περὶ μελλόντων δι' ἀλλήλων ἅπαντα, τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον. Εἶτα προϊών, βιβλίῳ μὲν εἰκάζει τὸν κόσμον, γράμμασι δὲ τὰ ἐν αὐτῷ πάντα μέρη, ζῶα λέγω καὶ φυτά, καὶ ἀέρα καὶ ὕδωρ, καὶ λίθους, καὶ τἄλλα πάντα. Ὥσπερ οὖν τὰ ἐν τοῖς βιβλίοις γράμματα, διαφόρων γλωσσῶν ὄντα, τὰ μὲν ἀναγινώσκουσιν οἱ τῶν Αἰγυπτίων σοφοί, τὰ δὲ οἱ τῶν Ἑλλήνων· καὶ οἱ μὲν ἧττον καὶ ἀτελῶς ἔτι, ὥσπερ τὰ βρέφη ἀναγινώσκουσιν, ἢ κατὰ συλλαβάς, ἢ ἀθρόον, ἤτε ὁμοῦ τὴν λέξιν· οἱ δὲ ὁμοῦ ἀναγινώσκουσι τὸν λόγον. Ἔστι δὲ λόγος μὲν ὅλη πρότασις, ἐξ ὀνόματος καὶ ῥήματος τὸ ἔσχατον συγκείμενος, οἷον, Σωκράτης περιπατεῖ. Δηλοῖ γὰρ ἔννοιαν ἢ ἀληθεύουσαν ἢ ψευδομένην. Λέξις δέ ἐστι μέρος λόγου, οἷον, Σωκράτης· ὅπερ οὐ δηλοῖ οὔτε ἀλήθειαν οὔτε ψεῦδος· συλλαβὴ δέ ἐστι μέρος λέξεως, οἷον ἐκ τοῦ Σωκράτους μόνον τὸ Σω, ὅπερ οὐδὲν σημαίνει. Οὕτως οὖν, φησὶ, καὶ οἱ σοφοὶ προφῆται καὶ μάντεις ἀναγινώσκοντες τὰ ἐν τῷ κόσμῳ πράγματα, προορῶσι τὸ μέλλον· οἱ μὲν ἐκ τῶν ἀστέρων, ἢ τῶν μενόντων ἐν τῇ ἀπλανεῖ σφαίρᾳ, ἢ τῶν πυρσῶν τῶν ἐν τῷ ἀέρι διαττόντων, ἃ οὐ κυρίως εἰσὶν ἄστρα, ἀλλὰ δοκοῦσιν ὅμως ἄστρα, καὶ αὐτὰ ὁμωνύμως καλεῖ νῦν· περὶ δὲ ἡλίου, καὶ σελήνης, καὶ τῶν πλανωμένων, καὶ ἔτι περὶ κομητῶν οὐκ εἰρήκει, ὅτι καὶ ἐξ αὐτῶν ὁρῶσι τὸ μέλλον οἱ σοφοί, ἢ ὡς ὁμολογουμένου τοῖς ἅπασιν ὅτι δηλοῦσιν, ἢ ὅτι ἠρκέσθη τὰ γειτονοῦντα εἰπών, καὶ νομίσας δῆλον εἶναι ἐκ τούτων, ὅτι κἀκεῖνα συνυπακούονται. Οἱ μὲν οὖν, φησὶν, ἐκ τῶν ἀστέρων προορῶσι τὸ μέλλον· οἱ δὲ ἐκ τῶν σπλάγχνων τῶν ἀνατεμνομένων σφαγίων, ἃ δὴ θυτικὴ καὶ ἔντομος λέγεται πρόγνωσις. Οὐ πᾶσι δὲ τοῖς σπλάγχνοις οἱ μάντεις ἐχρῶντο πρὸς δήλωσιν τῶν ἐσομένων, ἀλλὰ τῷ ἥπατι μόνῳ· σπλάγχνα δέ εἰσιν ἐπτὰ, καρδία, ἧπαρ, σπλὴν, στόμαχος, πνεύμων, καὶ νεφροὶ δύο.

*Εἰ δὲ σημαίνει.* Δήλωσιν δίδωσι.

Pag. 132. *Γράμματα.* Οὐράνια, ἀέρια, ἐπίγεια, θαλάττσια.

*Φύσει.* Ὁ ἐν τῇ φύσει τῶν ὄντων διὰ πείρας ἀναγνούς.

*Ἄλλος.* Σοφός.

*Τὰ πυρσά.* Ταῦτα ἐν τῷ στοιχειακῷ πυρὶ φαίνονται, ἔνθα ὥσπερ μεταίχμιόν ἐστιν ἀέρος καὶ αἰθέρος.

*Ἐν ὀρνίθων.* Ταῦτα μὲν ἰδίως εἰσὶ τῶν ὀρνιθοσκόπων θεωρήματα· ἄλλοι δὲ διὰ συμβόλων προορῶσί τινων καὶ σημειώσεων, ὧν αὐτοὶ καθ' αὑτοὺς ἐκ πείρας ἐσημειώσαντο· λέγω δὴ παλμοὺς ὀφθαλμῶν ἢ καρδίας, ἢ ἄλλου του μέρους καὶ μίλους, ἢ ῥινὸς γαργαλισμούς, ἢ τινων ἐντυχίας

similia cuilibet animanti patitur et facit : et partes ipsius affinitatem et fraternam concordiam inter se habentes exprimunt atque portendunt omnia mutuæ concordiæ eventura, quædam magis, quædam minus. Deinceps progredieus, libro quidem mundum comparat, litteris omnes ipsius partes, animantia dico et plantas, aerem et aquam, saxa et reliqua omnia. Quemadmodum igitur in libris litteræ sunt diversarum linguarum, et has quidam agnoscunt ac pronuntiant Ægyptiorum, illas vero Græcorum sapientes : hi quidem minus et adhuc imperfecte, haud secus atque infantes legunt, aut per syllabas, aut confertim, vel dictionem simul, alii autem recitant orationem. Est autem oratio integra propositio ex nomine et verbo summatim constans, veluti, Socrates ambulat. Constat enim animi conceptionem et sensum aut veracem aut mendacem esse. Sed dictio pars est orationis, ut, Socrates, quod quidem nomen nec verum nec falsum declarat. Est autem syllaba pars dictionis, sicuti ex hac voce Socrates duntaxat So, quod quidem nihil significat. Sic igitur, inquit, etiam sapientes, prophetæ et augures animo perlustrantes ea quæ in mundo continentur, tanquam ex aliqua specula id quod futurum et eventurum est prospiciunt, hi quidem ex astris, aut ex his sideribus ac stellis quæ fixæ manent in sphæra globoque cœlesti, aut ex flammis in aere micantibus quæ proprie non sunt astra, nihilominus astra videntur, et ipsa communi nomine modo nuncupantur. De sole autem et luna ac cæteris errantibus, et præterea de cometis nec locutus est, quia ex ipsis vident futurum sapientes, vel quod exploratum sit omnibus qui illud indicant, aut quod in iis acquievit is qui propinqua dixit, vel putavit ex illis manifestum esse, quod etiam ea subintelliguntur. Quocirca ii (ut aiunt) e stellis præsagiunt futurum, illi autem e visceribus victimarum mactatarum, quæ quidem haruspicina, et e fibris immolatarum hostiarum sectis divinatio appellatur. Sed non omnibus intestinis haruspices utebantur ad explanationem futurorum, sed solo hepate. Viscera porro sunt septem, cor, jecur, splen, stomachus, pulmo, duo renes.

*Portendunt.* Manifestant, tradunt.

*Et sunt ea veluti multiplicia elementa.* Cœlestia aerea, terrestria, et marina.

*Natura duce edoctus est.* Qui in natura rerum per experientiam legit.

*Alius.* Sapiens.

*Flammeorum.* Ista in igni elementali apparent, ubi veluti quædam intercapedo est aeris et æthoris.

*In alitum clangoribus.* Istæ quidem speculationes sunt eorum qui ex avium garritu, volatu aut pastu futura prædicunt. Alii vero per quædam symbola et animadversiones prævident, quas ipsi per se experientia duce adnotarunt, tremores ac palpitationes oculorum dico, vel cordis, aut alius partis aut membri, vel nasi titillationes, aut nonnullorum congressus inauspicatos in via, quem malum vulgares occursum vocant, aut quamdam a præter-

δυσσυνίστους καθ' ὅδην, ὃ καὶ κακὸν οἱ κοινοὶ φασι συνάντημα· ἢ τινα ἐκ τοῦ παρήκοντος λαληθεῖσαν φωνὴν, ὥσπερ συνεπεπτώκει ποτὲ καὶ Παύλῳ τῷ Αἰμυλίῳ, τῷ ἐκ Ῥωμαίων ἀποσταλέντι στρατηγῷ εἰς ἀντίπαλον μάχην τοῦ Περσέως τοῦ τῶν Μακεδόνων βασιλέως. Μέλλοντα γὰρ ἐξιέναι, φασὶν ἀσπαζόμενον τὸ θυγάτριον εὑρεῖν αὐτὸ δεδακρυμένον, καὶ τὴν αἰτίαν τῆς λύπης ἀκηκοέναι παρ' αὐτοῦ, Ὅτι, φησὶ, ὁ Περσεὺς ἐτεθνήκει. Ἦν δὲ ὁ Περσεὺς ὃν ἔφασκε, κυνίδιον σύντροφον τῷ θυγατρίῳ· τὸν δὲ, Ἀγαθῇ τύχῃ, φάναι, ὦ θυγάτερ, καὶ δέχομαι τὸν οἰωνόν· ταῦτα διέξεισιν ἐν τοῖς περὶ μαντικῆς ὁ σοφὸς Κικέρων.

*Καλούμενα.* Παρὰ τῶν πολλῶν.

*Συγκύρσεις.* Συντυχίαι, συναντήματα, ἐπ' ἄλλῳ μὲν πράγματι γινόμεναι, ἐπ' ἄλλῳ δὲ ἀποβαίνουσαι.

*Ἅπασι.* Ἀλλήλοις ἀλλήλων.

*Ὥστ' εἰ σοφία.* Θέλων ἐναργέστερον ἔτι δεῖξαι τὴν τῶν μερῶν τοῦ κόσμου κοινωνίαν πρὸς ἄλληλα καὶ συγγένειαν, φησὶν, ὅτι, εἰ καὶ τοῖς ὄρνισιν ἐνῆν σοφία τις, ὥσπερ τοῖς ἀνθρώποις ἔνεστι, τέχνην ἂν καὶ οἱ ὄρνιθες ἐξ ἀνθρώπων συνεστήσαντο, ὥσπερ καὶ οἱ ἄνθρωποι ἐκ τῶν ὀρνίθων συνεστήσαντο τέχνην μαντικὴν, ἣν καλοῦσιν οἰωνιστικὴν καὶ ὀρνιθοσκοπικήν. Καὶ γὰρ ὥσπερ ὄρνιθες ἀεί εἰσιν ἐξ ἀρχῆς ἀφ' οὗ συνέστη τόδε τὸ πᾶν μέχρι νῦν, οὕτω καὶ οἱ ἄνθρωποι ἀεί εἰσιν ἑκάτεροι ἑκατέροις καὶ παλαιοὶ καὶ νέοι. Ὥσπερ οὖν τοῖς ἀνθρώποις οἱ ὄρνιθες πρὸς τὰς μαντείας εἰσὶ δεξιοί τε καὶ ἐπιτήδειοι πρὸς μαντικὴν, οὕτως ἦσαν ἂν καὶ τοῖς ὄρνισιν οἱ ἄνθρωποι κατὰ τὸ ἀντίστροφον δεξιοὶ καὶ ἐπιτήδειοι πρὸς μαντικὴν, εἰ σοφία καὶ τοῖς ὄρνισιν ἐνῆν. Ἀναγκαῖον γὰρ ἦν τὰ μέρη τοῦ κόσμου κοινωνεῖν ἀλλήλοις, ἅτε ἑνός τινος ζώου μέλη τυγχάνοντα, καὶ διὰ τοῦτο συμπάθειαν ἔχοντα πρὸς ἄλληλα, καὶ οἷον εἰπεῖν σύμπνοιαν. Ταῦτα λέγων ὥσπερ ἀναλαμβάνει ἑαυτὸν, καὶ διαπορεῖται καὶ οἱονεὶ ἐρωτᾷ ἑαυτὸν λέγων, Μήποτε αἱ μάγων ῥῦγγες αὗται εἰσι; Καὶ γὰρ ὁ σοφὸς ὁ εἰδὼς τὴν ἀλλήλων τούτων συγγένειαν, ὁρῶν ὅτι θέλγεται παρ' ἀλλήλων ἄλληλα, καὶ δήλωσιν λαμβάνει παρ' ἀλλήλων ἄλληλα, ἕλκει ἄλλο δι' ἄλλου· οἷον ὥσπερ διὰ τῆς μαγνίτιδος τὸν σίδηρον, οὕτω καὶ διὰ τῆσδε ἢ τῆσδε τῆς ὕλης, καὶ τοῦδε τοῦ σχήματος, καὶ τῆσδε τῆς φωνῆς, τόδε ἢ τόδε, ὡς εἰρήσεται προϊοῦσιν ἡμῖν ἐκδηλότερον. Οὐ μόνον γὰρ δένδρα δένδρεσι θέλγεται, καθάπερ φοίνικι φοίνιξ, καὶ βοτάναι βοτάναις, καὶ ζῶα ζώοις, ἀλλὰ καὶ σκορόδῳ ὁ δεῖνα ἰχθὺς, καὶ ἄλλα ἄλλοις, καὶ τό γε θαυμασιώτερον, δαίμονες ἐξ ἀέρος καὶ γῆς θέλγονται τοῖσδε τοῖς λίθοις, ἢ ταῖσδε ταῖς βοτάναις, ἢ ταῖσδε ταῖς φωναῖς, ἢ τοῖσδε τοῖς σχήμασιν, ἃ καὶ χαρακτῆρας καλοῦσιν· οἶμαι δὲ ταῦτα παρὰ Χαλδαίων καὶ Αἰγυπτίων ἀρχῆθεν εὑρῆσθαι ἕκαστον ἑκάστῳ δαίμονι γνωριστικὸν σημεῖον. Τὴν δὲ ῥυγγά φασιν ὄρνεον

A

B

C

D

eunte pronuntiatam inconsiderate vocem : quemadmodum aliquando accidit Paulo Æmilio Romanorum imperatori ablegato in adversarium prælium Persei Macedonum regis, quem aiunt amplexum fuisse filiolam, et eam invenisse lacrymis perfusam, causamque mœroris ab ea didicisse : Quoniam, inquit, Perseus mortuus est. Erat autem ille Perseus quem dixit catellus filiolæ alumnus : eum vero, Prospera fortuna, dixisse : accipio omen, mea filia. Ista commemorat eloquens atque peritus Cicero in lib. *De Divinatione.*

*Portentaque vocantur.* A multis.

*Eventus.* Casus, occursus, qui propter aliud fiunt, propter aliud contingunt.

*Omnium significativa.* Mutuo quodam consensu cohærentia.

*Itaque si sapientia esset.* Volens evidentius adhuc ostendere partium mundi communionem et affinitatem, Si etiam avibus, inquit, inesset sapientia quædam, quemadmodum hominibus ea insita est, artem etiam aves ex hominibus constituissent, sicut homines ex avibus finxerunt et constituerunt artem divinandi, quam vocant auguralem, et ex avium inspectione depromptum divinandi artificium. Etenim quemadmodum aves semper sunt a principio et origine mundi, et ex quo creatum et coagmentatum est hoc universum usque in præsens tempus, sic et homines semper sunt, et sunt utrique utrisque antiqui et novi. Ut igitur hominibus aves, quoad divinationes et oracula, sunt aptæ et idoneæ ad rerum futurarum præscientiam, sic essent etiam avibus homines per reciprocationem et vice versa apti et idonei ad divinationem, si sapientia etiam avibus inesset : siquidem necessarium esset mundi partes commercium et communicationem mutuam habere, quippe quæ unius cujusdam animantis membra sunt : quocirca sympathiam et concordiam habent inter se, et si fas est dicere, conspirationem. Eadem proferens ac si se reprehendat, ambigat, et quasi se ipsum interroget dicens : Numquid magorum illecebræ istiusmodi sunt? Etenim sapiens [qui novit mutuam horum cognationem, cum alia ab aliis allici atque attrahi videat, et significationem a se invicem accipere, aliud trahit per aliud. Veluti, quemadmodum a magnete ferrum trahitur, ita ab hac aut illa materia et tali figura, aut tali voce, hoc aut illud elicitur, ut manifestius in progressu nostræ expositionis explicabitur. Non enim tantum arbores ab arboribus alliciuntur, ut palma trahitur a palma, stirpes a stirpibus, et animantes ab animantibus, verum etiam ab allio piscis quidam ducitur, et alia ab aliis, quin etiam, quod admirabilius est, dæmones ex aere et terra alliciuntur certis lapidibus, aut leguminibus, aut quibusdam vocibus, aut istiusmodi figuris, quas etiam characteres vocant. Hæc vero existimo a Chaldæis et Ægyptiis jampridem inventa, ut proprium uniquique dæmoni agnitionis signum sit. At iynga aiunt avem esse quæ caudam semper movet, quam sagæ mulieres ad usum adhi-

εἶναι ἀεὶ σεῖον τὴν οὐράν· εἶναι δὲ πρὸς ἐρωτικὰς ἐπῳδὰς χρήσιμον ταῖς φαρμακίσι· γυναῖκα δὲ οὖσαν τὸ πρότερον εἰς ὄρνεον μεταβεβλῆσθαι ὑπὸ τῆς Ἥρας φασὶν οἱ μῦθοι, διότι φαρμακεύουσα διετέλει τὸν Δία πρὸς τὸν τῆς Ἰοῦς ἔρωτα· ἄλλοι δὲ κιθάραν ἐμμελεστάτην φασὶ τὴν ἴυγγα, ὡς ἐντεῦθεν καὶ πᾶν γλυκὺ καὶ ποθεινὸν ἴυγγα καλεῖν.

*Συνεστήσαντο.* Οἱ ὄρνιθες.

*Παρδέξιοι.* Ἐπιτήδειοι.

*Καὶ μή.* Ἀπορηματικόν.

*Ἴυγγες.* Προγγώσεις.

*Καὶ γάρ.* Διὰ τὸ ἐφέλκεσθαι διὰ τοῦδε ἐρωτικοῦ τόδε, καὶ διὰ τῶνδε τόδε. Ἢ ὡς ἕλκεται μετά τινος πάθους.

*Ἕλκει.* Ὁ σοφός.

*Σημαίνεται.* Σημασίαν λαμβάνει.

*Καὶ φωνάς.* Ἀλλὰ γὰρ οὗτος μὲν ὡς πρὸς εἰδότα λέγων, ἄκρως πως καὶ ἐπιπολαίως ἅπτεται τούτων. Ἡμεῖς δ' οὐδ' ὀκνήσομεν ἐξαπλῶσαι ταῦτα τῶν φίλων εἵνεκα, ἔκ τε χρησμῶν συλλεξάμενοι καὶ Χαλδαϊκῶν παραγγελιῶν. Ἐπεὶ οὖν φωνῶν καὶ ὑλῶν ἐμνήσθη καὶ σχημάτων, περὶ τῶν ὑλῶν διεξέλθωμεν πρότερον. Φησὶν οὖν ὁ Ἑκάτης χρησμός·

*Σὺ δὲ τέλει ξόανον κεκαθαρμένον ὡς σε διδάξω,*
*Πηγάνου ἐξ ἀγρίοιο δέμας ποίει· ἡ δ' ἐπικόσμει*
*Ζώοισιν λεπτοῖσι κατοικιδίοις σκαλαβώταις,*
*Σμύρνης καὶ στύρακος λιβάνοιό τε μίγματα τρίψας,]*
*Σὺν κείροις ζώοισι, καὶ ὑπαιθριάσας ὑπὸ μήνην*
*Αὔξουσαν τέλει, αὐτὸς ἐπευχόμενος τήνδ' εὐχήν.]*

A Τὰ δὲ ἐξῆς ζητεῖν οὐ χρή. Περὶ δὲ φωνῶν ἃς καὶ ἴυγγας ἴσθ' ὅτε καλοῦσι, τὴν αὐτὴν Ἑκάτην λέγειν φασίν·

*Ἦλυθον εἰσαΐουσα τεῆς πολυφραδμονος αἰχῆς,*
*Ἥρ θνητῶν φύσις εὖρε θεῶν ὑποθημοσύνῃσι.*

Καὶ πάλιν ἀλλαχοῦ φησι·

*Τοὺς μὲν ἀπειρήτοις ἐρύων ἴυγξιν ἀπ' αἰθρης*
*Ῥηϊδίως δέκοντας, ἐπὶ χθόνα δῖα κατῆγες*
*Τοὺς δὲ μέσους μεσάτοισιν ἐπεμβεβαῶσιν ὀθόναις]*
*Νόσῳι πυρὸς θείοισι, παρομφέας ὥσπερ ὀνείρους]*
*Εἰσκρίνεις, ἀεικέα.... δαίμονας ἔρδων.*

Καὶ ταῦτα μὲν ἐκ τῶν χρησμῶν· οἱ δὲ Χαλδαῖοι ψευδεῖς φασι τοὺς προσγείους δαίμονας, ἅτε πόρρω
B τῆς θείας ἀποικισθέντας γνώσεως· εἰ δὲ βούλει, φησὶ, ἀληθειάν τινα παρ' αὐτῶν περὶ μέλλοντός τινος δέξασθαι, ποίει θυτήριον·

*Ἥρικα δαίμονα δ' ἐρχόμενον πρόσγειον ἀθρήσεις,]*
*..... Θύε λίθον Μυῆζουριν ἐπαυδῶν.*

Δύναμιν γὰρ ὁ λίθος οὗτος ἔχει προκλητικὴν ἑτέρου μείζονος δαίμονος, ὃς ἀφανῶς τῷ προσγείῳ δαίμονι προσιών, διδάξει τὴν τῶν ἐρωτωμένων ἴσως ἀλήθειαν, ἣν αὖθις ἐκεῖνος διδάξει τὸν ἐρωτῶντα ἄνθρωπον· καὶ πάλιν ἀλλαχοῦ, Ἐνέργει, φησὶ, περὶ τὸν Ἑκατικὸν στρόφαλον. Ἔστι δ' ὁ Ἑκατικὸς στρόφος σφαῖρα χρυσῆ, μέσον μὲν ἔχουσα σάπφειρον λίθον, δι' ὅλης δὲ τῆς ἐπιφανείας χαρακτῆρας καὶ σχήματα διάφορα. Ταύτην δὴ στρέφοντες,
C ἐποιοῦντο τὰς ἐπικλήσεις, ἃς δὴ καὶ ἴυγγας ἔλεγον.

hent in illecebris amatoriis. Narrant fabulæ feminam prius exstitisse, deinde a Junone in avem commutatam fuisse, eo quod Jovem suis philtris ad amandam Inoem pellexisset. Aliis videtur iynga dici lyram suavissime concinentem : ut inde quidquid suave est, et amorem ac desiderium excitat sui, iyngis nomine appelletur.

*Pelliciendi artificia.* Præsensiones, præsagitiones.

*Ac certe demulc.* Propterea quod attrahitur istud per hoc amatorium : et per isthæc hoc aliud. Quasi dicat, trahuntur cum affectione et perpessione aliqua.

*Signis colliguntur.* Significationem sumunt.

*Et voces.* Hic auctor quasi cum sciente verba faciat, summatim et leviter admodum hæc attingit. Nos vero minime cunctabimur ea fusius explicare in amicorum gratiam, quæ ex oraculis et præparationibus Chaldaicis collegimus. Cum itaque vocum, materiarum et figurarum mentionem fecerit, de materiis primum tractemus. Ait enim Hecates oraculum :

*Perficito signum purgatum, ceu tibi tradam,*
*Agresti e ruta corpus componito, et orna*
*Vermiculis vulgaribus, exiguis scalabotis,*
*Et myrrham et styracem miscens cum thure Sabæo,*
*Bestiolasque simul : tum cœlo exponito, lunæ*
*Cornua cum crescunt, peragens sacra cum prece*
[*tali.*

Quæ deinceps sequuntur, quærenda non sunt. De vocibus autem, quas interdum iyngas nuncupant, aiunt Hecaten ipsam dicere,

*Veni, cum exaudita mihi tua sint pia vota*
*Quæ monitis superum mortalia pectora fundunt.*

Et rursus alio loco dicit :

*Illecebris hos immensis ex æthere ducens*
*Absque labore in tellurem invitos revocasti :*
*At medios mediis clangoribus interfusis*
*Ignibus absque sacris, divinos somnia sicut*
*Inducis, fœdans non dignis dæmonas actis.*

Atque hæc quidem ex oraculis deprompta sint. Chaldæi vero mendaces aiunt esse genios terricolas, tanquam procul a divina cognitione remotos
D atque amandatos. Quod si vis veritatem ab his aliquam accipere de rebus futuris, fac aram,

*Terrestrem, quoties venientem dæmona cernes,*
*Mactato lapidem Muesurim, murmura reddens,*

Etenim lapis hic vim habet advocandi dæmonem majorem, qui inaspectabili modo terrestri genio se admovens, docebit fortasse veritatem eorum quæ inquiruntur, quam rursus ille aperiet ei homini a quo interrogatur. Idemque alibi : Operare, inquit, circa Hecaticum circulum. Est autem Hecaticus circulus sphæra aurea, quæ sapphirum lapidem in medio sui inclusum habet, ac per totam superficiem characteres et figuras varias. Hanc sphæram vertentes invocationes perficiebant, quas

Περὶ δὲ τῶν ὀνομάτων ἃ φωνοῦσι, παραγγέλλουσι λέγοντες, Ὀνόματα βάρβαρα μήποτ' ἀλλάξῃς. Εἰσὶ γὰρ ὀνόματα παρ' ἑκάστοις θεόσδοτα, δύναμιν ἐν τελεταῖς ἄρρητον ἔχοντα, ὥσπερ τὸ Σαβαὼθ, τὸ Ἀδωναΐ, τὸ Χερουβὶμ, καὶ τὸ Σεραφὶμ, τὸ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ ὅσα τοιαῦτα· ἃ, φησὶν, ἐὰν εἰς τὴν Ἑλληνικὴν μεταθῇς διάλεκτον, ἀφανίζεις τὴν αὐτῶν δύναμιν καὶ ἐνέργειαν, ὡς καὶ Ὠριγένει δοκεῖ τῷ σοφῷ. Φησὶ δὲ Ἀσκληπιὸς ὁ τοῦ τρισμεγίστου Ἑρμοῦ μαθητὴς ἐν τῷ πρὸς τὸν Αἰγύπτιον βασιλέα λόγῳ, ὅτι *Ὅσον δυνατόν ἐστί σοι, βασιλεῦ, τὸν ὑφ' ἡμῶν παραδεδομένον σοι λόγον διατήρησον, ἵνα μήτε εἰς Ἕλληνας ἔλθῃ τοιαῦτα μυστήρια, μήτε ἡ τῶν Ἑλλήνων ὑπερήφανος φράσις κεκαλλωπισμένη ἐξίτηλον ποιήσῃ τὸ σεμνὸν καὶ στιβαρὸν, καὶ τὴν ἐνεργητικὴν τῶν ὀνομάτων φράσιν. Οἱ γὰρ τοιοῦτοι λόγοι, τῇ πατρῴᾳ διαλέκτῳ ἑρμηνευόμενοι, ἔχουσι σαφῆ τὸν τῶν λόγων νοῦν* (καὶ γὰρ αὐτὸ τὸ τῆς φωνῆς ποιὸν καὶ ἡ τῶν Αἰγυπτίων ὀνομάτων δύναμις ἐν αὐτῷ τὴν τῶν λεγομένων ἐνέργειαν ἔχουσι)· διαστρεφόμενοι δὲ ἀσαφεῖς τε γίνονται καὶ ἀνενέργητοι.

*Φωνάς.* Ἐπῳδάς.

*Καὶ τὸ τοῦ δακτύλου.* Ἐθεασάμην κἀγώ ποτέ τινα παῖδα τοξευθέντα τὸ νεῦρον τοῦ αὐχένος, ᾧ καὶ συνέβη ἐντεῦθεν κρατηθῆναι νάρκῃ τινὶ θάτερον τῶν ποδῶν, καὶ διαμεῖναι τοῦ λοιποῦ τὸ πάθος ἄνίατον, ὥστε καὶ τοῦ ἑτέρου ποδὸς συναυξανομένου τῇ ἡλικίᾳ ἔμεινεν αὖτος ἐφ' ἧς ἔτυχε τότε λεπτότητος, καὶ ἐφ' οὗ ἔτυχε τότε μήκους, ἀπῳρημένος ἀργὸς καὶ ἀνόνητος, καὶ ὥσπερ τις ἄψυχος φόρτος. Ἀπορίαν οὖν ἐμποιεῖ τοῖς μὴ τὰς αἰτίας καὶ τοὺς λόγους εἰδόσι, πῶς ἡ χεὶρ, ἐγγυτέρα οὖσα, ἀναίσθητος τοῦ πάθους ἔμεινεν· ὁ δὲ ποῦς, πόρρω κείμενος, συμπέπονθεν· ὅσοι δὲ τῇ μετὰ λόγου κρίσει θεωροῦσι τὰ ἐν κόσμῳ πράγματα, οὗτοι πολλὰ ἂν εὕροιεν ὅμοια. Οὐ γὰρ τοῦ αὐτοῦ πάθους αἰσθάνονται πάντα τὰ σώματα, οὐδὲ πάντα τὰ μέρη τοῦ σώματος, ἀλλὰ τὸ πεφυκὸς πάσχειν σῶμα, καὶ τὸ πεφυκὸς μέρος τοῦ σώματος συμπάσχειν, καὶ ὅτε πέφυκε, καὶ ὅπως πέφυκεν. Ὥσπερ εὐωδίας περὶ τὸν ἀέρα ἁπλωθείσης οὔτε ξύλον, οὔτε πέτρα, οὐ μὴν οὔτε ἀκοὴ, οὔτε χεὶρ, οὔτε ποῦς αἰσθάνεται, ἀλλὰ μόνον ἡ ὄσφρησις· ὥσπερ καὶ τοῦ μέλους μόνη ἀκοὴ, καὶ τῶν χρωμάτων μόνη ὁ ὄψις.

*Εἰς τὸν βουβῶνα.* Βουβῶνα λέγει τὴν ἀρχὴν τῶν μηρῶν, ἢ ὡς τὴν ἄνω ἀρχὴν τοῦ ποδός.

*Ἑνὸς γὰρ ἦν.* Φησὶ δὲ καὶ Ἀριστοτέλης ἐν τῷ *Περὶ ζώων ἱστορίας*, ὅτι οἱ βόες ἧττον ἀλγοῦσι τοὺς πόδας, ἐάν τις τὰ κέρατα ἀλείφῃ πηλῷ, ἢ πίττῃ, ἢ ἐλαίῳ.

*Γοητεύεται.* Ἄλλο ἐστὶ γοητεία, καὶ ἄλλο μαγεία, καὶ ἄλλο φαρμακεία. Γοητεία μὲν γάρ ἐστιν ἡ ἀπὸ τῶν ἐνύλων καὶ ἀκαθάρτων καὶ κακοποιῶν δαιμόνων ἕστιν οὓς προσκαλουμένη. Ἔσχε δὲ τὸ

etiam iyngas vocitabant. Jam vero de nominibus quæ usurpant præcipiunt hac formula, Nomina barbara neutiquam mutaveris. Sunt enim nomina singulis divinitus imposita, quæ vim et efficaciam incredibilem in sacris habent, veluti, Sabaoth, Adonai, Cherubim, Seraphim, Abraham, Isaac, Jacob, et cætera ejusmodi, quorum vim et effectum obscurares, ut sapienti quoque Origeni visum est, si ea Græca dialecto exprimeres. Ait porro Æsculapius Mercurii ter-maximi discipulus, in ea oratione quam ad Ægyptium regem habuit, his verbis: *Quantum in te situm est, rex, præceptiones tibi a nobis traditas observa, ne vel ad Græcos perveniant tam arcana mysteria, vel ampullata eorum oratio et compta gravitatem et pondus rerum comprimat ac debilitet, et minus efficacem nominum pronuntiationem reddat. Nam ejusmodi sermones, patria et vernacula lingua explicati, perspicuam dictorum intelligentiam continent* (si quidem ipsa vocis qualitas, et nominum Ægyptiorum vis, effectum eorum quæ dicuntur in se comprehendunt), permutati autem et conversi in aliam linguam, obscuri et inefficaces fiunt.

*Voces.* Incantationes et carmina.

*Ac digiti pedis.* Vidi ipsemet aliquando puerum quemdam cui cum sagitta nervum cervicis percussisset, contigit ut inde pes alter torpore corriperetur, et permaneret in reliquum tempus insanabilis morbus; et cum pes alter, ætatis progressu crescceret, hic alter in ea tenuitate et brevitate qua tunc fuerat, consisteret, suspensus, inutilis et otiosus, tanquam pondus inanimum. Itaque dubitatione afficiebat eos qui causas et rationes non intelligebant, quo pacto cum manus propior esset, sine ullo sensu doloris permansisset, pes autem procul distans condoluisset. At vero qui cum rationis judicio considerant res mundanas, pleraque his similia reperire possent. Neque enim eumdem sentiunt dolorem omnia corpora, neque omnes corporis artus: sed id tantum corpus quod ad patiendum natura comparatum est, et ea corporis pars quæ ad condolendum apta est, et quando et quomodo usuvenit. Quemadmodum cum bonus odor per aerem sparsus est, neque lignum, neque lapis, neque vero auris, nec manus, nec pes eum percipit, sed solus odoratus: ut cantus sola auris, et colores solus aspectus comprehendit.

*In inguen.* Βουβῶνα Græci vocant principium coxarum, nempe superius principium pedis.

*Unius enim ambo.* Scripsit etiam Aristoteles, in lib. *De anim. histor.*, bobus pedes minus dolere, si quis eorum cornua ungat luto, aut pice, aut oleo.

*Præstigiis decipitur.* Alia est incantatio quæ goetia, alia quæ magia, et alia quæ pharmacia dicitur a Græcis. Est enim goetia ratio quosdam materiæ immistos, impuros et maleficos dæmonas invocandi. Nomen autem ductum est ἀπὸ τῶν γόων, hoc est, a fletibus, quasi luctu digna faciat.

ὄνομα ἀπὸ τῶν γόων, ὡς θρήνων ἄξια πράττουσα· μαγεία δὲ ἔστ' ἡ διὰ τῶν μέσων δαιμόνων ἀῦλων τε καὶ ἐνύλων ἐνεργοῦσα· φαρμακεία δὲ ἡ διὰ βρώσεως ἢ πόσεως. Ἔτι ὁμοίως, ἄλλο ἐστὶ κακοτεχνία, καὶ ἄλλο ψευδοτεχνία, καὶ ἄλλο ματαιοτεχνία. Κακοτεχνία μὲν γάρ ἐστιν ἡ τῶν γοήτων καὶ φαρμακῶν καὶ μάγων ἐπὶ κακῷ τῶν ἀνθρώπων εὑρημένη· ψευδοτεχνία δὲ ἡ ψευδῆ δεικνύουσα, ὡς ἡ παροφθαλμιστική· ματαιοτεχνία δὲ ἡ ὁμοῦ τῷ πληγέντι ἀέρι διαλυομένη.

*Ὑπάτην.* Ταῦτα ἐκ τῆς κατατομῆς τοῦ ἁρμονικοῦ κανόνος ἐλήπται παραδειγματικῶς. Δεῖ οὖν ἐκεῖθεν ἡμᾶς ἁρξαμένους ἀναπτύξαι καὶ ταῦτα πρὸς σαφήνειαν τῶν ἐντυγχανόντων ἕνεκα. Συμφωνίαι μὲν οὖν δι' ὧν τὰ ἁρμονικὰ γίνονται συστήματα, πλεῖσταί εἰσιν, ὧν πρώτη ἡ ἐπιτρίτη, διὰ τεσσάρων οὖσα χορδῶν· συνίσταται δὲ ἐκ δύο τόνων καὶ λείμματος, τοῦ καὶ ἡμιτόνιον καταχρηστικῶς καλουμένου· ἐν ᾗ συγκρινόμενος ὁ τῆς τετάρτης χορδῆς φθόγγος πρὸς τὸν τῆς πρώτης ἐπίτριτον ἀεὶ εὑρίσκεται ἔχων λόγον. Δευτέρα δὲ συμφωνία ἐστὶν ἡ ἡμιόλιος, ἥτις καὶ διὰ πέντε γίνεται χορδῶν, ἤτοι ἐκ τῶν τριῶν καὶ λείμματος. Συγκρινόμενος μέντοι κἀνταῦθα ὁ τῆς πέμπτης χορδῆς φθόγγος πρὸς τὸν τῆς πρώτης εὑρίσκεται ἀεὶ ἔχων λόγον ἡμιόλιον. Πρώτην δὲ χορδὴν λέγω ἐνταῦθα τὴν τετάρτην τῆς πρώτης συμφωνίας τῆς διὰ τεσσάρων. Κοινὴ γάρ ἐστιν ἡ τετάρτη χορδὴ τῶν δύο

A συμφωνιῶν τῶν πρώτων· τέλος μὲν τῆς διὰ τεσσάρων, ἀρχὴ δὲ τῆς διὰ πέντε, ἤγουν τέλος μὲν τῆς ἐπιτρίτης, ἀρχὴ δὲ τῆς ἡμιολίου. Αὗται γοῦν αἱ δύο συμφωνίαι οὕτως συντιθέμεναι, ποιοῦσι τὸ διὰ πασῶν ὁμόφωνον καλούμενον σύστημα. Τὰς μὲν οὖν ἄλλας συμφωνίας ἐατέον νῦν, ὡς οὐ πάνυ τοι συντελούσας ἡμῖν εἰς τὸ δεῖξαι τὸ προκείμενον. Συνίσταται μέντοι καὶ τὸ διὰ πασῶν ὁμόφωνον τοῦτο σύστημα ἐκ χορδῶν μὲν, ἤτοι φθόγγων ὀκτὼ, τόνων δὲ πέντε, καὶ λειμμάτων δύο· συγκρινόμενος δὲ ἐνταῦθα ὁ τῆς ὀγδόης χορδῆς πρὸς τὸν τῆς πρώτης φθόγγον, διπλασίονα ἀεὶ εὑρίσκεται ἔχων λόγον. Ἡ μέν τοι πρώτη χορδὴ καλεῖται νήτη, ἡ δὲ δευτέρα παρανήτη, ἡ δὲ τρίτη παραμέση, ἡ δὲ πέμπτη ὑπερπαρυπάτη, ἡ δὲ ἕκτη παρυπάτη, ἡ δὲ ἑβδόμη B ὑπάτη, ἡ δὲ ὀγδόη προσλαμβανόμενος. Ὕστερον γὰρ προσελήφθη τῷ Πυθαγόρᾳ. Ἡ γὰρ ἀρχαιότερος λύρα τοῦ Ὀρφέως ἑπτάχορδος ἦν. Τῶν γοῦν τοιούτων χορδῶν αἱ μέν εἰσιν ὀξεῖαι κατὰ τοὺς φθόγγους, αἱ δὲ βαρεῖαι, αἱ δὲ μέσαι. Καὶ βαρεῖαι μέν εἰσιν αἱ ὑπάται, ὀξεῖαι δὲ αἱ νῆται, μέσαι δὲ αἱ μεταξύ. Πρὸς μέντοι σαφήνειαν πλείονα ἐξεθήκαμεν γραμματικῶς καὶ κανόνα ὀκτάχορδον, τοῦτ' ἔστι τὸ διὰ πασῶν ὁμόφωνον σύστημα, συγκείμενον ἐκ δύο τετραχόρδων καὶ τόνου ἑνὸς, ἤτοι ἐκ δύο ἐπιτρίτων λόγων, ἐπογδόου ἑνὸς, ἢ μᾶλλον ἐξ ἐπιτρίτου ἑνὸς καὶ ἡμιολίου ἑνός. Ὁ γὰρ ἐπόγδοος λόγος συναπτόμενος τῷ ἑνὶ ἐπιτρίτῳ, ποιεῖ λόγον

Magia vero est ea vis quæ per medios dæmonas materiæ expertes et ejusdem participes operatur. Pharmacia denique est vis noxia per cibum et potum. Eodemque modo aliud est κακοτεχνία, ars malefica; et aliud ψευδοτεχνία, ars falsa; itemque aliud est ματαιοτεχνία, ars futilis. Etenim ars malefica est præstigiatorum, veneficorum et magorum, in damnum hominum inventa. Ars autem falsa est, quæ falsa indicat, ut ea quæ oculos fallit: παροφθαλμιστικὴν Græci vocant. Postremo ars futilis et inanis est quæ cum aeris percussione perit.

*Summam in fidibus chordam.* Hæc sumpta sunt ex concisione harmonici canonis cum exemplorum oppositione. Oportet igitur nos principio inde ducto explanare ista, ut lectores perspicuam rerum intelligentiam habeant. Concentus itaque, quibus harmonicæ constitutiones conficiuntur, plures sunt, quorum primus sesquitertia est, quatuor fidibus constans: hæc vero ex duobus tonis et limmate (quod et semitonium improprie vocatur) coalescit: in qua cum sonus quartæ chordæ confertur cum sono primæ, sesquitertiam proportionem habere comperitur. Secundus concentus est sesquialtera proportio, quæ quidem e quinque fidibus exoritur: ex tribus videlicet et semitonio. Hinc etiam sonus quintæ chordæ comparatus ad sonum primæ semper proportionem habet sesquialteram. Primam autem chordam appello hoc in loco quartam primi concentus qui per quatuor fit. Communis est quarta chorda duorum concentuum primorum, finis qui-

C dem ejus qui per quatuor fit, initium autem ejus qui per quinque, hoc est, extremum quidem sesquitertiæ, principium vero sesquialterius. Itaque duo concentus hoc pacto compositi efficiunt eam constitutionem, quam per omnes consonam nuncupant. Nunc autem cæteros concentus missos faciamus, quippe cum parum admodum conducant ad propositæ nobis quæstionis explicationem. Hæc certe constitutio per omnes consona fit e fidibus, hoc est, sonis octo, quinque vero tonis et semitoniis duobus. Sonus autem octavæ chordæ collatus hic atque comparatus ad primæ sonitum, perpetuo invenitur duplam habere proportionem. Prima sane chorda vocatur nete, acutissimum sonum emittens, altera paranete, tertia paramese, quinta superparhypate, D sexta parhypate, gravissimum edens sonum, octava vero tonus assumptus; a Pythagora siquidem postea assumptus est. Nam prisca lyra Orphei ex septem chordarum concentu constabat. Ideoque nonnullæ hujusmodi chordarum quoad sonos acutæ sunt, aliæ graves, aliæ mediæ. Et graves quidem sunt hypatæ, acutæ netæ, mediæ vero interjectæ. Ad ampliorem perspicuitatem exposuimus linearum demonstratione regulam octachordam, hoc est, ex duplici proportione conflatam concordem tonorum modulationem, compositam ex duobus tetrachordis et unico tono: videlicet e duabus sesquitertiis proportionibus, unico sesquioctavo, vel potius e sesquitertia una et una sesquialtera. Nam sesquioctava proportio copulata cum unica sesquitertia, propor-

ἡμιόλιον. Θεωρεῖται δὲ ὁ ἐπίτριτος λόγος ἐν δύο ἀνίσοις ἀριθμοῖς, ὅταν ἔχῃ ὁ μείζων ὅλον τὸν ἐλάττονα, καὶ τοῦ ἐλάττονος τρίτον, ὡς ἐπὶ τοῦ τετάρτου καὶ τρίτου· ὁ ἐπόγδοος δὲ, ὅταν ὁ μείζων ἀριθμὸς ἔχῃ ὅλον τὸν ἐλάττονα καὶ τὸ τοῦ ἐλάττονος ὄγδοον, ὡς ἐπὶ τοῦ η′ καὶ θ′· ὁ ἡμιόλιος δὲ, ὅταν ὁ μείζων ἀριθμὸς ἔχῃ ὅλον τὸν ἐλάττονα, καὶ τὸ τοῦ ἐλάττονος ἥμισυ, ὡς ἐπὶ τοῦ γ′ καὶ δ′. Τοὐτων οὕτως ὑποκειμένων, φησὶν ὁ σοφὸς οὗτος Συνέσιος, A ὅτι ὁ τὴν ὑπάτην ψήλας, ἤτοι κινήσας (ἔστι δὲ τὸ ψήλας ποιὰ φωνὴ μουσικῆς ἐμμελὴς, ἀπὸ τοῦ ψάλλω), ὁ γοῦν τὴν ὑπάτην, φησὶ, ψήλας, οὐ τὴν παρ' αὐτὴν, ἤτοι τὴν προσλαμβανομένην ἐκίνησεν. Αὕτη γὰρ ἔχει λόγον ἐπόγδοον πρὸς αὐτὴν, ἀλλὰ τὴν πλησίον τὴν μέσην, πρὸς ἣν καὶ ἐπίτριτον ἔχει λόγον. Τῇ γὰρ συγγενείᾳ τῶν τοιούτων λόγων συμπάσχουσιν ἀπορρήτως ἀλλήλαις, καὶ πόρρω οὖσαι μᾶλλον τῶν ἐγγιστα.

Πυθαγόρου ἑπτάχορδος λύρα.




tionem efficit sesquialteram. Observatur porro sesquitertia proportio in duobus inæqualibus numeris, cum habeat major totam minorem, et minoris tertiam partem, ut in quarta et tertia. Sesquioctava autem, quando major numerus habet integrum minorem, et minoris octavam, quemadmodum in 8 et 9. Sesquialtera porro, cum major numerus continet totum minorem, et minoris dimidium, sicuti in 3 et 4. Istis rationibus pro fundamento jactis atque confessis, solers noster inquit Synesius, quod qui pulsaverit vel commoverit hy- D paten, seu gravissimam chordam imæ oppositam (est autem hæc dictio ψήλας, id est, qui pulsat, quædam vox musicæ concinna, a verbo ψάλλω, fidium sonitu canto); ait igitur, qui hypaten pulsaverit, non eam quæ juxta est ipsam, nimirum assumptam moverit: eamdem enim sesquioctavam proportionem habet respectu ipsius: verum propinquiorem mediam, cujus etiam comparatione sesquitertiam habet proportionem. Nam affinitate talium proportionum consentiunt inter se latenter, et multum distantes potius quam viciniores.

*Τῆς προγενεστέρας.* Ἣν εἶχον πρὸ τοῦ εἰδοποιηθῆναι, ὄντα δ' ἔτι ὕλη ἀνείδεος.

*Τὸ ἁπλῶς.* Συνθέτως ἕν· ἁπλῶς γὰρ εἷς ἕν, ὁ ῥοῦς.

*Ἰολλῶν.* Ἡ σύνθεσιν.

PAG. 133. *Τῆς στάσεως.* Αὐτῆς τῆς στάσεως, αὐτῆς τῆς μάχης.

*Ἀντιφώνων.* Καθὸ ὀξὺ καὶ βαρὺ λέγεται ἀντίφωνον.

*Συμφώνων.* Καθὸ κυρίως ἐπίτριτον καὶ ἡμιόλιον καὶ διπλάσιον λέγεται σύμφωνον.

*Ἁρμονία.* Ἐστί.

*Λύρας.* Ἐπὶ λύρας.

*Κόσμιον.* Ἐπὶ κόσμου.

*Ἀρχιμήδης.* Οὗτος ὁ θαυμάσιος Ἀρχιμήδης ἤκμασεν ἐν Σικελίᾳ ἐπὶ ἄρχοντος Ἱέρωνος. Οὗτος ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ σωματικὰ τρέψας τὴν γεωμετρικὴν ἐπιστήμην, καὶ τὸν τῆς μαθηματικῆς λόγον δι' αἰσθήσεως μίξας ταῖς ὀργανικαῖς κατασκευαῖς, ἐνεργέστερον τοῖς πολλοῖς κατεστήσατο· ὥστε καὶ Μαρκέλλῳ τῷ Ῥωμαίων στρατηγῷ ναυσί τε καὶ μηχαναῖς πλείσταις ἐς Συράκουσαν καταπλεύσαντι, πόλις δὲ αὕτη μεγάλη τῆς Σικελίας, τοσαύταις καὶ τοιαύταις Ἀρχιμήδης ἀντέστη ταῖς ἀπὸ τῆς τέχνης μηχαναῖς, καὶ τοσούτῳ παρέδωκεν ὁλέθρῳ τὸ τῶν Ῥωμαίων ναυτικὸν, ὥστε τὸν πολὺν ἐκεῖνον Μάρκελλον ἠττημένον ἐπαναστρέφοντα, λίαν θαυμάζειν τὴν τοῦ ἀνδρὸς σύνεσιν, καὶ πρὸς τὴν τέχνην ἐκπλήττεσθαι, καὶ πολλῷ μείζονα τούτου ἡγεῖσθαι τὴν ἰσχὺν, ἢ τοὺς μυθικοὺς ἑκατόγχειρας. Οὗτος οὖν ἔλεγεν ὡς τῇ δοθείσῃ δυνάμει τὸ δοθὲν βάρος κινῆσαι δυνατόν ἐστι· καὶ προστιθεὶ πρὸς σύστασιν τῆς ἀποδείξεως, ὡς εἰ γῆν εἶχε ἑτέραν, ἐκίνησεν ἂν ταύτην, μεταβὰς ἐκ ταύτης πρὸς ἐκείνην.

*Σοφός.* Ὁ μάντις.

*Αὐτῷ.* Τῷ κόσμῳ.

*Τοῦ κόσμου.* Κόσμον ἐνταῦθα λέγει τὸν ἀπὸ τῆς σεληνικῆς σφαίρας κάτα μέχρι γῆς διήκοντα. Τοῦτον γὰρ καὶ σύνθετον ἐκ τῶν τεσσάρων εἶναι λέγει στοιχείων, καὶ φύσιν ἔχοντα πάσχειν καὶ ἀλλοιοῦσθαι ἄλλοτε ἄλλως, ἔτι δὲ καὶ διὰ γοητείας· ἅπαν ἐκ τῷ ἔξω τοῦ κόσμου, τοῦτ' ἔστι τὸν μετὰ τὴν σελήνην ἄνω τόπον, ἁπλοῦν καὶ ἀσύνθετόν φησι καὶ ἀναλλοίωτον κόσμον, καὶ ἀπαθῆ, καὶ ἀγοήτευτον, καὶ νοερώτερον, καὶ ἀνεπίδεκτον πρὸς τὰ ἐντεῦθεν γινόμενα πάσης τῆς ὕλης.

*Ἀγοήτευτον.* Ἐλεύθερον πάθους.

*Οὐκ ἀλεγίζει.* Τοῦτο ἐκ τοῦ Ὁμηρικοῦ παρεκβέβληται. Ἐν γὰρ τῷ πρώτῳ τῆς Ὁμήρου ῥαψῳδίας φησὶν ὁ Ἀγαμέμνων πρὸς τὸν Ἀχιλλέα, ὅτι

*Σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω*
*Οὐδ' ὀδομαι κοτέοντος.....*

*Ἀμείλικτος.* Ἀπαθής.

*Τὸ δὲ παθητικόν.* Τῆς ψυχῆς ὅσον πρὸς λόγον καὶ νοῦν ἀφορᾷ, ἀπαθές ἐστι· τὸ δὲ πρὸς τὴν ὕλην

*Antiquioris meliariaque concordiæ.* Quam habebant priusquam in suam formam producerentur, eruntque adhuc materia informis.

*Non est simpliciter.* Composite unum; simpliciter enim et absolute fuerit unum, fluxus.

*Ex multis unum.* Qua ratione est compositum.

*Et ipsarum discordia.* Ipsa seditione, ipsa pugna.

*Dissonorum.* Quoniam acutum et grave dicuntur dissona.

*Concordantium.* Quia proprie sesquitertius et sesquialter sonus ac duplus dicuntur mutuo concentu inter se consentire.

*Archimedes.* Mirificus ille Archimedes regnante Hierone floruit in Sicilia. Is a rebus sub intelligentiam et animi conceptionem cadentibus ad corporeas geometricam scientiam deflectens, et mathematicæ rationem, potentiæ sentiendi beneficio, miscens instrumentalibus opificiis structurisque artificiosis, evidentiorem plerisque reddidit. Ita ut Marcello Romanorum imperatori, qui navibus atque fabricis compluribus Syracusas navigarat (illa vero civitas maxima erat totius Siciliæ), tantis ac talibus suis artificiosis machinationibus Archimedes obstiterit, ac tam funestæ stragi tradiderit Romanorum classem, ut vehemens ille Marcellus superatus et cœptis absistens interdum, admiratus sit viri industriam, et illius artificio obstupuerit, longeque majores hujus vires existimaverit, quam fabulosos centimanos. Is igitur dicebat ex assignatis viribus concessum pondus moveri posse: et addebat ad demonstrationis assertionem et confirmationem, quod si alteram terram haberet, concitaret ipsam, digrediens ex hac in illam.

*Industrius.* Vates, et in rebus futuris præsagiendis solers.

*Ipso.* Mundo.

*Extra mundum.* Hoc in loco mundum dicit qui a lunari globo circuloque, inde usque in terram pervenit et exporrigitur; hunc enim etiam coagmentatum esse ex quatuor elementis asserit, ac naturam habere ad patiendum idoneam: eamque alioqui interdum variari et permutari posse, adhuc etiam per incantationem, universum autem per ludificationem. Quidquid autem est extra mundum, videlicet post lunæ superiorem locum, simplex et incompositum dicit, et mundum immutabilem, nec non perturbationis expertem, nullisque præstigiis obnoxium, ad intelligentiam propius accedentem ac negligentem ex eo loco quæcunque fiunt in tota materia.

*Ab incantatione et præstigiis immune est.* A perturbatione liberum.

*Securus est.* Istud ex Homeri *Iliade* depromptum est. In primo siquidem Homeri Rhapsodiæ ait Agamemnon ad Achillem:

*Tu nil mihi curæ es,*
*Nec moveor, mihi quod succenses.*

*Nec tradi blanditiis.* Perturbationum expers.

*Quod autem affectibus subjicitur.* Quidquid animæ respicit ad rationem ac mentem, affectione caret:

ἁπλοῦν ἅπαν ἐστὶ παθητικόν. Διαιρεῖται δὲ τὸ παθητικὸν τῆς ψυχῆς εἴς τε τὸ πειθόμενον λόγῳ, καὶ εἰς τὸ μὴ πειθόμενον λόγῳ διπλοῦν. Τὸ μὲν γάρ φαμεν θρεπτικὸν καὶ φυσικόν· τὸ δὲ σφυγμικὸν καὶ ζωτικόν· ἄμφω δὲ ταῦτα οὐ λόγῳ πείθεσθαι ἴσασιν. Οὐδὲ γὰρ προαίρεσιν οὐδὲ κριτικήν τινα δύναμιν ἔχει· ὁμοίως δὲ καὶ τὸ ἐπιπειθὲς λόγῳ διπλοῦν ἐστι. Τὸ μὲν γάρ φαμεν ἐπιθυμητικὸν, τὸ δὲ θυμικόν. Τὸ μέν τοι ἐπιθυμητικὸν διαιρεῖται εἰς ἡδονὴν καὶ λύπην· ἐπιτυγχάνον γὰρ ἡδονὴν ἐργάζεται· ἀποτυγχάνον δὲ, λύπην· τὸ δὲ θυμικὸν διαιρεῖται εἰς τρία, εἰς ὀργὴν, ἣν δὴ καὶ χολὴν καὶ χόλον καλοῦσι· καὶ εἰς μῆνιν, καὶ εἰς κότον. Ἔστι δὲ ὀργὴ θυμὸς πρὸς ἐνέργειαν ἀρχὴν καὶ κίνησιν ἔχων, ἡ θυμὸς ἐνεργούμενος· μῆνις δὲ καὶ κότος ἐστὶν ὁ ἐπιμένων καὶ ἐγκείμενος θυμός.

*Mantείαις.* Τὴν μαντείαν πολυειδῆ φασιν Ἕλληνες εἶναι, καὶ διαφόρως ἐνεργοῦσαν, ὡς μετρίως κἀν τοῖς ἔμπροσθεν τοῦ παρόντος βιβλίου εἰρήσεται· τελετὴν δέ φασι τὴν τῶν μυστηρίων μετάδοσιν, ὡς τελειοῦσαν τοὺς μυουμένους. Ἔτι δὲ τοὺς εἰς ἕξιν ἐλθόντας τῆς παραδόσεως ταύτης τετελεσμένους καὶ τελείους φασί.

*Διαστάντων.* Τὰ ἐν κόσμῳ πάντα σύνθετα καὶ εἰδοποιημένα πράγματα, εἰ μὲν ὡς οὐσίας βλέπεις αὐτὰ, ἓν τι βλέπεις, συγγένειαν ἔχοντα παντα- A
χόθεν πρὸς ἑαυτά· εἰ δὲ ὡς εἰδοποιημένα πράγματα, πλῆθος βλέπεις διάφορον καὶ διάστασιν ἔχον πρὸς ἑαυτὸ δι' ὅλου· ἢ μᾶλλον, ὅταν κατ' εἶδος βλέπῃς τὰ ὄντα, τὸ ἓν βλέπεις διακεκριμένον· ὅταν δὲ κατὰ τὴν τοῦ ὄντος φύσιν, τὸ ἓν βλέπεις συνηθροισμένον.

*Τῷ νόμῳ.* Καὶ γὰρ κωλύει καὶ ἡ πολιτεία τὰς τελετάς.

*Καὶ δὴ τὸ ὅλον.* Ἀλλ' ἡμεῖς μὲν, φησὶ, καθ' ὅσον ἦν ἡμῖν ἐφικτὸν, καθολικὸν διεξήλθομεν ἐγκώμιον πάσης μαντικῆς, καὶ γνώρισμα ἐδείξαμεν εἶναι κοινὸν τῆς ἀρίστης μαντικῆς τὴν ἀσάφειαν. Τὰ γὰρ σαφῶς καὶ ἐναργῶς θεωρούμενα οὐδὲ μαντεία ἂν εἴη τις, οὐδὲ ἀποδείξεως δεηθείη ἄν τινος· ἡ δὲ νῦν B
*Et philosophia.* Scilicet Platonis, et eorum qui idem cum illo sentiunt, quotquot sunt.

*Secundarum.* Earumquæ post mortem eveniunt.

*Privas vivendi rationes.* Circa quas in hujus vitæ caducæ curriculo imaginandi facultas occupatur.

*Eum.* Spiritum phantasticum.

*Abstergentis.* Et pejoris igitur habitus.

*Squalorem.* In eum emittentis immundam illuviem.

*Elevatur.* Spiritus phantasticus.

*Propter calorem.* Quæ interveniunt propter jejunia, vigilias, necnon humilitatem animique abjectionem.

*Καὶ τοῦτο ἄρα.* Αἱ περὶ τὸ σῶμα τῆς ψυχῆς δυνάμεις πλείονες οὖσαι, ἐν μόνῃ τῇ διανοητικῇ κοινωνοῦσι τῷ θείῳ, ἣν δὴ κατὰ τὸ εἰκὸς ὁ Πλάτων καὶ πτερὸν προσηγόρευσεν, ἅτε ἀνάγουσαν ἀπὸ τῶν θνητῶν καὶ ἐπιγείων τὴν ψυχὴν πρὸς τὰ οὐράνια καὶ θειότερα, καὶ οὐκ ἐῶσαν μολύνεσθαι τὸ φανταστικὸν αὐτῆς ταῖς ὑλικαῖς προσπαθείαις.

*Καὶ τοῦτο ἄρα.* Τοῦτ' ἔστιν ἡ τοῦ φανταστικοῦ κάθαρσις.

*Χηραμοῖς.* Τοῖς βυθοῖς.

*Τῆς γῆς ἐνδύεται.* Ἐπειδήπερ ὁ σοφὸς οὗτος Συνέσιος αἱρεσιώτης, ὡς εἰρήκειμεν, ἐστὶ κατὰ πάντα τοῦ Πλάτωνος, κἀνταῦθά τε ταῖς πλείοσι τῶν ἐκείνου χρῆται δοξῶν, δίκαιον ἂν εἴη καὶ τὰς ἐκείνου ῥήσεις ἐνταῦθα ἐκθεῖναι ἀντ' ἄλλης τινὸς ἑρμηνείας. Φησὶν οὖν ἐκεῖνος ἐν τῷ *Φαίδωνι* περὶ τῆς μεμιασμένης καὶ ἀκαθάρτου ψυχῆς, ὅτι διειλημμένη ἐστὶ ὑπὸ τοῦ σωματοειδοῦς, ὃ αὐτὴ ἡ ὁμιλία τε καὶ συνουσία τοῦ σώματος διὰ τὸ ἀεὶ ξυνεῖναι, καὶ διὰ τὴν πολλὴν μελέτην ἐποίησε ξύμφυτον. Ἐμβριθὲς δὲ οἴεσθαι χρὴ τοῦτο εἶναι καὶ βαρύ, καὶ γεῶδες, καὶ ὁρατόν· ὃ δὴ καὶ ἔχουσα ἡ τοιαύτη ψυχὴ, βαρύνεται καὶ ἕλκεται πάλιν εἰς τὸν ὁρατὸν τόπον φόβῳ τοῦ ἀειδοῦς τε καὶ ᾅδου, ὥσπερ λέγεται περὶ τὰ μνήματά τε καὶ τοὺς τάφους καλινδουμένη, περὶ ἃ δὴ καὶ ὤφθη ἄττα ψυχῶν σκιοειδῆ φαν- A τάσματα, οἷα παρέχονται αἱ τοιαῦται ψυχαὶ εἴδωλα, δίκην τίνουσαι τοῦ προτέρου βίου κακοῦ ὄντος· καὶ μέχρι τούτου πλανῶνται, μέχρις ἂν τῇ τοῦ ξυνεπακολουθοῦντος σωματοειδοῦς ἐπιθυμίᾳ πάλιν ἐνδεθῶσιν εἰς σῶμα· ἐνδοῦνται δὲ ὥσπερ εἰκὸς εἰς τὰ τοιαῦτα ἤθη, ὁποῖά ποτ' ἂν καὶ μεμελετηκυῖαι τυγχάνωσιν ἐν τῷ βίῳ· οἷον τοὺς μὲν γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν ὁμοίων θηρίων εἰκὸς ἐνδύεσθαι· τοὺς δέ γε ἀδικίας τε καὶ τυραννίδας καὶ ἁρπαγὰς προτετιμηκότας εἰς τὰ τῶν λύκων τε καὶ ἱεράκων καὶ ἰκτίνων γένη· τοὺς δὲ τὴν πολιτικήν τε καὶ δημοτικὴν ἐπιτετηδευκότας ἀρετὴν, ἣν δὴ καλοῦσι σωφροσύνην τε καὶ δικαιοσύνην ἐξ ἔθους καὶ μελέτης γεγονυῖαν, ἄνευ φιλοσοφίας B καὶ νοῦ εἰκὸς ἐστιν τοιοῦτον πάλιν ἀφικνεῖσθαι πολιτικὸν καὶ ἥμερον γένος, ἢ που μελιττῶν, ἢ σφηκῶν, ἢ μυρμήκων, ἢ καὶ εἰς ταυτό γε πάλιν τὸ ἀνθρώπινον γένος, καὶ γίνεσθαι ἐξ αὐτῶν ἀνδρας μετρίους εἰκός· εἰς δέ γε Θεοῦ γένος μὴ φιλοσοφήσαντι καὶ καθαρῷ παντελῶς ἀπιόντι οὐ θέμις ἀφικνεῖσθαι ἀλλ' ἢ τῷ φιλομαθεῖ· φιλομαθὴς δὲ ὁ φιλόσοφον λέγει, ὡς φιλοπράγμονα καὶ ἐρευνητικὸν περὶ τὴν φύσιν τῶν ὄντων.

*Κακοδαίμων.* Δυστυχής.

*Πόνῳ.* Καὶ κολάσεσι διὰ χρόνου.

*Καθηρημένην.* Τὴν φαντασίαν.

*Et is utique spiritus.* Potentiæ quæ plures sunt circa corpus animi, in unica duntaxat intelligendi et ratiocinandi vi cum supremo numine menteque mundi moderatrice communicant, quam sane jure optimo Plato quoque alam nuncupavit, nimirum deducentem a fragilibus, et interitui obnoxiis rebus atque terrenis animum ad cœlestes, et diviniores, neque sinentem labefactari conspurcarique suam imaginationem materialibus affectionibus.

*Et illud rursus.* Nimirum imaginationis purgatio.

*Terræ cavernas.* Imos gurgites.

*Ingreditur.* Quandoquidem solers hic noster Synesius, sicuti diximus, omnibus in rebus Platonis est acerrimus sectator, hic quoque permultis ab illo desumptis utitur sententiis, æquum fuerit illius dicta hoc in loco exponere pro alia quavis interpretatione. Ergo, inquit ille in *Phædone*, de anima polluta et impura verba faciens, quod contagione corporea infecta involutaque sit, quam ipsa consuetudo congressusque cum corpore, propter continuam familiaritatem, cultumque assiduum congenitam et geminam effecit. Ponderosum vero id putandum est, grave, terrenum et visibile, quo cum præpedita sit talis anima, gravatur atque trahitur rursum in locum visibilem formidine tenebrosi, caliginosi et in orco occulti, quemadmodum fertur circa monumenta sepulcraque assidue versatur, circa quæ profecto jam nonnulla apparuerunt animarum umbrosa phantasmata, qualia præferunt et exhibent simulacra tales animæ, pœnas luentes vitæ facinorosæ anteactæ. Itaque tandiu circumvagantur, quoad cupiditate naturæ corporeæ comitante, rursus induant corpus. Induunt autem, ut verisimile est, ejusmodi mores, quales in vita exercuerunt. Veluti eos qui ventris ingluvici dediti fuere, et contumeliis, flagitiis, compotationibusque vacantes inertem atque lascivam vitam egere, nec quidquam pensi pudorisque habuere, consentaneum est asinorum et similium belluarum corpora subire: eos vero qui injurias, tyrannides, rapinas præ cæteris secuti sunt, in luporum, accipitrum, milvorumque genera migrare par est, neque alio transire dicendum est; eos porro qui civilem popularemque virtutem, quam temperantiam et justitiam nominant, ex consuetudine et exercitatione acquisitam absque philosophia mentisque sagacitate exercuere, decens est hos in tale C quoddam genus iterum civile ac mansuetum demigrare quodammodo, apum, vesparum aut formicarum, deinceps in idem rursus genus humanum, modestosque ex illis homines fieri congruum est. Sed in deorum genus nulli fas est pervenire, nisi illis qui discendi cupiditate flagrantes philosophati sunt, et puri omnino ex hac vita migrarunt. Discendi cupiditate flagrantem vocat philosophum, velut curiosum et scrutatorem naturæ eorum quæ reipsa sunt.

*Infelix.* Misera, calamitosa.

*Labore.* Et castigationibus post longum diuturnumque tempus.

*Ut animus purgatus emergat.* Scilicet phantasticus.

*Γενομένη γάρ.* Ἡ ὡς ἐξ ἀρχῆς εἰς ὕπαρξιν ἐλ- A θοῦσα ἡ φανταστικὴ ψυχή.

*Τοῖς χείροσι.* Τοῖς ὑλικοῖς.

*Τοῖς κρείττοσιν.* Τοῖς νοεροῖς.

*Ἣν δαπεύεται.* Ταύτην τὴν φανταστικὴν ψυχήν.

*Ἀπὸ τῶν σφαιρῶν.* Σφαῖραι ἐνταῦθα νοητεύονται ἀπὸ τῆς πρώτης καὶ ἀνάστρου πάσης μέχρι τῆς σεληνικῆς.

*Κατιοῦσα.* Ἡ λογικὴ καὶ νοερά.

*Τῷ σωματικῷ.* Τούτῳ τῷ ἀπὸ τῆς σεληνικῆς σφαίρας μέχρι τῆς γῆς τῷ γινομένῳ καὶ φθειρομένῳ.

*Ἡ συναγαγεῖν.* Μεθ' ἑαυτῆς καὶ τὴν φανταστικὴν ψυχήν

*Μόλις μὲν γάρ.* Σπανίως μὲν γίνεται τοῦτο τὸ B ἀφεῖναι.

*Ἀλλὰ γέροιτ'.* Ἀλλ' ὅμως ἐγχωρεῖ γενέσθαι ποτὲ καὶ τοῦτο.

*Μὴ συνεπόμενον.* Τὸ φανταστικὸν πνεῦμα.

*Οὐ γὰρ θέμις.* Οὐ γὰρ πρέπον ἐστὶ τῷ ἀνθρώπῳ ἐκείνοις ἀπιστεῖν. Πρώτως ἐγνωσμέναι εἰσὶν αἱ τελεταί. Τελετὰς δέ φησι τὰ μυστικὰ καὶ ἱερὰ δόγματα.

*Αἰσχρά.* Κατησχυμμένη, ἄδικος.

*Ἐκδοδος.* Ταῖς λογικαῖς ψυχαῖς ἐκείναις.

*Τὸ ἀλλότριον.* Τοῦτ' ἔστι φανταστικὴν ψυχήν.

*Ἄνωθεν.* Ἐκ τῶν σφαιρῶν, ὡς προέφη.

*Καὶ τοῦτο.* Καὶ ταυτὸ μὲν, φησὶ, τὸ δυνηθῆναι λογικὴν ψυχὴν ἀφεῖναι τὸ φανταστικὸν πνεῦμα βαρυνθὲν κάτω, καὶ ἀνελθεῖν ἐλευθέραν τῆς ὑλικῆς σχέσεως αὐτὴν πρὸς τὰ μετέωρα, δῶρον ἂν εἴη Θεοῦ τε συναιρομένου τρόποις ἀῤῥήτοις, καὶ τελετῆς, τοῦτ' ἔστι μυστικῆς καὶ θειοτέρας διδασκαλίας παιδαγωγούσης καὶ σωφρονιζούσης αὐτήν· πλὴν οὐ πολλαῖς ἂν γένοιτο τοῦτο ψυχαῖς, ἀλλὰ μόλις μιᾷ τινι, ἢ καὶ δευτέρᾳ· ὅμως καὶ ταύτης τῇ ἀνόδῳ μέμφεται. Αἰσχρὰν γὰρ ἔφη, καὶ κατησχυμμένην αὐτὴν, ὡς ἄδικον φανεῖσαν, διὰ τὸ μὴ ἀποδιδόναι τὸ ἀλλότριον, ὅθεν ἡρανίσατο.

*Φύσιν δέ.* Τοῦτ' ἔστι, φυσικὸν δέ ἐστι τοῦτο

*Ψυχήν.* Λογικήν.

*Ὁμορρόθεῖν.* Ἀκολουθεῖν ἑκουσίως.

*Ἔλκειν.* Ἄκουσαν.

*Ἕλκεσθαι.* Ἄκον.

*Ὑπὸ κάκης.* Ὑπὸ τῆς ὑλικῆς προσπαθείας.

*Ἔρεῖσαν.* Ἐνδοῦσαν.

*Καὶ τοῦτ' ἔστιν.* Παραινοῦσι γὰρ τὰ Χαλδαϊκὰ λόγια ἄνω τείνειν διηνεχῶς τὸν νοῦν πρὸς Θεὸν, καὶ μὴ παραχωρεῖν αὐτὸν κάτω νεύειν εἰς τὸν περίγειον κόσμον, ἔνθα οὐδὲν πιστὸν, ἢ βέβαιον, ἀλλὰ πάντα μάταια καὶ ψευδῆ. Σκοπεῖν δὲ χρὴ πῶς μελαναυγέα ὠνόμασε τὸν περίγειον κόσμον τοῦτον, ὃν εἴρηκε καὶ ἀμφικνεφῆ· οὐ μόνον δὲ, ἀλλὰ καὶ ἄδην

*Exorta enim.* Quia principio in substantiam et vitam accedit anima phantastica.

*Cum pejoribus.* Cum materialibus, crassis, et C carnalibus.

*Ac melioribus.* Ut intelligendi vi præditis, et a materia sejunctis.

*Quam mutuatur.* Videlicet phantasticam animam.

*E globis cœlestibus.* Hoc in loco globi cœlestes omnino cernuntur et ratione intelliguntur ab omni prima sphæra astris carente usque ad lunarem.

*Descendens.* Rationalis et intellectualis animæ potentia.

*Corporeo mundo.* Eo, inquit, mundo qui continetur a lunari circulo ad terram usque profluente, ortui et interitui obnoxio.

*Sibi conciliet.* Secum imaginariam animæ potentiam. D

*Vix enim.* Raro enim istud evenit ut se invicem dimittant ac deserant.

*Sed fieri possit.* Aliquoties tamen contingere solet ut istud fiat.

*Minime parentem.* Nempe spiritum phantasticum.

*Haud quippe fas est.* Non enim decorum est homini illas respuere : in primis compertæ et cognitæ sunt hujusmodi expiationes. Expiationes porro sive cæremonias dicit mystica, arcana et sacra dogmata.

*Turpis.* Pudore oppressus, injustus.

*Reditus.* Illis animis rationis compotibus.

*Alienum.* Hoc est animæ partem quæ in phantasia et imaginatione consideratur.

*Desuper.* E globis cœlestibus, ut supra dixit.

*Et istud.* Istud quidem, inquit, nempe illam animæ partem, quæ intelligentiæ et rationis est particeps, posse missum facere spiritum phantasticum ingravescentem et immodico pondere ad inferiora loca tendentem, eamque materiali habitu ac movente affectu liberatam ascendere ad sublimiora domicilia, Dei munus fuerit, abditis et silentio prætermittendis rationibus, cæremoniæque eamdem sublevantis ac erigentis, hoc mysticæ divinibrisque disciplinæ ipsam moderantis ac refrænantis. Verum istud perpaucis contingat animis, imo vix uni cuidam, et alteri, verumtamen de ejus ascensu conqueritur. Turpem enim ac fœdatam eam dicit, ut quæ injusta apparet, eo quod alienum non reddiderit, unde emendicaverat.

*Animo.* Rationali.

*Adjumento sit.* Eum sua sponte comitetur.

*Trahat.* Invitum ac immorigerum spiritum phantasticum.

*Trahatur ab eo.* Invitus.

*Improbitate.* A materiæ vehementi affectu.

*Qui indulserit.* Concesserit.

*Et istud est.* Nos quippe adhortantur oracula Chaldaica, ut identidem sursum extendamus, mentemque elevemus ad Deum, ne ipsa prona se recipiat deorsum in mundum terræ propinquiorem, ubi nihil fidum ac stabile est, verum omnia futilia, vana et fallacia. Sed considerare fas est qua ratione obscurum, atrum, ac nigricantem vocaverit mundum hunc, quem undecunque caliginosum dixit ; nec vero solum sed etiam ipsum Orcum no-

αὐτὸν ὀνομάζει· τὸν γὰρ ᾅδην πολλαχοῦ καλοῦσι Χαλδαῖοι. Θεόν τε γὰρ ἡγοῦνται τοῦτον, καὶ τῆς ἐσχάτης καὶ περιγείου λήξεως ἀρχηγόν. Ἔστι δ' ὅτε καὶ τὸν ὑπὸ σελήνην κόσμον, ὃν ἀμφικνεφῆ φασι, καὶ τοῦτον ᾅδην καλοῦσι· ποτὲ δὲ αὐτὴν τὴν σεληνιακὴν σφαῖραν, ἣν καὶ μεθόριον τίθενται τοῦ τε αἰθερίου κόσμου καὶ τοῦ ὑλαίου. Βυθὸν δέ φασι τὴν ὕλην, ἣν ἐν τῷ ὑπὸ τὴν σελήνην τόπῳ τάττουσι.

*Ὁ δεδίττεται.* Ἐκφοβοῦσι τὰ ἱερὰ τῶν Χαλδαίων λόγια.

*Νοερόν.* Τὴν ψυχὴν φησιν, ὡς ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχουσαν.

*Ἄπιστος.* Ἀβέβαιος.

*Ἀμφικνεφής.* Σκοτεινός.

*Ῥυπόων εἰδωλοχαρής.* Χαίρων τοῖς εἰδώλοις, ἢ θεοὶ οἰκοῦσι, καὶ ἐνδιαιτῶνται οἱ ὑλικώτεροι δαίμονες· καὶ τὸ φανταστικὸν, φησὶ, πνεῦμα παχυνθέν.

*Ἐμπλήκτος.* Οἱονεὶ ἐμβρόντητος.

*Τῷ δὲ εἰδώλῳ.* Εἴδωλον κάνταῦθα τὴν φαντασίαν λέγει, ἢ ψυχικὸν πνεῦμα οὖσα καὶ λεπτὸν, ὅμως διὰ μοχθηρίαν προαιρέσεως ἐνίοτε ἔσχε παχύτητα τοιάνδε, ἢ τοιάνδε, ἣν φησι ποιὰν τοῦ πνεύματος σύστασιν· καὶ τότε δὴ γίνεται καὶ αὐτὴ εἴδωλον, τοῦτ' ἔστιν ὅμοιον τοῖς εἰδωλικοῖς ἐκείνοις δαίμοσιν.

*Ἢ κάτω.* Ἦν μελαναυγέα κόσμον ἀνωτέρω εἶπεν.

*Ὁμοίῳ γάρ.* Ἐπεὶ γὰρ τὸ φανταστικὸν πνεῦμα, ἀντὶ τοῦ φέρειν εἰκόνα ψυχῆς, καὶ εἶναι εἰδώλου αὐτῆς, ἐγένετο μᾶλλον ἐκ παρατροπῆς εἴδωλον ὁμοίων δαίμοσιν ὑλαίοις, εἰκότως καὶ συνήδεται τῇ τούτων συνδιαιτήσει.

*Εἰ δὲ ἓν.* Εἰ δὲ συγκατηνέχθη τῇ φαντασίᾳ καὶ ὁ νοῦς, καὶ ἐγένοντο ἓν τι πρᾶγμα ἐξ ἀμφοτέρων.

*Καὶ ὁ νοῦς.* Ἴσως ἂν καὶ ὁ νους εἰδωλικώτερος γενόμενος καὶ παχύτερος δέξαιτο τὸ συνήδεσθαι.

*Καίτοι τοῦτο κακῶν.* Τὸ μὴ ἐπαισθάνεσθαι, φησὶ, κακοῦ παρόντος, ἀλλὰ συνήδεσθαι αὐτῷ ὡς χρηστῷ, κακῶν εἴη τὸ μέγιστον. Τὸ γὰρ συνήδεσθαι τοῖς τοιούτοις καὶ μὴ αἰσθάνεσθαι τῶν μηδὲ ἀνακύψαι καὶ διόρθωσιν λαβεῖν ζητούντων ἐστί. Τίθησι δὲ εἰς ὑπόδειγμα καὶ τὸν σκίρρον· σκίρρος γάρ ἐστι ῥύπος δυσέκπλυτος, καὶ δυσαπόνιπτος. Δοκεῖ δὲ ἀσαφὲς τοῖς πολλοῖς τὸ ῥητὸν, διότι συντομίᾳ χρώμενος ὁ Συνέσιος, οὐκ ἐπλάτυνε τὸ τοιοῦτον ὑπόδειγμα, ἀλλὰ συνέπλεξε τῷ κειμένῳ. Σαφέστερον ἂν ἦν, εἰ οὕτως ἔλεγεν', ὅτι Ὥσπερ ὁ σκίρρος, εἰσδυόμενος εἰς βάθος τοῦ ὑποκειμένου τινὸς σώματος, δυσέκπλυτος γίνεται, καὶ δευσοποιὸς καὶ δυσαπόνιπτος· οὕτω καὶ ἡ προσπάθεια τῆς ὕλης καταβαπτίσασα τὸν νοῦν, καὶ εἰς βάθος ἐπιεῖν κατασχοῦσα τοῦτον, καὶ οἱονεὶ παχύτερον καταστήσασα, κλέπτει διὰ τῆς ἡδονῆς τὴν αὐτοῦ συγκατάθεσιν, καὶ τὴν γῆν, καὶ οὐκ ἐᾷ ὑπόμνησιν λαβεῖν ἢ ἐνθύ

minat. Nam Orcum seu Tartarum vario vocant Chaldæi; Deum enim eum existimant, et extremæ terræque adjacentis hæreditatis, quæ ei sorte contigit, principem. Interdum vero mundum qui in concavo lunæ continetur, quem omni ex parte nebulosum asserunt, et hunc infernum vocitant. Interdum autem ipsam lunarem sphæram, quam conterminam et confinem statuunt mundi ætherii et in materia luxuriantis. Materiam porro profunditatem dicunt, quam in loco sub luna sito determinant.

*Territant.* Perterrefaciunt sacra Chaldæorum oracula.

*Rationis capax.* Animam dicit quæ vitam et substantiam a Deo consecuta est.

*Infidus.* Inconstans et instabilis.

*Spectris et imaginibus gestiens.* Ex idolis voluptatem percipiens, ubi dii habitant, et versantur dæmones in materiæ illuviem procliviores: et hunc spiritum phantasticum, pinguem, crassumet obesum dicit.

*Vita stolida.* Ceu attonita.

*Simulacro vero.* Simulacrum hoc in loco phantasiam dicit, quæ animalis spiritus ac subtilis cum sit, nihilominus ob electionis et consilii pravitatem, aliquoties hanc habet crassitiem et obesitatem, aliquoties illam, quam vocant quamdam spiritus constitutionem; et tunc profecto ipsa efficitur idolum, id est, compar et similis idolicis ac umbrosis istis dæmonibus.

*Ima regio.* Quam hactenus mundum caliginosum et tenebrosum dixit.

*Simile quippe.* Quia enim spiritus phantasticus cum referre animi imaginem debuerit, et esse ejusdem simulacrum, evasit potius ob depravationem in idolum simile materialibus dæmonibus, ac meritis horum sodalitio familiaritateque oblectatur.

*Quod si unum.* Si vero mens ruat ac delabatur cum phantasia, et fiat una quædam ex ambobus.

*Mens etiam.* Mens fortassis ad idolorum naturam propius accedens et obesior, non repudiaverit communem ejusmodi oblectationem.

*Malorum hoc extremum est.* Non sentire, inquit, præsens malum, sed eo veluti commodo ac facili delectari, malorum omnium fuerit maximum. Nam talibus gratulari, et ea non sentire, eorum est qui neque emergunt ex tenebris, neque emendationem perquirere volunt. Scirrhum porro in exemplum adducit. Est enim scirrhus illuvies fœda et abstersu difficilis. Videtur autem hoc dictum permultis obscurum, propterea quod brevitate concisa utens Synesius, tale exemplum non dilatavit, sed contexuit et accommodavit proposito. Apertius autem fuisset, si ita dixisset: Quod quemadmodum scirrhus interiores subjecti cujusdam corporis partes subiens, ablutu atque purgatu difficilis et indelebilis redditur, sic magnus ille et inhærescens affectus mentem in profundam abyssum, ut ita loquar, demergens, eamque detinens, et veluti

μησιν σωτηρίας καὶ ἀποχῆς τοῦ πάθους. Ὅμως εὑρίσκεται φάρμακον ἀναγωγικὸν καὶ σωτήριον, ἡ μετάνοια· ἡ γὰρ μετάνοια καὶ μεταμέλεια δυσχεραίνοντος ἀνθρώπου ἐστὶ καὶ μισοῦντος τὴν κατασχοῦσαν κακίαν. Τὸ δὲ μισεῖν τὴν κακίαν ἐκ τῆς βουλήσεως ἔχει τὰς ἀρχάς, ἥτις βούλησίς ἐστι ῥίζα καὶ θεμέλιος πάντων τῶν δρωμένων καὶ λεγομένων· καὶ πρὸς αὐτὴν ὁρέγουσι καὶ ἐκτείνουσι τὰς αἰτίας καὶ ἀρχάς. Ἂν γὰρ μὴ συντρέχῃ ἡ βούλησις, ἄψυχος μένει πᾶσα διδασκαλία καὶ μάθησις, καὶ ἐλλιπής. Ἂν γὰρ διδάσκῃ μὲν ὁ διδάσκων, μὴ βούληται δὲ ἡ τοῦ διδασκομένου βούλησις, κολοβὸς γίνεται ἡ διδασκαλία· καὶ διὰ τοῦτο χρειώδης ἐστὶν ὁ βίος ὁ συγκεκραμένος τοῖς λυπηροῖς.

A

Pag 159. *Καὶ διὰ τοῦτο.* Διὰ τοῦτο γοῦν εὑρίσκεται φάρμακον ἀναγωγικὸν καὶ σωτήριον ἡ μετάνοια, τοῦτ' ἔστιν ἡ μεταμέλεια, καὶ ἡ τοῦ πράγματος κατάγνωσις.

B

*Ταύτῃ γάρ.* Τοῦτ' ἔστι πρὸς ταῦτα ἁπλοῦσι τὰς χεῖρας αἵ τε πράξεις καὶ οἱ λόγοι, ἢ ὡς τὰς αἰτίας καὶ τὰς ἀρχάς.

*Ἄψυχος.* Ἀνίσχυρος.

*Κολοβός.* Ἐλλιπής.

*Συνθήματος.* Τῆς σῆς βουλήσεως, συγκαταθέσεως.

*Ὄντων αἱ κράσεις.* Τὸ συγκεκρᾶσθαι τὰ ἡδέα τοῖς λυπηροῖς.

*Ἐμπλήκτου.* Παραλόγου.

*Χαρᾶς.* Ἡδονῆς.

*Παρ' ἀξίαν.* Παρὰ τὸ εἰκὸς, καὶ ἔξω τοῦ δέοντος λεγόμεναι παρὰ τοῖς πολλοῖς.

*Συμφοραί.* Ὥσπερ ἄλλαι πολλαὶ τῶν λέξεων ἐπ' ἄλλαις τισὶ σημασίαις ἐκλαμβανόμεναι πρότερον, ἄλλως ἐξελήφθησαν παρὰ τοῖς ὕστερον, οὕτω καὶ ἡ συμφορὰ μέση λέξις οὖσα πρότερον, καὶ ἐκλαμβανομένη καὶ ἐπὶ τοῦ συμφέροντος, ὡς τὸ, *Ἐπὶ συμφοραῖς γεγηθὸς ἔρπει δάκρυον ὀμμάτων ἄπο,* ἐπὶ κακοῦ μόνον παρὰ τοῖς ὕστερον ἐκλαμβάνεται, καὶ κακίζεται παρὰ τὸ εἰκὸς καὶ παρὰ τὴν ἀξίαν. Τῇ γὰρ ἀληθείᾳ οὐ κακῶν αἴτιαί εἰσιν αἱ συμφοραὶ ἀλλὰ παιδαγωγίας καὶ φρονήσεως· τοὐναντίον δὲ μᾶλλον θρυλλούμεναι εὐτυχίαι εἰσὶν αἴτιαι κακῶν.

C

*Συμβάλλ.* Συνεργοῦσι.

*Τὴν σχέσιν.* Τὴν προσπάθειαν.

*Πρώτη πρόνοια.* Γρ. Ἡ ἄνω. Πρώτην πρόνοιάν φησι τὴν τοῦ δημιουργοῦ Θεοῦ δικαίαν διεξαγωγὴν καὶ διοίκησιν, ἀντιδιαστέλλων ἐκ τῶν ἄλλων. Οἱ γὰρ Ἕλληνες ἔμψυχα δοξάζοντες ἥλιον, καὶ σελήνην, καὶ ἀστέρας, καὶ προνοεῖσθαι ἔφασκον τῶν ἐπιγείων οἴκοθεν καὶ αὐτούς.

*Διὰ τούτων.* Τῶν συμφορῶν.

*Τοῖς ἔχουσιν.* Τοῖς συνετοῖς.

*Τοῖς οὐκ ἔχουσιν.* Τοῖς ἀσυνέτοις.

crassiorem reddens, occultat ac tegit ob suæ ipsius voluptatis consensum, approbationem ac terram : neque permittit recordationem accipere salutis et incolumitatis liberationisque cogitationem ab illa vehementi commotione. Verumtamen inventur remedium sublimiori meditationi connexum et salutare pœnitentia ; pœnitentia enim consiliique mutatio hominis est graviter et iniquo animo ferentis, ac toto corpore perhorrescentis occupantem se improbitatem. Nam vitium odio prosequi a voluntate liberoque arbitrio principium obtinet : voluntas enim omnium dictorum factorumque radix est ac fundamentum : et ad eam porrigunt atque extendunt causas et primordia. Nisi enim concurrat voluntas, exanimis et irrita manet omnis doctrina et disciplina, atque imperfecta. Etenim si doctor doceat, nolit autem discipuli voluntas, manca et mutila fit disciplina. Et eam ob causam perutilis est vita tristitia et acerbitate temperata.

*Et ob id.* Proinde reperitur medicina ac rerum sublimium, et a vulgari sensu remotissimarum indagatrix ac salutaris pœnitentia, hoc est, voluntatis consiliique mutatio, et facti damnatio.

*Huic enim.* Id est, ad ea pandunt et explicant manus, facta et dicta, tanquam ad causas et principia.

*Ignava est.* Invalida.

*Mutila.* Imperfecta et manca.

*Fœdere.* Tuæ voluntatis, tui consensus.

*Rerum temperies.* Jucunda tristibus temperari

*Temerario gaudio.* Absurdo.

*Gaudio.* Fatua voluptate.

*Ultra meritum.* Quæ dicuntur a multis, ultra id quod decorum est.

*Calamitates.* Quemadmodum complures aliæ voces in aliis quibusdam significationibus prius elapsisque temporibus acceptæ, aliter usurpatæ sunt apud subsequentes minores : ita etiam hæc vox συμφορὰ, calamitas, casus, media cum fuerit dictio prius, usurpataque etiam in eo quod commodum et conducibile est, ut, *Ob id quod in suis casibus gestiens lætatur, serpit lacryma ex oculis.* In malam partem solum apud posteros usurpatur, et objurgatur supra quam par sit, et præter meritum. Nam, ut verum fatear, calamitates non malorum causæ sunt, sed adhortationis et prudentiæ ; contra, quæ vulgo secundæ fortunæ jactantur, sunt potius malorum causæ.

D

*Conferunt.* Cooperantur.

*Ad affectum abrogandum.* Magnam et inhærentem animi commotionem.

*Prima providentia.* Legitur in alio codice, *superna providentia.* Primam atque supremam providentiam vocat Dei mundi opificis justam dirigendi methodum ac dispensationem, eam ab aliis præclare distinguens. Nam Græci solem, lunam stellasque animata existimantes, e suo domicilio ipsa etiam providere dixerunt rebus terrenis.

*Earum gratia.* Calamitatum.

*Incautis.* Intelligentiæ expertibus ac desipientibus.

*Εὐτυχίας*. Οὖσας γὰρ ἀπωλείας προξένους, ἀπατώμενοι οἱ πολλοὶ εὐτυχίας αὐτὰς εἶναι θρυλλοῦσιν.

*Δεῖ λόχον*. Ἐνέδραν καὶ παγίδα κατὰ τῶν ψυχῶν.

*Τοῖς ἐφόροις*. Παρὰ τῶν δαιμόνων οἱ εἰσιν ἔφοροι.

*Ἄλλος ελπάτω*. Ὁ Ἑλληνικὰ φρονῶν.

*Εἰσελθούσῃ*. Ἐγὼ δὲ φημὶ δηλονότι.

*Ὀρέγεται*. Δίδοται.

*Τὸ τῇδε ἡδύ*. Τὸ ἀπατηλὸν τῆς ὕλης.

*Μειλίχιον*. Ὁ φησι τοιοῦτόν ἐστι· Χρείας, φησὶν, ἀπαιτούσης ὑπηρετῆσαι τῇ φύσει τοῦ κόσμου τὴν ψυχὴν, κάτεισιν ἄνωθεν οἷα μισθωτὸς, ἵνα πρὸς ῥητὸν ὑπηρετήσασα λάβῃ τὸν μισθὸν, ὥσπερ τι ἔπαθλον, καὶ ἀνέλθῃ ὅθεν κατῆλθε. Πάντα γὰρ ἃ γένεσιν ἴσχει καὶ αὔξησιν, χρῄζει τῆς ψυχῆς· καὶ τοῦτ' ἐστὶν ἡ τῆς ψυχῆς ὑπηρεσία, καὶ λειτουργία, ἵνα ὑπηρετήσῃ τῇ γενέσει τῶν ἐν κόσμῳ πραγμάτων, μέχρις ἂν τῷ δεκτικῷ ἐκείνῳ ἑκάστου σώματι δύναμις ἐνυπάρχῃ φέρειν ψυχὴν, καὶ μὴ ἐνοχλῇ γῆρας ἢ μαρασμὸς ὁστισοῦν καὶ φθορὰ γηγενής, ὁπόσαι περὶ τὸν βίον πλανῶνται πολύτροποι πολυτρόπως· ἡ δὲ ὡς τὰ πολλὰ ταῖς ὁλκαῖς προαπαθείαις καὶ ἡδοναῖς ἀπατηθεῖσα, οἰονεὶ μεθυσθεῖσα, ἔλαθε ψεῦδος ἀντ' ἀληθείας, καὶ σκιὰν ἀντὶ οὐσίας κατέχουσα.

*Θῆσσα*. Μισθωτός.

*Πρῶτον βίον*. Πρῶτον βίον φησὶ, ἀντιδιαστέλλων πρὸς τοὺς δευτέρους καὶ τρίτους, οὓς φασιν Ἕλληνες γίνεσθαι διὰ τὰς μετεμψυχώσεις.

*Δουλεύει*. Ἢ ὡς ἀργυρωνήτου τάξιν λαμβάνει ἀντὶ μισθωτοῦ.

*Ἀδραστείας*. Εἱμαρμένης

*Γοητευθ*. Πλανηθεῖσα δι' ἡδονῆς.

*Τῶν δώρ*. Ὅσα θεραπεύουσι καὶ ἡδύνουσιν ὄρασιν, γεῦσιν, ἀκοὴν, ὄσφρησιν, καὶ ἁφὴν, πάντα δῶρα τῆς ὕλης φησί.

*Δώρων*. Τῶν ἡδονῶν ἐν τῷ συνεχισμῷ τῆς φύσεως.

*Ἐπὶ συγκείμενον*. Ὡρισμένον.

*Δουλεύειν*. Ὥσπερ ἔγγραφον συμφωνίαν πεφάσαντες.

*Ἡσθῶμεν*. Εὐφρανθῶμεν.

*Θυραίων*. Νόθων.

*Ὁμολογεῖν*. Ὑπερσυντίθεσθαι ἐγγράφως.

*Ἡ δέ*. Ἡ Ἀδράστεια· ἡ φύσις.

*Ἀπόῤῥητον*. Μυστικὸν καὶ οὐ διὰ γλώττης προφερόμενον.

*Βουλευσώμεθα*. Περὶ τούτων οὐκ ἂν γνοίη τις ἀκριβῶς μὴ προπεπονθὼς καὶ μηδὲ πεῖράν τινα λαβὼν πρότερον· γνοῖεν δ' ἂν μᾶλλον οἱ πόθῳ παίδων καὶ γυναικῶν ἐνσχεθέντες. Στερούμενοι γάρ ποτε τούτων, ἢ ἐκόντες καταλιπόντες, μυρία; ὑφίστανται ἀλγηδόνας κατατεμνούσας ὡς εἰπεῖν διηνε-

*Vulgares felicitates*. Cum enim internecionem ac perniciem nobis concilient, in fraudem complures illecti eas esse prosperas fortunas spargunt in vulgus.

*Insidias*. Dolosas excubias et laqueos adversus humanos animos.

*Inferorum præsidibus*. A dæmonibus qui sunt inspectores ac præfecti.

*Ingresso*. Ego vero dico, videlicet.

*Suavitas*. Voluptas et subdola materiæ fraudatio. Quod autem dicit, tale est : Necessitate, ait, exigente, animam mundi naturæ inservire, e sublimi descendit tanquam mercede quadam conducta, ut ad definitum tempus serviens emolumentum accipiat veluti præmium quoddam, et ascendat unde venit. Quæcunque enim ortum et incrementum habent, animam et vitam desiderant. Et illud est animæ obsequium ac ministerium, ut subserviat generationi et origini rerum quæ in mundo continentur, quousque illi capaci uniuscujusque corpori vis et facultas adsit gestandi animam, neque eam fatiget senectus, aut quævis tabes et jactura terrigena quales in vita oberrant versatiles multis modis. Quæ porro anima ut plurimum materialibus ac vehementius inhærentibus affectibus voluptatibusque in errorem et fallaciam deducta est, et quasi inebriata imprudens fallitur, pro veritate mendacium, et umbram pro substantia et re ipsa amplectens.

*Paupercula siquidem et indotata*. Mercede conducta.

*Primam vitam*. Primam vitam, inquit, eam distinguens a secunda et tertia, quam dicunt Græci fieri propter metempsychosin, seu in alia subinde atque alia corpora migrationem.

*Servitutem induit*. Quia hic ordinem et locum mancipii pecunia empti accipit loco mercenarii.

*Adrastiæ*. Fati, sortis, fatalis necessitatis.

*Illusa*. In errorem a voluptate inducta.

*A materiæ donis*. Quæcunque deliniunt, oblectant ac demulcent visum, gustum, auditum, olfactum et tactum, ea materiæ dona nuncupat.

*Donis*. Voluptatum in naturæ cohærentia.

*Ad condictum*. Definitum.

*Inservire*. Quasi ex scripto facta conventione et conspiratione.

*Fortunæ et externa bona*. Quæ sunt notha et illegitima.

*Consentire*. Cum scriptis transigere.

*Ea porro*. Adrastia seu Nemesis, seu vindicta divina verborum superborum factorumque petulantium ultrix ; ipsa natura.

*Occultam*. Arcanam, nec linguæ ministerio adminiculoque proferendam.

*Statuimus*. Nemo his de rebus exacte sentire ac judicare potest, nisi summo affectu eis inhæreat, ac prius experientiam quamdam sumpserit, periculumque fecerit ; noverint potius ii qui mulierum et puerorum amore detinentur. Nam iisdem aliquando privati, vel si ultronei et sua sponte eos deseruerint, infinitos angores et cruciatus molestiasque sustinent, animam, ut ita loquar, assidue

κῶς τὴν ψυχὴν νυκτὸς καὶ ἡμέρας, ἃς δὴ καὶ ποινὰς ὑλαίας ὀνομάζει. Αὗται γὰρ ἀναπλάττουσι τοῦ στερηθέντος τὸ εἴδωλον, καὶ συχνὰ τῇ μνήμῃ τοῦ πεθοῦντος προσάγουσι· καὶ ὥσπερ ἄγριοι κύνες, ἄλλοθεν ἄλλαι πικρῶς ἕλκουσί τε καὶ περιέλκουσι· πολλοὺς δὲ καὶ πρὸς θάνατον ἤλασαν, μὴ δυνηθέντας ἐγκαρτερῆσαι τῷ πάθει.

*Φυγάδας.* Δραπέτας.

*Ἀντιλαμβάνεται.* Διὰ τοῦτο γὰρ καὶ Ἀδράστεια καλεῖται.

Pag. 140. *Οὐ φαῦλος.* Οὐ μικρός.

*Παραγράψασθαι.* Παρακρούσασθαι.

*Ποιναὶ τε.* Ἐμπαθεῖς, τιμωρητικαὶ ἐνθυμήσεις.

*Ὑλαῖαι.* Πιέζουσαι τὴν ψυχήν.

*Τότε δή.* Τινὲς διαφέρειν φασὶν ἀνάγκην καὶ Ἀδράστειαν καὶ εἱμαρμένην καὶ φύσιν· τινὲς δὲ ἔν τι δηλοῦσθαι ἐκ τούτων φασί. Καὶ γὰρ ὃ οὐ δύναταί τις διαδρᾶναι, τοῦτο Ἀδράστεια καὶ ἀνάγκη εἴη ἄν· εἱμαρμένη δέ ἐστιν ἡ διὰ τοῦ εἱρμοῦ τῆς τῶν ὄντων συμφυΐας καὶ φυσικῆς συμπλοκῆς τὰ ἐπίγεια κυβερνῶσα. Καὶ ὑπὸ εἱμαρμένην μὲν κεῖσθαί φασι τὰ ἐπίγεια, ὅταν σωματικῶς καὶ φυσικῶς ἐνεργῶσιν· ὑπὸ πρόνοιαν δὲ, ὅταν νοερῶς, τοῦτ' ἔστιν ὅταν ἀμέσως ἐκ Θεοῦ τὰς εὐεργεσίας οἱ ἄνθρωποι λαμβάνωσιν.

*Εἱμαρμένην.* Ἢ ὡς καὶ μὴ ἐπιτατούσης τῆς εἱμαρμένης

*Τῶν ἀφηνιασάντων.* Ἀποσκιρτησάντων.

dissecantes, diu noctuque : quas materiales pœnas nominat. Ipsæ enim effingunt, et oculis subjiciunt rei, qua privati sunt, idolum et simulacrum, frequenterque memoriæ desiderantis admovent; et veluti canes agrestes, aliunde aliæ trahunt acerbe et circumveniunt : multos porro ad mortem stimularunt, non valentes hujusmodi affectus constanti et æquo animo perferre.

*Retinet.* Ob id siquidem Adrastia appellatur.

*Irritum facere.* Manu depellere, artificiose prosternere, supplantare.

*Pœnæ namque materiales.* Affectibus obnoxiæ, vindices ac severæ cogitationes.

*Materiales.* Animum vexantes.

*Tum certe.* Nonnulli aiunt inter se differre necessitatem, Adrastiam, fatum, et naturam, quidam vero unum et idem significare inde asserunt. Etenim quod quis non potest effugere, istud Adrastia et necessitas fuerit. Fatum vero est quod per seriem arctæ societatis atque naturalis conjunctionis eorum quæ sunt in rerum natura, res terrenas gubernat. Et in fati potestate terrestria aiunt posita esse, quatenus in corpore naturaliter operantur; sed sub providentia, quatenus intelligentia et ratione, hoc est quando immediate a Deo beneficia homines accipiunt.

*Sine fatali necessitate moventur.* Vel fato non imperante.

*Αὐτῆς.* Τῆς εἱρμαρμένης τῆς καὶ Ἀδραστείας, τῆς φύσεως.

*Καλούμεναι.* Παρὰ τῶν παλαιοτέρων· ἐντεῦθεν παρονομάζονται πειρασμοί.

*Ἀνατλῆναι.* Τὰ συμπίπτοντα, λυπηρὰ ὑπομεῖναι.

*Ἱεροὶ λόγοι.* Οἱ δοκοῦντες μὲν μυθικοὶ, ὄντες δὲ μυστικοὶ καὶ θειότεροι· οἱ μὲν γὰρ μῦθοι Εὐρυσθέα δοκοῦσι φάσκειν ἐπιτάττειν τῷ Ἡρακλεῖ, καὶ ἐπιφέρειν τὰς τοιαύτας πείρας καὶ ἀνάγκας· οἱ δὲ μυστικοὶ λόγοι ἀναγωγικῶς ἀναπτύσσοντες τὰ λεγόμενα ἐφ' ἕτερον φέρουσι νοῦν.

*Ἕτερος.* Ὁμοίως τῷ Ἡρακλεῖ.

*Τὸ καρτερόν.* Ἰσχυρῶς.

*Ἐπεχείρησεν.* Ἐπέβαλε χεῖρα καὶ ἠγωνίσατο καρτερῶς, ὥστε ἐλευθερωθῆναι.

*Αἱ χεῖρες.* Ἢ ὡς τοῦ φυσικοῦ τούτου κόσμου, τοῦ ὑπὸ φύσεως διοικουμένου.

*Τὸ ἄλμα.* Τὸ πήδημα ὡς ἀσθενές.

*Καὶ δεῖ.* Χρεία ἐστί.

*Ἀφειδεῖ.* Ἡ ὕλη.

*Ὡς ἀλλοτρίων.* Ὡς ἀποσκιρτησάντων ἐκ τῆς γνησιότητος αὐτῆς.

*Τῶν πίθων.* Ὅμηρος περὶ τὸ ω μέγα τῆς Ἰλιάδος διαλαμβάνει περὶ τῶν τοιούτων ὁμιλῶν τῷ Πριάμῳ, δεομένῳ περὶ τοῦ υἱοῦ αὐτοῦ Ἕκτορος· ἔχει δὲ οὕτως.

*Δοιοὶ γάρ τε πίθοι κατακεῖνται ἐν Διὸς οὐδει,*
*Δώρων οἷα δίδωσι κακῶν, ἕτερος δὲ ἐάων.*

*Ipsius.* Fati, Adrastiæ, Nemeseos, et naturæ.

*Atque hæ profecto sunt, quæ ærumnæ vocantur Herculis.* Ab antiquioribus : inde pericula cum allusione nominantur.

*Sustinuisse.* Contingentia, mœsta perferre.

*Divina verba.* Quæ videntur quidem fabulosa, sed mystica ac diviniora sunt. Nam fabulæ videntur narrare Eurystheum Herculi injunxisse et imposuisse tales ærumnas, pericula et necessitates : at mystica arcanaque verba altius meditando explicandoque ea quæ dicuntur in aliam transferunt significationem.

*Si quis alius.* Herculi compar.

*Constanter.* Fortiter.

*Libertati animum adjecit, et eam aggrediatur.* Injiciat, admoveat manum, et constanter decertet, ut fiat libertatis compos.

*Naturæ manus et vires.* Hoc est, naturalis hujus mundi a natura gubernati.

*Tumultus.* Debilis ac languidus insultus.

*Et opus est.* Necessitas est.

*Despicit.* Materia.

*Velut aliena.* Velut reluctantia ejus generositati.

*Doliis.* Homerus in ω Iliados his de rebus disserit, verba faciens de Priamo filium Hectorem desiderante, his versibus:

*Dolia namque Jovis duo stant in limine, plena*
*Muneribus, quæ donat, in hoc mala sunt, bona in illo.*

*Ὣ μὲν καμμίξας δόφη Ζεὺς τερπικέραυνος·*
*Ἄλλοτε μὲν τε κακῷ ὄγε κύρσεται, ἄλλοτε δ' ἐσθλῷ·]*
*Ὣ δέ κε τῶν λυγρῶν δόφη, λωβητὸν ἔθηκε.*
*Καί τε κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνοι,]*
*Φοιτᾷ δ' οὔτε θεοῖσι τετιμένος.*

*Ἀπορρήτως.* Κεκαλυμμένως.

*Μερίδας.* Τὰ γὰρ ὑλικὰ πάντα πράγματα ὅσα ἐν τῷδε τῷ φυσικῷ κόσμῳ τῷ ἐκ γενέσεως καὶ φθορᾶς συνισταμένῳ εἰς δύο μερίζονται. Τὰ μὲν γὰρ αὐτῶν κληροῦνται τὰ καλά· τὰ δὲ τοὐναντίον τὰ κακά. Ἠλὴν τὰ καλὰ σπάνια, τὰ δὲ κακὰ πολλά.

*Αὐτῷ κατ'.* Τῷ Ὁμήρῳ, κατ' ἐκεῖνο τὸ μέρος τῶν ἐπῶν τῶν Ὁμηρικῶν, ἔνθα τοῦτό φησι.

*Ὑλάρχιος.* Ἐπεὶ γὰρ διανομέα ποιεῖται τὸν Δία ὁ Ὅμηρος ἐν τοῖς ἔπεσι τῶν τε ἀγαθῶν καὶ τῶν κακῶν, ὧν εἶχον οἱ πίθοι· τοῦτο δὲ ὑλικῆς ὑπηρεσίας ἐστὶν, ὥσπερ ἐπιταττούσης τῆς εἱμαρμένης ἀφ' ὑψηλοτέρου· ἔοικεν ὅτι ὑλάρχιον καὶ ὕλης ἄρχοντα ποιεῖται τοῦτον.

*Τοῦ διττοῦ.* Τοῦ διπλοῦ ὡς τοῦ ἐκ δύο πίθων.

*Ἐν πλάνῃ.* Ὑπάρχουσι τῇ ψυχῇ.

*Ἀναδραμούσῃ.* Ἀλλὰ παχυνθείσῃ καὶ μεινάσῃ κάτω πρὸς τὴν ποικιλίαν τῆς ὑλικῆς προσπαθείας. Αὕτη γὰρ δὴ ἡ ὑλικὴ προσπάθειά ἐστιν ἡ κωλύουσα ἀναδραμεῖν εἰς τὴν τῶν ὑπερκοσμίων χώραν, ὅθεν καὶ τὴν πρώτην ἐποιήσατο κάθοδον.

*Jupiter huic miscens laryitur fulmine lætus,*
*Nunc mala dispensans ac tristia, nunc bona rursum.*
*At si cui ex diris infuderit, ille gravatur,*
*Et malesuada fames agitat vexatque vagantem:*
*Nec Deus hunc, nec mortales dignantur honore.*

*Latenter.* Obducte, occulte.

*Partes esse duas.* Omnia enim materialia opera quæcunque sunt in hoc naturali mundo ex generatione et corruptione constituto, bifariam dividuntur. Nam quibusdam sorte adveniunt quæ bona et expetenda præclara sunt, quibusdam vero ex adverso mala. Præterquam quod bona rara, mala frequentia sunt.

*Et Jupiter ipsi.* Homero, in illa versuum Homericorum parte ubi istud dicit.

*Deus est materiæ princeps.* Quandoquidem dispensatorem fecit Jovem Homerus in illis versibus bonorum et malorum, quæ dolia continebant; istud porro observantiæ materialis est, velut imperantis fati ab altiore : videtur materiæ principem ac moderatorem hunc facere.

*Duplicis doni fatalis.* Gemini velut e duobus doliis emergentis.

*In errore est.* Qui adest animo.

*Post primum lapsum minime recurrente.* Verum saginato et permanente in imis partibus juxta versutiam affectionis in materia tenacius inhærentis : ea siquidem materialis ac vehemens affectio est quæ prohibet recurrere in regionem supra hunc caducum mundum sitam, unde primum fecerat egressum.

*Vide.* Melius scribitur Θεῶ a θεάομαι, quod

A *Θέα δή.* Ὅρα. Γράφεται θεῷ, ὁ καὶ κρεῖττον τοῦ θέα, ταυτοσήμαντον ὄν.

*Ἐμπολιτεύεται.* Ὡς εἰρήσεται.

*Ἔλεγεν ὁ λόγος.* Ὁ Αἰγυπτιακὸς καὶ ἱερός.

*Ἐγκύρσῃ.* Ἐμπέσῃ.

*Μελαναυγεῖ.* Τῷ ἀμφοτέρωθεν σκοτεινῷ.

*Ἀμφικνεφεῖ χώρῳ.* Ἀμφικνεφῆ χῶρόν φασιν Αἰγύπτιοι καὶ Χαλδαῖοι τὸν ὑπὸ τὴν σεληνιακὴν σφαῖραν κόσμον ἀμφοτέρωθεν σκοτεινόν. Λέγουσι δὲ τὸν ἐν αὐτῇ τῇ σεληνιακῇ σφαῖρᾳ ἑτεροκνεφῆ καὶ ἑτεροφαῆ, τοῦτ' ἔστι τῷ μὲν ἡμίσει μέρει λάμποντα, τῷ δὲ ἡμίσει ὄντα ἀφώτιστον. Καὶ γὰρ καὶ αὐτὴ ἡ σελήνη τοιαύτη ἐστὶν, ἔχουσα ἀεὶ τὸ μὲν ἥμισυ καὶ πρὸς ἥλιον τετραμμένον μέρος αὐτῆς πεφωτισμένον, τὸ δ' ἕτερον ἀφώτιστον ἀναλόγως
B κατὰ τὰς ἀεὶ μεταβαλλομένας αὐτῆς περιόδους καὶ περιφοράς, καὶ στροφὰς παντοίας. Τὸν δὲ ὑπὲρ τὴν σελήνην τόπον ἄχρι τῆς ἀνωτάτω καὶ πάντα περιεχούσης σφαίρας κόσμον φασὶν ἀμφιφαῆ, τοῦτ' ἔστιν ἀμφοτέρωθεν πεφωτισμένον ἀεί.

*Χώρῳ.* Τῷ περιγείῳ τῇ ψυχῇ.

*Συνέπεται.* Τὸ φανταστικὸν πνεῦμα.

*Εἰς πλεῖστον.* Φησὶ δὲ καὶ ὁ Πλάτων ἐν τῷ *Φαίδρῳ*, ὅτι *θεσμὸς Ἀδραστείας ὅδε· ἥτις ἂν ψυχὴ θεῷ ξυνοπαδὸς γενομένη, κατίδῃ τι τῶν ἀληθῶν, μέχρι τε τῆς ἑτέρας περιόδου εἶναι ἀπήμονα, κἂν ἀεὶ τοῦτο δύνηται ποιεῖν, ἀεὶ*

commodius est quam θέα, quamvis idem significet.

C *Versatur.* Ut dicetur.

*Dicebat oratio.* Ægyptia et sacra.

*Quo usque incidat.* Irruat.

*Tenebrosum.* Omni ex parte umbrosum.

*Undique caliginosum.* Quavis ex parte nebulosum locum inquiunt Ægyptii et Chaldæi mundum sublunari sphæra comprehensum, ex utroque latere tenebricosum. Asserunt autem locum in ipso lunari circulo situm, partim obscurum, partimque dilucidum, id est, dimidia parte splendentem, dimidia vero lucis expertem. Ipsa quippe luna talis est semper habens dimidiam sui ipsius partem ad solem conversam et illustratam, alteram vero splendore lucis vacuam, facta proportione juxta ipsius
D perpetuo mutantes conversiones, circuitus, et varios flexus. Sed locum supra lunam collocatum usque ad supremam et omnia undique amplectentem sphæram, mundum dicunt omni ex parte lucidum, id est, hinc et illinc perpetuo et immortali lumine collustratum.

*Locum.* Terræ proximum quoad animum.

*Comitatur.* Spiritus phantasticus.

*Maximum oppositum.* Ait Plato in *Phædro*, *eam esse Adrastiæ seu numinis inevitabilis legem, ut quæcunque anima Deum comitata aliquid verorum inspexerit, ea usque ad alium circuitum sit indemnis: et si semper hoc facere queat, sit semper illæsa, si vero impotens assequendi non aspexerit, et casu aliquo usa oblivione atque pravitate repleta gravetur,*

*ἀπλανῆ εἶναι· ὅταν δὲ ἀδυνατήσασα ἐπισπέσθαι μὴ ἴδῃ, καὶ τινι συντυχίᾳ χρησαμένη λήθης τε καὶ κακίας πλησθεῖσα βαρυνθῇ· βαρυνθεῖσα δὲ πτεροῤῥυήσῃ τε καὶ ἐπὶ τὴν γῆν πέσῃ, τότε νόμος τὸ καὶ τό.* Ζήτει καὶ τὸ ἑξῆς.

*Τὸ ἀντικείμενον ἥκει.* Μέχρι τῆς σεληνιακῆς σφαίρας. Τὸ γὰρ ἀντικείμενον τοῦτ' ἔστιν ὁ ἀμφικνεφὴς κόσμος. Μέχρι τούτου ἀντικείμενον δὲ λέγει ὡς πρὸς τὸν ἀμφιφαῆ.

*Κρημνῷ.* Ὕλης σκύβαλον φησὶν, ὅπερ ἡ φαντασία κατιοῦσα ἐκ τῶν ἄνω σφαιρῶν ἠρανίσατο ἐκ τῶν φυσικῶν στοιχείων πυρὸς καὶ ἀέρος. Οὐδὲ τοῦτο οὖν, φησὶ, καταλιπεῖν χρὴ ἐν τῷ κρημνῷ, τοῦτ' ἔστιν ἐν τῷ ἀμφικνεφεῖ τούτῳ κόσμῳ, ἀλλ' ἀνελκύσαι δι' ἐγκρατείας τε καὶ τῶν ἄλλων ἀρετῶν, καὶ πρὸς τὸν αἰθέριον ἀναγαγεῖν κόσμον· ἐπεὶ ἔστι φύσει καὶ εἰδώλῳ μερὶς εἰς τόπον ἀμφιφάοντα. Εἴδωλον δέ φησι τὸ φανταστικὸν πνεῦμα, ὡς συμφυὲς μὲν τῇ λογικῇ, ἧττον δὲ ἐκείνης τυγχάνον. Ὥσπερ γὰρ εἴδωλον μὲν εἴη καὶ εἰκὼν τοῦ Θεοῦ μὲν ὁ νοῦς, τοῦ νοῦ δὲ ἡ λογικὴ ψυχή· οὕτω καὶ ἡ ἄλογος ψυχὴ, τοῦτ' ἔστι τὸ φανταστικὸν πνεῦμα, εἴδωλον καὶ εἰκών ἐστι τῆς λογικῆς ψυχῆς. Ὥσπερ οὖν τούτου δὴ τοῦ φανταστικοῦ πνεύματος εἴδωλόν ἐστιν ἡ φύσις, τοῦτ' ἔστιν ἡ φυσικὴ ψυχὴ, ταύτης δ' αὖ τὸ σῶμα, τοῦ δὲ σώματος αὖθις ἡ ὕλη· καὶ λόγον δ' οὖν ἔχει τινὰ, φησὶ, σχετικὸν ἡ φαντασία πρὸς τὰ ἐκατέρωθεν κοινωνοῦντα αὐτῇ, καὶ εἰς ἓν τελοῦντα αὐτῇ, ἤγουν οὐ μόνον πρὸς τὴν λογικὴν ψυχὴν ἄνω, ἀλλὰ καὶ κάτω πρὸς τὰ φυσικὰ στοιχεῖα, ἄπερ, φησὶν, ἠρανίσατο κατιοῦσα, πῦρ λέγω, καὶ ἀέρα.

*Σκύβαλον.* Εὐτελίζων οὕτω φησί.

*Μερὶς.* Καὶ κλῆρος.

*Οὗτος δέ.* Ὁ ἀμφιφαής.

*Οὐ γὰρ μόνην.* Οὐ γὰρ μόνην τὴν τοῦ φανταστικοῦ πνεύματος φύσιν ἀνάγειν παραινεῖ εἰς τὸν ἄνω κόσμον διὰ καθαρμοῦ προσήκοντος, ἀλλὰ καὶ εἴ τι ἐκ τῶν ἄκρων πυρὸς καὶ ὕδατος προσειλήφει, ἃ δὴ καὶ ὕλης σκύβαλον ἔφησε, καὶ τοῦτο συναναφέρειν κελεύει.

*Τὴν εἰδωλικήν.* Φανταστικήν.

*Τὸ γηΐνον.* Ὅπερ ἀνωτέρω ὀστεώδες ἔφη περίβλημα, νῦν ἔγγειόν φησι κέλυφος τὸ σῶμα.

*Τὸ θεσπέσιον.* Τὸ φανταστικὸν πνεῦμα, ὃ σῶμα πρῶτον ψυχῆς ἀνωτέρω μὲν εἶπε, νῦν δὲ καὶ θεσπέσιον σῶμα τοῦτό φησι.

Pag. 141. *Καὶ εἰς ἓν.* Εἰς μίαν φύσιν συνυπάρξαντα.

*Ἐκ γειτόνων.* Καὶ μάλιστα ἐκεῖνα λόγον ἔχοι ἄν, φησὶν, οἷς ἐκ γειτόνων καὶ ἐγγύς ἐστιν ἡ θέσις τῆς χώρας καὶ ἐφεξῆς, καθάπερ ἐστὶν ἐγγύς, καὶ ἐφεξῆς κατὰ συνέχειαν τὸ στοιχειακὸν πῦρ τῷ κύκλῳ καὶ αἰθερίῳ σώματι, καὶ οὐκ ἀφίστανται ὥσπερ ἀφίστατται τοῦ αἰθέρος ἡ γῆ, ἥτις ἐστὶ τῶν ὄντων

*gravata porro pennas confregerit et amiserit in terramque decideril; tunc prohibet lex hoc et illud.* Quære id quod deinceps sequitur.

*Oppositum venerit.* Usque ad lunarem globum. Quod enim ei opponitur, est undique tenebrosus mundus, qui usque ad hunc pervenit; sed oppositum dicit respectu circumlucentis et quavis ex parte fulgentis.

*Non in eminenti atque sublimi loco purgamentum ac sordes materiæ relinquet.* Materiæ purgamentum vocat, quod phantasia descendens e supernis circulis emendicaverit a naturalibus elementis ignis et aeris. Igitur neque istud, ait, relinquere fas est in loco prærupto et eminenti, nempe in mundo undique obscuro et tenebricoso, sed sursum trahere oportet temperantiæ, continentiæ, ac reliquarum virtutum auxilio, et ad æthereum reducere mundum. Quandoquidem naturæ et idolo pars est in loco undique fulgente. Idolum autem spiritum phantasticum nominat, veluti congenitum potentiæ animi, quæ rationis est particeps: minor vero illa est. Quemadmodum enim simulacrum et imago Dei quidem est mens, mentis vero anima rationalis: sic anima rationis expers, hoc est, spiritus phantasticus simulacrum et imago est animi ratiocinandi et intelligendi vi præditi. Ergo quemadmodum hujus spiritus phantastici idolum natura est, id est anima naturalis, et hujus rursum corpus, et iterum corporis materia: proinde etiam proportionem quamdam obtinet studiosam ac familiarem, ait, phantasia ad ea quæ sibi ex utraque

parte quadam communione et affinitate sunt copulata, et secum ad eumdem finem tendentia. Quocirca non solum ab anima rationali sursum, verum etiam deorsum a naturalibus elementis, de quibus loquitur, descendens emendicavit, ignem dico et aerem.

*Purgamentum.* Cum extenuatione ita loquitur.

*Pars est.* Sors.

*Is autem.* Undique luminosus.

*Non enim solam.* Non enim solam spiritus phantastici naturam reducere in mundum supremum admonet propter congruam ac decentem purgationem; sed etiam si quid e fastigio ignis aut aquæ assumpserit, quod certe materiæ purgamentum dixit, etiam istud una referendum censet.

*Imaginariam naturam.* Phantasticam.

*Terrenum.* Quod quidem supra ostreorum vocabat involucrum, nunc terrenum dicit integumentum corpus.

*Divinum corpus.* Spiritus phantasticus, quod supra corpus primum animæ dixit, nunc autem divinum corpus istud vocat.

*Et in unum tendunt.* In unam naturam coalescunt.

*Quibus regio est finitima.* Et potissimum, inquit, illa proportionem habuerint, quibus e finitimis et in propinquo est positio regionis et gradatim: quemadmodum in propinquo est, et servato ordine juxta cohærentiam ignis elementaris circulo et æthereo corpori, neque disjunguntur, sicuti distat ab æthere terra, quæ quidem postrema et infima est eorum

τὸ ἔσχατον, ἅτε παχύτερον ὂν τῶν ἄλλων· στοιχείων καὶ κατώτερον.

*Πῦρ.* Τὸ στοιχειακόν.

*Εἰ δὲ τὰ κρείττω.* Εἰ δὲ ἡ ψυχὴ, καί τοι κρεισσων οὖσα τοῦ σώματος, ὅμως κατεδέξατο τὴν κοινωνίαν τοῦ σώματος, καὶ συνετέλεσεν αὐτῷ διὰ μέσου τοῦ φανταστικοῦ, καὶ μετέδωκε τῇ ἰλύϊ τοῦ κρείττονος, καὶ τῆς ἀκηράτου φύσεως, ὅσον μετέσχε τοῦ χείρονος· οὐ δέχοιτο ἂν καὶ τὸ σῶμα, ἐὰν μὴ ἐμποδίζῃ τὴν φαντασίαν, καὶ ἀποσπᾷ ταύτην ἐκ τῆς συμφυΐας τῆς ψυχῆς, ἀλλὰ παρέχῃ καὶ ἑαυτὸ εὐήνιον καὶ καταπειθὲς αὐτῇ, ἀνάγεσθαι πρὸς θειοτέραν καὶ ὑψηλοτέραν κατάστασιν. Ὥσπερ γὰρ ἡ φανταστικὴ ψυχὴ ῥέψασα πρὸς τὰς σωματικὰς προσπαθείας παχύνεται καὶ γίνεται πρὸς σωματικωτέραν κατάστασιν, οὕτω καὶ τὸ σῶμα ῥέψαν πρὸς θεωρίαν διὰ τῆς φαντασίας, λεπτύνοιτο ἂν καὶ συνεξαιθεροῖτο τῇ νοερᾷ ψυχῇ, διαβαῖνον τὴν τῶν στοιχείων ἀκρότητα, ἣν καὶ ἀμφικνεφῆ χῶρον ἔφησεν ἀνωτέρω. Λέγει δὲ τὸν ἀπὸ τῆς γῆς διήκοντα μέχρι τῆς σεληνιακῆς σφαίρας, τὸν ἐκ τῶν τεσσάρων στοιχείων συγκείμενον. Ἀπὸ γὰρ τῆς σεληνιακῆς σφαίρας ἄρχεται ἡ κυκλικῶς κινουμένη οὐσία καὶ φύσις ἄχρι τῆς ἀνωτάτω καὶ πρώτης σφαίρας τῆς περιεκτικῆς, ἣν καὶ ἀμφιφανῆ κόσμον φησίν· οἱ μέν τοι παλαιότεροι τῶν Ἑλλήνων καὶ αὐτὰ τῶν τεθνεώτων τὰ σώματα ἕκαστον, οἱονεὶ τῇ ψυχῇ συνεξαιθεροῦντες καὶ ταῦτα.

*Εἰ δὲ τὰ κρείττω.* Ἅπερ εἰσὶν ἡ λογικὴ ψυχὴ καὶ ἡ αἴσθησις τοῖς ὑλαίοις στοιχείοις ὑποχωρήσαντα.

*Συνετέλεσεν.* Συνυπῆρξε.

*Ἰλύν.* Τὴν ψυχὴν καὶ τὸ φανταστικὸν πνεῦμά φησι.

*Παραχωρηθέντος.* Ὑπὸ τῆς ὕλης.

*Τὰ χείρω.* Ἢ ὡς πῦρ καὶ γῆ, καὶ ἐξ ὧν τὸ σῶμα.

*Ἀλλ' εὐήνια.* Καὶ ἡ λέξις αὕτη Πλατωνική. Τὰ θεῶν ὀχήματα γὰρ ἐκεῖνός φησι εὐήνια ῥᾳδίως πορεύεσθαι.

*Ὁμαρτήσαντα.* Ἀκολουθήσαντα.

*Τὴν μέσην.* Τὴν φανταστικήν.

*Τῆς πρώτης.* Τῆς λογικῆς ψυχῆς.

*Μερίδα.* Κλῆρον.

*Τῶν στοιχείων.* Τὰ περὶ τῆς Ἀθηνᾶς μυθολογούμενα ἀλληγοροῦσιν οἱ σοφώτεροι τῶν Ἑλλήνων οὕτωσὶ, καὶ τὴν μὲν Ἀθηνᾶν φασιν εἶναι τὴν ψυχὴν, Δία δὲ τὸν ἀέρα· παῖδα λέγουσιν αὐτὴν εἶναι τοῦ Διὸς, γεννηθεῖσαν ἐκ τῆς αὐτοῦ κορυφῆς, ἤτοι ἐκ τῆς ἀκρότητος τοῦ οὐρανοῦ, καὶ ἁπλῆν οὖσαν καὶ ἀσώματον. Τριτογένειάν φασι, διότι κατιοῦσα λαμβάνει μὲν ἐκ τοῦ αἰθέρος τὸ θυμικὸν, τὸ δὲ

quæ sunt in rerum natura, crassior nimirum cum sit et cæteris elementis inferior.

*Ignis.* Elementaris.

*Quod si præstantiora.* Quod si anima quamquam nobilior est corpore, tamen communionem corporis admiserit, et cum eo peregerit propter intermediam imaginationem, ac distribuerit fæci aliquid melioris et immortalis naturæ, quantum est particeps deterioris, etiam corpus receperit, nisi imaginationem coerceat, eique sit impedimento, et ipsam evellat a congenita insitaque anima, sed exhibeat seipsum morigerum eidemque obsequens, ut reducatur ad diviniorem sublimioremque conditionem. Quemadmodum enim anima phantastica, vergens ad corporis vehementiores affectiones, crassescit ac redigitur in magis corpulentam conditionem, sic etiam corpus, vergens ad contemplationem imaginationis beneficio, gracilescit extenuaturque et æthereum efficitur, propter animam intelligendi vi præditam, descendens per elementorum summitatem ac fastigium, quam undique nebulosam regionem dixit supra. Dicit autem eum qui e terra pervenit usque ad lunarem circulum, ex quatuor elementis compositum esse. Nam a globo lunari exorditur substantia et natura, quæ motu orbiculari movetur usque ad supremam primamque sphæram omnia complectentem, quem mundum undique perlucidum asserit : nam Græci antiquiores ipsa etiam mortuorum corpora comburebant, haud secus atque si hæc etiam cum anima in ætherea regione collocarent.

*Quod si præstantiora.* Nobiliora excellentioraque illa sunt quæ se subtrahunt declinantque a materialibus elementis, utpote anima rationalis, et sentiendi vis.

*Confert ad materiam.* Una præsto est ad limum et fæcem.

*Ad materiam.* Lege, *cœnum.* Animam et spiritum phantasticum in vitiorum cœno lutoque involutum intelligit.

*Velut sibi vindicatum ab eo cui concessum est.* A materia nimirum.

*Inferiora.* Deteriora, ut ignis a terra, et ea ex quibus corpus conflatum est.

*Sed morem gerentia.* Hæc ipsa vox est Platonica. Etenim ille deorum plaustra εὐήνια (freno ductilia) habenasque audientia dicit, ideoque facile iter ingredi.

*Sequentia.* Comitantia.

*Mediam naturam.* Phantasticam seu imaginativam.

*Primæ naturæ.* Animæ rationalis.

*Particulam.* Sortem.

*Ab elementis.* Ea quæ de Minerva fabulose divulgata sunt, sapientiores Græci ita allegorice explicant, et Minervam aiunt animam esse, Jovem vero aerem ; filiam Jovis esse commemorant, generatam ex ipsius capitis vertice, nimirum e summa arce cœli, necnon simplicem et incorpoream. Tritogeniam dicunt a triplici ejus generatione, propterea quod ipsa descendens e regione ætherea assumit animi fortitudinem, et ante concupiscendi vim a luna ; luna enim sua natura humida est ac diffluens ; ea de causa libidinum imposturæ propter

ἐπιθυμητικὴν ἐκ τῆς σελήνης. Ὑγρὸ τὴν φύσιν καὶ ἡ σελήνη καὶ διαῤῥέουσά ἐστι. Διὰ γὰρ τοῦτο καὶ αἱ περὶ ἐρώτων μαγγανεῖαι πρὸς αὐτὴν γίνονται. Εἶτα ἐφεξῆς ἐκ τῶν στοιχείων λαμβάνει τὴν τοῦ σώματος σύνθεσιν. Ταῦτα μὲν οὖν φασιν Ἕλληνες, ἄλλα δὲ Αἰγύπτιοι καὶ Χαλδαῖοι· ἐπεὶ δὲ διαφωνοῦντας οὕτω τούτους ὁ Συνέσιος ὁρᾷ, καὶ ἀπιστεῖν φησι καὶ πιστεύειν.

*Σωματικήν.* Ὅρα, πάλιν τὸ φανταστικὸν πνεῦμα σωματικὴν οὐσίαν φησίν, ὃ ἀνωτέρω σῶμα πρῶτον ψυχῆς, καὶ θεσπέσιον αὖ σῶμα εἰρήκει, καὶ πάλιν σῶμα ἀκήρατον.

*Οὐσίαν.* Ἡ ὡς τὸ φανταστικὸν πνεῦμα.

*Οὐδεμία.* Ἡ ὡς ἀμήχανόν ἐστι κατὰ τὸ προσῆκον.

*Συνεξᾶραι.* Μὴ συνανελθεῖν.

*Καὶ ταῖς σφαίραις.* Ἀφ' ὧν πρῶτον κατῆλθε.

*Ἔσχαται.* Βουλόμενος καὶ περὶ τῶν μεταξὺ χωρῶν εἰπεῖν, ἐπαναλαμβάνει τὰ εἰρημένα καὶ ἀποτίθησι. Φησὶν οὖν ὅτι ἔσχαται μὲν οὖν δύο λῆξεις ἤτοι ἀκρότητες τοῦ παντὸς αὗταί εἰσιν, ἥ τε κάτω ἡ ἀμφικνεφὴς, καὶ ἡ ἄνω ἡ ἀμφιφαής· ἡ μὲν κακοδαίμων οὖσα, ἡ δὲ εὐδαίμων. Ἐπεὶ δὲ ἐναντίαι ἀμέσως συνάπτεσθαι οὐ δύνανται, φησὶν ὅτι κἀνταῦθα μεταξὺ τῶν δύω τούτων λήξεών εἰσιν ἕτεραι χῶραι πολλαὶ καὶ διάφοροι, ἃς ἑτεροφαεῖς ὀνομάζει καὶ ἑτεροκνεφεῖς, ἤτοι μετεχούσας τῶν ἑκατέρωθεν λήξεων καὶ παρ' ἀμφιφαοῦς, οἷον ὥσπερ ἐστὶ μεταξὺ μὲν τοῦ νοῦ καὶ τῆς ψυχῆς ἡ διάνοια, μεταξὺ δὲ ψυχῆς καὶ φαντασίας ἡ δόξα, μεταξὺ δὲ φαντασίας καὶ σώματος ἡ αἴσθησις. Καὶ εἰσὶν αὗται μεσότητες διήκουσαι δι' ἀλλήλων ἀπὸ τοῦ σώματος ἄχρι τοῦ νοῦ, καὶ μετέχουσί πως ἅπασαι τῶν γειτονούντων ἑκατέρωθεν. Ὥσπερ καὶ ὁ ἀὴρ δύο ἔχων ἑκατέρωθεν ἀκρότητας καὶ λήξεις, κατὰ μὲν τὴν ἄνω λῆξιν, τὴν τῷ στοιχειακῷ πυρὶ πλησιάζουσαν, ἐστὶ θερμός· κατὰ δὲ τὴν κάτω καὶ πρὸς τῷ ὕδατι ὑγρός.

*Τὰ ἄκρα.* Τὰ καίρια.

*Χώρας.* Ἑτέρας λήξεις καὶ τόπους.

*Τοῦ κόσμου.* Περὶ τὴν σεληνιακὴν σφαῖραν.

*Ψυχή.* Ἐμοὶ δοκεῖ ἔτι ἐν τῷ σώματι οὖσα.

*Τοῦ πνεύματος.* Τοῦ φανταστικοῦ.

*Εἴδη τε καί.* Ὅπερ ἤδη γινόμενον φαίνεται ἐπὶ τῶν καθαρῶς καὶ ἀμέμπτως καὶ κατ' ἀρετὴν ζώντων ἀνθρώπων, καὶ νοερῶς. Οὗτοι γὰρ κἂν τῇ γῇ ὄντες, αἰθεροδρομοῦντα κέκτηνται νοῦν.

*Ἐπὶ τὴν οἰκείαν.* Ἡ ὡς ἐπὶ τὴν οἰκείαν λῆξιν τὴν ἀμφιφαῆ.

*Καταπεσοῦσα.* Εἰς τὴν κάτω τὴν ἀμφικνεφῆ.

*Καὶ ἀοριστεῖ.* Διαχέεται καὶ πλατύνεται εἰς τὴν ποικιλίαν τῆς ὕλης.

*Μεταξὺ δέ.* Ἡ ὡς τῇ μέσῃ λήξει καὶ χώρᾳ τῇ ἑτεροκνεφεῖ καὶ ἑτεροφαεῖ.

*Τῶν μέν.* Τῆς τε εὐδαίμονος καὶ κακοδαίμονος λήξεως.

---

ipsam contingunt. Deinceps ordine servato ab elementis sibi vindicat corporis compositionem. Ista igitur Græci asserunt; alia vero Ægyptii atque Chaldæi. Sed quoniam eos ita dissidentes animadvertit Synesius, ait fidem illis partim detrahendam, et partim adhibendam esse.

*Corporea substantia.* Vide, rursus spiritum phantasticum corpoream substantiam dicit, quod supra corpus primum animæ, et divinum corpus dixit, ac denuo corpus integrum et immortale.

*Substantia.* Nimirum spiritus phantasticus.

*Fieri omnino nequit.* Perarduum est pro dignitate illius.

*Simul elevetur.* Quin simul ascendat.

*Globisque cœlestibus.* De quibus prius descenderat.

*Extremæ.* Volens etiam de interpositis tractibus loqui, reiterat quæ prius dicta sunt, et refutat. Ait igitur extremas duas sedes, nimirum hujus universi apices esse, unam inferiorem undique caliginosam, et alteram superiorem undique luminosam; illam infelicem, hanc vero beatam. Sed quoniam immediate opposita simul copulari non possunt, asserit hic etiam in medio harum duarum sedium esse complures alios tractus inter se dissidentes, quos ex altera parte luminosos nominat, ex altera obscuros, videlicet participes sedium hinc et illinc collocatarum, et infra regionem undique fulgentem. Verbi causa, quemadmodum intelligentia est in medio mentis et animæ, in medio vero animæ et phantasiæ opinio: at in medio phantasiæ seu imaginationis et corporis sensus est. Et ista sunt media mutuo inter se penetrantia et exporrecta a corpore ad mentem usque, et participia sunt quodammodo omnia vicinorum ex utroque latere. Quemadmodum aer utrinque duas habens extremitates et sedes, quoad supremum tractum elementari igni adjacentem calidus est, sed quoad inferiorem, juxta aquam, humidus.

*Postrema.* Opportuna.

*Regiones.* Alios tractus et locos.

*In mundi latitudine.* Circa lunarem globum.

*Vivit animus.* Opinor, adhuc in corpore degens.

*Cum hoc spiritu.* Phantastico.

*Formas et mores.* Quod quidem jam contigisse videtur in pure, inculpate et secundum virtutem et intelligentiam viventibus hominibus: illi quippe etsi in terra sunt, mentem possident in cœlo vagantem.

*Ad propriam generositatem.* Velut ad propriam ac domesticam sortem, omni ex parte luminosam.

*Delapsus.* In hæreditatem inferiorem undique tenebrosam.

*Inordinatus efficitur.* Diffluit ac dilatatur in materiæ varietatem.

*In medio vero cum sit.* Nimirum in media sorte et regione ex altera parte obscura et ex altera luminosa.

*In luminosam.* Felicis et inauspicatæ sortis.

*Illa vero assequitur.* Quæ media et interposita sunt.

*Τῶν δέ.* Μέσων.

*Γνωματεύσαις.* Ἢ ὡς ἀποφήναις ἂν αὐτὴν τὴν ψυχὴν καὶ δαιμονίαν τινὰ φύσιν, τοῦτ' ἔστι παρὰ τοσοῦτον μετέχουσαν τοῦ κρείττονος, παρ' ὅσον ὑπερέχει τοῦ ὑλικοῦ χείρονος.

Pag. 142. *Τάξει.* Μεσότητος.

*Πάντως.* Τελέως.

*Θεῖόν ἐστι.* Τὸ τελέως.

*Τοῦ θείου.* Τὸ παραμικρόν.

*Τὸ δέ γε πλάνον.* Τὸ δὲ φανταστικὸν ἐκεῖνο τὸ πλανώμενον καὶ ψευδόμενον ἐν ταῖς προρρήσεσιν ἁλιτκτόν ἐστι· τοῦτ' ἔστι λῆξιν οὐκ ἔχει, οὐδὲ τόπον· ὥστε ἀλιηκτέον τὸ ἄτοπον, ἐμπάθειαν ἔχον καὶ φιλοτιμίαν ἀγεννῆ, καὶ τῶν ἀλινδουμένων εἰς τὴν ὕλην ἦτοι κυλιομένων· καὶ Ἀριστοφάνης ὁ κωμικός φησιν ἐν τῷ δράματι τῶν Νεφελῶν, ὡς ἐκ τοῦ Φειδιππίδου ὀνειροπολοῦντος καὶ λέγοντος· Ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε, τοῦτ' ἔστιν Ἄπαγε τὸν ἵππον οἴκαδε, κυλισθῆναι παρασκευάσας αὐτόν.

*Τὸ δέ γε πλάνον.* Γένος τῶν δαιμόνων πλανητικὰς ποιεύμενον τὰς προρρήσεις.

*Ἁλιηκτικόν ἐστι.* Οὐκ ἔχον λῆξιν καὶ τόπον.

*Τῶν ἁλινδουμένων.* Τοὺς εἰς ὕλην καὶ γῆν καλινδουμένους δαίμονας θῆρας χθονὸς Χαλδαῖοί φασι· τὴν δὲ ζωὴν ἡμῶν πλήρη γενομένην παθῶν, φασὶν, οἱ τοιοῦτοι θῆρες οἰκήσουσι. Καὶ γὰρ οὐσίωται ἐν τοῖς πάθεσι τὰ τοιαῦτα τῶν δαιμόνων γένη, καὶ

A τὴν ἕδραν ἔχει καὶ τὴν τάξιν ὑλικήν. Διὸ καὶ αἱ ἐμπαθεῖς πρὸς ταῦτα ἔρχονται καὶ οἱονεὶ συγκολλῶνται τῷ ὁμοίῳ τὸ ὅμοιον ἐφελκόμενοι, κινητικὴν ἔχοντες δύναμιν ἐκ τῶν παθῶν.

*Ἁλινδουμένων.* Κυλιομένων δαιμόνων.

*Ταύτῃ γάρ.* Οὕτως διὰ μετανοίας.

*Τὸ σίβδαιον.* Σίβδαιον λέγει τὴν μεταξὺ τῆς εὐδαίμονος καὶ κακοδαίμονος μοίρας φύσιν, ἣν καὶ δαιμονίαν φύσιν μικρῷ πρόσθεν εἰρήκει. Φησὶν οὖν ὅτι οὕτως ὑποδύεται ἡ δαιμονία αὕτη φύσις καὶ Θεὸν καὶ πρεσβύτερον δαίμονα, γείτονα μὲν ὄντα· ὑψηλότερα δὲ καὶ ἵπταται, καὶ καταλαμβάνει τὴν ἐν τῇ ἀνωτέρᾳ λήξει εὐτραπισθεῖσαν τῇ καθαρᾷ φύσει καὶ θειοτέρᾳ χώραν.

B *Τῇ φύσει.* Ταῦτα μὲν τῆς Πλάτωνος ἔχεται δόξης, οὐκ ἧττον δὲ καὶ τῆς τοῦ Πλωτίνου. Φησὶ γὰρ ὁ Πλωτῖνος, *ὅτι πάντες ἄνθρωποι ἐξ ἀρχῆς αἰσθήσει πρὸ νοῦ χρησάμενοι, καὶ τοῖς αἰσθητοῖς πρῶτον ὁμιλήσαντες, πρῶτα καὶ ἔσχατα ταῦτα ἐνόμισαν, καὶ τὸ ἐν αὐτοῖς λυπηρόν τε καὶ ἡδύ, τὸ μὲν κακὸν, τὸ δὲ ἀγαθὸν ὑπολαβόντες, ἀρκεῖν ᾠήθησαν, εἰ τὸ μὲν διώκοιεν, τὸ δὲ ἀποτρέποιεν. Καὶ σοφὸν τοῦτο αὐτοῖς ἐνομίσθη, κατὰ τοὺς βαρεῖς τῶν ὀρνίθων, οἳ πολλὰ λαβόντες ἐκ γῆς καὶ βαρυνθέντες, ὑψοῦ πτῆναι ἀδυνατοῦσιν· οἱ δὲ ἥρτησαν μὲν ὀλίγον ἐκ τῶν κάτω, κινοῦντες αὐτοὺς ἀπὸ τοῦ ἡδέος πρὸς τὸ βέλτιον τοῦ τῆς*

*Discernere potueris.* Videlicet affirmaveris ipsam animam miram esse quamdam naturam, quasi dicat: Usque adeo præstantioris est particeps, ut etiam eatenus exsuperet id quod in materia deterius est.

*In quolibet ordine.* Medii interjecti.

*Aut prorsus.* Absolute.

*Divinum est.* Perfecte, integre.

*Quod autem est fallax.* Phantasticum illud, seu vis animi quæ cito imaginatur et apprehendit, fallax et mendax, in vaticiniis et oraculis, nunquam quiescit, id est, sortem non habet neque locum: quocirca quiete et otio caret, quod absurdum est, affectu ignobili nec non sordida ambitione vexatum: et eorum est qui in materia volvuntur et evolvuntur. Hinc Aristophanes poeta comicus ait in fabula Nubium, sub Phidippidæ somniorum conjectoris persona dicentis: *Abige equum domum ejiciens.* Quasi dicat, Equum in tuas ædes abducito, ubi ipsum ad volutandum disposueris.

*Quod autem fallax est.* Ut genus dæmonum vaga errantiaque reddens vaticinia.

*Nunquam quiescit.* Non habens sortem neque locum.

*Involutis in materia rebus indulgens.* In materia terraque se volutantes dæmonas terræ belluas vocant Chaldæi: sed in vita nostra affectibus plena aiunt hujusmodi feras domicilii sedem habituras. Etenim naturæ et substantiæ vim sibi vindicant in affectibus talia dæmoniorum genera, et subsellium habent ordinemque materialem. Idcirco affectibus

C indulgentes ad talia dæmonum genera se conferunt, ac veluti iisdem conglutinantur, simile ad simile pertrahentes, movendi atque concitandi vi præditi propter affectus.

*Involutis in materia rebus indulgens.* Genus dæmoniorum intelligit se in luto et materiæ sordibus volutantium.

*Ita enim.* Propter pœnitentiam.

*Ita subrepit et induit subterraneum deum.* Subterraneam dicit intermediam felicis et infelicis sortis naturam, quam etiam inauspicatam paulo ante dixerat. Ait igitur infelicem et miseram illam naturam ita subrepere ac se insinuare in Dei et antiquioris dæmonis favorem, qui sibi vicinus sit; sed sublimiora evolant, et apprehendunt in superiore hæreditate instructam et apparatam puræ ac

D diviniori naturæ regionem.

*Naturæ capaciori.* Ista quidem Platonis opinioni proxima sunt, nec minus Plotini. Ait enim Plotinus: *Omnes mortales a principio prius sensu quam mente et intelligentia usos fuisse, et cum rebus sub sensum cadentibus prius commercium habuisse, prima et extrema eadem reputavisse, et quod in ipsis molestum et suave esset, illud quidem malum, hoc vero bonum suspicantes, sufficere opinati sunt, si hoc consectarentur, illud autem evitarent et averterent: et hæc industria eis legitima solemnisque fuit, imitatis aribus gravibus et onerosis, quæ multa accipientes e terra, et pondere oppressæ, in altum evolare nequeunt. Qui porro aliquantum pendent ab inferioribus ac terrenis rebus, seipsos erigentes a sua-*

ψυχῆς κρείττονος, ἀδυνατήσαντες δ', οὖν ἰδεῖν A ὄνερ φαντασίαις τὴν ἐκεῖ διεξαγωγὴν τῆς ψυχῆς προσεικάζοντες. Στοχαζόμεθα δὲ ἁπλανῶς περὶ τούτων ὅτι, φησὶ, μὴ ἔξωθεν ὑφ' ἑτέρου τινὸς κινεῖται, ἢ ὡς μὴ ὑπό τινος ἀσθενείας σώματος ἢ συμφορᾶς τινος λυπηρᾶς. Καὶ γὰρ ὥσπερ οἱ διψῶντες ἐν ὕπνοις δοκοῦσι περὶ ποταμοὺς καὶ πηγὰς ὑδάτων ἐμφιλοχωρεῖν, οὕτω καὶ οἱ ῥιγοῦντες περὶ πυρὰ καὶ θερμὰ λουτρά, καὶ οἱ ὑγροτέραν ἔχοντες τὴν κοιλίαν. περὶ ἑλώδεις καὶ τελματώδεις καὶ καθύγρους τόπους. Ὁμοίως καὶ οἱ θανάτῳ στερηθέντες παῖδα ἢ σύζυγον δοκοῦσιν ὁρᾶν αὐτὸν ἐν τοῖς ὕπνοις, τῆς ἀδολεσχίας τοῦ λογισμοῦ πρὸς τὰ τοιαῦτα διατρίβειν πειθούσης τὸ φανταστικόν.

*Τάξιν ἄν.* Τὴν κατάστασιν αὐτοῦ ἁποία ἐστὶ στοχασαίμεθα· ᾧ γὰρ ἀνθρώπῳ ἐστὶν ὑπονοήσαιμεν καὶ καταλάβοιμεν.

*Τὸ φαντασικόν.* Καθαρὸν τὸ φανταστικὸν βλέπει τινὰ τῶν ἐσομένων.

*Ὑπόσχεσιν.* Ἢ ὡς εἰκασίαν καὶ ἐπαγγελίαν ἀπὸ B στοχασμοῦ.

*Τῆς ψυχῆς.* Ὅσον ἐκ τοῦ σχήματος καὶ τοῦ ἤθους τῆς ψυχῆς.

*Βελτίονος.* Ὅτι εἰς εὐδαίμονα μοῖραν καταλήξει.

*Οὐχ ἥκιστα.* Μάλιστα δὲ, φησὶ, θηρῶμεν καὶ καταλαμβάνομεν ἀπὸ τῶν φαντασμάτων, ἅπερ ἐν τοῖς ὕπνοις προβάλλει τὸ φανταστικὸν πνεῦμα, ἤγουν περὶ ἃ καταγίνεται, καὶ στοχαζόμεθα ἐν ὁποίᾳ καταστάσει καὶ διαθέσει τυγχάνει, ὥσπερ καὶ πρόσθεν εἰρήκει, ὅτι χρησμοί τε ὁμοφωνοῦσι περὶ αὐτοῦ ταῖς

*Ὑφ' ἑτέρου.* Ἤγουν ὅταν μὴ ὑπὸ πάθους ἐπισυμβαίνοντος ἐνοχλῆται τὸ φανταστικὸν, οἷον ὑπὸ ἔρωτος δηλαδὴ ἢ ὑπὸ δειλίας ἢ ὑπὸ πυρετοῦ, ἢ ἄλλης τινὸς ἀσθενείας. Οἱ γὰρ τοιοῦτοι καὶ ἐγρηγορότες ἀπατῶνται καὶ καθεύδοντες. Ὁ γὰρ ἐραστὴς ἀπό τινος σμικρᾶς ὁμοιότητος δοκεῖ τὸ ἐρώμενον πρόσωπον ὁρᾶν. Καὶ ὁ δειλὸς ὁμοίως δοκεῖ διώκεσθαι ὑπὸ πολεμίων· καὶ οἱ πυρέττοντες ὁμοίως ἐν συγχύσει κινουμένης τῆς ὄψεως δοκοῦσι ζῶα γεγραμμένα ἐν τοῖς τοίχοις ὁρᾶν. Τὰς γοῦν τοιαύτας κινήσεις ἀπαγορεύει νῦν, καὶ οὐ παραλαμβάνει εἰς τὴν τοῦ φανταστικοῦ καθαρὰν κρίσιν.

*Ψυχικόν.* Φανταστικόν.

*Φιλοσοφίας.* Φιλοσόφου καὶ ἐγκρατοῦς διαίτης.

*vitate ac deliciis ad id quod melius et præstantius est in anima : quod cum saltem minime possunt cernere supernum ac cœleste est, rursum delapsi sunt ad actiones una cum virtutis nomine. Tertium vero genus est hominum divinorum, quod potentia meliori et oculorum acumine cognovit cœlestem splendorem et illuc attollitur, veluti supra nubes ejus quæ hic est caliginis, illicque permanet, omnia quæ hic in terris sunt despiciens, oblectatione delinitum, et voluptatem non mediocrem percipiens ex amœnitate genuini ac domestici loci, tanquam ex vehementi et assiduo quodam errore in patriam bonis ac sinceris legibus temperatam homo perveniens.*

*Constitutionem et situm.* Conditionem ipsius qualis sit conjectura consequeremur.

*Cui spiritus phantasticus.* Pura et sincera imaginatio rerum futurarum nonnullas cernit.

*Is homo pollicitationem.* Habuerit a conjectura.

*Ad animi habitum.* Quantam conjectari licet ex animi cultu et moribus.

*Melioris sortis.* Propterea quod felici parte ac sorte clauditur.

*Ac potissimum.* Maxime, inquit, venamur et assequimur a spectris, quæ quidem in somniis promunt et objiciunt phantasticum spiritum, videlicet circa quæ versatur, et spectamus in quali statu et conditione est, ut supra dixit, quia oracula consentiunt in ipsius imaginationibus inter dormiendum apparentibus, illic animi pacificationem institutionemque æquiparantia. Conjicimus porro citra aliquam elusionem ac imposturam his de rebus,

ait, quando minime extrinsecus ab altero quodam incitatur, ut a quadam corporis imbecillitate, aut C acerba calamitate. Quemadmodum enim illi qui sitim explere cupiunt in quiete sibi videntur circum fluvios fonteasque aquarum habitare, sic etiam rigentes prope ignem et calida balnea ; et qui alvum humidiorem, in palustribus, lutosis et humidis locis. Consimili modo qui puero aut conjuge morte exstinctis orbati sunt, in somniis ipsos videre sibi videntur, propter ambages et petulantem cogitationis imaginationem in hujusmodi rebus commorari persuadentis.

*Ab alio extrinsecus minime turbatur.* Utpote quando propter aliquam occurrentem et insuper advenientem animi commotionem non fatigatur vis animi imaginatrix, verbi gratia ob libidinosum D amorem, aut præ metu, aut febri, vel alia quavis imbecillitate et infirmitate naturæ. Nam hujusmodi homines a somno excitati in errorem inducuntur fallunturque, etiam dormientes. Siquidem amatur, ob exiguam quamdam similitudinem, videtur cernere vultum illius, cujus amore captus est. Ac timidus similiter opinatur se cursu concitato impelli ab hostibus : simili ratione febricitantes in conturbatione et angustia commoti aspectus existimant animalia picta in parietibus videre. Tales igitur commotiones nunc prohibet, neque eas in imaginationis purum ac sincerum judicium admittit.

*Animalis spiritus.* Phantasticus seu imaginativus.

*Suggerente philosophia.* Philosophica, continenti et sobria vivendi ratione.

*Ὡς. Ὅπως.*

*Ἐπιβλητικήν.* Τὴν ἐπιβάλλουσαν καὶ ἁρμόζουσαν.

*Προβολήν.* Πρόοδον.

*Δύναμις.* Κατὰ δύναμιν.

*Προλαμβάνοντας.* Νικῶντας, προεκτέμνοντας.

*Ἄσχετον.* Ἀληπτον.

*Χείρονος.* Ὑπὸ τοῦ σώματος.

*Ὅσα.* Ὕπνον μέτριον, ὕδωρ, καὶ ἄρτον ὀλίγον.

*Ἐπιβολή.* Ἐπαφή, κατάληψις, ἢ ὡς θεωρία.

*Συνισταμένων.* Ἢ ὡς τῶν ἐπανισταμένων.

*Ἐπὶ τὸ πνεῦμα.* Κατὰ τὸ φανταστικοῦ καταλυτικώτατον.

*Πνεῦμα.* Τὸν Θεόν.

*Ὥσπερ ὅταν.* Ὥσπερ γὰρ ἀναλυόμενά τινα καὶ λεπτυνόμενα μηκύνονται καὶ πλατύνονται, καὶ πλείονα τόπον καταλαμβάνουσιν, ὡς καὶ τὰ εἰς ἀτμὸν ἐκθυμιώμενα τῶν στερεῶν σωμάτων· οὕτω δὴ τοὐναντίον γίνεται συναγομένων καὶ παχυνομένων. Συστέλλονται γὰρ εἰς ἐλάττονα ὄγκον, καὶ κατέχουσιν ἧττονα τόπον ἢ πρότερον, ὡς καὶ ὁ ἀὴρ παχυνόμενος καὶ γινόμενος ὕδωρ, εἰς ἐλάττονα τοῦ προτέρου ὄγκον συνάγεται, καὶ αὖ τὸ ὕδωρ πηγνύμενον εἰς κρύσταλλον. Οὕτω τοίνυν, φησὶ, καὶ τὸ φανταστικὸν πνεῦμα διαπλασθὲν ὑπὸ τοῦ δημιουργοῦ αὐταρκες εἰς τὸ πληροῦν τὰς τοῦ ἐγκεφάλου κοιλίας, ἐὰν ὑπὸ συμβάσης τινὸς παχύτητος συσταλῇ εἰς ἐλάττονα ὄγκον, λέγεται εἶναι μέρη τινὰ τῶν κοιλιῶν τοῦ ἐγκεφάλου κενά. Εἶτα ἐπεὶ οὐκ ἔστι τοῦτο τῇ φύσει δυνατὸν τὸ εἶναι κενόν τι ἐν τοῖς οὖσιν, ἕπεται ἐξ ἀνάγκης εἰσκρίνεσθαι ἐν ταῖς τοιούτοις κενώμασι πονηρόν τι πνεῦμα, ὑφ' οὗ πάσχειν ἀνάγκη μετὰ τῆς φαντασίας τὸ ζῶον.

*Συνειληθῇ.* Συσταλῇ εἰς μείονα ὄγκον.

*Τοῖς οὖσι.* Δόγμα γάρ ἐστι φιλόσοφον, ὅτι οὐ κενόν.

*Πλήρεις.* Πεπληρωμένας.

*Δίκη.* Καταδίκη.

*Ἐκεῖνο.* Ὃ ἔφη νοερὰν ἐπιβολήν.

*Εὐσεβείας.* Τελειότης θεότητος.

Pag. 143. *Ἡμεῖς μέν.* Ἐνταῦθ' ἐπανάληψιν ποιούμενος τῶν λεχθέντων ἀναφαίνει καὶ τὸν σκοπὸν τοῦ βιβλίου· ὅτι Περὶ τῆς καθ' ὕπνους μαντικῆς μὲν προεθέμεθα λέγειν, ὅμως ἀναγκασθέντες πολύν τινα λόγον ἐποιησάμεθα καὶ περὶ τοῦ φανταστικοῦ πνεύματος ὡς ἡγουμένου καὶ ἀναγκαίου πράγματος ὄντος λεχθῆναι.

*Ἐπιβαλόμενοι.* Ἐπιχειρήσαντες.

*Ἐπὶ τούτῳ.* Ἐπέκεινα τούτου.

*Περιεργάσμεθα.* Περιεργότερον διεξήλθομεν.

*Τοῦ λόγου.* Τῆς ἀποδείξεως.

*Ἐνθάδε.* Περὶ τὴν μαντικήν.

*Ἐναπέφηνεν.* Ἀπεφάνθη.

*Πνεύματος.* Φανταστικοῦ.

*Juxta facultatem convenienti speculatione intelligentem.* Scopum pertingente et congruente.

*Procinctum.* Progressum.

*Pro viribus.* Quantum humanæ naturæ vires efficere possunt.

*Præveniendo.* Palmam illis præripiendo et præcidendo.

*Tolerare non posse.* Invictum esse.

*Deterius.* Scilicet corpus.

*Quatenus.* Innuit somnum mediocrem, aquam, et panem angustum.

*Mentis concentus.* Contrectatio, comprehensio, ut contemplatio.

*Quæ conspirant.* Instigantur.

*Adversus spiritum.* Adversus id quod maxime destruit et everlit imaginationem.

*Divinum Spiritum.* Spiritum Dei viventis.

*Veluti quando* Quemadmodum enim resoluta quædam et extenuata producuntur et extenduntur, et ampliorem locum occupant, ut solida ea corpora, quæ in vaporem facto nidore ac suffitu incensa sunt: sic certe contingit contrariis in unum adductis et crassioribus effectis. Cernuntur enim et contrahuntur in minutiorem paucioremque acervum, ac tenent minorem locum quam prius, veluti etiam aer crassior et spissior in aquam vertitur, et in cumulum pauciorem contractioremque adducitur: et rursus aqua frigore concreta in glaciem. Sic igitur, ait, spiritus phantasticus a mundi conditore formatus alioqui sufficiens et idoneus ad implendos cerebri sinus, si a contingente quadam pinguedine contrahatur in minorem acervum, dicuntur esse quædam partes sinuum cerebri vacuæ. Deinde quoniam hoc non est in naturæ viribus, ut aliquid sit vacuum et inane in his quæ revera supersunt et exsistunt, sequitur necessario, ut malus aliquis spiritus ingrediatur in ejusmodi loca inania et evacuata, a quo necessarium est animal una cum imaginatione incommodo affici.

*In arctum simul redigitur.* Contrahitur in minorem acervum.

*In ipsis rebus.* Dogma illud philosophicum est, scilicet, nihil inane et vacuum esse.

*Plena sint.* Completa.

*Pœna.* Condemnatio, mulcta.

*Hoc vero.* Quod vocavit intellectuale propositum et institutum.

*Pietatis.* Integritas et perfectio divinæ providentiæ.

*Sane quidem nos.* Hoc in loco, facta repetitione eorum quæ dicta sunt, scopum libri exhibet: Quoniam de somniorum divinatione quidem constituimus verba facere, nihilominus necessitate compulsi copiosum quemdam sermonem protraximus de spiritu phantastico, tanquam dicatur esse dux et efficax rei.

*Curiose tractavimus.* Accuratius et copiosius persecuti sumus.

*Ea de causa.* Supra eum.

*Ex hac porro disputatione.* Explicatione.

*Hic.* In hac arte divinandi.

*Minus elucescit.* Enuntiatum est.

*Sed spiritus.* Phantastici.

*Εὐσεβείας.* Ἐνθέου πολιτείας.

*Αὐτὸ εἶναι.* Τὸ φανταστικὸν πνεῦμα.

*Διὰ τὸ τοιοῦτο.* Διὰ τὴν μαντικήν.

*Ἀπὸ φλεγματικούσης.* Τρυφώσης.

*Ἄτυφον.* Εὐτελῆ, ἐγκρατῆ.

*Πυθοῖ.* Ἐν.

*Δεῖ.* Ἐλλείπει.

*Ὁ δέ.* Οὗτος.

*Καὶ τό.* Τὸ διὰ τὴν ἔφεσιν τῆς μαντικῆς.

*Ἐρασθῆναι.* Εἰς τό.

*Συναχθ.* Αὐτῷ τῷ Θεῷ.

*Παρυφιστάμενον.* Ἑπόμενον.

*Οὐδὲ γὰρ διά.* Οὐδὲ γὰρ διὰ τὴν πρὸς Θεὸν οἰκείωσιν τῆς ψυχῆς ἐλάττων ἂν ἔπειτα εἴη καὶ ἀμελείας ἀξία ἡ ἐν τῇ μαντικῇ χρεία· ἀλλὰ μέχρις ἂν ἄνθρωπος διαμένῃ, χρῄζει καὶ ταύτης.

*Τῶν κρειττόνων.* Ὥσπερ ἡ σελήνη παρὰ τοῦ ἡλίου φωτιζομένη τὸ πρὸς ἡμᾶς πρόσωπον αὐτῆς ἐπιπόλαιον ἔχει τὸ φῶς, καὶ οὐ συναναχιρνᾶται αὐτῷ διὰ τὸ πλεῖστον τῆς ἀποχῆς· ὅταν δὲ ἄρξηται ἐπιστρέφεσθαι πρὸς αὐτὸν, εἰς βάθος ἤδη φωτίζεται καὶ λαμπρύνεται, συναναχιρνᾶσα τὸ ἀμυδρὸν ἑαυτῆς φῶς τῷ πολλῷ τῷ ἀπὸ τοῦ ἡλίου διὰ τὴν πρὸς αὐτὸν ἐγγύτητα· οὕτω καὶ ἡ ψυχὴ ἡμῶν δέχεται μὲν αὐγὰς παρὰ τοῦ κυρίως νοῦ, ἢ μᾶλλον παρὰ τοῦ Θεοῦ· ἀλλ' ἐπιπολαίως μὲν ὅταν ἐπιστρέφηται πρὸς τὰ αἰσθητά· διὰ βάθους δὲ ὅταν ἐπιστρεφομένη ἐγγίζῃ αὐτῷ. Τότε γοῦν, φησὶν, οὐκ ἀνεπίστρεπτός ἐστι τοῦ ζώου πάντη, ἀλλ' ἐπιστρέφεται καὶ εἰς τὰ αἰσθητὰ, καὶ ἐκ περιωπῆς ἀποσκοπεῖται, αὐτὰ καθαρώτερον ἤδη, διὰ τὸ μὴ συμπεφύρθαι αὐτοῖς, μηδὲ συγχεῖσθαι ὑπ' αὐτῶν.

*Τὰ κάτω.* Τὰ ἐν κόσμῳ πράγματα.

*Ἡ μετ' αὐτῶν.* Ὅτε ὑλικωτέρα ἐστίν.

*Ὥστε μένουσα.* Ἡ ψυχὴ ἀπερίσπαστος ἐκ τῆς ὕλης.

*Ἰνδάλματα.* Εἰκασίας καὶ προτυπώματα.

*Κατιόντα.* Ὥσπερ καὶ τὸ ἡλίου φῶς τόπους ῥυπαροὺς διερχόμενον οὐ μολύνεται.

*Κρειττων.* Ὁ νοῦς.

*Χείρονος.* Σώματος.

*Παισί.* Τοῖς ἐμοῖς.

*Συσκευασαμένους.* Ἢ ὡς ἐφόδια ποικίλα καὶ πολλὰ λαβόντας.

*Πυθῶδε.* Εἰς Δελφούς.

*Ἄμμωνος.* Ἄμμωνά φασι τὸν Δία. Ἔστι δὲ Ἄμμωνος ἱερὸν μεταξὺ κείμενον Νείλου καὶ Λιβύης, Νείλου μὲν δυτικώτερον, Λιβύης δὲ καὶ Κυρήνης ἀνατολικώτερον· νοτιώτερον δὲ τοῦ Αἰγυπτιακοῦ πελάγους, στάδια ρφ'.

*Καταδαρθεῖν.* Κατακλιθῆναι. Ὅμηρος ἐν Ὀδυσσείᾳ περὶ Πηνελόπης φησὶν, οὐ μελλούσης ἤδη κοι-

*Pietatis.* Divinæ gubernationis.

*Ut ipse sit in nobis fatidicus.* Spiritus ille phantasticus et imaginandi vi præditus.

*Talis spiritus ergo.* Propter divinandi artificium.

*Mensam turgidam.* Divinam et sobriam, non turgidam et opiparam, ab exuberante, luxuriosa, delicata, et in qua genio indulgere liceat.

*Omnis fastus expertem.* Frugalem, simplicem et abstinentem.

*Pythio tripode.* In Pythiis, Pythicum oraculum.

*Multum abest.* Cum Pythicum tripodem relinquit.

*Ille vero.* Qui nimirum posthabito mensæ lautæ et opiparæ fastu luxuque, frugali utitur cibo potuque temperato ac sobrio, et crapulam et vinolentiam tanquam in mari scopulum evitat.

*Et quod.* Efficitur propter appetitum divinationis.

*Dei amore detineantur.* Hac in re.

*Neque enim propter id.* Haud quippe propter hanc animæ cum Deo familiaritatem, minor leviorque posthac fuerit et contemptu digna commoditas, quæ in illa rerum futurarum scientia consistit. Sed tantisper dum homo in vita permanet, eadem indiget.

*Præstantiorum.* Quemadmodum cum luna a sole illuminatur, exterior vultus et aspectus ipsius ad nos conversus lumen obtinet, neque cum eo confunditur aut miscetur propter longitudinem distantiæ: quando vero incipit ad eum converti, in interioribus partibus jam illustratur, clariorque redditur, miscens obscurum et vix apparens lumen suum cum amplissimo lumine solis, propter vicinitatem quam habet cum eodem. Sic etiam animus noster ratios accipit ab intelligentia dominante, vel, ut verius loquar, a Deo: verum superficie tenus, quando convertitur ad ea quæ sub sensum cadunt: sed in penitissimis intimisque partibus, quando subinde resipiscens ad eum propius accedit. Tunc ergo, inquit, non est penitus aversus ab animante, sed attrahitur etiam in ea quæ sensibus sunt obnoxia, et e specula eadem jam purius intuetur, propterea quod minime permiscetur ipsis, neque labefactatur ab ipsis.

*Inferiora.* Opera quæ sunt in mundo.

*Quam cum ipsis versans.* Quando ad materiam propius accedit.

*Quandiu manet.* Animus a materia quietus et immobilis.

*Simulacra.* Imagines et figuras.

*Descendentem.* Quemadmodum lumen solis loca spurca et sordibus obsita perlustrans haud contaminatur.

*Præstantius.* Scilicet mens.

*Deterioris.* Corporis.

*Ii qui collectis sarcinis.* Tanquam diversa copiosaque viatica accipientes.

*Ad Apollinis Pythii.* Ad Delphicum oraculum.

*Ammonii.* Ammona vocant Jovem. Est autem Ammonis templum situm inter Nilum et Lybiam, respectu Nili magis occidentale, sed Libyæ et Cyrenes, magis orientale. At respectu maris Ægyptii magis australe; hinc distat 1500 stadiis.

*Dormire.* Totum corpus reclinare quietis gratia. Homerus in Odyss. de Penelope loquitur, cum jam

μηθῆναι ἐκείνης· ὅμως παραινεῖ ὁ Συνέσιος οὕτω; εὔχεσθαι καὶ τοὺς μέλλοντα; κοιμηθήσεσθαι.

*Ἡ δ' ὑδρηναμένη.* Ἐν τῷ ιζ' γράμματι τῆς Ὀδυσσείας ταῦτά φησιν Ὅμηρος περὶ τῆς Πηνελόπης·

*Ἡ δ' ὑδρηναμένη καθαρὰ χροῒ εἵματ' ἑλοῦσα,*
*Εὔχετο πᾶσι θεοῖσι τελησέσσας ἑκατόμβας*
*Ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.*

Καὶ μετ' ὀλίγα πάλιν φησί,

*Τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·*
*Τηλέμαχ' ἦτοι ἐγὼν ὑπερώϊον εἰσαναβᾶσα*
*Λέξομαι εἰς εὐνήν, ἣ μοι στονόεσσα τέτυκται,*
*Αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσ-*
*[σεὺς*
*Ὤχεθ' ἅμ' Ἀτρεΐδῃσιν ἐς Ἴλιον,* καὶ τὰ ἑξῆς.

*Ὑδρηναμένη.* Νιψαμένη δι' ὕδατος· ἡ Πηνελόπη.

*Ὥσπερ ἴσως.* Ἢ ὡς ὥσπερ τὴν Πηνελόπην αἰτοῦσαν ἐποίησεν ἐν τοῖς ἔπεσι.

*Πάρεστιν.* Ὅρα ὅπως κάνταῦθα ὁ Συνέσιος τῇ τῶν Χαλδαίων δόξῃ ἀκολουθεῖ. Ἐκεῖνοι γὰρ διαφορὰς φασιν εἶναι δαιμόνων. Τοὺς μὲν γὰρ αἰθερίους φασὶ, τοὺς δὲ ἀερίους, τοὺς δὲ προσγείους, τοὺς δὲ ὑδραίους, τοὺς δὲ ὑποχθονίους. Τοὺς γοῦν περὶ γῆν καὶ ὕλωρ καλινδουμένους ψευδεῖς τὴν φύσιν φασὶν, ἅτε πόῤῥω τῆς θείας γνώσεως ὄντας, καὶ τῆς ἀφεγγοῦς ὕλης ἀναπεπλησμένους· τοὺς δὲ αἰθερίους ἀληθεῖς, ἅτε πόῤῥω μὲν τῆς γῆς ὄντας, ἐγγὺς δὲ τῆς θείας γνώσεως.

*Ὁ πόῤῥω θεός.* Ὁ τῆς αἰθερώδους τάξεως.

non deberet amplius illa dormire; Synesius tamen eos adhortatur qui in dulcem somnum lumina declinaturi sunt, ut ita Deum opt. max. precentur.

*Irrigata.* In XVII *Odyss.* lib. ea dicit Homerus de Penelope:

*Ascendit thalamos, puras circumdata vestes,*
*Membraque lota, diis centum taurilia vovit*
*Et pecudes uræ laturam, sacra deorum,*
*Si dignas peteret deus hoc pro crimine pœnas.*

Et paulo post rursum ait:

*Nunc ego, Telemache, ascendam cœnacula summa,*
*Alta theatra domus, languenti lumina somno*
*Concessura thoro lecti, qui plenus amaro*
*Luctu et tristitia nutrit suspiria mœsta,*
*Humidus et lacrymis nostris fletuque rigatur*
*Assiduo.* Et reliqua.

*Irrigata.* Abluta beneficio aquæ Penelope.

*Quemadmodum fortassis.* Veluti Penelopen optantem introduxit Homerus in suis versibus.

*Præsto adest.* Attende quo pacto hic etiam Synesius Chaldæorum opinionem sequitur. Illi enim dæmonum discrimina esse dicunt. Nonnullos quidem æthereos tradunt, alios aerios, hos terræ propinquiores, illos vero aqueos, alios denique subterraneos. Hos igitur qui circum terram et aquam volvuntur, mendaces natura dicunt esse, nimirum procul a divina intelligentia remotos, et obscura materia repletos. Alios vero æthereos ac cœlestes, veraces, utpote a terra longe sejunctos, sed esse in propinquo divinæ intell gentiæ.

*Deus absens.* Ætherei ordinis.

Pag. 144. *Τῆς τελετῆς.* Τελετὰς κυρίως φασὶ τὰ μυστικῶς παραδιδόμενα λόγοις καὶ ἔργοις ἔν τε Πυθίᾳ καὶ Ἐλευσῖνι καὶ τοῖς ἄλλοις μαντείοις. Νῦν δὲ καταχρηστικῶς λέγει τελετὴν καὶ τὴν δι' ὀνείρων μαντικήν.

*Ἔνιαι.* Τινές.

*Ἱεροφάντας.* Τοὺς ἱεροφάντορας.

*Τελετῶν.* Γράφεται πόλεων.

*Ἀπὸ τῶν μεγίστων.* Ὥσπερ οἱ Ἀθηναῖοι κατ' ἐκτίμησιν τῶν ὑπαρχόντων ἑκάστῳ τῶν πλουσίων πολιτῶν τοὺς πλείονα κεκτημένους οὐσίαν ἡροῦντο τριηραρχεῖν, οὕτω, φησὶ, καὶ τοὺς ἱεροφάντας αἱ πόλεις ἡροῦντο τοὺς πλουσιωτέρους καὶ ἐντιμοτέρους. Οὗτοι γὰρ δύνανται συνάγειν τὰ χρειώδη πανταχόθεν πρὸς τὴν τέχνην. Τὴν γοῦν διὰ τῶν τοιούτων μαντικὴν ἀπαγορεύει.

*Καὶ δεῖ.* Χρεία ἐστί.

*Κρῆσσαν.* Κρητικήν.

*Ἡ μὲν δυσομένου.* Ἐκ τῆς Ὀδυσσείας Ὁμήρου τοῦτο· λέγει δὲ Ὑπερίονα τὸν ἥλιον Ὅμηρος, ἀπὸ τῆς ὑπέρ προθέσεως δηλούσης τὸ ἄνω, καὶ τοῦ *ἴέναι* ῥήματος δηλοῦντος τὸ πορεύεσθαι, τοῦτ' ἔστιν ὁ ἐπάνω ἡμῶν καὶ τῆς γῆς πορευόμενος.

*Ὑπερίονος.* Ἡλίου.

*Ταῦτα.* Τὰ περὶ δύσιν καὶ ἀνατολήν.

*Τεχνευόντων.* Γράφεται, τεχνιτευόντων.

*Τῶν ὑπαρχόντων.* Τῆς ἐνούσης οὐσίας.

*Cæremoniæ.* Cæremonias proprie vocant ea quæ mystice tradita sunt verbis et operibus, et apud Pythicum oraculum, et Eleusinam, et alia loca ad vaticinandum idonea. Nunc autem abusive cæremoniam dicit divinationem, quæ fit inter somniandum.

*Antistites.* Rerum sacrarum doctores.

*Quædam cæremoniæ.* Scribitur etiam quædam urbes.

*A maximo sensu.* Quemadmodum Athenienses juxta æstimationem facultatum uniuscujusque civium opulentorum, ampliorem substantiam possidentes deligebant, ut triremibus præessent: ita, inquit, etiam urbes antistites eligebant ditiores et honoratiores. Illi enim poterant utilia ad hanc artem undecunque adducere. Hanc igitur divinandi rationem talibus rebus utentem abhorret ac detestatur.

*Atque opus est.* Necessitas exigit.

*Cretensem.* E Creta advectam.

*In Occidente.* Ex Homeri *Odyssea* istud depromptum est. Vocat enim solem Hyperionem Homerus, præpositione ὑπὲρ, super, declarante id quod supernum est; et a verbo *ἴέναι*, quod *ire* significat; hoc est, qui supra nos terramque vagatur et incedit.

*Hyperionis.* Solis.

*Hæc.* Quæ dicuntur de ortu et occasu solis.

*Artificiose exquirunt.* Scribitur etiam τεχνιτευόντων, qui solerti ingenio moliuntur.

*Ex suis rebus partis.* Ex substantia et facultatibus quæ adsunt.

*Ὁρᾷ μέν.* Εἰς τέσσαρα τέλη διαιρουμένης τῆς πολιτείας τῶν Ἀθηναίων, τὸ μὲν ἐκάλουν τῶν πεντακοσιομεδίμνων, τὸ δὲ τῶν ἱππέων, τὸ δὲ τῶν ζευγιτῶν, τὸ δὲ τῶν θητῶν. Τοῦτο δὲ τὸ θητικὸν ἦν καὶ ἀπορώτατον, ἐπὶ μισθῷ τὴν ἡμερησίαν ἀεὶ ποιούμενον ἐργασίαν. Τὰ μέντοι τέλη ταῦτα καὶ τιμήματα ἔλεγον οἱ Ἀθηναῖοι.

*Ὥστε ἀποζῆν.* Μόλις ζῆν.

*Πρόσκωπος.* Διὰ τοῦ ἀκατίου.

*Ὁ θής.* Ὁ μισθωτός.

*Ὁ τιθείς.* Ἔθος ἦν τοῖς Ἀθηναίοις λαμβάνειν καθ' ἕκαστον ἔτος δραχμὰς ιβ' ἐκ τῶν ἔξωθεν ἐρχομένων εἰς Ἀθήνας ξένιον κατοικίας ἕνεκα, καὶ τοῦτο ἐκαλεῖτο μετοίκιον.

*Μετοίκιον.* Τῶν ἔξωθεν μετοικιζομένων εἰς Ἀθήνας.

*Ἐτεοβουτάδης.* Ἐτεοβουτάδαι γένος τι ἀρχαῖον ἐπίσημον ἐν Ἀθήναις καὶ περιφανές, ἀφ' οὗ αὐτῇς Ἀθηνᾶς ἐξελέγοντο ἱέρειαι. Ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ ἐτὸν τὸ ἀληθὲς, τοῦτ' ἔστιν οἱ ἀληθῶς ἐκ τῆς τοῦ Βούτου γενεᾶς καταγόμενοι· βούταν δὲ καλεῖ τὸν πανόπτην Ἄργον ὁ τραγικὸς Αἰσχύλος, ἢ ὡς βουκόλον, ὡς ἐπιστατοῦντα καὶ ἑπόμενον τῇ Ἰοῖ τῇ θυγατρὶ τοῦ Ἰνάχου. Φέρει γὰρ αὐτὴν λέγουσαν οὕτωσι, *Φυδοῦμαι τὸν μυριωπὸν εἰσορῶσα Βούταν.*

*Δημοτικόν.* Κοινωνικόν.

*Παντταχοῦ παρεῖναι.* Ἐπειδήπερ ἱστοριῶν ἐμνήσθη τινῶν ἐνταῦθα ὡς ἐν βραχεῖ, ἀναγκαῖον ταύτας πρότερον ἀναπτύξαι σαφηνείας ἕνεκα τοῦ λόγου. Περὶ τὴν Ἀντιόχειαν τῆς Συρίας ἐστί πηγή τις ὄνομα Κασταλία, ἐν ᾗ χρησμολογεῖν ἔλεγον τὸν Ἀπόλλωνα οὕτωσί πως· Ἐν τῇ ἐκροῇ τοῦ ὕδατος ἀνεδίδοτο πνεῦμα, ὅπερ ἄλλοτε ἄλλην καθίστα τὴν τοῦ ὕδατος κίνησιν, ἣν περισκοποῦντες οἱ μάντεις τὰ μέλλοντα προὔλεγον. Μία μὲν οὖν αὕτη ἐστὶν ἱστορία· ἑτέρα δὲ ἡ περὶ τῆς τῶν Δελφῶν πέτρας. Ἔστι δὲ αὕτη κατὰ τὴν τῆς Φωκίδος ἐπαρχίαν, νοτιωτέρα μὲν ὄρους τοῦ Παρνασσοῦ σταδίοις τριακοσίοις, ἀρκτικωτέρα δὲ τοῦ Κορινθιακοῦ κόλπου σταδίοις διακοσίοις ἔγγιστα. Ἦν δὲ ἱερὸν ἐκεῖ περί τι πετρῶδες ὄρος, καὶ ἐν αὐτῷ ὁ μαντικὸς τοῦ Ἀπόλλωνος τρίπους. Τρίτη δέ ἐστιν ἱστορία, ἡ περὶ οὗ φησι χάσματος γῆς· ἔχει δὲ οὕτως· Ἐγένετό τις ἀνὴρ Τροφώνιος ὄνομα, μάντις τὴν τέχνην. Οὗτος ὑπὸ κενοδοξίας εἴς τι σπήλαιον ἑαυτὸν ἐμβαλὼν καὶ κατακρύψας αὐτοῦ τὸν βίον ἀπήλλαξεν· ὃ δὴ σπήλαιον, φησὶ, μαντείας ἀνεδίδου τοῖς εἰσιοῦσι καὶ ἐρωτῶσι περὶ ὁτουοῦν. Τούτων δὴ τῶν ἱστοριῶν ἐνταῦθα ὁ Συνέσιος ἐμνήσθη διὰ πλείονα τῆς καθ' ὕπνον μαντικῆς ἔπαινον, λέγω ὅτι ἐκεῖνα μὲν τὰ μαντεῖα κόπων καὶ ἀναλωμάτων πλείστων ἐδίοντο· αὕτη δ' ἀπόνως δίδωσι τὰς μαντείας ἅπασιν.

*Καὶ μὴ καταλαβεῖν.* Τὸ μὴ κατοικῆσαι εἰς ἕνα τόπον, ἢ ὡς ἢ εἰς τὸ τῆς Κασταλίας ὕδωρ, ἢ εἰ;

*Cernit quidem.* Cum in quatuor ordinum genera distincta esset Atheniensium respublica et civilis administratio : unum quidem nuncupabant eorum qui censum quingentorum medimnorum possidebant : alterum equitum, tertium zeugitarum, quartum operariorum mercede conductorum. Hic porro opificum et mercenariorum infimus ordo erat valde inops, mercedis causa diurnam semper operam præstans. Eos quidem certe ordines et census dicebant Athenienses.

*Traducat vitam sobriam.* Ita ut cum difficultate vivat.

*Remex.* Ope navigioli, seu scaphæ.

*Operarius.* Mercenarius.

*Et qui solvit colonarium.* Mos erat Atheniensibus accipere singulis annis duodecim drachmas ab externis hospitibus, qui Athenas habitandi gratia se conferebant, et id vocabatur vectigal incolatus.

*Tributum.* Extraneorum qui proficiscebantur Athenas, ut illic sedem domicilii collocarent.

*Eteobutades.* Eteobutadæ progenies quædam erat antiqua, insignis et splendida Athenis, a qua Minervæ sacerdotes eligebantur. Sed juxta veram ac geminam significationem explicatur quod proprie sit, id quod verum ac certum est : hoc est, qui revera e Butæ generatione deducti erant. Cæterum Butam appellat oculatum Argum tragicus Æschylus, quasi bubulcum, ut moderatorem ac sectatorem Ius Inachi filiæ. Tradit enim ipsam ita dixisse, *Perhorresco multiplices habentem vultus intuita Butam.*

*Popularis.* Familiaris, socialis.

*Ubicunque præsto est.* Quandoquidem hic quarumdam historiarum mentionem fecit, paucis verbis operæ pretium est eas prius explicare perspicuitatis orationis gratia. Circa Antiochiam Syriæ est fons quidam nomine Castalia, in quo tradiderunt Apollinem sic fata prædixisse : in meatu aquæ reddebatur flatus, qui quidem alias aliam efficiebat aquæ commotionem, quam circumspicientes vates futura prædicebant. Una igitur hæc est historia. Altera vero de saxo Delphorum. Est autem istud prope Phocidis provinciam magis australe quam mons Parnassus, trecentis stadiis; sed magis septemtrionale quam sinus Corinthiacus, stadiis ferme ducentis. At illic templum erat juxta saxosum aliquem montem, et in eo fatidicus Apollinis tripus. Tertia porro historia est de eo barathro terræque hiatu quem commemorat; ea sic se habet : Fuit quidam vir nomine Trophonius augurandi artificio instructus. Ille inani gloria ductus in quamdam speluncam facto impetu se præcipitem immisit, et in ea conditus e vita decessit : quæ profecto spelunca, ut aiunt, oracula reddebat eam ingredientibus, et de qualibet re quærentibus. Harum certe historiarum hoc in loco meminit Synesius ad ampliorem laudem divinationis quæ fit per insomnia, dicens in illis vaticinandi locis opus esse maximis fatigationibus, molestiis ac sumptibus, sed hanc præsagiendi rationem citra laborem omnibus oracula reddere.

*Aquam minime assumit.* Quia non opus est ac-

τὴν τῶν Δελφῶν πέτραν, ἢ εἰς τὸ κατὰ γῆς Τροφωνίου μαντεῖον.

*Πρῶτον.* Βέλτιον.

*Συγκείμενον.* Σκοπὸν ἔχων ἰδεῖν ἐνύπνιον.

*Εἰς τὴν φύσιν.* Εἰς ἀνάπαυσιν τῆς φύσεως.

*Οὐκ ἀρκούσης.* Οὐ δυναμένης τῆς οὐσίας ἡμῶν, ἢ ὡς τῆς φύσεως, ἀεὶ γρηγορεῖν.

*Τὸ αἱρετόν.* Τὸ ἐνύπνιον.

*Τῷ ἀναγκαίῳ.* Τῷ ὕπνῳ. Τὸν ὕπνον φησὶν ἔργον καὶ ἀναγκαῖον, καὶ τοῦ εἶναι καὶ ζῆν αἴτιον. Τὸ δὲ ἐνύπνιον αἱρετὸν, καὶ πάρεργον, καὶ τοῦ εὖ εἶναι αἴτιον.

*Τὸ εὖ εἶναι.* Τὸ εὖ ζῆν διὰ τῆς ἐν ὕπνῳ μαντικῆς.

*Τῷ εἶναι.* Τῷ ζῆν

*Τινί.* Πράξει.

PAG. 145. *Γέροιο.* Σύ.

*Εἰς αὐτήν.* Τὴν πρᾶξιν.

*Ὀφελοῖο.* Κωλυόμενος δηλονότι.

*Οὔτε γὰρ καιροῦ.* Εἰρήκει γὰρ ὄπισθεν ὅτι ὡρισμένοι τόποι καὶ ὀλίγοι εἰσὶν οἱ τὰ μαντεῖα ἔχοντες, καὶ ἐν ὡρισμένοις κατροῖς παρέχουσι τὰς μαντείας· διὸ καί φησι δύσκολον εἶναι διὰ ταῦτα τὴν τοιαύτην μαντικήν· ἔτι δὲ δύσκολον διὰ τὰ ὄργανα αὐτῆς, ἃ χρῄζει πρὸς ὑπηρεσίαν. Ταῦτα γὰρ καὶ δαπάνης ἔφη δεῖσθαι συχνῆς. Οὐ γὰρ ῥᾴδιον ἂν εἴη συγκομίσαι Κρῆσσαν βοτάνην, καὶ πτε-

colam esse cujusdam loci, aut habitare juxta aquam fontis Castaliæ, aut prope Delphorum saxum, vel in propinquo terræ Trophonii oraculi.

*Id etiam primum.* Præstantius.

*Conventione facta.* Consilium et intentionem habens videndi insomnii.

*Ob naturam.* Ad naturæ refocillationem.

*Haud sufficiente.* Lege, *Non sufficientibus naturæ viribus*, cum non valeat essentia, facultas aut natura nostra perpetuo vigilare.

*Rem expetendam.* Nempe insomnium.

*Necessariæ.* Somno. Somnum ait opus esse necessarium, necnon essentiæ et vitæ causam : sed insomnium expetendum et causam perfunctorium atque supervacaneum, ut incolumitatis causam.

*Et optimam vivendi rationem.* Nimirum bene vivere divinationis, quæ evenit inter dormiendum, causa.

*Cuipiam.* Actioni.

*Ad eam.* Actionem.

*Juraberis moleste.* Cum videlicet impediaris.

*Neque enim est cujuslibet temporis.* Hactenus enim dixit quædam esse definita loca ad vaticinandum obnoxia et idonea, eaque pauca, et præfinitis temporibus opportunis oracula reddere. Ideo asserit morosam ac difficilem esse, eas ob res, ejusmodi rerum futurarum præscientiam : adhæc acerbam propter ejusdem instrumenta, quæ ad muneris functionem indulget et concedit : ea siquidem multis sumptibus indigere asserit. Haud quippe in promptu est cuivis Cretensem herbam comportare,

ρὸν Αἰγύπτιον, καὶ ὀστοῦν Ἰβηρικὸν, καὶ ὅσα ἄλλα ληροῦσιν οἱ περὶ τὰ τοιαῦτα μοχθοῦντες.

*Ἀλλ' ἐφ' οἷς.* Εἶπω δηλονότι ὀργάνοις.

*Ἀπήνης.* Ἁμάξης.

*Ἀλλὰ μέρη.* Λόγοι καὶ πράγματα μυστηριώδη.

*Οὕτω γὰρ εἰπεῖν.* Ἐξηγόρευσαν δηλαδή.

*Τὸ γὰρ μὴ ἐθελοντήν.* Θείαν ἀποκάλυψιν.

*Ὀντιναοῦν.* Ἄνθρωπον.

*Ἀλλ' ὠθισμῷ.* Οἱ γὰρ τὴν θύραθεν μετιόντες μαντικὴν ἱεροφάνται, οὓς μικρῷ πρόσθεν εἰρήκει, μάγῳ χρώμενοι τέχνῃ, δι' ἐπῳδῶν τινων κατάγουσι δαίμονάς τινας, καὶ κατέχουσιν ἄκοντας τυραννικῶς, καὶ πυνθάνονται περὶ ὧν χρῄζουσι μαθεῖν. Δῆλον δ' ἐξ ὧν παράγουσι τὴν Ἑκάτην λέγουσαν,

B *Ἤέριον μετὰ φέγγος ἀπείριτον ἀστεροπλῆθες,*
*Ἄχραντον πολὺ δῶμα Θεοῦ λίπον ἠδ' ἐπιβαίνω*
*Γαίης ζωοτρόφοιο τεῆς ὑποθημοσύνῃσι,*
*Πειθοῖ τ' ἀῤῥήτων ἐπέων, οἷς δὴ φρένα τέρπει*
*Ἀθανάτων ἀδαῆ θνητὸς βροτός.* Καὶ πάλιν ἄλλος δαίμων ἀναγκαζόμενος λέγει, φησὶ, *Κλῦθί μου οὐκ ἐθέλοντος, ἐπεὶ μ' ἐπέδησεν ἀνάγκη·* καὶ πάλιν ἄλλος φησὶν ἀλλαχοῦ· *Τίπτε μ' ἀεὶ θείοντος ἀπ' αἰθέρος ὧδε καθίζων,*
*Θειοδάμοις Ἑκάτην με θελὴν ἐκάλεσσας ἀνάγκαις,*
καὶ τὰ ἑξῆς. Αἱ γὰρ τοιαῦται φύσεις τῶν δαιμόνων πεπυνθεῖσαι διὰ κακίαν, καὶ ἄλογον ἐκτήσαντο ψυχὴν, καὶ διὰ τοῦτο πῶς μὲν ἑκόντες, πῶς δὲ ἄκοντες καθέλκονται τοῖς

et pennam Ægyptiam, et os Ibericum, et quæcunque C alia inepte garriunt ac effutiunt ii, qui circa tale instrumenta ærumnose laborant.

*Sed ea ob quæ.* Dixerim instrumenta scilicet.

*Rhedæ sunt.* Plaustri, vehiculi.

*Aliæ partes.* Verba et opera mysteriorum plena.

*Nam ita dictu verius est.* Revelarunt videlicet ac prodiderunt.

*Ultro.* Divinam revelationem.

*Quispiam.* Homo quilibet.

*Vexatione.* Nam antistites qui externam inquirunt divinandi artem, de quibus paulo ante locutus est, magica arte utentes, quibusdam carminibus vim incantandi habentibus nonnullos dæmonas eliciunt deducuntque, ac invitos et reluctantes tyrannice violenterque custodiunt, et ab his sciscitantur quæ cupiunt scire. Id patet e carminibus, D quibus in medium adducunt Hecaten, dicentem: *Post matutinum splendorem immensum, astris refertum, incontaminatam et amplam domum Dei reliqui, atque ascendo ad terram vivorum alumnam tuis monitis, suasuque nefandorum versuum, quibus certe rudia immortalium præcordia delinit mortalis homo.* Ac rursus alius dæmon coactus loqui, ait: *Exaudi me invitum, quoniam me ligavit necessitas.* Rursum alius alibi dicit: *Cur me semper currente ab æthere hic desidens, divina domantibus me Hecatem deam evocasti necessitatibus?* et reliqua. Nam tales dæmonum naturæ crassiores effectæ propter inveteratam nequitiam, animam rationis expertem sibi compararunt; et ob id partim quidem

τοιούτοις. Φησὶ καὶ ὁ Πλωτῖνος, ὅτι οὐχ ἡ προαίρεσις, οὐδ' ὁ λόγος ὑπὸ μουσικῆς ἢ γοητείας ἕλκεται ποτε, ἀλλ' ἡ ἄλογος ψυχή. Καίτοι φιλοῦσι καλούμενοι, κἂν μὴ τοῦτο αἰτῶνται· οὐδ' ὅταν γοητεύῃ τις, σύνεσιν ὁ γοητευόμενος ἔχει, οὐδ' αἰσθάνεται, ἀλλὰ γινώσκει ἤδη παθὼν ὅτι πέπονθεν, ὡς τὸ, ἐπεὶ καὶ αἱ τοιαῦται φύσεις τῶν δαιμόνων γοητείαις καὶ ἐπῳδαῖς ἡττῶνται, δηλονότι καὶ αὗται ἄλογον ἔχουσι ψυχὴν, καὶ σύνθεσιν, καὶ πάχος.

*Μοχλείᾳ.* Ὡς οἱ τέκτονες.

*Διαζομένοις.* Τυραννοῦσιν, ἀναγκάζουσιν ἀνθρώπους.

*Ἐνέργειαν.* Τῆς πολυασχόλου ἐκεῖ μαντικῆς, ἔνθα δυσχερὲς συμπεριάγειν τὰ πρὸς τὴν μαντείαν ἐπιτήδεια ὄργανα.

*Βασκάνου.* Φθονερῶν τινων πολιτῶν.

*Ἀρχομένης Ὑπ' αὐτοῦ πόλεως.*

*Ἀνοήτου.* Ἀνοήτου γὰρ ἂν εἴη, φησὶν, ἀνδρὸς ἀποκηρύττειν ἐκ τῆς ἀρχομένης ὑπ' αὐτοῦ πόλεως τὸ καθεύδειν, διότι ἀδύνατον τοῦτό γε. Οὐ μόνον δέ φησιν ἀνοήτου, ἀλλὰ καὶ ἀσεβοῦς, διότι ἐναντία τῷ θεῷ καὶ τῇ φύσει νομοθετεῖ. Καὶ γὰρ καὶ ὁ Θεὸς καὶ ἡ φύσις μεγάλην καὶ ἀναγκαιοτάτην τὴν σύστασιν τῷ ζώῳ ἐνέσπειρε τὸ καθεύδειν. Ἐπεὶ γοῦν, φησὶν, ἀπεδείχθη ὅτι ἀναγκαῖον καθεύδειν ἅπαντας, καὶ καθεύδοντας ὀνείρων γίνεσθαι θεατὰς, ἄξιον ἀνεῖη καὶ ἐπὶ τὴν δι' ὀνείρων εἶναι μαντικὴν

A ἅπαντας, πλουσίους καὶ πένητας, ἄνδρας καὶ γυναῖκας, καὶ πᾶσαν ἁπλῶς εἰπεῖν ἡλικίαν.

*Οἷς ἀδύν.* Διότι.

*Οἷς ἐναν.* Διότι.

*Ἐπ' αὐτήν.* Τὴν δι' ὀνείρων μαντικήν.

Pag. 146. *Προφῆτις.* Ἡ δι' ὀνείρων μαντική.

*Μακροτέραν.* Μείζονα.

*Οὕτως.* Ἢ ὡς βεβαίως.

*Ἀναπειθόμεθα.* Ὡς ἀναπειθόμενος ὑπὸ τῶν ἐν ὀνείροις ἐλπίδων.

*Τῇ φύσει.* Τῶν ἀνθρώπων.

*Τὴν ἀρχήν.* Ἐν πενίᾳ, καὶ μόχθοις, καὶ στερήσει τῶν ὀρεκτῶν.

*Περικεχυμένων.* Ὧν ποτε εἶχον οἱ πίθοι.

B *Ὁ Προμηθεύς.* Ἡ φύσις τοῦ κόσμου, καὶ τῶν ἐν κόσμῳ μία τις οὖσα πολυώνυμον ἔσχε τὴν προσηγορίαν, δι' ἃς ἔχει διαφόρους δυνάμεις καὶ ἐνεργείας. Ὡς μὲν γὰρ πάντων αἰτία, λέγεται τύχη, ἀπὸ τοῦ τεύχειν μόνη τὰ πάντα· διὰ δὲ τὸν εἱρμὸν τῆς ἐπιπλοκῆς τῶν αἰτιῶν λέγεται εἱμαρμένη· διὰ δὲ τὸ ἀνίκητον, ἀνάγκη· διὰ δὲ τὸ μεμερισμένον ἄλλῳ ἄλλο λέγεται μοῖρα· διὰ δὲ τὸ ἀπαρότρεπτον τῶν ἔργων αὐτῆς λέγεται ἄτροπος· διὰ δὲ τὸ πεπερασμένον τῆς διοικήσεως αὐτῆς, πεπρωμένη· διὰ δὲ τὸ συμφέρον τῶν ἀποβαινόντων τοῖς ἀνθρώποις λέγεται πρόνοια καὶ Προμηθεύς. Κἀνταῦθα τοίνυν ὁ Συνέσιος τὸ προνοητικὸν καὶ προμηθητικὸν τῆς

sua sponte, partim vero invitæ talibus rebus attrahuntur pelliciunturque. Ait enim Plotinus neque liberam voluntatem, neque rationem a musica aut ludificatione unquam attrahi, sed animam rationis expertem. Quanquam amant invitari, licet istud minime deposcant. Neque quando aliquis præstigiis decipit, perspicientiam ac judicandi vim habet ille dæmon qui imposturis eluditur, neque sentit, at exploratum habet jam lacessitus se incommodo affici. Et quoniam ejusmodi dæmonum naturæ incantationibus, præstigiis et carminibus vincuntur opprimunturque, perspicuum est etiam ipsas habere animam rationis expertem, compositionem et crassitudinem.

*Vexatione ac molitione.* Ut fabri, structores, architecti.

*Ut actio.* Fatidicæ scientiæque illic maxime negotiosæ, in qua molestum est circumducere necessaria ad divinationem instrumenta.

*Malignæ civitatis.* Invidorum quorundam civium.

*Ex imperio.* E sua civitate.

*Insipiens est.* Hominis enim dementis fuerit, inquit, exterminare ex urbe sibi subdita dormiendi facultatem, ideoque istud quidem fieri nequit. Non solum, ait, inconsulti ac temerarii, verum etiam impii fuerit, propterea quod legem sancit et Deo et naturæ contrariam. Etenim sive Deus, sive natura magnum hunc valdeque necessarium statum et affectum animali insevit, ut quiesceret. Quoniam igitur, inquit, hactenus demonstratum est necessarium esse ut omnes homines dormiant,

ac dormientes somniorum fiant inspectores, æquum C etiam fuerit omnibus licere ut se conferant ad divinandi artificium, quod fit per somnia, sive divites, sive pauperes sint, viri aut mulieres, et, ut paucis complectar, cujusvis ætatis homines.

*Ad ipsam.* Somniorum divinationem.

*Prophetissa.* Divinatio quæ contigit per visa et spectra dormientis.

*Ampliori voluptate.* Majori.

*Incitamur.* Ut qui assentitur ac indulget spei et expectationi somniorum.

*In natura est.* Hominum.

*Ut ab initio, ut prius.* In penuria, ærumnis et privatione rerum expetendarum.

*Vitam circumvenientes.* Quas nimirum dolia continebant. D

*Prometheus.* Mundi natura, et eorum quæ sunt in mundo, una cum sit, multis nominibus designatam appellationem obtinuit, ob distinctas facultates et occultas vires. Verbi gratia, fortuna omnium causa dicitur esse, eo quod sola omnia struit; sed propter seriem nexus causarum dicitur fatum, et ob insuperabilem invictamque ejus virtutem, necessitas appellatur; verum quia aliud alii distribuitur, ut sit ejusdem particeps, nuncupatur sors. At quoniam ejus opera declinari avertique non possunt, dicitur Atropos; mors enim nemini parcit, cum sit inexorabilis: sed propter exactionem ac terminationem ipsius dispensationis, Parca: et ob commoda quæ hominibus adveniunt, providentia et Prometheus. Quocirca hoc in loco Synesius na-

φύσεως, ὃ περὶ τὰ φυσικὰ ἐνδείκνυται πράγματα, Προμηθέα ὠνόμασε· καὶ ὁ Αἰσχύλος δὲ ἐν τῷ δράματι ὃ ἐπιγράφει Προμηθεὺς δεσμώτης, εἰσάγων τὸν Προμηθέα λυπούμενον διὰ τὸν δεσμὸν, καὶ διηγούμενον τὰς αἰτίας δι' ἃς τιμωρεῖται παρὰ τοῦ Διὸς, φησὶ, καὶ ὅτι *Θνητοὺς τ' ἔπαυσα μὴ προδέρκεσθαι μόγον, τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατοικίσας*· ὁ δὲ Εὐριπίδης συνετώτερος ὢν τὸ τοῦ Προμηθέως ὄνομα εἰς τὸν κοινὸν ἀνάγει δημιουργὸν, ἐναργῶς λέγων· *Τί ποθ' ὁ Προμηθεὺς ὃν λέγουσ' ἡμᾶς πλάσαι, Καὶ τἄλλα πάντα ζῶα, τοῖς μὲν θηρίοις Ἔδωχ' ἑκάστῳ κατὰ γένος μίαν φύσιν; Ἅπαντες οἱ λέοντές εἰσιν ἄλκιμοι, Δειλοὶ πάλιν ἐξῆς εἰσι πάντες οἱ λαγοί.*

*Βουλομένῳ.* Τῇ βουλήσει.

*Λοχαγός.* Λόχος ἐστὶ σύστημα στρατιωτικὸν ἐξ ἀνδρῶν ις'. Ὁ μὲν οὖν ἔμπροσθεν ἱστάμενος καὶ ἄγων τὸν λόχον καλεῖται λοχαγός· ὁ δὲ ὄπισθεν οὐραγός. Ὁ λόχος δὲ ὅλος καλεῖται στίχος, ὑπὸ δέ τινων ἑνωμοτία. Τινὲς δὲ τὴν ἑνωμοτίαν τέταρτον τοῦ λόχου μέρος ἀπεφήναντο, καὶ τὸν ἡγούμενον αὐτῆς ἑνωμοτάρχην· τὰς δὲ δύο ἑνωμοτίας διμοιρίαν ἐκάλεσαν, καὶ τὸν ἡγούμενον αὐτῆς διμοιρίτην. Ὥστε τὸ ἡμιλόχιον καὶ διμοιρίαν καλεῖσθαι, καὶ τὸν ἡμιλοχίτην διμοιρίτην· συλλογισμὸς δέ ἐστιν, ὅταν τῷ πρώτῳ λόχῳ ἕτερος παρατεθῇ.

*Ποδοῖν.* Τῶν ἐν ποσὶ δεσμῶν.

*Ἐνύπνιον.* Ἐπειδὴ ὁ σοφὸς οὗτος Συνέσιος πολλαχοῦ τοῦ παρόντος λόγου ἀδιαφόρως ἐχρήσατο τοῖς ὀνόμασι τῶν ὀνείρων καὶ ἐνυπνίων, ἔδοξεν ἡμῖν καὶ περὶ τούτων πλατύτερόν τι διεξελθεῖν. Εἰσὶ γὰρ διάφορα τὰ παρὰ τοῖς παλαιοῖς τεθειμένα τοῖς καθ' ὕπνους φαινομένοις. Πέντε γάρ φασι τούτων εἶναι τὰ εἴδη· ὧν τὸ μὲν ὀνομάζουσιν ἐνύπνιον, τὸ δὲ φάντασμα, τὸ δὲ χρηματισμὸν, τὸ δὲ ὅραμα, τὸ δὲ ὄνειρον. Καὶ ἐνύπνιον μέν ἐστι μεθημερινῶν φροντίδων ἀπήχημα· τοῦτο δὲ γίνεται ἢ τῆς ψυχῆς ὅπως ποτὲ ταραχθείσης, ἢ τοῦ σώματός τι παθόντος· ψυχῆς μὲν, ὥσπερ ὁπόταν δεσπότης ὀργίζηται δούλῳ, οὐ καλῶς ἴσως τὰ ἀνατεθειμένα διοικήσαντι πράγματα, ἔπειτα καθεύδων νομίζῃ περὶ τῶν αὐτῶν τῷ δούλῳ διαλέγεσθαι· ὁμοίως ὥσπερ ἐπὶ τῆς θαλάττης ὁρῶμεν γινόμενον, ὁπόταν αὐτὴν θορυβήσῃ μὲν ἀπαρκτίας, ἔπειτα παυσαμένου τοῦ πνεύματος, ὁ τῆς θαλάττης ὄρυβος παραμένῃ· σώματος δὲ, ὡς εἴ τις δίψῃ πιεζόμενος, νομίζοι τρέχειν παρὰ ποταμοὺς καὶ πηγάς. Φάντασμα δέ ἐστιν, ὅταν μήτε τελέως καθεύδοντος τοῦ ἀνθρώπου, μήτε τελείως ἐγρηγορότος, ἀλλ' ὡς ἐν μεταιχμίῳ τούτων διακειμένου ἀλλοκότους τῇ τε φύσει καὶ τῇ ποικιλίᾳ καὶ τῷ μεγέθει μορφὰς νομίζῃ βλέπειν, ἢ ἀθρόας, ἢ κατ' ὀλίγας, ἄλλας ἄλλως περιφερομένας, καὶ ἢ θόρυβον, ἢ χαρὰν ἐπαγούσας. Χρηματισμὸς δέ ἐστιν, ὅταν ἢ ἄγγελος, ἢ ἱερεὺς, ἢ πατὴρ, ἢ τι τῶν σεμνότητα ἐχόντων προσώπῳ θεαθὲν προσαγορεύῃ, τῶν μὲν, ὡς κίνδυνον καὶ λύπην ἐπιφέρειν

turæ providendi ac prospiciendi vim, quæ circa res naturales indicatur, Prometheum nominavit. Et Æschylus in ea fabula quam inscripsit, Prometheus captivus, introducens Prometheum multis angoribus ac molestiis implicatum propter vincula, et causas commemorantem quibus a Jove excruciatur, ait: *Quia mortales quiescere feci, eisque animum addidi ne prævideren solum, in ipsis spei cæcæ domicilium collocans.* At Euripides magis circumspectus Promethei nomen ad communem rerum omnium opificem refert, manifeste dicens: *Quid tandem Prometheus quem tradunt nos finxisse, et omnia alia animantia, belluis quidem concessit singulis unicam naturam secundum genus suum? cuncti leones sunt robusti, deinceps omnes lepores timidi.*

*Quando animi voluntati.* Cupiditati, optioni.

*Ductor manipuli.* Manipulus est congregatio militaris e 16 viris. Qui igitur in anterioribus militiæ partibus insistit, et manipulum ducit, vocatur tribunus seu dux cohortis; qui vero a tergo, extremi agminis ductor; sed tota cohors vocatur ordo militaris, et a nonnullis turma. Quidam autem turmam quartam cohortis partem affirmarunt, et ejus præfectum militaris ordinis principem. Duas vero turmas militum manipulum appellarunt, et ejus ductorem, duplarem. Quocirca semicohors etiam vocatur manipulus, et dux semiagminis, duplicarius. Cœtus autem decuriæ est, quando primo manipulo alter adjungitur.

*Ac certe pedum.* Vinculorum quibus pedes illius detinentur.

*Vigilantis insomnium.* Quoniam sapiens et industrius noster Synesius in hujus libri frequentibus locis, indifferenter usus est nominibus somniorum et insomniorum, visum est nobis de his quidpiam uberius persequi. Sunt enim differentia ea quæ posita constitutaque sunt apud veteres, de iis quæ apparent in somniis. Quinque enim aiunt eorum esse species: quarum prima insomnium nominatur, altera phantasma, tertia oraculum, quarta visio, quinta somnium. Insomnium quidem est diurnarum sollicitudinum effusio: istud autem fit, anima quodammodo conturbata, vel corpore quidpiam passo. Anima quidem, ut cum dominus ad iram provocatus servo succenset, quod forsitan turpiter et indecenter opera sibi assignata injunctaque dispensarit: deinde inter dormiendum se existimat his de rebus famulum interrogare. Non secus atque in mari cernimus fieri, quando ipsum concitavit ventus septentrionalis, deinceps cessantibus et quiescentibus ventorum flatibus, tumultus maris permanet: corpore autem, ut si quis siti vexatus se putet currere juxta fluvios ac fontes. Phantasma vero est quando neque profundo vehementique somno homo sopitus, nec plane vigilans, sed veluti in meditullio et intercapedine horum constitutus, insolentes ac prodigiosas natura et varietate, necnon magnitudine inusitatas formas se existimat videre, aut promiscuas et acervatim congestas, aut

μελλόντων, ἀπέχεσθαι, τῶν δὲ, ὡς χρηστὰ κομίζειν μελλόντων, ἀντιποιεῖσθαι. Ὅραμα δὲ, ὅταν δ μέλλει τις παρὰ προσδοκίαν τῇ ὑστεραίᾳ ὁρᾷν, ῥᾳθάσας ἕξῃ καθεύδων τοῦτ' αὐτὸ, κατὰ τὸν ὅμοιον καὶ ἀπαράλλακτον τρόπον. Ὄνειρος δὲ, ὅταν αἰνιγματωδῶς καὶ σκιωδῶς ἄλλα ἀντ' ἄλλων ὁρῶμεν, εἴδωλά τινα τῶν μελλόντων δυσείκαστα, καὶ πολλῷ τῷ συρφετῷ κεκαλυμμένα, ἃ καὶ πολλῆς δεῖται τῆς τέχνης καὶ ἐμπειρίας, ὥστε διαγινώσκεσθαι τὴν προαγγελλομένην παρ' αὐτῶν δήλωσιν. Οὐ γὰρ ἄλλου δεῖ πρὸς ταῦτα διδασκάλου, ἀλλ' αὐτὸν ἑαυτῷ ἕκαστον εἶναι διδάσκαλον δεῖ, τῇ συνηθείᾳ τῆς ἑαυτοῦ φυσικῆς ἰδιοτροπίας ὁδηγῷ χρώμενον. Ὁ μὲν γὰρ καθ' ὕπνους ἰδὼν ἑαυτὸν οἴνου πίνοντα, τῇ ὑστεραίᾳ λυπηροῖς τισιν ἐνέτυχε πράγμασιν· ὁ δὲ τοῦτ' αὐτὸ θεασάμενος τοὐναντίον ἡδονῆς τισι καὶ εὐφροσύναις ἐνέτυχε· τὴν δὲ τούτων αἰτίαν ἐν ἄλλοις δηλώσομεν.

*Εἰδωλοποιεῖν.* Τοῦτ' ἔστιν, εἰς ματαίας διανοίας ἀσχολεῖν ἀναπλάσματα.

*Ἐκλείψει.* Ὅτι.

*Ἀναλημβάνει.* Τὴν ψυχήν.

*Αἰσθήσεως.* Ἀπὸ τῶν διὰ τῶν αἰσθητηρίων εἰσαγομένων.

*Αὐτεπίταχτος.* Οἰκοθεν ἡ φανταστικὴ φύσις.

*Προβάλληται.* Δείξῃ.

*Ἐνέχειρον.* Ἤπερ ἀῤῥαβῶνα.

*Μείζοσι.* Ἢ ὡς τιμαῖς, ἀξιώμασι, πλούτῳ, σοφίᾳ.

*Προὔτεινεν.* Προέδειξεν.

*Πρὸ τῶν.* Πρὸ τοῦ ἐλπιζομένου πράγματος.

*Ἐπισταμένως.* Νουνεχῶς καὶ μετ' ἐπιστήμης τινός.

Pag. 147. *Τῷ πάλαι.* Διὰ τὸ προλαβεῖν καὶ σκέψασθαι.

*Ὡς προσηκόντων.* Ἁρμοζόντων.

*Ἣν ὑμνησε.* Τὴν ἐλπίδα ἣν ἐπῆνεσε.

*Εὐδαίμονος.* Πλουσίου καὶ δικαίου.

*Ὅτι ἄρα.* Τούτῳ τῷ Πινδαρικῷ καὶ Πλάτων ἐχρήσατο ἐν ταῖς Πολιτείαις, ἀλλ' οὐ πρὸς τὸν αὐτὸν ἀντικρυς τῷ Συνεσίῳ βλέπων σκοπόν. Ὁ μὲν γὰρ περὶ ὅσα ὁ πλοῦτος ὠφέλιμος διεξιὼν, ἐχρήσατο τούτῳ· ὁ δὲ περὶ ὅσα ἡ καθ' ὕπνους μαντική. Φησὶ γὰρ ἐκεῖνος ἐν τῷ πρώτῳ λόγῳ τῶν Πολιτικῶν, *ὅτι ὁ ἑαυτῷ συνειδὼς ἐν τῷ βίῳ πολλὰ ἁμαρτήματα, καὶ ἐκ τῶν ὕπνων, ὥσπερ οἱ παῖδες, θαμὰ ἐγειρόμενος δειμαίνει καὶ ζῇ μετὰ κακῆς ἐλπίδος· τῷ δὲ μηδὲν ἑαυτῷ ἄδικον συνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι καὶ ἀγαθὴ γηροτρόφος, ὡς καὶ Πίνδαρος λέγει, ὅτι ὃς ἂν δικαίως καὶ ὁσίως τὸν βίον διαγάγοι, γλυκεῖα καρδίαν ἀτάλλουσα γηροτρόφος*, καὶ τὰ ἑξῆς. Ἔπειτα ἀπιέναι κἀκεῖσε, φησὶν, ἐς ᾅδου δηλαδὴ, δεδιότα, μέγα μέρος εἰς τοῦτο ἡ τῶν χρημάτων κτῆσις συμβάλλεται.

---

exiles, angustas et particulatim collocatas, alias aliter vagantes, aut turbam aut gaudium adducentes. Oraculum, quando angelus, vel sacerdos, aut pater, vel quidpiam sanctimoniam et gravitatem præ se ferens aspectui subjectum verbis compellat, quo ab his veluti periculum aut molestiam allaturis sibi temperet ac abstineat, illa autem ex opposito faciat, quasi multa commoda advehere debeant. Visio, quando quod quis postridie visurus est propter exspectationem, præoccupans istud ipsum simili et immutabili modo videt. Somnium vero, quando obscure, ænigmatice et umbrose alia pro aliis cernimus, idola quædam et simulacra rerum eventurarum conjectu difficilia, et copiosa quisquiliarum farragine obtecta, quæ non parva indigent arte experientiaque, ut dignoscatur prænuntiata ab ipsis expositio. Haud quippe opus est alio præceptore ad ea explicanda, sed fas est seipsum sibimetipsi magistrum ac moderatorem esse, consuetudine naturalis privatæque suæ vitæ institutionis veluti deductrice utendo. Nam hic inter somniandum vidit se vinum bibere, postridie in quasdam res infestas et acerbas incidit: ille vero qui neque istud observaverit, contra voluptatibus quibusdam et oblectamentis sit obvius. Sed harum rerum causam alibi declarabimus.

*Simulacra fingere.* Hoc est, in ineptis sensibus occupare ea quæ commenti et imaginati sumus.

*Revocat.* Animum.

*A molestia sensuum.* Ab his quæ per sentiendi organa adducuntur.

*Suo jure.* Domo, scilicet imaginatrix natura.

*Pignus.* Nempe arrhabonem.

*Rerum majorum.* Ut honorum, auctoritatis, divitiarum et sapientiæ.

*Proposuit.* Prius demonstravit.

*Ante factum.* Ante speratum opus.

*Sapientem usum.* Cordate et cum quadam scientia.

*Antea.* Eo quod præoccupaverit et consideraverit.

*Pertinentibus.* Congruis et idoneis.

*In cœlum evexit.* Spem quam laudavit.

*Beato.* Divite ac justo.

*Quod utique.* Hoc Pindari dicto etiam usus est Plato in lib. *De repub.*, sed non ad eum scopum plane cum Synesio respiciens. Ille enim edisserens de his in quibus dives aliis adjumentum adfert, eo usus est: hic vero in quibuscunque versatur divinatio somniorum. Ait enim ipse in primo *Politicorum* libro, *quod in vita multorum peccatorum sibi conscius, etiam e somniis, quemadmodum pueri frequenter expergefactus terreatur, et vivat cum mala spe: sed sibi compertum habenti nihil se injuste fecisse, jucundam spem semper adesse, quæ senectutis nutrix est optima, ut et Pindarus dicit, quod qui sancte justeque vitam traduxerit, dulcis spes cor auxens senectutis altrix, etc.* Deinceps timentem illuc proficisci, ait, videlicet ad inferos: magnam partem ad id pecuniarum possessio confert.

Ἄρα αὐτῷ. Ζητεῖ ἐν τοῖς ἀγῶσι τῶν νεκρῶν ἐλπίς.

Ἀτάλλουσα. Αὔξουσα.

Κουροτρόφος. Γρ. γηροτρόφος.

Συναορεῖ. Συζεύγνυται, συνακολουθεῖ.

Ἃ μάλιστα. Ἅτις.

Ἦν ἡμεῖς. Ἦν μικρῷ πρόσθεν εἰδωλοποιεῖσθαι ὑφ' ἡμῶν εἴρηκεν.

Τοῦτο μικροῦ. Μικροῦ μέρος φησὶ τῶν ἐνυπνίων τὸ προτείνειν ἐλπίδα δόξης ἢ πλούτου, καὶ ὅσα ἐρῶσιν οἱ φιλόσαρκοι· τὸ δὲ μεῖζον μέρος ἐστὶν ἡ διὰ τῶν ὀνείρων μαντικὴν μελλόντων πρόγνωσιν κερδαίνουσα.

Φαυλοτέρου. Τοῦ ψευδοῦς.

Γένους. Εἴδους.

Δυκεῖν. Τὴν ἐλπίδα.

Διττὰς ὑποτίθεται. Διττοὺς οἶδεν Ὅμηρος ὀνείρους, οὐρανίους καὶ χθονίους. Κέρασιν οὖν ἀπεικάζει τοὺς οὐρανίους ὀνείρους, τῷ τὰ κέρατα εἰς ὕψος ἔχειν καὶ ἀνατείνειν, ἢ καὶ τῷ ἀγχιστεύειν τῷ ἡγεμονικῷ, οὓς καὶ ἀληθεύειν φησίν· ὀδοῦσιν ἐλέφαντος δὲ τοὺς χθονίους, ὅτι οἱ ὀδόντες αὐτοῦ τῇ πλησμονῇ τῆς γαστρὸς ὑπηρετοῦσιν· ὅπερ ὡς γεώδες καὶ ὑλικὸν εἰς συγχύσεως καὶ ψεύδους δίλωσιν παρελείφθη· καὶ ἄλλως δὲ τὸ κέρας λεπτυνόμενον διαφανὲς γίνεται, ὡς καὶ εἰς ἔσοπτρα συντελεῖν· οἱ δὲ τοῦ ἐλέφαντος ὀδόντες οὐδαμῶς· ὡς εἶναι κἀκ τούτου δικαιότερον εἰς ἀληθείας ἔνδειξιν τὸ κέρας παραλαμβάνεσθαι.

Εἰ γάρ. Εἰ γὰρ ἦν σοφὴ περὶ τὴν τῶν ὀνείρων κρίσιν, ἐγίνωσκεν ἂν ὅτι πάντες οἱ ὀνειρώττοντες ἔχουσιν ἀληθεύειν, ἡ δὲ ἀνθρωπίνη ἄγνοια παρακρίνουσα ψευδεῖς αὐτοὺς ἔσθ' ὅτε λογίζεται εἶναι.

Πάντας. Πάντας ἂν ὡς ἀληθεῖς διὰ τῶν κερατίνων πυλῶν, καὶ οὐχ ὡς ψευδεῖς τινας διὰ τῶν ἐλεφαντίνων διεβίβαζεν.

Πεποίηται. Ὑπὸ Ὁμήρου ἐν Ὀδυσσείᾳ ταῦτα.

Χῆνες μέν. Ταῦτα διέξεισιν Ὅμηρος ἐν τῷ ιθ' γράμματι τῆς Ὀδυσσείας· ἔχει δὲ οὕτως· Ἐλθὼν ὁ Ὀδυσσεὺς ἐν τῷ οἴκῳ μετὰ τὴν πολλὴν ἐκείνην πλάνην, ὡμίλει μὲν τοῖς ἐν οἴκῳ θεράπουσι καὶ θεραπαινίσιν· ὡμίλει δὲ καὶ τῇ Πηνελόπῃ, πλὴν ὡς ξένος καὶ ἄγνωστος. Μεταξὺ τοίνυν τῶν ὁμιλιῶν ἐκείνων διεξιοῦσα πρὸς τὸν Ὀδυσσέα τὰς ἰδίας λύπας, ὅτι νυκτὸς καὶ ἡμέρας ταῖς ἀμετρήτοις λύπαις ἕνεκα τοῦ ἀνδρὸς τήκεται, ὀδυρομένη γοᾶταί τε, καὶ τάδε φησίν·

Ἀλλ' ἄγε μοι τὸν ὄνειρον ὑπόκριναι, καὶ ἄκουσον·
Χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσιν
Verum postquam mihi consuetudinis tuæ periculum facere licuit, nativamque ingenii tui facultatem experiri, expeditissimamque illam linguæ promptitudinem, scientiæ cultura haud multum indigentem: non amplius eadem, ut prius, pervicacia sententiæ meæ inhærebam, neque rem naturæ fines excedentem arbitrabar; sed inhibito navigii cursu, jam pauxillum de hac mente deponebam relaxabamque, simul vero etiam, ut par est, ipsam rerum naturam ratione pervestigare conabar, dixique, cum aqua, e nubibus ad terræ humectationem defluens, ex aquis marinis ac fluvialibus consistat, profecto etiam fluvium solum absque nubibus terram humectare posse, quemadmodum Nilum audimus haustis e terræ visceribus undis pluviæ vicem subire, omnemque Ægyptum irrigare. Quæ cum ita sint, multo magis tale quid de homine statuere licebit, si quis secum reputet, animam rationalem ex natura quidem sua prævia omnium scientiarum notitia imbutam esse, propter corporis vero gravitatem perturbari, hincque necessitatem oriri, ut extrinsecus per disciplinam, quasi applicita morbi medela, reminiscentiæ excitentur, eo tamen ordine, ut hæc necessitas non pari modo se ad omnes extendat. Consentaneum quippe est, cum animas inter ac corpora æque magnum reperietur discrimen, ut nobiliores animæ cum sincerioribus corporibus concurrant ac coagmententur, sicque ab origine sua facultate gaudeant, nullo negotio absque externis disciplinis in plenam rerum omnium notitiam pervadendi.

Multiplici igitur ex capite maximas tibi gratias debeo, quod videlicet me primum diuturna dubitatione liberaris præclaro ac magnifico ingenio tuo, e quo prudentissima veluti scaturiunt consilia, quodque dein benevolentiam illam minime fucatam, quam nobis exhibere cœpisti, pari modo de die in diem continues, maxime autem, quod illustris lingua tua largas adeo in me laudes effundat. Censeo vero, etiam Phrygium illum sapientem, et quotquot alios eidem similes tempus protulit, magnas (si quis illis sensus) naturæ tuæ gratias debere, per quam mira de ipsis tradita jam astruuntur, atque confessa et extra omne dubium collocata reddantur.

λητὰς γεγονότας, ἀλλὰ ξένῃ φύσεως ἀνὴρ ἐκεῖνος δυνάμει χρησάμενος τέρας ἔδοξε τοῖς ἔπειτα σοφοῖς οὐ μικρὸν, ἐμοὶ δὲ καὶ μῦθος ἄλλως ἀττιζόντων ἀκούοντι κατεφαίνετο πρότερον καὶ πλάσμα πίστεως ἁπάσης ὑπερόριον, ἐπ' ἄλλοις καὶ τοῦτο προτέροις οἷα πολλὰ τὰ Ἑλλήνων ξυμβάλλοντι.

Ἀφ' οὗ δὲ τῆς σῆς ὁμιλίας εἰς πεῖραν εἶναι ξυνεπεπτώκει μοι, καὶ τὴν αὐτοφυῆ ξυνιέναι τῆς διανοίας παρασκευὴν καὶ τὴν οὐ μάλα πολλῆς δεηθεῖσαν ἐπιστημονικῆς γεωργίας ἀρίστην τῆς γλώττης περιβολὴν, οὐκ ἔθ' ὡς πρότερον ἐναντιούμενος τοῦ δόγματος εἰχόμην, οὐδὲ τῶν φύσεως ὅρους παρώντων ἔν τι τὸ πρᾶγμα ἐνόμιζον, ἀλλὰ πρύμναν κρουσάμενος ἀφῆρουν ἤδη τι τοῦτο νοῦ καὶ παρέλυον, ἅμα δὲ καὶ λόγῳ βασανίζειν ἐπεχείρουν τὴν τῶν ὄντων φύσιν, ὡς εἰκὸς καὶ ἔλεγον, ὡς ἅρ' ἐπειδὴ τὸ διὰ νεφῶν καταῤῥέον ὕδωρ ἐς τὴν ἀρδείαν τῆς γῆς ἔκ τε θαλαττίων καὶ ποταμίων ὑδάτων ἐστίν· εἰκὸς δήπου καὶ ποταμὸν ὅλον νεφῶν ἄρδειν δύνασθαι γῆν, καθάπερ Νεῖλον ἀκούομεν ἐκ γῆς ὑπιέντα καὶ ὅλην τὴν Αἴγυπτον ἄρδοντα. Εἰ δὲ τοῦθ' οὕτω, πολλῷ γε δήπου μᾶλλον ἐπ' ἀνθρώπου δέξαιτ' ἂν τι τοιοῦτον, εἴ τις συλλογίσαιτο, τὴν τῆς νοερᾶς ψυχῆς φύσιν προειδέναι μὲν τὰς ἐπιστήμας, διὰ δὲ τὴν τοῦ σώματος συνθλοῦσθαι ἐμβρίθειαν, κἀντεῦθεν ἀναμνήσεις γίνεσθαι τὰς θύραθεν αὐτῇ μαθήσει, ὥσπερ ἐπιγενομένου νοσήματος φαρμάκου, οὐ μὴν ἐνάπασιν, ὡς γ' ἔοικεν. Εἰκὸς γὰρ καὶ ψυχῶν πρὸς ψυχὰς οὐσίας διαφορᾶς καὶ σωμάτων, πρὸς σώματα, ξυνδραμεῖν καὶ συνεζεῦχθαι δήπου καὶ γενναιοτέραν ψυχὴν εἰλικρινεστέρῳ ποτὲ σώματι, κἀντεῦθεν ὁλοθεν ἔχειν ἀπόνως χωρεῖν ἐς τὴν τῶν ὄντων περίνοιαν ὅλα τῶν θύραθεν μαθημάτων.

Διὰ δὴ ταῦτα πάντα παντοδαπὰς ὁμολογεῖν σοι τὰς χάριτας ὀφειλέτης εἰμὶ, ὅτι τε μακρᾶς ἀπορίας ἔχεις ἀπαλλάξας ἐμὲ δηλαδὴ τῇ γενναίᾳ καὶ μεγαλοφυεῖ διανοίᾳ σου, ἐξ ἧς εἰπεῖν τὰ κεδνὰ βλαστάνει βουλεύματα καὶ ὅτι πάνυ τοι σφόδρα γνησίως διατεθεὶς σεαυτὸν ἐφ' ἡμᾶς, οὐ διαλείπεις τὸν ὅμοιον τρόπον ἐς τὰ πρόσω τῷ χρόνῳ προβαίνειν, πάνυ δὲ καὶ τῶν ἐπαίνων ἕνεκεν, οὓς πλουσίους ἡμῖν ἡ λαμπρά σου χαρίζεται γλῶττα. Ἐγὼ δὲ καὶ τὸν Φρύγιον ἐκεῖνον σοφὸν ἀποφαίνομαι καὶ εἴ τινες κατ' ἐκεῖνον ὁ χρόνος ἑτέρους προήνεγκε, μεγάλης (εἴ τις αἴσθησις) ὁμολογεῖν σου τῇ φύσει τὰς χάριτας, δι' ἧς τὸ αὐτῶν βεβαιώσαντες θαῦμα ὁμογαύμενον ἡμῖν παρέδοσαν ἤδη καὶ ἀναμφίβολον.

## II. *Zaridæ.*

## Β'. Τῷ *Ζαρίδῃ.*

(*Notices et Extraits des mss.*, tom. XII, parte II, p. 22.)

Proverbium dicens,

Quod amici loco remoto viventes jam non sunt amici, inde a longo tempore aures meas obstrepuerat, fidem et mentem meam lacessendo, ita quidem ut nunquam ex animo ac cogitationibus plane ex-

Τὴν μὲν παροιμίαν,

Τηλοῦ φίλοι ναίοντες οὐκ εἰσὶν φίλοι, φάσκουσα, ταῖς ἐμαῖς πάλαι πολὺν ἤδη χρόνον ἠνώχλησεν ἀκοαῖς πίστεως ἀπαιτοῦσα ἐχέγγυα, καί τινα πειθὼ προβαλλομένη εὐπρόσωπον ἐς τὸ παρίμεινε τοὺς

ἐμοὺς λογισμοὺς ἐπιβοσκομένη, καὶ πρὸς ἐμφύλιον αὐτοὺς, ὡς εἰπεῖν, διεγείρουσα πόλεμον. Πρὸς γὰρ τὴν ἐμαυτοῦ γνώμην ἀποβλέποντα οὐδεὶς ἦν ὃς ἔπειθέ με τρόπος ὤνιον ἀκολάστου πίστεως προσίεσθαι ταυτηνί, τρόπῳ γὰρ, οὐ τόπῳ, τὰ τῆς φιλίας ὅρμην μετρεῖσθαι· πρὸς δ' αὖ τὰς τῶν ἄλλων, οὐδεὶς ἦν ὅστις οὔ. Καὶ ἦν τέως ἰσόρροπα τὰ τῶν λογισμῶν ἐμὶν τάλαντα. Νυνὶ δ' ἐκνενίκηκε καὶ περιφανὲς ἡ παροιμία ἔστησε τρόπαιον, ὅλας ῥοπὰς εἰς αὐτὴν ξυνωθήσαντός σου. Πόλλὰ γὰρ αὐτὸς ἡμέτερα δεξάμενος γράμματα, σοῖς οὐδ' ὀλίγοις ἡμείψω· ὥστε σοι σκεπτέον ἔστιν ὁπόσον λύπης πέφυκε μὴ φίλον εἶναί σε τοῖς φίλοις. Ἀλλ' ἔρρωσο, καὶ τοὺς σοὺς μὴ πάνυ τοι πρόχειρος ἐσὸ φίλους ἐθέλειν λυπεῖν. A cesserit. Et sane pro indole mea nemo unquam mihi persuasit ut fidem moribus minus integris adhiberem, memori quod amicitia e moribus neque vero e locorum conditionibus dijudicari debet. Et sic quidem sententia mea non satis firma nunc demum mihi proverbii illius constantem ostendit veritatem. Tu enim ipse hujus rei testimonium affers : sæpe enim epistolas mea manu ad te scriptas accepisti, nec ipse ullas tuas ad me dedisti. Cogita quæso quantum doloris patiar videndo quod amicus cum sim, amicos non habeam. Attamen vale, et noli amicorum animam postmodum affligere.

Sequentes epistolas edidit Boissonadius in *Anecdotis*, tom. III, p. 187, ex codice Regio 2991 A.

### Γ'. *Τῷ μεγάλῳ δομεστίκῳ.*

Κῦρος ὁ τῶν Περσῶν βασιλεὺς (1), οὗς ἐν τοῖς μάλιστα τῶν ἑταίρων ἐτίμα, παρὰ τὴν ἀριστερὰν ἐν τοῖς δείπνοις ἐκάθιζε χεῖρα, φύλακας ἑαυτῷ τοῦ ἀσθενεστέρου ποιούμενος μέρους (2). Σὺ δὲ πάντας μὲν ὁπόσοι τῆς σῆς ἐπικουρίας πεφύκασι χρῄζοντες, τούτους δ' αὐτὸς ὑπὸ τὴν τῆς σῆς δεξιᾶς καθίζεις λιμένα, ἵνα μᾶλλον ἐκεῖνοι φυλάττοιντο· τὴν δ' ἀριστερὰν οὐδ' ἐπιγινώσκειν τὰς τοιαύτας τῆς δεξιᾶς ἀξιοῖς αὐτοῖας (3). Κἀκεῖνος μὲν ἐν μόνοις γε τοῖς δείπνοις, σὺ δ' ἐν ἅπαντι τῷ χρόνῳ λέληθας δειπνίζων ἅπαντας. Καὶ οὔτε νύκτες κοιμίζειν σου τὰς τοιαύτας ἰσχύουσιν αὐτοίας, οὔθ' ἡμέραι περισπᾶν καὶ ἀνθέλκειν ἐκ τοιαύτης γαλήνης εἰς πολλὴν θορύβων πολισικῶν· ἀλλ' ἐν ἁρμοστοῦσῃ τῇ χώρᾳ μένειν ἑκάτερα δίδως μετά τινος ἡκριβωμένης τῆς πλάστιγγος· τοῦ γὰρ χρόνου διαδοχαῖς ἡμερῶν καὶ νυκτῶν παρατρέχοντος, σὺ καὶ τοῦ χρόνου βεβαιότερα κέκτησαι τἀγαθά. Σὺ μὲν γὰρ τοὺς αὐρίπους ἐλέγχεις ἐκείνου τῇ μονίμῳ τῶν ἔργων χρηστότητι· ἐλέγξαι δ' ἐκεῖνος τὴν σὴν δεξιὰν οὐ δεδύνηται μέχρι καὶ τήμερον.

Ἐπεὶ δ' οὐ μονοειδές σου τῶν ἀγαθῶν τὸ γεώργιον, ἀλλὰ πολύχουν ὁμοῦ καὶ ποικίλον ἐκ τῶν πλουσίων ἐγκάτων τῆς γνώμης ἀνέρχεται, ἥκομέν σοι καὶ τήμερον παράκλησιν ταύτην ὑπὲρ τοῦ σοῦ (4) προσάγοντες, οὗ πολλάκις προστάτης ἐγένου καὶ μεγίστων παροχεὺς ἀγαθῶν. Φάνηθι τοίνυν αὐτῷ κινδυνεύοντι θαρσῶν προμηθεύς, καὶ νῦν μᾶλλον ἢ πρότερον δεομένῳ τῆς σῆς ἱερᾶς καὶ βεβαιοτάτης ἀγκύρας (5), ναὶ πρὸς Θεοῦ, καὶ τῆς συνήθους σοι μεγαλοψυχίας, θειότατε ἄνθρωπε καὶ πάντων ἀγαθῶν ἀνθρώπων ἀντάξιε.

(1) In Boiviniano epistolarum Gregorse catalogo recensita est Μεγάλῳ Δομεστίκῳ inscripta, cujus initium, Κῦρος ἐκεῖνος ὁ Καμβύσου.

(2) Videatur Xenoph. *Cyrop.* VIII, 4, 3.

(3) Præceptum est Christi ap. Matth. VI, 3 : Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου.

(4) Sic codex, omisso forsan proprio hominis nomine, qui commendatur.

### Δ'. *Τῷ αὐτῷ.*

Ἐμοὶ (6) δ' ἐκ τῶν τοῦ σοφοῦ Σολομῶντος Ἀσμάτων δανεισαμένῳ τὰ τῇ παρούσῃ χρείᾳ πρόσφορα λέγειν ἔπεισι πρὸς σὲ τὸν τῆς ἡμετέρας δημιουργὸν εὐφροσύνης· « Νῦν (7) ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς ἀπῆλθε, τὰ ἄνθη ὤφθη, φωνὴ τρυγόνος ἐν τῇ γῇ ἡμῶν. » Ὅθεν καὶ φροῦδα γέγονε τὰ σκυθρωπὰ καὶ ἡδονῆς ὁρᾶται τὰ πάντα μεστά, καὶ χάρις Θεῷ τῷ ταύτην χαρισαμένῳ τὴν εὐφροσύνην ἡμῖν. Δεῖ δὲ καὶ τοὺς ἐν εἰρκτῇ καὶ δεσμοῖς τῆς τοιαύτης αἰσθέσθαι χαρᾶς καὶ λαμπρότητος, ὥσπερ ἐξ ᾅδου μυχῶν ἀναστάντας, καὶ ὄψιν ἐλευθέραν ἀφέντας πρὸς σὲ τὸν τοῦ παρόντος δημιουργὸν καρπὸς ἥλιον. Ἔστω δὲ τοῦτο ῥᾷστα δι' ἑνὸς τετελεσμένον τοῦ ταλαιπώρου, ὃς, τῇ σκληρότητι πρωσταλλωθεὶς τῶν δεσμῶν, πρὸς βίαιον κατενηνέχθαι βιάζεται θάνατον· ἀλλά, πρὶν αὐτὸν τοῦτο παθεῖν, βλέψον, καὶ πρὸς αὐτὸν συμπαθῶς ἡ φύσει φιλεύσπλαγχνος φύσις. Εἴ τι γὰρ πλημμελές τε καὶ κίβδηλον ὑπῆρχε δήπου γε τὰν ὅρκῳ, ἅπαν μακρὰν ὁ μακρὸς τῆς κακώσεως ἀπήλασε χρόνος.

### Ε'. *Τῷ Καρθοπούλῳ* (8)

Ὁ παῖς ἐμὸς, τὸ τῆς χρείας, ὀλίγου δέω λέγειν, ἀπαραίτητον· ἡ δὲ σὴ μεγαλόνοια, φίλος ἐμοὶ πατρῷος. Τὸ δὲ κεῖσθαι κοινὰ τὰ τῶν φίλων ἥ τε παροιμία θεμιστεύει, καὶ οἱ τῆς φιλαλληλίας ἐπιστηρίζουσι λόγοι· δίδου τοίνυν ὃ βουλόμεθα, καὶ ὃ δυνάμεθα μὴ κατόκνει ζητεῖν.

### Ϛ'. *Τῷ φιλοσοφωτάτῳ Ἰωσήφ.*

Εἰ μὲν γράφοντας ἡμᾶς τοῖς φίλοις ἐπαινεῖς, μιμεῖσθαι χρή· εἰ δ' οὐκ ἐπαινεῖς, γράφειν χρὴ καὶ παραινεῖν ὡς ἂρ' οὐ χρή.

(5) Alludit ad notum proverbium de anchora sacra : Ταύτην, ut est in Appendice Vaticana II, 18, εἰς τὴν θάλατταν ῥίπτουσιν, ὅτε μέγιστος χειμὼν καταλάβῃ καὶ τελευταῖος· rescr. ὅταν, et forsan τελεσταίαν.

(6) Deest hæc epistola in Boiviniano catalogo.

(7) Cant. cant. II, 11, 12.

(8) Hæc epistola abest catalogo Boiviniano, ut et sequens.

### Ζ'. *Τῷ πατριάρχῃ* (1).

Πιττακὸς μὲν ἐκεῖνος ὁ Λέσβιος ἔν τι τῶν ἀνεφίκτων εἶναι ἐνόμιζεν ἄνθρωπον εὑρεῖν ἀγαθὸν (2), κἂν πάνυ ζητοίη τις· Περιάνδρῳ δὲ τῷ Κορινθίῳ, δυσχεροῦς τινος εἶναι δοκοῦντος ἐπιτυγχάνειν ὧν ἄν τις ἐπιθυμῇ, δυσχερίστερον ἐδόκει πολλῷ εὑρεῖν ὃς ἂν ὧν προσήκει ἐπιθυμῇ. Ἀλλ' (οἰχέσθω φθόνος) ῥᾴδια ταῦτα γινόμενα βλέπομεν σήμερον, τὰ μὲν σοί, τὰ δ' ἐμοὶ διὰ σέ, ὡς εἶναι τὰ πάντα σά. Σὺ γὰρ ἀγαθὸς ἀνήρ, εἴπερ τις ἀνθρώπων· ἓν δὴ τοῦτο σὸν ἀγαθόν· δεύτερον δ' ὅτι καὶ ἀγαθὸς ἐμοί, εἴπερ τῳ τῶν πάντων ἀνθρώπων, τοῦτο κοινὸν ἀμφοῖν, σοῦ μὲν διδόντος, ἐμοῦ δὲ κληρουμένου. Τῆς δ' ἑτέρας συζυγίας θάτερον μὲν ἐμοὶ μόνῳ καθήκει, πῶς μὲν διὰ σέ, πῶς δὲ διὰ σοῦ, λέγω δὴ τὸ τυγχάνειν ὧν ἐφίεμαι· τὸ δ' ἐπιθυμεῖν ὧν δεῖ, τοῦτο δὲ σοὶ τῶν πάντων μόνῳ πρόσεστιν ἀνθρώπων· ὡς γὰρ ἀνθρώποις ἅπασι τοῦ πνεῖν (3), οὕτως ἔφεσις σοὶ πάντας εὖ ποιεῖν, ὡς ἂν εἰ, μὴ διὰ σαυτὸν, ἀλλὰ δι' ἄλλους, ἐς τὸν βίον παρῆχθης. Ἐπεὶ δὲ καὶ τήμερον, τὰ τῆς σῆς φύσεως δόγματα πράττων, αὐτὸς εὖ ἡμᾶς πεποίηκας τῇ ὑμῶν τἀσφαλὲς πορισάμενος βίβλῳ, πέμπε πρὸς ἡμᾶς αὖθις αὐτὴν, ἵν' εἰς τὸ ἐξῆς ἐπιόντες, νῦν μὲν ἡμεῖς, νῦν δ' ὁπόσοι τῶν φίλων, πολλοὺς σοι τοὺς τῶν ἐγκωμίων ἀποδώσομεν κρότους.

### Η'.

Ἡ μὲν παροιμία χαλεπὸν (4) χοιρείου κύνα γεῦσαί (5) φησι, μηδὲ γὰρ ἂν ἔχειν ὅπως ἀταλαίπωρος τῆς ζητήσεως παύσαιτο ἐφεξῆς· χαλεπώτερον δ' ἐμοιγε φαίνεται παύσασθαι, εἴ τις τοῦ σοῦ γεύσαιτο μέλιτος· ὀρᾷς γὰρ τοὺς αὐσους ἐγκειμένους αὖθις καὶ μάλα αὖθις, καὶ τῆς συνήθους παρὰ σοῦ δεομένους ἐπικουρίας, καθάπερ ἐπὶ νηὸς ἀσφαλοῦς τῆς βεβαίας ὀχουμένους ἐλπίδος. Σὺ δὲ μὴ λήγοις, ὦ βέλτιστε, αὐτός τε πράττων εὖ καὶ τὴν συνήθη τοῖς δεομένοις παρέχων βοήθειαν.

### Θ'.

Τὸν Κῦρόν φασιν ἐκεῖνον τὸν Μέγαν, μετὰ Μήδους καὶ Ἀσσυρίους καὶ Βαβυλῶνος τρόπαια, ἐπεὶ, καὶ ποταμὸν διαβὰς τὸν Εὐφράτην, ὅπλων Περσικῶν τὴν ἄχρι θαλάττης Ἀσίαν ὑπήκοον ἐπεπράχει, τότε τοίνυν φασὶν ἐκεῖνον μείζω τὴν ἡδονὴν τῇ ἑαυτοῦ παρεμπέπειν ψυχῇ, εἴ τις οἱανδήτινα χάριν ᾔτησε παρ' αὐτοῦ, ἢ εἴ τις αὐτῷ τὴν ὅλην Ἀσίαν ἐργυρολογικῶς ἐκεκομίκει. Οὕτω γὰρ αἱ μεγάλαι καὶ φιλότιμοι κρίνειν ἴσασι φύσεις, ὅτι τὸ μὲν οὐχ ὅπως συνέσεως καὶ στρατηγικῆς ἕξεως, ἀλλὰ καὶ ψυχῆς εὐγενοῦς ἀπαλλάξαντος λείπεται δεῖγμα καὶ ῥέον διὰ παντὸς τοῦ αἰῶνος ἐγκώμιον, τὸ δ' ἐξ ἡμισείας φιλοτιμεῖσθαι ταῖς ἔχουσι δίδωσιν, ὥσπερ ὧλου σώματος ἁρμονίαν κατακερματίζον καὶ ἀφαιρούμενον τὰ βελτίω. Καὶ σὲ δὴ νῦν αὐθὶς εὑρηκὼς, ἄριστε, πολλῶν χαρίτων θάλαμον, καὶ μηδὲν μήτε τῆς ἔξωθεν εὐγενείας λειπόμενον ὁπόσα προσῆκε μεγάλως εὐτυχοῦσι κατὰ τὸν βίον ἀνδράσιν, ἀλλὰ καὶ βαθεῖαν αὖλακα διὰ φρενὸς καρπούμενον, ἐξ ἧς ἀκραιφνεῖς βλαστάνουσι γνῶμαι καὶ νόμιμοι δίκαι (6), τῆς σῆς ἐπικουρίας δεόμενον σὺν μεγάλῳ τῷ θάρρει προσάγω σοι τουτονὶ, ἔργοις καὶ τρόποις χρηστοῖς τὸν βάσκανον καθ' ἑαυτοῦ κινήσαντα δαίμονα· χάριτας γὰρ ὀφείλων λαμβάνειν, παρ' ὧν εὖ πεποίηκεν, ὁ δ' (7) ἐπιπλήξεις καὶ λύπας κομίζεται. Καὶ ῥᾴδια μὲν οἶδ' ὅτι καὶ μικρὰ τὰ τῆς λύσεως φανεῖταί σοι βουληθέντι, πολλοῦ δὲ τοῦ βάρους ἀπαλλάξεις τουτονὶ τὸν ταλαίπωρον καὶ τῆς λύπης. Καὶ μέντοι καὶ λαμπρούς ἐντεῦθεν κερδήσεις (8) καὶ τοὺς θεόθεν μισθούς.

Καί μοι μὴ μέμφου, μικρὰν ἐκ πρώτης, ὃ φασι, γραμμῆς προσάγοντά σοι τὴν ζήτησιν καὶ ἧκιστ' ἀξίαν τοῦ σοῦ μεγέθους· ἐμοὶ γὰρ οὐ μικρὸν ἐφόδιον ἐλπίδος ἔσται τουτὶ ἐς τὸ καὶ μείζω θελήσαντι κατορθοῦν ἐν τοῖς ἐξῆς, τὸ δέ γε πλέον, καὶ ἐς τὸ τὴν τῶν πλείστων ὑπόληψιν βεβαιοῦν, ὅσοι νενομίκασι παρὰ σοὶ μὲ τὰ μέγιστα δύνασθαι.

### Ρ'. *Τῷ μεγάλῳ οἰκονόμῳ τῷ Βέκῳ.*

Λόγος τοὺς Πυθαγορείους οὕτω τοι θεῖα, καὶ βεβαιότερα ἢ τὰ ἐκ Δωδώνης θεσπίσματα, οἶσθα τὰ τοῦ Πυθαγόρου δόγματα, ὡς ἐν πέντε ὅλοις σιωπῶντας ἔτεσιν ἀκροᾶσθαι οἱ τῶν λεγομένων, οὐτ' ἀμφιβάλλουσαν ἀκοὴν, οὔτε γλῶτταν προλεμένους ἀντίφωνον. Καὶ αὐτὸς δ' οὖν ἔγωγε ἐμαυτὸν ἄγλωττον μὲν, πανήκοον δέ σοι καθίστημι σήμερον, εἴπερ ὄῆτα καὶ σαυτὸν αὐτὸς κριτὴν ἐθέλοις λόγων τῶν ἐμῶν χειροτονεῖν. Κἂν δὴ σκώπτουσαν ἐπενέγκῃς μοι γλῶτταν, κἂν μή, στήσομαι πρὸς ἑκάτερον, μᾶλλα τοι πρόθυμον οὖς σοι ὑπέχων. Καὶ κρεῖττον ἐμοιγε τὸ σοῦ φανεῖται ψήφισμα, ἢ τοῖς Πυθαγορείοις ἐκείνοις τὰ τοῦ Πυθαγόρου δόγματα, εἰ καὶ βούλει, καὶ τῶν ἐκ τοῦ Δελφικοῦ τρίποδος χρησμῶν ἀσφαλέστερα· οὕτω τοι θεῖος ἐμοὶ καὶ αἰδέσιμος· ὃ καὶ κράτιστος ἐν ἅπασι καὶ σοφὸς ὑπὲρ τοὺς ἄλλους, καὶ κριτὴς ὑπὲρ τοῦ Μίνω. Εἰ δὲ καὶ τὴν ὑπεσχημένην βίβλον ἡμῖν πρὸς . . . . . .

. . . . . .

(1) Non exstat hæc epistola in catalogo Bolvinniano. Patriarcha ille est, puto, Joannes Glycys.

(2) Respicere videtur Pittaci dictum, χαλεπὸν ἐσθλὸν ἔμμεναι. Vid. Davisius ad Maxim. Tyr. I, 1, etc.

(3) Plato Epist. 9 : Κἀκεῖνο δεῖ σε ἐνθυμεῖσθαι, ὅτι ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνον γέγονεν. Gregorius Naz. Orat. XXIII, p. 412 : Οὐδὲ γὰρ ἑαυτῷ γεγενῆσθαι μόνον ἕκαστον ἡμῶν, ἀλλὰ καὶ πᾶσιν. Confer. Elmsleyus ad Euripidis Heracl. 2, ubi et Barnes.

(4) Est hæc epistola in codice Veneto, saltem si ex primis quatuor vocibus fiat judicium. Vide Zanetti Catalogum p. 231.

(5) Theocritus X, II, χαλεπὸν χοιρίῳ κύνα γεῦσαι. Vide Erasmum Adag. II, 4, 23; Schott. ad Suidam Adag. XIV, 52.

(6) Ex Æschylo.

(7) Codex, ὃ δ'. In codicibus sæpissime δὲ pro enclitica a librariis est habita. Hinc passim in editionibus ὃδε pro ὁ δέ.

(8) Forsan deest ἐπαίνους.

## ΙΑ' (1).

Εἰ δὴ οὖν (2) καὶ σύ γε αὐτὸς πατρίδα μὲν καὶ συμπατριώτας ἡμᾶς (3) παραλλάξας, ἄλλοις δέ τισι τοῦ σοῦ παρασχόμενος ἀπολαύειν μέλιτος, ἀχθομένων αἴσθοιτο ἡμῶν, οὐκ ἄτοπά τινα δρώντων, οἶμαι, αἴσθοιτο ἄν, οὐδὲ καινὰ καὶ οἷα μήπω πρίν, ἀλλὰ καὶ πάνυ τοι γεγενημένοις ὅμοια. Εἰ δ' αὐτοί τε ἐπέχοιμεν καὶ τὰ σὰ οὐκ ἐθέλοιμεν γλώττης ἐγκαλούσης ὑπεύθυνα τίθεσθαι, ὥρα σοι λοιπὸν σκοπεῖν ὁπόσον τὸ δεινὸν τοιούτους ἄνδρας ἀδικοῦντι μεγαλύμους τε φῦναι, καὶ ῥᾷστα ὑφιεμένους εἴ τίς πη ὀδὸς ἴη. Ὅσον γὰρ οἱ πάσχοντες ὑπείκοντα τοῖς ἀδικήμασιν αὐχένα τίθενται ἑθελονταί, τοσοῦτο μείζω τοῖς δρῶσι δημιουργεῖται τάγκλήματα.

Ἐγὼ δὲ καὶ Σωκράτην τὸν Σωφρονίσκου ἥδιον ἂν ἐπαινοίην ἢ Ηυθαγόραν τὸν Σάμιον. Ὁ μὲν γὰρ, Ἀθήνῃσι γεννηθεὶς καὶ τραφείς, Ἀθήνῃσι καὶ ἐπολιτεύσατο, καὶ δημόσιον ἦν Ἀθηναίοις ὄφελος ἡ Σωκράτους γλῶσσα καὶ τὰ Σωκράτους πράγματα· ὁ δὲ τὴν πατρίδα καταλιπὼν ἐς Ἰταλίαν ἀπέπλει, ἵν' ἡγεμὼν τῆς Ἰταλικῆς αἱρέσεως αἰῶσι τοῖς ἔξῆς ἑαυτὸν παραθείη. Ἀλλ' ἐκεῖνος μὲν ἴσως καὶ πρόσω γ' ἂν εἴη αἰτίας, εἰ καὶ μὴ καθάπαξ καὶ τοῖς ὅλοις, πάντως δ' οὖν μετρίως καὶ μετρίοις· οὐ γὰρ ἱκανὴν ἔκρινε Σάμον, φαῦλόν τι νησίδιον, ὄγκον ἀρετῆς χωρῆσαι, ὁπόσον ἐκείνῳ Αἰγύπτιοι καὶ Χαλδαῖοι ξυμπίξαντι ἐξεπόρισαν· σὺ δὲ πατρίδα καταλελοίπεις, οὐ μόνον γε τιμᾶν εἰδυῖαν ἀρετὴν, ἀλλὰ καὶ γῆς καὶ θαλάττης καὶ ἀέρος ἀνθρημένην τὰ καιριώτατα, πάσης δ' Ἀσίας δόξασαν ὀφθαλμὸν (4), Ἡρακλέους δ' ἐπώνυμον καταστᾶσαν, ἀφ' οὗ τῶν Ἑλληνίδων ἐστὶν αἷς τὸ μέγα καθήκει κλέος.

Ἀλλὰ τούτων μὲν ἄλις· ἀστείου γὰρ εἵνεκα εἴρηται. Ὁρῶμεν γὰρ ὅτι καὶ τὰ φυτὰ τοὺς καρποὺς ἑτέροις καὶ ἥκιστα σφίσιν αὐτοῖς ὑπανίσχει, καὶ θάλαττα τοῖς ἠπειρώταις μᾶλλον ἢ ἑαυτῇ καρποφορεῖ, καὶ γῆ τῶν ἀσταχύων οὐχ ἡ φύσασα ὥνατο, ὅτι μὴ σφῷ; ἑτέροις ἐκπονεῖ τὸν τόκον· καὶ νόμος οὗτος ὁμονοίας ἔστηκεν ἀεὶ θαλάττῃ τε καὶ γῇ καὶ πόλεσιν ἁπάσαις, ἄλλα ἄλλως ἄλλοις ἐφόδια φιλίας χαριζομένου τοῦ κτίσαντος.

Ἐγὼ δὲ καὶ μεγίστας ὁμολογῶ σοι τὰς χάριτας, ἐκδόδηλους μοι τῇ γλώττῃ πρὸς τοὺς αἰεί μοι ξυνόντας παρεχομένῳ τὰς ἀφορμάς· φιλοτιμίας γάρ τινος οὔσης ἐμοὶ μανιώδους, πάντα μικροῦ τὰ βελτίω τῇ πατρίδι προσνέμειν, ἔπειτ' ἀποχρῶν λοιπὸν αὐτός μοι τὸ τῆς γλώττης θέατρον ὑφαίνεις, οἰκοθεν οὐδὲν οὐκ ἔχοντος ἐμοῦ τῇ ξυντυχίᾳ χαρίζεσθαι πρόσφορον. Καὶ καινὸν οὐκ ἂν εἴη τοῦτό. Ἴδοις γὰρ

A κἀν τοῖς ἱππικοῖς διαύλοις καὶ ταῖς ἁρματηλασίαις τοὺς μὲν ταῖς ἀληθείαις ἀθλοῦντας καὶ γαννυμένους ἐπὶ ταῖς νίκαις, τοὺς δὲ μήτε πομπικούς τινας ἔχοντας δίφρους, μήτε παγκράτιον εἰδότας, συγχαίροντας δ' ὅμως ἐκείνοις, καὶ γέμουσαν ἡδονῆς ποιουμένους τρυφὴν τοὺς τῶν νικώντων στεφάνους. Ἔρρωσο

## ΙΒ'. *Τοῦ φιλοσόφου τῷ μητροπολίτῃ Θεσσαλονίκης τῷ Γλαβᾷ* (5).

Οὐκ οἶδ' ὅ τι τις ἂν ἐν τῷ βίῳ νοῦν ἔχων τιμιώτερον ἄγοι τῆς τῶν ἀγαθῶν ἀνδρῶν ὁμιλίας, ἐξ ἧς ὠφελοῖτ' ἂν εἰκότως, ἢ τὴν ἀρετὴν ἐκείνων θαυμάζων, ἢ καταγινώσκων γοῦν ἑαυτοῦ τοῖς ἐκείνων τὰ οἰκεῖα παρεξετάζων· ἐν ᾧ γένοιτ' ἂν τις ἀποτροπὴ τῆς ἐπὶ τὰ χείρω ροπῆς, ὅταν αὐτὸς αὑτὸν ὑπεύθυνον εἰδῇ καὶ πάσαις ψήφοις κατεγνωσμένον. Τῷ γὰρ αὑτόν τινα κατηγορεῖν ἑαυτοῦ ὡς ἀνοσίου καὶ πονηροῦ ἕπεταί τις συγγνώμη· ἀγαθὸν γὰρ καὶ τοῦτο. Ἔγωγ' οὖν φιλῶ μὲν τοὺς σπουδαίους, βιοῦν δὲ κατ' ἐκείνους ὑπὸ μαλακίας οὐχ ὑπομένω. Εἰσὶ τοίνυν οὓς θαυμάζω πολλοὶ, καὶ οἷς συνὼν μὲν χαίρω· ἀποδημοῦσι δὲ, εἰς ὁμιλίαν ἄλλην, ὃν δή φασι δεύτερον πλοῦν, καθίσταμαι, τὴν διὰ τοῦ ἐπιστέλλειν. Σοῦ δὲ τὸν τρόπον ἐξαίρετον ποιοῦμαι· πάσαις γὰρ ψήφοις ὑπερβάλλει τοὺς ταυτά σοι προαιρουμένους. Οὐκοῦν συνεῖναί τέ σοι, εἰ οἷόν τ' ἦν, ἐβουλόμην ἄν, καὶ τῶν ἐκ τῆς συνηθείας ἀγαθῶν ἀπολαύειν. Ἐπεὶ δὲ οὔτε νῦν ἔστι τοῦτο λαβεῖν τοσοῦτον ἀφεστηκότι τῆς τιμιωτάτης σου κεφαλῆς, οὔτε πρότερον ἐξεγένετό μοι κατὰ τὴν μεγάλην πόλιν συμπίξαι σοι (οὐ γὰρ ἤσθα κύριος, ὡς ἐπυθόμην, ὡς πᾶσιν ἐντυγχάνειν οἷς ἂν ἐθέλῃς), νῦν ὅτε τῆς ἀνάγκης ταύτης ἀπήλλαξαι τοῦ τοὺς ἑτέρων ἕπεσθαι δόγμασιν (εἰς γὰρ κρεῖττον σχῆμά σε μετέστησεν ὁ Θεὸς τὸ κατ' ἀξίαν σοι νέμων), δέομαί σου τῆς διὰ γραμμάτων γοῦν ὁμιλίας ἀπορροῦντι τοῦ τιμιωτέρου καὶ πρώτου μεταδιδόναι μοι. Οὕτω γὰρ σύ τε ἐπιεικὴς δόξεις, τοῦτο ποιῶν, ὅπερ οὖν καὶ εἶ, καὶ πᾶσι δείξεις ὅπως δεῖ τοὺς φίλους εὐεργετεῖν, ἐμοί τε τὰ μέγιστα χαριῇ, δείξας ὡς ἔστι τις λόγος ἐμοῦ παρὰ σοί. Καὶ μὴν ἴσως καὶ ὠφελήσεις τῶν σῶν ἀκούοντα λόγων, οἳ μεγέθει διανοίας τοῦτο πεφύκασι δρᾷν πρὸς τοὺς μὴ παρέργως προσέχοντας· ἐγὼ δὲ, τούτων ὢν ἐραστὴς, γνησιώτερον σφίσι προσέξω, εἰ μή τι ἄλλο, τοῦτο γοῦν αἰσχυνόμενος, τοσοῦτον ἀπολειφθῆναι τῆς σῆς ἐπὶ τὰ κρείττω σπουδῆς, ἣ σε φῶς ἀντικρυς ἔθηκεν ἐν ἡμῖν τοῖς ἐν ἀχλύϊ διάγουσι καὶ τοῖς πονηροῖς καὶ ἀνηκέστοις ἐνεσχημένοις πάθεσιν.

(1) Hæc epistola quæ integra exstat in Monacensi libro fol. 281, inscripta est, Τῷ καθηγουμένῳ τῆς μονῆς τοῦ Χορταΐτου ἐν Θεσσαλονίκῃ, Μαξίμῳ· initio hocce : Ἀλέξανδρόν φασιν. Conf. Boivinianus Epistolarum Gregoræ catalogus in Maξίμῳ.

(2) Perit inter πρὸς paginæ versæ finem, et εἰ δὴ οὖν rectæ initium, folium saltem unum.

(3) Cum infra dicatur ex Heraclea oriundus homo ille ad quem Gregoras scripsit, patet fuisse etiam ipsum Heracleotam. Qua de re sunt et alia testimonia.

(4) Gregorius Naz. Or. xxxii, p. 517, Constantinopolim vocat τῆς οἰκουμένης ὀφθαλμόν, quam δλης τῆς γῆς δεύτερον ὀφθαλμὸν dicit esse Themistius Orat. vi, p. 83. Libanius, t. I, p. 531 : Ἐρῶντα τῆς Ἑλλάδος, καὶ μάλιστα δὴ τοῦ τῆς Ἑλλάδος ὀφθαλμοῦ τῶν Ἀθηνῶν.

(5) E cod. regio 1424, ut et sequentem epistolam descripsi. Ex eodem libro, tunc aliis notato cifris, utramque in indicem Gregoræ epistolarum retulit Boivinius.

Π'. *Τοῦ αὐτοῦ τῷ πρωτοταρίῳ Θεσσαλονίκης τῷ Σωτηριώτῃ.*

Ἐξ ἡμισείας μοι φαίνῃ χρηστός· ὅτι μὲν γὰρ ἐπιθυμεῖς γραμμάτων ἐμῶν, παλαιᾶς ἐκείνης μεμνημένος διατριβῆς, ἀνδρὸς ἐπιεικοῦς δοκεῖς μοι πρᾶγμα ποιεῖν· τῷ δ', ἐξὸν τυχεῖν ὧν ἐρᾷς, μὴ πρῶτος αὐτὸς χρήσασθαι τοῖς ἐπὶ ταῦτα κινήσουσί με, κἂν βραδύς τις ὢ καὶ νωθής, ταύτῃ μοι τὸ δέον παραλείπειν δοκεῖς. Ἐπεὶ δὲ δεῖ τινα τῶν καλλίστων ἡγεμόνα γενέσθαι, σὺ δὲ τοῦτο λαβεῖν οὐκ ἠνίσχυον, ἐξὸν σοι τοῖς τοιούτοις ἀμέμπτως πλεονεκτεῖν, ἐγώ σοι γίνομαι τούτων ὑφηγητής, ἵν' οὕτως γοῦν ἔποιό μοι, πρὸς παράδειγμα βλέπων τοὐμόν. Εἰ μὲν οὖν τοὐντεῦθεν, τὸ ῥᾳθυμεῖν ἀποθέμενος, ἐπὶ τὸ γράφειν ἥξεις, ἡμεῖς τέ σε ἐπαινεσόμεθα, καὶ σὺ τὸ δέον ἡνυκὼς ἔσῃ· ὁλόκληρον γὰρ ἂν οὕτω τὸν σαυτοῦ τρόπον ἡμῖν καὶ οὐκ ἀτελῆ γε, ὥσπερ νῦν, παραστήσαις. Κἂν πρὸς σὲ βλέπω, οὐκ ἀνήσω τοῖς ἴσοις ἀμείβεσθαί σε· δίκαιον γάρ με, τῷ γιγνομένου παντὸς τυγχάνοντα παρὰ σοῦ, καὶ αὐτὸν τὸ δέον ἀντιδιδόναι· « Δὸς γάρ τι καὶ λάβε τι, φησί τις σῶν παλαιῶν· ἀ γὰρ χεὶρ τὰν χεῖρα νίζει. » Εἰ δ' ἐμμενεῖς τῇ σιγῇ, μηκέτ' ἐμὲ δίωκε σκαιότητος, ἢ τῶν φίλων ὑπεροψίας· σαυτὸν δὲ αἰτιῶ τὸ δίκην ἐκλελοιπότα, ᾧ μ' ἐκίνεις ἂν ἐπὶ τὸ γράφειν ἀεί. Σιγὴν γὰρ ἄξω κἀγώ, τοῦ κινοῦντος οὐκ ὄντος· ἐπεὶ καὶ νῦν οὐκ ἂν ἐμνήσθην πρὸς σὲ γραμμάτων, οὐκ εἰωθὼς πρότερον τοῦτο ποιεῖν, εἰ μή με ὁ χρηστὸς οὗτοσὶ νεανίας κατε....

(Hanc epistolam cum sequenti edidit J. A. Cramer. in *Anecdot. Oxon.*, tom. IV, ex cod. Laud. Gr. 10, chart., form. in-4°. sæc. XV.)

ΙΔ'. *Τῷ φιλοσοφωτάτῳ Ἰωσήφ.*

Ἀριστοτέλης ὁ Νικομάχου καὶ ὅσοι αἱρεσιῶσαι τὸ τῆς φιλίας οὐχ ἁπλοῦν ἐκδεδώκασιν ὄνομα, ἀλλὰ πολλαπλοῦν, καὶ πολλαχῇ διαφερόντως ἔχον ἐν τοῖς ἰδικωτέροις ἁπλούμενον. Μὴ γὰρ ὅτι πολιτικὴν ἁπλῶς; καὶ φυλετικήν, ἔτι μὴν συγγενικὴν καὶ ἑταιρικήν, καὶ ὅσαι τὴν σχέσιν ὁμοίαν καὶ ἀντιστρέφουσαν ἔχουσιν, ἀλλὰ καὶ ὁπόσοι ἀνόμοιοί τε καὶ ἄνισοι· ὅσα γε κατ' ἀξίαν καὶ χρόνον, καὶ τούτων δ' εἰδέναι φιλίας ἔπεισαν αὐτούς. Μειζόνων δηλαδὴ πρὸς ἐλάττους· καὶ τοὐναντίον· καὶ θειοτέραν πρὸς ἀνθρωπικωτέραν· καὶ τοὐναντίον· ἐντεῦθεν γὰρ καὶ τὰ θεοφιλῆ εἰσάγεται, καὶ φιλόθεον, καὶ φιλοπάτορ ὁμοῦ καὶ φιλότεκνον. Εἰ δὲ ταῦτα, καὶ φιλίαν οὐκ ἂν τῶν ἀπεικότων εἴη καλεῖν τὴν μεταξὺ σχέσιν ἡμῶν τε καὶ μεγέθους· τοῦ σοῦ· τῷ μὲν ὑποκειμένῳ ταυτιζομένην, τῇ δὲ σχέσει διαφορουμένην. Καὶ ἵνα κατὰ σκοπὸν ὁ λόγος πορεύοιτο, ἔστι μεταξὺ τοῦ Περσικοῦ κόλπου καὶ ὁρῶν τῶν μεγίστων, ἃ Παραπάρας καὶ Παράνδας χωρίζει πρὸς ἕω καὶ ποταμὸν τὸν Ἰνδὸν, χώρα τις οὐχ ἁπλῆν τοὔνομα Καρμανία. Τὸ μὲν γὰρ αὐτοῖς ἄβιον, τὸ δ' οἰκουμένη γῆ· Μηδικὴν μὲν ἐῶσα πρὸς ἄρκτον· πρὸς δὲ μεσημβρίαν, Ἰνδούς τε καὶ πελάγη τὰ τῶν Ἰνδῶν. Ἐν ταύτῃ λόγος εἶναι, οἱ φιλίαν ὁπότε πρὸς ἀλλήλους ὁμολογοῖεν λύσιν ἔστι· ἃς τῶν ἐπὶ τοῦ προσώπου φλεβῶν· καὶ τοὐντεῦθεν καταῤῥέον αἷμα τῷ πόματι ἀναχεραννύντες ἀλλήλοις προπίνουσι· βεβαίας ἤδη καὶ ἀσφαλοῦς φιλίας ἐνέχυρον ἔχειν ἡγούμενοι τὸ γεύεσθαι τοῦ ἀλλήλων αἵματος.

Τοῦτ' αὐτὸς ὥσπερ ἐχέγγυον ἀκραιφνὲς εἴληφώς, τἀμά σοι, θειότατε ἄνθρωπε, παρεσχήκειν ἐζητηκότι γράμματα, ἀσώματος μὲν οὐκ ἄν τις ἴσως αἷμα φήσειε· ψυχῆς γε μὴν ἕτερον τρόπον οὐκ ἂν τοσοῦτον, οἶμαι, φήσας ἁμάρτοι· ἐλπίδας αὐτὸς ἐμαυτῷ δεδωκὼς ῥᾳστώνης μεστὰς καὶ τρυφῆς, ὡς ἔψεται τῇ δώσει τὸ λῆμμα· τοῦτο δὴ λέγω τοὺς σοὺς λόγους οὓς οὐ σοῦ γε χάριν ἐπόνησας, ὥσπερ οὐδὲ θάλαττα ἑαυτῆς εἵνεκα τὸ ὕδωρ ἁπλοῖ, ἀλλ' ὅσοι τοὐντεῦθεν διώκουσι κέρδος· εἰ δὲ σὺ τὰ σαυτοῦ ἀνέκφορα μένειν ἡμῶν γε εἵνεκα ἀξιοῖς, καὶ ταῦτα πολλὴν τοῖς θεωμένοις χαριζόμενα τὴν ὠφέλειαν, τὰ δ' ἡμέτερα τοὐναντίον, καὶ ταῦτα πολλὴν ἐπισυρόμενα τὴν φαυλότητα, χωλεύειν οὐδέν κωλύει τ' ἀγαθόν. Τὸ γὰρ ἐξ ἐμοῦ σοι ἀνενδεὲς, ὡς ἐγῷμαι, ἔρχεται· τὸ δὲ σὸν ἐς ἡμᾶς, οὐκ ἔχω ὅτι φῶ.

Καίτοι τοὐναντίον μᾶλλον ἕδει πολλῷ. Σὺ γὰρ εἰκόνα φέρεις τοῦ μεγάλου πατρὸς, ὃς μᾶλλόν ἐστι φιλάνθρωπος, ἢ φιλόθεον τὸ ἀνθρώπινον· ἔπειτα καὶ τοῦ χάριν ἄλλου τί γίγνοιτ' ἂν ἀγαθοῦ, νὴ τὸν φίλιον οὐχ ὁρῶ· εἰ δὲ μὴ σὲ τοσοῦτον καταδῆναι, ὅσον ἡμᾶς ἀναχθῆναι δεῖ· φεῦ τῆς ἐμῆ; τύχης· ἃ δειλή· τί μ' ἐς τοσοῦτον ἀχορήγητον ἔθηκας ὁπόσα τῶν σῶν ἀγαθῶν ὡς ὑπερόριον γίγνεσθαι καὶ φυγὰς τῆς τῶν καλῶν ἀνδρῶν κοινωνίας; χωρὶς τινος ὁμοτικοῦ ψηφίσματος· καὶ πρὶν κληρονομεῖν τοῦ κατατρέχοντος ἐξ Ἀστικῆς ἀστράκου, ἄλλως τε καὶ πᾶσαν ἁρμονίαν ἐξαιρετέον λοιπὸν ἐκ παντὸς, εἰ μὴ πολυμιγέων ἕνωσις αὕτη καὶ δίχα φρονεόντων συμφρόνησις. Οὐ γὰρ ἂν ἄλλως, οἶμαι, γένοιτο ἀνέσεως ἄνευ καὶ ἐπιτάσεως. Ἀλλ' εἰ μὲν ταῦτα λέγων εὖ λέγω, πλούτιζε τοῖς σοφοῖς σου λόγοις ἡμᾶς. Τοῦτο γὰρ ἡμῖν ὁ σκοπός· εἰ δ' οὖν, σύγγνωθι· τοῖς γὰρ ἀκουσίως πταίσασιν ἑκούσιον ἔπεσθαι τὴν συγγνώμην δίκαιον. Ὡς γὰρ εὖ ἔμοιγε λέγοντι, ἑκόντι γίγνεται τοῦτο, οὕτως; εἰ κακῶς ἄκοντι· τῶν γὰρ ἐναντίων μιᾶς οὔσης τῆς ἐπιστήμης, ὡς οἱ πάλαι σοφοὶ δογματίζουσιν, ἔπειτα τῶν καλῶν ἑκουσίων γιγνομένων, ἀκούσια νομίζεσθαι τὰ κακά· ὥσπερ γὰρ καλὸς ἄκων οὐδεὶς, οὕτως οὐδ' ἑκὼν κακὸς οὐδείς.

Σὺ δὲ κρῖνε ταυτὶ καὶ διαίρει τῇ σῇ μεγαλοφυΐᾳ σοφώτερον, καὶ μὴ λήγοις σοφρονίζων καὶ ῥυθμίζων καὶ θύραθεν τὰ ἡμέτερα. Σὺ γάρ μοι καὶ σοφὸς ἁπλανὴς καὶ κριτὴς ἀῤῥεπὴς, καὶ Μίνως ζῶν, καὶ χρησμῳδῶν Ἀπόλλων. Ἀλλ' ὦ τί, ἂν μείνῃς κατὰ μῆνα ἡμερῶν ἐκείνων ὁπότε συχνὰ ὁμιλοῦσι παντοίαν κομίζεσθαι τὴν ὠφέλειαν ἀπὸ γλώττης; ἡμῖν ἐξείη τῆς σῆς, ἁλιέων μιμουμένοις τρόπον, ἐπειδὰν κατὰ θαλάττης ἐκεῖνοι τὴν σαγήνην καθέντες ποικίλην ἐκεῖθεν ἀνιμῶνται τὴν ἄγραν;

Παρίσταται δή μοι καὶ αὐτὸν ἐκεῖνο ποιεῖν, ὃ

τοὺς Ποσειδωνιάτας πάλαι φασίν. Ἀποικίαν γὰρ ἐκ τῆς Ἀττικῆς ἐπὶ Τυῤῥηνοὺς (1) ποιησαμένοις ἐκείνοις ἔπειτα τῷ χρόνῳ τὴν εὐγενῆ φωνὴν ἀπολελωκόσιν ἐκείνην, καὶ ἐς τὸ βάρβαρον ἀποξενωθεῖσιν τῆς διαλέκτου, ἔδοξε μίαν ἀπολεξαμένους τῶν Ἀττικῶν τελεῖν πανηγύρεων· ἐν ᾗ κατὰ δήμους καὶ φρατρίας κοινῇ ξυνιόντες, εἰς ἀνάμνησιν σφᾶς αὐτοὺς ὁμιλιῶν ἀνῆγον ἐκείνων, καὶ ὅσα τῶν ἄλλων πατρίων ἐθῶν τε καὶ νόμων· καὶ δακρύων νάματα θερμὰ ῥηγνύντες ἐπὶ τούτοις, ἔπειτα ἀπηλλάττοντο. Τοῦτ' ἐκεῖνο ποιεῖν ἄντικρυς νῦν καὶ αὐτὸς οὐκ ὀκνῶ· ἀλλὰ συχνὰ παρὰ τὴν σὴν Ἀκαδημίαν καὶ τὸν περίπατον ἔρχομαι τουτονί, καὶ συνουσιῶν ἐκείνων ἔστιν ἃ διὰ μνήμης ἄγω. Κἄπειτ' ἐπειδὴ τὴν ἑορτήν σε τῶν ἐμῶν ὀφθαλμῶν καὶ τῆς ἀκοῆς οὐχ εὑρίσκων, ἔνδακρυς καὶ συγχύσεως ἀπαλλάττομαι πλήρης· σὺ δὲ μὴ λήγοις οὑτωσὶ μεμνημένος καὶ αὐτὸς ὁπωσοῦν μεμνημένος· εἰ δὲ καὶ ἀλλήλους αὖθις ὀψοίμεθα πρὶν ἐπιλίπῃ τὸ ζῆν, τούτου δ' ἑνὸς ἔμοιγε σφόδρα ἂν ἅπαντα ῥᾷστα πωλοῖτο.

### ΙΕ'. *Τῷ μεγάλῳ δομεστίκῳ.*

Σὺ καὶ παρὼν ἡμῖν τρυφὴ γίγνῃ τῶν ὀφθαλμῶν, καὶ ἀπὼν ἄφθονον αὖ παρέχεις ταῖς τε ἀκοαῖς καὶ τῇ γλώττῃ τὸ θέατρον· οὐδὲ γὰρ οὐδὲ Κροίσῳ καὶ Μίδᾳ τοσοῦτον πολυτάλαντος ἤρκεσε πλοῦτος πρὸς ἡδονήν, ὅσον ἐμοὶ διεξιόντων τε ἄλλων ἀκροατὴν καθῆσθαι τῶν σῶν ἐγκωμίων· καὶ αὖ σιωπώντων ἄλλων, αὐτὸν κήρυκα γίνεσθαι διαπρύσιον. Ἐπεὶ οὐδὲ ἔστιν οὐδεὶς τῶν ἁπάντων, ὃς μὴ πεπείραταί σου, καθάπερ πολυτελοῦς γινομένης διανομῆς τῶν σῶν ἀγαθῶν, οἷον ἐκ παραδείσου πολυανθοῦς. Γίνεται γὰρ καὶ δήμοις καὶ πόλεσιν ἥδιστον ἐντρύφημα τὰ σὰ διηγήματα· καὶ πανηγύρεις οὐκ εἰσὶν οὐδ' ἀγοραί, αἳ μὴ μεσταὶ τυγχάνουσι σοῦ. Ὁ μὲν γὰρ ἀνακηρύττει τὴν τῶν ἠθῶν ἁρμονίαν καὶ ἀστειότητα· ὁ δὲ τὴν τῆς γλώττης ἀλήθειαν· ὁ δὲ τὴν τῆς χειρὸς πρὸς τὰς εὐεργεσίας ἑτοιμότητα· ὁ δὲ τὸ πρὸς ἁπάσας χάριτας αὐτεπάγγελτον ἅμα καὶ τελεσιουργόν· ὁ δὲ τὴν τῶν λόγων ἀναβίωσιν· οὓς πεπτωκότας ἀνέστησας, εὖ ποιῶν καὶ πόλεις καὶ φυλὰς καὶ δήμους καὶ φρατρίας. Καὶ συγχαίρω ἔγωγε λεγόντων ἁπάντων ἀκούων τοιαῦτα· συγχαίρουσι δ' αὖθις ἔμοιγε λέγοντι πάντες. Ὁπόσα γὰρ κατ' ἀνθρώπους ὑμνούμενα πέφυκε πάντα συναθροισθέντα πρὸς ἕν, μίαν εἰργάσαντο φύσιν τὴν σήν· καὶ νῦν οὐ τοσοῦτον σὺ σαυτοῦ, ὅσον σοῦ πάντες ἀπολαύουσιν ἕτεροι· καὶ μάλα γέ τοι κατὰ τὸ εἰκός· κοινὰ γὰρ ἴσμεν τὸν δημιουργὸν τὰ μέγιστα καὶ ἀναγκαιότατα προτίθεσθαι τῶν καλῶν· ἰδοὺ γὰρ καὶ ἥλιος καὶ ἀὴρ καὶ ὕδωρ κοινὰ καὶ δημόσια πρόκειται πᾶσιν ἐμψύχοις διὰ τὴν τῆς χρείας ἀνάγκην· καὶ ἅπαντες μᾶλλον αὐτῶν, ἢ αὐτὰ ἑαυτῶν ἀπολαύουσι. Καθάπερ καὶ ψυχῆς ὁπόσα δεκτικὰ τῶν σωμάτων καὶ θαλάττης ἰχθύες τε ἅμα καὶ ὅσας τῶν ὁλκάδων ἐπ' αὐτῇ ναυστολοῦσαι τῶν κερδῶν τοὺς φόρτους ἀνιχνεύουσιν· οὕτω καὶ σὲ μέγιστον ὄντα καλὸν, καὶ τῷ βίῳ ἀναγκαιότατον, κοινὸν καὶ δημόσιον προὔθηκεν ἅπασι πολλαχόθεν ὁ κοινὸς τῶν καλῶν παροχεύς. Ὡς μᾶλλον ἀπολαύειν ἅπαντας σοῦ, ἢ σεαυτοῦ. Πολλὴν μὲν γὰρ ἐπὶ τοῦ προσώπου τὴν εὐφροσύνην ἡ φύσις ἐκένωσεν· ἀφθόνους δὲ ἐπὶ τῆς δεξιᾶς τὰς τῆς εὐποιίας πηγάς· λαμπρὰς δὲ τῇ γλώττῃ ἐφήρμοσε τῆς ἀληθείας τὰς πλάστιγγας. Ὥστε λέγειν ὀρθῶς ἀεὶ κατὰ Πλάτωνα, καὶ ὅσα δεῖ, καὶ ἅπερ δεῖ, καὶ ὅτε δεῖ, καὶ ὅπου δεῖ· τῷ δὲ ᾔθει τὸ ἱλαρὸν καὶ σεμνὸν ἐφαπλώσασα τερπνόν τι καὶ ἔνθεον ἐπιπρέπειν παρασκευάζει. Ὥσπερ γὰρ τῷ ἀέρι κιρνάμενον τὸ τῆς ἡλιακῆς ἀκτῖνος φῶς, χρῶμα γίνεται ποιότης, οὕτω δὴ καὶ πραότης ἀποίητος πολλῆς καὶ ἀποῤῥήτου πνέουσα τῆς ἡδονῆς, τοῖς ἤθεσι κιρνωμένη τε καὶ ἐπανθοῦσα τοῖς σοῖς, χρῶμά τε ἅμα καὶ αὐτοχάλκευτος γίνεται ποιότης αὐτοῖς· καὶ οἷον σαγήνη τις ἄφυκτος τοῖς ἐρῶσι καθίσταται· οὐ βιαίῳ τινὶ καὶ κατηναγκασμένῃ τέχνῃ τούτους ἐφελκομένη, ἀλλὰ μάλα εὐφραινομένη τῇ γνώμῃ τὴν τοιαύτην ἧτταν πάσχειν ἐθέλοντας ἅπαντας· περὶ δὲ γαλήνης ὁπόση τοῖς σοῖς ἀποῤῥήτως ἐπιφύεται ὀφθαλμοῖς καθάπερ αὐγὴ πρωϊνή, τί ἄν τις φαίη, ὅπως καὶ πόῤῥωθεν ὑπαντῶσα δεξιοῦται τὰς τῶν προσιόντων γνώμας, καὶ ὑπισχνεῖται τὰ βελτίω, καὶ ὥσπερ ἐγγοητεύει χαρὰν τελεσιουργὸν ταῖς ἐλπίσιν αὐτίκα πρὸς πέρας ἥξουσαν· τοσαύτην γε μὴν συμφωνίαν ἡ χείρ σου τῇ γλώττῃ χαρίζεται, ὥσθ' ὅσα μὲν τῇ χειρὶ μὴ νενόμισται δίκαια πράττειν, ταῦτα καὶ ἡ γλῶττα μάταιον ἡγεῖται λέγειν. Ὅσα δ' αὖ τῇ γλώττῃ γίνεται ἐς τὸ βέλτιον εἰρημένα, ταῦτα καὶ τῇ χειρὶ πεπραγμένα ῥᾷστα καθίσταται· καὶ ἁπλῶς εἰπεῖν, ὁμοῦ πάντα συναθροισθέντα, καὶ γλῶττα, καὶ χεὶρ, καὶ ὀφθαλμοὶ, καὶ παρειαὶ, καὶ ὀφρύες, καὶ τὸ σεμνὸν μειδίαμα, καὶ τὸ τοῦ ἤθους ἔαρ, καὶ ἡ τούτοις ἐφέρπουσα ἁρμονία, αὐτάγγελοι καθίστανται πάντα μάλα σαφεῖς τῶν σιωπώντων ἠθῶν τῆς ψυχῆς σου. Ὡς ῥᾴδιον εἶναι μὴ μόνον φυσιογνώμονας ἄνδρας, ἀλλὰ καὶ πάντας ἁπλῶς αὐτομάτως τεκμαίρεσθαι, καὶ ὁπόσα σοι τῶν καλῶν περὶ τὰ τῆς διανοίας ἔνδον μυστήρια θαλαμεύονται, ὥσπερ διὰ κατόπτρου τῶν ἐξωτέρω ὥρᾳ περὶ σὲ χορευόντων ἠθῶν· καὶ ξυνεῤῥύηκεν ἐπὶ σοὶ τὰ τοῖς αἱρεσιώταις τοῦ Πλάτωνος θαυμαζόμενα· κράτιστον εἶναι φάσκουσι τὴν μὲν ἀρετὴν ὀργάνων ἐπιτυγχάνειν ἅμα σωματικῶν καὶ τύχης λαμπρᾶς, τὴν δ' εὐγένειαν μὴ τοσοῦτον ἀπὸ προγόνων ἐπιεικῶν, ὅσον ἀπὸ τῆς ἑαυτοῦ καλοκαγαθίας γνωρίζεσθαι. Εἰ δὲ καί τις ἐκ τῶν τῆς οἰκουμένης περάτων ποθὲν ἐραστὴς ἐξ ἀκοῆς τῶν τῆς βασιλευούσης πόλεως ταυτησὶ καταστὰς ἀγαθῶν, ἧκεν αὐτόπτης ἐσόμενος τῆς τε θέσεως καὶ τοῦ κάλλους αὐτῆς· καὶ ὅσα θεαμάτων πεπλούτηκεν ἔνδον ἀξιοθαύμαστα, εἶτα καὶ ἄνθρωπον ἐζήτει θεάσασθαι, πάντες ἂν ὥσπερ ἀπὸ συνθήματος ὁρμηθέντες ἐδείκνυον σὲ καὶ οὐχ ἕτερον τῶν ἁπάντων οὐδένα. Σὺ γὰρ μόνος ἐν γῇ περισώζεις τὰ τῆς ἀληθινῆς ἰδέας τῆς ἀνθρωπότητος ἀκίβδηλα καὶ σαφῆ τὰ γνωρίσματα. Τῶν μέντοι ἀνθρώπων τοὺς

(1) Cf. Aristox. ap. Athen. x, II.

πάλαι ἀκούομεν ὁπόσοις τῷ χρόνῳ παρεσχηκέναι πράξεις ἡρωϊκὰς ἐγένετο, στήλαις καὶ ἀνδριάσι τιμᾶσθαι, καὶ ἀναγράπτους ἐπὶ μέσου ἀέρος ἐγείρεσθαι, μνήμης αἰωνιζούσης παλάμην τινὰ τῷ θνητῷ τῆς φύσεως ἀντιμηχανωμένων τῶν ἐπιγιγνομένων καὶ ἀνθιστάντων τουτί· σὲ δ' αἱ ψυχαὶ τῶν ἁπάντων κάθάπερ ζῶσάν τινα στήλην καὶ ἀνδριάντα λαμπρὸν ἐφ' ἑαυτὸς ἀναγράφουσαι, καὶ πρὸς ἀθανασίαν τοὔνομα μετὰ τῶν σοι προσόντων καλῶν παραπέμπουσι, μνήμαις καὶ βίβλοις παρέχουσαι, ἃ καὶ τῶν τοῦ χρόνου βελῶν εἰσιν ἰσχυρότερα. Ὁ μέντοι Ὅμηρος περὶ τοῦ Ἀττικοῦ Μενεσθέως διέξεισιν, ὡς

*Οὔτις ὅμοιον ἐπιχθόνιος γένετ' ἀνὴρ*
*Κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας,*

τοὺς πρὸ ἐκείνου πάντας ἥττους ἀποδεικνύων ἐκείνου. Σὺ δὲ ὅμοιος ἐκείνῳ γενόμενος ἐν ὑστέροις τοῖς χρόνοις κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας, πάντας ὁμοίως ἐκείνῳ καὶ σὺ τοὺς πρὸ ἐκείνου νικᾷς· καὶ ἀρκεῖ σοι λοιπὸν εἰς ὁμοίους ἐπαίνους ἡ τοῦ Ὁμήρου μεγίστη καὶ θαυμασία γλῶσσα. Ἃ γὰρ ἐκεῖνος εἰς Μενεσθέα φησὶν, προσήκει καὶ σοὶ, πρὸς τὴν ἴσην ἐκείνῳ σαυτὸν εὐδοκίμησιν καταστήσαντι ἐκ τῆς πείρας τῶν αὐτῶν γυμνασίων, καὶ τῆς ὁμοίας τῶν πραγμάτων παλαίστρας· ἄγε μὴν παρενθήκην αὐτὸς λαμπροτέραν ἐποιήσω τοῖς εἰρημένοις· κοσμῆσαι λόγους δηλαδὴ καὶ πόλεις καὶ φυλὰς καὶ δήμους. Ταῦτα ἐκείνῳ οὐδ' ἐν ὀνείρῳ θεάσασθαι ἐξεγένετο πώποτε· ἦ γὰρ ἦν οὐκ ἂν Ὁμήρῳ ἄῤῥητον εἰς ἔπαινον οὕτω γενναῖον ἀνδρὸς παρεληλυθότι· οὕτω καὶ τῆς Ὁμηρικῆς γλώττης τὰ θαύματα παρελαύνεις αὐτὸς ξὺν πολλῷ τῷ περιόντι τῶν ἔργων. Ἀλλὰ γὰρ εἴης μακροῖς τοῖς αἰῶσι συμπαρεκτείνων τὸ ζῆν· ἵν' εἴης καὶ κοινῇ τοῖς ἅπασι κοινὸν καὶ δημόσιον ὄφελος, καὶ τοῖς λόγοις ἐν μέρει τὰς ζωογόνους πέμπων ἀκτῖνας, καὶ τὸ ζῆν αὐτοῖς ἀεὶ χαριζόμενος.

## EPISTOLA XVI.

*Ad Theodulum monachum, alias Thomam Magistrum.*

(Exstat inter epistolas Theoduli. Vide tom. CXLV, col. 425 (*a*).

---

# MONITUM IN SEQUENTIA OPUSCULA

(Matranga, *Anecdota Græca*, Præf. p. 24.)

—

Inter edita Porphyrii scripta aliquot opuscula ad Homerum spectantia olim eruditi recensuere (1). Postquam vero Lambecius in Comm. de bibl. Cæsarea (2) indicavit opusculorum verum auctorem esse Gregoram, sub ejus nomine demum (3) ea imprimere licuit. Revera in cod. Vat. 1098 deest auctoris nomen, et ante opuscula Gregoræ aliqua sunt Ἰωάννου Εὐχαΐτων μητροπολίτου. Nulla itaque præcedenti editione consulta, Encomium in Odysseam et moralem enarrationem errorum Ulyssis (4) imprimere denuo constitui.

---

# ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΓΡΗΓΟΡΑ

## ΠΡΟΛΟΓΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ ΕΙΣ ΤΗΝ ΟΔΥΣΣΕΙΑΝ ΤΟΥ ΟΜΗΡΟΥ

## ΔΙΑ ΒΡΑΧΕΩΝ

## ΧΑΡΑΚΤΗΡΙΖΩΝ ΤΟΥ ΠΟΙΗΤΟΥ ΤΗΝ ΔΙΑΝΟΙΑΝ.

—

Ποιηταὶ μὲν καὶ ῥήτορες, καὶ ὅσοι τὸν φιλόσοφον εἵλοντο βίον, οἱ μὲν πλέον, οἱ δ' ἔλαττον ἀρετῆς ἐφρόντισαν, καθ' ὅ τί περ ἂν αὐτῆς ἐμέλησε μέρος· Ὁμήρῳ δὲ τῷ παντὸς σοφωτέρῳ τῶν ἠκόντων εἰς γένεσιν, τοσούτῳ διὰ σπουδῆς ὑπῆρξε τὸ πρᾶγμα, ὅσῳ μηδ' ἔστιν εὑρεῖν ὅποι τις ἴδοι τῆς αὐτοῦ ποιήσεως, οὐκ ἀρετῆς λόγον τὸν ἄνδρα πεποιημένον· οὔκουν ἐπειδὰν σπουδάζῃ καὶ καθαρῶς ἑαυτὸν καθίστησιν εἰς ἀγῶνα, γνώμας ἀρίστας εἰσφέρειν, καὶ ἀνθρώπων ἤθη κοσμεῖν ἐκ παιδείας κρείττονος, ἀλλὰ

(1) Cf. Valckenarii diss. de scholiis in Homerum ineditis, Leovard. 1747, p. 142 sq., et Fabr. ed. n. vol. V, p. 734.
(2) Lib. V, 291.
(3) Cf. Hoffmannum Lex. bibliograph., tom. III, p. 120.
(4) Legi etiam in cod. Vat. 889, etc.

(*a*) Viri docti Scinas et Mustoxides in *Sylloge Anecdotorum* Venetiis anno 1817 Gregoræ epistolas sex ediderunt; at Collectionis istius exemplaribus omnibus in Orientem transmissis, jam nullibi in partibus nostris comparet et adhuc ea caremus. Edit.

καὶ ὁπηνίκα δοκεῖ τισι κατὰ παιδιάν τι ποιεῖν, ἢ μύθους λέγων, ἢ γενέσεις θεῶν, ἢ φιλίας αὐτῶν, ἢ ἔριδας, ἢ τινας ἔρωτας φαυλοτέρους καὶ ζηλοτύπους· τοὺς δ' αὐτοὺς καὶ ἐπιβούλους γνωριζομένους· ἃ καὶ εὐπερισκέπτως ὁρῶν τις μωμήσαιτ' ἂν ἐπιεικῶς τῷ ἀνδρί. Νοῦν γὰρ ὁ θεῖος οὗτος ἄνθρωπος προΐστησι τοῦ παντὸς ἡγεμόνα· μηδὲν φλαῦρον εἰπεῖν, μηδ' ἀλυσιτελές, εἰ καὶ τῆς ποιητικῆς ἐκείνου μανίας, οὐχ οἷοί τ' ἐσμὲν ἱκανῶς καθικέσθαι, ὅ τι ἂν βούλοιτο. Νῦν μὲν γὰρ θεολογίας παρεδίδασκει, νῦν δὲ θεοσεβείας· ὁτὲ δὲ γένεσιν τοῦ παντὸς διέξεισιν, ἄλλοτε φυσικούς τινας ἐκδίδωσι λόγους· καὶ στοιχείων πρὸς ἄλληλα νῦν μὲν κοινωνίαν, νῦν δ' ἐναντίωσιν φιλοσοφεῖ, εἰ καὶ ταῦτά γε δρᾷ ἐν προσχήματι φαυλοτέρῳ· αὖθις δὲ καταβαίνων ἐκεῖθεν ὡς ἀπό τινος περιωπῆς, πολιτεύεται μετὰ τῶν ὅποι δεήσει, καὶ τέχνας παντοίας καὶ ἐπιτηδεύματα μεθοδεύει καὶ διατάττεται, ὡς χρὴ γίνεσθαι ταῦτα καὶ ὡς γινομένων. ἄριστον ὡς εἰκὸς ἀπαντήσει καὶ τέλος· οὐ μὴν ἀλλὰ καὶ λαοὺς μετ' ἐπιστήμης κοσμεῖ, καὶ παιδαγωγεῖ τρόπους· καὶ ῥυθμίζει ψυχάς, οὐ πρὸς ἑαυτὰς μόνον, ἀλλὰ καὶ πρὸς ἀλλήλας εὖ ἁρμοζόμενος. Ἐλέγχει δ' ἔσθ' ὅτε καὶ διασύρει σκαιότητα γνώμης, καὶ ἀμαθίαν καὶ ἄγνοιαν· καὶ πᾶν ὁτιοῦν εἰς κακίας ἀναφέρεται τρόπον, καὶ τῆς χείρονος μερίδος γνωρίζεται· ἐχθρὸν μὲν τῇ θείᾳ, ἐχθρὸν δὲ τῇ ἀνθρωπίνῃ φύσει τελοῦν. Καθάπαξ δ' εἰπεῖν, κοινὸν ἑαυτὸν καθίστησι τοῖς ἀνθρώποις διδασκαλεῖον θείου καὶ ἀνθρωπίνου μαθήματος.

Ἀλλ' εἴ πέρ τις, ὁ μέγας οὗτος ἥρως τῇ ποιητικῇ μούσῃ ἐξείργασται, καὶ τόδε μάλα ἐξείργασται ὥσπερ τι ῥάθημα θεῖον τοῖς ἀνθρώποις ἐνθεῖναι· ἵνα δηλονότι πρὸς τὰ συμπίπτοντα παρὰ τῆς ὕλης καὶ τῶν ἔξω πραγμάτων, ὅσα τύχῃ τινὶ καὶ πονηρίᾳ ἀνδρώπων, καὶ δὴ καὶ γνώμης φαυλότητι τῆς σφετέρας, καὶ ἀμαθίᾳ τουτὶ δεῖ ποιεῖν κακῶς μάλιστα πάσχομεν, φρονίμως μάλα καὶ μεγαλοψύχως καὶ γενναίως ἀπαντῶμεν· ἀλλ' οὐμενοῦν ἐκδιδῶμεν, οὐδὲ καταπροδιδῶμεν τὸ τῆς φύσεως ἄξιωμα, συμμεταβαλλόμενοι τοῖς γινομένοις ἑκάστοτε, καὶ τούτων πλέον τοῖς ἀδουλήτοις. Εἶδε γὰρ ἐκ τῆς πείρας, οἷον μάλιστα τῶν ἄλλων κακῶν τοῖς ἀνθρώποις ἐκπορίζει, καὶ πρὸς ἑαυτὸ τὸν τρόπον ἐξίστησι, συχνὰ συμβαῖνον ἐκ πολυειδῶν τῶν αἰτίων, ὁποία ἡ παλίτροπος τῶν πραγμάτων κίνησις δαψιλῶς ἐπιχορηγεῖ· νῦν μὲν οὕτω πάσχειν ἡμᾶς, νῦν δὲ οὕτω· καὶ οἷς καὶ οὗ ταῦτα γίνεται· ᾧ δὴ καὶ κρεῖττον τῆς ποιήσεως ἕνι μέρος, ὡς εἰς μάχην τινὰ μεγίστην ἀνδρίας ἀντικαταστάς, καὶ περιγενέσθαι φιλονεικήσας δεινοῦ τινος· καὶ ἀμάχου πράγματος· οὐδὲν γὰρ ἐδόκει τοιοῦτον τῷ ποιητῇ, οἷον ψυχὰς ἀνθρώπων ὁπλίσαι εἰς καρτερίαν τῶν συμφορῶν, αἷς ἡμῖν ἑκάστοτε περιπίπτειν συμβαίνει.

Οὕτω δὲ πρὸς τοῦτο καλῶς παρασκευασμένος, οὐκ ἐκ τοῦ προφανοῦς τὴν βούλησιν ἀνομολογεῖ· ὡς προκηρύξαι τὸ πρᾶγμα καὶ ὅτου χάριν διαγωνίζεται προειπεῖν· ἀλλὰ καὶ τῆς τοῦ λόγου ἀξίας, καὶ μάλιστα τῆς ποιητικῆς ἀρετῆς φροντίδα τιθέμενος, τέως μὲν τὸν σκοπὸν προσωπείῳ τινὶ, οὐδὲ τοῦτο ἴσως ἀσχήμονι, συγκαλύπτει, καὶ τὸν Ὀδυσσέα προΐστησι κεφάλαιον τοῦ βιβλίου· ὅπως μετὰ τὴν ἅλωσιν τοῦ Ἰλίου, νόστου σὺν τοῖς ἑτέροις ἀψάμενος, πολλοῖς μάλα τούντεῦθεν καὶ μεγάλοις κακοῖς, καὶ μηδ' ἀριθμεῖν ἱκανοῖς οὖσιν ἴσως, οὐχ ὅπως καὶ κατὰ μέγεθος καθάπαξ σκοπεῖν, ὁ πολὺς ἐκεῖνος τὰς τέχνας καὶ τὰ βουλεύματα περιέπεσεν. Εἰ γὰρ εὐθὺς οὕτω κατέστη ἐπὶ τὸ πρᾶγμα, ὕπτιος ἂν ἔδοξε καὶ ἄχρους τοῖς πολλοῖς, οὐκ ἔχων οὐμενοῦν τοσοῦτον, οὔτ' ἐξ ἱστορίας ἁπλῶς, οὔτ' ἐκ τῆς ἄλλης ποιητικῆς ἐξουσίας ἐλθεῖν ἐπὶ τὴν ὑπόθεσιν. Νῦν δ' ὅτι περ οὕτως ἐμεθόδευσε, τὸν σκοπὸν ἑκατέρῳ μέρει τὸ προσῆκον ἔνειμε· τῇ τε γὰρ ποιήσει τὴν συνήθη παρέσχετο χλιδὴν καὶ ἁβρῶς, ὥστε μηδαμῶς ἐκεῖθεν κολοῦεσθαι, καὶ τῷ πράγματι δ' αὐτῷ τὸ πάντη σῶν εἶναι, καὶ μηδενός γε λελεῖφθαι τῶν εἰς τοῦτο φερόντων. Κἂν γὰρ ἱστορίαις μάλα πολλαῖς καὶ μύθοις ὅσοις ποικίλληται, ἀλλ' οὐδ' οὕτως ἀφίσταται πόῤῥω τῆς ὑποθέσεως, ὡς μὴ τὴν ταχίστην ἐπανιέναι, καὶ τὰ κατὰ τὸν Ὀδυσσέα πάθη διεξιέναι, ὧν εἵνεκα πλαγίως ἐπ' ἐκεῖνα ἐλήλυθε. Καὶ μή τις οἰηθείη, ὡς πλάσμα τὸ παράπαν ἐστὶν ἡ ποίησις Ὁμήρῳ, ἄνδρα τινὰ προστησαμένῳ, ὃς μήτε τοιοῦτος γέγονε πώποτε μήτε γενήσεται, οἷον οὗτός φησι· τοιοῦτόν τι ἐκ ποιητικῆς ἀδείας ἐτόλμησεν, οὐδ' οὕτως ἂν ἐλυμήνατο τῷ σκοπῷ, ἕως τὰ εἰκότα κατὰ πολλὴν περιουσίαν ἐδίδου τῷ πράγματι.

Ἴσασι πάντες καθ' ἓν καὶ σὺν δύο πολλάκις, καὶ πλέον ἢ σὺν δύο τοιαῦτα πάθη συμβαίνοντα τοῖς ἀνθρώποις· καὶ οὐδεὶς οὔτε τοῦ πάσχειν οὔτε τοῦ εἶναι χωρὶς γέγονεν, ὃς ταῦτ' ἀγνοεῖ· ἄλλως τε, τοῦτ' ἂν ἡ τῆς ποιητικῆς ἐλευθερίας ἦν ὅλως ἄξιον, ὥστε τοιοῦτό τι περὶ αὐτοῦ λογίσασθαι, ἢ τῆς ἀληθείας αὐτῆς καὶ τοῦ πράγματος, ἐν ᾧ πάντες ἴσμεν Ὀδυσσέα τινὰ πολυμήχανον ἄνθρωπον γεγονότα, βασιλέα Ἰθάκης καὶ Κεφαλλήνων, προσέτι καὶ πατέρα Σίσυφον, καὶ πάππον Αὐτόλυκον· οὓς καὶ δίκας τίνειν ἐν ᾅδου φασὶ μοχθηρᾶς εἵνεκα γνώμης· καὶ δὴ καὶ γυναῖκα Πηνελόπην, ἀρίστην γυναικῶν καὶ σώφρονα καὶ κοσμίαν· καὶ πατέρα ταύτης Ἰκάριον, καὶ υἱὸν δὲ μονογενῆ Τηλέμαχον. Εἰ τὸν Ὀδυσσέα πλάσμα δοίημεν εἶναι τῷ ποιητῇ πῶς ταῦτα τούτῳ συμβήσεται, καὶ πολλῷ δὲ πλείονα τούτων ὀνόματά τε καὶ πράγματα; Εἰ δὲ καὶ δοίημεν ὅλως, καὶ λῆρος ἐκεῖνα πάντ' εἴη Ὁμήρῳ, καὶ τοῖς ἄλλοις τῶν ποιητῶν, αἰδεστέος μάλιστα ὁ ἀνὴρ, ὅτι μηδὲν ἔχων εἰπεῖν τινα τῶν ἀπάντων τοσαῦτα πεπονθότα πράγματα, ὅμως αὐτὸς τετόλμηκε πλάσασθαι, ἵν' ἐκ παραδείγματος τηλικούτου διδάξειε τοὺς ἀνθρώπους μὴ δυσχεραίνειν ταῖς συμφοραῖς, μηδὲ τοῖς δεινοῖς ὑποκλίνεσθαι, ἀλλ' ἀνδρείως ἐνίστασθαι κατὰ γοῦν δύναμιν ἀνθρωπίνην, πρὸς τοιαύτην βλέποντας στήλην. Οὔτε γὰρ, οἶμαι, πενίαν ὀδύρετ' ἄν τις ἐνθάδε ὁρῶν, καὶ τὰ τοῦ ἥρωος σκοπῶν ἀτυχήματα, οὔτε γύμνωσιν, οὔτ' ἐξορίαν, οὐ ναυάγιον, οὐμενοῦν οὐ κινδύνους, οὐ πλάνην, οὐκ ἐπιβουλὴν φίλων, οὐχ ἑταίρων ἀποβολὴν, οὐ θάνατον αὐτὸν, ἢ παρὰ τῆς φύσεως ἢ παρὰ τῆς ἔξωθεν ἥκοντα βίας· οὐδὲ πάνυ' ὅσα συμπτώ-

ματα τοῖς ἀνθρώποις ὅπως ποτὲ γίνεται καὶ μεθ' οἵας γίνεται τῆς αἰτίας· ἠγήσαιτο δ' ἂν πάνθ' ὅσα τις ἂν πάθοι πολὺ δεύτερον τῶν ἐκείνου, καὶ γνησίως φιλοσοφήσειε καὶ χάριν τινὰ μεγίστην καὶ τῷδε σχοίη τῷ ποιητῇ, μὴ ὅτι πᾶν εἶδος ἀρετῆς καὶ γνώσεως ἀνθρωπίνης ἱκανῷ σαμάλιστα ὄντι τούτῳ διὰξαι, ἀλλ' ὅτι καὶ τῷδε τῷ μέρει ἐν ᾧ πάσχομεν τὰ δεινὰ, τῆς σοῦ ἀνδρὸς ἀπωνοματούσης· κοινὸν γάρ ἐστιν ὡς ἀληθῶς παιδευτήριον ἡ κατὰ τὸν Ὀδυσσέα ποίησις αὕτη, A καὶ τὸν μὴ καὶ παθόντα παθεῖν τι παρασκευάζουσα· καὶ τὸν παθόντα ἢ πάσχοντα, ἡσθοῦσα παρτερεῖν. Οὕτω σοφῶς πάλαι καὶ ποικίλως ὁ ποιητὴς προϋνόησε τῶν ἀνθρώπων καὶ κοινόν τι φάρμακον θεραπείας ἐκέρασε πᾶσι τοῖς τὰ δεινὰ πάσχουσι, τὰς πλάνας τοῦ Ὀδυσσέως συνθείς, καὶ ὅσα ἐκεῖνος πέπονθεν· ἔξεστι δὲ τοῖς συγγινομένοις αὐτῇ τῇ ποιήσει ὁρᾶν εἰ οὕτω ταῦτ' ἔχει, καὶ εἰ ἐκεῖνό τι ἄφελος οἷς αὐτοῦ δεῖ πρὸς τὸν κατὰ προαίρεσιν τῇ φιλοσοφίᾳ μελετώμενον θάνατον, ὃς ἐν τῷ παρόντι.

## ΣΗΜΕΙΩΣΑΙ ΤΗΝ ΑΠΑΣΑΝ ΔΙΗΓΗΣΙΝ ΤΟΥ ΟΔΥΣΣΕΩΣ, ΗΝ ΠΕΡΙ ΑΥΤΟΥ ΔΙΗΓΕΙΤΑΙ Ο ΟΜΗΡΟΣ.

Μετὰ τὴν τῆς Ἰλίου πόρθησιν ὁ Ὀδυσσεὺς ἐξώσθη βιαίοις ἀνέμοις, κατάρει πρὸς Κίκονας καὶ τὴν πόλιν αὐτῶν τὴν ἁδομένην Ἴσμαρον πορθεῖ, τὴν νῦν λεγομένην Μαρώνειαν, καὶ ἔμελλεν ἀποπλεῖν ἐκεῖνος· οἱ δὲ φίλοι αὐτοῦ οὐκ εἴων αὐτόν. Τῇ ἐπαύριον δὲ οἱ ἠπειρῶται Κίκονες πανσύδην ἀθροισθέντες, πανημέρως ἐμάχοντο· περὶ δὲ ἑσπέραν οἱ τοῦ Ὀδυσσέως ἡττῶνται, ἀποβαλόντες ἀνδρας ἑβδομήκοντα δύο, ἤτοι ἀφ' ἑκάστης νηὸς ἄνδρας ἓξ· δώδεκα γὰρ ναῦς εἶχεν ὁ Ὀδυσσεύς· οὕτω δὲ ἡττηθέντες ἀκουσίως ἀπέπλεον· ἀνέμοις δὲ συσχεθέντες δεινῶς καὶ μόλις ἐξελθόντες εἰς γῆν, δύο ὅλας ἡμέρας ἔκειντο πρὸς τὴν γῆν· τῇ τρίτῃ δὲ ἡμέρᾳ πλεῖν ἀρξάμενοι, μικροῦ δεῖν ἔμελλον ἁβλαβεῖς ἱκέσθαι πρὸς αὐτῶν πατρίδας. Ἀπὸ δὲ Μαλέου ἀκρωτηρίου Πελοποννήσου ἐξωσθέντες, ἐννέα νυχθημέρους δεινοῖς ἀνέμοις ἐφέροντο· τῇ δεκάτῃ δὲ ἡμέρᾳ τῇ γῇ τῶν Λωτοφάγων ἦτοι τῶν Καμαριναίων προσέδρασαν· ὑδρευσάμενοι δέ, δειπνοῦσι περὶ τὰς ναῦς· εἶτα ἐπεμψαν τρεῖς ἰδεῖν τὴν χώραν· οἱ γευσάμενοι τοῦ λωτοῦ, ὑποστρέφειν οὐκ ἤθελον· δήσας δὲ αὐτοὺς ὁ Ὀδυσσεὺς, ἀπέπλευσε. Καὶ ἦλθον νυκτὸς οὐκ εἰδότες εἰς νῆσον μικρὰν τῶν Κυκλώπων ἔρημον, αἶγας δὲ ἀγρίας πολλὰς ἔχουσαν· ὧν τῇ ἐπαύριον ἑκατὸν εἰκοσιοκτὼ θηρεύσαντες, εἱστιῶντο πανημερίως· περὶ δὲ ἑσπέραν πῦρ ἐθεώρουν ἐν τῇ γῇ τῶν Κυκλώπων, καὶ φωνῆς ἀμυδρᾶς ἤκουον· τῇ ἐπαύριον δὲ τὰς μὲν ἑνδεκα ναῦς ὁ Ὀδυσσεὺς αὐτοῦ καταλιπὼν ἐν τῇ μικρᾷ νήσῳ, τῇ ἑαυτοῦ μόνῃ ἀποπλεῖ πρὸς τὴν γῆν τῶν Κυκλώπων, κωπηλασίᾳ χρησάμενος, καὶ περί τινα πετρώδη καὶ ἀπόκρυφον αἰγιαλὸν, καὶ ταύτην ἀποκρύπτει τὴν ναῦν σὺν τοῖς ἑταίροις, αὐτὸς δὲ δώδεκα μόνους λαβὼν τῶν ἑταίρων, καὶ οἶνον Μαρωνείτου ἀσκὸν καὶ βρώματα, εἰσῆλθεν εἰς τὸ τοῦ Κύκλωπος σπήλαιον, ἐκείνου περὶ νομὴν τῶν πρόβατων ἠσχολημένου· ἱκετευόντων δὲ τῶν φίλων φαγεῖν τυροῦ καὶ γάλακτος, καὶ λαβεῖν ἐκ τῶν προβάτων καὶ ὑποχωρῆσαι, οὐκ ἤθελεν, ἕως ὁ Κύκλωψ περὶ ἑσπέραν ἐλθὼν, αὐτοὺς ἐν τῷ σπηλαίῳ κατέσχε, καὶ πρῶτα ποῦ τε ἡ ναῦς αὐτοῦ ἐστι, καὶ ὅπως αὐτὸς καλοῖτο· ὁ δὲ αὐτὸν ἀπατᾷ, τὴν ναῦν μὲν εἰπὼν ὑπὸ τοῦ κλύδωνος λυθῆναι, αὐτὸν δὲ Οὖτιν καλεῖσθαι· ὁ δὲ δύο λαβὼν B τῶν Ὀδυσσέως, ἑταίρων κατέφαγεν· εἶτα ὁμοίως καὶ τῇ ἐπαύριον δύο φαγὼν, καὶ τοὺς λοιποὺς κλείσας, ἐξήλαυνε τὴν ἀγέλην ἐπὶ τὴν νομήν· οἱ δὲ περὶ τὸν Ὀδυσσέα εὑρεπίσαντες ξύλον ἐπωξυμένον ὑπὸ πυρκαϊᾶν ἔθεντο, ὥστε ξηρανθὲν στερεωθῆναι· καὶ συνέθεντο ἐκτυφλῶσαι αὐτόν· ὃ καὶ ἐποίησαν.

Ἐλθόντος δὲ αὐτοῦ περὶ τὴν ἑσπέραν, καὶ εἰσελάσαντος ἐπὶ τὰ σπήλαια πάντα τὰ ποίμνια, καὶ πάλιν δύο τούτων φαγόντος, κιρνῶσιν αὐτῷ οἶνον προστάξει τοῦ Ὀδυσσέως, καὶ μεθυσθέντα τυφλοῦσιν αὐτόν· τοῦ δὲ βοῶντος προσῆλθον πάντες οἱ Κύκλωπες· ἀκούσαντες βοῶντος αὐτοῦ, ὡς Οὖτις μὲ ἐτύφλωσε, μεμηνέναι δοκήσαντες αὐτὸν, ὑπεχώρησαν· ὁ δὲ τῇ πρωΐᾳ τὰ ποίμνια ἐκβάλλει περὶ τὴν θύραν τοῦ σπηλαίου καθεσθείς· ὅπως ὕστερον κλείσας τὸ σπήλαιον, καὶ ἔνδον ἐντυχὼν αὐτοὺς ἀνέλῃ· οἱ δὲ προεξελθόντες ὑποκάτω τῶν προβάτων, καὶ πολλὰ ἐμβαλόντες τῷ πλοίῳ, ἀπέπλευσον· βοήσαντος δὲ τοῦ Ὀδυσσέως μετὰ τῶν ἑταίρων ὁ Κύκλωψ ἀκηκοὼς, λίθον παμμεγέθη ἄρας, καὶ τοῦτον βαλὼν ἐν θαλάττῃ, ἔστρεψεν ὑπὸ τοῦ κλύδωνος αὐτῶν τὴν ναῦν εἰς τὴν γῆν· ὡς δὲ πάλιν ἀποπλέοντες ἐβόων ἀναβρυνόμενοι, ἠρᾶτο τῷ Ποσειδῶνι μὴ ἀπολέσθαι αὐτοὺς εἰς τὰς ἑαυτῶν πατρίδας· καὶ πάλιν ὁμοίως λίθον βαλὼν εἰς τὴν θάλασσαν, ἤνεγκε τὴν ναῦν εἰς τὴν γῆν· εἶτα φοβηθέντες καὶ ἀποπλεύσαντες, ἦλθον εἰς τὴν μακρὰν νῆσον ἔνθα καὶ αἱ λοιπαὶ νῆες αὐτῶν ἦσαν· εὗρον δὲ τοὺς ἑτέρους δακρύοντας· καὶ τότε μὲν εὐωχηθέντες κοιμῶνται.

Τῇ ἐπαύριον δὲ κώπαις πλέοντες, ἦλθον εἰς Αἰολίαν, καὶ διατρίψαντες ἐκεῖσε μῆνα, λαβόντος τοῦ Ὀδυσσέως παρ' Αἰόλου τὸν τῶν ἀνέμων ἀσκὸν, ἀπέπλεον Ζεφύρῳ ἐννέα νυξὶ καὶ ἡμέραις δεκάτῃ δὲ τὴν Ἰθάκην καὶ ἀνθρώπους καὶ πῦρ καὶ καπνὸν ἐθεώρουν· πεμπηκόντος τοῦ Ὀδυσσέως καὶ κατευδήσαντος, λύουσι τὸν ἀσκὸν νομίσαντες χρήματα ἔχειν· καὶ ἐκχυθέντων τῶν ἀνέμων, ἁρπάσας αὐτοὺς ὁ κλύδων πάλιν ὑποστρέφει πρὸς Αἰολίαν. Αἴολος δὲ αὐτοὺς ἰδὼν ἱκετεύοντας, ἀποπέμπει ὡς ἐχθροὺς θεοῖς· οἱ δὲ εἰρεσίᾳ ἡμέρας ἓξ πλέοντες, τῇ ἑβδόμῃ περὶ Λαιστρυγονίαν ἦλυον· κατελθόντες δὲ οἱ Λαιστρυγόνες, κατέξαν τὰς δώδεκα ναῦς,

αὐτῶν πέτραις συν τοῖς λαοῖς πᾶσι· μόνος δὲ ὁ Ὀδυσσεὺς ἀποκόψας τῆς ἑαυτοῦ ναὸς τὰ πρυμνήσια, ἀπέδρασε· κῶπαις δὲ πλέοντες, ἦλθον εἰς τὴν Αἰαίην νῆσον τῆς Κίρκης, ἥτις ἐθηριοποίει τοὺς ἀνθρώπους· καὶ δύο ἡμέραις ὅλαις ἐπὶ γῆς ἑκεῖντο θεωροῦντες, τῇ τρίτῃ δὲ ἡμέρᾳ διαιρεθέντες εἰς μέρη δύο, ἔστησαν, ἐν μὲν τῷ ἑνὶ Εὐρύλοχος καὶ εἰκοσιδύο ἑταῖροι, ἐν δὲ τῷ ἑτέρῳ Ὀδυσσεύς, καὶ ἕτεροι εἰκοσιδύο ἑταῖροι, ὥστε ἀνελθεῖν τοὺς μετ' αὐτοῦ ἐπὶ τὴν Κίρκην· ἀνελθὼν σὺν ἐκείνοις, εἶδον ἔξωθεν τῆς αὐλῆς τῆς Κίρκης λύκους καὶ λέοντας ἡμέρους σαίνοντας αὐτοὺς ταῖς οὐραῖς· εἰσελθόντων δὲ τῶν φίλων, αὐτὸς ἔξω ἀπελείφθη· κἀκείνους μὲν ἡ Κίρκη χοίρους ποιεῖ, δοῦσα αὐτοῖς οἶνον μεμιγμένον τυρῷ, ἀλφίτοις καὶ μέλιτι. Εὐρύλοχος δὲ ἦλθε πρὸς τὸν Ὀδυσσέα καὶ τοὺς λοιπούς, ἀφωνίᾳ μὲν συνεχόμενος, ἐξ ὀφθαλμῶν δὲ ἀστακτὶ κατάρρεον τὰ δάκρυα, μόλις δέ ποτε εἰς ἑαυτὸν γεγονώς, τὸ πᾶν ἀφηγεῖται· καὶ ὁ Ὀδυσσεὺς αἰτεῖ αὐτὸν τὴν ὁδὸν ἀποδεῖξαι· ὡς δ' οὐκ ἐπείθετο, μόνος ὁ Ὀδυσσεὺς τῆς πορείας ἀπάρχεται. Ἑρμῆς αὐτῷ συναντήσας, τὰ τῆς Κίρκης πάντα κατέλεξε, καὶ δίδωσιν αὐτῷ τὸ μῶλυ· ὅπερ ἐστὶ βοτάνη ἀντιπαθοῦσα μαγείαις· καὶ οὕτω πρὸς τὴν Κίρκην ἐλθὼν οὐ μόνον οὐκ ἐθηριοποιήθη, ἀλλὰ καὶ τὸ ξίφος ἐπ' αὐτὴν ἑλκύσας, ἔπεισε καὶ τοὺς φίλους αὐτοῦ πάλιν ἐκ χοίρων ἀνθρώπους ποιῆσαι. Καταλθὼν δὲ ὁ Ὀδυσσεὺς, ἀνήγαγε καὶ τοὺς ἑτέρους φίλους αὐτοῦ, τοὺς μετὰ Εὐρύλοχον· καὶ χρόνον ἕνα περὶ τὴν Κίρκην διέτριψαν, συγκαθέζοντος τοῦ Ὀδυσσέως τῇ Κίρκῃ.

Μετὰ δὲ τὸ μέλλειν αὐτοὺς πλεῖν, εἶπεν αὐτοῖς μὴ ἄλλως εἶναι, αὐτοῖς εἱμαρμένον ἀποπλεῖν, εἰ μὴ κατέλθωσιν πρὸς ᾅδην καὶ χρήσωνται μαντείαις ἐκ τῆς Τειρεσίου ψυχῆς· καὶ δὴ δι' ἄλης ἡμέρας πλέοντες κατῆλθον διὰ τοῦ Ἐσπερίου καὶ Κιμμερίου ὠκεανοῦ, καὶ πυραύσιον βόθρον ὀρύξαντες· καὶ σφάξαντες κριὸν καὶ ὄρφνην θήλειαν, ἐξέχεαν εἰς τὸν βόθρον τὸ αἷμα, καὶ ἔθυσαν χοὴν τοῖς νεκροῖς, καὶ ἦλθον ψυχαὶ πιεῖν αἷμα. Ὁ Ὀδυσσεὺς δὲ κατέχων ξίφος, οὐκ εἴα πίνειν, πρὶν αὐτῷ καταλέξειαν ἅπερ βούλοιτο· καὶ πρώτη μὲν Ἐλπήνορος ἦλθε ψυχή, ὃς ἐν τῇ τῆς Κίρκης οἰκίᾳ ἔτι ἄθαπτος ἔκειτο· δευτέρα ἡ Ἀντίκλεια, ἡ μήτηρ τοῦ Ὀδυσσέως· εἶτα Τειρεσίας· ὃς πάντα μέλλοντα αὐτὸς καταλήψεσθαι ἐμαντεύετο· μετὰ ταῦτα πάντα ἦλθον καὶ αἱ τῶν ἡρώων γυναῖκες· λέγοντες αὐτῶν ὁ καθένας τίς εἴη, καὶ ὅσα ἐπεπόνθει· εἶτα φοβηθέντες μὴ ἡ Γοργὼ ἐξέλθῃ, ἐμβάντες πάλιν εἰς τὴν αὐτῶν ναῦν ὡς πρὸς τὴν Κίρκην νῆσον πρὸς αὐγὰς κειμένην, ἀπέπλευσαν· καὶ θάψαντες τὸν Ἐλπήνορα, ἀποπλέουσι παρὰ τῆς Κίρκης τὰ χρειώδη λαβόντες, καὶ τοῦ Ὀδυσσέως μαθόντος παρ' αὐτῆς, ὥσανεὶ παρὰ τοῦ Τειρεσίου, τὰς Σειρῆνας, τὰς Πλαγκτὰς, τὴν Σκύλλαν, τὴν Χάρυβδιν, τὰς βόας Ἡλίου καὶ πάντα ἁπλῶς.

Κηρῷ γοῦν ὁ Ὀδυσσεὺς ἐμφράξας τὰ ὦτα τῶν ἑταίρων, παρέπλει αὐτοὺς ἐπὶ τοῦ ἱστοῦ ἐκκρεμῆς ὤν, καὶ ἀκατάληπτα ἔχων τὰ ὦτα· παρελάσαντες οὖν τὸν λειμῶνα τῶν Σειρήνων, καὶ τὰ μέλη ἐκείνων, ὑφ' ὧν θελγόμενοι ἀπέθνησκον οἱ ἀκούοντες, λύουσι τὸν Ὀδυσσέα τοῦ ἱστοῦ· ἔπειτα παραπλεύσαντες τὰς Πλαγκτὰς πέτρας, ἃς πρὸς ἀλλήλας συνεκρότουν καὶ φοβερὸν ἀπετέλουν τὸν κτύπον (αὗται δὲ καὶ Κυάνεαι λέγονται, κεῖνται δὲ μεταξὺ Κιλικίας καὶ Παμφυλίας καθ' Ὅμηρον), καὶ τινας ἑτέρους, ἦλθον διὰ Χαρύβδεως καὶ πλησίον μᾶλλον τῆς Σκύλλης. Ἀφαρπαγέντων δὲ παρὰ τῆς Σκύλλης ἐκ τῆς νεὼς ἀνδρῶν ἓξ, οἱ λοιποὶ, συντονωτέρᾳ τῇ εἰρεσίᾳ χρησάμενοι, ἔφυγον· πρὸς δὲ νύκτα τῇ Ἡλίου νήσῳ ἀδομένῃ Θρινακρίᾳ προσπελάζουσι· καὶ ὁ Ὀδυσσεὺς παραπλεῖν αὐτὴν ἐκέλευσεν· οἱ δὲ μὴ πεισθέντες ἐξῆλθον· καὶ πρῶτα μὲν θηρεύσει καὶ ἀγχιστρείᾳ διέζων.

Ἐπεὶ δὲ Νότος ἔπνευ πρὸς μῆνα ὅλον, ἀνελθόντος πάλιν Ὀδυσσέως εἰς τὰ ἐνδότερον τῆς νήσου εὔξασθαι, καὶ κατακοιμηθέντος, σφάττουσιν οἱ μετ' Εὐρυλόχου βόας Ἡλίου, καὶ ἐσθίουσιν ἐπὶ ἓξ ὅλαις ἡμέραις· τῇ ἑβδόμῃ δὲ παυσαμένου τοῦ δεινοῦ ἀνέμου, ἐμβάντες ὥστε πλεῖν, Ζεφύρῳ πρῶτον μεγάλῳ συνθραύονται, εἶτα κεραυνοῦνται· ὁ Ὀδυσσεὺς δὲ μόνος τὴν τροπὴν κατέχων, ὁλονυκτὶ ὡς ἐφέρετο. Ἀνατέλλοντος δὲ τοῦ ἡλίου Νότῳ φερόμενος, ἦλθε πέρι τὴν Χάρυβδιν, καὶ δραξάμενος τῆς περὶ τοὺς τόπους ἐκείνους ἐστώσης συκῆς, ἀπεκρέματο περὶ αὐτήν· τὰ δὲ ξύλα κατέδυ πρὸς τὸν βυθόν. Ὀψὲ δὲ ἀναδυόντων αὐτῶν, καθεὶς ἑαυτὸν ἀπὸ τῆς συκῆς ἐπελάθετο τῶν ξύλων· καὶ ἐννέα μὲν οὕτω ἡμέραις ἐνήχετο· τῇ δεκάτῃ δὲ περὶ Ὠγυγίαν νῆσον ἦλθε τῆς Καλυψοῦς· καὶ ἐπτὰ χρόνους ἐκείνῃ συνδιῆγε· τῷ δὲ ὀγδόῳ ἀπελύθη μετὰ σχεδίας, Διὸς ὀργισθέντος τῇ Καλυψοῖ· καὶ οὕτω μετὰ τῆς σχεδίας Ὀδυσσεὺς δεκαεπτὰ ἡμέραις ἔπλευσεν· ὀκτωκαιδεκάτῃ δὲ τὴν Φαιακίαν ἤτοι τὴν λεγομένην Κέρκυραν εἶδεν· ἀνέμων δὲ γενομένων ὀργῇ Ποσειδῶνος κατεάγη ἡ σχεδία· δύο δὲ ὅλαις ἡμέραις ἐνήχετο. Τρίτῃ δὲ ἡ Λευκοθέα ἐλεήσασα αὐτὸν, δέδωκε τὸ κρήδεμνον αὐτῆς, μεθ' οὗ ἐξῆλθεν εἰς τὴν γῆν τῶν Φαιάκων, καὶ καταπεσὼν ἐν ὕλῃ, ἐκάθευδε.

Τῆς δὲ Ἀλκινόου θυγατρὸς Ναυσικάας μετὰ τῶν θεραπαινίδων αὐτῆς, πλύναι ἑαυτὴν καὶ τερφθῆναι παιδιαῖς σὺν ταῖς θεραπαινίσι, καὶ σφαιρίζουσῶν πρὸς ἀλλήλας, βοῆς γενομένης, ἐγείρεται ὁ Ὀδυσσεὺς, καὶ ἱκετεύει αὐτήν. Ἡ δὲ τροφὰς καὶ ἐσθῆτα δοῦσα, κελεύει τοῦτον ἐλθεῖν πρὸς τὸν οἶκον τοῦ ταύτης πατρὸς, καὶ τὴν αὐτῆς μητέρα ἱκετεῦσαι Ἀρήτην, ὡς ἂν τύχοι οὗπερ δὴ καὶ βούλοιτο· ἐκεῖσε δ' ἐλθὼν, ἐρωτᾶται παρὰ Ἀλκινόου καὶ τῆς Ἀρήτης, καὶ τὴν πᾶσαν ἣν ἔφημεν διηγεῖται ὑπόθεσιν. Καὶ δῶρα παρ' αὐτῶν ἱκανὰ λαβὼν εἰς τὴν Ἰθάκην πέμπεται.

τοῖς ἀρχαίοις ἔθεσι ἀνδρὸς σπουδαίου, καὶ σώζοντος τὰ αὐτοῦ. Καὶ πρόσεστι τῷ τὰ δίκαια ποιεῖν πρᾶγμα, τοσοῦτον. Σκέψασθαι γὰρ δίκαιον, τί μὲν ἂν ἐξέβη κοινῇ ψήφῳ ζητηθέντος τοῦ δόγματος, τί δ' ἐξέβη αὐτονομίᾳ χρησαμένων Λατίνων. Ἐκείνως μὲν γὰρ εἰρήνην ἂν ἦγεν ἡ Ἐκκλησία, καὶ θορύβων ἀπήλλακτο πάντων, οὐδενὸς ῥᾳδίως τοῖς κοινῇ δεδογμένοις ἀντιλέγειν τολμῶντος. Εἰ γὰρ καί τινες τῶν παλαιῶν εἰς τοῦτο μανίας ἀφίκοντο, ἀλλ' ὀλίγοι δή τινες, καὶ ἐπὶ βραχύ, καὶ προσφανέντες ἀπώλοντο (14). Εἰρήνης δὲ κεχυμένης (15) ἐν Ἐκκλησίᾳ, καὶ ὁ πάππας τῶν αὐτῷ προσηκόντων ἀπηλαύνετ' ἄν· τεσσάρων πατριαρχικῶν θρόνων ἀρχῆς νῦν στερούμενος. Οὕτω δὲ ἔχοντος, εἰρήνη μὲν οὐδαμοῦ· θεραπεῖαι δὲ ἐπινοοῦνται μὲν πολλαί, καὶ πολλαὶ διαλέξεις, καὶ πρεσβεῖαι τοσαῦται· ἡ νόσος δὲ ἔτι μένει, καὶ μενεῖ γε εἰς ἀεί, ἕως ἂν ἑαυτοῖς Λατῖνοι στοιχῶσιν (16).

nobis papæ primatum, dicemus iis, papam hæc agendo suum ipsius potius primatum evertere; at vero antiquæ consuetudini inhærendo, officium boni viri et sua tuentis atque servantis facere. Si enim quod justum est fiat, tale quid consequitur. Æquum enim est ut consideremus quid eventurum fuisset si communi sententia hæc controversia disceptata fuisset: quid vero nunc evenerit Latinis auctoritatem præscribendi leges sibi arrogantibus. Nam illo modo Ecclesia omnibus motibus et tumultibus libera in pace tranquillitateque degeret, nemine facile contradicere audente iis quæ communi decreto sancita fuissent. Tametsi enim veterum quidam eo dementiæ venerunt, sed et pauci admodum et perquam exiguo tempore visi perierunt. Conturbata vero Ecclesiæ pace, ipse quoque iis quæ ipsi debentur excidit. Quippe qui quatuor patriarchalium sedium primatu sit privatus. Rebus autem ita constitutis, nusquam pax. Remedia vero excogitantur quidem non pauca, colloquia multa, legationes etiam crebræ; morbus autem manet, et mansurus porro est, quandiu Latini in proposito suo perstiterint.

Ἐξουσίαν ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασιν ἔσχεν ὁ πάππας. Φημὶ κἀγώ. Οὐκοῦν μὴ ἀντιλεγέτω τοῖς τῶν Πατέρων νόμοις. Ἐκεῖνοι οἰκουμενικῷ δικαστηρίῳ τὰ τῆς Ἐκκλησίας ἐκύρουν. Ἕκαστος τῆς παρ' ἑκάστου συμμαχίας ἐδεῖτο. Ἤδεσαν γὰρ τὴν ἀνθρωπίνην ἀσθένειαν. Τοῖς ἐκείνων καὶ ὁ πάππας ἐπέσθω νόμοις· καὶ μὴ πρότερον κυροῦτω τὸ δόγμα, πρὶν ἂν μετὰ τῶν ἄλλων περὶ τούτου συνδιασκέψηται. Εἰ δ' οὐ παρὰ τῶν Πατέρων, ἀλλὰ παρὰ τῶν ἀποστόλων τὴν ἐξουσίαν εἰλήφει, ἀκουέτω Παύλου λέγοντος, νῦν μέν, « Οὐκ ἐχρησάμην τῇ ἐξουσίᾳ, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ· » νῦν δὲ περὶ τῆς ἐξουσίας « Ἣν ἔδωκεν ἡμῖν ὁ Κύριος εἰς οἰκοδομήν, καὶ οὐκ εἰς καθαίρεσιν. » Εἰ τοίνυν καὶ αὐτὸς ἐξουσίαν ἔχων μὴ κεχρήσθω ταύτῃ ἐφ' οἷς οὐ προκόπτει τὸ Εὐαγγέλιον, ἵνα κατὰ Παῦλον καὶ αὐτὸς τρέχῃ, τὸν ἀποστολικὸν ἄνδρα ἐν πᾶσι δεικνύς· ἢ κεχρήσθω μὲν, πλὴν εἰς οἰκοδομήν, καὶ οὐκ εἰς καθαίρεσιν. Ὡς νῦν γε, εἴτε εἰς οἰκοδομὴν τὸ πρᾶγμα ἀφορᾷ, εἴτε μὴν εἰς τοὐναντίον, ἀγνοεῖν οὐδένα νομίζω. Ἀνάγνωθι δὲ καὶ τὸν περὶ τούτων τῶν θείων ἀποστόλων κανόνα, λθ' (17) ἀριθμόν.

Atqui potestatem, inquiunt, in rebus ecclesiasticis habuit papa. Aio et ego. Ne igitur Patrum decretis adversetur. Illi universali concilio ecclesiastica negotia stabilierunt. Unusquisque alterius auxilio indigebat. Humanæ enim imbecillitatis erant conscii. Illorum legibus etiam papa obtemperet, neque ante dogma aliquod sanciat, quam una cum aliis de eo disceptatum sit. Quod si vero non a Patribus, sed ab apostolis potestatem accepit, audiat Paulum apostolum dicentem: « Nunc quidem non sum usus hac potestate, ne quod offendiculum demus Evangelio Christi[1]. » Alibi vero: « De potestate quam nobis dedit Dominus in ædificationem, et non in destructionem[2]. » Si ergo etiam ipse potestatem habet, ne utatur illa nisi ad profectum Evangelii, ut Pauli vestigiis insistens apostolicum virum in omnibus se declaret. Aut utatur illa quidem ad ædificationem, et non potius ad eversionem. An vero nunc quidem ad ædificationem, an contra ad destructionem res pertineat, neminem latere puto. Legat autem qui volet, his de rebus canonem apostolicum XXXIV numero:

[1] I Cor., IX, 12. [2] II Cor., XIII, 10.

(14) *Καὶ προσφανέντες ἀπώλοντο.* Vel priusquam scriptos libros vidissem, legendum esse videbam, καὶ ἐπὶ βραχὺ καὶ πρὸς μικρὸν φανέντες ἀπώλοντο. Nunc cum et illi accesserint ad meæ conjecturæ confirmationem, nemini dubium esse potest, quin ita reponi debeat, præcipue cum aliter constare sententia vix queat.

(15) *Εἰρήνης δὲ κεχυμένης.* Hæc longe aliter accipienda et vertenda erant, quam putavit doctus interpres. Nam verbum quod sequitur ἀπηλαύνετ' ἄν manifesto corruptum est, pro quo jampridem restituendum videram ἀπήλαυεν ἄν. Igitur, εἰρήνης κεχυμένης ἐν Ἐκκλησίᾳ, non est *perturbata Ecclesiæ pace*, quod verum esset, si legeretur συγκεχυμένης. Ita accipiendum ac si scripsisset, εἰρήνη κεχυμένη εἰς ἐκκλησίαν. Nam ἐν ἐκκλησίᾳ pro εἰς ἐκκλησίαν positum est. Notum est studiosis moris esse Græcis recentioris ævi has duas præpositiones interdum confundere, et alteram pro altera ponere. Dicit igitur Nilus, si per Ecclesiam universam pax *fusa esset* (ita κεχυμένην interpretamur) Papam ipsum quoque iis quæ ipsi debentur fruiturum esse, cum nunc propter illud dissidium, universa turbata Ecclesia, quatuor patriarchalium sedium primatu ipsi carendum sit, quæ sibi jure deberentur rebus compositis, et pace Ecclesiarum firmata. Hæc hujus loci sententia est.

(16) *Ἕως ἂν ἑαυτοῖς Λατῖνοι στοιχῶσιν.* Ἑαυτοῖς στοιχεῖν. Nilus Constantinopolitanus elegantissimus, et eloquentissimus scriptor dixit: Δεῖται στοιχεῖν. Οἱ δὲ πολλοὶ καχάνων ὠμῶν καὶ ἀκροδρύων στοιχοῦσι διαίτῃ τράπεζαν ἀκαρύκευτον ἀγαπῶντες καὶ ἄτεχνον. Multa de hujus verbi notione in recentioris Græciæ scriptis observavimus, quæ hic libenter omittimus. Non enim commentarios scribimus.

(17) *Ἀποστόλων κανόνα λθ'.* Scribe λδ' ex libris. Hunc numerum agnovit interpres, nec falsus est.

« Episcopos singularum gentium, nosse oportet eum qui inter ipsos est primus eumque censere tanquam caput, neque quidquam curiose facere, absque illius sententia : illa autem sola quemque facere, quæ ad Ecclesiam ipsius, et loca ei subdita attinent. Sed neque ille sine omnium sententia aliquid faciat. Ita enim concordia erit, et Deus glorificabitur per Dominum in sancto Spiritu, Pater et Filius et Spiritus sanctus. » Audisti quid lex aperta voce proclamet : neque episcopis gentium licet quidquam absque ejus qui primus est sententia statuere : eademque plane ratione ne illi quidem qui primus est, non consentientibus iis qui ipsi subditi sunt. Quid ita? quod scilicet, nisi ita fiat, concordia dissolvatur, inimicitiæ contra et schismata ac rixæ introducantur ; quodque gravissimum est, divino Numini debitus honos adimatur.

Cum igitur res nostræ miserandum vaine in modum se habeant, hortor vos, ne clausulam illam, Ita enim concordia erit, leviter percurratis. Neque enim temere aut fortuito dictum illud fuit a discipulis veritatis : sed cum scirent disceptando simulque inquirendo veritatem inveniri, et pacem conciliari, ita legem protulerunt. An vero soluta sit concordia, ideo quod stabilitum sit dogma, insciis aliis universalibus episcopis, necne, considerate, quæso, per Dominum. Quinam vero sint qui id pro rato habeant, ante communem de eo disceptationem, ne hoc quidem quisquam ignorat. Porro primatus quem episcopus Romanus obtinet in alios universales episcopos, non est æqualis ei quem obtinet episcopus unius gentis in subditos. Illic enim, primatus, ordinis tantum est, et in verbis magis quam in rebus positus ; cum in plurimis æqualitas spectetur. At vero in iis qui primatum obtinent alicujus gentis, non item, sed æqualitas quidem in verbis, primatus vero in rebus. Non igitur hæc quidem divini apostoli dixerunt, et veluti regulam ac terminum præfinierunt. Ipsi vero aliter rem instituerunt, auctoritatem præscribendarum legum usurpantes. Sed Paulus quidem quantumvis Christum habens in se loquentem, et vocatus vas electionis : nihilominus tamen ad apostolos ipso priores se refert, communicatque cum eis Evangelium, ne quo modo in vanum curreret vel cucurrisset. Quinetiam sacri illius duodenarii cœtus præsul ille, inquam, apostolorum coryphæus divinus Petrus, etiam corrigi se a Paulo patitur, et reprehensus, silet ; cumque justius quam papa dicere posset : Quæ a me facta sunt coryphæo sacri cœtus declarato, lex sunt aliis, hæc nequaquam dixit : imo vero reprehensionem æquo animo amplexus est, et iis quæ Paulo visa sunt, non contradicit. Quid enim ait beatus Paulus ad Galatas

A θμούμενον. « Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλήν, καὶ μηδέν τι πράττειν περιττὸν ἄνευ τῆς ἐκείνου γνώμης· ἐκεῖνα δὲ μόνον πράττειν ἑκάστῳ, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει, καὶ ταῖς ὑπ' αὐτὴν χώραις. Ἀλλὰ μηδὲ ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι. Οὕτω γὰρ ὁμόνοια ἔσται, καὶ δοξασθήσεται ὁ Θεὸς διὰ Κυρίου ἐν ἁγίῳ Πνεύματι, ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον. » Ἤκουσας τί διαῤῥήδην ὁ νόμος βοᾷ, οὔτε τοῖς τῶν ἐθνῶν ἐπισκόποις κυροῦν ἔξεστιν οὐδ' ὁτιοῦν ἄνευ τῆς τοῦ πρώτου γνώμης, οὔτ' ἐκείνῳ κατὰ τὸν ὅμοιον τρόπον, μὴ συμφωνούντων τῶν ὑπ' αὐτόν. Διὰ τί; Ὅτι τούτου μὴ γενομένου, λύεται μὲν ὁμόνοια, ἀντεισάγεται δὲ ἔχθρα καὶ σχίσματα καὶ ἔριδες· τὸ δὲ

B δεινότατον, ὅτι καὶ τῆς ὀφειλομένης δόξης τὸ θεῖον στέρεται.

Ἐλεεινότατα οὖν διακειμένων ἡμῶν, μὴ ἁπλῶς παραδράμητε (18) παρακαλῶ τὸ, Οὕτω γὰρ ὁμόνοια ἔσται. Οὐ γὰρ εἰκῇ καὶ ὡς ἔτυχεν εἴρηται τοῦτο τοῖς μαθηταῖς τῆς ἀληθείας· ἀλλ' εἰδότες, ὡς τὸ διασκέπτεσθαι καὶ συζητεῖν καὶ ἀληθείας εὑρετικὸν, καὶ εἰρήνης αἴτιον, οὕτω τὸν νόμον ἐξήνεγκαν. Εἰτε δὲ λέλυται τὰ τῆς ὁμονοίας διὰ τὸ κυρωθῆναι τὸ δόγμα, ἀγνοούντων τῶν ἄλλων καθολικῶν ἐπισκόπων, εἴτε καὶ μή, σκέψασθε πρὸς Θεοῦ. Τίνες δὲ οἱ κύριον τοῦτο νομίσαντες, πρὸ τῆς κοινῆς ἐξετάσεως, καὶ τοῦτο οὐδεὶς ἀγνοεῖ. Καίτοι γε οὐκ ἦν τὸ πρωτεῖον τοῦ τε Ῥώμης ἐπισκόπου πρὸς τοὺς ἄλλους καθολικοὺς ἱερεῖς, καὶ τοῦ προϊσταμένου ἔθνους ἑνὸς πρὸς

C τοὺς ὑπ' αὐτόν. Ἐκεῖ μὲν γὰρ ἐν τάξει μόνον, καὶ ἐν λόγοις μᾶλλον ἢ πράγμασι τὰ πρωτεῖα, ἰσότητος ἐν πλείστοις θεωρουμένης· ἐπὶ δὲ τῶν πρώτων ἑκάστου ἔθνους οὐχ οὕτως, ἀλλ' ἡ μὲν ἰσότης ἐν λόγοις, τὸ δὲ πρωτεῖον ἐν πράγμασιν. Οὐ τοίνυν εἶπον μὲν ταῦτα οἱ θεῖοι ἀπόστολοι, καὶ ὡς κανόνα καὶ ὅρον ἐξέθεντο, αὐτοὶ δὲ ἑτέρως ἐποίουν, αὐτονομίᾳ χρώμενοι. Ἀλλ' ὁ μὲν μακάριος Παῦλος, καίτοι τὸν Χριστὸν ἔχων (19) ἐν ἐκυτῷ λαλοῦντα, καὶ σκεῦος κληθεὶς ἐκλογῆς, ὅμως ἀνέρχεται πρὸς τοὺς πρὸ αὐτοῦ ἀποστόλους, καὶ κοινοῦνται αὐτοῖς τὸ Εὐαγγέλιον, μήπως εἰς κενὸν τρέχῃ, ἢ ἔδραμεν. Ὁ δὲ τῆς ἱερᾶς

D δωδεκάδος ἔξαρχος, ὁ τῶν ἀποστόλων ἄκρος, ὁ θεῖος Πέτρος, καὶ διορθούμενος παρὰ τοῦ Παύλου, ἀνέχεται, καὶ ἐπιτιμώμενος, σιωπᾷ, καὶ δικαιότερον ἢ ὁ πάππας λέγειν ἔχων, ὡς τά γε ἐμοὶ πεπραγμένα νόμος τοῖς ἄλλοις, κορυφαίῳ γε ἀποδειχθέντι τοῦ ἱεροῦ χοροῦ· ταῦτα οὐκ εἶπεν, ἀλλὰ τήν τε ἐπιτίμησιν ἀσμένως ἐδέξατο, καὶ τοῖς παρὰ τοῦ Παύλου κειμένοις οὐκ ἀντιλέγει. Τί γάρ φησιν ὁ μακάριος Παῦλος Γαλάταις γράφων; « Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. » Καὶ πάλιν, « Ἀλλ' ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν, εἶπον τῷ Πέτρῳ

(18) *Μὴ ἁπλῶς παραδράμητε.* Amplissimi Servini liber addit, τοίνυν, μὴ τοίνυν ἁπλῶς παραδράμητε. Quod si recipimus, expungendum erit τὸ οὖν quod præcedit, hoc modo, ἐλεεινότατα διακειμένων ἡμῶν μὴ τοίνυν ἁπλῶς παραδράμητε, etc. Et sane illud οὖν non comparet in Palatino codice.

(19) *Καίτοι Χριστὸν ἔχων.* Idem liber, καὶ τότε, perperam. Sententia enim postulat, καίτοι.

ἔμπροσθεν πάντων, Εἰ σὺ Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν; Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί· εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ. » Ἐπεὶ δὲ πάλιν κεκίνηται ὁ τοῦ περιτέμνεσθαι λόγος διὰ τὸν κεκρατηκότα νόμον Μωσέως, καὶ ζήτημα ἐν τῇ Ἐκκλησίᾳ προὐτέθη παρὰ τῶν ἀποστόλων καὶ τῶν ἐν Ἱεροσολύμοις πρεσβυτέρων, τί δεῖ ποιεῖν ἀξιοῦσι μαθεῖν· διακονοῦνται δὲ ταῖς ἀποκρίσεσι Παῦλος καὶ Βαρνάβας καὶ τινες ἄλλοι. Γενομένων δὲ ἐν Ἱερουσαλὴμ, οὐ τὸ πρωτεῖον ἁρπάζει Πέτρος, οὐδ', « Ἐμοὶ, φησὶ, κανονίζειν ἐφεῖται τά γε τοιαῦτα· ἀλλὰ συνάγονται μὲν οἱ ἀπόστολοι, συνάγονται δὲ οἱ πρεσβύτεροι, ἰδεῖν περὶ τοῦ λόγου τούτου. Καὶ οὔτε Πέτρος τοὺς ἀποστόλους ἐλαύνει, ἑαυτῷ τὸ πρωτεῖον ταύτῃ περιποιούμενος (20)· οὔτε οἱ ἀπόστολοι τοὺς ἐν Ἱερουσαλὴμ πρεσβυτέρους. Οὐ γὰρ τοιαῦτα ἐπαιδεύθησαν παρὰ τοῦ Χριστοῦ, οὐδ' οὕτω τὸ πρωτεῖον ζητεῖν· ἀλλὰ καὶ τῶν ἐσχάτων ἀποκαλυφθέντων ἃ ποιητέον ἐστὶ, σιγῶσιν οἱ πρῶτοι. Σημεῖον δέ· συνιόντων γὰρ τῶν ἀποστόλων καὶ πρεσβυτέρων, καὶ πολλῆς περὶ τοῦ πράγματος γενομένης ζητήσεως, Πέτρος μὲν προκατάρχει τοῦ λόγου· διαδέχεται δὲ τὸν λόγον ὁ θεῖος Ἰάκωβος, καὶ τοῖς παρὰ τοῦ Ἰακώβου ἐπείθοντο πάντες (21), καὶ Πέτρος αὐτὸς, καὶ ἀπόστολοι, καὶ πρεσβύτεροι. Οὕτως ἐφίλουν τὸν Χριστὸν οἱ μακάριοι ἐκεῖνοι· οὕτως ἐκεῖνοι ἀληθείας ἅμα καὶ ἐκκλησιαστικῆς εἰρήνης ἐφρόντιζον. Εἶτα ἀπόστολοι μὲν οὕτω ζητοῦντες τὴν ἀλήθειαν διετέλεσαν, καὶ νόμον περὶ τούτων ἐξ θεντο· ὑμεῖς δὲ τἀναντία δρῶντες ἐκείνων, ἄλλους τινὰς πρὸ ὑμῶν αὐτῶν, τῆς τοιαύτης διαστάσεως αἰτιᾶσθαι δίκαιοι. Καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον (22);

scribens? Cum autem venisset Petrus Antiochiam, in faciem ei restiti, quia reprehensibilis erat. » Et rursus: « Sed cum vidissem quod non recte ambularent ad veritatem Evangelii, dixi Cephæ coram omnibus: Si tu cum Judæus sis, gentiliter vivis et non Judaice, quomodo gentes cogis Judaizare? Nos natura Judæi, et non ex gentibus, peccatores. Scientes autem quod non justificatur homo ex operibus legis, nisi per fidem Jesu Christi[a]. » Rursus vero cum sermo esset motus de circumcisione ex præscripto legis Mosaicæ quæ obtinebat, quæstioque in Ecclesia proposita esset ab apostolis et presbyteris Hierosolymitanis, quid facto opus esset discere cupiunt. Inserviunt vero responsionibus Paulus et Barnabas, ac nonnulli alii. Cum Hierosolymis essent, non ad se primatum rapit Petrus, neque inquit: Mihi permissum est regulam in his præscribere; sed congregantur apostoli, congregantur et presbyteri, ut de hoc dispiciant: et neque Petrus apostolus arcet, sibi ipsi eo pacto primatum vindicans, neque apostoli presbyteros qui erant Hierosolymis. Nec enim talia edocti erant a Christo, neque sic primatum captare; sed cum postremi quid faciendum esset propalarent, tacent primi. Argumentum vero ac signum, hoc est. Cum enim convenissent apostoli simul et presbyteri, magnaque hac de re quæstio orta esset, Petrus quidem præ aliis sermonem auspicatur; cujus orationem excipit divinus Jacobus, et Jacobi sententiæ assenserunt omnes, et Petrus ipse, et apostoli ac presbyteri. Adeo beati illi Christum amabant, adeo illis veritas pariter et pax ecclesiastica curæ erant. Deinde apostoli quidem hoc pacto veritatem quærentes, etiam legem de his statuerunt. Vos autem, cum contraria ab illis faciatis, anne alios quospiam potius quam vosmet ipsos hujus tam gravis dissensionis merito incusare possitis?

[a] Galat. II, 11-15.

(20) *Ἑαυτῷ τὸ πρωτεῖον ταύτῃ περιποιούμενος.* Ita etiam Palatinus, ταύτῃ περιποιούμενος. Sed Ενδοξος ille Servinus elegantem vocem ex scripto suo codice adnotavit, τὸ πρωτεῖον λαύτης, et λαύτην esse vult *loca lautia*, quorum mentio apud Apuleium et Sidonium Apollinarem epistola octava; adde Plutarchum περὶ Ῥωμαϊκῶν, et Polybium περὶ πρεσβειῶν. Quæ sint *loca lautia*, et quam bene vox λαύτης huic loco conveniat non possumus jam ignorare. Itaque nos tanti viri auctoritate permoti λαύτης restituimus et τὸ ταύτῃ expungimus. Qui hanc vocem usurpaverit ex recentioris Græciæ scriptoribus, neminem alium nisi hunc Nilum novi. Sed non nescimus multas peculiares τῶν λέξεων χρήσεις, multas etiam καινοτομουμένας λέξεις apud hunc aut illum reperiri. Quarum usum si quis ex aliis auctoribus firmare satis ageret, frustra esset.

(21) *Ἐπείθοντο πάντες.* Palatinus, ἐπείθονται; puto, πείθονται. Præcedit enim, διαδέχεται, καὶ προκατάρχει. Sic et hoc loco, πείθονται.

(22) *Καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον;* Post hæc verba, καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον, multa desunt in vulgatis quæ jampridem ex suo codice supplevérat amplissimus Servinus: quæ nos item exstare in libro Palatino testamur. Quæ quare omittenda fuerint, non video, nec cur reponenda non sint. Ita igitur in scriptis libris habetur: Καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον; Τί τοίνυν φημί; καὶ ὁρᾶτε ὡς ἁπλᾶ καὶ δίκαια λέγω. Εἰ μέν τις οἰκουμενικὴ σύνοδος περὶ τοῦ, τί δεῖ νομίζειν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος ἐκ τοῦ Υἱοῦ ἀπεφήνατο, τοῦτο κρατεῖν, καὶ μὴ τὰ κοινῇ δεδογμένα λύειν. Εἰ ἕνοχος ἂν εἴη πάντως τοῖς ἐκεῖ λαληθεῖσιν ἐπιτιμίοις, ὁ παρὰ τὰ διορισμένα δοξάζων. Εἰ δ' οὕτω κοινῇ γνώμῃ περὶ τοῦ προτεθέντος διέκρινεν, ἀναγνώσκεσθαι μὲν τὸ παρὰ τῶν ἁγίων Πατέρων ἐκτεθὲν σύμβολον, καὶ πιστεύειν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· πότερον δὲ ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεται, ἢ καὶ ἐκ τοῦ Υἱοῦ, τούτων δὲ μηδ' ἕτερον Κύριον ἡγεῖσθαι, ἕως ἂν αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον διὰ κοινοῦ συλλόγου περὶ ἑαυτοῦ ἀποφήνηται, εἴτε ἐκ μόνου τοῦ Πατρὸς, εἴτε δὴ καὶ ἐκ τοῦ Υἱοῦ. Ἀλλ' ὁ περὶ τῆς ἐκπορεύσεως λόγος τοῦ ἁγίου Πνεύματος, ἐκ τοῦ Υἱοῦ φησιν, ἀρχαῖος τῇ Ἐκκλησίᾳ. Quæ data opera fuisse omissa vel cæco apparent. Nec enim hic defectus ex properantia librarii natus est, qui tot versus transilierit, sed de industria resecta ab eo qui ut his omissis continuationem sensus et verborum reconcinnaret, hæc mutavit: Ἀλλὰ τὸ δόγμα περὶ οὗ ἀμφισβητεῖ τε φασὶν, ἀρχαῖον τῇ Ἐκκλησίᾳ, etc. Sed ut sese habeant ista, quædam in illis verbis, quæ superius posui-

Cæterum, inquiunt, dogma de quo disceptatis vetus est in Ecclesia, et ab apostolis ac Scripturis traditum; neque justum œcumenicam ob hoc synodum congregari. Primum quidem hoc quæritur, an ab apostolis traditum sit; neque oportet quæsita pro confessis statuere. Præterea quis nescit, quod etiam hoc, Filium esse coessentialem Patri, et Spiritum Patri et Filio, et alia quæcunque œcumenicis actis stabilita sunt, vetera erant, et apostolicæ propheticæque traditiones, imo potius Spiritus sancti oracula. Quæ quidem cum talia essent: nihilominus tamen, universalia concilia Ecclesiæ habenda fuerunt, ut veritas investigaretur, inventaque stabiliretur, omnisque contradicentibus occasio præriperetur. At inquiunt, universalibus conciliis nequaquam proposita fuit inquisitio veritatis, sed convenerunt ut eam confirmarent: ideoque etiam nunc, non in dubium vocari hoc dogma, justum esse, sed stabiliri. Quo pacto vero hoc ais? Si quidem nulla universalium Ecclesiarum contradicat, aut alioquin una sola, aut pauci aliquot, assentior et ego. Si vero, cum quinque sint Ecclesiæ universales, una reliquis contradicit; an non justum sit omnes convenire, et infinitis votis, summaque disquisitione habita dogma stabiliri? Adhæc, quid sibi volunt in conciliis quæ recitantur, quæ proponuntur, quid instantiæ, ac super his solutiones? an non, ut inveniatur veritas? Quo pacto autem inveniatur, nisi prius quæsita? Lege vero etiam Acta primæ synodi. Incides enim ibi in philosophos, prolixe admodum contradicentes; postea, demonstrata veritate, ab omni conflictatione desistentes.

At quænam, inquiunt, sunt quatuor Ecclesiæ? cum unica enim conflictamur Constantinopolitana. Reliquæ enim tres verba sunt tantum, re vacua, cum sub Barbaris degant, minimeque habeant qui de veritate sciscitentur, utpote sapientia ibi neutiquam locum habente. Sed non hoc, o bone, justitiæ ratio postulat; neque quia judiciis divinis traditæ sunt, contemnendas eas statim censeamus, quamdiu intelligimus proprias Christianis esse tentationes. Præterea, tales Ecclesiæ etiam tempore septimæ synodi sub Barbaris erant, neque tamen idcirco juri ipsarum quidquam derogabatur, sed cum universales metropolitani ipsi non adessent, per vicarios suam quisque sedem obtinebat, et papa Adrianus acta laudavit atque approbavit. Quod vero sapientiæ in illis Ecclesiis

A Ἀλλὰ, Τὸ δόγμα περὶ οὗ ἀμφισβητεῖτε, φασὶν, ἀρχαῖον τῇ Ἐκκλησίᾳ, καὶ παρὰ τῶν ἀποστόλων καὶ τῶν Γραφῶν παραδέδοται· καὶ οὐ δίκαιον περὶ τούτου σύνοδον οἰκουμενικὴν ἀθροίζειν. Πρῶτον μὲν τοῦτο ζητεῖται, εἰ παρὰ τῶν ἀποστόλων, εἰ παρὰ τῶν Γραφῶν παραδέδοται· καὶ οὐ χρὴ τὰ ζητούμενα ὡς ὁμολογούμενα ὑποτίθεσθαι· ἔπειτα τίς οὐκ οἶδεν ὅτι καὶ τὸ ὁμοούσιον εἶναι τὸν Υἱὸν τῷ Πατρὶ, καὶ τὸ Πνεῦμα Πατρὶ καὶ Υἱῷ, καὶ τἆλλα ὅσα γε οἰκουμενικαῖς ἐκυρώθησαν πράξεσιν, ἀρχαῖά τε ἦσαν, καὶ ἀποστολικαὶ καὶ προφητικαὶ παραδόσεις, μᾶλλον δὲ Πνεύματος ἁγίου φωναί; Ἀλλὰ καὶ τοῦτο, ὄντων (23) συνόδων οἰκουμενικῶν τῇ Ἐκκλησίᾳ, ἐδέησεν, ἵνα τὸ ἀληθὲς ζητηθῇ, καὶ εὑρεθὲν κηρυχθῇ, καὶ τοῖς ἀντιλέγουσι πᾶσα πρόφασις περιαιρεθῇ. Ἀλλ' ἐν ταῖς B οἰκουμενικαῖς τῶν συνόδων, φασὶν, οὐ πρόθεσις ἦν ζητηθῆναι τὴν ἀλήθειαν, ἀλλὰ συνῆεσαν, ἵνα ταύτην κυρώσωσιν· ὥστε καὶ νῦν οὐ ζητηθῆναι τὸ δόγμα δίκαιον (24), ἀλλὰ κυρωθῆναι. Πῶς τοῦτο λέγεις; Εἰ μὲν μηδεμιᾶς καθολικῆς Ἐκκλησίας ἀντιλεγούσης, ἢ μιᾶς μόνης, ἢ ὀλίγων δή τινων, φημὶ κἀγώ· εἰ δὲ πέντε τῶν καθολικῶν Ἐκκλησιῶν οὐσῶν, ἡ μία ταῖς λοιπαῖς ἀντιλέγει, οὐ δίκαιον συνιέναι πάσας, καὶ μετ' εὐχῶν μυρίων καὶ τοσαύτης ζητήσεως κυρωθῆναι τὸ δόγμα; Ἔπειτα τί βούλονται τὰ ἐν ταῖς συνόδοις ἀναγινωσκόμενα, τὰ προβαλλόμενα, αἱ ἐντάσεις, αἱ πρὸς ταύτας λύσεις; Οὐχ ἵνα εὑρεθῇ ἡ ἀλήθεια; Πῶς δ' ἂν εὑρεθείη, μὴ ζητηθεῖσα πρότερον; Ἀνάγνωθι δὲ καὶ τὰ ἐν τῇ πρώτῃ συνόδῳ. Ἐντεύξῃ γὰρ ἐκεῖ φιλοσόφοις, μέχρι πολλοῦ τινὸς ἀντιλέγουσιν, εἶτα, τῆς ἀληθείας ἀποδειχθείσης, κατα- C θεμένοις τὴν μάχην.

Ἀλλὰ τινες, φασὶν, οἱ τέσσαρες Ἐκκλησίαι; Πρὸς μίαν ἡμῖν ὁ πόλεμος, τὴν ἐν Κωνσταντίνου πόλει. Αἱ γὰρ τρεῖς, λόγος μόνον, πράγματος ἔρημος, ὑπὸ Βαρβάροις τελοῦσαι, καὶ ἥκιστα ἔχουσαι τὸν ὑπὲρ ἀληθείας ἐροῦντα, ἅτε σοφίας μηδαμῶς ἐκεῖ χώραν ἐχούσης. Οὐ τοῦτο, ὦ μακάριε, ὁ τοῦ δικαίου βούλεται λόγος· οὐδὲ, διότι παρεδόθησαν Θεοῦ κρίμασι, καταφρονητέας αὐτὰς εὐθὺς νομιοῦμεν, ἕως ἂν εἰδῶμεν ἴδιον Χριστιανῶν εἶναι τοὺς πειρασμούς. Ἔπειτα αἱ τοιαῦται Ἐκκλησίαι καὶ κατὰ τὴν ἑβδόμην σύνοδον ὑπὸ Βαρβάροις ἦταν· καὶ παρὰ τοῦτο D τῶν αὐταῖς προσηκόντων οὐκ ἐστερήθησαν, ἀλλὰ καὶ τῶν καθολικῶν ἀρχιερέων μὴ παραγενομένων, τοποτηρηταῖς ἕκαστος τὴν ἑαυτοῦ καθέδραν ἐπλήρουν. Καὶ ὁ πάππας Ἀδριανὸς ἐπῄνει τὰ πεπραγμένα. Ὅτι δὲ σοφίας ἐν ἐκείναις ταῖς Ἐκκλησίαις λόγος οὐ-

mus nobis emendanda veniunt. Et primum Εἰ δ' οὕτω κοινῇ γνώμῃ περὶ τοῦ προτεθέντος διέκρινεν, lege, Εἰ δ' αὖπω κοινῇ γνώμῃ. Et mox ἀναγινώσκεσθαι. Sub finem distingue, Ἀλλ' ὁ περὶ τῆς ἐκπορεύσεως λόγος τοῦ ἁγίου Πνεύματος ἐκ τοῦ Υἱοῦ, φησὶν, ἀρχαῖος τῇ Ἐκκλησίᾳ. Φησὶν, subaudi ὁ Λατῖνος. Sic infra Ἀλλ' ἐν ταῖς οἰκουμενικαῖς τῶν συνόδων, φησὶν, οὐ πρόθεσις ἦν, et sic alibi sæpe.

(23) *Ἀλλὰ καὶ τοῦτο, ὄντων.* Ita etiam in Pal. Sed legendum est, καὶ τούτων ὄντων, ut et ex amplissimo Servino codex est adnotatum. Paulo post lego, ἵνα τἀληθὲς ζητηθῇ καὶ ζητηθὲν εὑρεθῇ, καὶ εὑρεθὲν κηρυχθῇ. Vidimus illa decesse, καὶ ζητηθὲν εὑρεθῇ. Et sane decrant. Τἀληθὲς etiam amplissimi Servini liber.

(24) *Οὐ ζητηθῆναι τὸ δόγμα δίκαιον.* Nescio an prælerenda scriptura libri præstantiss. Servini, τὸ πρᾶγμα. Ut supra diximus τὸ δόγμα ἐστὶ πρᾶγμά τι κυρωθὲν μετὰ πολλὴν ζήτησιν καὶ ἀμφισβήτησιν καὶ ἐξέτασιν. Sed quanditu ζητεῖται καὶ ἐξετάζεται καὶ ἀμφισβητεῖται non est δόγμα, sed ζητούμενόν τι καὶ ἀμφισβητούμενον, ut sæpe legitur in hoc Nilo. Sed, ut ut sit, δόγμα non rejicimus, cum etiam codex Palatinus hanc lectionem agnoscat.

δείς· ζητῶ περὶ τίνος σοφίας ὁ λόγος, τῆς καθ' ἡμᾶς τῆς πνευματικῆς, ἢ τῆς ἔξωθεν; Εἰ μὲν τῆς ἔξωθεν, ἔστω, καὶ οὐδὲν πρὸς τὸν λόγον· οὐδὲ γὰρ διὰ ταύτης ἡμεῖς πρὸς τὴν ἀλήθειαν ἐχειραγωγήθημεν, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ· εἰ δὲ περὶ τῆς πνευματικῆς καὶ τῆς ἡμετέρας, οὐκ ἀληθὴς ὁ λόγος. Καὶ μαρτυροῦσι τούτοις πολλοὶ μὲν τῶν ἐκεῖ διαπτύσαντες κόσμον, καὶ πρὸς τὸν οὐρανὸν μόνον βλέποντες· πολλοὶ δὲ καὶ μέχρις αἵματος πρὸς τὴν ἀσέβειαν ἀντικαθιστάμενοι, καὶ αἵμασιν, οὐ λόγοις ἑκάστοτε τὴν Ἐκκλησίαν στηρίζοντες. Ταῦτα δὲ ὡς οὐκ ἄνευ πολλῆς μελέτης Γραφῶν οὐδὲ λόγου δεῖ. Ἐπὶ δὲ τῆς ἕκτης συνόδου ὁ πάππας Ἀγάθων ἀποκλαιόμενος τὴν τῆς Ῥώμης Ἐκκλησίαν, πρὸς τοὺς βασιλέας Ῥωμαίων γράφων, τοιάδε φησί· « Στέλλομεν τοὺς παρόντας συνδούλους ἡμῶν, τὸν δεῖνα καὶ τὸν δεῖνα· » εἶτ' εὐθὺς ἐπάγει· «Παρὰ γὰρ ἀνθρώποις ἐν μέσῳ ἐθνῶν τυγχάνουσι, καὶ ἀπὸ σωματικοῦ μόχθου τὴν τροφὴν μετὰ μεγάλου διασταγμοῦ ποριζομένοις, πῶς εἰς τὸ πλῆρες δυνήσεται εὑρεθῆναι ἡ τῶν Γραφῶν εἴδησις; εἰ μὴ ὅτι κανονικῶς ἀπὸ τῶν ἁγίων τῶν προηγησαμένων, καὶ τῶν ἁγίων πέντε συνόδων, ἅπερ ὡρισμένα εἰσὶν ἐν ἁπλότητι καρδίας καὶ ἀναμφιβόλως, ἀπὸ τῆς παραδόσεως παρὰ τῶν Πατέρων πίστεως φυλάττομεν, ἓν καὶ ἐξαίρετον διὰ παντὸς ἔχειν εὐχόμενοι καὶ σπεύδοντες, ἵνα μηδὲν παρὰ τὰ κανονικῶς ὁρισθέντα σημειωθῇ, μηδ' ἀναλλαγῇ, ἢ προστεθῇ, ἀλλὰ ταῦτα καὶ ῥήμασι καὶ νοήμασιν ἀπαράτρωτα φυλαχθῶσιν. » Εἰ δὲ κἀκεῖνοι ἐπὶ τὴν κοινὴν ἀκρόασιν καλούμενοι, τὰ αὐτὰ φαῖεν ἅπερ καὶ ὁ μακάριος Ἀγάθων, οὐ δίκαια ἂν εἴποιεν καὶ προσήκοντα τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ; Εἰ δὲ ὁ πάππας, διὰ τὸ μὴ τελείως ἔχειν τὴν τῶν Γραφῶν εἴδησιν, καὶ διὰ τὸ ἁπλοϊκῶς τὰ περὶ πίστεως εἰδέναι, καὶ διὰ τὸ ἐξαίρετον ἔχειν ἴδιωμα μήτε ἐναλλάττειν, μήτε προστιθέναι, μήτε ἐν ῥήμασι, μήτε ἐν νοήμασι, καὶ μὴ μόνον ἔχειν τοῦτο ἰδίωμα, ἀλλὰ καὶ εὔχεσθαι διὰ τέλους ἔχειν, ὅμως διὰ ταῦτα οὐκ ἀπεστέρηται τῶν προσηκόντων αὐτῷ· πῶς δίκαιον τὰς ἑτέρας Ἐκκλησίας διὰ ταῦτα τὰ ἑαυτῶν ζημιοῦσθαι; ἢ γὰρ κἀκεῖνος, εἴπερ καὶ αὗται· ἢ μηδ' αὗται, εἴπερ (25) μηδ' ἐκεῖνος. Εἷς γὰρ καὶ ὁ αὐτὸς διὰ πάντων ὁ τοῦ δικαίου λόγος χωρεῖ, κἂν ἄλλοτε ἄλλως ἔχῃ τὰ πράγματα (26).

(25) *Εἴπερ μηδ' ἐκεῖνος.* Μηδὲ ἐκεῖνος.

(26) *Ἄλλως ἔχῃ τὰ πράγματα.* Post hæc verba repone ex scriptis codicibus : Ἀλλ' ἐπεφύησαν ποτὲ τῇ Ῥωμαίων Ἐκκλησίᾳ, φησὶν ἄνθρωποι, τῆς Ἀρείου παραφορᾶς, οἳ τὸν Υἱὸν τῆς πατρικῆς οὐσίας ἀποστεροῦντες, ἄλλα τε ἔλεγον κατὰ τῆς ἑαυτῶν κεφαλῆς, καὶ δὴ καὶ ἐκ τοῦ μὴ προβάλλειν τὸ Πνεῦμα τὸν Υἱὸν τὸ τῆς ἀνομίας συνῆγον συμπέρασμα. Διὰ ταῦτα καλῶς ποιοῦσα ἡ Ἐκκλησία, τότε δόγμα κύριον ἔκρινε καὶ τῷ συμβόλῳ προστίθησιν. Εἰ μὲν οἰκονομοῦσα ἡ Ἐκκλησία τοῦτο ποιεῖ, δεδόσθω. Καὶ δὴ καιρικήν τινα τὴν οἰκονομίαν εἶναι καὶ τοῦ νέφους παρελθόντος μηκέτι σοφίζεσθαι. Καίτοι γε οὐχ ἁπλῶς οἰκονομεῖν ἔξεστιν, οὐδὲ κακῷ τὸ κακὸν ἰᾶσθαι. Εἰ δὲ καὶ ἀληθὲς ἡγουμένη ποῦ δίκαιον ἐφ' ἑτέρᾳ τὴν αἰτίαν πρέπειν ἄλλως τε καὶ ἀληθοῦς ὄντος τοῦ δόγματος οὐχ οὕτω τῶν ἐναντίων τὸν λόγον λύειν ἐχρῆν. Εἰ γὰρ διότι τὸ προβάλλειν ὁ Υἱὸς ἔχει, καὶ τῆς αὐτῆς οὐσίας ἐστὶ τῷ Πατρὶ,

nulla sit cura, rogo, de quanam sapientia sit sermo, de internane ac spirituali, an vero de externa. Si de externa, sit ita, neque quidquam ad rem facit; neque enim nos per hanc ad divinam veritatem manu ducti sumus, ne evacuetur crux Christi. Si vero de spirituali et interna, non vere dicitur. Testes enim hujus rei sunt multi iis in locis degentes, mundum despuentes, solumque cœlum respicientes; multi vero etiam ad sanguinis profusionem usque impietati sese opponentes, et sanguine, non verbis assidue Ecclesiam fulcientes. Hæc vero quod non sine magna in Scripturis exercitatione præstent, verbis non eget. In sexta vero synodo papa Agathon deflens eam quæ Romæ erat Ecclesiam, ad reges Romanorum scribens, ita ait : «Mittimus hosce conservos nostros N. et N.; deinde statim subjungit : Ab hominibus enim in medio gentium versantibus, et victum ex corporali labore cum magna animi distractione comparantibus, quo pacto plene Scripturarum cognitio inveniri poterit? nisi quod canonice a sanctis antecessoribus, et sanctis quinque synodis quæcunque decreta sunt, in simplicitate cordis et indubitanter, ex tradita a Patribus fide servamus, unum hoc atque eximium perpetuo retinere optantes et laborantes, ut nihil præter ea quæ canonice decreta sunt excipiatur, neque immutetur, vel addatur; sed hæc et verbis et sensibus integra illæsaque conserventur. » Si vero etiam illi ad communem audientiam vocati, eadem dicant quæ et beatus Agathon, an non justa dixerint, et consentanea Evangelio Christi? Si vero Papa, quia Scripturarum cognitione perfecte præditus non est, et quia simpliciter quæ ad fidem pertinent novit; vel propterea quod eximiam hanc proprietatem habet, neque immutandi neque addendi quidquam sive in verbis, sive in sensu; neque solum hanc proprietatem habet, sed et optat in finem usque retinere; propter hæc tamen suo jure non est privatus; quo pacto æquum sit alias Ecclesias propter hæc jure suo fraudari? Aut enim etiam ipse, si quidem et illæ : aut ne illæ quidem, nisi etiam ipse. Una enim atque eadem juris ratio per omnia commeat, tametsi alibi aliter sese res habeant. At vocati, inquiunt, ad synodum, ἀπηλλωτρίωται ἄρα τὸ Πνεῦμα τῆς πατρικῆς οὐσίας, ἐστερημένον τῆς προβολῆς. Οὐ μὴν ἀλλ' εἴγε ἅπερ εἶπον Πατρὶ τοῦ Υἱοῦ, ταῦτα καὶ Πατρὶ τοῦ Πνεύματος ἔλεγον ὡς ἐπειδήπερ μόνον αἰτιατόν ἐστιν, ἔλαττόν ἐστι τῆς πατρικῆς οὐσίας, τί ποτε ἂν πρὸς αὐτοὺς ἐλέγετε, σκῆψις ταῦτα ὦ ἄνθρωποι, καὶ τῆς ἀληθείας ἀποφυγή. Ἄλλως τε πῶς οὐχ ὑπέρδεινόν ἐστι, ὑπὲρ μὲν ἐκείνων καὶ κακῶς λύειν αἱρεῖσθαι, καὶ κινεῖν τὰ ἀκίνητα οἷς ἤρκεσεν ἄν, εἰς ἔλεγχον τὸ παρὰ πασῶν συνόδων ὡς ἀσεβεῖς ἐλαύνεσθαι. Ἡμῶν δὲ μέτρια καὶ ἀληθῆ λεγόντων, καὶ νόμοις ἀποστόλων χρωμένων οἳ οὐκ ἐῶσιν ἰδίᾳ τὰ τῆς Ἐκκλησίας τυποῦσθαι, μηδ' ὁντινοῦν λόγον ποιεῖσθαι, ἀλλὰ τὴν τοῦ πάππα καθάπερ μορμολυκεῖον ἡμῖν ἐπεισέλειν ἀρχήν. Hæc quantivis erant pretii, et quantivis momenti, vel propter hanc postremam periodum, restat, ut quædam quæ corrupta sunt indicemus, et emendemus, et statim initio καὶ δὴ καὶ ἐκ τοῦ μὴ προβάλλειν τὸ Πνεῦμα τὸν Υἱὸν τὸ

venire detrectastis. Quo pacto vero æquum sit, ad synodum vocatos, tergiversari? soluta vero synodo, rursus eam poscere? Ubi hæc, sub quo rege, quo episcopo Romæ pontificem agente? ubinam sunt exempla litterarum ad regem Romanorum, vel ad nostram Ecclesiam, vel ad alios universales episcopos? Nostræ vero Epistolæ ad illos scriptæ, quibus synodum detrectamus, ubinam sunt? aut enim eas proferant, aut hæc dicere desinant. Ac de eo quidem, quod non liceat Romanorum Ecclesiæ privatim quæ Ecclesiarum communia sunt decernere ac stabilire; quodque hoc Christi Ecclesiam dissipavit, simulque et apostolicis, et Patrum legibus atque institutis repugnet, hæc dicta sufficiant.

A Ἀλλὰ κληθέντες, φασὶν, ἐπὶ τὴν σύνοδον ἀπιπῆσαι οὐκ ἠνέσχεσθε. Πῶς οὖν δίκαιον, ἐπὶ σύνοδον μὲν καλουμένους ἀποπηδᾷν, σύνοδον δὲ διαλυθεῖσαν πάλιν αἰτεῖν; Πότε ταῦτα, ἐπὶ τίνος βασιλέως, τίνος ἐπισκόπου Ῥώμης ἱεραρχοῦντος; Ποῦ τὰ ἐπιστολῶν ἀντίγραφα πρὸς τὸν βασιλέα Ῥωμαίων (27), τὰ πρὸς τὴν ἡμετέραν Ἐκκλησίαν, τὰ πρὸς ἄλλους καθολικοὺς τῶν ἐπισκόπων; Αἱ δὲ παρ' ἡμῶν ἐπιστολαὶ ἀποσειόμεναι τὴν σύνοδον ποῦ; Ἢ γὰρ ταῦτα δεικνύτωσαν, ἢ ἐκεῖνα μὴ λεγέτωσαν. Καὶ περὶ μὲν τοῦ μὴ ἐξεῖναι τῇ Ῥωμαίων Ἐκκλησίᾳ καθ' ἑαυτὴν τὰ κοινὰ τῆς Ἐκκλησίας κυροῦν, καὶ ὡς τοῦτο τὴν Χριστοῦ Ἐκκλησίαν διέρρηξε, καὶ ὡς ταῦτα οὔτε τοῖς ἀποστόλοις, οὔτε οἱ τῶν Πατέρων βούλονται νόμοι, τὰ παρόντα ἀρκεῖ (28).

B

## EJUSDEM DE PRIMATU PAPÆ. *LIBER II.*

Affirmant Latini, cum beatus Petrus sacri illius duodenarii cœtus princeps sit constitutus, merito etiam ipsi potestatem clavium regni cœlorum traditam, et super ipsum ædificatam esse Ecclesiam, adversus quam portæ inferni non sint prævalituræ; præterea Christum pro fide ipsius orasse, ne deficeret. Illud etiam: « Confirma conversus fratres tuos [a], » et: « Pasce oves meas [b]; » aliaque hujusmodi, eodem spectare aiunt, manifeste Petri primatum declarantia, cujus successor constitutus papa, cum omnem illius primatum acceperit ab ipso Petro, eamdem quoque quam ille in rebus C fidei potestatem obtinere, atque ideirco fieri non posse, ut circa integritatem dogmatum labatur. Labente enim ipso, fides ipsa perit atque evanescit.

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΠΑΠΠΑ ΑΡΧΗΣ. *ΒΙΒΛΙΟΝ Β'* (29).

Φασὶν οἱ Λατῖνοι τὸν μακάριον Πέτρον, κορυφαῖον παρὰ τοῦ Κυρίου καταστάντα τῆς ἱερᾶς δωδεκάδος, εἰκότως καὶ τὰς κλεῖς ἐγχειρισθῆναι, ἧς πύλαι ᾅδου οὐ κατισχύσουσι (30)· καὶ ὑπὲρ τῆς πίστεως αὐτοῦ δεηθῆναι τὸν Χριστὸν μὴ ἐκλιπεῖν· καὶ τὸ, « Στήριξον δ' ἐπιστραφεὶς τοὺς ἀδελφούς σου, » καὶ, « Ποίμανε τὰ πρόβατά μου, » καὶ ὅσα τοιαῦτα, εἰς ταυτὸ φασὶ φέρειν, δεικνύντα σαφῶς τὴν τοῦ Πέτρου ἀρχήν. Οὗ διάδοχος ὁ πάππας καταστάς, καὶ τὴν ἐκείνου πᾶσαν ἀρχὴν εἰληφὼς παρ' αὐτοῦ τοῦ Πέτρου, δύναται καὶ αὐτὸς ὅσα καὶ Πέτρος περὶ τὴν πίστιν· καὶ ἀδύνατόν ἐστιν αὐτὸν διὰ ταῦτα καὶ τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων. Ἐκπεσόντος γὰρ, τὰ τῆς πίστεως οἴχεται. Τοῦτο δὲ καὶ ὁ μακάριος Ἀγάθων μαρτυρεῖ λέγων, « Ἡ ἀποστολικὴ Ἐκκλησία αὐτοῦ

[a] Luc. xxii, 32. [b] Joan. xx. 15;

τῆς ὁνομίας συνῆγον συμπέρασμα. Quodnam sit istud ἀνομίας συμπέρασμα, non video. Corruptum esse puto, et, nisi valde fallor, sic egregie poterit restitui, si legamus τὸ τοῦ ἀνομοίου συνῆγον συμπέρασμα, parva mutatione. Vel, si quis malit, τῆς ἀνομοίου, ut aliquid subintelligatur. Sed illud magis placet. Et manifesta est sententia. Illi de quibus loquitur τὰ τοῦ Ἀρείου φρονοῦντες ita argumentabantur, Filium non posse dici esse τῆς αὐτῆς οὐσίας τῷ Πατρὶ, nisi etiam cum Patre, προβολεὺς τοῦ παναγίου Πνεύματος diceretur. Nihil apertius. Infra, Εἰ γὰρ διότι τὸ προβάλλειν ὁ Υἱὸς ἔχει, καὶ αὐτῆς αὐτῆς οὐσίας ἐστὶ τῷ Πατρὶ, ἀπηλλωτρίωται, ἆρα τὸ Πνεῦμα τῆς πατρικῆς οὐσίας, ἑστερημένον τῆς προβολῆς. Nihil igitur certius quam legendum, Τὸ τοῦ ἀνομοίου συμπέρασμα. Paulo post emendandum, Ποῦ δίκαιον ἐφ' ἕτερα τὴν αἰτίαν τρέπειν. Nam male scriptum est, Ἑτέρᾳ et πρέπειν in scripto codice.

(27) *Ἀντίγραφα πρὸς βασιλέα Ῥωμαίων.* Ampliss. Serv. Cod., ἀντίγραφα τὰ πρὸς βασιλέα Ῥωμαίων, τὰ πρὸς τὴν ἡμετέραν Ἐκκλησίαν. Et ita scribendum est. Et paulo post Αἱ δὲ παρ' ἡμῶν ἐπιστολαὶ πρὸς ἐκείνους ἀποσειόμεναι τὴν σύνοδον. Vulgo πρὸς ἐκείνους non legitur, quod reposuimus ex codice Palatino.

(28) *Τὰ παρόντα ἀρκεῖ.* Idem liber, καὶ τὰ παρόντα ἀρκεῖ.

(29) Secundus hic liber est, περὶ τῆς τοῦ πάππα ἀρχῆς, primus erat ἀποδεικτικὸς τῶν αἰτιῶν τῆς ἐκκλησιαστικῆς διαστάσεως. Sed vereor ne hi duo tractatus separandi sint, nec satis scio quam bene hic τοῦ δευτέρου λόγου τάξιν obtineat. Puto sane hos libellos, sive λόγους, sive tractatus esse singulares; idque mihi videor certo deprehendere ex indice codicis Palatini in quo manifesto separantur. Nam neque ille πρῶτος, neque hic δεύτερος ibi vocatur. Alias tertium his duobus librum possemus adjungere, ejusdem Nili ἀπάντησιν σαφῆ τε καὶ σύντομον πρὸς Λατίνους ὥσπερ ἐγχειρίδιόν τι προκείμενον, τοῖς βουλομένοις ἀγωνίζεσθαι πρὸς ἐκείνους. Sed, ut diximus, hic liber non est secundus, sed peculiaris quidam et singularis tractatus, etsi materiam non multum a prioris libri materia diversam habeat. At vero non male conjunguntur hi duo libelli. Argumento enim et materia plane sunt affines.

(30) *Καὶ τὰς κλεῖς ἐγχειρισθῆναι, ἧς πύλαι ᾅδου οὐ κατισχύουσι.* Aliquid deest. Nam quo refertur illud, ἧς; adnotavit præstantiss. Servinus in codice edito Francofurti anno 1535 legi βασιλείας. Nobis illam editionem videre non contigit. Ipse autem in suo codice haberi adnotat, ἐκκλησίας, nos βασιλείας probamus. Nec aliter scriptum in codice Palatino reperi, qui etiam amplius habet, καὶ ἐπὶ τούτῳ τὴν Ἐκκλησίαν οἰκοδομηθῆναι. Et hæc etiam in ampliss. Servini ms. Totum igitur hunc locum sic lege. Εἰκότως καὶ τὰς κλεῖς ἐγχειρισθῆναι τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ἐπὶ τούτῳ τὴν Ἐκκλησίαν οἰκοδομηθῆναι.

οὐδέποτε ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας ἐν οἱῳδήποτε μέρει πλάνης ἐκάμφθη. » Καὶ ὅτι διὰ ταῦτα καὶ τὸ πρῶτος εἶναι παρὰ τῶν ἀποστόλων εἴληφει, καὶ τὴν ἔφεσιν ἔχει λαβών. Καὶ τὸ πρωτεῖον αὐτοῦ τοῦτον τὸν λόγον ἔχει πρὸς τοὺς ἄλλους καθολικοὺς θρόνους, ὃν δὴ καὶ ὁ Κωνσταντινουπόλεως ἔχει πρὸς τοὺς ὑπ' αὐτὸν ἱεράρχας. Καὶ ὅτι αὐτῷ μόνῳ ἔξεστιν, οἰκουμενικὴν ἀθροίζειν σύνοδον ὅτε βούλεται. Καὶ τὰ ἐκκλησιαστικὰ κανονίζεσθαι ἄνευ τῆς αὐτοῦ γνώμης, οὐ θέμις. Καὶ αὐτὸς πάντας ἀνακρίνων, ὑπ' οὐδενὸς ἀνακρίνεται, οὔτε ἐν δόγμασιν, οὔτε ἐν ἄλλοις ἔθεσι. Καὶ ὅτι οὐκ ἔστιν ὁ πάππας ἐπίσκοπος τινὸς πόλεως, Ῥώμης τυχὸν ἢ τινος ἄλλης, ὥσπερ ἑκάστης πόλεως ἰδίᾳ ποιμὴν ἕκαστος, ἀλλὰ ἁπλῶς ἐπίσκοπος, ὅπερ οὐκ ἔστιν ἐπ' ἄλλων ἰδεῖν. Διὰ τοῦτο οὐδ' ἐν οἷς γράφει Ῥώμης ἐπίσκοπον ἑαυτὸν καλεῖ. Καὶ ὅτι μόνος ὁ τοῦ πάππα θρόνος ἔσχε τὸ ἀποστολικὸς ὀνομάζεσθαι θρόνος. Ἐν γὰρ τῇ Ῥώμῃ καὶ πολὺν διέτριψε χρόνον ὁ μακάριος Πέτρος, καὶ ἐν ταύτῃ καὶ τὸν βίον κατέλυσε. Καὶ ὅτι πάντα τὰ ἀνωτέρω εἰρημένα παρὰ τοῦ Πέτρου καὶ τῶν ἄλλων ἀποστόλων ὁ πάππας ἔχει λαβών, καὶ δεῖ πάντας αὐτῷ πείθεσθαι, καὶ μηδένα ἀντιλέγειν, ἐκείνου κελεύοντος. Ταῦτα μὲν ὑπὲρ τῆς ἑαυτῶν Ἐκκλησίας Λατῖνοι φασίν. Ἐγὼ δὲ λόγων πρὸς ταῦτα οὐκ ἀπορῶν, ἀπορῶ πρὸς τίνα τοὺς λόγους ποιήσομαι. Εἰ μὲν γὰρ πρὸς Λατίνους, καὶ πῶς ἔστιν αὐτοῖς τε ἀντιλέγειν, καὶ τῶν λεγομένων καθίζειν κριτάς; ἂν δὲ πρὸς Γραικούς, οὐ δίκαια οὐδὲ μέτρια πάσχειν ἂν φαῖεν Λατῖνοι, κριτῶν καθημένων, ὧς ἐχθροὺς τὰ ἐκκλησιαστικὰ νομίζουσιν. Οὐ μὴν διὰ ταῦτα δίκαιον σιωπῇ τἀληθὲς παρελθεῖν· ἀλλὰ λέγειν μὲν μετὰ παῤῥησίας τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα· εὔχεσθαι δὲ, ὥστε τοὺς ἐντευξομένους τῷ συγγράμματι μηδὲν τῆς ἀληθείας πρότερον ἄγειν. Ἴσως γὰρ τοῖς ταύτην ζητοῦσιν ἔσται ἀπὸ τῶν λόγων ὠφέλεια. Λέγωμεν δή

Περὶ μὲν τῆς ἀρχῆς τοῦ μακαρίου Πέτρου, καὶ ὡς ἔξαρχος κατέστη τῶν ἄλλων ἀποστόλων, καὶ πόσον ἐκείνῳ τὸ συγκεχωρηκὸς παρὰ τοῦ ἱεροῦ χοροῦ ὠφείλετο, ἐν τῷ παρόντι ζητεῖν οὐκ οἶμαι δεῖν· ἔστω δὲ τοσοῦτον, ὁπόσον ἂν τις καὶ βούλοιτο. Οὐ μὴν ἐκεῖνο λέγω, ὡς ὁ πάππας παρὰ τοῦ μακαρίου Πέτρου, τὸ πρῶτος εἶναι τῶν ἄλλων ἐπισκόπων εἰλήφει. Δύο γὰρ περὶ τὸν πάππαν θεωρουμένων, τό τε εἶναι Ῥώμης ἐπίσκοπον, ὡς αἱ σύνοδοι μαρτυροῦσι, καὶ ἔτι τὸ πρῶτον εἶναι τῶν ἄλλων ἐπισκόπων· τὸ μὲν παρὰ τοῦ Πέτρου ἔχει λαβών, τὸ εἶναι Ῥώμης ἐπίσκοπος, τὸ δὲ, παρὰ τῶν μακαρίων Πατέρων, καὶ τῶν εὐσεβῶν βασιλέων, πολλοῖς χρόνοις ὕστερον, διὰ τὸ δίκαιον εἶναι καὶ τὰ ἐκκλησιαστικὰ ὑπὸ τάξιν τελεῖν, καὶ πολλῷ πρότερον ἢ τὰ πολιτικά. Καὶ ὅτι ταῦτα ἀληθῆ, παρέξομαί σοι μάρτυρας, οὐ δύο ἢ τρεῖς, οὐδὲ δὶς τοσούτους, ἀλλὰ τριάκοντα καὶ ἑξακοσίους, καὶ τούτους ἁγίους Πατέρας.

Ἀνάγνωθι κανόνα τῆς ἁγίας καὶ οἰκουμενικῆς

A scit. Quod ipsum testatur beatus Agathon, dicens: « Apostolica ipsius Ecclesia nunquam a via veritatis in qualicunque erroris parte deflexit; » quodque ideo primatus ipsi ab apostolis sit delatus, et summam ad se provocationem usurpat, et primatus ipsius eamdem rationem obtinet ad alias universales sedes, quam habet Constantinopolitana ad episcopos sibi subditos; quodque ipsi soli liceat œcumenicam synodum convocare, quando voluerit; quodque ecclesiasticas sanctiones absque ipsius sententia sancire, nefas sit; quod ipse etiam omnes judicans, a nemine judicatur, neque in dogmatibus, neque in moribus; præterea, quod papa non sit episcopus alicujus civitatis, Romæ videlicet aut alicujus alterius, quemadmodum uniuscujusque B civitatis peculiariter singuli sunt pastores, sed simpliciter atque absolute, episcopus; quod quidem in aliis videre non est: eamque ob causam, neque in iis quæ scribit, Romæ episcopum se vocat; quod etiam sola papæ sedes apostolicæ sedis appellationem obtineat; Romæ enim beatus Petrus per multum tempus egit, ibique e vita decessit; et quod omnia quæ superius dicta sunt, papa a Petro aliisque apostolis accepta obtineat; quodque omnes ipsi obedire oporteat, neminemque contradicere, ipso jubente. Atque hæc quidem sunt quæ Latini pro Ecclesiæ suæ dignitate asserenda afferunt. Ego vero non quid respondeam, sed ad quos orationem meam instituam, ambigo: Nam, si ad Latinos, qui C fieri potest ut et ipsis contradicam, et ipsi eorum quæ a me dicentur judices sedeant? Si vero ad Græcos, iniquum minimeque consentaneum esse dicent Latini, eos judices statui quos in rebus ecclesiasticis hostes censent. Ad non idcirco tamen æquum est ut veritas silentio prætereatur, quin potius libere, bona spe nixos, dicere oporteat, optareque ut in quorum manus hoc scriptum pervenerit, nihil veritate prius potiusve habeant. Veritatis enim studiosi indagatores, aliquam ex eo utilitatem reportabunt. Dicamus itaque

De primatu Petri, et quomodo sacri illius cœtus præsul sit constitutus, et quantum illi aliorum apostolorum concessu debitum fuerit, in præsentiarum inquirendum nequaquam censeo. Sit vero D tantum quantum quis voluerit. Illud tamen non dico, quod papa a Petro id juris acceperit, ut aliorum episcoporum primus esset. Cum enim duo circa papam consideranda sint: quod et Romæ episcopus sit, ut et synodi testantur, et præterea, quod sit primus aliorum episcoporum; prius illud a Petro accepit, quod scilicet sit Romæ episcopus; alterum vero, a sanctis Patribus et piis regibus, multo post tempore, quod æquum esset, in ecclesiasticis quoque rebus, et multo quidem magis quam politicis, ordinem statui. Quæ quidem ut vera esse ostendam, producam testes non duos aut tres, aut duplo plures, sed sexcentos et triginta, atque hos quidem sanctos Patres.

Lege canonem sanctæ atque universalis quartæ

synodi, numero vicesimum octavum, qui ait : « Omnino et per omnia, quæcunque a sanctis Patribus definita sunt, sequentes, et modo recitato canone 150 pientissimorum episcoporum congregatorum sub pientissimæ memoriæ magno Theodosio rege in urbe regia Constantinopoli, nova Roma, perpenso : eadem etiam nos statuimus atque decernimus, de honoribus et prærogativis sanctissimæ Ecclesiæ Constantinopolitanæ, novæ Romæ. » Etenim sedi veteris Romæ, quod urbs illa imperatrix esset, merito Patres primatus dignitatem tribuerunt : eademque ratione moti centum quinquaginta episcopi, sedi novæ Romæ parem primatus honorem attribuerunt : consentaneum rationi judicantes, urbem et regia et senatu imperii decoratam, pari etiam cum veteri regia urbe honoris prærogativa fruentem, in rebus quoque ecclesiasticis parem atque illa præminentiam obtinere, cum tamen secunda ab illa exsisteret. » Quid ex his discimus? quidnam aliud, quam non ab apostolis, sed a Patribus datum esse papæ primatum aliarum Ecclesiarum, et quidem idcirco, quod scilicet urbs Roma reliquis urbibus imperaret. Si vero, quia caput imperii urbs illa erat, primatum obtinet papa, certe non eo nomine eum est consecutus, quod sit successor Petri. Si autem a Patribus hoc habet, non ergo ab apostolis. Lege etiam Novellam centesimam Justiniani, ut veritatem omni ex parte congruentem videas : « Sancimus, inquit, juxta sanctarum synodorum decreta, sanctissimum veteris Romæ episcopum, primum esse omnium sacerdotum : beatissimum vero Constantinopoleos, novæ Romæ, episcopum, secundum locum obtinere post sedem veteris Romæ; reliquis vero omnibus honore præire. » Audis aperte, primum omnium sacerdotum esse papam. « Decretum est, inquit, sanctarum synodorum. » At si decretum est sanctarum synodorum, quo pacto papa primatum sacerdotum a Petro accepit?

A τετάρτης συνόδου, εἰκοστὸν ὄγδοον ἀριθμούμενον, ὅς φησι· « Πανταχοῦ τοῖς τῶν ἁγίων Πατέρων ὅροις ἑπόμενοι, καὶ τὸν ἀρτίως ἀναγνωσθέντα κανόνα τῶν ἑκατὸν πεντήκοντα θεοφιλεστάτων ἐπισκόπων, τῶν συναχθέντων ἐπὶ τοῦ εὐσεβοῦς τὴν μνήμην μεγάλου Θεοδοσίου, τοῦ γενομένου βασιλέως ἐν τῇ βασιλίδι Κωνσταντινουπόλει, νέᾳ Ῥώμῃ, γνωρίζοντες, τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομέν τε καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης Ἐκκλησίας τῆς αὐτῆς Κωνσταντινουπόλεως, νέας Ῥώμης. Καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ Πατέρες εἰκότως ἀπεδεδώκασι τὰ πρεσβεῖα. Καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ἑκατὸν πεντήκοντα θεοφιλέστατοι ἐπίσκοποι, τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ B τῆς νέας ἁγιωτάτῳ θρόνῳ· εὔλογον κρίναντες τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι πόλει, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασιν, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν. » Τί διὰ τούτων μανθάνομεν; Τί γε ἄλλο ἢ τὸ μήτε παρὰ τῶν ἀποστόλων, ἀλλὰ παρὰ τῶν Πατέρων δοθῆναι τῷ πάππᾳ τὸ πρωτεῖον τῶν ἄλλων Ἐκκλησιῶν, καὶ διὰ τὸ εἶναι τὴν Ῥώμην τῶν πόλεων βασιλεύουσαν; Παρὰ τῶν Πατέρων γάρ, φησὶν ὁ κανών, δέδοται τῷ πάππᾳ τὰ πρεσβεῖα, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην. Εἰ δὲ διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην ἔχει τὰ πρεσβεῖα, οὐκ ἄρα ἔχει ταῦτα διὰ τὸ εἶναι Πέτρου διάδοχος. Εἰ δὲ καὶ παρὰ Πατέρων τοῦτ' ἔχει, οὐκ ἄρα παρὰ τῶν ἀπο- C στόλων. Ἀνάγνωθι καὶ Νεαρὰν ἑκατοστὴν (31) Ἰουστινιανοῦ, ἵνα διὰ πάντων τὴν ἀλήθειαν ἴδῃς συμβαίνουσαν. « Θεσπίζομεν, φησί, κατὰ τοὺς τῶν ἁγίων συνόδων ὅρους, τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ῥώμης ἐπίσκοπον πρῶτον εἶναι πάντων τῶν ἱερέων· τὸν δὲ μακαριώτατον ἐπίσκοπον Κωνσταντινουπόλεως, νέας Ῥώμης, δευτέραν τάξιν ἐπέχειν μετὰ τὸν θρόνον τῆς πρεσβυτέρας Ῥώμης, τῶν δ' ἄλλων πάντων προτιμᾶσθαι. » Ἀκούεις· τὸ πρῶτον εἶναι τὸν πάππαν πάντων τῶν ἱερέων. « Ὅρος ἐστί, φησί, τῶν ἁγίων συνόδων. » Εἰ δὲ ὅρος τοῦτο τῶν ἁγίων συνόδων, πῶς ἄρα παρὰ τοῦ Πέτρου τὸ πρωτεῖον τῶν ἱερέων ὁ πάππας εἴληφε;

Quidnam igitur, dicat aliquis, an non est papa in universum Petri successor? Est quidem, sed ea ratione qua est episcopus, quod ipsum unusquisque episcoporum sibi vindicare potest, qui ab illo ordinati sunt; multi vero sunt qui per ipsius manus hoc beneficii acceperunt. Atqui unusquisque sacerdotum successor hac ratione est cujusque apostoli a quo per traditionem sacerdotium accepit. Hac itaque ratione, multi et Petri, et aliorum apostolorum sunt successores; secundum alia vero, nequaquam. Petrus enim et apostolus est, et apostolorum princeps. Papa vero, neque apostolus (neque enim apostolos, sed pastores et doctores ordinarunt apostoli) multoque minus apostolorum princeps. Et Petrus, doctor totius orbis. Audivit

Τί οὖν, ἄν τις φαίη, οὐκ ἔστι λοιπὸν ὁ πάππας τὸ σύνολον τοῦ Πέτρου διάδοχος; Ἔστι μέν, ἀλλ' ὡς ἐπίσκοπος· ὅπερ καὶ τῶν ἐπισκόπων ἕκαστος ἔχει D τῶν ὑπ' ἐκείνου χειροτονηθέντων. Πολλοὶ δὲ οἱ διὰ τῶν χειρῶν ἐκείνου τὴν χάριν δεξάμενοι ταύτην. Καὶ τῶν ἱεραρχῶν δὲ ἕκαστος διάδοχος κατά γε τοῦτο ἑκάστου τῶν ἀποστόλων ὑφ' οὗ κατὰ διαδοχὴν τὴν ἱερωσύνην εἰλήφει. Κατὰ μὲν οὖν τὸν λόγον τοῦτον, πολλοὶ καὶ Πέτρου καὶ τῶν ἄλλων ἀποστόλων διάδοχοι· κατὰ δὲ ἄλλα, οὐδαμῶς. Πέτρος μὲν γὰρ καὶ ἀπόστολος καὶ ἀποστόλων ἔξαρχος· ὁ δὲ πάππας οὔτε ἀπόστολος (οὐδὲ γὰρ ἀποστόλους, ἀλλὰ καὶ ποιμένας καὶ διδασκάλους οἱ ἀπόστολοι ἐχειροτόνησαν), οὔτε πολλῷ μᾶλλον ἀποστόλων κορυφαῖος. Καὶ ὁ μὲν Πέτρος διδάσκαλος πάσης τῆς οἰκουμένης·

(31) *Καὶ νεαρὰν ἑκατοστήν.* Perperam Servini liber τριακοστήν, v. 17. Ὁ πάππας εἴληφε. Idem, ἔχει. Sed Palatinus εἴληφε retinet, et nos cum illo retinemus. Infra, καὶ Πέτρου, idem Serv. lib. καὶ τοῦ Πέτρου.

ἤκουσε γαρ μετὰ τῶν ἄλλων καὶ αὐτὸς, « Κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει. » Ὁ δὲ πάππας ἐπίσκοπος Ῥώμης καὶ ἔστι καὶ ὀνομάζεται. Καὶ ὁ μὲν Πέτρος ἐν Ἀντιοχείᾳ μὲν τὸν δεῖνα χειροτονεῖ, ἐν Ἀλεξανδρείᾳ δὲ ἕτερον, καὶ ἄλλον ἀλλαχοῦ· τῷ δὲ Ῥώμης οὐκ ἐφεῖται ταῦτα ποιεῖν. Καὶ ὁ μὲν Πέτρος Ῥώμης ἐπίσκοπον χειροτονεῖ· ὁ δὲ Ῥώμης πάππαν ἕτερον οὐ προβάλλεται. Καὶ ὁ μὲν Πέτρος ἁπλῶς ἤκουσεν, « Ὃ λύσεις ἢ δήσεις, ἔσται λελυμένον ἢ δεδεμένον ἐν τοῖς οὐρανοῖς· » πρὸς δὲ τὸν Ῥώμης αὐτὸς διαβιβάζων τὴν χάριν, οὐχ ἁπλῶς εἴρηκεν, ἀλλὰ, « Δήσεις ἃ δεῖ δεθῆναι, καὶ λύσεις πάλιν μετὰ τοῦ δέοντος. » Καὶ ἃ μὲν εἶπε Πέτρος, Πνεύματος ἁγίου φωναί· ποῦ δὲ ταῦτα καὶ τῷ πάππᾳ κοινά; Οὐκ ἄρα λοιπὸν κατὰ πάντα ὁ Ῥώμης ἐπίσκοπος τοῦ Πέτρου διάδοχος, ἀλλὰ κατ' ἐκεῖνα μόνον, καθὰ καὶ τῶν ὑπ' ἐκείνου χειροτονηθέντων ἕκαστος· ὥστε δηλονότι δεσμεῖν τε καὶ λύειν, ὥστε βαπτίζειν, ὥστε διδάσκειν, ὥστε ἐπιστρέφειν τοὺς ἐκ τῆς ἀληθείας παρασυρέντας, καὶ τἄλλα ποιεῖν, οἷς ὁ ἱεράρχης χαρακτηρίζεται. Ὅτι δὲ ἀδύνατον τὸν πάππαν τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων, τοῦτο δὴ καὶ ὑπὲρ τὴν τοῦ Πέτρου διαδοχήν. Ἐκεῖνος μὲν γὰρ καὶ προσέκρουσε, καίτοι γε σφόδρα διατεινόμενος μὴ τοῦτο παθεῖν. Ἐρωτῶ δὲ καὶ τοῦτο· Δύναται ὁ πάππας ψεύδους, φιλοχρηματίας, κενῆς δόξης, καὶ τῶν ἄλλων ἀπειρημένων ἥττων ὀφθῆναι, ἢ καὶ τούτων ἀνώτερος; Εἰ μὲν δὴ κἀκείνων κρείττων, εἰπάτωσαν· εἰ δὲ τοῦτο οὐδὲν λέγειν ἔστι, (σφάλλεται γὰρ κἀκεῖνος πολλὰ περὶ τὴν συνείδησιν, ἄνθρωπος ὤν), δῆλον, ὡς περὶ ταῦτα ἁμαρτάνων, ἐνδέχεται καὶ περὶ τὴν πίστιν ναυάγιον ὑποστῆναι. Τοῦτο καὶ ὁ μακάριος φησὶ Παῦλος Τιμοθέῳ γράφων· « Ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἣν τινες ἀπωσάμενοι, καὶ περὶ πίστιν ἐναυάγησαν. » Ὁρᾷς ὡς τὸν περὶ συνείδησιν οὐχ ὑγιαίνοντα ἐνδέχεται καὶ περὶ τὴν πίστιν ἀσθενῆσαι; Εἰ δὲ ὁ πάππας οὐ πάντη τὰ περὶ τὴν συνείδησιν ὑγιής, τῷ δὲ τοιούτῳ καὶ ἀσθενῆσαι περὶ τὴν πίστιν ἐνδέχεται· ψεῦδος λοιπὸν, ὡς ἀδύνατον τὸν πάππαν τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων. Αὐτὸ δὲ τὸ περὶ τὴν συνείδησιν ἁμαρτάνειν οὐκ εἶδος ἀθεΐας ἐστί; « Θεὸν γὰρ, φησὶν ὁ Παῦλος, τοῖς μὲν λόγοις ὁμολογοῦσιν, τοῖς δ' ἔργοις ἀρνοῦνται. » Πῶς οὖν ἔργοις μὲν ἐνδέχεται τὸν πάππαν ἀρνεῖσθαι Θεὸν, λόγοις δὲ οὐδαμῶς; Καὶ Ὀνώριος δὲ Ῥώμης ἐπίσκοπος τῶν ὀρθῶν τε ἐξέβη δογμάτων, καὶ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου ἀποκεκήρυκται. Ὅτι δὲ ταῦτα οὕτω, ἀνάγνωθι ταύτην τὴν μαρτυρίαν·

enim una cum aliis etiam ipse : « Prædicate Evangelium universæ creaturæ [6]. » Papa vero episcopus Romæ est, et vocatur. Et Petrus quidem, alium in Antiochia, alium in Alexandria ordinat, et alium alibi. Romæ vero episcopo hæc non permittuntur. Et Petrus quidem, Romæ episcopum ordinat; Romæ vero papa, alium papam non creat. Petrus etiam simpliciter audit : « Quidquid solveris aut ligaveris, erit solutum aut ligatum in cœlis [7]. » In Romanum autem papam ipse transferens hanc gratiam, non simpliciter id absoluteque dixit : sed, « Ligabis quod ligari oportet, et solves contra quod solvi par est. » Adhæc, quæ Petrus dixit, voces sunt Spiritus sancti. Ubinam vero hæc etiam papæ sunt communia? Reliquum est, ut non in omnibus Romæ episcopus Petri sit successor, sed in illis tantum quæ diximus, ut et unusquisque eorum qui ab ipso sunt ordinati : ut solvat et liget, ut baptizet, ut doceat, ut a veritate avulsos in viam reducat, aliaque munia obeat, quibus episcopus est insignitus. Quod vero impossibile sit papam a rectitudine dogmatum aberrare, id ipsius etiam Petri successionem excedit. Ille enim etiam impegit et lapsus est, quantumvis vehementer asseveraret se hoc non admissurum. At ego hoc quoque interrogo : An et papa possit, mendacio, avaritiæ, inani gloriæ, aliisque rebus vetitis esse obnoxius, an vero ab his plane sit immunis? Si ab his immunis est, ita ut hæc in ipsum cadere non possint, dicant sane. At si hoc vanum est dictu (errat enim etiam ille in multis, testante sua ipsius conscientia, cum sit homo), manifestum profecto est quod, cum in his peccet, etiam circa fidem naufragium facere possit. Quod ipsum beatus Paulus testatur Timotheo scribens : « Habens fidem et bonam conscientiam; quam quidam repellentes, circa fidem naufragium fecerunt [8]. » Videsne, eum qui sana integraque conscientia non sit, etiam circa fidem male affectum esse posse? Si vero papa non in universum sanam habet conscientiam, eaque ipsa ratione etiam circa fidem male affectus esse potest, alienum certe a veritate est, papam a rectitudine dogmatum nulla ratione aberrare posse. Ipsum vero illud, circa conscientiam peccare, an non species est impietatis defectionisque a Deo? « Deum enim, inquit Paulus, verbis quidem profitentur, operibus autem abnegant [9]. » Quomodo itaque fieri potest ut papa operibus quidem Deum abneget, verbis autem nequaquam? Atqui Honorius Romæ episcopus a rectitudine dogmatum aberravit; et quidem a sancta et universali synodo publice damnatus est. Quod autem hæc ita se habeant, lege hoc testimonium :

*Ἐκ τῆς ις' πράξεως τῶν Πατρικῶν τῆς οἰκουμενικῆς ἕκτης συνόδου.*

Ἡ ἁγία σύνοδος εἶπε· « Τοὺς καθάπαξ κατεγνωσμένους ἀποδειχθέντας, καὶ κατὰ ἀπόφασιν ἡμετέραν ἤδη ἐκβληθέντας ἐκ τῶν ἱερῶν διπτύχων, δέον ἔθεντο καὶ εἰς τὰς ἐκβοήσεις τούτους ὀνομαστὶ

*Ex decimo sexto decreto Actorum sextæ œcumenicæ synodi.*

Sancta synodus dixit : « Quos semel damnatos declaravimus, nostroque decreto e sacris voluminibus erasimus, eos statuimus oportere etiam per proclamationes publicas nominatim anathemati-

[6] Marc. XVI, 15. [7] Matth. XVIII, 18. [8] I Tim. I, 19. [9] Tit. I, 16.

zari. » Deinde fausta principum acclamatione facta, hæc mox subjiciunt : « Theodoro Pharanitæ anathema : Sergio hæretico anathema : Pyrrho hæretico anathema : omnibus fautoribus hæreticorum, anathema. » Lege etiam aliud testimonium ex iisdem Actis.

A ἀναθεματισθῆναι. » Εἶτα τῆς εὐφημίας τῶν βασιλέων γεγενημένης, ἐπάγουσι ταῦτα προσεχῶς· Θεοδώρῳ αἱρετικῷ τῷ Φαρανίτῃ ἀνάθεμα· Σεργίῳ αἱρετικῷ (32), ἀνάθεμα· Πύρρῳ αἱρετικῷ ἀνάθεμα· πᾶσι τοῖς ἀντιποιουμένοις τῶν αἱρετικῶν ἀνάθεμα. » Ἀνάγνωθι καὶ ἑτέραν μαρτυρίαν ἀπὸ τῶν αὐτῶν Πρακτικῶν.

*Ex oratione qua sacra synodus regem compellat.*

« Novas vero vocum inanitates, earumque inventores procul ab ecclesiasticis septis ejicimus, et anathemati juste subjicimus. Quales dec'aramus Theodorum Pharanitem, Sergiumque et Paulum ; simul etiam Pyrrhum et Petrum qui Constantinopoli præsederunt. Præterea Cyrum Alexandrinorum episcopum, simulque cum iis Honorium Romanæ urbis antistitem. » At si Honorius Romæ episcopus est, simulque est hæreticus : fieri itaque potest ut papa a rectitudine dogmatum excidat. Neque tamen ipso circa fidem errante sermo Domini irritus factus est, quem de Ecclesia pronuntiarat : Portas videlicet inferni adversus eam non prævalituras. Potest enim in aliis episcopis et quidem firmiter pietas religionisque integritas conservari. Manifestum vero ex his est, neque hoc Romanæ Ecclesiæ convenire, ut super hanc Petram Ecclesia Dei sit ædificata. Durum enim et grave hoc esset, neque multum a Judaica vilitate distans, Ecclesiam Roma circumscribere. Sed ædificavit quidem Ecclesiam Christus ; ædificavit autem eam super Petri de Deo professionem, et super omnes qui ejusdem professionis custodes fuerint. Si vero B. Agathon affirmat Ecclesiam suam nunquam a via veritatis aberrasse, nihil miri est. Velimus autem, eum qui talia dicit, non res ad verba trahere, sed potius verba rebus accommodare : cumque animo suo reputare tropos œconomiæ, quibus sancti utuntur, cum de re aliqua utili ac necessaria quæstio instituitur ; et quia raro Ecclesia hæc a veritate in rebus fidei aberrat, B. Agathonem ut talia scriberet inductum fuisse. Alioqui, quomodo interpreteris illud, « Omnes declinaverunt, non est qui faciat bonum, non est usque ad unum [10]. » Præterea cum dixit Ecclesiam Romanorum a via veritatis non deflexisse, de præterito tempore locutus est, futurum non inclusit. Quod vero maximum est ante sextam synodum hæc ab Agathone dicta sunt Mirum autem videri non debet, si synodus e multis

*Ἀπὸ τοῦ προφωνητικοῦ λόγου τῆς ἁγίας συνόδου πρὸς τὸν βασιλέα.*

« Τὰς δὲ καινὰς κενοφωνίας, καὶ τοὺς τούτων ἐφευρετὰς, πόρρω που τῶν ἐκκλησιαστικῶν περιβόλων ἐκβάλλομεν, καὶ τῷ ἀναθέματι δικαίως ὑποβάλλομεν. Φαμὲν δὴ Θεόδωρον τὸν τῆς Φαράν, Σέργιόν τε, καὶ Παῦλον, Πύρρον ἅμα καὶ Πέτρον τοὺς Κωνσταντινουπόλεως προεδρεύσαντας, ἔτι δὲ καὶ Κῦρον τὸν τῆς Ἀλεξανδρέων ἱερατεύσαντα, καὶ σὺν αὐτοῖς Ὀνώριον τὸν τῆς Ῥώμης γενόμενον πρόεδρον. » Εἰ δὲ Ὀνώριος Ῥώμης ἐπίσκοπός ἐστιν, ἔστι δὲ καὶ αἱρετικὸς, δυνατὸν ἄρα τὸν πάπαν τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων. Οὐκ ἄρα, ἐκλιπόντος αὐτοῦ τὴν πίστιν, ὁ τοῦ Κυρίου διαπέπτωκε λόγος, ὃν περὶ τῆς Ἐκκλησίας εἰρήκει, « Πύλας ᾅδου μὴ δυνηθῆναι ταύτης περιγενέσθαι. » Ἔστι γὰρ ἐν τοῖς λοιποῖς ἐπισκόποις καὶ μάλα τὴν εὐσέβειαν σώζεσθαι. Φανερὸν δὲ ἐκ τούτων μηδὲ τῇ τῆς Ῥώμης Ἐκκλησίᾳ προσήκειν τὸ ἐπὶ ταύτῃ τῇ πέτρᾳ τὴν Ἐκκλησίαν οἰκοδομεῖσθαι. Τοῦτο γὰρ καὶ φορτικὸν, καὶ οὐ πόρρω τῆς Ἰουδαϊκῆς ταπεινότητος, περιγράφειν τῇ Ῥώμῃ τὴν Ἐκκλησίαν. Ἀλλ' ᾠκοδόμησε μὲν τὴν Ἐκκλησίαν ὁ Χριστὸς, ᾠκοδόμησε δὲ αὐτὴν ἐπὶ τῇ θεολογίᾳ τοῦ Πέτρου, καὶ ἐπὶ πᾶσιν οἱ τῆς τοιαύτης ὁμολογίας φύλακες ἔσονται. Εἰ δὲ ὁ μακάριος Ἀγάθων τὴν ἑαυτοῦ Ἐκκλησίαν οὐδέποτε λέγει ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας παρασυρῆναι, θαυμαστὸν οὐδέν. Ἀξιώσομεν δὲ τὸν ταῦτα λέγοντα μὴ τὰ πράγματα ἕλκειν ἐπὶ τοὺς λόγους, ἀλλὰ μᾶλλον τοὺς λόγους ἐφαρμόζειν τοῖς πράγμασιν. Ἐνθυμεῖσθαι (33) δὲ δεῖ καὶ τρόπους οἰκονομίας, οἷς οἱ ἅγιοι χρῶνται, ὅταν περί τινος τῶν ἀναγκαίων ἡ ζήτησις ᾖ· καὶ τὸ σπανίως δὲ τὴν Ἐκκλησίαν ταύτην τῆς ἀληθείας ἐκπίπτειν, ὅσα γε εἰς πίστιν φέρει (34). Ἢ πῶς ἑρμηνεύσεις τὸ, « Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν ἀγαθὸν, οὐκ ἔστιν ἕως ἑνός. » Ἄλλως τε εἰπὼν ὅτι οὐκ ἐκάμφθη ἡ Ἐκκλησία τῆς Ῥωμαίων ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας, τὸ παρῳχηκὸς εἴρηκε, τὸ μέλλον δὲ οὐκ ἀπέκλεισε. Τὸ δὲ μέγιστον, πρὸ τῆς ἕκτης ταῦτα συνόδου τῷ μακαρίῳ ἐκείνῳ εἴρηται. Θαυμάζειν δὲ οὐ χρὴ, εἰ σύνοδος πολλῶν ἁγίων συνῆκε, ὅπερ

[10] Psal. xiii, 3.

(32) *Σεργίῳ αἱρετικῷ ἀνάθεμα.* Omissa sunt verba propter quæ maxime hæc ex actis sextæ synodi Nilus producit, sic reponenda ex Palatino : Σεργίῳ αἱρετικῷ, ἀνάθεμα. Κύρῳ αἱρετικῷ, ἀνάθεμα· Ὀνωρίῳ, αἱρετικῷ, ἀνάθεμα. Perperam in libro scriptum, κυρίῳ. Nam est ille Κῦρος τῆς τῶν Ἀλεξανδρέως ἱερατεύσας, ut paulo post scribit.

(33) *Ἀθυμεῖσθαι δὲ δεῖ.* Δεῖ abest libro scripto. Non male, si ita distinguas, ἀλλὰ μᾶλλον τοὺς λόγους ἐφαρμόζειν τοῖς πράγμασιν, ἐνθυμεῖσθαι δὲ καὶ τρόπους οἰκονομίας. Paulo ante, v. 13, Ἀξιώσομεν δὲ, *lib. Serv.* ἀξιώσομεν γὰρ habet.

(34) *Ὅσα γε εἰς πίστιν φέρει.* Post hæc Palatinus, verba omnino necessaria interserit, τοιαῦτα πέπεικε τὸν μακάριον Ἀγαυωνα γράφειν, ἢ πῶς ἑρμηνεύσεις τὸ, *etc.*, quæ vulgo in editis desunt. Sequitur statim, ἄλλως τε εἰπων, scilicet Ἀγάθων.

τὸν ἕνα ἀγνοῆσαι συμβαίνει. Καὶ ὅτι ταῦτα ἀληθῆ, ἀνάγνωθι τὴν ἐπιστολὴν Λέοντος πάππα διαδεξαμένου τὸν Ἀγάθωνα προσεχῶς, καὶ τὴν ἕκτην ἀσπαζομένου σύνοδον.

A sanctis Patribus collecta intellexit, quæ unum ignorasse contigit. Quod vero hæc ita se habeant, lege epistolam Leonis papæ, qui proximus Agathoni successit, sextamque est amplexus.

*Ἀπὸ τοῦ τέλους τῶν Πρακτικῶν τῆς ἕκτης συνόδου, ἀπὸ τῆς ἐπιστολῆς Λέοντος πάππα πρὸς τοὺς βασιλέας Ῥωμαίων.*

*Ex fine Actorum sextæ synodi, ex epistola Leonis papæ ad reges Romanorum.*

« Ὡσαύτως ἀναθεματίζομεν τοὺς ἐφευρετὰς τῆς νέας πλάνης, τοῦτ' ἔστι Θεόδωρον τὸν τῆς Φαρὰν ἐπίσκοπον, Κῦρόν τε Ἀλεξανδρείας, Σέργιον, Πύρρον, Παῦλον, Πέτρον τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως, ὑποκαθιστὰς μᾶλλον ἢπερ καθηγητάς· οὐ μὴν ἀλλὰ καὶ Ὀνώριον, ὅστις ταύτην τὴν ἀποστολικὴν Ἐκκλησίαν οὐκ ἐνεχείρησε διδασκαλίᾳ ἀποστολικῆς παραδόσεως ἡγνίσθαι, ἀλλὰ τῇ βεβήλῳ προδοσίᾳ τὴν ἄσπιλον παρεχώρησεν. » Τὸ δὲ λέγειν τοῦτον τὸν λόγον ἔχειν τὸν πάππαν πρὸς τὸν Κωνσταντινουπόλεως, ὃν αὐτὸς πρὸς τὸν Καισαρείας εἴ τύχοι, ἢ πρός τινα τῶν ὑπ' αὐτὸν ἱερέων, πῶς οὐ κομιδῇ πάνδεινον; Ὁ μὲν γὰρ Ῥώμης πρῶτος πρὸς τὸν Κωνσταντινουπόλεως λέγεται, ὡς αὐτοῦ γε δευτέραν τάξιν ἐπέχοντος· οὐκέτι δὲ ὁ Κωνσταντινουπόλεως πρῶτος οὕτω πρὸς τὸν Καισαρείας, ὡς ἐκείνου γε τὰ δευτερεῖα σώζοντος· ἀλλ' ὁ μὲν τῆς Κωνσταντίνου οὕτω πρῶτος τῶν ὑπ' αὐτὸν, ὡς μονὰς, καὶ ὡς μὴ τοῖς ἄλλοις συντεταγμένος· ὁ δὲ Καισαρείας οὐ δεύτερος ὀνομάζεται, ἀλλὰ καὶ αὐτὸς πρῶτος, πλὴν ὡς τοῖς ἄλλοις συντεταγμένος, καὶ δεύτερον ἔχων μεθ' ἑαυτὸν καὶ τρίτον. Ὅτι δὲ τοῦ πάππα πρωτεῖον συντεταγμένον ἐστὶ καὶ οὐκ ἀφετὸν, δῆλον. Ἀνάγνωθι καὶ κανόνα τριακοστὸν ἕκτον τῆς ἕκτης συνόδου, ὅς φησιν· « Ἀνανεούμενοι τὰ παρὰ τῶν ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων ἐν τῇ θεοφυλάκτῳ ταύτῃ βασιλίδι (35) συνελθόντων, καὶ τῶν ἑξακοσίων πριάκοντα τῶν ἐν Χαλκηδόνι συναθροισθέντων νομοθετηθέντα, ὁρίζομεν, ὥστε τὸν Κωνσταντίνου πόλεως θρόνον τῶν ἴσων ἀπολαύειν πρεσβείων τοῦ πρεσβυτέρας Ῥώμης θρόνου, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα, μεθ' ὃν ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἀριθμείσθω θρόνος, εἶτα ὁ τῆς Ἀντιοχέων, καὶ μετὰ τοῦτον ὁ τῆς Ἱεροσολυμιτῶν πόλεως. » Εἰ δὲ ὅτι πρῶτος ἐν τῇ ἀριθμήσει, διὰ τοῦτο καὶ τὴν δεσποτείαν ἁρπάζεις, δὸς τοῦτο καὶ τῷ Κωνσταντινουπόλεως. Καὶ γὰρ καὶ οὗτος προτάττεται τοῦ τῶν Ἀλεξανδρέων. Ὁ δὲ τῆς Ἀλεξανδρέων ὑπ' αὐτὸν ὁμοίως ἐχέτω τὸν τῆς Ἀντιόχου. Καὶ οὗτος δὲ ὁριστὴς ἔστω τοῦ θρόνου τῶν Ἱεροσολύμων. Καὶ πῶς, οὐ ταῦτα θόρυβος ἀτεχνῶς; Οὐ μὴν ἀλλὰ, εἰ μὲν Κωνσταντίνου πόλεως (36) τὸν Καισαρείας χειροτονεῖ, καὶ τοὺς μετ' αὐτὸν, ὁ δὲ Ῥώμης οὔτε τὸν Κωνσταντινουπόλεως, οὔτε ἄλλον οὐδένα τῶν καθολικῶν ἱερέων, πῶς ἔστιν ἀληθεύειν λέγοντα. Οὕτω; ἐστὶ πρῶτος ὁ Ῥώμης πρὸς τὸν Κωνσταντινουπόλεως, ὥσπερ οὗτος αὐτὸς πρὸς τοὺς ὑπ' αὐτὸν ἱε-

« Simili modo anathematizamus auctores novi erroris, hoc est, Theodorum Pharanitanum episcopum, et Cyrum Alexandriæ, Sergium, Pyrrhum, Paulum, Petrum Ecclesiæ Constantinopolitanæ substitutos potius quam præpositos : nec non Honorium, qui hanc apostolicam Ecclesiam doctrina apostolicæ traditioni consentanea non illustravit, sed eam quæ immaculata erat, impuræ profanæque proditioni obnoxiam fecit. » At vero dicere, eamdem esse rationem papæ ad Constantinopolitanum, quæ est ipsius ad Cæsariensem, vel ad alium quemvis episcoporum qui sub ipso sunt, quo pacto non omnino durum sit? Romanus enim episcopus primus respectu Constantinopolitani dicitur, veluti hoc secundum ordinem obtinente : nequaquam vero Constantinopolitanus primus ita respectu Cæsariensis, tanquam illo secundas partes obtinente : sed Constantinopolitanus quidem ita est primus eorum qui sub ipso sunt, tanquam solus, et tanquam aliis non coordinatus. Cæsariensis vero ne ipse quidem secundus vocatur ; sed etiam ipse primus ; eo excepto, quod sit aliis coordinatus, et secundum post se habens atque etiam tertium. Quod vero papæ primatus coordinatus sit, et non liber atque exemptus, patet ex can. 36 synodi VI, qui sic habet : « Renovantes quæ a 150 sanctis Patribus in hac a Deo custodita regia urbe, et 630 Chalcedone congregatis, decreta fuerunt ; decernimus ut sedes Constantinopolitana iisdem honoris prærogativis fruatur, quibus sedes veteris Romæ, et in ecclesiasticis negotiis æque atque illa emineat ; cum sit post illam secunda ; post quam, magnæ illius Alexandrinorum urbis sedes ; deinde, Antiochensium, et post hanc Hierosolymitanæ urbis sedes numeretur. » Si vero, quia primus es in numeratione, idcirco dominatum arripis, concede hoc ipsum etiam Constantinopolitano, nam et hic proponitur Alexandrino. Alexandrinus vero eadem ratione sub se habeat Antiochenum ; hic vero rursum Hierosolymitanæ sedi præscribat. At quid hæc, nisi tumultum afferant? At si Constantinopolitanus Cæsariensem, quique eum sequuntur, ordinat, Romanus autem neque Constantinopolitanum, neque alium quemquam ex generalibus patriarchis : quomodo censeri possint veraces, qui dicunt, eadem ratione esse primum Romanum respectu Constantinopolitani, qua hic ipse, respectu antistitum qui sub ipso sunt? Lege præterea canonem sextum sanctæ et universalis synodi

(35) *Θεοφυλάκτῳ ταύτῃ βασιλίδι.* Καὶ βασιλίδι Servini Irber. Et paulo post, Τοῦ τῆς πρεσβυτέρας Ῥώμης θρονῳ.

(36) *Ὁ Κωνσταντίνου πόλεως.* Subaudi, θρόνος. Sic infra ὁ δὲ Ῥώμης, et alibi.

primæ; ut videas decretum fuisse, ut parti orbis terrarum Alexandrinus, parti Romanus, parti vero Antiochenus præsit, neque licere alteri, aliena invadere. Canon ita habet: Antiqua consuetudo valeat, quæ in Ægypto, Libya et Pentapoli obtinuit; ut Alexandrinus patriarcha in hæc omnia potestatem habeat. Quandoquidem et Romano episcopo hæc ipsa consuetudo est. Similiter vero etiam in Antiochia, similiter et in reliquis provinciis, suæ cuique Ecclesiæ prærogativæ conserventur. » Audis, quo pacto veterum Patrum decreta canon amplectenda esse censeat, qui singulis ecclesiis prærogativas tribuerunt, ut nimirum aliæ gentes Alexandrino subjectæ essent, aliæ Antiocheno; quæcunque videlicet Syriam, et utramque Ciliciam incolunt, et Cœlo-Syriam et Mesopotamiam, quodque Romano episcopo hoc datum est, videlicet ut Occidentalibus præsit. Hierosolymitanus vero episcopus (ut septimus ejusdem synodi canon definit) urbibus quæ in Palæstina, Phœnicia, et Arabia sitæ sunt, præest. Sub Constantinopolitana vero sede (ut vicesimus octavus quartæ synodi canon definit) omnes Asiæ diœceses, et Ponti, et Thraciæ. Si itaque unusquisque suis finibus sit contentus, ordinem institutum observat. Si quis vero, cum suas retineat, alienas etiam ecclesias iniquis oculis aspicit: is, fieri non potest, quin veterum Patrum instituta violet. At canon hoc non vult, sed, « Antiqua, inquit, consuetudo valeat » Enimvero si climata orbis terrarum canon singulis universalibus episcopis distribuisset, nihil vero præfinite Romanæ sedi attribuisset; sed solum eum dixisset principatum accepisse: verisimiliter utique existimari posset, totum orbem terrarum ipsi subjectum esse, et universales episcopos illius res administrare, quemadmodum Constantinopolitani patriarchæ res administrant, qui ei subsunt episcopi. Nunc vero si illud quidem Romano episcopo distincte attributum est, illud vero Alexandrino, illud Constantinopolitano: nihilo magis Romanus episcopus sub illis, quam illi sub Romano esse censebuntur.

Si vero, quod provocationem in rebus ecclesiasticis habeat, idcirco etiam eum dominum censes: hanc cum etiam Constantinopolitanus habeat, sint ergo eadem ratione aliæ sedes metropolitanæ ei subjectæ. Sed neque Constantinopolitanus eam ob causam jurisdictionem in illas usurpat; neque papa, ob eam prærogativam, juste aliorum patriarcharum ecclesias turbare potest. Lege canonem nonum universalis quartæ synodi, ut videas sedem etiam Constantinopolitanam provocationem habere. Ait enim: « Si cui clerico cum clerico controversia intercedat, ne deserat suum episcopum, et ad mundana tribu-

ράρχας; Ἀνάγνωθι κανόνα ἕκτον τῆς ἁγίας καὶ οἰκουμενικῆς πρώτης συνόδου, ἵν' εἰδῇς, ὡς μέρους μὲν ὁ Ἀλεξανδρείας, μέρους δὲ τῆς οἰκουμένης ἄρχειν ὁ Ῥώμης ἐκρίθη, μέρους δὲ ὁ Ἀντιοχείας, καὶ ὡς οὐκ ἔξεστιν ἑτέρῳ τοῖς ἀλλοτρίοις ἐπιπηδᾶν· ὅ φησι· « Τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει· ὥστε τὸν Ἀλεξανδρείας ἐπίσκοπον πάντων τούτων ἔχειν τὴν ἐξουσίαν. Ἐπεὶ καὶ τῷ ἐν τῇ Ῥώμῃ ἐπισκόπῳ τοῦτο σύνηθές ἐστιν. Ὁμοίως δὲ καὶ κατὰ τὴν Ἀντιόχου, καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις, τὰ πρεσβεῖα σώζεσθαι ταῖς Ἐκκλησίαις (37). » Ἀκούεις ὅπως τοὺς ἀρχαίους τῶν Πατρῶν θεσμοὺς ὁ κανὼν στέργειν οἴεται δεῖν, οἱ τῶν ἐκκλησιῶν ἑκάστῃ τὰ πρεσβεῖα ἐνείμαντο· ὡς τὰ μὲν τῶν ἐθνῶν ὑποκεῖσθαι τῷ Ἀλεξανδρείας, τὰ δὲ τῷ Ἀντιοχείας, ὅσα δηλαδὴ τὴν Συρίαν καὶ Κιλικίαν ἑκατέραν νέμονται, καὶ Κοίλην Συρίαν, καὶ τὴν Μέσην τῶν ποταμῶν· καὶ ὅτι τῷ Ῥώμης ἐπισκόπῳ τοῦτο δέδοται, δηλαδὴ τῶν Ἑσπερίων κρατεῖν. Ὁ δὲ τῆς Αἰλίας ἐπίσκοπος, ὡς ὁ ἕβδομος τῆς αὐτῆς συνόδου θεσπίζει, τῶν ἐν Παλαιστίνῃ καὶ Φοινίκῃ καὶ Ἀραβίᾳ κατάρχει πόλεων. Ὑπὸ δὲ τὸν θρόνον Κωνσταντινουπόλεως, ὡς ὁ εἰκοστὸς ὄγδοος τῆς τετάρτης συνόδου φησί, τάς τε Ἀσίας εἶναι διοικήσεις (38), καὶ ὅσαι τοῦ Πόντου καὶ τῆς Θρᾴκης. Εἰ μὲν οὖν ἕκαστος ἀρκεῖται τοῖς ἑαυτοῦ, τὴν γιγνομένην σώζει τάξιν· εἰ δέ τις κατέχων τὰ αὐτοῦ, καὶ τὰς ἑτέρων παροικίας ἀδίκοις ὀφθαλμοῖς ὁρᾷ, τοῦτον οὐκ ἔστι μὴ καταλύειν τὰ ἀρχαῖα τῶν Πατέρων ἤθη (39). Ἀλλ' ὁ κανὼν οὐ τοῦτο βούλεται, ἀλλά, « Τὰ ἀρχαῖα, φησὶν, ἔθη κρατείτω. » Οὐ μὴν ἀλλὰ, εἰ μὲν τὰ κλίματα τῆς γῆς ἑκάστῳ τῶν καθολικῶν ἐπισκόπων διανενεμημένα, ὡρισμένως οὐδὲν ὑπὸ τὸν τῆς Ῥώμης θρόνον κατέστη, ἀλλὰ μόνον αὐτὸν τὴν ἀρχὴν εἰληφέναι ἔλεγεν ὁ κανών, εἰκὸς ἦν δήπου λογίζεσθαι πᾶσαν τὴν οἰκουμένην ὑπ' αὐτὸν εἶναι, καὶ τοὺς καθολικοὺς ἐπισκόπους τἀκείνου διοικεῖν, ὥσπερ τὰ τοῦ Κωνσταντινουπόλεως, οἱ ὑπ' αὐτὸν ἱεράρχαι· εἰ δ' ἐκεῖνο μὲν ἀπεκληρώθη τῷ Ῥώμης, ἐκεῖνο δὲ τῷ Ἀλεξανδρείας, τοῦτο δὲ τῆς Κωνσταντίνου (40), οὐ μᾶλλόν γε ὁ Ῥώμης ὑπ' ἐκείνους ἢ ἐκείνοι ὑπὸ τὸν Ῥώμης, ὅσα γε εἰς τοῦτο τελέσουσιν.

Εἰ δὲ, ὅτι τὴν ἔφεσιν τῶν ἐκκλησιαστικῶν ἔχει, διὰ τοῦτο καὶ δεσπότην αὐτὸν ἀξιοῖς· ταύτην καὶ τοῦ Κωνσταντινουπόλεως ἔχοντος, ἑστωσαν ὑπ' ἐκεῖνον ὁμοίως οἱ λοιποὶ θρόνοι. Ἀλλ' οὔτε ὁ τῆς Κωνσταντίνου ἱεριστὴς ἐκείνων διὰ τοῦτο κατέστη, οὔτε ὁ πάππας διὰ ταῦτα δίκαιος ἂν εἴη ταῖς παροικίαις τῶν ἄλλων πατριαρχῶν ἐνοχλεῖν. Ἀνάγνωθι κανόνα ἔνατον τῆς οἰκουμενικῆς τετάρτης συνόδου, ἵν' εἰδῇς τὴν ἔκκλητον προσοῦσαν καὶ τῷ θρόνῳ τῆς Κωνσταντίνου πόλεως. Φησὶ γάρ· « Εἴ τις κληρικὸς πρὸς κληρικὸν πρᾶγμα ἔχει, μὴ ἐγκαταλιμπανέτω τὸν οἰκεῖον ἐπίσκοπον, καὶ ἐπὶ κοσμικὰ

(37) *Ταῖς ἐκκλησίαις.* Palatinus, τῆς ἐκκλησίας.

(38) *Τὰς Ἀσίας εἶναι διοικήσεις.* Idem, τὰς δὲ τῆς Ἀσίας.

(39) *Τῶν πατέρων ἤθη.* Melius, ἔθη. Et multis aliis locis hoc probari potest. Ita etiam scribendum sequenti canone, τὰ ἀρχαῖα ἔθη κρατείτω.

(40) *Τοῦτο δὲ τῆς Κωνσταντίνου.* Lege, Τοῦτο δὲ τῷ τῆς Κωνσταντίνου. Articulus, τῷ, manifesto deest.

δικαστήρια κατατρεχέτω· ἀλλὰ πρότερον τὴν ὑπόθεσιν γυμναζέτω παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ, ἢ γοῦν γνώμῃ ἐπισκόπου παρὰ οἷς ἂν τὰ ἀμφότερα μέρη βούλωντσι, τὰ τῆς δίκης συγκροτείσθω. Εἰ δέ τις παρὰ ταῦτα ποιήσει, κανονικοῖς ἐπιτιμίοις ὑποκείσθω. Εἰ δὲ κληρικὸς πρᾶγμα ἔχει πρὸς τὸν ἴδιον ἢ πρὸς ἕτερον ἐπίσκοπον, παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας δικαζέσθω. Εἰ δὲ πρὸς τὸν τῆς αὐτῆς ἐπαρχίας μητροπολίτην ἐπίσκοπος ἢ κληρικὸς ἀμφισβητείη, καταλαβέτω τὸν ἔξαρχον τῆς διοικήσεως, ἢ τὸν τῆς βασιλευούσης Κωνσταντίνου πόλεως θρόνον, καὶ ἐπ' αὐτῷ δικαζέσθω. » Τὰ αὐτὰ καὶ ὁ ἑπτακαιδέκατος τῆς αὐτῆς συνόδου φησίν. Ὁ δὲ εἰκοστὸς ἕβδομος τῆς αὐτῆς συνόδου, καὶ ὁ τριακοστὸς ἕκτος τῆς ἕκτης, τῶν αὐτῶν ἀξιοῦντες πρεσβείων ἀμφοτέρους τοὺς θρόνους, σαφῶς καὶ τὴν ἔφεσιν τῷ θρόνῳ τῆς Κωνσταντίνου διδόασιν.

Ὅτι δὲ, πάντας ἀνακρίνων αὐτὸς, ὑπ' οὐδενὸς ἀνακρίνεται, τοῦτο καὶ ψεῦδος, καὶ τοῖς τῶν ἀποστόλων ἔθεσιν οὐ συμβαίνει. Εἰ γὰρ Παῦλος κοινοῦται τοῖς ἄλλοις τὸ Εὐαγγέλιον, μήπως εἰς κενὸν τρέχει ἢ ἔδραμε, καὶ πάλιν Πέτρος ἐπιτιμῶντος ἀνέχεται Παύλου· πῶς οὗτος καθάπερ τύραννος ἀνεύθυνον ἕξει τὸν βίον, καὶ ταῦτα Πέτρου διάδοχος εἶναι φιλοτιμούμενος; Ὅτι δὲ καὶ ψεῦδος τὸ τοιοῦτον, σαφές. Περὶ μὲν τῶν δογμάτων Ὀνώριος τοῖς παρ' ἡμῖν μαρτυρεῖ, ὃς κριθεὶς παρὰ τῆς ἕκτης συνόδου, τῷ ἀναθέματι παρεδόθη, οὐδὲ τοῦ θανάτου παραιτησαμένου τὸν ἄνθρωπον· περὶ δὲ τῆς ἄλλης πολιτείας καὶ πᾶσι μὲν νόμοις οἷς ἕκαστος τῶν ἐπισκόπων ὑπόκειται, ἐνέχεται καὶ αὐτὸς, εἷς ἐπισκόπους τελῶν. Πολλοὶ δὲ οἱ τοιοῦτοι τῶν νόμων, οἱ μὲν παρὰ ἀποστόλων, οἱ δὲ παρὰ τῶν οἰκουμενικῶν ἐκτεθειμένοι συνόδων. Καὶ ἰδίᾳ φαίνεται παρὰ τῶν μακαρίων Πατέρων ἐπιτιμώμενος. Ἀνάγνωθι κανόνα τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου τρισκαιδέκατον, ὃς φησιν· « Ἐπειδὴ ἐν τῇ Ῥωμαίων Ἐκκλησίᾳ ἐν τάξει κανόνος παραδεδόσθαι διέγνωμεν τοὺς μέλλοντας διακόνου ἢ πρεσβυτέρου ἀξιοῦσθαι χειροτονίας, καθομολογεῖν, ὡς οὐκ ἔτι ταῖς αὐτῶν συνάπτονται γαμεταῖς· ἡμεῖς τῷ ἀρχαίῳ ἐξακολουθοῦντες κανόνι τῆς ἀποστολικῆς ἀκριβείας καὶ τάξεως, τὰ τῶν ἱερῶν ἀνδρῶν κατὰ νόμους συνοικέσια καὶ ἀπὸ τοῦ νῦν ἐρρῶσθαι βουλόμεθα, μηδαμῶς αὐτῶν τὴν πρὸς τὰς γαμετὰς συνάφειαν διαλύοντες. » Εἶτα τὸν λόγον ἐπεξεργαζόμενος ὁ κανὼν ἐπάγει· « Εἴ τις οὖν ὁρμήσει παρὰ τοὺς ἀποστολικοὺς κανόνας κινούμενος, τινὰς τῶν ἱερωμένων, πρεσβυτέρων φαμὲν, ἢ διακόνων, ἢ ὑποδιακόνων, ἀποστερεῖν τὴν πρὸς τὴν γυναῖκα συνάφειαν καὶ κοινωνίαν, καθαιρείσθω. » Καὶ πάλιν τῆς αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου κακῶν πεντηκοστὸς πέμπτος φησίν· « Ἐπειδὴ μεμαθήκαμεν, ἐν τῇ Ῥωμαίων πόλει, ἐν τῇ ἁγίᾳ Τεσσαρακοστῇ νηστείᾳ, τοῖς ταύτης Σάββασι νηστεύειν παρὰ τὴν παραδοθεῖσαν ἐκκλησιαστικὴν ἀκολουθίαν· ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε κρατεῖν καὶ ἐπὶ τῇ Ῥωμαίων Ἐκκλησίᾳ ἀπαρασαλεύτως τὸν κανόνα τὸν λέγοντα, Εἴ τις κληρικὸς εὑρεθείη τῇ ἁγίᾳ Κυριακῇ νη-

A nalia se conferat: sed prius rem aperiat suo episcopo; vel certe ex arbitrio episcopi, apud quos utrique parti placuerit, controversia ventiletur. Si quis vero contra fecerit, canonicis correptionibus erit obnoxius. Si autem clerico controversia sit cum suo, vel cum alio episcopo, apud synodum provinciæ judicetur. Si vero cum metropolitano controversia intercedat alicui episcopo, vel clerico, adeat præfectum diœcesis, aut regiæ urbis Constantinopoleos sedem, et apud ipsam judicetur. » Idem decernit etiam decimus septimus ejusdem synodi canon. Vicesimus vero octavus ejusdem synodi, et tricesimus sextus sextæ, iisdem prærogativis dignantes utramque sedem, manifeste etiam Provocationem Constantinopolitanæ sedi tri-
B buunt.

Quod vero papa omnes judicet, ipse vero a nemine judicetur, falsum est, et apostolicis institutis dissentaneum. Paulus enim communicat aliis Evangelium, ne in vanum currat, aut cucurrerit. Petrus item patitur se a Paulo increpari. Quo pacto vero papa Romanus instar tyranni nullum admittet vitæ suæ censorem? cum alioqui Petri se successorem esse glorietur? At hoc manifeste falsum esse, quod quidem ad dogmata attinet, Honorius testatur, qui judicatus a sexta synodo anathemati traditus fuit, ne morte quidem hominem excusante. Quod vero ad vitæ rationem actionesque attinet,
C omnibus etiam legibus quibus singuli episcopi sunt obstricti, subditus est et ipse; quippe qui inter episcopos censetur. Multæ porro hujusmodi leges partim ab apostolis, partim a generalibus conciliis sunt constitutæ. Imo vero etiam peculiariter illum a beatis Patribus increpatum fuisse constat. Lege canonem sancti et generalis concilii sexti decimum tertium, qui sic habet: « Quoniam in Romanorum Ecclesia loco canonis traditum esse cognovimus, ut ii qui ordinandi sunt diaconi vel presbyteri, profiteantur, quod non ultra suis copulentur uxoribus: nos, antiquo insistentes canoni apostolicæ disciplinæ, atque ordinationi sacrorum virorum, legitima conjugia ab hoc tempore valere volumus, nulla ratione eorum cum uxoribus suis
D copulam dissolventes. » Deinde id quod dictum latius persequens atque explicans canon, subdit: « Si quis igitur contra apostolicos canones præsumpserit aliquem ex iis qui sacros ordines acceperit, presbyterum scilicet, vel diaconum, ab uxoris suæ copula societate que dirimere, deponatur. » Ejusdem quoque sancti et œcumenici concilii canon 55 ita habet: « Cum cognoverimus in Romana urbe, in sancto Quadragesimæ jejunio, ejusdem Quadragesimæ Sabbatis jejunari, præter ordinationem ecclesiasticæ traditionis: visum est sancto concilio, ut etiam in Romana Ecclesia firmiter atque inconcusse teneatur canon, qui ait: « Si quis clericus fuerit deprehensus sancto Dominico die aut Sabbato, præterquam uno solo jejunans, deponatur.

Si vero laicus, excommunicetur. » Quod itaque sicut in dogmatibus, ita et in aliis actionibus papa etiam inter eos qui judicantur censeatur, si quid præter statuta decretaque tentare deprehendatur, ex iis quæ diximus constat.

στεύων, ἢ τῷ Σαββάτῳ, πλὴν ἑνὸς μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. » Ὅτι μὲν οὖν ὥσπερ κἀν τοῖς δόγμασιν, οὕτω κἀν τοῖς ἄλλοις ἐπιτηδεύμασι, μετὰ τῶν κρινομένων καὶ ὁ τῆς Ῥώμης ἐπίσκοπος ἕστηκεν, εἴ τι παρὰ τὰ διατεταγμένα εὑρεθείη τολμῶν, ἐκ τῶν εἰρημένων δῆλον.

Quod vero majori ordine non sit, quod ad ipsum attinet, quam episcopali, ex dictis liquet. Quo pacto enim si majoris ordinis esset, ab inferioris ordinis hominibus corrigeretur? Constat vero etiam ipsum a Patribus episcopum vocari, vel ex ipsis ad eum scriptis epistolis. Atqui ab episcopis quidem ordinatur. Quod non fieret, si ipse episcopo major esset. Neque enim quisquam alteri impertiri potest, quod ipsemet antea non habuit. At vero hæc ipsa dicere, est ordinem dissolvere. Beatus vero Dionysius, qui apostolorum temporibus vixit, imo potius nonnullorum ex iis auditor, nonnullorum dux atque magister exstitit, in diaconos, sacerdotes et episcopos omnem ecclesiasticam hierarchiam aperte dividit, et majorem episcopali dignitatem ex ejus scriptis nullam vel imaginari possumus. Neque vero vel exsistentem omnino aliam majorem ignoravit, vel data opera prætermisit, cum de universa ecclesiastica hierarchia scripturum se professus esset. At, sint hæc ita, inquiunt. Quo pacto autem justum fuerit canonum sextæ synodi meminisse, cum sexta synodus, quæ de duabus in Christo voluntatibus disseruit, canonum nullam mentionem fecerit? Primum quidem, o bone, ut maxime hæc synodus firma ac rata non esset, propositum tamen nostrum comprobatum est. Si enim non est ulla dignitas episcopali major, sed neque episcopo episcopus major, quatenus episcopus est (omnes enim episcopos ait Dionysius esse ejusdem ordinis ac dignitatis): manifestum utique est papam etiam episcopum esse, et in unum cum aliis ordinem redigi, omnibusque legibus quibus et reliquum episcoporum genus subjacere. Tot vero sunt leges quæ ad episcopos attinent, tantumque de iis curæ fuit œcumenicis conciliis, quibus contradici non potest, ut non facile omnes enumerari queant. Quod autem canones quos supra recitavimus sanctæ œcumenicæque synodi sextæ et dicantur esse et sint, et pro firmis ac ratis habeantur, nemo ignorat qui vel mediocriter in ecclesiasticis rebus est versatus. Cum enim quinta et sexta synodus nullos canones ediderint, synodus quæ hæc dicit, statim post sextam instaurata (œcumenica vero etiam ipsa), illarum defectum supplevit; et sicut illæ de dogmatibus disserentes, nullum de canonibus verbum fecerunt, ita hæc in tractatione de dogmatibus

Ὅτι δὲ καὶ μείζονος τάξεως ἢ κατ' ἐπίσκοπον οὐκ ἔστι τὸ κατ' αὐτὸν, δῆλον μὲν, ἐξ ὧν εἴρηται· πῶς γὰρ, εἰ μείζονος τάξεως ἦν, παρὰ τῶν ἐλαττον ἐχόντων εὐθύνετο ἄν; δῆλον δὲ καὶ ὡς ἐπίσκοπον Ῥώμης αὐτὸν οἱ Πατέρες καλοῦσι, καὶ οἷς αὐτῷ ἐπιστέλλουσιν. Οὐ μὴν ἀλλὰ καὶ παρ' ἐπισκόπων χειροτονεῖται. Οὐκ ἂν, εἴγε κρείττων ἢ κατ' ἐπίσκοπον ἦν. Οὔτε γὰρ ἄν τις ἑτέρῳ μεταδοίη, ὅπερ οὐδὲ τὴν ἀρχὴν ἔσχε. Καὶ ἅμα τὸ ταῦτα λέγειν, λύειν τὴν τάξιν ἐστίν. Ὁ δὲ μακάριος Διονύσιος ἐπὶ τῶν ἀποστόλων γεγονὼς, μᾶλλον δὲ τῶν μὲν ἀκροατὴς, τῶν δὲ ἡγεμὼν καὶ διδάσκαλος καταστὰς, εἰς λειτουργοὺς καὶ ἱερέας καὶ ἐπισκόπους τὴν ἐκκλησιαστικὴν ἱεραρχίαν διαιρῶν φαίνεται, καὶ μείζονα τῆς τοῦ ἐπισκόπου ἀξίας οὐκ ἔστιν ἐκ τῶν ἐκείνου λόγων ὑπονοεῖν. Ἀλλ' οὐδ' ἂν ἡ οὖσαν ἠγνόησεν, ἢ εἰδὼς παρέλιπεν ἄν, περὶ πάσης ἐκκλησιαστικῆς ἱεραρχίας ποιεῖσθαι τὸν λόγον ἐπαγγειλάμενος. Ἀλλ' ἔστω ταῦτα, φασί. Πῶς δὲ κανόνων ἕκτης συνόδου μεμνῆσθαι δίκαιον, τῆς ἕκτης, ἡ περὶ τῶν δύο θελημάτων τοῦ Σωτῆρος διέλαβε, μηδαμῶς κανόνων φροντίδα ποιησαμένης; Πρῶτον μὲν, ὦ βέλτιστε, καὶ μὴ ταύτης τῆς συνόδου τὸ βέβαιον ἐχούσης, τὸ προκείμενον δείκνυται. Εἰ γὰρ οὐκ ἔστιν ἀξία τῆς τοῦ ἐπισκόπου μείζων, ἀλλ' οὐδὲ ἐπίσκοπος ἐπισκόπου, κατά γε τὸ ἐπίσκοπος εἶναι· πάντας γὰρ ὁμοταγεῖς καὶ ἰσοτίμους καλεῖ ὁ μακάριος Διονύσιος· δῆλον, ὡς ἐπίσκοπος καὶ ὁ πάππας, καὶ τοῖς ἄλλοις ὁμοταγὴς. καὶ πᾶσι νόμοις ὑπόκειται, οἷς καὶ τὸ τῶν ἐπισκόπων γένος· τοσοῦτοι δὲ οἱ τῶν ἐπισκόπων νόμοι, καὶ οὕτω περὶ τούτων ταῖς οἰκουμενικαῖς ἐμέλησε τῶν συνόδων, αἷς οὐδὲ ἀντιλέγειν ἔστιν, ὡς μηδὲ ῥᾳδίως αὐτοὺς ἀριθμεῖσθαι δύνασθαι. Ὅτι δὲ καὶ οἱ κανόνες, οὓς ἀνωτέρω ἀνέγνωμεν, τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου καὶ λέγονται καὶ εἰσὶ, καὶ τὸ βέβαιον μεθ' ἑαυτῶν ἔχουσιν, οὐδεὶς ἀγνοεῖ, ὃς καὶ βραχύ τι τῶν ἐκκλησιαστικῶν ἐμέλησε. Τῆς γὰρ πέμπτης καὶ ἕκτης κανόνων μηδένα λόγον ποιησαμένων, ἡ σύνοδος ἡ ταῦτα λέγουσα παρὰ πόδας τῆς ἕκτης συγκροτηθεῖσα, οἰκουμενικὴ δὲ καὶ αὐτὴ, τὸ ὑστέρημα ἐκείνων ἀνεπλήρωσε. Καὶ ὥσπερ ἐκεῖναι ποιησάμεναι τὸν λόγον περὶ δογμάτων περὶ κανόνων εἶπον οὐδ' ὁτιοῦν· οὕτως αὐτὴ περὶ δογμάτων λόγος βραχὺς, τὸν δὲ πάντα λόγον περὶ κανόνων ποιεῖται. Ὅτι δὲ καὶ οἰκουμενικὴ, δῆλον μὲν ἐκ τῆς ἱστορίας Βασιλείου (41),

(41) *Ὅτι δὲ οἰκουμενικὴ δῆλον μὲν ἐκ τῆς ἱστορίας Βασιλείου.* Falsa lectio, et prava distinctio; his enim duobus vitiis locus hic laborat, docto interpreti imposuit, qui sic vertit: *Manifestum est etiam ex historia Basilii habente Gortynes quæ est in Creta episcopum, istius in synodo apud Romam Ecclesiæ locum tenentem.* Prorsus male. Pal. ἐκ τῆς ἱστορίας Βασιλείου ἔχουσα, quam lectionem etiam ex suo adnotavit amplissimus Servinus, ipse autem legit Βασίλειον ἐχούσης. Egregie. Sed ἔχουσα retinendum putamus, et ita distinguimus, Ὅτι δὲ καὶ οἰκουμενικὴ, δῆλον μὲν ἐκ τῆς ἱστορίας, ἔχουσα Βασίλειον Γορτύνης τῆς κατὰ Κρήτην ἐπίσκοπον πάσης ἐν τῇ συνόδῳ τῆς κατὰ Ῥώμην Ἐκκλησίας

ἐχούσης Γορτύνης τῆς κατὰ Κρήτην ἐπίσκοπον, πάσης ἐν τῇ συνόδῳ τῆς κατὰ Ῥώμην Ἐκκλησίας τὸν τόπον ἐπέχοντα· δῆλον δὲ καὶ ἐξ ὧν αὐτὴ περὶ ἑαυτῆς συνεχῶς φθέγγεται, οἰκουμενικὴν ἑαυτὴν ὀνομάζουσα. Οὐκ ἂν δὲ ἠνέσχοντο χορὸς Πατέρων τοσοῦτος ἐπιφανοῦς οὕτω ψεύδους ἁλῶναι. Οὐ μὴν ἀλλὰ καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος ἐν τῷ πρώτῳ αὐτῆς κανόνι τοιάδε φησίν· « Ἀσπασίως τοὺς θείους κανόνας ἐνστερνιζόμεθα, καὶ ὁλόκληρον τὴν αὐτῶν διαγωγὴν (42) καὶ ἀσάλευτον κρατύνομεν, τῶν ἐκτεθέντων ὑπὸ τῶν σαλπίγγων τοῦ Πνεύματος, καὶ τῶν τοπικῶς συναθροισθεισῶν ἐπὶ ἐκδόσει τοιούτων δογμάτων, καὶ τῶν ἁγίων Πατρῶν ἡμῶν. Ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ Πνεύματος αὐγασθέντες, ὥρισαν τὰ συμφέροντα. Καὶ οὓς μὲν ἀναθέματι παραπέμπουσι, καὶ ἡμεῖς ἀναθεματίζομεν· οὓς δὲ τῷ ἀφορισμῷ, καὶ ἡμεῖς ἀφορίζομεν· οὓς δὲ τῇ καθαιρέσει, καὶ ἡμεῖς καθαιροῦμεν· οὓς δὲ ἐπιτιμίῳ παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως ὑποβάλλομεν. Ἀφιλάργυρος γὰρ ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν, ὁ βεβηκὼς εἰς τρίτον οὐρανὸν καὶ ἀκούσας ἄρρητα ῥήματα, Παῦλος ὁ θεῖος ἀπόστολος διαῤῥήδην βοᾷ. » Εἰ δὲ καὶ κανόνων μέμνηται ἡ ἁγία σύνοδος αὕτη τῶν πανευφήμων ἀποστόλων, τῶν τε ἁγίων καὶ οἰκουμενικῶν συνόδων, τῇ δὲ κυρίως ἕκτῃ περὶ κανόνων ἐμέλησεν οὐδαμῶς· πῶς οὐ πρόδηλον, ὡς περὶ τῶν κανόνων τῆς συνόδου ταύτης φησὶν, ἡ τὸ τῆς ἕκτης ἐνδεὲς ἀναπληρώσασα φαίνεται;

Τὸ δὲ καὶ ἀναθέματι παραδεδόσθαι τοὺς τὰ κανονικὰ ἐν οὐδενὶ λόγῳ ποιουμένους θεσπίσματα πῶς οὐ σφόδρα φοβερὸν, καὶ ψυχῆς λιθίνης καθικέσθαι δυνάμενον; Οὕτω δὲ τοὺς κανόνας τούτους κυρίους ἡγεῖτο καὶ ὁ τῆς Ῥώμης ἐπίσκοπος, ἕως ἂν ἐν εἰρήνῃ τὰ ἐκκλησιαστικὰ διετέλουν ὄντα, ὡς καὶ τὸν πάππαν Ἀδριανὸν Ταρασίῳ γράφοντα, ἐν θαύματος ἄγειν τὰ κατ' αὐτὸν, ἐμμένοντα τοῖς ὑπὸ τῆς ἁγίας ταύτης συνόδου κανονικῶς ὁρισθεῖσιν. Ἀνάγνωθι ἀπὸ τῶν Πρακτικῶν τῆς ἑβδόμης συνόδου, ἀπὸ τῆς ἐπιστολῆς τοῦ πάππα Ἀδριανοῦ πρὸς Ταράσιον Κωνσταντινουπόλεως, ταῦτα· « Εὕρομεν δὲ ἐν τῇ προειρημένῃ ἐπιστολῇ τῇ συνοδικῇ τῆς ὑμετέρας ἁγιωσύνης μετὰ τὸ πλήρωμα τῆς πίστεως τῆς ὁμολογίας τοῦ ἱεροῦ συμβόλου, καὶ πασῶν τῶν ἁγίων ἓξ συνόδων, καὶ περὶ τῶν ἱερῶν καὶ σεπτῶν χαρακτήρων θαῦμα αἰνέσεως καὶ περιπτύξεως ἄξιον, περιέχον, ὅτι Καὶ τὰ ὑπὸ τῆς αὐτῆς ἁγίας ἕκτης συνόδου δέχομαι μετὰ πάντων τῶν ἐνθέσμως καὶ θεωδῶς ἐκφωνηθέντων παρ' αὐτῆς κανόνων, ἐν οἷς ἐμφέρεται ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς, Ἀμνὸς δακτύλῳ τοῦ Προδρόμου δεικνύμενος ἐγχαράττεται. Ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνὸν, Χριστὸν τὸν

A brevis, tota vero in constituendis canonibus fuit. Quod autem etiam œcumenica fuerit, manifestum est etiam ex historia Basilii habente Gortynes quæ est in Creta episcopum, totius in synodo apud Romam Ecclesiæ locum tenentem. Constat etiam ex eo, quod ipsa synodus, de se continue loquens, œcumenicam seipsam vocat. Neque vero commisisset adeo frequens et celebris Patrum cœtus ut in tam aperto mendacio deprehenderetur. Porro sancta etiam atque œcumenica septima synodus primo canone ita ait : « Libenter obviisque ulnis amplectimur sacros canones, firmumque et inconcussum eorum tenorem; roboramus, quæ exposita sunt a tubis Spiritus, et iis qui localiter congregati fuerunt ad edenda ejusmodi dogmata, et sanctis Patribus. Ex uno enim eodemque Spiritu illustrati, utilia decreverunt. Et quos illi anathemati tradiderunt, nos etiam tradimus; quos segregarunt, et nos segregamus; quos deposuerunt, etiam nos deponimus; denique quos aliis pœnis multarunt, et nos similiter multamus. Mores enim piorum debent esse a pecuniarum cupiditate alieni, contenti sua sorte; quemadmodum in tertium cœlum raptus, quique ineffabilia verba audivit, divinus ille apostolus Paulus, aperte clamat. » Si vero sancta hæc synodus mentionem facit canonum apostolicorum, simulque sex sanctorum atque œcumenicorum conciliorum : sexta autem synodus proprie ita dicta, nullos omnino canones conscripserit; culnam dubium esse potest, quod de canonibus hujus synodi loquatur, quæ id quod sextæ deerat supplevisse cernitur?

Quod vero anathemati tradantur canonicarum constitutionum contemptores : quo pacto non sit terribile, et vel saxeum cor penetret? Quin imo etiam ipse Romanus episcopus usque adeo hosce canones ratos habuit, quandiu pax et concordia inter Ecclesias viguit, ut et papa Adrianus Tarasio scribens summopere eum laudaret, quod in sanctæ hujus synodi canonicorum decretorum observatione persisteret. Lege ex Actis septimæ synodi, ex epistola papæ Adriani ad Tarasium Constantinopoleos episcopum scripta in hunc modum : « Invenimus in prædicta synodica epistola Vestræ Sanctitatis, post plenitudinem fidei ex confessione sacri symboli, et omnium sanctorum sex conciliorum, et circa sacras venerandasque imagines, rem profecto mirum in modum laudabilem atque exosculandam; in qua etiam continetur, quod et illa quæ a sancta sexta synodo statuta sunt recipio, cum omnibus quæ legitime et divine pronuntiata sunt ab ipsius canonibus; in quibus infertur, quod in nonnullis sacrarum imaginum picturis, agnus digito Præcursoris ostensus insculpitur, qui in typum gratiæ assumptus est, verum nobis per legem præmonstrans agnum, Christum Deum

τόπον ἐπέχοντα. Ex eo probat, sextam illam synodum œcumenicam fuisse quod Basilium Gortynes episcopum habuerit, qui Romani episcopi locum in ea tenebat. Ἔχουσα omnino verum est. Nam si ἐχούσης retines, ad ἱστορίας referendum erit, quod non procedit.

(42) *Τὴν αὐτῶν διαγωγήν*. Alii, διαταγήν.

nostrum. Veteres itaque typos et umbras, tanquam veritatis symbola et lineamenta Ecclesiæ tradita amplectentes, gratiam pluris æstimamus et veritatem ipsam tanquam adimplctionem legis, hanc suscipientes, ut nimirum perfectio adimpletioque illa etiam picturæ artificio omnium oculis subjiciatur, Agni videlicet tollentis peccata mundi, Christi Dei nostri, secundum humanam effigiem. Et in imaginibus, ab hoc deinceps tempore, loco veteris agni erigi statuimus; per ipsum sublimitatem humilitatis Verbi Dei contemplantes, et ad memoriam vitæ ipsius in carne actæ, passionisque ipsius, et salutiferæ mortis veluti manu ducti; simulque redemptionis quam mundus hinc est consecutus. » Quod itaque canon hic etiam a B. Adriano confirmatus, quodque sit synodi de qua nunc sermo est octogesimus secundus, libri testantur. Plane vero absurdum est, Latinos non modo œcumenicis conciliis infensos esse, quibus ipsi præfuerunt, et quorum dignitas in cœlum usque evecta est; verum etiam inter sese dissidere, et modo quidem Adrianum papam hos ipsos canonas rem laude exosculatioqueque dignam appellare; modo vero Innocentium, aut alium aliquem, in iis ipsis rejiciendis consentire? Si quis vero dicat papam Patrum legibus ac statutis non esse subjectum, is nulla ratione est ferendus. Quamobrem? Quia ipsemet a Patribus prærogativam accepit; minimeque ferendum est, per quos ille evectus est, magnusque esse videtur, eos ipsos nihili facere. Præterea qui ita affectus est, etiam seipsum reprobare possit; siquidem ipse est qui leges statuit. Beatus vero Paulus, prævaricatorem seipsum vocat, si quæ destruxit iterum ædificare in animum inducat. Si vero demonstratum est papam tam in dogmatibus quam in moribus Patrum censuræ obnoxium esse, quo pacto Patrum legibus non sit subjectus? Vel quonam tandem modo æquum sit ut alii ipsum tanquam patrem revereantur, qui tam multos sanctos Patres contemnat?

Quod vero aiunt, papam non esse præfiniti alicujus loci, sed simpliciter absoluteque episcopum: quomodo non manifestæ veritati repugnet? Superius enim demonstratum est, ipsum ejusdem cum aliis episcopis ordinis esse. Deinde, quotiescunque in conciliis œcumenicis ejus per occasionem fit mentio, ut quidem fit sæpenumero, Romæ episcopum ipsum appellant. Quo pacto itaque Romæ episcopus non erit episcopus certi alicujus et circumscripti loci; nisi forte quispiam Romam certo loco circumscriptam negare velit. Si vero quia in epistolis suis non Romæ episcopum seipsum appellat, sed absolute episcopum, eamque

(43) *Τοὺς αὐτοὺς ἀποδοκιμάζειν συμφωνεῖν.* Aliquid deesse semper suspicati sumus, sed et τὸ συμφωνεῖν aliquando delebamus. Palatinus aliquid deesse fidem fecit, et nobis defectum supplevit, qui ita habet, Ὥσπερ ἀνάξιον ἑαυτὸν ἡγουμένους τὸ πρὸς ἑαυτοὺς συμφωνεῖν. Lege, Ὥσπερ ἀν. ἑαυτῶν.

Θεὸν ἡμῶν. Τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιὰς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα τῇ Ἐκκλησίᾳ παραδεδομένα, κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι, ὡς ἂν τὸ τέλειον κἂν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα. Καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν, δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ Λόγου κατανοοῦντες, καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας, τοῦ τε πάθους αὐτοῦ, καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως. » Ὅτι μὲν οὖν ὁ κανὼν οὗτος καὶ παρὰ τοῦ μακαρίου Ἀδριανοῦ τὸ κύρος ἔχει, καὶ ὅτι τῆς συνόδου ταύτης περὶ ἧς ὁ λόγος νυνὶ ὀγδοηκοστὸς δεύτερος ἀριθμούμενός ἐστι, τὰ βιβλία μαρτυρήσει τῷ λόγῳ. Πάνυ δὲ ἄτοπον μὴ μόνον πρὸς τὰς οἰκουμενικὰς τῶν συνόδων Λατίνους ἀπεχθῶς ἔχειν, ὧν ἡγεμόνες αὐτοὶ κατέστησαν, καὶ ὧν τὸ σεπτὸν καὶ μέχρις οὐρανοῦ προῆλθεν, ἀλλὰ καὶ πρὸς ἑαυτοὺς στασιάζειν· καὶ νῦν μὲν τὸν πάππαν Ἀδριανὸν τοὺς κανόνας τούτους θαῦμα αἰνέσεως καὶ περιπτύξεως ἀξίους καλεῖν, νῦν δὲ τὸν Ἰννοκέντιον, ἢ ἕτερον εἴ τύχοι, τοὺς αὐτοὺς ἀποδοκιμάζειν συμφωνεῖν (43). Εἰ δέ τις οὐχ ὑπάγεσθαι τὸν πάππαν τοῖς τῶν Πατρῶν κειμένοις νόμοις (44) ἐρεῖ, οὐκ ἀνεκτὰ πάντως ἐρεῖ. Διὰ τί; Ὅτι παρὰ τῶν Πατρῶν αὐτὸς τὸ πρεσβεῖον εἴληφε. Καὶ ἥκιστα φορητὸν, δι' ὧν ἐκεῖνος ἤρθη τε καὶ μέγας εἶναι δοκεῖ, τούτους ἐν οὐδενὶ τίθεσθαι. Ἄλλως τε τὸν οὕτως διακείμενον, καὶ ἑαυτὸν ἔστιν ἀθετεῖν, εἴπερ αὐτός ἐστιν ὁ τοὺς νόμους θείς. Ὁ δὲ μακάριος Παῦλος παραβάτην ἑαυτὸν φησὶν, εἴ γε ἃ κατέλυσε, ταῦτα πάλιν οἰκοδομεῖν πρόθυμεῖται. Εἰ δὲ δέδεικται τὸν πάππαν ὥσπερ ἐν τοῖς δόγμασιν, οὕτω δὴ κἀν τοῖς ἄλλοις παρὰ τῶν Πατρῶν εὐθύνεσθαι, πῶς οὐχ ὑπάγεται τοῖς πρὸς τῶν Πατρῶν κειμένοις νόμοις; Ἢ πῶς δίκαιον τοὺς ἄλλους ὡς πατρὶ τούτῳ προσέχειν, πατέρας τοσούτους αὐτῷ διαγράφοντι;

Τὸ δὲ λέγειν μὴ εἶναι τὸν πάππαν ἀφωρισμένως εἰς τόνδε τὸν τόπον, ἀλλ' ἁπλῶς ἐπίσκοπον, πῶς οὐ σφόδρα τοῖς φανεροῖς ἀντιλέγειν ἐστί; Πρῶτον μὲν γὰρ δέδεικται ἀνωτέρω ὁμοταγῆ τοῦτον τοῖς ἄλλοις (45) τῶν ἐπισκόπων· ἔπειτα ἐν πάσαις ταῖς οἰκουμενικαῖς τῶν συνόδων, ὁσάκις ἐκείνου μνησθῆναι καιρὸς (πολλάκις δὲ τὸ τοιοῦτο), Ῥώμης ἐπίσκοπον αὐτὸν ὀνομάζουσι. Πῶς οὖν ὁ Ῥώμης ἐπίσκοπος οὐκ ἔστιν ἐπίσκοπος ὡρισμένου τόπου τινός; εἰ μή τις τὴν Ῥώμην καὶ τὴν τοῦ τόπου περιγραφὴν διαφεύγειν βούλοιτο. Εἰ δὲ ὅτι ἐν οἷς αὐτὸς ἐπιστέλλει, οὐ Ῥώμης ἐπίσκοπον ἑαυτὸν ὀνομάζει, ἀλλ' ἁπλῶς ἐπίσκοπον, καὶ διὰ ταῦτα οὐδὲ

(44) *Τοῖς τῶν Πατρῶν κειμένοις νόμοις.* Forte, τοῖς παρὰ τῶν Πατρῶν κειμένοις νόμοις. Aut, πρὸς τῶν Πατρῶν, ut infra.

(45) *Ὁμοταγῆ τοῦτον τοῖς ἄλλοις.* Addendum, εἶναι. Ὁμοταγῆ τοῦτον εἶναι τοῖς ἄλλοις.

ὡρισμένου τόπου ἐπίσκοπον ἑαυτὸν ἀξιοῖ· οὐ λέληθεν ἡμᾶς λόγοις πολὺ τὸ ταπεινὸν ἔχουσι τὰ μεγάλα ἁρπάζων. Μᾶλλον γὰρ πρὸς ἡμῶν ὁ λόγος, εἴ γε ἀπὸ τοιούτων καθαιρεῖν αὐτοῦ τὸ ἀξίωμα ἐβουλήθημεν ἄν. Τὸ γὰρ ἑαυτὸν ἐπίσκοπον καλεῖν (τοῦτο δὲ κοινότατον ὄνομα) καὶ μὴ πάππαν, οἰκουμενικὸν, καὶ ἄκρον ἀρχιερέα, καὶ τἄλλα οἷς αὐτὸν χαίρουσι καλεῖν ἄνθρωποι, ἑαυτὸν ἐσπι ταπεινοῦντος. Ἀλλὰ οὔθ' ἡμεῖς διὰ ταῦτα δίκαια ἂν ποιοῦμεν, εἰ τούτοις αὐτὸν καθαιρεῖν ᾠήθημεν· ἐκεῖνός τε ἀπὸ τοιούτων ἑαυτὸν ἐλπίζων ἐξαίρειν, οὐδὲν ἄλλο ποιεῖ, ἢ ἐκ ψάμμου σχοινίον πλέκειν ἐπιχειρεῖ. Οὐ μὴν ἀλλὰ, εἰ διὰ ταῦτα μέγας ὁ πάππας ἐστὶν, ἐχέτω τὰ ἴσα διὰ ταῦτα καὶ Κύριλλος, καὶ πολλῷ πλέον ἐκείνου, ὅσῳ καὶ παρ' ἄλλων τὰ τοιαῦτα ἀκούει. Ἀνάγνωθι ταύτην τὴν μαρτυρίαν· « Θεοδόσιος ἔνδοξος θριαμβευτὴς, ἀεὶ Αὔγουστος, Κυρίλλῳ ἐπισκόπῳ. » Ὁρᾷς, ὅτι οὐ προστίθησι καὶ τίνος ἐπίσκοπος; Οὐ μὴν ἀλλὰ, εἰ καί τις ἐπίσκοπος ὢν, ἐν οἷς γράφει, οὐδὲ τὸ τοῦ ἐπισκόπου προστίθησιν ὄνομα, ἀλλὰ μόνον, εἰ τύχοι, τοῦ ἰδίου μεμνημένος ὀνόματος, τὰ ἄλλα ἐᾷ, μηδὲ ἐπίσκοπος λοιπὸν ἔστω ὁ τοιοῦτος· ἀλλ' ἂν μὲν γράφει ἐπίσκοπος μόνον, φευγέτω τὴν περιγραφὴν, καὶ καθολικὸς τῆς οἰκουμένης ἐπίσκοπος ἔστω· ἂν δὲ καὶ τοῦτο ἀφῇ, καὶ ὑπὲρ τὸν τοιοῦτον ἔστω. Καὶ πῶς οὐ ταῦτα αἰνίγμασι παραπλήσια; Ὅτι δέ εἰσι καὶ πολλὰ τοιαῦτα, δῆλον· « Τῷ ὁσιωτάτῳ καὶ θεοφιλεστάτῳ Πατρὶ Κελεστίνῳ Κύριλλος ἐν Κυρίῳ χαίρειν. » Καὶ πάλιν· « Τῷ εὐλαβεστάτῳ καὶ θεοφιλεστάτῳ συλλειτουργῷ Νεστορίῳ Κύριλλος ἐν Κυρίῳ χαίρειν. » Καὶ πολλὰ ἂν εὕροις τοιαῦτα.

A ob causam certi alicujus loci episcopum seipsum nequaquam esse censet, non ignoramus illum, verbis magnam humilitatem præ se ferentibus, magna rapere. Imo vero hæc oratio pro nobis facit, si modo ipsius dignitatem evertere voluissemus. Cum enim se episcopum appellat (quæ quidem appellatio maxime communis est) et non papam, œcumenicum, vel summum pontificem, vel aliis titulis quibus homines plerumque ei blandiuntur : argumentum est humiliantis seipsum. Sed neque nos idcirco juste fecerimus, si his ipsum subvertere velimus. Ille vero sperans ex hisce seipsum extollere, nihil aliud agit quam si ex arena funiculum nectere conetur. Atqui, si ob hæc magnus est papa, idem etiam ob hæc obtineat Cyrillus, et quidem multo æquius illo, quod etiam ab aliis hic titulus ei tribuatur. En tibi testimonium : « Theodosius gloriosus triumphator, semper Augustus, Cyrillo episcopo. » Vides quo pacto non adjiciat cujus loci sit episcopus? Porro si quis etiam episcopus, in iis quæ scribit, ne ipsum quidem episcopi nomen apponat, sed tantum sui nominis mentionem faciat, alia omittat, episcopus ideo non sit? At si se inscribat episcopum tantum, refugiat circumscriptionem, et universalis totius terrarum orbis sit episcopus? Si vero etiam hoc omittat, etiam supra talem sit. At quomodo non sint hæc ænigmati similia? Quod autem sint etiam multæ ejusmodi inscriptiones, manifestum est. Verbi causa : « Sanctissimo et Deo dilectissimo Patri Celestino Cyrillus in Domino salutem. » Et rursus : « Religiosissimo et Deo dilecto comministro Nestorio Cyrillus in Domino salutem, » multaque ejus generis reperias.

B

C

Ἀλλ' οὐδὲ, ὡς φασὶ, μόνος ὁ τῆς Ῥώμης θρόνος ἔχει, τὸ ἀποστολικὸς ὀνομάζεσθαι. Κοινὸν γὰρ αὐτὸ τοῦτο καὶ τοῖ, ἄλλοις τῶν καθολικῶν ἀδελφῶν. Δῆλον δὲ ἀπὸ τῆς ἑνδεκάτης πράξεως τῶν Πρακτικῶν τῆς ἕκτης συνόδου· « Κωνσταντῖνος ὁ θεοσεβέστατος ἀρχιδιάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας. » Πάλιν, ἀπὸ τῶν αὐτῶν Πρακτικῶν ἐκ τῶν τοῦ ὅρου ὑπογραφῶν· « Πέτρος πρεσβύτερος καὶ τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου τῆς Ἀλεξανδρέων μητροπόλεως (46). Γεώργιος ἐλάχιστος πρεσβύτερος, ἐπέχων τὸν τόπον Θεοδώρου τοῦ θεοφιλάκτου πρεσβυτέρου καὶ τοποτηρητοῦ τοῦ ἀποστολικοῦ θρόνου τῆς ἁγίας Χριστοῦ Θεοῦ ἡμῶν πόλεως Ἱεροσολύμων, ὑπέγραψα. » Καὶ πάλιν ἀπὸ τῆς πρώτης πράξεως τῶν Πρακτικῶν τῆς ἑβδόμης συνόδου, ἧς ἡ ἀρχή· « Ἐν ὀνόματι τοῦ Κυρίου καὶ Δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, βασιλείας τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν δεσποτῶν. » Εἶτα μετὰ τὸ καταλέξαι τοὺς ἐκ τῆς Ῥώμης ἀποσταλέντας, καὶ τὸν Κωνσταντινουπόλεως, ἐπάγει ῥητῶς οὕτως· « Ἰωάννου καὶ Θωμᾶ τῶν εὐλαβεστάτων πρεσβυτέρων, μοναχῶν, καὶ τοποτηρητῶν τῶν ἀποστολικῶν θρόνων

Sed neque, ut ipsi affirmant, sola Romana sedes apostolicæ appellationem obtinet. Communis enim hæc ipsa est etiam aliis catholicis fratribus. Manifestum id ex undecima actione Actorum sextæ synodi : « Constantinus pientissimus archidiaconus ejus quæ ibi est sanctissimæ Dei catholicæ apostolicæque Ecclesiæ. » Item, ex iisdem Actis et decreti subscriptionibus : « Petrus presbyter et vicarius apostolicæ sedis Alexandrinorum magnæ urbis. Georgius minimus presbyter, et locum tenens Theodori Theophylacti presbyteri et vicarii apostolicæ sedis sanctæ Christi Dei nostri urbis Hierosolymorum, subscripsi. » Item ex prima actione Actorum VII synodi cujus initium est : « In nomine Domini nostri Jesu Christi, veri Dei nostri, » etc., ubi postquam recensuit eos qui Roma, quique Constantinopoli missi essent, in hunc modum expresse subjungit : « Joannis et Thomæ reverendissimorum presbyterorum, monachorum, et vicariorum apostolicarum sedium quæ sunt in Orientali diœcesi. » Hoc ipsum reperies statim in initiis omnium Actorum septimæ synodi : et rursus in subscriptionibus determinationis ejusdem

D

(46) *Τῆς τῶν Ἀλεξανδρέων μητροπόλεως.* Pal. μεγαλοπόλεως, et ita supra multis locis, τὴν τῶν Ἀλεξανδρέων μεγαλόπολιν vocat. Falsum igitur, μητροπόλεως.

synodi : « Joannes per Dei misericordiam presbyter et patriarchicus assessor, vicarius et locum tenens trium apostolicarum sedium, Alexandriæ, Antiochiæ, et Hierosolymorum, Patrum dogmata traditionemque universalis Ecclesiæ sequens, decernens subscripsi. Thomas miseratione divina presbyter et præfectus habitationis sancti Patris nostri Arsenii, quæ sita est in Ægypto, ultra Babylonem, locum tenens trium apostolicarum sedium Alexandriæ, Antiochiæ, et Hierosolymorum, Patrum dogmatibus, traditionique universalis Ecclesiæ insistendo, decernens, subscripsi. » Hoc etiam in omnibus ipsorum subscriptionibus reperies. Audisti, quo pacto singulæ universales sedes apostolicæ nominentur? adeo ut si quis rem perpendat, omnibus ideirco sedibus eamdem quam Romanæ dignitatis prærogativam tribuet, neque satis scio in quos sint habituri primatum : aut certe neque Romana sedes propterea eximium aliquid ac prærogativum præ aliis obtineat, quandiu id quod commune est, proprium ac peculiare fieri locum non habeat. Beatus vero Chrysostomus unumquemque episcopum in cathedra Christi sedere ait, sicut legales sacerdotes in cathedra Moysis : et majori eos dignitate præditos esse asserit, quam sint angeli et archangeli, alibi rursus scribens. Adeo ut nihil magni sit, quod Romana sedes ab apostolis appellationem accipiat, cum singuli episcopi in cathedra Christi sedeant, majoremque ipsis angelis dignitatem obtineant.

A τῆς ἀνατολικῆς διοικήσεως. » Τοῦτο εὑρήτεις ἐν ταῖς ἀρχαῖς πασῶν τῶν πράξεων τῆς ἑβδόμης συνόδου· καὶ πάλιν ἐκ τῶν ὑπογραφῶν τοῦ ὅρου τῆς αὐτῆς συνόδου· « Ἰωάννης ἐλέῳ Θεοῦ πρεσβύτερος καὶ πατριαρχικὸς σύνεδρος (47), τὸν τόπον ἐπέχων τῶν τριῶν ἀποστολικῶν θρόνων, Ἀλεξανδρείας, Ἀντιοχείας, Ἱεροσολύμων, τοῖς τῶν Πατέρων δόγμασιν ἑξακολουθῶν, καὶ τῇ παραδόσει τῆς καθολικῆς Ἐκκλησίας, ὁρίσας ὑπέγραψα. Θωμᾶς ἐλέῳ Θεοῦ πρεσβύτερος, καὶ ἡγούμενος τῆς μονῆς τοῦ ἁγίου Πατρὸς ἡμῶν Ἀρσενίου, τῆς διακειμένης ἐν Αἰγύπτῳ ἄνω Βαβυλῶνος, ἐπέχων τὸν τόπον τῶν τριῶν ἀποστολικῶν θρόνων, Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ Ἱεροσολύμων, τοῖς πατρικοῖς ἑπόμενος δόγμασι, καὶ τῇ παραδόσει τῆς καθολικῆς Ἐκκλησίας, ὁρίσας ὑπέγραψα. » Τοῦτο καὶ ἐν πάσαις αὐτῶν ταῖς ὑπογραφαῖς εὑρήσεις. Ἤκουσας πῶς ἕκαστος τῶν καθολικῶν θρόνων θρόνος ἀποστολικὸς ὀνομάζεται; Ὥστε εἴ τις ἐθέλει τὰ δίκαια λογίζεσθαι, ἢ καὶ πάντας διὰ ταῦτα τῶν ἴσων ἀξιώσει τῷ Ῥώμης θρόνῳ, καὶ οὐκ οἶδα κατὰ τίνων ἔξουσι τὸ πρωτεῖον· ἢ μὴ διὰ ταῦτα ὁ τῆς Ῥώμης θρόνος τὸ ἐξαίρετον κατὰ τῶν ἄλλων ἔχέτω, ἕως ἂν τὸ κοινὸν ἴδιον γενέσθαι χώραν οὐκ ἔχῃ. Ὁ δὲ μακάριος Χρυσόστομος καὶ τῶν ἀρχιερέων ἕκαστον ἐν τῷ τοῦ Χριστοῦ θρόνῳ καθίσαι λέγει, ὥσπερ τοὺς νομικοὺς ἱερέας ἐπὶ τοῦ θρόνου Μωϋσέως· καὶ μείζονα ἀξίαν περιεζῶσθαι τούτους διατείνεται τῆς τῶν ἀγγέλων καὶ τῶν ἀρχαγγέλων, ἀλλαχοῦ πάλιν γράφων. Ὥστε οὐ μέγα τῷ Ῥώμης θρόνῳ παρὰ τῶν ἀποστόλων κεκλῆσθαι, ἑκάστου τῶν ἐπισκόπων ἐπὶ τοῦ θρόνου τοῦ Χριστοῦ καθημένου, καὶ μείζονα ἀξίαν ἢ κατὰ τὴν τῶν ἀγγέλων περιβεβλημένου.

Quod autem aiunt, ipsi soli licere œcumenicum concilium congregare, papæ nimirum : quo pacto non manifestæ veritati id repugnare censeamus? imo vero quo pacto non sit turpe, episcopum ea ambitiose affectare, quibus par est regem ipsum gloriari? Neque vero hæc ideo a me dicuntur ut regum pusillanimitatem damnem (recte enim illorum res se habent), sed quod Ecclesiæ bonum, quæ nobis apparent despuens, ad ea quæ in cœlis sunt contendat. Ut autem intelligas, regibus potius, non episcopis potestatem indicendi concilia datam, lege hæc.

C Τὸ δὲ λέγειν, Αὐτῷ μόνῳ ἔξεστιν οἰκουμενικὴν ἀθροίζειν σύνοδον, δηλαδὴ τῷ πάππᾳ, πῶς οὐ τοῖς λίαν φανεροῖς ἀντιλέγειν ἐστί; μᾶλλον δὲ πῶς οὐκ ἂν αἰσχύνη ἀπὸ τούτων τὸν ἱερέα καὶ φιλοτιμεῖσθαι, ἀφ' ὧν ἐστι μέγα καὶ τὸν βασιλέα φρονεῖν; Καὶ οὐ δήπου μικροψυχίαν τῶν βασιλέων κατεγνωκὼς ταῦτα λέγω (καλὰ μὲν γὰρ καὶ τἀκείνων), ἀλλὰ τὸ τῆς Ἐκκλησίας ἀγαθὸν τὰ φαινόμενα κάλλη διαπτύον, πρὸς τὰ ἐν τοῖς οὐρανοῖς ἀμιλλᾶται. Ἵνα δὲ εἰδῇς ὅτι βασιλεῦσι μᾶλλον, οὐκ ἐπισκόποις, τὰ τοιαῦτα ἀνεῖται, ἀνάγνωθι ταῦτα·

*Ex Actis sancti et œcumenici primi concilii.*

« Sancta et magna synodus, sanctæ magnæque Dei gratia Alexandrinorum Ecclesiæ, et per Ægyptum, et Pentapolim, et Libyam, et per universum orbem constitutis dilectis fratribus, clerisque et populis orthodoxis : Nicææ congregati, et sanctam magnamque synodum celebrantes episcopi, salutem in Domino. Quoniam Dei gratia et Deo

*Ἀπὸ τῶν Πρακτικῶν τῆς ἁγίας καὶ οἰκουμενικῆς πρώτης συνόδου.*

D « Ἡ ἁγία καὶ μεγάλη σύνοδος τῇ ἁγίᾳ καὶ μεγάλῃ Θεοῦ χάριτι Ἀλεξανδρέων Ἐκκλησίᾳ, καὶ τοῖς κατὰ τὴν Αἴγυπτον καὶ Πεντάπολιν καὶ Λιβύην, καὶ τοῖς κατὰ τὴν ὑπούρανον (48) ἀγαπητοῖς ἀδελφοῖς, κλήροις τε καὶ λαοῖς ὀρθοδόξοις, οἱ ἐν Νικαίᾳ συναχθέντες, καὶ τὴν ἁγίαν μεγάλην σύνοδον συγκροτήσαντες ἐπίσκοποι, ἐν Κυρίῳ χαίρειν. Ἐπειδὴ

(47) *Καὶ πατριαρχικὸς σύνεδρος.* Idem Palatinus, σύγελος, lege σύγγελλος vel σύγκελλος. Qui sint πατριαρχικοὶ σύγκελλοι non est hujus temporis, aut loci docere. Alias res satis nota est. vel mediocriter eruditis.

(48) *Κατὰ τὴν ὑπούραvον.* Distingue, κατὰ τὴν ὑπ' οὐρανόν.

τῆς τοῦ Θεοῦ χάριτος καὶ τοῦ θεοφυλάκτου βασιλέως Κωνσταντίνου συναγαγόντος ἡμᾶς ἐκ διαφόρων ἐπαρχιῶν καὶ πόλεων, κ. τ. λ. »

*Ἀπὸ τῆς οἰκουμενικῆς τρίτης συνόδου τῶν Πρακτικῶν.*

« Τοῖς εὐσεβεστάτοις καὶ θεοσεβεστάτοις Θεοδοσίῳ καὶ Οὐαλεντινιανῷ, νικηταῖς, τροπαιούχοις, ἀεὶ Αὐγούστοις, ἡ ἁγία σύνοδος, ἡ χάριτι Θεοῦ καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει. »

*Ἀπὸ τοῦ τέλους τῶν Πρακτικῶν τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου.*

Ἡ ἐπιγραφὴ τῆς ἐπιστολῆς τῆς ἁγίας συνόδου· « Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος, ἡ κατὰ Θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων συναχθεῖσα ἐν τῇ Χαλκηδονίων μητροπόλει, τῆς Βιθυνῶν ἐπαρχίας, τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ τῆς Ῥωμαίων ἀρχιεπισκόπῳ Λέοντι. »

Ὅτι μὲν οὖν τὸ συνάγειν οἰκουμενικὴν σύνοδον τῶν βασιλέων ἐστὶν, ἐκ τῶν ἀναγινωσκομένων δῆλον. Ὁ δὲ μακάριος Λέων ὁ τῆς Ῥώμης ἐπίσκοπος Θεοδοσίῳ τῷ βασιλεῖ γράφων, ἀντὶ μεγάλου τινὸς αἰτεῖται κατανεῦσαι τὸν βασιλέα ἰδικὴν συγκροτηθῆναι σύνοδον ἐν Ἰταλίᾳ. Οὐκ ἂν δὲ ἐζήτησεν, ὅπερ σὺν τῷ δικαίῳ ἔφθασεν ἔχων. Ἀνάγνωθι καὶ ταύτην τὴν μαρτυρίαν·

*Ἀπὸ τῶν Πρακτικῶν τῆς τετάρτης συνόδου, ἀπὸ τῆς ἐπιστολῆς Λέοντος ἐπισκόπου Ῥώμης, πρὸς τὸν βασιλέα Ῥωμαίων.*

« Πᾶσαι αἱ Ἐκκλησίαι τῶν ἡμετέρων μερῶν, καὶ πάντες ἱερεῖς τὴν ὑμετέραν ἡμερότητα μετὰ δακρύων ἱκετεύουσι, κατὰ τὴν αἴτησιν τοῦ λιβέλλου Φλαβιανοῦ τοῦ ἐπισκόπου, ὥστε κελεῦσαι ἰδικὴν σύνοδον ἐν τῇ τῆς Ἰταλίας ἐπιτελεσθῆναι. »

Εἰ δὲ, ὅτι ὁ Πέτρος ἐν Ῥώμῃ τὸν βίον κατέλυσε, διὰ τοῦτο μέγαν τὸν τῆς Ῥώμης θρόνον ἡγῇ, πάντως ὁ τῶν Ἱεροσολύμων τὸ πλέον ἕξει, ἐκεῖ τοῦ Σωτῆρος τὸν ζωοποιὸν καταδεξαμένου θάνατον.

Εἰ δέ σε θορυβεῖ τὸ τῆς τιμῆς μέγεθος, ὃ παρὰ τῶν μακαρίων Πατρῶν ὁ τῆς Ῥώμης ἐκληρώσατο θρόνος, τάξεως φυλακὴν τὸ τοιοῦτον ἡγοῦ. Μέγα δὲ παρὰ τοῖς ἁγίοις ἡ τάξις, ἣ καὶ τὰ οὐράνια συνέχει, καὶ τὰ ἐπίγεια. Ἄλλως τε καὶ ἀποστολικὸς αὐτοὺς κατεπείγει νόμος, κελεύων ἀλλήλους τῇ τιμῇ προηγεῖσθαι. Καὶ τὸ τῆς ταπεινώσεως δὲ ὑπόδειγμα, ὃ τοῖς μαθηταῖς ὁ Κύριος παρέδειξεν, ἐν ὑπηρέτου τάξει τοὺς πόδας ἀπονίπτων αὐτῶν, καὶ τἄλλα ὅσα ὑπερφυῶς ἐκεῖνος ἐνήργησε, τὴν ἡμετέραν οἰκονομῶν σωτηρίαν, ἱκανὴ παράκλησις πρὸς ταπείνωσιν. Εἰ δὲ ὁ μακάριος Παῦλος Κορινθίοις γράφων, « Ἐγὼ δὲ δοῦλος ὑμῶν, φησὶ, διὰ Ἰησοῦν Χριστὸν, » καὶ *δοῦλον δὲ τῶν δούλων τοῦ Θεοῦ* ὁ πάππας ἑαυτὸν καλεῖ, καὶ πρόγραμμα δὲ τῶν αὐτοῦ ἐπιστολῶν τὸ τοιοῦτον· τί μέγα, εἰ καὶ οὗτος τὰς ὁμοίας καρποῦται τιμὰς, τὸ πρῶτος εἶναι παρὰ τῶν Πατέρων δεξάμενος;

A dilectissimi regis Constantini qui nos ex diversis urbibus et provinciis congregavit, » etc.

*Item, ex Actis tertii concilii œcumenici.*

« Pientissimis Deoque dilectissimis Theodosio et Valentiniano, victoribus, triumphatoribus, semper Augustis, sancta synodus, quæ gratia Dei, vestræque potentiæ annutatione congregata est in Ephesiorum metropoli. »

*Ex fine Actorum sanctæ et œcumenicæ quartæ synodi.*

Subscriptio epistolæ sanctæ synodi : « Sancta et magna atque œcumenica synodus, quæ Dei gratia, et decreto pientissimorum et Christianissimorum nostrorum regum congregata est apud Chalcedonem metropolim, Bithyniæ provinciæ, sanctissimo et beatissimo Romanorum archiepiscopo Leoni. »

B Quod itaque convocatio œcumenici concilii ad reges pertineat, ex iis quæ recitata sunt aperte constat. Beatus autem Leo Romæ episcopus, ad Theodosium regem scribens, ingentis beneficii loco petit, annui sibi a rege, ut privatam synodum in Italia cogere possit : at non petiisset profecto, si id juris ipse antea habebat. Lege et hoc testimonium :

*Ex Actis quartæ synodi, ex epistola Leonis episcopi Romani, ad regem Romanorum.*

C « Omnes Ecclesiæ nostrarum partium, et omnes episcopi vestram clementiam suppliciter cum lacrymis orant, juxta petitionem libelli Flaviani episcopi, ut privatam sive particularem synodum in Italia peragi jubeat. »

Si vero, quia Petrus Romæ diem suum obiit, idcirco Romanam sedem Magnam censes : profecto Hierosolymorum sedes major digniorque erit, cum ibi Servator noster Jesus Christus vivificam mortem obierit

At si te turbat magnitudo honoris, quam Romana sedes a beatis Patribus est adepta : ordinis conservandi causa id factum puta. Multum autem valet apud sanctos ordo ; quippe quo et cœlestia et

D terrena constant, et continentur. Præterea etiam apostolica lex eos urgebat, jubens ut invicem honore præveniamus. Quin et ipse Dominus discipulis suis humilitatis exemplum præbuit ; instar ministri pedes ipsorum abluens. Et alia quæ ipse eximia edidit, cum nostram in carne degens salutem procuraret, abunde nos ad humilitatis studium adhortantur. Si vero Paulus ad Corinthios scribens, inquit : « Ego servus vester propter Jesum Christum ; » et papa seipsum *servum servorum Dei* vocat, quod et inscriptiones epistolarum ejus testantur ; quid magni est, si etiam hic tali fruitur honore, quod a Patribus id acceperit, ut sit primus?

At, non possunt, inquiunt, canones ecclesiastici constitui absque papa. Recte quidem. Sed neque papæ id licet, absque aliis, quandiu certe apostolicis legibus paret. Lege tricesimum quartum canonem apostolorum, qui sic habet : « Episcopos cujusque nationis scire oportet, quisnam inter ipsos sit primus : et habere ipsum pro capite, nihilque novi et operæ pretii agere absque ipsius sententia : illa vero tantum quemque agere oportet, quæ ad ipsius Ecclesiam, locaque ipsis subdita attinet. Sed neque illa citra omnium sententiam quidquam agat. Ita enim concordia constabit, et glorificabitur Deus per Dominum in sancto Spiritu ; Pater, et Filius, et Spiritus sanctus. » Si quis vero canonibus apostolorum contradicere veli', nothos illos vocans, et apostolico spiritui nequaquam convenientes, is a sanctis Patribus doceri se patiatur. Quibusnam vero illis? Primæ synodi, tertiæ, quartæ, sextæ et septimæ. Harum enim prima synodus quinto canone duorum apostolicorum canonum mentionem facit : duodecimi videlicet, et tricesimi secundi. Decimo quinto item ejusdem synodi canone meminit etiam apostolici canonis decimi quinti. Tertia vero synodus ad regem Theodosium scribens, septuagesimi quarti apostolici canonis meminit, quo usa, Nestorium deposuit. Eodem canone similiter et quarta synodus usa, Dioscorum deposuit. Rursus vero hæc ipsa quarta synodus in quinto suo canone, de duodecimo, et decimo tertio, et decimo quarto apostolico canone expressis verbis ita ait : « De commigrantibus ex urbe in urbem episcopis et clericis visum est ut de his canones a sanctis apostolis constituti vigorem obtineant. » Canones vero sextæ synodi etiam numerum apostolicorum canonum recensent.

Ἀλλ' οὐκ ἔστι, φησὶ, τοῦ πάππα χωρὶς τὰ ἐκκλησιαστικὰ κανονίζεσθαι. Καλῶς γε. Ἀλλ' οὐδὲ τῷ πάππᾳ τῶν ἄλλων χωρὶς, ἕως ἂν τοῖς τῶν ἁποστόλων νόμοις πειθόμενος ᾖ. Ἀνάγνωθι ἀποστόλων κανόνα τριακοστὸν τέταρτον, ὃς φησι· « Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἑαυτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν, καὶ μηδέν τι πράττειν περιττὸν ἄνευ τῆς ἐκείνου γνώμης· ἐκεῖνα δὲ μόνα πράττειν ἕκαστον, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει, καὶ ταῖς ὑπ' αὐτὴν χώραις. Ἀλλὰ μηδὲ ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι. Οὕτω γὰρ ὁμόνοια ἔσται, καὶ δοξασθήσεται ὁ Θεὸς διὰ Κυρίου ἐν ἁγίῳ Πνεύματι, ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. » Εἰ δέ τις πρὸς τοὺς κανόνας τῶν μακαρίων ἀποστόλων ἀντιλέγειν ἐθέλοι, νόθους ἀποκαλῶν αὐτοὺς καὶ ἥκιστα πρέποντας ἀποστολικαῖς ψυχαῖς, παρὰ τῶν μακαρίων παιδευέσθω Πατέρων. Τίνων τούτων; Τῆς πρώτης συνόδου, τῆς τρίτης, τῆς τετάρτης, τῆς ἕκτης, τῆς ἑβδόμης. Τούτων γὰρ ἡ μὲν πρώτη σύνοδος, ἐν τῷ πέμπτῳ αὐτῆς κανόνι μέμνηται ἀποστολικῶν δύο κανόνων, δωδεκάτου καὶ τριακοστοῦ δευτέρου· ἐν δὲ τῷ πεντεκαιδεκάτῳ πάλιν αὐτῆς, μέμνηται ὡσαύτως ἀποστολικοῦ πεντεκαιδεκάτου. Ἡ δὲ τρίτη σύνοδος πρὸς τὸν βασιλέα Θεοδόσιον γράφουσα, ἑβδομηκοστοῦ τετάρτου ἀποστολικοῦ κανόνος μέμνηται, ᾧ χρησαμένη καθεῖλε Νεστόριον. Τῷ αὐτῷ κανόνι ὁμοίως καὶ ἡ τετάρτη σύνοδος χρησαμένη Διόσκορον καθεῖλε. Πάλιν δὲ ἡ αὐτὴ τετάρτη ἐν πέμπτῳ αὐτῆς κανόνι περὶ τοὺς ιβ' καὶ ιγ', καὶ ιδ', καὶ ιε' τῶν ἀποστολικῶν κανόνων, ῥητῶς οὕτω λέγει· « Περὶ τῶν μεταβαινόντων ἀπὸ πόλεως εἰς πόλιν ἐπισκόπων καὶ κληρικῶν ἔδοξε τοὺς περὶ τούτων τεθέντας κανόνας παρὰ τῶν ἁγίων ἀποστόλων καὶ Πατέρων ἔχειν τὴν ἰσχύν. » Οἱ δὲ κανόνες τῆς ἕκτης συνόδου καὶ τὸν ἀριθμὸν τῶν ἀποστολικῶν νόμων φασὶν.

*Ex secundo canone sextæ synodi.*

« Visum est etiam hoc sanctæ synodo, pulcherrime optimeque ut maneant ab hoc tempore firmi ac rati ad animarum medelam, et curationem affectuum, a prædecessoribus nostris sanctis ac beatis Patribus suscepti et stabiliti, nobisque per manus traditi nomine sanctorum et gloriosorum apostolorum canones numero octoginta quinque. » Septima vero synodus, in suo primo canone, Ecclesiæ leges enumerans, anteponit omnibus canones ab apostolis editos ; illud Moysis in omnibus valere cupiens ; neque licere quidquam ipsis addere, neque quidquam adimere. Nosne igitur eos qui a tot tantisque approbati sunt rejiciemus, et spurios censebimus, ac tanquam inutiles damnabimus? Quo pacto vero hæc toleranda sint? Summa dictorum hæc est : Quandiu quidem papa ordinem servat, et cum veritate stat ; a primo et proprio principatu non removetur, et caput est Ecclesiæ, et summus pontifex, et Petri reliquorumque apostolorum successor ; omnesque ei obedire

Ἀπὸ τοῦ δευτέρου κανόνος τῆς ἕκτης συνόδου.

« Ἔδοξε καὶ τοῦτο τῇ ἁγίᾳ συνόδῳ κάλλιστά τε καὶ σπουδαιότατα, ὥστε μένειν καὶ ἀπὸ τοῦ νῦν βέβαιους καὶ ἀσφαλεῖς πρὸς ψυχῶν θεραπείαν καὶ ἰατρείαν παθῶν τοὺς ὑπὸ τῶν πρὸ ἡμῶν ἁγίων καὶ μακαρίων Πατέρων δεχθέντας καὶ κυρωθέντας, ἀλλὰ μὴν καὶ παραδοθέντας ἡμῖν, ὀνόματι τῶν ἁγίων καὶ ἐνδόξων ἀποστόλων, ὀγδοήκοντα πέντε κανόνας. » Ἡ δὲ ἑβδόμη ἐν τῷ πρώτῳ αὐτῆς κανόνι, τοὺς τῆς Ἐκκλησίας καταλέγουσα νόμους, προτίθησι πάντων τοὺς ὑπὸ τῶν ἀποστόλων ἐκτεθέντας, τὸ τοῦ Μωσέως ἐκεῖνο κατὰ πάντων κρατεῖν ἀξιοῦσα· Ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. Τοὺς ὑπὸ τοσούτων οὖν καὶ τοιούτων μαρτυρουμένους ἐκβαλοῦμεν, εἰπέ μοι, καὶ νόθους νομιοῦμεν, ἀχρηστίαν κατεγνωκότες αὐτῶν ; Καὶ πῶς ταῦτα ἀνεκτά ; Κεφάλαιον τῶν λεγομένων. Ἕως μὲν ὁ πάππας σώζῃ τὴν τάξιν, καὶ μετὰ τῆς ἀληθείας ἕστηκε, καὶ τῆς πρώτης καὶ κυρίως ἀρχῆς οὐκ ἀφίσταται, καὶ κεφαλὴ τῆς Ἐκκλησίας, καὶ ἀρχιερεὺς ἄκρος, καὶ Πέτρου καὶ πάντων ἀποστόλων διάδοχος

καὶ δεῖ πάντας αὐτῷ πείθεσθαι, καὶ οὐδὲν ὃ τὴν τιμὴν ἐκείνου χωρεῖ· εἰ δὲ τῆς ἀληθείας ἀποχωρήσας, οὐ βούλεται πάλιν πρὸς ἐκείνην ἐπανιέναι, τὰ τῶν καταδίκων πείσεται.

Εἴρηται ταῦτα κατὰ τὴν ἡμετέραν δύναμιν. Ἄγε, ἀληθῆ μὲν ὄντα, ὑπὲρ τοῦ πάππα ἔσται ἀρχῆς· εἰ δὲ ψευδῆ, θεραπεύειν λοιπὸν τὸν οὐκ ἐθέλοντα νοσεῖν. Ἔστηκα γὰρ μετ' ἐκείνων οἷς ἔργον ψάλλειν· « Μὴ περιέλῃς ἐκ τοῦ στόματός μου τὸν λόγον ἀληθείας. »

A oportet, nihilque est quod ipsius honori detrahat. Si vero, cum semel a veritate recesserit, ad eam redire noluerit, damnatorum pœnis erit obnoxius.

Hæc de primatu papæ pro meis viribus dixi, et quidem veritati consentanea. Sin minus, medicina alhibeatur ægrotare nolenti. Ego enim ab illorum etiam partibus sto quibus curæ est canere : « Ne auferas de ore meo verbum veritatis. »

---

# ΑΝΤΙΡΡΗΣΙΣ
# ΠΡΟΣ ΝΕΙΛΟΝ
ΤΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

## ΠΕΡΙ ΤΗΣ ΑΡΧΗΣ ΤΟΥ ΠΑΠΠΑ.

—

# CONFUTATIO
# NILI THESSALONICENSIS
## DE PRIMATU PAPÆ,

*AUCTORE JO. MATTHÆO CARYOPHYLLO ARCHIEPISCOPO ICONIENSI.*

(Parisiis, apud Adrianum Taupinart, via Jacobæa sub signo Sphæræ. MDCXXVI.)

—

ΤΩ ΜΑΚΑΡΙΩΤΑΤΩ ΠΑΤΡΙ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΩ ΑΡΧΙΠΟΙΜΕΝΙ ΟΥΡΒΑΝΩ ΤΩ ΟΓΔΟΩ.

Τῆς ἀποστολικῆς ἀκροπόλεως τὸ ἄμαχον κράτος, Πάτερ μακαριώτατε, τρισὶ μάλιστα προσβολαῖς ὥρμησε διακλονεῖν ἡ πολύτροπος φιλαρχία. Πρῶτα μὲν γὰρ ἔδοξε τιμᾶν πόλει πόλιν ἀμειλλωμένην, παλαιᾷ νέαν· καὶ ἡ τῆς μιᾶς τιμὴ ταῖς πολλαῖς περιγέγονεν εἰς ἀτιμίαν, καὶ ἡ πρόσφατος τάξις τὴν ἀρχαίαν διέλυσε. Δαμάσου τοῦ πάνυ κοσμοῦντος τὸν Πέτρου θρόνον τῇ τε ἱεροπρεπεστάτῃ τοῦ βίου σεμνότητι, καὶ τῇ πανευσεβεῖ φιλομουσίᾳ. Εἶτα ἐπαρθείσης τῆς νεωτέρας, κατὰ τὸν ἀμφικέφαλον τῆς βασιλείας ἀετὸν, δύο σκηπτούχους ἀνηγόρευσαν πόλεις, ἰσοτίμους τε καὶ ἰσοδυνάμους τὰ θεῖα, Λέοντος τοῦ γενναιοτάτου ἱεραρχοῦντος, δι' ὃν ἡ πρεσβῦτις Ῥώμη καὶ πολέμους ἐθράυσε ψυχῶν καὶ πολέμους τῶν Βαρβάρων. Τέλος κορυφωθεῖσα ἡ τόλμα τὴν διχόνοιαν ἤνεγκε, πολλὰ κατὰ τῆς ἀποστολικῆς ἀκρότητος ῥαψῳδήσασα, Νικολάου πηδαλιουχοῦντος τὴν Πέτρου σὰλπα,

B BEATISSIMO PATRI URBANO VIII, UNIVERSALIS ECCLESIÆ SUMMO PASTORI.

*Inexpugnabilem apostolicæ summitatis arcem, Pater beatissime, tribus potissimum machinamentis labefactare conata est ambitiosa elatio : primo enim urbem urbis æmulam antiquæ novam, novis placuit honoribus augeri, ex quo factum ut unius honor multarum esset imminutio, et recens invectus ordo antiquum everteret ordinem, quo tempore Damasus sedem ornabat, et innocentis vitæ sanctimonia, et sacrarum studio musarum. Inde ornatam privilegiis novam urbem eo usque provehere libuit, ut instar bicipitis imperatorum aquilæ, duæ quoque viderentur urbes pari in rebus divinis potestate conspicuæ. Leo cum primus excelsi vir animi sedi apostolicæ præerat : cujus opera æterna urbs, et animarum bella sustulit, et Barbarorum impetus compressit. Demum increbrescente in cumulum audaciæ consecutum dissidium, multisque impetita scriptis fuit sublimitas apostolica, summo pontifice Nicolao I, qui, tantam ut reprimeret impudentiam, multos sane*

C

*excepit labores. Quis adeo vecors, ut uni tibi debitas neget lucubrationes pro sede Petri et singulari urbis imperio? cum ille sis pontifex qui et sacrarum carmine musarum præcellis, et bellorum tumultus sedas, et fugas perniciem schismatis. Accipe, Pater beatissime, munus quod sponte offertur et jure defertur, Nilum hunc triumpho edomitum, proque conflictis majorum suorum exemplo in tuam sedem mendaciis jure explosum. Sic tu barbaris Thraciam occupantibus fies domitor Damasus: et bellorum amantibus Leo rugitu tuo leoniano conterritis, et iis qui schisma sequuntur Nicolaus, victor fortissimus, tum illa tua placidissima lenitate animi, tum magnanimi pectoris nunquam interituris operibus.*

*Beatudinis Vestræ humillimus servus, archiepiscopus Iconiensis.*

καὶ πολλοὺς καταβαλομένου ἀγῶνας, ἐφ' ᾧ κατασταλῆναι τὸ τοῦ τολμήματος. Τίς νοῦν ἔχων οὐκ ἂν εἴποι, τοὺς ὑπὲρ τοῦ Πέτρου, καὶ τῆς ἀρχεγόνου Ῥώμης ἰδρῶτας ὀφείλεσθαι τῷ φιλομουσοτάτῳ ἀρχιερεῖ, τῷ κατευναστῇ τῶν πολέμων, τῷ φυγαδευτῇ τοῦ σχίσματος Οὐρβανῷ τῷ ὀγδόῳ; Δέχου, Πάτερ μακαριώτατε, τὰ σοὶ κομιζόμενα καὶ νομιζόμενα δῶρα, Νεῖλον τόνδε θριαμβευόμενον, καὶ ὑπὲρ ἀνιδῶς καὶ αὐτῷ κατὰ σοῦ συμπλασθέντων ἐκκηρυττόμενον. Καὶ γένοιο τοῖς ἐν Θράκῃ Βαρβάροις δαμάζων Δάμασος· τοῖς φιλοπολέμοις Λέων, λεοντείῳ ἐκπλήττων βρυχήματι· τοῖς ἀποσχιζομένοις Νικόλαος, νίκητὴς ἄκρος καὶ τῷ φιλανθρώπῳ τῆς ψυχῆς, καὶ τῷ μεγαλοψύχῳ τῶν πράξεων.

Τῆς ὑμετέρας μακαριότητος δοῦλος
ὁ ταπεινὸς Ἰκονίου ἀρχιεπίσκοπος.

---

## ΤΟΙΣ ΑΠΡΟΣΠΑΘΩΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ ΚΑΙ ΣΠΟΥΔΑΣΤΑΙΣ ΤΗΣ ΑΜΩΜΗΤΟΥ ΟΡΘΟΔΟΞΙΑΣ.

## *CANDIDO ET VERITATIS ORTHODOXÆ STUDIOSO LECTORI.*

Post magni Patris Nili plenam sanctimoniæ Historiam (1), accipe, lector, Nili Thessalonicensis nuper elaboratam confutationem: ut simul videre possis non par hominum pulchra similitudine comparandorum, sed omni dissimilitudine inter se dissidentium. Scribebat autem Nilus iste, si ex ipsiusmet scriptis ducenda conjectura est, sub Andronico juniore et Joanne ejus filio Palæologis, ut plane trecentesimum non attingat annum. Quo tempore apud Græcos vulgatissima illa de Spiritu sancto et ad oppugnandum papæ primatum disputatio: nimirum novitates illæ quas imbiberant ex ipsis Photii temporibus: ansas dabat ferventioribus ad plurima scriptitandum. Cum enim germana Patrum theologia jam defecisset, paulatimque evanuisset, sola humaniorum litterarum studia vigebant: ut sane in illis Græci sermonis elegantiam, et dictionis curiosæ flosculos videas, profundæ vero mentis aciem desideres in dogmatibus explicandis, et eruendo abdito sensu, et mendacio a veritate discernendo. Nam æquivocis plurimum gaudent, tortuosisque ambagibus, et contra Latinos spuria proferunt, et ascriptitia pro certis et indubitatis, quæ vel imperatores, vel patriarchæ Constantinopolitani pro varietate temporum multa calliditate machinati sunt, cum se Petri sedi subjectos esse non paterentur, sed comparare sibi vellent novum hierarchiæ apicem, et unum corpus Ecclesiæ multis capitibus adornarent. Hoc enim erat, in quod omni studio, omni conatu in-

Μετὰ τὴν ἱερὰν τοῦ μεγάλου Πατρὸς Νείλου ἱστορίαν δέχου, φίλε, τὴν ἀρτίως πονηθεῖσαν πρὸς Νεῖλον τὸν Θεσσαλονίκης ἀντίρρησιν, ἵν' ἔχῃς ἐν ταυτῷ ὁρᾶν οὐ μιᾶς ξυνωρίδος ὡρχίαν ἀντιπαράθεσιν, ἀλλ' ἀνδρῶν τοῖς ὅλοις διεστηκότων ἀντίθετον σύγκρισιν. Ἔγραφε δὲ ὁ Νεῖλος οὗτος, εἰ δεῖ λαβεῖν ἐξ ὧν αὐτὸς ἐκεῖνος λέγει τεκμήριον, ἐπὶ Ἀνδρονίκου καὶ Ἰωάννου τῶν Παλαιολόγων, ὡς μήπω τὸ τριακοσιοστὸν συμπληροῦσθαι ἔτος· ἡνίκα παρὰ Γραικοῖς τὸ περὶ τοῦ παναγίου Πνεύματος πολυθρύλλητον ζήτημα, καὶ τὸ πρωτεῖον τοῦ πάππα ἀντιλεγόμενον, κατὰ τὴν παραδοθεῖσαν αὐτοῖς ἐκ τῶν Φωτίου χρόνων καινοτομίαν, ἀφορμὰς τοῦ πολλὰ ῥαψῳδεῖν ἐδίδου τοῖς θερμοτέροις· τῆς ἀκριβοῦς δηλαδὴ τῶν Πατέρων θεολογίας κατὰ μικρὸν διαῤῥυείσης, τῆς δὲ περὶ τὰ ἐγκύκλια τῶν μαθημάτων ἀκμαζούσης τότε σπουδῆς· ἕδοις μὲν γὰρ ἐν αὐτοῖς ἔντεχνον συνθήκην ἑλληνισμοῦ καὶ κομψότητα, καὶ περίεργον φράσιν, οὐδαμῶς δὲ τοῖς δόγμασιν ἐμβαθύνοντας, καὶ τὴν ὄντως ἰθεῖαν αὔλακα τέμνοντας, ὥστε διευκρινῆσαι τἀληθές, καὶ διελέγξαι τὸ ψεῦδος· ἀλλὰ τὸ πλεῖστον ὁμωνυμίαις καὶ διαστρόφοις περιπλοκαῖς χαίροντας, καὶ προφέροντας κατὰ Λατίνων τὰ νόθα καὶ παρέγγραπτα ὡς δῆλα καὶ ἀναντίῤῥητα ἅπερ οἱ Κωνσταντινουπόλεως κατὰ καιροὺς ἄρξαντες βασιλεῖς καὶ πατριάρχαι κατὰ τῆς πρεσβυτέρας Ῥώμης ποικιλοτρόπως ἐμηχανήσαντο, μὴ φέροντες ὑποκεῖσθαι τῷ Πέτρου θρόνῳ, ἀλλὰ κορυφὴν ἄλλην ἑαυτοῖς ἱεραρχικὴν περιποιούμενοι, καὶ τὸ ἁπλοῦν τῆς Ἐκκλησίας σῶμα πολυκέφαλον ἐργαζόμενοι. Τοῦτο γὰρ ἦν

(1) Intellige Vitam S. Nili Junioris quam primus Græce et Latine edidit Caryophyllus, postea in Septembri Bollandiano, denique in tomo nostro CXX recusam. Edit. Patr.

αὐτοῖς τὸ παντὶ σθένει, πάσῃ μηχανῇ σπουδαζόμενον, κατεδαφίσαι τὴν θεοπρόβλητον κορυφαίαν ἀρχὴν τοῦ πάππα, καὶ πενταχέφαλον ὕδραν καταστῆσαι τὴν Ἐκκλησίαν, καὶ τὴν πολυύμνητον τοῦ ἀποστολικοῦ θρόνου ἀκρότητα καταγαγεῖν εἰς ψιλὸν ὄνομα πρωτοκαθεδρίας, καὶ γυμνὸν προτιμήσεως ἀποσκίασμα. Τοῦτο τῆς διχονοίας τὸ αἴτιον· ἐντεῦθεν αἱ περὶ δογμάτων ἀμφισβητήσεις, καὶ ἡ σκῆψις διὰ τὴν ἐν τῷ συμβόλῳ προσθήκην. Καὶ οὐκ ᾐδέσθησαν τῇ σφῶν αὐτῶν εὐσεβείᾳ προφανὲς οὕτω ψεῦδος θεμέλιον ὑποστησάμενοι ἄνδρες ἱστοριῶν ἐμπειρότατοι, καὶ πολλῶν ἱσταριῶν αὐτοὶ πατέρες γενόμενοι. Εἰ γὰρ Λατίνοις τὴν προσθήκην πρῶτος ἀντεπεξήγαγε Φώτιος, δῆλον ὅτι παρὰ Ῥωμαίοις τότε τὸ σύμβολον μετὰ τῆς καλουμένης προσθήκης ἐλέγετο. Εἰ δὲ κατέβαλε μὲν Φώτιος τὰ σπέρματα τοῦ σχίσματος, οὔπω δὲ πειθομένους εἶχε τοὺς πλείστους, ἀλλ' ἐφύλαττε τέως ἡ Ἀνατολικὴ Ἐκκλησία τὴν πρὸς τὸν πάππαν εὐλάβειαν καὶ ὁμόνοιαν, ὡς μαρτυρεῖ τὰ Πρακτικὰ τῆς οἰκουμενικῆς ἐν Κωνσταντίνου πόλει ὀγδόης συνόδου, πῶς οὐ καταφανὲς καὶ προδηλότατον ἑτερόν τι γεγονέναι τοῦ σχίσματος τὸ αἴτιον, ἀλλ' οὐχὶ τὴν καλουμένην προσθήκην; Ὁποῖον δ' ἂν εἴη τὸ ἀληθὲς αἴτιον, διδάσκουσι τοῦ σχίσματος οἱ προασπισταί, πρὸς ἐκεῖνο μᾶλλον ἀντιτεινόμενοι ὃ πλέον καθικνεῖτο μέσης αὐτῶν τῆς καρδίας, καὶ οὗ χάριν τὰς εὑρεσιλογίας περὶ τὰ δόγματα ἠρανίζοντο· τῶν γὰρ μάλιστα ἀμφισβητουμένων περὶ μὲν τῆς ἐκπορεύσεως πολλὴ παρ' αὐτοῖς ἡ διαφωνία, τῶν μὲν δυαρχίαν παρεισάγεσθαι νομιζόντων, καὶ βλάσφημον τὸ δόγμα ὀνειροπολούντων, τῶν δὲ μὴ τοσοῦτον κατατολμώντων αἰδοῖ τῆς προφανοῦς γενέσθαι βεβαιουμένων. Εἰσὶ δὲ οἱ καὶ ἐπέχουσι περὶ τοῦ δόγματος, αἴτιον φάσκοντες εἶναι τοῦ σχίσματος, τὸ μὴ βούλεσθαι τὸν πάππαν ἐπιτρέψαι τὴν διάγνωσιν τοῦ δόγματος οἰκουμενικῇ συνόδῳ. Εἶτα γενομένων τῶν οἰκουμενικῶν συνόδων προφάσεις καὶ φυγοδικίας προϊσχόμενοι, ὅτι Λατῖνοι κατεδυνάστευσαν, ἢ δώροις καὶ ἐπαγγελίαις τὸ φανῆναι κρείττους ὠνήσαντο· τὴν δὲ ἀρχὴν καὶ ἐξουσίαν τοῦ πάππα μιᾷ πάντες γνώμῃ, μιᾷ γλώσσῃ, μιᾷ φωνῇ παραγράφουσι, πενταρχίᾳ λέγοντες ὑποκεῖσθαι τὴν καθολικὴν Ἐκκλησίαν· ταύτης δὲ τῆς πενταδος πρῶτον εἶναι μὲν τὸν πάππαν μόνῃ τῇ τάξει, ἐν ταῖς ἀναφοραῖς δηλαδὴ τῶν ὀνομάτων, ἐν ταῖς καθέδραις ὅτε συνέλθοιεν, ἐν ταῖς ὑπογραφαῖς ὅταν δέῃ. κατὰ δὲ τὴν ἐξουσίαν ὁμοταγεῖς εἶναι πάντας καὶ ἰσοδυνάμους. Εἶναι δὲ καὶ ταῦτα ὀρθοδοξοῦντος τοῦ πάππα, νῦν δὲ κατ' αὐτοὺς παραδογματίζοντος ἐκείνου, ἀργεῖ καὶ ἡ τάξις.

Τοιαύταις ματαιολογίαις ἐπιστηρίζονται, ἵνα μὴ δοκῶσι σχίζεσθαι παραλόγως, ἐκ τῶν προγενεστέρων τὰς ἀρχὰς λαβόντες, προσεξεργασάμενοι δὲ καὶ αὐτοὶ ὅσα οἰκοθεν τὸ φιλεριστικὸν ἐπεχορήγησεν. Τούτων εἷς καὶ Νεῖλος οὗτος ὁ Θεσσαλονίκης, γράψας περὶ τῶν αἰτίων τῆς διαστάσεως τῶν Ἐκκλησιῶν μᾶλα σοφιστικῶς καὶ ὑπούλως· περὶ τῆς ἀρχῆς τοῦ πάππα, αὐτὸ δὴ τοῦτο τὸ διακωδωνισθὲν ἡμῖν συγγραμμάτιον· καὶ ἄλλ' ἄττα κατὰ Λατίνων,

A cumbebant, ut coryphæam papæ potestatem, licet a Deo institutam, prosternerent; et quinque prominentibus capitibus hydram Ecclesiam efficerent: quo præcellentissima sedis apostolicæ summitas eo redigeretur, ut solum per illos habeat jus præsidentiæ, et nudam amplioris umbram honoris. Hæc fuit dissidii causa. Hinc ortæ dogmatum quæstiones, et prætextus ob additamentum Symbolo factum. Nec puduit homines peritissimos historiarum, et multarum ipsos historiarum scriptores, fundamentum suæ religionis ponere adeo falsum. Nam si primus Photius additamentum Latinis objecit, certe Symbolum id temporis cum additamento quod vocant, a Latinis recitabatur, si Photius jecit quidem semina schismatis, sed habebat plurimos B sibi non audientes, exhibente adhuc Orientali Ecclesiæ consuetam reverentiam papæ, et unionem servante; ut octavæ generalis synodi Constantinopolitanæ Acta testantur; manifestissimum plane est, aliam exstitisse causam schismatis, non quod ipsi vocant additamentum. Veram porro causam propugnatores schismatis declarant. Illud enim esse innuunt, in quod acrius invehuntur, quo vehementius animi angebantur, et cujus causa discrepantiam in dogmatibus comminiscebantur. Si quidem ex duobus, quæ præcipua fuere quæsita, de processione Spiritu sancti non eodem modo omnes ambigebant. Quidam binarium principiorum induci opinantes, blasphemum esse dogma somniabant. Alii aperta doctorum testimonia reveriti non C adeo procaces fuere, sed factum audacter symbolo additamentum affirmabant. Nonnulli etiam certam sententiam nullam proferebant; sed causam schismatis esse dicebant, eo quod papa nollet disquisitiones dogmatis permittere synodo œcumenicæ. Deinde celebratis generalibus synodis refugia devitationesque obtendebant, quod vi prævaluissent Latini, aut donis promissisque emissent victoriam. At fuere primatum papæ uno sensu omnes, una lingua, una voce circumscribunt. Quinque statuentes Ecclesiæ universalis capita, et quinarii hujus primas obtinere quidem papam, sed solo ordine: nimirum quando ejus mentio facienda esset, quando considere illos con- D tingeret, in subscriptionibus cum opus sit; quoad vero auctoritatem, idem omnibus valor, eadem potentia; idque quando, aiunt, orthodoxus papa est; nunc autem illo, inquiunt, perversa defendente dogmata, ordo etiam cessat.

Hujusmodi vaniloquentia innituntur, ne temere schismatici esse videantur, ex antiquioribus quidem accepta, sed per ipsos etiam aucta ob insitum animo studium contentionis. Ex eorum numero Nilus quoque Thessalonicensis præsul scripsit de causis dissidii Ecclesiarum, sophismatis et fraudibus plenum libellum: scripsit de primatu papæ alterum libellum quem et alii doctissimi viri, et nos examinavimus; et quædam opuscula contra Lati-

nos, sub eorum nomine propter odium in Latinos evangelicam turbans sanctionem, et orthodoxiæ ab antiquissimis temporibus traditæ veritatem : illa consarcinans et ipse, quæ ejusdem farinæ homines alter ex altero repetit; per quæ apud simpliciores aucupantur sapientiæ opinionem, prudentibus admirationem movent, dum considerant, ex quibus ad quæ erudita Græcorum natio devenit.

Cæterum propositum nostrum est, quoniam cum Græco homine disputamus, et familiare illis est jactare sese, quod non humanas ratiocinationes, sed synodicas sequantur sententias : non omnia congerere, quæ de tam vasta materia concervari possent ex auctoribus (præstitit hoc egregie multorum doctorumque industria), sed ea tantum proferre, ex quibus argumenta sua Nilus desumit, et per quæ ille vim veritati infert, per ea dissolvere machinas, et compendiariæ oppugnationi compendiariam opponere defensionem ; denique ficitiis dictis synodorum objicere voces, ut palam fiat omnibus, nudam esse veritatem, et si mendacium breviloquentia decipit, multo magis veritatem elucere breviloquentia.

A

B

ὑπὸ τῶν Λατίνων ὀνόματι διὰ τὸ κατὰ Λατίνων μῖσος κυκῶν τὴν εὐαγγελικὴν θεσμοθεσίαν, τὴν ἀρχαιοπαράδοτον ὀρθοδοξίαν · ἐκεῖνα καττύων, ἐν οἷς ἅπαντες οἱ τῆς αὐτῆς συμμορίας ταυτολογοῦσιν · ἢ τοῖς μὲν ἀφελεστέροις ἐμποιεῖ σοφίας ὄκνησιν, τοῖς δὲ ξυνετοῖς ἔκπληξιν φέρει, λογιζομένοις ἐξ οἵων εἰς οἷα τὸ σοφὸν ἐκεῖνο γένος μεταπέπτωκεν.

Σκοπὸς δὲ ἡμῖν πρὸς ἄνδρα τοιοῦτον διαλεγομένοις περὶ τῆς τοῦ πάππα ἀρχῆς, φίλον δὲ αὐτοῖς ἐγκαυχᾶσθαι, ὅτι συνοδικαῖς ἀποφάσεσιν, οὐκ ἀνθρώπων ἐπινοίαις ἀκολουθοῦσι, μὴ πάντα συνείρειν, μηδ' ὅσα περὶ τηλικαύτης ὑποθέσεως εἰπεῖν δυνατὸν, πανταχόθεν ἐπισωρεῦσαι (ἦ γὰρ ἂν πολύστιχον ἐγίνετο τεῦχος ὅπερ ἤδη πολλοῖς καὶ σοφοῖς ἀνδράσι σπουδαίως πεφιλοπόνηται), ἀλλ' ἐκεῖνα ἀντιπάγειν, ἐξ ὧν ὁ Νεῖλος ἐπιχειρεῖ · καὶ οἷς βιάζεται τὴν ἀλήθειαν, αὐτόθεν ἀναμοχλεῦσαι τὰς συσκευάς · καὶ συντόμῳ ἀντιλογίᾳ σύντομον ἀντιτάξαι ἀπολογίαν · καὶ ὅλως συνοδικαῖς κατὰ τὸ φαινόμενον ῥήσεσι συνοδικὰς τῷ ὄντι φωνὰς ἀντιθέσθαι · ἵν' ᾖ τοῖς πᾶσι κατάδηλον, ὅτι γυμνὴ ἡ ἀλήθεια · καὶ εἰ τὸ ψεῦδος βραχυλογίᾳ σοφίζεται, πολλῷ μᾶλλον ἡ ἀλήθεια τῇ βραχυλογίᾳ διαλάμπει.

# ΠΡΟΣ ΝΕΙΛΟΝ

## ΤΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

## ΠΕΡΙ ΤΗΣ ΑΡΧΗΣ ΤΟΥ ΠΑΠΠΑ

## ΑΝΤΙΡΡΗΣΙΣ.

—

# NILI THESSALONICENSIS

## DE PRIMATU PAPÆ

## CONFUTATIO.

—

### NILUS (Cap. I).

Assèrunt Latini, papam, cum sit Petri successor, ab illo ipso quoque omnem ejus potestatem accepisse. Ego vero dico papam non accepisse primatum a Petro. Cum enim duo considerentur in papa, quod scilicet episcopus Romæ sit, et cæterorum episcoporum primus, illud quidem a Petro habet ; alterum vero multis post annis a beatis Patribus et piis imperatoribus. Quod autem hæc vera sint, legatur vicesimus octavus quarti generalis concilii canon : « Sanctorum Patrum constitutiones ubique sequentes » etc. Ex quo patet papam non

C

### ΝΕΙΛΟΣ.

« Φασὶν οἱ Λατῖνοι διάδοχον ὄντα τοῦ Πέτρου τὸν πάππαν, καὶ τὴν ἐκείνου πᾶσαν ἀρχὴν παρ' αὐτοῦ ἐκείνου εἰληφέναι. Ἐγὼ δὲ λέγω, ὡς ὁ πάππας τὸ πρωτεῖον οὐκ εἰληφε παρὰ τοῦ Πέτρου. Δύο γὰρ ἐν τῷ πάππα θεωρουμένων, τοῦ εἶναι Ῥώμης ἐπίσκοπον, καὶ πρῶτον τῶν ἄλλων ἐπισκόπων, τὸ πρῶτον ἔχει παρὰ τοῦ Πέτρου, τὸ δεύτερον παρὰ τῶν μακαρίων Πατέρων, καὶ τῶν εὐσεβῶν βασιλέων πολλοῖς χρόνοις ὕστερον. Καὶ ὅτι ταῦτα ἀληθῆ, ἀναγνωθι τὸν κη' κανόνα τῆς οἰκουμενικῆς δ' συνόδου · « Πανταχοῦ τοῖς τῶν ἁγίων Πατέρων ὅροις ἑπόμενοι,

καὶ τὰ ἑξῆς. Ὅθεν δῆλον, ὅτι οὐ παρὰ τῶν ἀποστόλων, ἀλλὰ παρὰ τῶν Πατέρων ἔχει τὸ πρωτεῖον ὁ πάππας διὰ τὸ εἶναι τὴν Ῥώμην τῶν πόλεων βασιλεύουσαν. »

A ab apostolis, sed a Patribus habere primatum, eo quod Roma sit regina urbium. »

## ΑΝΤΙΡΡΗΣΙΣ.

Εἰ τὸ προφέρειν, ὦ θαυμάσιε, κανόνας ἀκύρους καὶ ὑποβολιμαίους, καὶ καθάπαξ ἀποδοκιμασθέντας, ἐξεταζομένης οὕτω λαμπρᾶς ὑποθέσεως, καὶ πρὸς ψυχικὴν σωτηρίαν ἀνηκούσης, δοκεῖ σοι πρὸς τὸ ἀποφήνασθαι, αὔταρκες, οἶχεταί σου πρὸς τὸ μηδὲν ἡ προκομισθεῖσα μαρτυρία, καὶ ὡς ἀράχνης ἱστὸς τὸ ῥητὸν αὐτοῦ διασκεδάζεται. Ὤφελες καὶ σὺ ἀναγνῶναι, τίσι μηχαναῖς, καὶ πῶς, καὶ ὑπὸ τίνων συῤῥαφεὶς ὁ προκομισθεὶς οὗτος κανών, πρῶτον μὲν ἀντιλέγοντας ἔσχε τοὺς πρέσβεις τοῦ πάπα, εἶτα τοὺς ἀνατολικοὺς ἐπισκόπους οὐ πάντας συμφερομένους, καὶ τὸν πάππαν αὐτὸν σφοδρῶς ἀποδοκιμάζοντα. Ἑξακόσιοι τριάκοντα Πατέρες ἦταν τῆς συνόδου. Οἱ δὲ τῷ κανόνι αὐθαιρέτως ὑπογράψαι δοκοῦντες οὐ πολλῷ πλείου εἰσὶ τῶν διακοσίων. Πῶς οὖτος κανὼν τῆς τετάρτης ἂν εἴη συνόδου; Ἐγὼ δέ σοι τοὺς παραχθέντας ὑπὸ σοῦ μάρτυρας προβαλλόμενος ἀποδείξω σαφέστατα, κοινὴν καὶ σύμφωνον ὁμολογίαν τῶν ἑξακοσίων τριάκοντα Πατέρων, καὶ διὰ τοῦτο τῆς Ἀνατολικῆς Ἐκκλησίας φρόνημα γενέσθαι καὶ κήρυγμα, μόνον τὸν πάππαν ἔχειν τὴν οἰκουμενικὴν ἐξουσίαν ὡς τοῦ Πέτρου διάδοχον, καὶ τοῦτο οὐ παρὰ τῶν Πατέρων, οὐ παρὰ βασιλέων, ἀλλὰ παρ' αὐτοῦ τοῦ Χριστοῦ.

## CONFUTATIO.

Si proferre canones spurios et suppositilios et omnino improbatos, satis tibi videtur, egregie vir, ad ferendam sententiam in re tam gravi et spectante ad salutem animæ, testimonium quod attulisti evanuit, dictumque tuum instar telæ aranearum dissipatum est. Debebas tu quoque legere, quibus machinis, qua arte et a quibus canon a te prolatus consutus est : primo quidem contradicentibus papæ legatis, deinde Orientalibus episcopis non consentientibus universis, et papa ipso vehementer illum improbante. Sexcenti et triginta Patres erant synodi ; qui vero sponte subscripsisse videntur non multi supra ducentos numerantur. Quomodo ergo quartæ synodi sit iste canon ? Ego vero per testes a te prolatos probabo apertissime, communem et unanimem confessionem sexcentorum triginta Patrum, ac proinde totius Orientalis Ecclesiæ sensum et dogma fuisse, solum papam tanquam Petri successorem habere potestatem œcumenicam, non a Patribus, non ab imperatoribus, sed ab ipso Christo.

B

Γράφουσα τοίνυν ἡ ἁγία τετάρτη σύνοδος πρὸς Λέοντα τὸν πάππαν, καὶ τὴν ἀναφορὰν ποιουμένη τῶν ἐνθέσμως πεπραγμένων περὶ τὸ δόγμα τῆς πίστεως, φησὶ περὶ Διοσκόρου· « Καὶ τοὺς μὲν τὰ ποιμένων φρονοῦντας ἀπέτεμε, τοὺς δὲ λύκου; ἀποδεδειγμένους τοῖς προβάτοις ἐπέστησε· καὶ πρὸς τούτοις ἅπασιν ἔτι καὶ κατ' αὐτοῦ τοῦ τῆς ἀμπέλου τὴν φυλακὴν παρὰ τοῦ Σωτῆρος ἐπιτετραμμένου τὴν μανίαν ἐξέτεινε, λέγομεν δὴ τῆς σῆς ὁσιότητος, καὶ ἀκοινωνησίαν κατὰ τοῦ τὸ σῶμα τῆς Ἐκκλησίας ἑνοῦν σπουδάσαντος ἐμελέτησεν. »

C Scribens ad Leonem papam sancta synodus quarta de iis quæ circa dogma fidei legitime gesta erant, subjungit de Dioscoro : « Et eos quidem qui pastorum propria sapiebant, præcidit; eos vero qui se lupos ostenderant, ovibus præfecit ; et ad hæc omnia etiam in ipsum, cui vineæ custodia demandata est a Salvatore, furorem extendit, videlicet contra Tuam Sanctitatem, et excommunicationem tulit in eum qui studuit unire corpus Ecclesiæ. »

Σὺ μὲν οὖν, Νεῖλε, τὸν πάππαν λέγεις εἰληφέναι τὸ πρωτεῖον οὐ παρὰ τοῦ Πέτρου, ἀλλὰ παρὰ τῶν μακαρίων Πατέρων, καὶ τῶν εὐσεβῶν βασιλέων· ἡ δὲ ἁγία σύνοδος τὸν πάππαν ἐπιτετράφθαι φησὶ τὴν φυλακὴν τῆς ἀμπέλου παρὰ τοῦ Σωτῆρος.

Tu papam dicis non a Petro, sed a sanctis Patribus et piis imperatoribus habuisse primatum ; sancta vero synodus demandatam ait papæ vineæ custodiam a Salvatore.

D

Σὺ λέγεις, τὸν πάππαν εἶναι τῆς Ῥώμης ἐπίσκοπον παρὰ τοῦ Πέτρου καὶ πρῶτον τῶν ἐπισκόπων παρὰ τῶν Πατέρων καὶ βασιλέων. Ἡ δὲ ἁγία σύνοδος τῷ μακαριωτάτῳ τῆς Ῥωμαίων ἀρχιεπισκόπῳ Λέοντι ἐπιστέλλουσα, τὸν αὐτὸν καὶ Ῥώμης οἶδεν ἐπίσκοπον, καὶ ἀμπελουργὸν διὰ Πέτρου παρὰ τοῦ Σωτῆρος καταστάντα.

Tu papam dicis esse episcopum Romæ a Petro, sed primum episcoporum a Patribus et imperatoribus : sancta vero synodus scribere se ait Leoni beatissimo Romæ archiepiscopo, eumdemque novit Romæ episcopum, et per Petrum vineæ custodem a Salvatore.

Σὺ λέγεις, ὅτι πρῶτος ὁ πάππας κατὰ τὸν ψευδώνυμον ἐκεῖνον κανόνα, διὰ τὸ εἶναι τὴν Ῥώμην τῶν πόλεων βασιλεύουσαν. Ἡ δὲ ἁγία σύνοδος διὰ τὴν πιτροπὴν τῆς ἀμπέλου προσαγορεύει ἐν τῇ ἐπιστολῇ τὸν πάππαν καὶ κορυφὴν καὶ κεφαλὴν τῶν μελῶν γεμονεύουσαν. Ὥστε τοῦ μὲν κανόνος ἀκύρου ὄντος, ὡς ψευδολογίας καὶ καινοτομίας μεστοῦ, καὶ μηδὲ πρὸς τὰς ὁπωσοῦν δεήσεις τῆς συνόδου ἐπι-

Tu juxta pseudocanonis sensum asseris papæ primatum ex eo esse quod Roma sit regina urbium. At sancta synodus in epistola vocat papam verticem et caput membrorum ducem propter custodiam vineæ. Itaque cum canon irritus sit, utpote falsitatis et novitatis plenus, nec etiam adnitentibus utcunque synodi Patribus a papa approbatus ; imo vero rejectus atque damnatus · cui-

stola vero puram et sinceram universi sacri conciilii detegat mentem, cur tu, posthabitis manifestis et claris, e spuria doctrina infers quæ libet?

καλυπτούσης τὴν ἔννοιαν· πῶς σὺ τὰ δῆλα ἐάσας καὶ προφανῆ, ἐκ διδασκαλίας σκοτίου ἐπιφέρεις ἃ σοι δοκεῖ;

Nam si sancta synodus ita sentiebat, nimirum papæ primatum esse a Patribus; cur ipsa, quæ Patribus constabat et œcumenica erat (qua certe conditione carebant illi qui per te detulerunt papæ primatum, cum papa etiam ante Nicænam primam synodum habuerit semper primatum, ut ipsa prima synodus fatetur sexto suo canone): cur, inquam, sua utens auctoritate Constantinopolitanum non honoravit, sicut antiquiores per te papam, sed rogabat papam ut ejus canonem approbaret? Et tu quidem dicis primatum papæ pendere a Patribus; sancta vero synodus per epistolam clamat, honorem Constantinopolitani pendere ab auctoritate papæ. Itaque ordinem subvertis, tuoque de primatu papæ tractatui sophisticum fundamentum jacis, ex quo multa, et magna sequantur absurda; et sanctos Patres calumniaris, quod canonem ediderint asserentem a Patribus concessum senioris Romæ sedi primatum. Si enim hoc esset, secum ipsi pugnarent, sed quia impossibile hoc est omnino, aut canon falsus est, aut epistola: sed epistolam non esse falsam indicat consensio synodi, quæ canonem suscepisset si approbatus a papa fuisset; canonem vero non esse ratum declarat dissensio. Deprehenderis igitur falso canone fultus invalidum jecisse structuræ tuæ fundamentum.

Εἰ δὲ ὅλως; ἐφρόνει ἡ ἁγία σύνοδος παρὰ τῶν Πατέρων εἶναι τὸ πρωτεῖον τοῦ πάππα, διατί μὴ Πατέρες καὶ αὐτοὶ ὄντες, καὶ οἰκουμενικὴν σύνοδον συγκροτοῦντες (ὅπερ οὐκ εἶχον οἱ τιμήσαντες κατὰ σὲ τῷ πρωτείῳ τὸν πάπταν, ὃς καὶ πρὸ τῆς ἐν Νικαίᾳ πρώτης συνόδου πάντοτε ἔσχε τὰ πρωτεῖα, ὡς φησιν αὐτὴ ἡ πρώτη σύνοδος ἐν τῷ ς' αὐτῆς κανόνι)· διατί μὴ τῇ οἰκείᾳ ἐξουσίᾳ χρησίμενοι τὸν Κωνσταντινουπόλεως καὶ αὐτοὶ ἐτίμησαν, ὥσπερ οἱ πάλαι κατὰ σὲ τὸν Ῥώμης, ἀλλ' ἠξίουν τοῦ πάπτα κυρωθῆναι αὐτοῖς τὸν κανόνα; Σὺ μὲν οὖν, Νεῖλε, φῂς ἠρτῆσθαι τὸ πρωτεῖον τοῦ πάπτα τῆς αὐθεντίας τῶν Πατέρων· ἡ δὲ ἁγία σύνοδος διὰ τῆς ἐπιστολῆς βοᾷ, ὅτι τὰ πρεσβεῖα Κωνσταντινουπόλεως ἤρτηται τῆς ἐξουσίας τοῦ πάπτα· ὥστε ἀνατρέπεις τὴν τάξιν, καὶ βάσιν καταβάλλεις τῇ σῇ πραγματείᾳ κατὰ τῆς ἀρχῆς τοῦ πάπτα σεσοφισμένην, καὶ πολλῶν καὶ μεγάλων ἀτοπημάτων ὑπόθεσιν· καὶ καταψεύδῃ τῶν ἁγίων Πατέρων, ὡς κανόνα ἐξενεγκόντων διαγορεύοντα, παρὰ τῶν Πατέρων ἀποδεδόσθαι τὰ πρεσβεῖα τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης. Εἰ γὰρ τοῦτο ἦν, ἑαυτοῖς ἂν ἐμάχοντο. Εἰ δὲ ἀδύνατον τοῦτο, ἀνάγκη ἢ νόθον εἶναι τὸν κανόνα, ἢ ψευδῆ τὴν ἐπιστολήν· ἀλλὰ μὴν τῆς ἐπιστολῆς τὸ αὐθεντον συμμαρτυρεῖ ἡ κοινὴ ψῆφος τῆς συνόδου, ἥτις ἐδέξατο ἂν τὸν κανόνα, εἰ παρὰ τοῦ πάπτα ἐκυροῦτο· ἡ ἀσυμφωνία δὲ τὸ νενοθευμένον τοῦ κανόνος· οὐ γνήσιος ἄρα ὁ κανών. Καὶ ἐάλως τῇ σῇ οἰκοδομίᾳ σαθρὸν καταβαλόμενος θεμέλιον.

Neque dicas, demandatam esse vineæ custodiam a Salvatore, commune quid esse episcopis juxta Pauli dictum in Actis: *Attendite vobis, et universo gregi, in quo vos Spiritus sanctus posuit episcopos*[1]. Nam sancta synodus, ubi in epistola narrasset multa perperam a Dioscoro facta, quod deposito Flaviano S. mem. episcopo, præcisisque iis qui recte sentiebant, lupos præposuisset ovibus: ubi hæc de cæteris episcopis dixisset, intulit quæ spectant ad papam: nec illum nominatim exprimit, sed circumscriptione usa ait: « Et ad hæc omnia in ipsum etiam, cui demandata est a Salvatore custodia vineæ, furorem extendit. » Et circumscribendo amplificat, expressiusque designat audaciam Dioscori, et obstupescit facinus. Itaque quod distinctionis ergo dictum est, non potest esse commune episcopis, quos providentia communi ponit Spiritus sanctus; at vero papa sanctæ synodi testimonio, custos universalis Ecclesiæ positus est speciali Christi lege.

Καὶ μὴ λέγε, τὸ παρὰ τοῦ Σωτῆρος ἐπιτετράφθαι τὴν φυλακὴν τῆς ἀμπέλου κοινὸν εἶναι τοῖς ἐπισκόποις κατὰ τὸ ῥητὸν τοῦ Παύλου ἐν ταῖς Πράξεσιν· *Προσέχετε ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους*. Ἡ γὰρ ἁγία σύνοδος ἐν τῇ ἐπιστολῇ διηγησαμένη περὶ Διοσκόρου, ὅτι πολλὰ εἰργάσατο ἄτοπα, τὸν ἐν ἁγίοις Φλαβιανὸν τὸν Κωνσταντινουπόλεως καθελών, καὶ Εὐσέβιον τὸν ἐπίσκοπον, καὶ τοὺς ὀρθὰ φρονοῦντας ἀπέτεμε, τοὺς δὲ λύκους τοῖς προβάτοις ἐπέστησεν· ταῦτα περὶ τῶν λοιπῶν ἐπισκόπων εἰποῦσα, ἐπιφέρει τὰ περὶ τὸν πάπταν· καὶ οὐκ ὀνόματι τοῦτον προφέρει, ἀλλ' ὑπογραφῇ χρησαμένη· « Καὶ πρὸς τούτοις ἅπασι, φησίν, ἔτι καὶ κατ' αὐτοῦ τοῦ τῆς ἀμπέλου τὴν φυλακὴν παρὰ τοῦ Σωτῆρος ἐπιτετραμμένου τὴν μανίαν ἐξέτεινεν. » Καὶ ἐκπλήττει διὰ τῆς ὑπογραφῆς ἐμφατικώτερον τὴν τόλμαν τοῦ Διοσκόρου, καὶ ἐκπλήττεται τὸ ἀνοσιούργημα. Οὕτω δὲ τὸ πρὸς ἀντιδιαστολὴν ῥηθὲν οὐ δύναται κοινὸν εἶναι τοῖς ἐπισκόποις, οὓς κοινὴ προνοίᾳ τίθησιν ἐπισκόπους τὸ Πνεῦμα τὸ ἅγιον· ὁ δὲ πάπτας κατὰ τὴν ἁγίαν σύνοδον ἐξ ἰδικῆς τοῦ Χριστοῦ νομοθεσίας φύλαξ ἐτέθη τῆς οἰκουμενικῆς Ἐκκλησίας.

Alioquin deposito etiam Flaviano idem flagitium admisisse videretur Dioscorus: nunc vero sancta

Ἢ γὰρ ἂν καὶ ὅτε Φλαβιανὸν καθεῖλε Διόσκορος, τὸ αὐτὸ πλημμελήσας ἐφαίνετο· νῦν δὲ ἡ ἁγία

[1] Act. xx, 28.

σύνοδος τὸ μὲν κατὰ τοῦ Κωνσταντινουπόλεως καὶ τῶν λοιπῶν ἐπισκόπων ἐγχείρημα τυραννίδος εἶναι ψήφους φησὶ, τὸ δὲ κατὰ τοῦ πάππα φοβερὸν τόλμημα παρανομίαν εἶναι κατὰ τῆς θεσμοθεσίας τοῦ Σωτῆρος βοᾷ. Εἰ γοῦν καὶ τὸ μικρὸν παραβῆναι τῆς ἀληθείας κατὰ τὴν ἀρχὴν γίνεται πόῤῥω μυριοπλάσιον, ἡ τοσαύτη τῆς ἀληθείας παρατροπὴ κατ' αὐτὴν σου τὴν ἀρχὴν, ὦ Νεῖλε, πόσων ἔσται ῥίζα παραλογισμῶν, πόσων καταβολὴ σοφισμάτων; Καὶ δὴ ἐπιφέρεις.

A synodus, quæ ille in alios scelera edidit, decreta tyrannidis vocat: ingens vero crimen contra papam, esse parricidium clamat contra sanctionem Christi. Si ergo vel minimum principio aberrare a veritate, crescit deinde in immensum: tantum initio a veritate declinasse quot paralogismorum radix erit, quot fundamentum sophismatum? Itaque infers.

ΝΕΙΛΟΣ.

« Ἀνάγνωθι καὶ Νεαρὰν ρλα' Ἰουστινιανοῦ, ἵν' εἰδῇς τὴν ἀλήθειαν· Θεσπίζομεν, φησὶ, κατὰ τοὺς τῶν ἁγίων συνόδων ὅρους, τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ῥώμης ἐπίσκοπον πρῶτον εἶναι πάντων B τῶν ἱερέων. Ἀκούεις; Τὸ πρῶτον εἶναι τὸν πάππαν ὅρος ἐστὶ, φησὶ, τῶν συνόδων. Εἰ δὲ ὅρος τῶν συνόδων, πῶς παρὰ τοῦ Πέτρου τὸ πρωτεῖον εἴληφεν ὁ πάππας; »

NILUS. (Cap. II.)

« Legito et Novellam Justiniani 131, ut veritatem addiscas. Statuimus, inquit, juxta constitutiones sanctarum synodorum, sanctissimum senioris Romæ episcopum esse primum omnium sacerdotum. Audis? Ut sit primus papa, statutum est, inquit, synodorum. Si ergo statutum, seu decretum est synodorum, quomodo papa primatum habet a Petro? »

ΑΝΤΙΡΡΗΣΙΣ.

Ὥσπερ τὸ παρὰ τῶν μακαρίων Πατέρων εἶναι τοῦ πάππα τὸ πρωτεῖον ἀποδεῖξαι προθέμενος οὐκ ἀπέδειξας, οὕτω καὶ παρὰ θεσπίσματος βασιλικοῦ αὐτὸ τοῦτο τὸ πρωτεῖον κατασκευάσαι βουλόμενος οὐδὲν συμπεραίνεις, μᾶλλον δὲ δύο καὶ μεγάλα ἁμαρτάνεις· ἓν μὲν, ὅτι ὁμωνύμῳ χρώμενος φωνῇ, ὡς ἁπλῆς οὔσης ἐπιφέρεις τὸ συμπέρασμα· ἕτερον δὲ, ὅτι προκομίζων τὴν Ἰουστινιανοῦ Νεαρὰν, ἵν' ὅπερ ἔφης ἀνωτέρω, τὸ πολλοῖς ὕστερον χρόνοις C δεδόσθαι τὴν ἀρχὴν τῷ πάππᾳ διδάξῃς, ἀσύστατα καὶ κακεντρεχῆ καὶ ἀνάρμοστα λέγεις. Ἔγραφεν ὁ ἀοίδιμος Κύριλλος ἐπιστέλλων Ἰωάννῃ τῷ Ἀντιοχείας ἐν τῇ τρίτῃ συνόδῳ· « Κατ' οὐδένα τρόπον σαλεύεσθαι πρὸς τινῶν ἀνεχόμεθα τὴν ὁρισθεῖσαν πίστιν, ἤτοι τὸ τῆς πίστεως σύμβολον, παρὰ τῶν ἁγίων ἡμῶν Πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ καιροὺς μεμνημένος τοῦ λέγοντος· *Μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου.* Καὶ τὴν πίστιν καὶ τὸ σύμβολον τῆς πίστεως καλεῖ ὁ θεῖος Πατὴρ ὅρια αἰώνια, εἴτουν ὅρους ἀκινήτους. Συλλογιζέσθω οὖν, ὦ Νεῖλε, ὁ βουλόμενος οὑτωσί πως· Ὅρος ἐστὶ τῶν ἁγίων Πατέρων εἶναι τὸν Υἱὸν τῷ Πατρὶ ὁμοούσιον· καὶ ὅρος ἐστὶ τῶν ἁγίων Πατέρων, πάντων τῶν ἱερέων εἶναι πρῶτον τὸν D πάππαν. Ἀλλὰ μὴν κατὰ σὲ μὴ ἔχοντι τὸ πρωτεῖον τῷ πάππᾳ δεδώκασιν οἱ Πατέρες· ἄρα καὶ τῷ Υἱῷ μὴ ἔχοντι τὸ ὁμοούσιον δεδώκασιν οἱ Πατέρες. Ὁρᾷς, οἷα φιλοσοφεῖς διὰ τὴν ὁμωνυμίαν τῆς λέξεως; Ὅρος, ὦ θαυμάσιε, ἐν ταῖς ἱεραῖς συνόδοις οὐ μόνον τὴν πρόσφατον νομοθεσίαν καὶ πρὸς εὐταξίαν συντείνουσαν δηλοῖ, ἀλλὰ πολλῷ μᾶλλον τὴν σαφήνειαν καὶ ἀνάπτυξιν τῶν πρὸς τὰ καιριώτατα τῆς πίστεως συμβαλλομένων. Καὶ τοῦτο ἄνω καὶ κάτω ἴδοις ἂν ἐν τοῖς Πρακτικοῖς τῶν συνόδων. Οὕτως οὖν τῆς φωνῆς ὁμωνύμου, καὶ σημαινούσης πολλῷ μᾶλλον τὰ ἀρχαῖα καὶ θεοπαράδοτα ἢ τὰ

CONFUTATIO.

Sicut a sanctis Patribus primatum papæ probare volens non probasti, ita e sanctione imperatoria conatus illum ostendere, nihil concludis, sed potius duo peccas, et magna. Primum quidem quia, posita voce æquivoca, concludis trahendo illam ad unum significatum; deinde prolata Justiniani Novella, ad probandum quod dixisti, nimirum multis post temporibus datum fuisse primatum papæ, non cohærentia, non convenientia, non congruentia dicis. Scribebat beatus Cyrillus ad Joannem Antiochenum: « Nullo modo patimur ea quibusdam convelli definitam fidem, sive fidei symbolum a sanctis nostris Patribus qui olim Nicææ convenerunt (1), memores ejus qui dixit: *Ne transferas terminos antiquos, quos posuerunt patres tui.* » Ubi sanctus Pater nomine *terminorum antiquorum* appellat fidem et fidei symbolum. Arguat ergo per te hoc pacto qui vult. Decretum est sanctorum Patrum, Filium esse consubstantialem Patri; est etiam decretum sanctorum Patrum papam esse omnium sacerdotum primum: sed per te Patres primatum dederunt papæ non habenti illum; ergo et Filio non habenti consubstantialitatem dederunt Patres. Vide quæ tua sit argumentatio propter æquivocam vocem? Vox ista apud sanctas synodos non solum significat novam constitutionem de re aliqua spectante ad mores, sed multo magis explanationem declarationemque eorum quæ ad summam fidei pertinent; idque passim videre est in Actis synodorum. Cum ergo æquivoca sit, et frequentius usurpetur ad signandum antiqua et divinitus tradita, quam recentia et ea quæ juris humani sunt, cur tu decretum Patrum de primatu papæ trahis ad imbecilliorem significatum, et nudam assumens vocem, detorques lectorem ad alteram partem? Secundum decreta Patrum primus est papa, inquit

[a] Prov. XXII, 28.

(1) Conc. Ephes. III, cap. 34.

Justinianus, qui in illa Novella suscipit sanctarum quatuor synodorum decreta ut sanctam Scripturam. Atqui et Cyrillus in tertia synodo, ut planum fiet, et quartæ synodi Patres fatentur papam esse Ecclesiæ judicem, et custodem vineæ a Salvatore constitutum. Ergo decretum eorum de papa non habet vim novæ constitutionis, sed dogmatis ad idem spectantis explicationem et dilucidationem. Secundum quod peccas, est, quod ad probandum primatum papæ non esse ab initio statutis imperatoriis firmatum, confugisti ad Justinianum, contentiosa sane maliguitate. Certe enim tuus Photius, princeps et antesignanus schismatis, ad Aurelianum hoc referebat; nec adeo sordidus erat papæ æstimator. Alii vero ex iis qui tecum sentiunt tribuunt hoc Constantino Magno; veritatem quidem offuscantes omnes, sed maxime omnium tu, qui cum synodica legisses, procul dubio vidisti etiam imperatorum epistolas tertiæ synodo præfixas, in quibus mirum in modum elucet imperatorum reverentia erga sedem Petri : ut futile omnino sit quod ais, primum ex imperatoribus Justinianum sanxisse primatum papæ. Dicimus ergo, sanctos Patres per sua decreta nequaquam dedisse, sed testatum reddidisse primatum papæ; et pios imperatores, præsertim Justinianum, non fundasse, sed fideliter enarrasse primatum papæ.

A πρόσφατα καὶ ἀνθρώπινα, διατί σὺ τὸν ὅρον τῶν Πατέρων περὶ τοῦ πρωτείου τοῦ πάππα καθέλκεις ἐπὶ τὸ ἀσθενέστερον τῶν σημαινομένων, καὶ ψιλῇ τῇ φωνῇ χρώμενος ἐκ τῶν δύο συναρπάζεις εἰς θάτερον τὴν διάνοιαν; Κατὰ τοὺς ὅρους τῶν Πατέρων πρῶτος ὁ πάππας, φησὶν Ἰουστινιανός, ὁ κατὰ τὴν Νεαρὰν ἐκείνην τὰ δόγματα τῶν ἁγίων τεσσάρων συνόδων ὡς θείαν γραφὴν ἀποδεχόμενος· ἀλλὰ μὴν καὶ Κύριλλος ἐν τῇ τρίτῃ ὡς εἰρήσεται κατωτέρω, καὶ οἱ Πατέρες τῆς τετάρτης συνόδου τὸν πάππαν ὁμολογοῦσι κριτὴν τῆς Ἐκκλησίας, καὶ φύλακα τῆς ἀμπέλου παρὰ τοῦ Σωτῆρος. Ὁ τοίνυν ὅρος αὐτῶν περὶ τοῦ πάππα οὐκ ἔχει προσφάτου νομοθεσίας δύναμιν, ἀλλὰ δόγματος εἰς πίστιν ἀνήκοντος ἀνάπτυξιν καὶ σαφήνειαν. Δεύτερον

B ἁμαρτάνεις, ὅτι τὸ πρωτεῖον τοῦ πάππα μὴ ἀπ' ἀρχῆς ὂν δεῖξαι βουλόμενος θεσπίσμασι βασιλικοῖς κυρωθὲν, κατέφυγες ἐπὶ Ἰουστινιανὸν, κακοήθως μάλα καὶ φιλονείκως. Καίτοι γε ὁ σὸς Φώτιος, ὁ τῶν σχίσματος πρωτοστάτης, ἐπὶ Αὐρηλιανὸν τοῦτο ἀνέφερε, καὶ τοσοῦτον γλίσχρος οὐκ ἦν πρὸς τὸν πάππαν. Ἕτερος δὲ τῶν σοὶ ὁμοφρόνων Κωνσταντίνῳ τῷ Μεγάλῳ τοῦτο ἀποδιδόασι, πάντες μὲν τὴν ἀλήθειαν ὑποσκιάζοντες· πάντων δὲ μάλιστα σύ, ὅστις τὰ τῶν συνόδων ἀναγνοὺς, ἐνέτυχες πάντως καὶ ταῖς προηγουμέναις τῆς τρίτης συνόδου βασιλέων ἐπιστολαῖς, ἐν αἷς λάμπει μάλιστα ἡ τῶν βασιλέων αἰδὼς καὶ εὐλάβεια περὶ τὸν θρόνον τοῦ Πέτρου· ὥστε λῆρος ἀντικρυς ὃ λέγεις, πρῶτον ἐν βασιλεῦσι τὸν Ἰουστινιανὸν θεσπίσαι τὸ πρωτεῖον τοῦ πάππα. Καὶ τοὺς Πατέρας οὖν φαμὲν τοῖς οἰκείοις ὅροις οὐ δεδωκέναι, ἀλλὰ δεδηλωκέναι τὸ πρωτεῖον τοῦ πάππα· καὶ τοὺς εὐσεβεῖς τῶν βασιλέων, μάλιστα δὲ τὸν Ἰουστινιανὸν, οὐ προτετιμηκέναι, ἀλλὰ μεμαρτυρηκέναι τὸ πρωτεῖον τοῦ πάππα.

## NILUS (Cap. III).

Quid ergo? Nom est ullo modo papa successor Petri? Est ille quidem, sed ut episcopus; quod episcopus etiam quisque habet eorum qui ab illo consecrati sunt. Nam et quilibet hierarcha, quod attinet ad hoc, illius apostoli successor est a quo per successionem habuit sacerdotium. Qua ratione multos habet Petrus et reliqui apostoli successores; qui vero ad alia, nequaquam. Petrus enim et apostolus est et apostolorum princeps; at papa nec apostolus est, nec apostolorum coryphæus.

Petrus magister est orbis terrarum, papa episcopus Romæ.

Petrus ordinavit episcopum Antiochiæ talem, et Alexandriæ talem, et alibi alium: Romano episcopo non licet hæc facere.

Petrus episcopum Romanum designat, papa non designat alium papam.

Petro simpliciter dictum est: *Quodcumque solveris, aut ligaveris, erit ligatum aut solutum in cœlis.* Dum vero ille gratiam transfunderet in episcopum Romanum, non absoluto sermone est usus, sed Ligabis, inquit, quod ligari oportet, et solves quod decet.

Petrus quæ dixit sunt voces Spiritus sancti:

C

## ΝΕΙΛΟΣ.

Τί οὖν; οὐκ ἔστιν ὁ πάππας τὸ σύνολον τοῦ Πέτρου διάδοχος; Ἔστι μὲν, ἀλλ' ὡς ἐπίσκοπος, ὅπερ καὶ τῶν ἐπισκόπων ἕκαστος τῶν ὑπ' ἐκείνου χειροτονηθέντων. Καὶ τῶν ἱεραρχῶν δὲ ἕκαστος διάδοχος κατά γε τοῦτο ἑκάστου τῶν ἀποστόλων, ὑφ' οὗ κατὰ διαδοχὴν τὴν ἱερωσύνην εἴληφε. Κατὰ μὲν οὖν τὸν λόγον τοῦτον πολλοὶ καὶ τοῦ Πέτρου καὶ τῶν ἀποστόλων διάδοχοι, κατὰ δὲ τὰ ἄλλα οὐδαμῶς. Πέτρος μὲν γὰρ καὶ ἀπόστολος, καὶ ἀποστόλων ἔξαρχος· ὁ δὲ πάππας οὔτε ἀπόστολος, οὔτε ἀποστόλων κορυφαῖος.

Πέτρος διδάσκαλος πάσης τῆς οἰκουμένης, ὁ δὲ πάππας ἐπίσκοπος Ῥώμης.

D Πέτρος ἐν Ἀντιοχείᾳ τὸν δεῖνα χειροτονεῖ, ἐν Ἀλεξανδρείᾳ δὲ ἕτερον, καὶ ἄλλον ἀλλαχοῦ· τῷ δὲ Ῥώμης οὐκ ἐφεῖται ταῦτα ποιεῖν.

Πέτρος ἐπίσκοπον Ῥώμης χειροτονεῖ, ὁ δὲ Ῥώμης πάππαν ἕτερον οὐ προβάλλεται.

Πέτρος ἁπλῶς ἤκουσεν, *Ὃ λύσεις ἢ δήσεις, ἔσται δεδεμένον ἢ λελυμένον ἐν τοῖς οὐρανοῖς*· πρὸς δὲ τὸν Ῥώμης αὐτὸς διαβιβάζων τὴν χάριν, οὐχ ἁπλῶς εἴρηκεν· ἀλλὰ, Δήσεις ὃ δεῖ δεθῆναι, καὶ λύσει; μετὰ τοῦ δέοντος.

Πέτρος ἃ εἶπε, Πνεύματος ἁγίου φωναί· πῶ

δὲ τοῦτο καὶ τῷ πάπᾳ κοινόν; Οὐκ ἄρα κατὰ πάντα ὁ Ῥώμης τοῦ Πέτρου διάδοχος, ἀλλὰ κατ' ἐκεῖνα μόνον, καθ' ἃ καὶ τῶν ὑπ' ἐκείνου χειροτονηθέντων ἕκαστος.

quis habere hoc dicat et papam? Non est igitur in omnibus papa successor Petri, sed in iis tantum in quibus successor etiam est quilibet episcoporum a Petro ordinatorum.

## ΑΝΤΙΡΡΗΣΙΣ.

Πολλὰ συμπλέκεις, πολλὰ συμφύρεις, καὶ πολλὰς ἐπισωρεύων διαφοράς, καθ' ἓν μόνον λέγεις καὶ τοῦτο μερικὸν, κοινωνεῖν τὸν Πέτρον καὶ τοὺς διαδόχους. Εἶτα τὸ καιριώτατον τῆς ὑποθέσεως καὶ κυριώτατον παραλιπών, συγχύσεως καὶ ἀταξίας ἐμφαίνῃ διδάσκαλος. Διάδοχον λέγεις τοῦ Πέτρου τὸν πάπαν καθὸ ἐπίσκοπος, ὡς καὶ ἕκαστος τῶν ὑπ' ἐκείνου χειροτονηθέντων ἐπισκόπων· ἀπόδειξιν δὲ ταύτης σου τῆς θέσεως οὐδεμίαν φέρεις· ἀλλ' ἔοικας τῷ διδασκαλικῶς ἀποφαινομένῳ καὶ νομοθετοῦντι. Ἀντιτάξομεν οὖν ἡμεῖς οὐχὶ τὰ ἡμέτερα, ἀλλὰ τὰ τῆς ἁγίας τετάρτης συνόδου, ἐξ ὧν ἐπέστελλε πρὸς τὸν πάπαν· « Τί γὰρ πίστεως πρὸς εὐφροσύνην ἀνώτερον, ἣν αὐτὸς ὥσπερ χρυσῆν σειρὰν τῷ προστάγματι τοῦ θεμένου καταγομένην εἰς ἡμᾶς διεφύλαξας, πᾶσι τῆς τοῦ μακαρίου Πέτρου φωνῆς ἑρμηνεὺς καθιστάμενος; Ὅθεν καὶ ἡμεῖς ὡς ἀρχηγῷ σοι τοῦ καλοῦ πρὸς ὠφέλειαν χρησάμενοι, τοῖς τῆς Ἐκκλησίας τέκνοις τὸν κλῆρον τῆς ἀληθείας ἐδείξαμεν. » Ἐν τούτοις ἡ ἁγία σύνοδος καλεῖ τὸν πάπαν τῆς χρυσῆς σειρᾶς πίστεως φύλακα, καὶ ἑρμηνέα τῆς φωνῆς τοῦ Πέτρου, καὶ τὴν πίστιν ἐν τῷ πάπᾳ κλῆρον εἶναι τῆς ἀληθείας. Καὶ κατωτέρω περὶ τῆς ὁμηγύρεως τῶν ἐπισκόπων τῆς ἁγίας αὐτῶν συνόδου γράφουσιν οἱ Πατέρες· « Ὧν σὺ μὲν ὡς κεφαλὴ μελῶν ἡγεμόνευες, ἐν τοῖς τὴν σὴν τάξιν ἐπέχουσι τὴν εὔνοιαν ἐπιδεικνύμενος· » Ἐν τούτοις ἡ ἁγία σύνοδος ὁμολογεῖ τὸν πάπαν κεφαλὴν, τοὺς ἄλλους ἐπισκόπους μέλη. Παρῆν δὲ ἐν ἐκείνῃ τῇ συνόδῳ καὶ Ἀνατόλιος Κωνσταντινουπόλεως, καὶ Μάξιμος Ἀντιοχείας, καὶ Ἰουβενάλιος Ἱεροσολύμων. Καὶ κατωτέρω· « Καὶ πρὸς τούτοις ἅπασιν ἔτι καὶ κατ' αὐτοῦ τοῦ τῆς ἀμπέλου τὴν φυλακὴν παρὰ τοῦ Σωτῆρος ἐπιτετραμμένου τὴν μανίαν ἐξέτεινε, λέγομεν δὴ τῆς σῆς ὁσιότητος. » Ἐν τούτοις ἡ ἁγία σύνοδος ἀμπελὸν εὐαγγελικῶς τὴν Ἐκκλησίαν, ἀμπελουργὸν λέγει τὸν πάπαν, παρὰ τοῦ Σωτῆρος Χριστοῦ λαβόντα τὴν ἀμπελουργίαν. Καὶ κατωτέρω· « Πεπεισμένοι, ὡς τῆς ἀποστολικῆς παρ' ὑμῖν κρατούσης ἀκτῖνος, καὶ ἐπὶ τὴν ἐν Κωνσταντινουπόλει Ἐκκλησίαν συνήθως κηδόμενοι πολλάκις ταύτην ἠπλώσατε, διὰ τὸ ἄφθονον ὑπάρχειν ἡμῖν τὴν τῶν οἰκείων ἀγαθῶν πρὸς τοὺς γνησίους μετάδοσιν. » Καὶ κατωτέρω· « Εἰδότες, ὡς πᾶν παρὰ τῶν τέκνων γινόμενον κατόρθωμα εἰς τοὺς οἰκειουμένους Πατέρας ἀνατρέχει· παρακαλοῦμεν τοίνυν, τίμησον καὶ ταῖς σαῖς ψήφοις τὴν κρίσιν· καὶ ὥσπερ ἡμεῖς τῇ κεφαλῇ τὴν ἐν τοῖς καλοῖς συμφωνίαν εἰσενηνόχαμεν, οὕτω καὶ ἡ κορυφὴ τοῖς παισὶν ἀναπληρώσει τὸ πρέπον. »

## CONFUTATIO.

Multa connectis, multa confundis, et multis differentiis positus unum tantum esse ais commune Petro et successoribus, idque privatum; et præteris quod maximum et præstantissimum est in hac materia, fisque confusionis et inordinationis magister. Successorem Petri ais papam, ut episcopum, ut quilibet episcoporum a Petro ordinatorum, et hujus tuæ positionis nullum affers testimonium quo probetur; sed magistri auctoritate pronuntias, et statuis more legislatoris. Opponemus ergo nos tibi non nostra, sed voces sanctæ synodi quartæ ex epistola ejus ad papam: « Quid enim ad ferendam lætitiam fide sublimius, quam tu velut auream catenam, præcepto legislatoris deductam ad nos servasti, omnibus beati Petri vocis constitutus interpres? Quapropter et nos tanti boni te duce et auctore usi ad utilitatem, Ecclesiæ filiis hæreditatem veritatis ostendimus. » In his sancta synodus vocat papam aureæ fidei catenæ asservatorem, et Petri vocis interpretem; et fidem ait esse in papa veritatis hæreditatem. Et infra, ubi sermo est de Patribus synodi: « Quibus tu, inquit, dux eras, ut caput membris, in iis qui tuas voces gerebant benevolentiam præferens. » In his sancta synodus fatetur papam caput, cæteros episcopos membra. Aderant autem in illa synodo Anatolius Constantinopolitanus, Maximus Antiochenus, et Juvenalis Hierosolymitanus. Et infra: « Et ad hæc omnia insuper et contra ipsum, cui vineæ custodia a Salvatore commissa est, extendit insaniam, id est contra tuam (apostolicam) sanctitatem: » ut Latinus interpres legit. In his sancta synodus Ecclesiam evangelice vineam vocat, custodem vineæ papam, et præfecturam hanc esse inquit illi datam a Christo. Et infra: « Plane scientes apostolicum in vobis quidem radium suam sedem habere; sæpe vero ad Constantinopolitanam quoque Ecclesiam more vestro curam gerentes illum sparsisse, eo quod consueveritis bonorum vestrorum participatione vobis conjunctos abunde ditare. » Et infra: « Agnoscentes, omne egregium naturam factum recurrere ad proprios parentes. Rogamus igitur, decreto tuo nostrum honora judicium, et sicut nos capiti consensum præbuimus in re præclara, ita et vertex adimpleat filiis quod decorum est. »

Ἐν τούτοις ἡ ἁγία σύνοδος ὁμολογεῖ τὴν ἀποστολικὴν ἀκτῖνα ἐν τῷ πάπᾳ καθιδρυμένην ἁπλωθῆναι πολλάκις καὶ εἰς Κωνσταντινούπολιν· καὶ ὅτι ὁ πάπας ἐστὶ κεφαλὴ τῆς Ἐκκλησίας τοιαύτη, ἐξ ἧς

In his sancta synodus fatetur, apostolicum radium esse in papa collocatum et inde sæpe Constantinopolim sese fudisse, et papam esse tale caput Ecclesiæ, ut ex eo pendeat honor et privile-

giorum emanatio in filios. Si ergo papa per sanctam synodum et Petri fidei est hæres, et membrorum Ecclesiæ caput, et custos vineæ a Salvatore constitutus, et vas apostolici radii, et episcoporum Pater, honores et privilegia largiens, unde tu, Nile, paradoxam sumpsisti assertionem, quod papa sit Petri successor, sicut hierarcha quilibet a Petro ordinatus? Esse igitur papam Petri successorem, lateris et ipse, qua Romæ est episcopus; quod vero tu præteriisti commune Petro et papæ, summum et maxime ad rem nostram spectans, est quod quarta synodus docet, et reliqua testantur, ut dicemus, generália concilia, quæcunque suscipiunt Græci: illud porro est pastoralis auctoritas in oves Christi, quam variis nominibus illa synodus expressit. Tu vero, prætermisso eo, quod unum successionis rationem perficit, numeras quæ minus ad rem faciunt. Nec enim ad vim successionis requiritur, ut ea omnia successor habeat quæ fuere in antecessore, sed illa in quibus ratio successionis consistit. Exempli gratia: successit in imperio Romano Constantius magno Constantino, non tamen opus est, ut ex successione Constantius et crucis signum in cœlo conspexerit, et Byzantium in Constantini urbem erexerit, et œcumenicarum synodorum primam celebrandam curaverit. Et papa similiter succedit Petro ut Romanus episcopus, ut vineæ custos, ut caput membrorum dux; sed non ideo necesse est ut papa sit apostolus, aut princeps apostolorum, aut ipse per se semper consecret patriarchas, aut alterum designet papam, aut canonicos libros conscribat; non enim pertinent hæc ad rationem successionis. Cæterum loco apostoli vocatur apostolicus, estque magister universalis ut caput omnium dux, et fidei interpres omnibus, et potestatem habens a Salvatore in Petro ligandi et solvendi omnia, utpote custos vineæ a Salvatore constitutus. Itaque per synodicas voces habemus, papam esse Petri successorem, non tantum qua Romæ est episcopus, sed etiam qua præsul universæ Christi Ecclesiæ, et custos et caput.

A ἤρτηται τὸ τιμᾶν καὶ μεταδιδόναι τοῖς ἄλλοις προνόμια ὡς τέκνοις καὶ παισίν. Εἰ γοῦν ὁ πάπας κατὰ τὴν διδασκαλίαν τῆς ἁγίας συνόδου καὶ κληρονόμος ἐστὶ τῆς πίστεως τοῦ Πέτρου, καὶ τῶν μελῶν τῆς Ἐκκλησίας κεφαλή, καὶ φύλαξ τῆς ἀμπέλου τεταγμένος ὑπὸ τοῦ Σωτῆρος, καὶ τῆς ἀποστολικῆς ἀκτῖνος δοχεῖον, πατὴρ τῶν ἐπισκόπων, πρεσβεῖα καὶ τιμὰς διανέμων· ποῦ σου, Νεῖλε, τὸ παράδοξον τῆς θέσεως, ὅτι διάδοχος τοῦ Πέτρου ὁ πάπας ὡς τῶν ἱεραρχῶν ἕκαστος τῶν ὑπ' ἐκείνου χειροτονηθέντων; Ὅτι μὲν οὖν διάδοχος τοῦ Πέτρου ὁ πάπας, καθὸ Ῥώμης ἐπίσκοπος, συνομολογεῖς καὶ αὐτός· ὃ δὲ σὺ παρέλιπες κοινὸν τῷ Πέτρῳ καὶ τῷ πάπᾳ, καιριώτατον, ἐκεῖνό ἐστιν, ὃ διδάσκει ἡ τετάρτη σύνοδος, καὶ συμμαρτυροῦσιν αἱ λοιπαὶ B ἅγιαι σύνοδοι, ἃς οἱ Γραικοὶ δέχονται, ὡς ἐροῦμεν. Ἔστι δὲ τοῦτο ἡ ποιμαντικὴ αὐθεντία τῶν προδήλων τοῦ Χριστοῦ, ἣν ποικιλοτρόπως διὰ τῶν φωνῶν ἐκείνων ἡ σύνοδος ἐξηγήσατο. Ἀλλὰ σὺ, τὸ καίριον καὶ οὐσιῶδες τῇ διαδοχῇ παραδραμὼν, ἀπαριθμεῖς τὰ μὴ καίρια καὶ ἥκιστα οὐσιώδη· οὐ γὰρ ἀναγκαῖον εἰς τὸν διαδοχῆς λόγον, πάνθ' ὅσα ἐνῆν τῷ προηγησαμένῳ, ἐνθεωρεῖσθαι κἀν τῷ διαδόχῳ, ἀλλ' ἐκεῖνα ἐν οἷς ὁ λόγος τῆς διαδοχῆς· οἷον διεδέξατο εἰς τὰ Ῥωμαϊκὰ σκῆπτρα Κωνστάντιος τὸν μέγαν Κωνσταντῖνον, ἀλλ' οὐκ ἀνάγκη τὸν Κωνστάντιον τῷ λόγῳ τῆς διαδοχῆς καὶ τοῦ σταυροῦ τὸ σύμβολον φωτοειδῶς ἐν οὐρανῷ ἑωρακέναι, καὶ τὸ Βυζάντιον εἰς Κωνσταντινούπολιν ἐγηγερκέναι, καὶ C τὴν ἐν συνόδοις οἰκουμενικαῖς πρώτην συγκεκροτηκέναι· ὡσαύτως διαδέχεται ὁ πάπας τὸν Πέτρον ὡς ἐπίσκοπος Ῥώμης, ὡς φύλαξ τῆς ἀμπέλου, ὡς κεφαλὴ ἡγεμονεύουσα τῶν μελῶν πάντοτε· ἀλλ' οὐκ ἀνάγκη διὰ τοῦτο καὶ τὸν πάπαν εἶναι ἀπόστολον, ἢ κορυφαῖον τῶν ἀποστόλων, ἢ χειροτονεῖν αὐτοπροσώπως τοὺς πατριάρχας, ἢ πάπαν ἕτερον προβάλλειν, ἢ κανονικὰ βιβλία συγγράφειν· ταῦτα γάρ ἐστιν ἔξω τοῦ λόγου τῆς διαδοχῆς· ἀλλ' ἀντὶ ἀποστόλου καλεῖται ἀποστολικὸς, καὶ διδάσκαλος τῆς οἰκουμένης, ὡς πάντων ἡγεμονεύουσα κεφαλή· καὶ παρὰ τοῦ Σωτῆρος ἐν τῷ Πέτρῳ ἐξουσίαν ἔχων τοῦ δεσμεῖν καὶ λύειν ἅπαντα, εἴπερ φύλαξ τῆς ἀμπέλου παρὰ τοῦ Χριστοῦ· ὥστε διὰ συνοδικῶν φωνῶν ἔχομεν τὸν πάπαν τοῦ Πέτρου διάδοχον, οὐ μόνον ᾗ Ῥώμης ἐπίσκοπός ἐστιν, ἀλλὰ καὶ ὡς ἁπάσης τοῦ Χριστοῦ τῆς Ἐκκλησίας προστάτης, καὶ φύλαξ, καὶ κεφαλή.

## NILUS (Cap. IV).

Quod autem papa errare non possit in fide, hoc et supra successionem est Petri; ille enim certe lapsus est. Quæro, potestne papa labi in mendacii, avaritiæ, inanis gloriæ crimen, atque in cætera perperam facta; an vero his etiam superior est? Quod si hoc ne dicere quidem fas est, multa enim et illé peccat labente conscientia, cum homo sit, liquet in his peccantem posse etiam in fide naufrágium facere. Hoc enim et Paulus Timotheo scribens ait: *Habens fidem et bonam conscientiam, quam quidam repellentes, circa fidem naufragaverunt*[a]. Ipse etiam conscientiæ lapsus nonne genus abne-

[a] 1 Tim. i, 19.

D

## ΝΕΙΛΟΣ.

Ὅτι δὲ ἀδύνατον τὸν πάπαν τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων, τοῦτο δὴ καὶ ὑπὲρ τὴν Πέτρου διαδοχήν· ἐκεῖνος μὲν γὰρ καὶ προσέκρουσεν. Ἐρωτῶ δὲ καὶ τοῦτο· Δύναται ὁ πάπας ψεύδους, φιλοχρηματίας, κενῆς δόξης, τῶν ἄλλων ἀτοπημάτων ἥττων ὀφθῆναι, ἢ καὶ τούτων ἀνώτερος; Εἰ δὲ τοῦτο οὐδὲ λέγειν ἔστι, σφάλλεται γὰρ κἀκεῖνος πολλὰ περὶ τὴν συνείδησιν, ἄνθρωπος ὤν, δῆλον ὡς περὶ ταῦτα ἁμαρτάνων ἐνδέχεται καὶ περὶ τὴν πίστιν ναυάγιον ὑποστῆναι· τοῦτο γὰρ καὶ Τιμοθέῳ φησὶν ὁ Παῦλος· *Ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἣν τινες ἀπωσάμενοι περὶ τὴν πίστιν ἐναυάγησαν.*

Αὐτὸ δὲ τὸ περὶ τὴν συνείδησιν ἁμαρτάνειν οὐκ εἶδος ἀθεΐας ἐστί; *Θεὸν γὰρ*, φησὶν ὁ Παῦλος, *τοῖς μὲν λόγοις ὁμολογοῦσι, τοῖς δὲ ἔργοις ἀρνοῦνται*· πῶς ἔργοις μὲν τὸν πάπαν ἐνδέχεται ἀρνεῖσθαι τὸν Θεὸν, λόγοις δὲ οὐδαμῶς;

gationis Dei? *Deum enim*, inquit Paulus, *confitentur se nosse, factis autem negant*[a]. Quomodo igitur papa factis quidem potest negare Deum, verbis autem minime?

## ΑΝΤΙΡΡΗΣΙΣ.

Ἐκ πεπλανημένης ἀρχῆς ἀρξάμενος, ὁδῷ προβαίνων παρεκτρέπῃ μᾶλλον τῆς ἀληθείας. Ἐν τούτοις σου τοῖς λόγοις τρία σοφίζῃ.

Πρῶτον· Πέπτωκεν ὁ Πέτρος, ἄρα δύναται πεσεῖν καὶ ὁ πάπας.

Δεύτερον· Ὁ δυνάμενος περὶ τὴν συνείδησιν σφάλλεσθαι δύναται καὶ περὶ τὴν πίστιν ναυαγῆσαι, κατὰ τὸν μακάριον Παῦλον. Ἀλλὰ μὴν ὁ πάπας ἄνθρωπος ὢν οὐ πάντῃ περὶ τὴν συνείδησιν ὑγιής, ἄρα δύναται καὶ περὶ τὴν πίστιν ἀσθενῆσαι.

Τρίτον· Τὸ περὶ τὴν συνείδησιν ἁμαρτάνειν εἶδος ἀθεΐας ἐστὶ, κατὰ Παῦλον· ἀλλὰ μὴν ἐνδέχεται τὸν πάπαν κατὰ τὴν συνείδησιν ἁμαρτεῖν, ἄρα ἔργοις ἀθεΐαν νοσεῖν. Εἰ δὲ ἔργοις δύναται ἀρνεῖσθαι τὸν Θεὸν, δύναται καὶ λόγοις· ψεῦδος λοιπὸν, ὡς ἀδύνατον τὸν πάπαν τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων.

## CONFUTATIO.

E fallaci orsus principio, dum progrederis, plus plusque a veritate recedis. Tria hic sophismata proponis.

Primum: Lapsus est Petrus, ergo labi potest et papa.

Secundum: Qui potest conscientiæ lapsu peccare, potest etiam naufragium fidei facere, secundum Pauli dictum. Sed papa, cum homo sit, non est a conscientiæ labe immunis, ergo poterit etiam facere naufragium fidei

Tertium, conscientiæ lapsu peccare, genus infidelitatis est juxta Paulum; at papa potest conscientiæ lapsu peccare, ergo et laborare hoc infidelitatis genere, nimirum per prava opera. Sed si potest operibus negare Deum, poterit et verbis: falsum igitur est, fieri non posse ut papa erret in fide.

Ἅπαντᾷ πρὸς ταῦτά σου τὰ σοφίσματα ἡ ἁγία τετάρτη σύνοδος ἐν τῇ πρὸς Λέοντα τὸν πάπαν ἐπιστολῇ· πρὸς μὲν τὸ πρῶτον ἐν οἷς λέγει, ὅτι Λέων τὴν πίστιν ὥσπερ χρυσῆν σειρὰν καταγομένην διεφύλαξε, πᾶσιν ἑρμηνεὺς γενόμενος τῆς φωνῆς τοῦ μακαρίου Πέτρου, καὶ ὅτι τοῦτον τῆς πίστεως τὸν κλῆρον ἔδειξεν ἡ σύνοδος τοῖς τέκνοις τῆς Ἐκκλησίας ἀρχηγῷ τοῦ καλοῦ χρησαμένη τῷ πάπᾳ· πέπτωκεν ὁ Πέτρος, ἀλλὰ πρὸς αὐτὸν ὁ Χριστός· *Καὶ σύ ποτε ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου.* Εἴπερ ἡ ἁγία σύνοδος ἐκ τῆς φωνῆς τοῦ πάπα ἔδειξε τὴν πίστιν τοῖς τέκνοις τῆς Ἐκκλησίας, ἔστιν ἄρα ὁ πάπας, κατὰ τὴν ἁγίαν σύνοδον, ἑρμηνεὺς τῆς φωνῆς τοῦ μακαρίου Πέτρου στηρίζοντος τοὺς ἀδελφοὺς καὶ τὰ τέκνα τῆς Ἐκκλησίας. Εἰ δὲ τοῦτο, ὁ πάπας ᾗ πάπας ἑρμηνεύς ἐστι καὶ διάδοχος τοῦ Πέτρου, οὐ καθὸ ἐκεῖνος ἀνθρωπίνῳ ἀσθενείᾳ πέπτωκεν, ἀλλὰ καθὸ τοὺς ἀδελφοὺς στηρίζει τῇ ὁμολογίᾳ τῆς ὀρθῆς πίστεως. Κατὰ δὲ τοῦτο ἀδύνατον πεσεῖν ποτε τὸν Πέτρον, εἴπερ ἀδύνατον ψεύσασθαι τὴν ἀλήθειαν. Ὥστε διττῶς θεωρουμένου τοῦ Πέτρου, καὶ ὡς ψιλοῦ ἀνθρώπου, καὶ ὡς προστάγματι τῷ Χριστοῦ τοὺς ἀδελφοὺς στηρίζοντος, καὶ τοῦ πάπα διαδεχομένου τὸν Πέτρον, κατὰ τὴν ἁγίαν σύνοδον, τῷ γε δευτέρῳ τούτῳ τρόπῳ, ἀπεσκέδασταί σου τὸ σόφισμα· Πέπτωκε Πέτρος, ἄρα καὶ ὁ πάπας· ὥσπερ γὰρ ἀδύνατον, μετὰ τὸ πρόσταγμα τοῦ Χριστοῦ καὶ τὴν δέησιν τοῦ μήποτε ἐκλεῖψαι τὴν Πέτρου πίστιν, πεσεῖν τὸν Πέτρον, οὕτως ἀδύνατον πεσεῖν καὶ τὸν πάπαν.

Ad hæc respondet sancta synodus quarta in epistola ad Leonem papam. Ad primum, dum ait: Quod Leo fidem deductam veluti auream catenam servavit, constitutus omnibus interpres vocis beati Petri; quodque hanc fidei hæreditatem synodus ostendit Ecclesiæ filiis, usa boni duce et auctore papa. Lapsus quidem est Petrus, Christus tamen ad ipsum, *Et tu*, inquit, *aliquando conversus confirma fratres tuos*[b]. Si sancta synodus ex voce papæ ostendit fidem Ecclesiæ filiis, papa per sanctam synodum est interpres vocis beati Petri confirmantis fratres et filios Ecclesiæ. Ergo papa ut papa interpres est et successor Petri, non ut humana ille fragilitate lapsus est, sed ea ratione qua fratres confirmat per confessionem rectæ fidei. Sed hoc sensu non poterat errare Petrus, quoniam impossibile est Veritatem mentiri. Itaque cum dupliciter Petrus consideretur, ut purus homo, utque mandato Christi fratres confirmans, et papa succedat Petro juxta sanctam synodum, hoc secundo modo, tuum sophisma dilutum est: Lapsus est Petrus, ergo et papa. Sicut enim impossibile est, post mandatum et preces Christi, ut non deficiat fides ejus, labi Petrum, ita etiam impossibile est labi papam.

Τὸ δεύτερον σόφισμα πάσης ἀτοπίας γέμει. Λέγει Τιμοθέῳ ὁ μακάριος Παῦλος, ὅτι ἀπωσάμενοί τινες τὴν ἀγαθὴν συνείδησιν ἐναυάγησαν περὶ τὴν πίστιν· ἄρα καὶ ὁ πάπας δυνάμενος ἀπώσασθαι τὴν συνείδησιν, δύναται ναυαγῆσαι καὶ περὶ τὴν πίστιν. Οὐ συνορᾷς, ὦ θαυμάσιε, ὅτι κατὰ τῶν ἑτεροδιδασκα-

Secundum sophisma quanta absurditate scatet! Scribit Paulus Timotheo, multos, repulsa bona conscientia, naufragatos esse in fide. Ergo et papa, cum possit repellere bonam conscientiam, potest et in fide naufragium facere. Nonne vides Apostolum de iis loqui qui volunt peregrinam tradere

[a] Tit. I 16. [b] Luc. XXII, 32.

doctrinam : quos repulsa prius bona conscientia, A naufragari quoque ait in fide, eo quod ambitio illos et in hæreses et in blasphemias transversos agat? Hi enim pravitate sua et conscientiam et fidem repulerunt. At vero de papa sancti Patres quartæ synodi aiunt, quod servata per successionem fide, omnibus exstiterit beati Petri vocis interpres, quam ut veritatis hæreditatem habebat papa; quomodo ad hæc locum habere possit instantia tua, dum ex propria et humana fragilitate inferre vult imbecillitatem divinæ Christi virtutis, a quo fidem deduci veluti catenam auream sancti Patres aiunt, ut fiat vox Petri, et papam esse interpretem vocis Petri, et hæredem veritatis? Potest papa in privatis suis et humanis actionibus peccare : hoc fragilitatis humanæ est; potest ergo B etiam errare in fide; hoc est inferre injuriam Salvatori. Et claudicat enthymena, quoniam papa aliter in antecedente sumitur, aliter in consequente : in illo, qua homo operans; in hoc, qua papa vocis Petri interpres. Ut si dicam, Potest Hippocrates labi errore conscientiæ, potest ergo et arte medicinæ : nam in antecedente sumitur ut homo, in consequente ut artifex; non debent autem voces æquivoce sumi.

Huc tendit etiam tertium sophisma tuum, licet callidius et obscurius. Genus abnegationis Dei est secundum Paulum conscientiæ lapsu errare; sed papa potest conscientiæ lapsu errare, ergo hujus generis abnegationis Dei reus esse. Deinde a majori ad minus : Genus abnegationis lapsu conscientiæ fit aliquid agendo, sed majus est peccare opere quam verbo; ergo qui peccare potest opere, potest et verbo : papa peccare potest opere, ergo et verbo; non est igitur impossibile papam errare in fide.

Verum, quod tu genus abnegationis Dei vocas, commune est cunctis operibus quæ fiunt præter rationem rectam; at abnegatio Dei per verba est infidelitatis actus et speciale peccatum, tantoque majus, quanto major fides, quippe ut fundamentum virtutum. Decipis ergo, vir egregie, duplici sophismate : primo quidem, ut diximus, quia consequentia hæc non valet : Potest errare papa contrà rectam rationem in aliqua sua morali actione, ergo et in fide. Ostensum quippe est, falsum id esse, eo quod papa aliter se habeat ad morales actiones, et aliter ad dogmata fidei. Nam suarum ipse actionum est principium, dogmatum vero Christi est custos, nempe ut Petri hæres; secundo, quia quod majus est, fecisti minus, et quod minus, majus. Tu majus esse ais abnegare opere quam verbo, quod in re proposita falsum aperte est. Abnegat opere fur, abnegat verbo qui Christo renuntiat; majus ergo furtum quam apostasia? Absit. Non ergo qui potest minus abnegando opere,

λεῖν ἐλομένων λέγει ὁ Ἀπόστολος, οὓς πρότερον ἐκπεσόντας τῆς ἀγαθῆς συνειδήσεως λέγει καὶ περὶ τὴν πίστιν ναυαγῆσαι, οἷα δὴ τῇ φιλοτιμίᾳ παρασυρέντας ἐπὶ αἱρέσεις καὶ βλασφημίας; Οὗτοι μὲν γὰρ τῇ οἰκείᾳ φαυλότητι καὶ τὴν συνείδησιν ἀπώσαντο καὶ τὴν πίστιν· περὶ δὲ τοῦ πάπα φασὶν οἱ ἅγιοι τῆς τετάρτης συνόδου Πατέρες, ὅτι ἐκ διαδοχῆς φυλάξας τὴν πίστιν κατέστη πᾶσιν ἑρμηνεὺς τῆς τοῦ μακαρίου Πέτρου φωνῆς, ἣν ὡς ἀληθείας κλῆρον ὁ πάπας εἶχεν. Πῶ τοίνυν ἔχει χώραν ἡ σὴ ἔνστασις, ἐκ τῆς οἰκοθεν ἀνθρωπίνης ἀσθενείας ἐπιφέρουσα ἀσθένειαν καὶ τῆς θείας δυνάμεως τοῦ Χριστοῦ, παρ' οὗ φασιν οἱ ἅγιοι Πατέρες τὴν πίστιν κατάγεσθαι ὥσπερ χρυσῆν σειρὰν, ὥστε γίνεσθαι φωνὴν τοῦ Πέτρου, καὶ τὸν πάπαν εἶναι τῆς φωνῆς τοῦ Πέτρου ἑρμηνέα, καὶ κληρονόμον τῆς ἀληθείας; Δύναται περὶ τὰς οἰκείας καὶ ἀνθρωπίνας πράξεις σφαλῆναι ὁ πάπας· τοῦτο ἀνθρώπινον ἐλάττωμα· ἆρα δύναται καὶ περὶ τὴν πίστιν ἀσθενῆσαι· τοῦτο ὕβρις, εἰς τὸν Σωτῆρα Χριστὸν ἀνατρέχουσα. Καὶ χωλαίνει τὸ ἐνθύμημα, ὅτι ἄλλως ἐν τῇ προσλήψει λαμβάνεται ὁ πάπας, ἤγουν ᾗ ἄνθρωπος ἐνεργῶν, καὶ ἄλλως ἐν τῷ συμπεράσματι, ἤγουν ᾗ πάπας καὶ ἑρμηνεὺς τῆς φωνῆς τοῦ Πέτρου· οἷον εἰ φαίην, Δύναται Ἱπποκράτης σφαλῆναι περὶ τὴν συνείδησιν, ἆρα καὶ περὶ τὴν ἰατρικὴν τέχνην· ἐκεῖ μὲν γὰρ Ἱπποκράτης ᾗ ἄνθρωπος, ἐν τούτῳ δὲ νοεῖται ᾗ τεχνίτης· χρὴ δὲ τοὺς ὅρους μὴ ὁμωνύμως λαμβάνεσθαι.

Τῆς αὐτῆς ἐννοίας ἔχεται καὶ τὸ τρίτον σου σόφισμα, πλὴν πανουργοτέρως καὶ ἀσαφεστέρως. Εἶδος ἀρνησοθείας, κατὰ Παῦλον, ἐστι τὸ περὶ τὴν συνείδησιν ἁμαρτάνειν· ἀλλὰ μὴν ὁ πάπας δύναται περὶ τὴν συνείδησιν ἁμαρτάνειν, ἆρα καὶ τῷ εἴδει τούτῳ τῆς ἀρνησοθείας ἔνοχος εἶναι. Εἶτα ἐκ τῶν μᾶλλον καὶ ἧττον· Ἡ ἀρνησοθεία κατὰ τὴν συνείδησιν γίνεται ἔργοις· μεῖζον δὲ τὸ ἁμαρτάνειν ἔργοις ἢ λόγοις· ἆρα ὁ δυνάμενος σφαλῆναι ἔργοις δύναται σφαλῆναι καὶ λόγοις· ὁ πάπας δύναται σφαλῆναι ἔργοις, ἆρα καὶ λόγοις· καὶ οὐκ ἀδύνατον τὸν πάπαν τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων.

Ὃ μὲν οὖν σὺ λέγεις εἶδος ἀρνησοθείας, τοῦτο κοινὸν πᾶσι τοῖς ἔργοις, ἃ μὴ κατὰ τὸν ὀρθὸν γίνεται λόγον· ἡ δὲ διὰ λόγων ἀρνησοθεία ἐνέργεια τῆς ἀπιστίας ἐστὶ, καὶ ἰδικὸν ἁμάρτημα, καὶ μεῖζον, ὅσῳ μεῖζων ἡ πίστις, ὡς θεμέλιον τῶν ἀρετῶν. Φρεναπατᾷς οὖν, ὦ θαυμάσιε, διπλῷ τῷ σοφίσματι· πρῶτον μὲν, ὡς εἰπόντες ἐφθημεν, ὅτι οὐκ ἔρρωται αὕτη ἡ ἀκολουθία· Δύναται παρὰ τὸν ὀρθὸν λόγον ἔν τινι πράξει ἠθικῇ σφαλῆναι ὁ πάπας, ἆρα καὶ τῶν ὀρθῶν δογμάτων ἐκπεσεῖν· ἐλήλεγκται γὰρ τοῦτο ψευδὲς ἐκ τοῦ διαφόρως ἔχειν τὸν πάπαν πρός τε τὰς ἠθικὰς πράξεις καὶ τὰ δόγματα. Τῶν γὰρ ἑαυτοῦ πράξεων αὐτός ἐστιν ἀρχὴ, τῶν δὲ δογμάτων ἐστὶ φύλαξ παρὰ Χριστοῦ, ἅτε δὴ κληρονόμος τοῦ Πέτρου. Δεύτερον, ὅτι τὸ μᾶλλον ἧττον ἐποίησας, καὶ τὸ ἧττον μᾶλλον. Λέγεις μεῖζον εἶναι ἀρνεῖσθαι ἔργοις ἢ λόγοις, ὃ προφανὲς ψεῦδος ἐν τῷ παρόντι· ἀρνεῖται ἔργοις ὁ κλέπτης, ἀρνεῖται λόγοις ὁ τὸν Χριστὸν ἐξομνύμενος· μεῖζον ἆρα ἡ κλοπὴ τῆς ἀποστασίας; Ἄπαγε. Ὥστε οὐχ ὅτε ἧττον δυνά-

μενος, τὸ δι' ἔργων πλημμελῆσαι, πλημμελήσει καὶ τὸ μεῖζον, τὸ διὰ λόγων ἀρνήσασθαι τὸν Θεόν. Μᾶλλον δὲ εἰ τὸν λόγον ἐφαρμόσαις τῷ πάπᾳ, δύναται τὸ ἧττον ἐκεῖνος ἢ μετέχει φύσεως ἀνθρωπίνης, οὐ δύναται παντελῶς τὸ μεῖζον, ἢ κληρονόμος καὶ φύλαξ ἐστὶ τῆς πίστεως τοῦ Πέτρου. Τὸ δὲ δύο περὶ τὸν πάπαν ἕνα ὄντα θεωρεῖσθαι, καὶ αὐτὸς ἂν συνομολογήσαις, δύο κατ' ἀρχὰς ἐν τῷ πάπᾳ θέμενος, τὸ εἶναι παρὰ τοῦ Πέτρου Ῥώμης ἐπίσκοπον, καὶ τὸ πρῶτον εἶναι τῶν ἄλλων ἐπισκόπων παρὰ τῶν Πατέρων. Ὥσπερ οὖν σὺ, παρὰ Φωτίου τὴν διδασκαλίαν λαβὼν, δύο καὶ ἀσύμβλητα ἐν τῷ ἑνὶ πάπᾳ ὁμολογεῖς, τὸ μὲν μερικὸν, τὸ δὲ καθόλου· τὸ μὲν κτηθὲν, τὸ δὲ προσκτηθέν· τὸ μὲν διὰ τὸ κλίμα, τὸ δὲ διὰ τὴν τάξιν· οὕτω καὶ ἡμεῖς τοῖς εὐαγγελικοῖς, καὶ ἀποστολικοῖς, καὶ συνοδικοῖς ἑπόμενοι δόγμασι δύο περὶ τὸν ἕνα θεωροῦμεν, τὸ εἶναι τὸν πάπαν καὶ αὐτὸν ἄνθρωπον, τὴν ἡμετέραν ἀσθένειαν περικείμενον, καὶ τὸ εἶναι ἑρμηνέα τῆς φωνῆς τοῦ Πέτρου, καὶ κληρονόμον τῆς ἐκείνου πίστεως. Ἐπεὶ δὲ ταῦτα τὰ δύο διάφορα καὶ ἀσύμβλητα, ἐξασθενεῖ τῶν σῶν ἐπιχειρημάτων ἡ δύναμις, ἐκ θατέρου εἰς θάτερον μεταπίπτουσα, καὶ ἀπονέμουσα τὸ πτωτικὸν τῆς ἀνθρωπότητος τῷ ἀπτώτῳ τῆς ἀξίας· καὶ ὅλως ἁμαρτάνεις κατ' ἐκείνου τοῦ κανόνος, ὃν ὁ Φιλόσοφος ἐν τῷ *Περὶ ἑρμηνείας* διδάσκει· Ἔστιν ὁ δεῖνα ἀγαθὸς, καὶ σκυτεὺς, ἀλλ' οὐχὶ διὰ τοῦτο καὶ σκυτεὺς ἀγαθός· τὸ γὰρ εἶναι σκυτέα καὶ ἀγαθὸν κατὰ συμβεβηκὸς συμπλέκεται. Σὺ δὲ, Νεῖλε, οὕτω συλλογίζῃ· Ἔστιν ὁ Ῥώμης ἄνθρωπος ἁμαρτητικὸς, ἔστι καὶ πάπας, ἄρα καὶ ἁμαρτητικὸς πάπας. Ἁμαρτάνεις οὖν καὶ κατὰ τοῦ Φιλοσοφικοῦ κανόνος, καὶ κατὰ τῶν ἁγίων Πατέρων, λέγω δὴ οὐ μόνον τῆς τετάρτης συνόδου ἐν οἷς λέγει ἐπιστέλλουσα τῷ πάπᾳ, καὶ ἐν τῷ προσφωνητικῷ πρὸς Μαρκιανὸν τὸν βασιλέα, ἀλλὰ καὶ τοῖς ἁγίοις Πατράσι τῆς ἕκτης ἀντιλέγων συνόδου· ἐν μὲν γὰρ τῷ προσφωνητικῷ φησιν ἡ τετάρτη σύνοδος· « Ὅθεν ἄτρωτον ἡμῖν ἐκ πλάνης ὁ Θεὸς ἐπενόησε πρόμαχον, καὶ τὸν τῆς Ῥωμαίων πρὸς νίκην εὐτρέπισε πρόεδρον. »

Ἄτρωτον ἐκ πλάνης λέγει τὸν πάπαν ἡ ἁγία σύνοδος· καὶ αὐτὴ ἑαυτὴν ἐξηγεῖται, κατὰ ποίαν σημασίαν ἐχρήσατο τῇ λέξει, ἄτρωτον, ὡς μὴ τρωθέντα, ἢ ὡς μὴ δυνάμενον τρωθῆναι. Ἐν γὰρ τῇ πρὸς τὸν πάπαν ἐπιστολῇ φύλακα τῆς πίστεως ἐκεῖνον προσαγορεύει, καὶ ὅσα ἄλλα εἴρηται. Οὐ δυνατὸν δὲ τὴν ἁγίαν σύνοδον Λέοντι τῷ μετὰ τὸν Πέτρον μς' ἐπισκόπῳ Ῥώμης κατά τινα ἀποκλήρωσιν ἀπονεῖμαι τὴν προσηγορίαν ταύτην, καὶ τὸ εἶναι ἑρμηνέα καὶ κληρονόμον τῆς πίστεως τοῦ Πέτρου, ἀλλ' ἢ ὡς τηνικάδε πάπᾳ· εἰ δὲ ὡς πάπᾳ, ἕκαστος ἄρα πάπας ἐκ πλάνης ἄτρωτος, καὶ φύλαξ τῆς πίστεως, καὶ τὰ λοιπά. Εἰ δὲ ἕκαστος ἄτρωτος ὡς φύλαξ καὶ κληρονόμος, τὸ ἄτρωτος ἐμφαίνει τὸ ἀδύνατον τῆς τρώσεως· ἄλλως γὰρ ἂν ἑνὸς πάπα τρωθέντος ἐπαύετο καὶ ἡ φυλακὴ καὶ ἡ κληρονομία τῆς πίστεως τοῦ Πέτρου. Ποιοῦσι δὲ τοῦτο κατάδηλον οἱ τῆς ἕκτης συνόδου Πατέρες ἐν τῷ προσφωνητικῷ πρὸς τὸν βασιλέα Κωνσταντῖνον. Ἔνθα καθαρῷ ὄμματι, καὶ μηδενὸς ὑποβολῇ τὰ περὶ τὸν πάπαν σκοποῦντες, καὶ τὴν, *ἄτρωτος*, λέξιν οἱονεὶ παραφράζοντες ἔφασαν περὶ

peccabit et majus verbis Deum negando. Imo si papæ argumentum accommodaveris, potest ille quidem minus utpote natura constans humana, majus autem nullo modo potest qua hæres est et custos fidei Petri. Quod vero in uno papa considerentur duo, tu quoque fateberis qui duo posuisti in papa, quod Romæ sit episcopus a Petro, quodque cæterorum episcoporum sit primus a Patribus. Sicut ergo tu a Photio edoctus, duo et non conferenda fateris in uno papa, unum particulare, alterum universale; unum hæreditate relictum, alterum additum; unum propter clima, alterum propter ordinem: ita nos evangelica, apostolica et synodica sequentes dogmata, consideramus duo in papa, quod sit homo, nostra et ipse circumdatus infirmitate; et sit præterea Petri vocis interpres et illius fidei hæres. Et quoniam duo hæc differunt, atque res diversi generis non conferuntur, cadit tuerum robur argumentorum, quod ex altero transit in alterum, et labilitatem humanitatis tribuit illabilitati dignitatis. Omnino enim tu contra illam regulam peccas, quam tradit Philosophus in libro *De interpretatione*: Est aliquis bonus, est et sutor; non tamen ideo sutor bonus: esse enim bonum et sutorem conjuncta sunt per accidens. Tu vero ita arguis: Romanus episcopus est homo erroris capax, est etiam papa episcoporum primus, ergo est papa erroris capax. Atque ita peccas et contra Philosophi regulam, et contra sanctos Patres, non solum quartæ synodi in epistola ad papam, et in Prosphonetico ad Marcianum imperatorem, sed etiam contra sanctos Patres sextæ synodi. Quarta synodus in Prosphonetico sic habet: « Quare Deus insauciabilem errore propugnatorem nobis providit, et Romanæ Ecclesiæ papam præparavit ad victoriam. »

Vocat sancta synodus papam errore insauciabilem, et ipsa sui interpres declarat quo sensu locuta fuerit, non sauciatum, an non sauciabilem vocando papam. Nam in epistola ad papam, fidei custodem appellat illum, et quæcunque alia diximus; fieri vero non potest ut sancta synodus hanc appellationem dederit Leoni papæ, qui quadragesimus sextus fuit a Petro Romæ episcopus, privato quodam jure, sicut etiam esse interpretem et hæredem fidei Petri: sed eo nomine, quia papa ille tunc erat. Quod si dedit ut papæ, quisque ergo papa insauciabilis errore est et fidei custos, etc. Si ergo hæc unicuique papæ conveniunt, insauciabilem synodus dixit, non insauciatum; alioquin uno papa sauciato, cessat et custodia et hæreditas fidei Petri. Planum hoc faciunt sextæ synodi Patres in Prosphonetico ad Constantinum imperatorem quando sincero oculo, et nulla cujusquam suggestione statum papæ considerantes, et quodammodo vocem *insauciabilis* paraphrastice exponentes, de Damaso papa aiebant: « Et Damasus

fidei adamas, cujus solida mens aggressionibus atque conflictibus alienæ a fide opinionis non erat vulnerabilis. »

Quod enim Græce dicunt, vulnus non excipiens, perinde est atque invulnerabilis; quomodo qui Græce loquuntur, dicunt, apparentia et non apparentia, id est apparere non valentia. Et de sacrosancta Eucharistia : Qui comeditur, et non absumitur, id est qui absumi non potest. Quo pacto dicimus etiam solem non tenebrescentem, et tenebras non lucescentes, et in epistola ad Agathonem papam iidem Patres : « Quare et nos tibi ut primo universæ Ecclesiæ antistiti quid sit agendum committimus, stanti super firmam fidei petram. » Hoc unum quippe volunt Patres, papam, quia summæ sedis episcopus est, stare super firmam fidei petram. Si ergo papa hoc habet ut primæ sedis episcopus, certe omnis papa hoc habet. His testem se dat imperator Constantinus Pogonatus in sacro rescripto ad Leonem papam : « Et gloria, inquit, gloriosa facienti Deo, qui fidem apud vos indepravatam conservavit. Quomodo enim id facturus non erat in ea petra, super quam ipse fundavit Ecclesiam; et portis inferi, hoc est hæreticorum, insidiis, nunquam succubituram prædixit? ex qua tanquam e cœlorum convexis effulsit sermo veræ confessionis, et Christi amantium animas illustravit, et orthodoxam fidem quæ refrixerat refocillavit. »

Quibus ex verbis duo habes : primum Romanam sedem propter fundatorem Christum non substerni machinis hæreticorum, quod idem valet ac si diceret, non posse substerni. Posito enim necessario antecedente, necessitatem habet et consequens. Atqui necessarium est Christi prædictionem esse veracem : ergo necessarium quoque ex suppositione est, sedem Petri non esse ab hæresibus domabilem. Quod ratione æquipollentium non est aliud quam impossibile esse papam errare in fide. Alterum est, Romanam sedem esse, de qua imperator ille scribens ad Leonem II, post sextam synodum, « Fidem inquit in ea conservatam esse indepravatam. » Erat autem is Leo undecimus ab Honorio, quem vos hæreticum Monothelitam exstitisse calumniamini. Dicis enim :

NILUS (Cap. V).

« Et Honorius episcopus Romanus a rectis dogmatibus aberravit, et a sancta œcumenica sexta synodo damnatus est. »

CONFUTATIO.

Si Honorius fuit hæreticus, quomodo post illum scribebat imperator Constantinus : « Deo gloria, qui fidem in sede Petri conservavit indepravatam? » Neque enim licet ad hoc dicere, imperatorem fuisse locutum de Leone II, tunc temporis pontifice. Nam infert ille, et ait : « Quomodo enim

Δαμάσου τοῦ πάπα · « Καὶ Δάμασος ὁ ἀδάμας τῆς πίστεως, ὁ ταῖς ἑτεροδόξοις προσβολαῖς τε καὶ προσαρράξεσι τὴν ἀντίτυπον γνώμην οὐ τιτρωσκόμενος. »

Τὸ γὰρ οὐ τιτρωσκόμενος ταυτὸν τῷ μὴ δυνάμενος τρωθῆναι · ὥσπερ φαμὲν τὰ φαινόμενα καὶ μὴ φαινόμενα, ἤγουν μὴ δυνάμενα φανῆναι · καὶ ὁ περὶ τῆς θείας λέγεται κοινωνίας, ὁ ἐσθιόμενος καὶ μὴ δαπανώμενος, ἤγουν δαπανᾶσθαι μὴ δυνάμενος · οὕτω φαμὲν καὶ τὸν ἥλιον μὴ σκοτιζόμενον, καὶ σκότος μὴ φωτιζόμενον · καὶ ἐν τῇ πρὸς Ἀγάθωνα τὸν πάπταν ἐπιστολῇ οἱ αὐτοὶ Πατέρες, Ὅθεν, φασὶ καὶ ἡμεῖς ὡς πρωτοθρόνῳ σοι τῆς οἰκουμενικῆς Ἐκκλησίας τὸ πρακτέον παρατιθέμεθα, ἐπὶ τὴν στερεὰν πέτραν ἑστῶτι τῆς πίστεως. Τί γὰρ ἄλλο φασὶ διὰ τούτων οἱ Πατέρες, ἢ διὰ τὸ εἶναι τὸν πάπταν πρωτόθρονον, ἑστάναι καὶ ἐπὶ τὴν στερεὰν πέτραν τῆς πίστεως ; Εἰ δ' ἔχει τοῦτο ὁ πάπας ἢ πρωτόθρονος, καὶ πᾶς ἄρα πάπτας. Συμμαρτυρεῖ τούτοις καὶ ὁ βασιλεὺς Κωνσταντῖνος ὁ Πωγωνάτος ἐν τῇ ἀντιγράφῳ Σάκρᾳ πρὸς Λέοντα τὸν πάπταν κατὰ τὴν ἐν τῇ ἕκτῃ συνόδου πρᾶξιν, ἐν οἷς φησιν · « Καὶ δόξα τῷ ποιοῦντι δεδοξασμένα Θεῷ, τῷ παρ' ὑμῖν πίστιν ἀπαρεγχείρητον διασώσαντι. Πῶς γὰρ οὐκ ἔμελλεν, ἐν ᾗ πέτρᾳ τὴν Ἐκκλησίαν ἐθεμελίωσε, καὶ πύλαις ᾅδου ταῖς αἱρετικαῖς ἐνεδρεύσεσι μὴ καταισχυθήσεσθαι προηγόρευσεν ; ἐξ ἧς ὥσπερ ἐξ οὐρανίων ἀψίδων τῆς ἀληθοῦς ὁμολογίας ὁ λόγος ἀνέλαμψε, καὶ τὰς ψυχὰς τῶν φιλοχρίστων ἐφώτισε, καὶ τὴν ὀρθοδοξίαν κατεψυγμένην ἀνεζωπύρησεν. »

Δύο ἔχεις ἐκ τούτων τῶν λέξεων, Νεῖλε, ὅτι τε ὁ Ῥώμης θρόνος διὰ τὸν θεμελιώσαντα Χριστὸν αἱρετικαῖς ἐνεδρεύσεσιν οὐ καταδαμάζεται, ὅπερ ταυτὸν ἀντικρύς ἐστι τῷ μὴ δύνασθαι καταδαμασθῆναι· ἀναγκαίου γὰρ ὄντος τοῦ προηγουμένου, ἀναγκαίως ἔχει καὶ τὸ ἑπόμενον. Ἀλλὰ μὴν ἀναγκαῖον ἀληθεύειν τὴν προαγόρευσιν τοῦ Χριστοῦ· ἀναγκαῖον ἄρα ἐξ ὑποθέσεως καὶ τὸ ἀκατάβλητον εἶναι ταῖς αἱρέσεσι τὸν Πέτρου θρόνον. Τοῦτο δὲ κατὰ τὴν ἀκολούθησιν τῶν προτάσεων ταυτὸν τῷ ἀδύνατον τὸν πάπταν ἐκπεσεῖν τῶν ὀρθῶν δογμάτων. Ἔχεις δὲ καὶ ὅτι ὁ Ῥώμης θρόνος ἐστὶν, ἐν ᾧ φησιν ὁ βασιλεὺς ἐκεῖνος, γράφων τῷ δευτέρῳ Λέοντι μετὰ τὴν ἕκτην σύνοδον, ὑπὸ Θεοῦ τὴν πίστιν ἀπαρεγχείρητον διασωθῆναι. Ἦν δὲ Λέων ὁ δεύτερος ἑνδέκατος πάπας ἀπὸ Ὀνωρίου, ὃν ὑμεῖς ὡς αἱρετικὸν μονοθελήτην συκοφαντεῖτε. Λέγεις γάρ ·

ΝΕΙΛΟΣ.

Καὶ Ὀνώριος δὲ, Ῥώμης ἐπίσκοπος ὤν, τῶν ὀρθῶν τε ἐξέβη δογμάτων, καὶ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου ἀποκεκήρυκται.

ΑΝΤΙΡΡΗΣΙΣ.

Εἴπερ Ὀνώριος ἦν αἱρετικὸς, πῶς οὖν μετὰ ταῦτα ἔγραφεν ὁ βασιλεὺς Κωνσταντῖνος· « Δόξα τῷ Θεῷ, τῷ διασώσαντι τὴν πίστιν ἐν τῷ θρόνῳ τοῦ Πέτρου ἀπαρεγχείρητον ; » Οὐ γὰρ ἔστι πρὸς τοῦτο εἰπεῖν, ὅτι περὶ τοῦ ὄντος τότε πάπτα Λέοντος τοῦ δευτέρου ἔγραφεν ὁ βασιλεύς· ἐπιφέρει γὰρ αὐτὸς καὶ

λέγει· Πῶς γὰρ οὐκ ἔμελλεν, ἐν ᾗ πέτρᾳ τὴν Ἐκκλησίαν ἐθεμελίωσεν; Εἰ γοῦν ἡ αἰτία τοῦ ἀπαρεγχείρητον εἶναι τὴν πίστιν Λέοντος τοῦ δευτέρου ἐκείνη ἐστίν, ὅτι ὁ Ῥώμης θρόνος πέφυκεν ἡ πέτρα, ἐν ᾗ ὁ Θεὸς τὴν Ἐκκλησίαν ἐθεμελίωσεν, πῶς μόνου τοῦ Λέοντος τὴν πίστιν ἐπαινεῖ ὁ βασιλεὺς ὡς ἀπαρεγχείρητον; Ἐπεχείρεις ἀνωτέρω ἐκ τῆς βασιλικῆς Ἰουστινιανοῦ Νεαρᾶς, καίτοι φαύλως ἐκείνην ἐξηγούμενος· διατί μὴ καὶ ἐκ τῶν ὄντως βασιλικῶν τοῦ Πωγωνάτου λέξεων ἤρανίσω τὴν ἀληθῆ περὶ Ὀνωρίου δόξαν; Λέγει; Ὀνωρίου τῶν ὀρθῶν ἐκβῆναι δογμάτων, καὶ διὰ τοῦτο παρὰ τῆς ἕκτης ἀποκηρυχθῆναι συνόδου. Ὅτι δὲ Ὀνώριος οὐδοτιοῦν τῶν ὀρθῶν δογμάτων ἐξέβη, μάρτυς πρῶτον μὲν ὁ μέγας ὁμολογητὴς Μάξιμος ἐν τῇ πρὸς Πύρρον τὸν αἱρετικὸν διαλέξει, καθὰ δὴ ἐπεσημειωσάμεθα ἐν τῇ ιγ' πράξει τῆς ἕκτης συνόδου. Φησὶ δὲ αὐταῖς λέξεσι·

« *Πύρρος.* Τί ἔχεις περὶ Ὀνωρίου εἰπεῖν πρὸς τὸν πρὸ ἐμοῦ φανερῶς ἓν δογματίσαντος θέλημα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; *Μάξιμος.* Τίς ἀξιόπιστος ἐξηγητὴς τῆς τοιαύτης καθέστηκεν ἐπιστολῆς; ὁ ταύτην ἐκ προσώπου Ὀνωρίου συντάξας, ἔτι περιὼν καὶ μετὰ τῶν ἄλλων αὐτοῦ καλῶν καὶ τοῖς τῆς εὐσεβείας δόγμασι πᾶσαν τὴν δύσιν καταφαιδρύνας, ἢ οἱ ἐν Κωνσταντινουπόλει τὰ ἀπὸ καρδίας λαλοῦντες; *Πύρρος.* Ὁ ταύτην συντάξας. *Μάξιμος.* Ὁ αὐτὸς οὖν πρὸς τὸν ἅγιον Κωνσταντῖνον τὸν γενόμενον βασιλέα ἐκ προσώπου πάλιν Ἰωάννου τοῦ ἐν ἁγίοις πάπα περὶ τῆς ἐπιστολῆς ἐκείνης γράφων ἔφη, ὅτι « Ἓν θέλημα ἔφημεν ἐπὶ τοῦ Κυρίου, οὐ τῆς θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος, ἀλλὰ μόνης τῆς ἀνθρωπότητος. Σεργίου γὰρ γράψαντος, ὡς τινες δύο θελήματα λέγουσιν ἐπὶ Χριστοῦ ἐναντία, ἀντεγράψαμεν, ὅτι ὁ Χριστὸς δύο θελήματα ἐναντία οὐκ εἶχε, σαρκός φημι καὶ πνεύματος, ὡς ἡμεῖς ἔχομεν μετὰ τὴν παράβασιν, ἀλλ' ἓν μόνον τὸ φυσικῶς χαρακτηρίζον τὴν αὐτοῦ ἀνθρωπότητα » Καὶ τούτου ἀπόδειξις ἐναργὴς τὸ καὶ μελῶν καὶ σαρκὸς μνησθῆναι, ἅπερ καὶ ἐπὶ τῆς θεότητος αὐτοῦ ἐκεῖνα ληφθῆναι οὐ συγχωρεῖ. »

Ταῦτα γράψας πρὸ τῆς ἕκτης συνόδου ὁ μέγας οὗτος Πατὴρ, καὶ ἑρμηνεύσας τὸ ἀληθὲς τοῦ Ὀνωρίου φρόνημα, ἔχει καὶ τὰς αὐτοῦ ἐκείνου ἐπιστολὰς, τὰς ἐμφερομένας τῇ ἕκτῃ συνόδῳ, τὴν ὀρθοδοξίαν τοῦ γράψαντος σαφέστατα μαρτυρούσας.

« Ἐπειδὴ γὰρ οἱ τῆς Κωνσταντινουπόλεως, ὥς φησιν ὁ αὐτὸς ἅγιος Μάξιμος ἐν τῇ πρὸς Μαρῖνον ἐπιστολῇ, τῶν συνοδικῶν τοῦ πάπα ἐν δυσὶν ἐπελάβοντο, τῷ μὲν περὶ θεολογίας, ὅτι εἶπεν ὁ πάπας ἐκπορεύεσθαι κἀκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον· τῷ δὲ περὶ τῆς θείας σαρκώσεως, ὅτι περιγέγραφεν, τὸν Κύριον εἶναι δίχα τῆς προπατορικῆς ἁμαρτίας ὡς ἄνθρωπον· Ὀνώριος δὲ ταῦτα εἰδὼς, ἵνα τὴν προπατορικὴν ἁμαρτίαν ἀποκλείσῃ τῆς θείας ἐνανθρωπήσεως, εἰς Κωνσταντινούπολιν γράφων φησὶ πρὸς τὸ ζήτημα· « Ὅθεν καὶ ἓν θέλημα ὁμολογοῦμεν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, ἐπειδὴ προδήλως ὑπὸ τῆς θεότητος προσελήφθη ἡ ἡμετέρα φύσις, οὐχ

A id facturus non erat in ea petra, super quam ipse fundavit Ecclesiam? Si ergo causa cur Leonis II fides conservata fuerit indepravata, illa est, quod Romana sedes sit petra super quam Deus fundavit Ecclesiam, qua ratione dici potest imperator solius Leonis fidem ut indepravatam laudare? Arguebas tu supra ex imperatoris Justiniani novella, licet male illam exciperes, cur etiam ex vere imperatoriis Pogonati verbis non collegisti veram de Honorio sententiam? Ais, Honorium a rectis dogmatibus aberrasse et fuisse propterea a sexta synodo damnatum. Atqui Honorium a rectis dogmatibus non aberrasse, testis est primo quidem eximius confessor Maximus in Dialogo cum Pyrrho hæretico, sicut adnotatum a nobis fuit actione XII,
B sextæ synodi in editione Romana Conciliorum generalium. Verba ejus hæc sunt:

« *Pyrrhus.* Quid habes de Honorio dicere, qui ad prædecessorem meum scribens, unam Domini nostri Jesu Christi voluntatem aperte dogmatizavit? *Maximus.* Quis fide dignus interpres erit illius epistolæ? qui eam ex persona Honorii composuit, estque adhuc superstes, inter alia sua bona hoc etiam conspicuus, quod pietatis dogmatibus universum illustravit Occidentem, an Constantinopolitani, quæ sibi sunt cordi loquentes? *Pyrr.* Qui eam composuit. *Max.* Ille idem igitur ad divum Constantinum quondam imperatorem rursum ex persona sancti papæ Joannis, de epistola illa scri-
C bens ait: « Unam diximus voluntatem in Domino, non divinitatis ejus et humanitatis, sed solius humanitatis. Cum enim scripsisset Sergius, affirmare quosdam in Christo duas contrarias voluntates, rescripsimus Christum non habuisse duas contrarias voluntates, carnis, inquam, et spiritus, ut nos habemus post transgressionem sed unam tantum, quæ naturaliter humanitati ejus nota essentialis est. » Id ita esse evidenter ex eo demonstratur, quod membrorum et carnis facta est mentio, quæ divinitati quoque ejus non possunt attribui. »

Hæc ante sextam synodum scripsit magnus hic Pater, et exposita vera Honorii sententia, habet etiam ipsius epistolas in sexta synodo expositas
D act. XII et XIII, orthodoxam scriptoris fidem manifestissime attestantes.

« Nam quia Constantinopolitani, ut idem sanctus Maximus ait in epistola ad Marinum, duo quædam adnotaverant in synodicis papæ: unum ad divina spectans, quod papa dixisset, etiam a Filio procedere Spiritum sanctum; alterum de incarnatione, quod scripsisset papa, Dominum ut hominem esse absque originali peccato, Honorius hæc sciens, ut culpam originalem excluderet ab incarnatione divina, Constantinopolim Sergio scribens ad quæsitum ait: « Unde et unam voluntatem fatemur Domini nostri Jesu Christi, quia profecto a divinitate assumpta est nostra natura, non culpa in illa. » Si Monothelitarum hæresi laborasset Hono-

rius, dixisset : Unam fatemur voluntatem, quia solum divinam habebat voluntatem; nunc autem voluntatis singularitatem refert tantummodo ad excludendum ab humanitate peccatum originale; at quæ in hoc hæresis? Et apertius explicando subjungit : « Nam quia sine peccato conceptus est de Spiritu sancto, etiam partus sine peccato est ex sancta Virgine, nullam expertus contagium vitiatæ naturæ. » — « At quomodo apertius exprimi posset Honorii mens, unam in Christo ponentis voluntatem, non juxta perversum Monothelitarum sensum, ut unam divinitatis et humanitatis voluntatem assereret, sed solius humanitatis, ad improbandos eos, qui ponebant in Christo peccatum originale? » Et rursus infra : « Nam alia lex in membris, aut voluntas diversa vel contraria non fuit in Salvatore, qui natus est supra legem humanæ naturæ. » Et hoc sensu mox negat in Christo diversam, hoc est contrariam voluntatem : « Ut non suam, inquit, unusquisque voluntatem, sed potius Domini præferat in omnibus. » Ita juxta hunc sensum negatis in humanitate Christi duabus contrariis voluntatibus, infra disserit de duabus in Christo naturis et voluntatibus, perfecte quæ propria sunt operantibus. Nam quia Dominus noster Jesus Christus Filius et Verbum Dei, unus idemque sit operans divina et humana perfecte, sacræ Litteræ luculenter demonstrant. Vides, unum ab eo poni operantem, et in duabus naturis quæ sunt utrinsque propria perfecte operantem; et hoc ipsum prædicat sextæ synodi definitio. « Quod porro attinet ad enumerationem operationum, non eodem sensu fuit Honorius et Orientales. Sicut enim aliter intellexit duas voluntates Honorius, et aliter Orientales, ita pariter et operationes. Nam Monothelitæ Orientales impossibile aiebant, exsistere in Christo duas simul et conjunctas voluntates sive contrarias, sive similes; Honorius autem fatebatur duas Christi naturas perfecte operantes divina et humana; et unam esse docuit voluntatem qua negabat in Christo contrariam carni ex peccato voluntatem. »

Itaque et unam et duas ponebat orthodoxe voluntates : duas similes, divinam et humanam, videlicet non contrarias; et humanam unam, eo quod sine peccato conceptus sit, et incapax fuerit originalis peccati. Ut igitur diversus fuit Honorii et Orientalium de voluntatibus sensus, et diversus quoque de operationibus fuit. Orientales enim operationem divinitati tribuebant, passiones carni; ut divinitas quidem moveret, caro autem moveretur, esseique nova quædam Christi Dei virilis operatio. Quare et unam statuebant, carne scilicet nullam propriam habentem operationem. Honorius autem in priore ad Sergium epistola, act. XII sextæ synodi, « Verum, inquit, propter opera divinitatis et humanitatis una, an duæ dicendæ vel

A ἁμαρτία ἐν ἐκείνῃ. » Εἴπερ ἦν Ὀνώριος Μονοθελήτης, ἔφησεν ἄν· Ἓν θέλημα ὁμολογοῦμεν, ἐπειδὴ μίαν εἶχε καὶ μόνην τὴν θείαν θέλησιν. Νῦν δὲ τὴν ἑνότητα τοῦ θελήματος ἀναφέρει πρὸς τὸ ἀποκλεῖσαι μόνον τῆς ἀνθρωπότητος τὴν προγονικὴν ἁμαρτίαν· ποία τοῦν ἐνταῦθα αἵρεσις; Καὶ τοῦτο ἐπεξηγούμενος ἐπισυνάπτει· « Ἐπειδὴ γὰρ χωρὶς ἁμαρτίας συνελήφθη ἐκ Πνεύματος ἁγίου, διὰ τοῦτο καὶ χωρὶς ἁμαρτίας ἐστὶν ὁ τόκος ὁ ἐκ τῆς ἁγίας Παρθένου, μὴ μετασχὼν πείρας τῆς ἁμαρτησάσης φύσεως. » Πῶς ἂν φανερώτερον παραστήσαι τις τὸν σκοπὸν τοῦ Ὀνωρίου, ὅτι ἓν θέλημα ἐδογμάτισεν ἐπὶ Χριστοῦ οὐ κατὰ τὴν διεστραμμένην τῶν Μονοθελητῶν ἔννοιαν, ὥστε λέγειν τῆς θείας καὶ ἀνθρωπίνης φύσεως ἓν θέλημα, ἀλλὰ μόνον τῆς ἀνθρωπίνης πρὸς ἀποδοκιμὴν τῶν θεμένων ἐν Χριστῷ τὸ προγονικὸν ἁμάρτημα; Καὶ πάλιν ἐν οἷς κατωτέρω λέγει· « Ἕτερος γὰρ νόμος τοῖς μέλεσιν, ἢ θέλημα διάφορον, ἢ ἐναντίον οὐ γέγονεν ἐν τῷ Σωτῆρι, ἐπειδὴ ὑπὲρ νόμον ἀνθρωπίνης φύσεως ἐτέχθη. » Καὶ τοῦτον τὸν τρόπον εὐθὺς ἀρνεῖται ἐν τῷ Χριστῷ διάφορον θέλημα, τουτέστιν ἐναντίον· « Ἵνα μὴ, φησὶ, τὸ ἴδιον ἕκαστος θέλημα, ἀλλὰ τὸ τοῦ Κυρίου μᾶλλον ἐν πᾶσι προτιμᾷ. » Οὕτω γοῦν κατὰ ταύτην τὴν ἔννοιαν δύο θελήματα ἐναντία ἐν τῇ ἀνθρωπότητι τοῦ Χριστοῦ ἀρνησάμενος, κατωτέρω περὶ τῶν Χριστοῦ δύο φύσεων καὶ θελήσεων τελείως ἐνεργουσῶν τὰ ἰδιά φησιν. Ὅτι γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ εἷς καὶ ὁ αὐτός ἐστιν, ἐνεργῶν τὰ θεῖα καὶ τὰ ἀνθρώπινα τελείως, αἱ θεῖαι Γραφαὶ φανερῶς ἀποδεικνύουσιν. Ὁρᾷς, ὅτι ἕνα θεολογεῖ τὸν ἐνεργοῦντα, καὶ ἐν δύο φύσεσι τελείως τὰ ἑκατέρας ἴδια φύσεως ἐνεργοῦντα; Τοῦτ' αὐτὸ κηρύττει καὶ ὁ τῆς ἕκτης συνόδου ὅρος· « Περὶ δὲ τῆς ἀπαριθμήσεως τῶν ἐνεργειῶν οὐ τὴν αὐτὴν ἔσχεν ἔννοιαν τοῖς ἀνατολικοῖς Ὀνώριος· ὥσπερ γὰρ ἄλλως ἐξέλαβε τὰ δύο θελήματα παρὰ τοὺς ἀνατολικούς, οὕτω καὶ τὰ περὶ ἐνεργείας· οἱ μὲν γὰρ ἀνατολικοὶ Μονοθελῆται ἀδύνατον ἔλεγον εἶναι δύο ἐν τῷ Χριστῷ ἅμα καὶ κατὰ ταυτὸν ὑφεστάναι θελήματα, εἴτε ἐναντία, εἴτε ὅμοια· ὁ δὲ Ὀνώριος τὰς δύο φύσεις τοῦ Χριστοῦ τελείως ἐνεργεῖν τὰ θεῖα

B καὶ τὰ ἀνθρώπινα καθωμολόγει· καὶ τὸ ἓν θέλημα ἐδογμάτισεν, ἀρνούμενος ἐν τῷ Χριστῷ τὸ ἐναντίον θέλημα τῆς σαρκὸς ἐκ τῆς ἁμαρτίας. »

C

D Ὥστε καὶ δύο ἔλεγεν ὀρθοδόξως τὰ θελήματα, καὶ ἓν ὀρθοδόξως· δύο ὅμοια τὸ θεῖον καὶ τὸ ἀνθρώπινον, τουτέστιν οὐχ ὑπεναντία· καὶ ἓν τὸ ἀνθρώπινον, διὰ τὸ χωρὶς ἁμαρτίας συλληφθῆναι καὶ ἄδεκτον εἶναι τῆς προγονικῆς ἁμαρτίας. Ὥσπερ οὖν τὸ περὶ θεληματῶν διαφόρως ἐξειλήφασιν οἱ ἀνατολικοὶ καὶ Ὀνώριος, οὕτω καὶ τὸ περὶ ἐνεργειῶν διαφόρως ἐξειλήφασιν. Οἱ μὲν γὰρ ἀνατολικοὶ τῆς θεότητος ἔλεγον τὴν ἐνέργειαν, τῆς σαρκὸς τὰ πάθη· ὥστε τὴν μὲν θεότητα κινεῖν, τὴν δὲ σάρκα κινεῖσθαι· καὶ εἶναι καινήν τινα τοῦ Χριστοῦ θεανδρικὴν ἐνέργειαν· ὅθεν δὴ καὶ μίαν ἐδογμάτιζον, ὡς μὴ ἐχούσης ἰδίαν ὅλως ἐνέργειαν τῆς σαρκός· ὁ δὲ Ὀνώριος ἐν τῇ προτέρᾳ πρὸς Σέργιον ἐπιστολῇ τῆς ιβ' πράξεως τῆς ἕκτης συνόδου, « Πότερον, φησὶ, διὰ τὰ ἔργα

τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος μία ἢ δύο ἐνέργειαι ὀφείλουσι λέγεσθαι ἢ νοεῖσθαι, ταῦτα πρὸς ἡμᾶς ἀνήκειν οὐκ ὀφείλουσιν, ἀλλὰ καταλιμπάνομεν ταῦτα τοῖς γραμματικοῖς· ἡμεῖς γὰρ οὐ μίαν ἐνέργειαν ἢ δύο τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τὸ αὐτοῦ ἅγιον Πνεῦμα διὰ τῶν ἁγίων Γραφῶν παρελάβομεν, ἀλλὰ πολυτρόπως ἐγνωμεν αὐτὸν ἐνεργοῦντα. Διαιρέσεις γὰρ ἐνεργειῶν εἰσιν. Εἰ δὲ διαιρέσεις ἐνεργειῶν πολλαί εἰσι, καὶ ταύτας πάσας ὁ Θεὸς ἐν πᾶσι τοῖς μέλεσι τοῦ πεπληρωμένου σώματος ἐνεργεῖ, πόσῳ μᾶλλον ἐν τῇ κεφαλῇ ἡμῶν Χριστῷ τῷ Κυρίῳ ταῦτα δύνανται πληρέστατα ἁρμοσθῆναι; Εἰ γὰρ ἐν ἄλλοις, τουτέστιν ἐν τοῖς μέλεσι τοῖς ἰδίοις, τὸ Πνεῦμα τοῦ Χριστοῦ πολυτρόπως ἐνεργεῖ, πόσῳ μᾶλλον δι' ἑαυτοῦ τοῦ μεσίτου Θεοῦ καὶ ἀνθρώπων πληρέστατα καὶ τελειότατα, καὶ πολυτρόπως καὶ ἀφράστως δέον ἡμᾶς ὁμολογεῖν τῇ κοινωνίᾳ ἑκατέρας φύσεως αὐτοῦ ἐνεργεῖν; » Καὶ κατωτέρω· « Ἁπλότητι καὶ ἀληθείᾳ ὁμολογοῦντες τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἕνα καὶ τὸν αὐτὸν ἐνεργοῦντα ἐν τῇ θείᾳ καὶ ἀνθρωπίνῃ φύσει. Ὁρᾷς ὅσον τὸ διάφορον; Οἱ Μονοθελῆται τὴν ἀνθρωπότητα ἐν τῷ Χριστῷ πάσχουσαν μόνον, οὐχὶ δὲ καὶ ἐνεργοῦσαν ἐδογμάτιζον. Ὁνώριος δὲ ἄνω καὶ κάτω ἐν τῷ Χριστῷ ἐνεργοῦσαν ὁμολογεῖ. Οἱ Μονοθελῆται μίαν τῷ εἴδει θεανδρικὴν ἔλεγον ἐνέργειαν. Ὁνώριος δὲ περὶ ἀριθμοῦ ἐνεργειῶν τὴν ἀμφισβήτησιν εἶναι ὑποτοπάσας ἑαυτὰ φησὶ ταῦτα τοῖς γραμματικοῖς, οἵτινες περὶ ἀριθμῶν ἑνικῶν καὶ πληθυντικῶν τεχνολογοῦσιν· εἶτα ἐκ διαμέτρου τοῖς Μονοθελήταις, τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ οὐχ ὅπως ἀνενέργητον, ἀλλὰ πολυτρόπως καὶ πληρέστατά φησιν ἐνηργηκέναι. Εἰ γὰρ τὸ Πνεῦμα τὸ ἅγιον ἐν τοῖς μέλεσι πολυτρόπως ἐνεργεῖ, πόσῳ μᾶλλον Χριστὸν τὴν κεφαλὴν ἡμῶν ὁμολογητέον τῇ κοινωνίᾳ ἑκατέρας φύσεως πληρέστατα καὶ τελειότατα ἐνεργεῖν; »

Ἀδελφὰ τούτοις καὶ ἐν τῷ τέλει τῆς πρωτέρας ἐπιστολῆς, καὶ ἐν ὅλῃ τῇ δευτέρᾳ ἧτις ἐμφέρεται τῇ ιγ' πράξει, παλιλλογεῖ Ὁνώριος, μὴ δεῖν λέγειν μίαν ἢ δύο ἐνεργείας βουλόμενος, ἀλλ' ἕνα Χριστὸν ἐν ἑκατέραις ταῖς φύσεσιν ἐνεργούσαις καὶ πρακτικαῖς. Ἐξ ὧν προδηλότατα ἐπιφέρεται τὴν μίαν καὶ τὰς δύο ἐνεργείας ὁμωνύμως ἐξειλῆφθαι, καὶ ἄλλως μὲν παρὰ τῶν ἀνατολικῶν δυσσεβῶς, ἄλλως δὲ παρὰ Ὁνωρίου εὐσεβῶς, καὶ ταύτην τὴν ὁμωνυμίαν αἰτίαν γενέσθαι τοῖς ἀνατολικοῖς τοῦ συγκαταριθμῆσαι Ὁνώριον τοῖς αἱρετικοῖς Μονοθελήταις, ἄνδρα πολλῶν ἄξιον ἐπαίνων, καὶ τῆς μονοθελήτου βλασφημίας ἀλλοτριώτατον. Οἱ μὲν γὰρ ἓν ὅλως θέλημα ἐπὶ Χριστοῦ τὸ θεῖκὸν, ὁ δὲ ἓν θέλημα τῆς ἀνθρώπότητος ἔλεγε τοῦ Χριστοῦ· ἐκεῖνοι ἀνενέργητον τὴν τοῦ Χριστοῦ ἔλεγον ἀνθρωπότητα, ὁ δὲ ποικιλοτρόπως ἐνεργητικὴν ἐδογμάτιζεν· ἐκεῖνοι ἓν θέλημα καὶ μίαν ἐνέργειαν, ὁ δὲ ἕνα τὸν ἐνεργοῦντα τὰ ἴδια τῆς θεότητος, καὶ τὰ ἴδια τῆς ἀνθρωπότητος. Ἐκεῖνοι δύο θελήματα καὶ δύο ἐνεργείας ἀκοῦσαι οὐδόλως ἠνείχοντο· ὁ δὲ οὔτε διὰ τοὺς Νεστοριανοὺς ἐδοκίμαζε μίαν, οὔτε δύο, διὰ τοὺς Εὐτυχιανοὺς, ἀλλ' ἕνα τὸν ἐνεργοῦντα τελείως τὰ τῶν φύσεων ἴδια· ἤντινα ὁμολογίαν ὀρθοδοξίας πλήρη, εἴπερ οἱ τότε ἀνατολι-

intelligendæ sint operationes, ad nos ista pertinere non debent, sed grammaticis ea relinquimus. Nos enim non unam operationem, vel duas Dominum nostrum Jesum Christum et sanctum ejus Spiritum per sanctas Scripturas accepimus, sed multiformiter illum novimus operatum. Divisiones enim operationum sunt. Quod si divisiones operationum multæ sunt, et has omnes Deus in omnibus membris pleni corporis operatur, quanto magis capiti nostro Christo Domino hæc possunt plenissime adaptari? Si enim in aliis, id est in suis membris, Christi Spiritus multiformiter operatur, quanto magis per semetipsum mediatorem Dei et hominum plenissime ac perfectissime, multiformiter et ineffabiliter confiteri nos oportet communione utriusque naturæ suæ operatum? » Et infra: « Simpliciter ac veraciter confitentes Dominum nostrum Jesum Christum unum et eumdem operantem in divina et humana natura. Vides quantum differat? Monothelitæ asseverabant Christi humanitatem pati, solum non agere; Honorius passim fatetur operantem humanitatem. Monothelitæ unam ponebant specie operationem, quam theandricam vocabant; Honorius, controversiam esse suspicatus de numero operationum, relinquenda hæc ait esse grammaticis, qui de singulari et plurali numero disputant, et ex diametro contra Monothelitas, Christi humanitatem non modo operatione non vacuam, sed multiformiter et plenissime operantem ait. Si enim in membris operatur multiformiter Spiritus sanctus, quanto magis fatendum est Christum caput nostrum communione utriusque naturæ plenissime et perfectissime operatum. »

His consimilia et in fine prioris epistolæ, et per totam secundam epistolam, quæ habetur act. XIII, Honorius repetit; non esse dicendum asserens unam aut duas operationes, sed unum Christum in utraque natura operativa et activa; ex quibus manifestissime infertur, unam et duas operationes fuisse æquivoce sumptas, aliter quidem et impie ab Orientalibus, aliter vero et pie ab Honorio, et hanc æquivocationem exstitisse Orientalibus causam annumerandi Honorium inter hæreticos Monothelitas, cum is fuerit multa dignis laude et a blasphemia Monothelitarum alienissimus. Illi enim una prorsus in Christo voluntatem, nempe divinam, hic vero unam humanitatis Christi voluntatem aiebat; illi humanitatem Christi operatione vacuam, hic multiformiter operantem asserebat. Illi unam voluntatem et operationem unam; hic unum operantem propria divinitatis et propria humanitatis. Illi duas voluntates et duas operationes audire nullo modo patiebantur; hic vero nec unam propter Eutychianos, nec duas approbabat propter Nestorianos, sed unum operantem perfecte quæ sunt naturarum propria. Quam orthodoxiæ plenam confessionem, si tunc tempo-

Orientales non rejecissent tanquam hæreticam, recentiores eorum theologi Constantinopolitani nunquam fuissent commenti monstrosum dogma ex verbis sextæ synodi bene ab ea prolatis. Cum enim sexta synodus pie dixerit duas esse naturales voluntates, et duas naturales operationes in uno Christo, recentiores illi opinati sunt, operationes a subjectis earum pari modo distingui : ut quemadmodum in humanis aliud natura, aliud est operatio naturæ, ita etiam in divinis aliud sit divina essentia, aliud operatio divina; male acceptis sextæ synodi verbis, quæ recte statuerat duas naturales operationes. Illi tamen non ita sentientes vocant blasphemos, ut videre est in eorum synodico, quod legunt prima Dominica Quadragesimæ. Falso igitur dicis, Nile, Honorium in fide errasse. Si vero quæras, Cur igitur a synodo damnatus est? damnatum dicimus, sed a synodo acephala, solis videlicet Orientalibus, papæ legatis nihil ad hòc conferentibus. Quod evidenter probatur ex epistola Agathonis papæ act. IV sextæ synodi. Cum enim suspicaretur papa, quod postea evenit, sciretque quod ait sanctus Maximus, ut dictum est, in suo Dialogo, et fama vulgatum erat, Constantinopolitanos numerare Honorium inter Monothelitas, duo dicit, quæ ad hoc faciunt in epistola ad imperatores : « Propterea licentiam, sive auctoritatem legatis dedimus apud serenissimum vestrum imperium, ut simpliciter satisfaciant in quantum eis duntaxat injunctum est, ut nihil profecto præsumant addere, minuere, aut mutare. » Et infra : « Hæc spiritalis mater vestri serenissimi imperii, apostolica Christi Ecclesia, quæ per Dei omnipotentis gratiam a tramite apostolicæ traditionis nunquam errasse probabitur, nec hæreticis novitatibus depravata succubuit; sed ut ab exordio fidei Christianæ percepit ab auctoribus suis apostolorum Christi principibus illibata usque ad finem permanet, secundum ipsius Domini Salvatoris divinam promissionem; quam suorum discipulorum principi in Evangeliis fecit inquiens : *Petre, Petre, ecce Satan expetivit ut cribraret vos, sicut qui triticum cribrat : ego autem rogavi pro te, ut non deficiat fides tua : et tu aliquando conversus confirma fratres tuos*[6]. » (Hoc ipsum et synodica episcoporum suggestio post epistolam papæ disertis verbis continet.) Et infra : « Unde et apostolicæ memoriæ prædecessores mediocritatis meæ, Dominicis instructi doctrinis ex quo præsules Ecclesiæ Constantinopolitanæ novitatem hæreticam introducere conati sunt in immaculatam Christi Ecclesiam nunquam eos hortari neglexerunt, et hortando commovere, ut a pravi dogmatis hæretici errore saltem tacendo abstinerent. »

Καὶ μὴ ὡς αἱρετικὴν ἀπεβάλοντο, οὐκ ἂν οἱ μεταγενέστεροι τῶν ἐν Βυζαντίῳ θεολογούντων ἐκ τῶν καλῶς τῇ ἕκτῃ συνόδῳ ῥηθέντων δόγμα ἀλλόκοτον ἐφαντάσθησαν. Εἰποῦσης γὰρ εὐσεβῶς τῆς ἕκτης συνόδου δύο φυσικὰ θελήματα καὶ δύο φυσικὰς ἐνεργείας ἐν τῷ ἑνὶ Χριστῷ, ἐκεῖνοι ἐπίσης ἐνόμισαν τὰς ἐνεργείας τῶν ὑποκειμένων αὐταῖς διακρίνεσθαι, καὶ ὥσπερ ἐπὶ τῶν ἀνθρωπίνων ἄλλο ἡ φύσις, ἄλλο ἡ ἐνέργεια τῆς φύσεως, οὕτω καὶ ἐπὶ τῶν θείων ἄλλο εἶναι τὴν οὐσίαν, καὶ ἄλλο τὴν θείαν ἐνέργειαν· τὰς ἀφορμὰς κακῶς ἐκλαβόντες παρὰ τῆς ἕκτης συνόδου, δογματιζάσης ὀρθῶς δύο φυσικὰς ἐνεργείας· ὅθεν καὶ τοὺς μὴ οὕτω φρονοῦντας καλοῦσι βλασφήμους, ὡς ἔστιν ἰδεῖν ἐν τῷ ἀναγινωσκομένῳ αὐτῶν συνοδικῷ τῇ Κυριακῇ τῆς ὀρθοδοξίας. Οὕτω μὲν οὖν ψευδὴς ἀπελήλεγκταί σου, Νεῖλε, ἡ ῥῆσις, ὅτι Ὀνώριος τῶν ὀρθῶν ἐξέβη δογμάτων. Εἰ δὲ ζητεῖς, Πῶς οὖν παρὰ τῆς συνόδου ἀποκεκήρυκται; ἀποκεκηρύχθαι φαμέν, ἀλλὰ παρ' ἀκεφάλου τῆς συνόδου, μόνων δηλαδὴ τῶν ἀνατολικῶν, μηδὲν πρὸς τοῦτο συμβαλλομένων τῷ πάπα τῶν πρέσβεων· καὶ τούτου ἐναργὴς ἀπόδειξις ἡ ἐπιστολὴ τοῦ πάπα Ἀγάθωνος κατὰ τὴν τετάρτην τῆς ἕκτης συνόδου πρᾶξιν. Ὑφορώμενος γὰρ τὸ μέλλον ὁ πάπας, καὶ εἰδὼς οἷα περιηγγελλεν ἡ φήμη, ὅτι Ὀνώριον οἱ Κωνσταντινουπολῖται ἐν τοῖς Μονοθελήταις ἠρίθμουν, ὡς εἰπόντες ἔφθημεν ἐκ τῆς διαλέξεως τοῦ ὁσίου Μαξίμου· δύο τινὰ λέγει πρὸς τοῦτο ἁρμόδια ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ· « Διόπερ ἄδειαν, ἤγουν αὐθεντίαν, δεδώκαμεν τοῖς τοποτηρηταῖς πρὸς τὸ ὑμέτερον γαληνεῖον κράτος τοῦ ἁπλῶς ἀπολογήσασθαι εἰς ὅσον αὐτοῖς μόνον ἐπετέθη, ἵνα μηδὲν δηλονότι προπετεύωνται προσθεῖναι, ἢ ὑφελεῖν, ἢ ἀλλάξαι· » καὶ τὰ ἑξῆς. Καὶ κατωτέρω· « Αὕτη ἡ πνευματικὴ μήτηρ τοῦ ὑμετέρου γαληνείου κράτους, ἡ ἀποστολικὴ τοῦ Χριστοῦ Ἐκκλησία, ἥτις διὰ τῆς χάριτος τοῦ παντοδυνάμου Θεοῦ ἀπὸ τῆς ὁδοῦ τῆς ἀποστολικῆς παραδόσεως οὐδέποτε πλανηθῆναι δείκνυται, οὔτε τοῖς τῶν αἱρετικῶν καινισμοῖς στρεβλωθεῖσα ὑπέπεσεν· τοῦτ' αὐτὸ περιέχει καὶ ἡ συνοδικὴ ἀναφορά, ἡ μετὰ τὴν ἐπιστολὴν τοῦ πάπα· ἀλλὰ καθὼς ἐκ προοιμίων τῆς τῶν Χριστιανῶν πίστεως παρέλαβεν ἀπὸ τῶν ἰδίων αὐθεντῶν τῶν κορυφαίων τοῦ Χριστοῦ ἀποστόλων, ἀπαράτρωτος μέχρι τέλους μένει κατὰ τὴν τοῦ Κυρίου αὐτοῦ τοῦ Σωτῆρος θείαν ἐπαγγελίαν, ἣν τῷ ἐξάρχῳ τῶν αὐτοῦ μαθητῶν ἐν τοῖς Εὐαγγελίοις ὡμολόγησε φήσας· *Πέτρε, Πέτρε, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο τοῦ σινιάσαι ὑμᾶς, ὡς ὁ σινιάζων τὸν σῖτον· ἐγὼ δὲ περὶ σοῦ ἐδεήθην, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου. Καὶ σύ ποτε ἐπιστραφεὶς στήριζε τοὺς ἀδελφούς σου.* » Καὶ κατωτέρω· « Ὅθεν καὶ οἱ τῆς ἀποστολικῆς μνήμης, οἱ προηγησάμενοι τὴν ἐμὴν μετριότητα, ταῖς δεσποτικαῖς διδασκαλίαις κατηνυσμένοι, ἐξότου καινοτομίαν αἱρετικὴν εἰς τὴν τοῦ Χριστοῦ ἅμωμον Ἐκκλησίαν οἱ πρόεδροι τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας εἰσαγαγεῖν ἐπεχείρουν, οὐδέποτε ἠμέλησαν τούτους προτρέψασθαι, καὶ παρακαλοῦντες ὑπομνῆσαι, ἵνα ἀπὸ τοῦ φαύλου δόγματος τῆς αἱρετικῆς πλάνης κἂν σιωπῶντες ἀποστῶνται. »

[6] Luc. XXII, 31.

Ἐν τούτοις ὁ μακάριος πάπας Ἀγάθων λέγει δεδωκέναι τοῖς τοποτηρηταῖς ἄδειαν τοῦ ἁπλῶς ἀπολογήσασθαι, καὶ μηδὲν ἕτερον τολμῆσαι· λέγει μηδένα Ῥώμης ἀρχιερέα περὶ τὴν πίστιν ἐσφάλθαι. Εἶτα καὶ διὰ τοῦ προτρέψασθαι κἂν σιωπᾷν περιγράφῃ τὸν Ὀνώριον. Ἡ τοίνυν ὅτε οἱ ἀνατολικοὶ ἀπεκήρυσσον τὸν Ὀνώριον, συμψήφους εἶχον καὶ τοὺς τοποτηρητὰς τοῦ πάπα, ἢ οὐκ εἶχον, ἔχομεν ὃ ἐζητοῦμεν· ὅπερ εἶχον, ἀθέσμως εἶχον, τοιαύτην αὐτοῖς ἄδειαν μὴ δεδωκότος τοῦ πάπα· πῶς γὰρ ἂν ἔδωκε τοιαύτην ἄδειαν ὁ πάπας τοῦ ἀναθεματίσαι Ὀνώριον, ὅστις καθάπαξ διαβεβαιοῦται, μηδένα Ῥώμης ἀρχιερέα περὶ τὴν πίστιν ἐσφάλθαι; καὶ περιγράφων ἐπαινεῖ τὸν Ὀνώριον, ὃς δέκατος πρὸ Ἀγάθωνος ἐγεγόνει πάπας;

Οὕτω μὲν οὖν ἐναργῶς ἔχομεν, ὅτι μόνοι τὸν Ὀνώριον οἱ ἀνατολικοὶ ἀπεκήρυξαν.

Ὥσπερ δὲ ἡ τετάρτη σύνοδος, ἐκθεμένη τὸν κανόνα περὶ τῶν πρεσβείων Κωνσταντινουπόλεως χωρὶς τοῦ πάπα, οὐδὲν συνεπέρανεν· οὕτω καὶ ἡ ἕκτη σύνοδος, χωρὶς τοῦ πάπα τὸν Ὀνώριον διὰ τὰς κακῶς ἐκληφθείσας ὁμωνυμίας ἀποκηρύξασα, οὐδὲν συνεπέρανε. Οὔτε γοῦν Ὀνώριος αἱρετικὸς, οὔτε κυρίως ὑπὸ τῆς συνόδου ἀπεκηρύχθη· ἀλλὰ καὶ ὀρθοδοξότατός ἐστι, καὶ οὐχ ἅπτεται αὐτοῦ τὸ ἀνάθεμα· βοῶντος τοῦ μεγάλου πάπα Λέοντος ἐν ταῖς μετὰ τὴν τετάρτην σύνοδον ἐπιστολαῖς, μάλιστα δὲ ἐν τῇ πρὸς Πουλχερίαν τὴν Αὐγούσαν· « Τὰς ξυμφωνίας τῶν ἐπισκόπων, αἳ παρὰ κανόνας γίνονται, ἀκυροῦμεν, καὶ τῇ αὐθεντίᾳ τοῦ μακαρίου ἀποστόλου Πέτρου καθόλου τοῦτο ὁριζόμενοι ἀθετοῦμεν. »

ΝΕΙΛΟΣ.

« Εἰ δὲ Ὀνώριος Ῥώμης ἐπίσκοπος καὶ αἱρετικὸς, δυνατὸν ἄρα τὸν πάπαν τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων· οὐκ ἄρα ἐκλιπόντος αὐτοῦ τὴν πίστιν, ὁ τοῦ Κυρίου διαπέπτωκε λόγος, ὃν περὶ τῆς Ἐκκλησίας εἰρήκει, πύλας ᾅδου μὴ δυνηθῆναι ταύτης περιγενέσθαι· ἔστι γὰρ ἐν τοῖς λοιποῖς ἐπισκόποις καὶ μάλα τὴν εὐσέβειαν σώζεσθαι. Φανερὸν δὲ ἐκ τούτων μηδὲ τῇ τῆς Ῥώμης Ἐκκλησίᾳ προσήκειν τὸ ἐπὶ ταύτῃ τῇ πέτρᾳ τὴν Ἐκκλησίαν ᾠκοδομῆσθαι· τοῦτο γὰρ καὶ φορτικὸν, καὶ οὐ πόρρω τῆς Ἰουδαϊκῆς ταπεινότητος, περιγράφειν τῇ Ῥώμῃ τὴν Ἐκκλησίαν. Ἀλλ' ᾠκοδόμησε τὴν Ἐκκλησίαν ὁ Χριστὸς ἐπὶ τῇ θεολογίᾳ τοῦ Πέτρου, καὶ ἐπὶ πᾶσιν οἱ ταύτης τῆς ὁμολογίας φύλακες ἔσονται. »

ΑΝΤΙΡΡΗΣΙΣ.

Ὅσα ἐπιφέρεις, ψευδεῖ ἐπιστηρίξας θεμελίῳ, φροῦδα τυγχάνει. Εἰ γὰρ Ὀνώριος ὀρθοδοξίας λαμπτὴρ, καὶ ἀδίκως ἐπὶ ὁμωνυμίαις κατεκρίθη παρὰ τῶν ἀνατολικῶν, βουληθέντων ἄλλως ἐκδέξασθαι τὰς Ὀνωρίου λέξεις, ἢ παρ' ἐκείνου ἐγράφησαν· πῶς ἔστε τὸν πάπαν ἢ πάπαν τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων; Εἰ γὰρ ἐκπέσοι, διαπέπτωκεν ὁ τοῦ Κυρίου λόγος καὶ ἡ ἐπαγγελία, ὥς φησιν ὁ μακάριος Ἀγάθων, καὶ ὁ βασιλεὺς Πωγωνάτος, ὧν σοι τὰ ῥητὰ ἤδη προενηνόχαμεν. Τὸ δὲ ἐν τοῖς λοιποῖς ἐπισκόποις

A In his licentiam se dedisse ait beatus papa Agatho suis legatis, ut simpliciter de fide responderent, et nihil aliud auderent. Dicit, nullum Romanum pontificem in fide errasse. Deinde cum Romanos pontifices hortatos ait, ut Constantinopolitani saltem tacerent, circumscribit Honorium. Aut ergo quando Orientales damnabant Honorium, consentientes habebant etiam legatos papæ, aut non habebant. Si non habebant, certum est quod dicimus; si vero habebant, illicite habebant, nulla tali facultate præditos a pontifice. Quomodo enim pontifex talem dedisset facultatem anathematizandi Honorium, qui expresse asserit nullum Romanum pontificem errasse in fide? et describendo Honorium laudat, qui decimus ante Agathonem fuerat papa?

B Ita plane constat, Honorium a solis damnatum Orientalibus.

Sicut autem quarta synodus, quia suum canonem de honore Constantinopolitani episcopi absque papa condiderat, nihil peregit, ita et sexta synodus, quando propter illas æquivocationes absque papa damnavit Honorium, nihil peregit. Quare nec hæreticus Honorius, nec est proprie a synodo damnatus; sed et ipse orthodoxissimus, et anathema illum non attingit. Clamat enim in suis epistolis, tertia Chalcedonensis synodi parte, præsertim vero ad Pulcheriam Augustam Leo Magnus papa: « Consensiones episcoporum sanctorum regulis repugnantes in irritum mittimus et per auC ctoritatem beati Petri apostoli generali prorsus definitione cassamus. »

NILUS (Cap. VI).

« Quod si Honorius Romanus est episcopus et hæreticus, potest ergo papa in fide errare. Non igitur fide papæ deficiente corruit sermo Domini, quem de Ecclesia protulit; portas inferi adversus eam non prævalituras. Potest enim plane in cæteris episcopis esse fides salva. Ex his etiam liquet, Romanæ Ecclesiæ nequaquam convenire, ut super illam petram ædificata sit Ecclesia. Hoc enim grave est, et non multum distat a tenuitate Judaica, Ecclesiam Romanæ urbe circumscribere. Sed EcD clesiam ædificavit Christus super confessionem Petri, et universis qui confessionis ejus custodes erunt. »

CONFUTATIO.

Quæcunque infers vana sunt ex falso posito fundamento. Nam si Honorius orthodoxiæ radios emittit et nullo suo merito damnatus est ob æquivocationes ab Orientalibus, qui voces ejus in alium excepere sensum quam ab eo scriptæ erant, nullo modo probasti, papam, ut papam, errare posse in fide; si enim erraverit, sermo Domini dilapsus est, et defecit promissio: quod negat sanctus papa Agatho, et imperator Constantinus Pogonatus, ut supra exposuimus. In cæteris autem episcopis con-

servari posse rectam fidem, sicut confessionem dicis consonam Petri cathedræ, esto; si vero ut hæreditatem a Petro deductam clamat, ut supra diximus, quarta synodus, papam, conservata aurea fidei catena, quæ a Salvatore deducitur, constitutum esse omnibus vocis beati Petri interpretem; quam et se inquiunt, usos auctore et duce papa, tanquam veritatis hæreditatem ostendisse et docuisse Ecclesiæ filios. Et actione II ad finem clamarunt episcopi: « Petrus per Leonem hæc locutus est, cum recitata illis fuisset epistola papæ. Et sexta synodus in Prosphonetico ad Constantinum imperatorem, Charta, inquit, videbatur et atramentum, et per Agathonem loquebatur Petrus. » Si ergo Petrus loquitur per papam, theologia Petri in cæteris episcopis confessio, in successore Petri est hæreditas fidei, et quia juxta sanctos Patres promissum a Christo factum est Petro, ut ostendimus, solus Petri successor habet promissionis vi inerrantem fidem; cæteri episcopi, licet habeant confessionem, non proinde habent inerrantis fidei promissionem.

Quare ex vera confessione episcoporum sumi non potest certitudo, firmitas, et infallibilis fidei rectitudo, nisi ex eo uno, in quo Petrum loqui testantur synodi. Ita Cyrillus, veram habens docensque confessionem, non est ausus abstinere a communione Nestorii nisi prius Cœlestino papæ scripsisset: « Nec prius a communione Nestorii sejungimur, quam hæc tuæ pietati nota faciamus. » Unde hoc, nisi quia Cyrillus plus fidebat infallibilitati fidei sedis Petri, quam demonstrationibus quibus Nestorium arctabat? »

Ita sancta synodus quarta, cum definitionem fidei scripsisset, quia minus integra videbatur, ex verbis epistolæ Leonis papæ, quam orthodoxiæ columnam appellavit, veram rectæ fidei contexuit definitionem. Et sextæ synodi Patres fatentur se ex lectione epistolæ papæ hæresim confutasse, et ubi fidem firmarunt, his ad Agathonem papam utuntur vocibus: « Orthodoxæ vero fidei splendorem, quam vobiscum dilucide prædicavimus, ut iterum per honorabilia vestra rescripta obsignetis, paternam vestram sanctitatem rogamus. » Cur enim confirmari petunt quæ probavit œcumenica synodus? Neque enim rogant ut papam assentientem habeant, sed obsignantem et ratam volentem fidei expositionem. Quemadmodum et a Xysto papa fuisse confirmatam tertiam synodum asserit Cyrillus epistola ad Acacium Melitenensem.

Hinc argumentorum tuorum laquei evanescunt. Si enim papa erravit in fide, falsa est Christi promissio, incertumque cum de fide aliquid controversum est, quæ cujus episcopi vera sit et orthodoxa

A τὴν εὐσέβειαν σώζεσθαι, εἰ μὲν λέγεις ὡς ὁμολογίαν τῆς πίστεως σύμφωνον τῷ Πέτρου θρόνῳ, ἔστω· εἰ δὲ ὡς κληρονομίαν παρὰ τοῦ Πέτρου καταγομένην, βοᾷ, ὡς ἄνω προεῖρηται, ἡ τετάρτη σύνοδος, ὅτι ὁ πάπας τὴν χρυσῆν τῆς πίστεως σειρὰν παρὰ τοῦ Σωτῆρος καταγομένην φυλάξας, πᾶσι γέγονεν ἑρμηνεὺς τῆς φωνῆς τοῦ μακαρίου Πέτρου· ἣν φασι φωνὴν καὶ αὐτοὶ, ἀρχηγῷ τῷ πάπᾳ χρησάμενοι, ὡς κλῆρον τῆς ἀληθείας ἔδειξαν, καὶ ἐδίδαξαν τὰ τέκνα τῆς Ἐκκλησίας. Καὶ ἐν τῇ δευτέρᾳ πράξει πρὸς τῷ τέλει ἐβόησαν οἱ ἐπίσκοποι μετὰ τὴν ἀνάγνωσιν τῆς ἐπιστολῆς τοῦ πάπα Λέοντος· « Πέτρος διὰ Λέοντος ταῦτα ἐξεφώνησεν. » Καὶ ἡ ἕκτη σύνοδος ἐν τῷ προσφωνητικῷ πρὸς τὸν βασιλέα Κωνσταντῖνον, « Χάρτης, φησὶ, καὶ μέλαν ἐφαίνετο, καὶ δι' Ἀγάθωνος ὁ Πέτρος ἐφθέγγετο. » Εἰ γοῦν διὰ τοῦ πάπα φθέγγεται ὁ Πέτρος, ἡ θεολογία τοῦ Πέτρου ἐν τοῖς λοιποῖς ἐπισκόποις ὁμολογία ἐστὶν, ἐν τῷ διαδόχῳ τοῦ Πέτρου κληρονομία τῆς πίστεως· τὴν δὲ ἐπαγγελίαν ὁ Χριστὸς ἐποιήσατο κατὰ τοὺς ἁγίους Πατέρας, ὡς δέδεικται, τῷ Πέτρῳ· μόνος ἄρα ὁ Πέτρου διάδοχος ἔχει τὸ ἀπλανὲς τῆς πίστεως ἐκ τῆς ἐπαγγελίας· οἱ λοιποὶ δὲ ἐπίσκοποι, κἂν τύχωσιν ἔχοντες τὴν ἀληθῆ ὁμολογίαν, ὅμως αὐτόθεν οὐκ ἔχουσι τοῦ ἀπλανῶς τὴν ἐπαγγελίαν.

Ὅθεν ἐκ τῆς ἀληθοῦς τῶν ἐπισκόπων ὁμολογίας οὐκ ἔστι λαβεῖν τὸ βέβαιον, καὶ ἀναμφίβολον, καὶ ἀναμάρτητον τῆς πίστεως, εἰ μὴ παρ' ἐκείνου μόνου, ἐν ᾧ φασιν αἱ σύνοδοι φθέγγεσθαι τὸν Πέτρον. Οὕτω Κύριλλος τὴν ἀληθῆ ἔχων καὶ διδάσκων ὁμολογίαν, οὐκ ἐτόλμησεν ἀπόρρηξι ἑαυτὸν τῆς Νεστορίου κοινωνίας, εἰ μὴ πρότερον Κελεστίνῳ τῷ πάπᾳ γράψας, « Οὐ πρότερον, φησὶ, τῆς πρὸς Νεστόριον κοινωνίας ἐκβάλλομεν ἑαυτοὺς, πρὶν ἂν ταῦτα τῇ σῇ θεοσεβείᾳ ἀνακοινωσώμεθα. » Πόθεν τοῦτο, εἰ μὴ ὅτι μᾶλλον ἐθάρρει Κύριλλος τῷ ἀπλανεῖ τῆς πίστεως τοῦ Ῥώμης θρόνου, ἢ ταῖς ἀποδείξεσιν, αἷς τὸν Νεστόριον ἐστενοχώρει;

Οὕτως ἡ ἁγία τετάρτη σύνοδος ὅρον ἐκθεμένη τῆς πίστεως, ἐπειδὴ ἀτελῶς ἔχειν ἐδόκει, ἐκ τῶν φωνῶν τῆς ἐπιστολῆς τοῦ πάπα Λέοντος, ἣν ὀρθοδοξίας κοινὴν στήλην ἡ σύνοδος ἐπωνόμασε, τὸν ἀληθῆ τῆς ὀρθῆς πίστεως ἐξύφανεν ὅρον. Καὶ οἱ τῆς ἕκτης συνόδου ἐκ τῆς ἀναγνώσεως τῶν γραμμάτων τοῦ πάπα ὁμολογοῦσι τὴν αἵρεσιν ἐκδιῶξαι, καὶ τὴν πίστιν στηρίξαντες πρὸς Ἀγάθωνά φασι τὸν πάπαν· « Τὴν δὲ τῆς ὀρθοδόξου πίστεως φωταύγειαν, ἣν τηλαυγῶς σὺν ὑμῖν ἐκηρύξαμεν, αὖθις διὰ τιμίων ὑμῶν ἀντιγράφων ἐπισφραγίσαι τὴν ὑμῶν ἐκλιπαροῦμεν πατρικὴν ἁγιότητα. » Διατί γὰρ τὰ δόξαντα τῇ οἰκουμενικῇ συνόδῳ ζητοῦσι βεβαιωθῆναι; Οὐ γὰρ σύμψηφον σφίσιν αὐτοῖς γενέσθαι τὸν πάπαν δέονται, ἀλλ' ἐπισφραγιστὴν καὶ κῦρος παρέχοντα τῇ ὀρθοδοξίᾳ· ὡς καὶ περὶ Ξύστου τοῦ πάπα φησὶ Κύριλλος ἐν τῇ πρὸς Ἀχάκιον τὸν Μελιτηνῆς ἐπιστολῇ, ὅτι ἐβεβαίωσε τὰ τῆς τρίτης συνόδου.

Ἐκ τούτων αἱ ἄρκυς τῶν σῶν λόγων διαλύονται. Εἰ γὰρ ἐσφάλη ὁ πάπας περὶ τὴν πίστιν, ψευδὴς ἄρα ἡ ἐπαγγελία τοῦ Χριστοῦ· καὶ ἄδηλον, ζητήματος ὄντος περὶ τὴν πίστιν, τίς τίνος ἐπισκόπου ἀληθὴς

καὶ ὀρθόδοξός ἐστιν ἡ ὁμολογία. Δῆλον δὲ καὶ τὴν ἐπαγγελίαν τοῦ Χριστοῦ τῇ Ῥώμης Ἐκκλησίᾳ προσήκειν, διὰ τὸ κληρονόμον εἶναι τῆς Πέτρου πίστεως τὸν ἐπίσκοπον Ῥώμης· καὶ τοῦτο οὐκ Ἰουδαϊκῆς εἶναι ταπεινότητος, ἀλλὰ θείας τοῦ Χριστοῦ νομοθεσίας εὐεργέτημα· ὥστε τὴν οἰκουμενικὴν Ἐκκλησίαν, κινουμένου ζητήματος περὶ πίστεως, ἔχειν διὰ τοῦ πάπα τὸν Πέτρον φθεγγόμενον, ἐν ᾧ ἀδύνατον πλανηθῆναι· ἄλλως γὰρ ἂν ἕκαστος ἀντεποιεῖτο τῆς ἀπλανείας, ἀπονέμων ἑαυτῷ τὴν Πέτρου θεολογίαν· καὶ ἦν ἀταξία καὶ ἀκοσμία ὁ πάσμος τῆς Ἐκκλησίας· ὁποῖόν τι συνέβη Κυρίλλου πρὸς Νεστόριον, τοῦ Ἀλεξανδρείας πρὸς τὸν Κωνσταντινουπόλεως περὶ πίστεως διαμαχομένου· εἰ μὴ γὰρ ἀμφότεροι πρὸς τὸν Ῥώμης Κελεστῖνον ἀνέδραμον, ἦν ἂν ταραχῆς ἅπαντα καὶ συγχύσεως πλήρη. Καὶ ὅτε Εὐτυχὴς πρὸς τὸν ἐν ἁγίοις Φλαβιανὸν Κωνσταντινουπόλεως ἠγωνίζετο περὶ τῆς ὀρθοδοξίας.

confessio. Nunc etiam liquet, Christi promissum convenire Romanæ Ecclesiæ, quoniam Romanus episcopus est hæres fidei Petri; et hoc non esse tenuitatis Judaicæ, sed divinæ Christi institutionis beneficium: ut universalis Ecclesia, quoties de fide controversia oritur, habeat in papa loquentem Petrum, quem errare impossibile sit. Alioquin quisque se non errantem assereret, et Petri sibi theologiam adaptaret; essetque confusio et inordinatio ecclesiasticus ordo. Quemadmodum Cyrillus Alexandrinus et Nestorius Constantinopolitanus cum de fide altercarentur, ad Cœlestinum Romanum episcopum confugerunt. Alioquin plena omnia turbarum et confusionis essent. Fecit hoc idem et Eutyches appellando sedem apostolicam quando illi cum sancto Flaviano contentio de fide erat.

## ΝΕΙΛΟΣ.

« Εἰ δὲ ὁ μακάριος Ἀγάθων τὴν ἑαυτοῦ λέγει Ἐκκλησίαν οὐδέποτε ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας παρασυρῆναι, θαυμαστὸν οὐδέν· ὀξιώσομεν γὰρ μὴ τὰ πράγματα ἕλκειν ἐπὶ τοὺς λόγους, ἀλλὰ τοὺς λόγους ἐφαρμόζειν τοῖς πράγμασιν. Ἐνθυμεῖσθαι χρὴ καὶ τρόπους οἰκονομίας, οἷς χρῶνται οἱ ἅγιοι, ὅταν περί τινος τῶν ἀναγκαίων ἡ ζήτησις ᾖ· καὶ ὅτι σπανίως ἡ Ἐκκλησία Ῥώμης ἐκπίπτει τῆς ἀληθείας κατὰ τὴν πίστιν. Ἢ πῶς ἑρμηνεύσεις τὸ, *Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν ἀγαθὸν, οὐκ ἔστιν ἕως ἑνός*; Ἄλλως τε Ἀγάθων τὸ παρῳχηκὸς εἶρηκε, τὸ δὲ μέλλον οὐκ ἀπέκλεισε, καὶ τὸ μέγιστον πρὸ τῆς ς' συνόδου ταῦτα εἶρηκεν. Θαυμάζειν δὲ οὐ χρή, σύνοδος πολλῶν ἁγίων συνῆκεν, ὅπερ ὁ εἷς ἠγνόησεν. Ὅτι δὲ ταῦτα ἀληθῆ, ἀνάγνωθι τὴν ἐπιστολὴν τοῦ πάπα Λέοντος τοῦ μετὰ τὸν Ἀγάθωνα πρὸς τὸν βασιλέα Ῥωμαίων· « Ὡσαύτως ἀναθεματίζομεν καὶ Ὀνώριον, ὅστις ταύτην τὴν ἀποστολικὴν Ἐκκλησίαν οὐκ ἐπεχείρησε διδασκαλίᾳ ἀποστολικῆς παραδόσεως ἁγνίσαι, ἀλλὰ τῇ βεβήλῳ προδοσίᾳ μιανθῆναι τὴν ἄσπιλον παρεχώρησεν. »

## NILUS (Cap. VII).

« Quod si beatus Agatho suam dicat Ecclesiam a veritatis tramite nunquam deviasse, non est mirandum. Illud enim nos æquo jure postulabimus, non esse trahendas ad verba res, sed accommodanda rebus verba. Considerandum quoque sanctos Patres uti dicendi modis spectantibus ad præsentem rerum statum, cum de re aliqua necessaria quæstio est; quodque Romana Ecclesia raro aberrat a veritate fidei. Alioquin quomodo explicabis illud: *Omnes declinaverunt, simul inutiles facti sunt. Non est qui faciat bonum, non est usque ad unum*? Deinde Agatho præteritum dixit, futurum non negavit; et quod maximi refert, ante sextam synodum hæc dixit. Non est autem mirum a synodo multorum sanctorum perspectum quod unus ignoravit. Porro hæc esse vera planum erit, si legatur epistola Leonis post Agathonem papæ ad imperatorem Romanorum. « Anathematizamus, inquit, pariter Honorium, qui hanc apostolicam Ecclesiam non est aggressus apostolicæ traditionis doctrina lustrare, sed profana proditione maculari immaculatam permisit. »

## ΑΝΤΙΡΡΗΣΙΣ.

Γενναίαν ἡμῖν προβάλλεις ἀπολογίαν πρὸς τὴν σὴν ἀθυποφορὰν, ὅτι Ἀγάθων οἰκονομικῶς ἔγραψεν. Ὅτι δέ σοι τὸ οἰκονομικῶς εἰς τὸ ψευδῶς διαλύεται, ἐκ πρώτων δηλοῖ ἃ λέγεις· ὅτι δεῖ τὰ ῥήματα ἐφαρμόζειν τοῖς πράγμασιν, ἀλλ' οὐχὶ τὸ ἀνάπαλιν. Τί δ' ἄλλο ἐστὶ τὸ μὴ ἐφαρμόζειν τοὺς λόγους τοῖς πράγμασιν, ἢ τὸ προφανῶς ψεύδεσθαι; Οὕτω δύο τἀναντία κατὰ σὲ ὁ Ἀγάθων ἔχει, καὶ μακάριός ἐστι καὶ ψεύδῃ γράφει. Τοιούτους ἡμῖν ἁγίους, ὦ Νεῖλε, πλάττεις. Εἶτα σπανίως μὲν, ἀλλ' ὅμως ἐκπίπτειν φῂς τῆς ἀληθείας τὴν Ἐκκλησίαν τῆς Ῥώμης· καὶ φέρεις τὸ τοῦ Ψαλμοῦ εἰς ἀπόδειξιν· *Πάντες ἐξέκλιναν*· καὶ τὸ κατὰ Ἰουδαίων, ἢ καὶ τῶν ἐθνῶν ἅμα λέγεν, ἢ καὶ πάντων τῶν ὑπὸ τὴν ὑφήλιον διὰ τὸ σπάνιον τῆς ἀνθρωπίνης ἀσθενείας, τῇ συνήθει ταυτολογίᾳ καθέλκεις ἐπὶ τὴν πίστιν, καὶ τὸν δο-

## CONFUTATIO.

Quod ipse tibi ex Agathone objicis, egregia diluis responsione, quod Agatho se ad tempus accommodaverit. Hoc porro idem esse, atque illum mendaciter scripsisse, declarant illa quæ primo ponis, quod accommodanda sunt ad res verba, non contra: nam verba non accommodare rebus, quid est aliud quam aperte mentiri? Ita duo contraria per te Agatho habet: et beatus est, et mentitur. Hujusmodi tu nobis sanctos, Nile, confingis. Deinde, raro quidem, aberrare tamen a veritate Romanam ais Ecclesiam, atque ad probandum hoc Psalmi dictum usurpas: *Omnes declinaverunt*; et quod in Judæos, vel simul etiam contra gentiles dictum est, aut omnino in universos homines propter humanæ imbecillitatis offensas, tu vetere tua futilitate detorques in fidem, et certissimam fidei re-

gulam a Salvatore datam in Petro et successoribus, et tanto studio teneris insectandi Petri cathedram, ut labaris in gravissimas blasphemias. Si enim ita excipiendum est, ut tu intelligis illud: *Omnes declinaverunt:* ergo et sanctæ synodi, et ipsi apostoli, cum homines fuerint, in tradenda fide declinaverunt. Quod si hoc intolerabilis est blasphemia, et apostolos et sacras synodos suscipis utpote sancto Spiritu dictante locutas, et indubitatos fidei magistros, cur Petri sedem contumeliis laceras? quasi vero illa suapte vi habeat non posse errare in fide, non ex promissione Salvatoris, ut acta synodorum testantur? Quod vero ais, Agathonem de præterito locutum, non negasse futurum, tota erras via: decimus enim ab Honorio fuit Agatho. Subdis ex epistola Leonis papæ in calce sextæ synodi anathema in Honorium; nec animadvertisti, Leonem pugnare secum si verum id esset. Primo enim dicit: « Igitur gestorum synodalium seriem recensentes, et curiosa diligentia perscrutati singula quæ gesta sunt, eadem quæ apostolicæ sedis legati narraverant, scriptis consonantibus convenire comperimus.»

A θέντα παρὰ τοῦ Σωτῆρος ἀστραβῆ κανόνα τῆς πίστεως ἐν τῷ Πέτρῳ καὶ τοῖς διαδόχοις· οὕτω δὴ οὐ ὑπὸ τῆς ἄγαν σπουδῆς τοῦ διασύραι τὸν Πέτρου θρόνον, εἰς τὰ καιριώτατα βλασφημεῖς. Εἰ γὰρ κατὰ τὸν σὸν νοῦν ἐκληπτέον τὸ, *Πάντες ἐξέκλιναν*, ἄρα καὶ αἱ ἁγίαι σύνοδοι, καὶ αὐτοὶ οἱ ἀπόστολοι ἄνθρωποι ὄντες ἐν τῷ παραδοῦναι τὰ τῆς πίστεως ἐξέκλιναν. Εἰ δὲ τοῦτο ἐσχάτης βλασφημίας, καὶ τοὺς ἀποστόλους καὶ τὰς ἱερὰς συνόδους ἀσπάζῃ ὡς ὑπαγομένας τῷ ἁγίῳ Πνεύματι, καὶ ὡς ἀσφαλεῖς τῆς πίστεως διδασκάλους, πῶς ὑβρίζεις τὸν Πέτρου θρόνον ἔχοντα περὶ τὴν πίστιν τὸ ἀναμάρτητον; ὥσπερ ἂν εἰ τοῦτο ἐξ οἰκείας εἶχε δυνάμεως, καὶ μὴ ἐκ τῆς τοῦ Σωτῆρος ἐπαγγελίας, ὡς μαρτυροῦσι τὰ Πρακτικὰ τῶν συνόδων. Ὃ δὲ λέγεις, τὸν Ἀγάθωνα εἰ B ρηκέναι τὸ παρῳχηκὸς, τὸ μέλλον δὲ μὴ ἀποκλεῖσαι, πάντῃ τῆς ἀληθείας ἀπῴκισται· δέκατος γὰρ Ἀγάθων μετὰ Ὀνώριον. Εἶτα ἐπιφέρεις τὴν πρὸς τῷ τέλει τῆς ς' συνόδου Λέοντος τοῦ πάππα ἐπιστολὴν ἀναθεματίζουσαν τὸν Ὀνώριον. Καὶ οὐ συνεῖδες, ὅτι προδήλως ἑαυτῷ μάχεται ὁ Λέων, εἴπερ ἦν ταῦτα ἀληθῆ· πρῶτον μὲν γὰρ λέγει· « Τοιγαροῦν τῶν συνοδικῶν τὸ ὕφος ἀναδραμόντες, καὶ ἐπιμελῶς περιεργασάμενοι, καὶ ἕκαστα τῶν ὑπομνημάτων ἀπαιτήσαντες, τὰ αὐτὰ ἅπερ καὶ οἱ τοῦ ἀποστολικοῦ θρόνου λιγατάριοι ἐξηγήσαντο, τοῖς συμφωνοῦσιν ἐγγράφοις ἡμῖν συμβαίνειν. »

Ita habet epistola papæ in Græcum conversa, quæ si nunc exstaret, ut scripta fuit a papa, Latine, integra et incorrupta, profecto multæ detegerentur fallaciæ, quas consueta immiscuit audacia. Cæterum post tot fraudes etiam, quæ nunquam expugnatur, apparet veritas.

Οὕτως ἔχει ἡ ἑρμηνευθεῖσα εἰς τὸ Ἑλληνικὸν τοῦ πάππα ἐπιστολή· ἣν εἴπερ νῦν εἴχομεν ὡς γέγραπται παρὰ τοῦ πάππα Λατινικῶς ἀκεραίαν καὶ ἀδιάφθορον, πολλῶν ἂν ῥᾳδιουργημάτων ἡ φίλη τόλμα ἠλέγχετο. Πλὴν καὶ μετὰ τοσαύτας πανουργίας ἡ μὴ καταπολεμουμένη ἀλήθεια φαίνεται.

Dicit Leo papa, synodalium gestorum se commentarios percurrisse, et convenientia reperisse quæ legit cum narratione legatorum. Deinde infra nominatim laudat epistolam Agathonis, quæ inserta est actis sextæ synodi. Quomodo igitur Agathonis epistola libere prædicante, nullum papam errasse in fide, Leo, successor Agathonis, et epistolam laudat et contraria epistolæ dicit? Quomodo Honorium, quem Agatho vindicat a calumniis hæreticorum, Leo successor nominatim anathemati tradit? Quis tandem hoc credit? Sed vetus est mos quorumdam Orientalium corrumpendi acta synodorum. Testis hujus rei est celeberrimus Cyrillus in epistola ad Acacium Melitenensem. « Venit ad me, inquit, religiosissimus episcopus Paulus Emisenus, et rogabat ex me enixe num susciperem quæ scripsit beatissimus Pater Athanasius ad Epictetum Corinthi episcopum. Ego vero respondi me prorsus suscipere dummodo scriptum apud vos incorruptum exstet; multa enim in illo depravata sunt ab inimicis veritatis. » Et mox: « Itaque Paulus accepta vetusta exemplaria cum iis contulit quæ ipse attulerat; et comperit hæc adulterata. » Hoc idem Cyrillus asserit in fine epistolæ ad Joannem Antiochenum (1). Et in quarta synodo Leo papa I Anatolium Constantinopolitanum (2)

Λέγει ὁ πάπας Λέων τῶν συνοδικῶν τὸ ὕφος διεξελθεῖν καὶ περιεργάσασθαι, καὶ συμφωνοῦντα εὑρηκέναι τὰ ὑπομνήματα τοῖς λόγοις τῶν ληγατωρίων. Εἶτα κατωτέρω ἐπαινεῖ ὀνομαστὶ τὴν ἐπιστολὴν Ἀγάθωνος, ἥτις ἔγκειται τοῖς ὑπομνήμασι τῆς ς' συνόδου. Πῶς οὖν τῆς τοῦ Ἀγάθωνος ἐπιστολῆς φανερῶς περιεχούσης, ὅτι πάππα; οὐδεὶς ἐσφάλη τὰ περὶ τὴν πίστιν, Λέων ὁ διάδοχος Ἀγάθωνος; καὶ ἐπαινεῖ τὴν ἐπιστολὴν, καὶ ἐναντία τῇ ἐπιστολῇ ἀποφαίνεται; Πῶς τὸν Ὀνώριον τῆς αἱρετικῆς συκοφαντίας ἐλευθεροῦντος τοῦ Ἀγάθωνος, Λέων ὁ τούτου διάδοχος ἀναθεματίζει κατ' ὄνομα; Οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Ἀρχαία δέ τισι τῶν ἀνατολικῶν συνήθεια παραφθείρειν τὰ τῶν συνόδων. Μάρτυς ὁ ἀοίδιμος Κύριλλος ἐν τῇ πρὸς Ἀκάκιον τὸν ἐπίσκοπον Μελιτηνῆς ἐπιστολῇ μετὰ τὰ Πρακτικὰ τῆς τοιαύτης συνόδου. « Ἀφίκετο γάρ, φησὶ, πρός με ὁ θεοσεβέστατος ἐπίσκοπος Παῦλος τῆς Ἐμισηνῶν· εἶτα διεπυνθάνετό μου καὶ μάλα ἐσπουδασμένως, εἰ συναινῶ τοῖς γραφεῖσι παρὰ τοῦ τρισμακαρίου Πατρὸς Ἀθανασίου πρὸς Ἐπίκτητον Κορίνθου. Ἐγὼ δὲ ἔφην, ὅτι εἰ σώζεται παρ' ὑμῖν οὐ νενοθευμένον τὸ γράμμα, συναινέσαι μ' ἂν πάντη καὶ πάντως. Παραπεποίηται γὰρ πολλὰ τῶν ἐν αὐτῷ παρὰ τῶν τῆς ἀληθείας ἐχθρῶν. » Εἶτα· « Καὶ δὴ λαβὼν ὁ Παῦλος ἀντίγραφα παλαιὰ, καὶ συμβαλὼν οἷς ἐπεφέρετο,

(1) Cap. 54.

(2) Cap. 5, et ad Pulcheriam, cap. 7.

ηὕρισκε ταῦτα νενοθευμένα. » Τοῦτ' αὐτὸ λέγει καὶ ἐν τῇ πρὸς Ἰωάννην τὸν Ἀντιοχείας ἐπιστολῇ. Καὶ ἐν τῇ τετάρτῃ συνόδῳ Λέων ὁ πάππας γράφων Παυλχερίᾳ τῇ Αὐγούστῃ ἐμέμφετο τὸν Κωνσταντινουπόλεως Ἀνατόλιον, ὅτι νόθον κανόνα περὶ τῶν πρεσβείων Κωνσταντινουπόλεως, τρίτον ἐπιγραφόμενον, προέφερεν τῆς δευτέρας συνόδου. Καὶ ἐν τῇ ἑβδόμῃ πολλὰς πέπονθεν ἀποκοπὰς παρὰ τῶν ἀνατολικῶν ἡ ἐπιστολὴ τοῦ πάππα Ἀδριανοῦ πρὸς βασιλεῖς Κωνσταντῖνον καὶ Εἰρήνην.

A arguebat, quod suppositilium canonem proferret, qui secundæ synodo tribuitur, tertium de honore episcopi Constantinopolitani, tertia parte Chalcedonensis. Et in septima synodo, actione II, multas passa est mutilationes ab Orientalibus epistola Adriani papæ ad imperatores Constantinum et Irenem.

Δεύτερον, εἰ καὶ δοίημεν εἶναι τὸ μὴ ὄν, ἀναθεματισθῆναι Ὀνώριον παρὰ Λέοντος ἐκείναις ταῖς λέξεσιν, ἃς προφέρεις, εὔδηλον ὅτι ἀνεθεματίσθη Ὀνώριος οὐχ ὡς αἱρετικός, ἀλλ' ὡς τὴν αἵρεσιν φυῆναι παραχωρήσας. Τοῦτο δ'. ἂν εἴη ῥᾳθυμίας καὶ ἀμελείας ἔγκλημα, οὐχὶ αἱρέσεως· ὥστε πᾶσά σου πίπτει ἡ εἰκοδομή· οὐ γὰρ ἔδειξας ὃ προέθου, ὅτι B οὐκ ἀδύνατον τὸν πάππαν τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων.

Secundo, dato, quod nullo modo verum est, Honorium a Leone per illas voces, quas tu profers, fuisse anathemate perculsum, constat id passum Honorium non ut hæreticum, sed eo nomine quod hæresim oriri permisisset; quod negligentiæ crimen est, non autem hæresis. Itaque totum tuum ruit ædificium; non enim probasti quod volebas; scilicet, non esse impossibile papam errare in fide.

## ΝΕΙΛΟΣ.

Τὸ δὲ λέγειν τοῦτον τὸν λόγον ἔχειν τὸν πάπαν πρὸς τὸν Κωνσταντινουπόλεως, ὃν αὐτὸς πρὸς τὸν Καισαρείας, ἢ πρός τινα τῶν ὑπ' αὐτὸν ἱερέων, πῶς οὐ κομιδῇ πάνδεινον; Ὁ μὲν γὰρ Ῥώμης πρῶτος πρὸς τὸν Κωνσταντινουπόλεως λέγεται, ὡς αὐτοῦ γε δευτέραν τάξιν ἐπέχοντος· οὐκέτι δὲ ὁ Κωνσταντινουπόλεως πρῶτος οὕτω πρὸς τὸν Καισαρείας, ὡς ἐκείνου γε τὰ δευτερεῖα σώζοντος· ἀλλ' ὁ μὲν τῆς Κωνσταντίνου οὕτω πρῶτος, ὡς μονὰς, καὶ ὡς μὴ τοῖς ἄλλοις συντεταγμένος· ὁ δὲ Καισαρείας οὐ δεύτερος ὀνομάζεται, ἀλλὰ καὶ αὐτὸς πρῶτος, πλὴν C ὡς τοῖς ἄλλοις συντεταγμένος, καὶ δεύτερον ἔχων καὶ τρίτον. Ὅτι δὲ τὸ πρωτεῖον τοῦ πάπα συντεταγμένον καὶ οὐκ ἄφετον, δῆλον. Ἀνάγνωθι τὸν ις' κανόνα τῆς συνόδου. »

## NILUS (Cap. VIII).

« Dici autem, ita se habere papam ad episcopum Constantinopolitanum, sicut se habet ipse ad Cæsareensem aut quemvis alium ex episcopis sibi subjectis, quis hoc æquo animo ferat? Nam Romanus dicitur primus ad Constantinopolitanum, obtinente isto secundum locum; at vero Constantinopolitanus non est ita primus, ut Cæsareensis sit secundus; sed et primus Constantinopolitanus ut unitas, et non cum aliis coordinatus. Cæsareensis vero non dicitur secundus, sed primus et ipse, cum aliis tamen coordinatus, habensque secundum et tertium. Quod autem primatus papæ coordinatus sit, et non absolutus, liquet. Legito sextæ synodi canonem 36. »

## ΑΝΤΙΡΡΗΣΙΣ.

Ἀλογία πάντως ἡ τοιαύτη ἀναλογία. Καὶ σὺ μὲν ἀγανακτεῖς ἐπὶ τῇ πεπλασμένῃ παρ' ὑμῶν ἀνισότητι δυσχεραίνων· ἡ δὲ ἀλήθεια ἀγανακτεῖ τῇ περιεργίᾳ τῶν σοφισμάτων ἀδικουμένη. Πολλῷ πλέων, ᾧ λῷστε, ὑπέρκειται ὁ Ῥώμης τοῦ Κωνσταντινουπόλεως, ἢ ἐκεῖνος τοῦ Καισαρείας καὶ τῶν ὑπ' αὐτόν. Ὁ μὲν γὰρ πάπας ὑπέρκειται τοῦ Κωνσταντινουπόλεως κατὰ μὲν τὴν τρίτην σύνοδον ὡς κριτὴς κρινομένου, ὡς καθαιρέτης καθαιρουμένου, ὡς αὐθεντικῶς ἀφορίζων ἀφοριζομένου, ὡς δῆλον ἐκ τῶν ἐπιστολῶν Κελεστίνου πρὸς Κύριλλον, καὶ Νεστόριον, καὶ ἑτέρους ἐν τῇ πρὸ τῶν Πρακτικῶν συλλογῇ τῆς τρίτης συνόδου· κατὰ δὲ τὴν τετάρτην σύνοδον ὑπέρκειται ὁ πάπας τοῦ Κωνσταντινουπόλεως ὡς κεφαλὴ ἡγεμονεύουσα μέλους, ὡς ἀκτὶς φωτίζουσα σώματος φωτιζομένου, ὡς φύλαξ τῆς ἀμπέλου παρὰ τοῦ Σωτῆρος καταστὰς ἐπισκόπου λαθραίως δι' ἀνθρωπίνης μηχανουργίας τιμᾶσθαι καὶ προτιμᾶσθαι προθυμουμένου, ὡς πατὴρ τέκνου καὶ παιδὸς δῶρα λαβεῖν αἰτουμένου· ὡς ἔστιν ἐκ τῆς ἤδη προενεχθείσης ἰδεῖν ἐπιστολῆς τῆς τετάρτης συνόδου πρὸς Λέοντα τὸν πάπαν. Κατὰ δὲ τὴν ἕκτην σύνοδον ὑπέρκειται ὁ πάπας ὡς ἰατρὸς νοσοῦντος,

## CONFUTATIO.

Hæc proportio nullo rationis nititur fundamento, et tu quidem ægre fers propter conflictam a vobis imparilitatem; veritas autem ægre fert, quia sophismatum versutia circumvenitur. Multo magis præcellit papa Constantinopolitano, quam ipse Cæsareensi, et cæteris sibi subditis. Papa enim est Constantinopolitano superior, ut judex eo qui judicatur, ut deponens eo qui deponitur, ut potestate excommunicans excommunicato, ut constat ex epistolis Cœlestini ad Cyrillum et Nestorium et alios, prima parte III synodi. Per quartam synodum papa est superior Constantinopolitano ut caput membro, ut radius illustrans corpore illustrato, ut vineæ custos a Salvatore constitutus eo qui nimia industria pervenit ad honores et præeminentias, ut parens natos donari sibi aliquid petente; ut patet ex memorata epistola quartæ synodi ad Leonem papam. Per sextam synodum papa est superior Constantinopolitano, ut medicus ægroto sanitatem Ecclesiæ largiens, ut pontificalissimus apostolicæ summitatis antistes episcopis minimis, ut in Prosphonetico ad Constantinum imperatorem fatetur illa synodus; inter quos erat Georgius

Constantinopolitanus et Theophanes Antiochenus : ut successor cathedræ coryphæi principis apostolorum eo, qui propterea orthodoxus habitus est, quia epistolam papæ suscepit, ut synodus illa testatur in epistola ad Agathonem. Per septimam synodum papa est superior Constantinopolitano, tanquam oculus totius corporis, ostendens toti corpori rectam veritatis semitam, ut fatetur Tarasius Constantinopolitanus in epistola ad Adrianum papam, ad finem illius synodi. Cum tot tantisque prærogativis, quot ipse præ stellis effulget sol, patriarchæ Constantinopolitano antecellat papa ex sanctione Christi Domini, generalium conciliorum testimoniis, factis veritatem comprobantibus : ille vero Cæsareensi cæterisque suffraganeis præire cœperit virtute canonum non legitimorum, tertiæ secundæ synodi; quem et non pervenisse ad notitiam sedis apostolicæ, et si omnino a Patribus subscriptus est, nullius roboris mansisse testatur sanctus Leo papa epistola ad Anatolium, et ad Pulcheriam Augustam; vicesimi octavi quartæ synodi, quam non exoratus precibus Orientalium idem Leo papa rejecit, et tricesimi sexti quinisextæ, qui a synodo confectus nequaquam legitima nullas habet vires. Præsertim quod inter hos canones non est convenientia. Nam canon synodi statuit, honorandum esse Constantinopolitanum post Romanum; cæteri vero canones idem se statuere dicunt, sed non idem statuunt; verum Romano et Constantinopolitano æquales honores decernunt, et cum præterea Constantinopolitanus paulatim creverit, et limitatam auctoritatem per suppositos illos canones usurpaverit, scilicet ad consecrandos tantum Ponticæ, Asianæ et Thraciæ diœcesis metropolites. Quomodo tu ægre fers, et succenses illis, a quibus dictum est, ita se habere papam ad Constantinopolitanum, sicut se ille habet ad Cæsareensem, cum illi non justa proportione usi fuerint? Debeant enim dicere, non ita se habere, sed Constantinopolitanum esse inferiorem papæ multo magis quam sit Constantinopolitano Cæsareensis, quandoquidem papa habet in Constantinopolitanum potestatem divinitus traditam, quippe ut pastor a Deo constitutus, et vineæ custos; Constantinopolitanus autem, ut Leo papa clamat in suis epistolis, jus alienum præripere voluit, idque solum ad conservandum. Tu vero imparilitatem proportionis tuo sensu interpretans, ponis quæ nec a conciliis, nec a catholicis doctoribus accepisti, sed inventa sunt schismaticorum vaniloquentiæ.

A τὴν ὑγείαν χαριζόμενος τῇ Ἐκκλησίᾳ, ὡς ἀρχιερατικώτατος τῆς ἀποστολικῆς ἀκροπόλεως πρόεδρος τῶν ἑλαχίστων, ὥς φησιν ἡ σύνοδος ἐκείνη ἐν τῷ προσφωνητικῷ πρὸς τὸν βασιλέα Κωνσταντῖνον, ἐπισκόπων, ἐν οἷς ἦν καὶ Γεώργιος ὁ Κωνσταντινουπόλεως, καὶ Θεοφάνης Ἀντιοχείας· ὡς τοῦ κορυφαιοτάτου πρωταποστόλου τῆς καθέδρας διάδοχος, ὑπερκείμενος τοῦ ἐκεῖθεν ὀρθοδόξου νομισθέντος, ὅτι συνέθετο τῇ ἐπιστολῇ τοῦ πάπα, ὡς μαρτυρεῖ ἡ ἁγία σύνοδος ἐκείνη ἐν τῇ πρὸς Ἀγάθωνα ἐπιστολῇ. Κατὰ δὲ τὴν ἑβδόμην σύνοδον ὑπέρκειται ὁ πάπας, ὡς ὀφθαλμὸς τοῦ ὅλου σώματος, ὑποδεικνύων τῷ ὅλῳ σώματι τὴν εὐθεῖαν τρίβον τῆς ἀληθείας, ὡς φησι Ταράσιος ὁ Κωνσταντινουπόλεως ἐν τῇ πρὸς Ἀδριανὸν τὸν πάπαν ἐπιστολῇ πρὸς τῷ τέλει τῆς ζ' B συνόδου. Τοσαύταις καὶ τηλικαύταις ὑπεροχαῖς, ὅσας τῶν ἀστέρων ὑπερτερεῖ ὁ ἥλιος, τοῦ πάπα ὑπερεκοντίζοντος τὸν πατριάρχην Κωνσταντινουπόλεως νομοθεσίᾳ τοῦ Χριστοῦ, μαρτυρίαις τῶν οἰκουμενικῶν συνόδων, ἔργοις βεβαιοῦσι τὴν ἀλήθειαν· ἐκείνου δὲ τὸν Καισαρείας καὶ τοὺς ὑπ' αὐτὸν ἀρχιερεῖς ὑπερβάλλειν ἀρξαμένου δυνάμει κανόνων οὐχὶ γνησίων, τοῦ τρίτου τῆς δευτέρας συνόδου, ὃν καὶ ἄγνωστον καὶ μὴ φυλαχθέντα· ἀλλ' εἴπερ ὅλως παρὰ τῶν Πατέρων γέγονεν, ἄκυρον τότε μείναντά φησιν ὁ ἅγιος πάπας Λέων ἐν τῇ πρὸς Πουλχερίαν τὴν Αὐγούστην ἐπιστολῇ, καὶ ἐν τῇ πρὸς Ἀνατόλιον· τοῦ κη' τῆς τετάρτης συνόδου, ὃν μὴ καμφθεὶς ταῖς δεήσεσι τῶν ἀνατολικῶν ἀπέῤῥιψεν ὁ αὐτὸς πάπας C Λέων· καὶ τοῦ λς' τῆς πενθέκτης, ὃς παρὰ συνόδου τυπωθεὶς μὴ γνησίας, ὡς δειχθήσεται, οὐδεμίαν ἔχει τὸ παράπαν ἰσχύν, ἄλλως τε μηδὲ συμφώνων τούτων ὄντων τῶν κανόνων, ἀλλὰ τοῦ τῆς δευτέρας συνόδου θεσπίσαντος τὸν Κωνσταντινουπόλεως ἔχειν τὰ πρεσβεῖα μετὰ τὸν Ῥώμης, τῶν λοιπῶν θεσπίζειν μὲν τὰ αὐτὰ λεγόντων, οὐ τὰ αὐτὰ δὲ ὁριζόντων, ἀλλὰ τὰ ἴσα πρεσβεῖα τῷ Κωνσταντινουπόλεως ἀπονεμάντων· πρὸς τούτοις τοῦ Κωνσταντινουπόλεως κατ' ὀλίγον αὐξηθέντος, καὶ μεμετρημένην διὰ τῶν ὑποβολιμαίων ἐκείνων κανόνων ἐξουσίαν λαβόντος, ἐπὶ τὸ χειροτονεῖν μόνους τοὺς τῆς Ποντικῆς καὶ τῆς Ἀσιανῆς, καὶ τῆς Θρᾳκικῆς διοικήσεως μητροπολίτας· πῶς, ὦ Νεῖλε, δεινοπαθεῖς κατὰ τῶν εἰπόντων τοῦτον τὸν λόγον ἔχειν τὸν πάπαν D πρὸς τὸν Κωνσταντινουπόλεως, ὃν ἐκεῖνος πρὸς τὸν Καισαρείας, καί τοι οὐκ ὀρθῶς εἰπόντων; δέον ὀρθῶς εἰπεῖν, οὐ τὸν αὐτὸν λόγον ἔχειν, ἀλλὰ τὸν Κωνσταντινουπόλεως εἶναι πολλῷ κατώτερον τοῦ πάπα, εἴπερ ὁ Καισαρείας τοῦ Κωνσταντινουπόλεως· ὅπου τὴν ἐξουσίαν ἐπὶ τὸν Κωνσταντινουπόλεως ἔχει θεσθεν ὁ πάπας, ὡς ποιμὴν θεοπρόβλητος, καὶ φύλαξ τῆς ἀμπέλου. Ὁ δὲ τῆς Κωνσταντίνου μιχανουργίαις ἐπεσπάσατο τὰ ἀλλότρια, ὡς βοᾷ ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ Λέων ὁ πάπας, καὶ ταῦτα ἐπὶ τὸ χεῖρον χειροτονεῖν. Σὺ δὲ ἄλλον τρόπον τὸν σοὶ δοκοῦντα τὴν ἀνισότητα τῆς ἀναλογίας ἐκλαμβάνων γράψεις ἃ μήτε παρὰ συνόδων, μήτε παρὰ ὀρθοδόξων εἴληφας διδασκάλων, τῆς σχισματικῆς δηλαδὴ ματαιοφροσυνης εὑρήματα· ἐμάθες γὰρ φαύλων διδασκάλων ἀναγνοὺς συγγράμματα.

*Ordo præcedentiæ patriarcharum.*

Romanus, Constantinopolitanus, Alexandrinus, Antiochenus, Hierosolymitanus. Metropoles Con-

*Τάξις πρωτοκαθεδρίας πατριαρχῶν.*

Ὁ Ῥώμης, ὁ Κωνσταντινουπόλεως, ὁ Ἀλεξανδρέων, ὁ Ἀντιοχέων, ὁ Ἱεροσολύμων. Εἶτα αἱ μη-

τροπόλεις τοῦ Κωνσταντινουπόλεως. α'. Καισάρεια. β'. Ἔφεσος. γ'. Ἡράκλεια, καὶ ἑφεξῆς.

Ταῦτα σὺ λαβὼν ὥσπερ ἀναντίῤῥητον διδασκαλίαν, ὡς μόνῃ τῇ πρωτοκαθεδρίᾳ διαφερόντων τῶν πατριαρχῶν, λέγεις εἶναι μὲν πρῶτον τὸν πάπαν, ἀλλ' ὡς τοῖς πατριάρχαις συντεταγμένον, καὶ οὐκ ἄφετον, ἔχει γὰρ δεύτερον, καὶ τρίτον πατριάρχην· τὸν δὲ Κωνσταντινουπόλεως πατριάρχην ἔχειν τοὺς ὑπ' αὐτὸν οὐχ ὡς πατριάρχας, ἀλλὰ μητροπολίτας, ἐν οἷς ἐστιν ὁ πρῶτος καὶ δεύτερος μητροπολίτης· ὥστε τὸ πρωτεῖον τοῦ πάπα πρὸς τὸν Κωνσταντινουπόλεως ὡς δεύτερον εἶναι συντεταγμένον, τὸ πρωτεῖον τοῦ Κωνσταντινουπόλεως πρὸς τὸν Καισαρείας πρῶτον ὄντα μητροπολίτην εἶναι ὡς μονάδα. Καὶ μορμολύττῃ τοὺς ἁπλουστέρους γελοίῳ νοήματι, ἀκούοντας τὸν πάπαν συντεταγμένον, μὴ ὄντα ἔξω τῆς τάξεως, τὸν δὲ Κωνσταντινουπόλεως μονάδα ἐξαίρετον, μάλα σεμνῶς ἔξω τῆς τάξεως ὄντα· ἵν' οὕτω καταπλήττωνται οἱ χυδαῖοι τὸ τοῦ Κωνσταντινουπόλεως μέγεθος.

Πόσα οὖν ἁμαρτάνεις; Πρῶτον λαμβάνεις ὡς ὁμολογούμενον τοὺς πέντε καλεῖσθαι ἐπίσης πατριάρχας, ὅπερ οὐκ ἔστιν· καὶ γὰρ μέχρι τῆς τετάρτης συνόδου οὐκ ἦν ἐν χρήσει ἡ τοιαύτη προσηγορία· κατὰ δὲ τὴν τρίτην ἐκείνης πρᾶξιν ἐμφέρονται λίβελλοι δοθέντες μετ' ἐπιγραφῆς τοιαύτης· « Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ οἰκουμενικῷ ἀρχιεπισκόπῳ καὶ πατριάρχῃ τῆς μεγάλης Ῥώμης Λέοντι, καὶ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ. » Παντοχοῦ δὲ ἐν τοῖς Πρακτικοῖς ἐπίσκοποι ἢ ἀρχιεπίσκοποι καλοῦνται πάντες. Εἶπερ οὖν κατ' ἐκείνους ἔγραφες, ὦ Νεῖλε, τοὺς χρόνους, καθ' οὓς ὁ τῦφος καὶ ἡ ἀλαζονεία οὔπω πέντε πατριάρχας κοινῇ ταύτῃ προσηγορίᾳ κατωνομάκει· πῶς ἂν ἐφιλοσόφησας περὶ τοῦ συντεταγμένου πρωτείου, καὶ τῆς μονάδος; Καλουμένου γὰρ μόνου τοῦ πάπα τότε πατριάρχου, ξυμπάντων δὲ τῶν λοιπῶν ἢ ἀρχιεπισκόπων, ποῦ τὸ συντεταγμένον τοῦ πρώτου καὶ δευτέρου πατριάρχου; Εἰ μὴ φαίης, ὅτι ἦν καὶ τότε τὸ συντεταγμένον, πρώτου ὄντος ἐπισκόπου τοῦ πάπα, εἶτα δευτέρου, καὶ τρίτου. Ἀλλὰ τοῦτο πάντας ποιεῖ συντεταγμένους τοὺς ἐπισκόπους, καὶ τὸν πάπαν, καὶ τὸν Κωνσταντινουπόλεως, καὶ τοὺς λοιπούς· καὶ χώραν οὐδεμίαν καταλιμπάνει τῇ μονάδι, ἣν ἀπονέμεις τῷ Κωνσταντινουπόλεως. Καὶ ἐγίνετο ἂν ἡ τῶν συντεταγμένων ἀπαρίθμησις οὕτω. α' ὁ πάπας· β' ὁ Κωνσταντινουπόλεως, θῶμεν γὰρ οὕτω· γ' ὁ Ἀλεξανδρείας· δ' ὁ Ἀντιοχείας· ε' ὁ Ἱεροσολύμων. Εἶτα ἐν τῇ ἐπαρχίᾳ Κωνσταντινουπόλεως πρῶτος ὁ Βυζαντίου ἐπίσκοπος, β' ὁ Καισαρείας· καὶ οὕτω καθεξῆς ἕκαστος τῶν πέντε ἐπισκόπων ἦν ἂν πρῶτος τῶν ὑπ' αὐτὸν, καὶ οὐ μονὰς ἀσύντακτος, καὶ εἶχε τὸ πρωτεῖον οὐ κατὰ μόνην τὴν πρωτοκαθεδρίαν ὁ πάπας, ὡς ὑμεῖς φατε, ἀλλὰ κατ' ἐκείνην τὴν ἀποστολικὴν ἐξουσίαν, ἣν ὁμολογοῦσι καὶ διδάσκουσιν αἱ σύνοδοι.

stantinopolitani. 1. Cæsareens. 2. Ephes. 3. Heracleens. Et deinceps.

Hæc tu tanquam irrefragabilem doctrinam supponens, quasi vero omnis patriarcharum differentia in eo tantum sita sit, ut unus alteri præcedat, dicis papam esse primum, sed ut patriarchis coordinatum, non absolutum, cum habeat secundum et tertium patriarcham; Constantinopolitanum vero habere sub se non patriarchas, sed metropolitas, in quibus est primus et secundus metropolita: ita ut primatus papæ respectu Constantinopolitani, quippe ut secundi, coordinatus sit; primatus Constantinopolitani respectu Cæsareensis primi metropolitæ sit veluti unitas. Et ridiculo hoc sensu simplicioribus terricula objicis, dum audiunt, papam esse coordinatum, non esse extra ordinem; Constantinopolitanum vero esse unitatem exemptam, et egregio titulo non intra ordinem. Ita enim vulgus Constantinopolitani magnitudinem admiratur.

Quotupliciter vero tu peccas? Primo tanquam certum accipis, quinque vocari æqualiter patriarchas, quod falsum est. Usque ad quartam synodum hæc appellatio non erat in usu; tertia vero illius synodi actione habentur libelli supplices hac inscriptione: « Sanctissimo et beatissimo universali archiepiscopo et patriarchæ magnæ Romæ Leoni, et sanctæ ac œcumenicæ synodo. » Passim vero in actis episcopi vel archiepiscopi vocantur omnes. Si ergo tu per illa tempora, Nile, scripsisses, quibus arrogantia et ambitio nondum quinque patriarchas communi appellatione conjunxerant, quomodo philosophatus esses de primatu coordinato deque unitate? Solo enim papa tunc habente titulum patriarchæ, cæteris episcopi vel archiepiscopi appellatione contentis, ubi esset coordinatio primi et secundi patriarchæ? nisi dicas, tunc etiam futuram fuisse coordinationem: nam papa esset primus episcopus, deinde secundus et tertius. Ad hoc omnes episcopos facit coordinatos cum papa, et Constantinopolitanum et reliquos, et nullum locum unitati relinquit quam tu Constantinopolitano tribuis; esseque tunc coordinatorum enumeratio talis: 1. Romanus, 2. Constantinopolitanus (supponamus enim ita esse), 3. Alexandrinus, 4. Antiochenus, 5. Hierosolymitanus. Deinde in provincia Constantinopolitana, primus Byzantius, secundus Cæsareensis; atque ita deinceps singuli episcoporum quinque haberent prima um respectu subditorum, et nullus esset unitas non coordinata, esseque papa primus non nudo præcedenti ordine, ut vos dicitis, sed auctoritate illa apostolica quam synodi fatentur et docent.

Δεύτερον ἁμαρτάνεις, ὅτ' εἰ καὶ δοίημεν καλεῖσθαι καὶ τοὺς πέντε πατριάρχας, ἡ κοινότης τῆς προσηγορίας οὐ φέρει κοινότητα ἰσοτιμίας, ὅπερ σὺ

Secundo peccas, quia etiamsi demus, patriarchæ nomen fuisse quinque illis commune, at communio appellationis non infert communionem

æqualis potestatis, quod tu accipis, quasi rem in confesso. Nam sicut communio nominis, episcopi et archiepiscopi, non infert æqualitatem papæ et Constantinopolitani, ita etiam nec patriarchæ appellatio. Tu vero ex communitate appellationis dum infers æqualitatem dignitatis, primatum papæ dicis coordinatum; cum inferre deberes, coordinatum esse appellatione, sed non coordinatum potestate; et hac ratione cum sit appellatione coordinatus papa, potestate tamen est unitas respectu universorum. Constantinopolitanus autem cum sit uti secundus patriarcha coordinatus appellatione cum papa, non est respectu sibi subditorum ut unitas potestate, sed talis unitas, qualis et cæteri patriarchæ et metropolitæ ad suffraganeos episcopos; unitates videlicet, quia priores sedent, et certis quibusdam privilegiis gaudent, non sicut papa est unitas, utpote successor Petri in auctoritate pastorali.

Tertio peccas, quia quod papa singulare habet, tu commune facis; et quod commune habet patriarcha, tu singulare constituis. Singulare est in papa, quod patriarcha sit et patriarchas habeat sibi subjectos; commune vero patriarchis omnibus et metropolitis, et episcopis, ut sint unitates respectu eorum qui illis quomodolibet subditi sint; neque enim patriarchis omnibus subditi sunt patriarchæ, et metropolitis metropolitæ, et episcopis episcopi. Cum igitur in hunc modum proponis argumentum: Ita se habet Constantinopolitanus ad papam, sicut Cæsareensis ad illum; sed Cæsareensis subest potestati Constantinopolitani, ergo et ille potestati papæ: tu majorem non veram falsa tua intelligentia magis depravas, minorem juxta novas schismaticorum regulas intelligis, ac proinde e falsis principiis perperam concludis. Ut recte concludatur, ita formanda est ratio: Multo magis subest Constantinopolitanus papæ quam Cæsareensis illi; sed Cæsareensis, juxta Græcos, subest potestati Constantinopolitani: ergo multo magis ille papæ. Nisi forte hoc tibi velit coordinatio papæ, et unitas Constantinopolitani, quod insanientes quidam dixerunt: quod cum juxta pseudocanonem quem profers patriarcha Constantinopolitanus æquales habeat honores cum papa, plus habuerit etiam hoc, quod sit unitas exempta, papa autem coordinatus manserit; si hoc intelligis, jam tuus Constantinopolitanus erit etiam Petro sublimior. Petrus enim cum sit apostolorum primus, habet et secundum et tertium, ut sit per te coordinatus et non unitas, qualem fingitis Constantinopolitanum. Sed hæc asserere manifesta insania est.

## NILUS (Cap. IX).

Si vero, quia primus numerando est papa, idcirco et dominatum arripis, hoc idem dato et Constantinopolitano, recensetur enim et iste prior Alexandrino. Similiter Alexandrinus sub se Antio-

λαμβάνεις ὡς ὁμολογούμενον. Ὥσπερ γὰρ ἡ κοινότης τοῦ ὀνόματος ἐπίσκοποι, ἢ ἀρχιεπίσκοποι, οὐ φέρει ἰσότητα τοῦ πάππα, καὶ τοῦ Κωνσταντινουπόλεως· οὕτως οὐδὲ ἡ προσηγορία τοῦ πατριάρχου. Σὺ δὲ ἐκ τῆς κοινῆς προσηγορίας ἐπιφέρων ἰσότητα ἀξίας, τὸ πρωτεῖον τοῦ πάππα λέγεις συντεταγμένον· δέον ἐπιφέρειν συντεταγμένον εἶναι τῇ προσηγορίᾳ, ἀσύντακτον τῇ ἐξουσίᾳ. Καὶ τοῦτον τὸν τρόπον συντεταγμένος ὢν ὁ πάππας τῇ προσηγορίᾳ, μονάς ἐστι πρὸς ἅπαντας τῇ ἐξουσίᾳ. Ὁ δὲ Κωνσταντινουπόλεως ὡς δεύτερος πατριάρχης συντεταγμένος ὢν τῷ πάππᾳ τῇ προσηγορίᾳ, οὐκ ἔστι πρὸς τοὺς ὑπ' αὐτὸν μονὰς τῇ ἐξουσίᾳ, ἀλλὰ τοιαύτη μονάς ἐστιν, οἵα καὶ οἱ λοιποὶ πατριάρχαι, καὶ οἱ μητροπολῖται πρὸς τοὺς συνεπαρχιώτας ἐπισκόπους, μονάδες ὄντες πρὸς αὐτοὺς τῇ πρωτοκαθεδρίᾳ. Καὶ διωρισμένοις τισὶ προνομίοις, οὐ καθ' ὃν ὁ πάππας τρόπον ἐστὶ μονὰς ὡς διάδοχος κατὰ τὴν πρωτοκλησίαν αὐθεντίαν τοῦ Πέτρου.

Τρίτον ἁμαρτάνεις, ὅτι τὸ μὲν ἐξαίρετον τοῦ πάπα καθιστᾷς κοινὸν, τὸ δὲ κοινὸν τοῦ πατριάρχου καθιστᾷς ἐξαίρετον. Ἐξαίρετον γὰρ ἐν τῷ πάπᾳ τὸ πατριάρχην ὄντα πατριάρχας ἔχειν ὑπεξουσίους· κοινὸν δὲ πᾶσι τοῖς πατριάρχαις καὶ μητροπολίταις καὶ ἐπισκόποις τὸ, μονάδας εἶναι πρὸς τοὺς ὁποσοῦν ὑποκειμένους· οὐ γὰρ πᾶσι τοῖς πατριάρχαις ὑπόκεινται πατριάρχαι, καὶ μητροπολῖται μητροπολῖταις, καὶ ἐπίσκοποι ἐπισκόποις. Ἀναλαβόντες οὖν τὸν συλλογισμὸν, Τοῦτον τὸν λόγον ἔχει ὁ τῆς Κωνσταντίνου πρὸς τὸν πάπαν, ὃν ὁ Καισαρείας πρὸς ἐκεῖνον· ἀλλὰ μὴν ὁ Καισαρείας τῷ τῆς Κωνσταντίνου ὑπεξούσιος, ἄρα καὶ ἐκεῖνος τῷ πάπᾳ· φαμὲν, ὅτι Σὺ τὴν μείζονα μὴ ὀρθῶς ἔχουσαν χείρονι δὲ νοίᾳ διαστρέφεις· τὴν ἐλάττω νοῶν κατὰ τοὺς σχισματικοὺς κανόνας, ἐκ ψευδῶν προθέσεων ἄτοπον ἐπιφέρεις συμπέρασμα. Χρὴ δὲ τὸν συλλογισμὸν οὕτω τυπῶσαι· Πολλῷ πλέον ἥρτηται ὁ Κωνσταντινουπόλεως τοῦ πάπα ἢ ὁ Καισαρείας ἐκείνου· ἀλλὰ μὴν ὁ Καισαρείας κατὰ τοὺς Γραικούς ἐστιν ὑπεξούσιος τῷ τῆς Κωνσταντίνου, ἄρα πολλῷ πλέον οὗτος τῷ πάπᾳ. Εἰ μὴ ἄρα καὶ σοὶ, Νεῖλε, ταῖς τινῶν μανιώδεσιν ἀλογίαις ἐκτραπέντι τοῦτο βούλεται τὸ συντεταγμένον τοῦ πάπα, καὶ ἡ μονὰς τοῦ Κωνσταντινουπόλεως· ὅτι κατὰ τὸν ψευδοκανόνα, ὃν προφέρεις, ὁ τῆς Κωνσταντίνου ἔχων τὰ ἴσα τῷ πάπᾳ, ἐσχηκε καὶ τοῦτο πλέον, τὸ εἶναι αὐτὸν μονάδα κατ' ἐξαίρετον, ἐκείνου ὄντος συντεταγμένου. Εἰ γοῦν τοῦτο βούλει, ὦρα σοι τὸν Κωνσταντινουπόλεως καὶ ὑπὲρ τὸν Πέτρον ἀνυψῶσαι· πρῶτος γὰρ ὢν τοῦ χοροῦ τῶν ἀποστόλων καὶ δεύτερον ἔχει καὶ τρίτον· ὥστε συντεταγμένος κατὰ σὲ, καὶ οὐκ ἐφικνεῖται τῆς μονάδος, ἣν οὐκ οἶδ' ὅθεν ὁ Κωνσταντινουπόλεως ἐκληρώσατο. Ἀλλὰ ταῦτα μανίᾳ σαφής.

## ΝΕΙΛΟΣ.

Εἰ δὲ ὅτι πρῶτος ἐν τῇ ἀριθμήσει ὁ πάπας, διὰ τοῦτο καὶ τὴν δεσποτείαν ἁρπάζεις, δὸς τοῦτο καὶ τῷ Κωνσταντινουπόλεως, καὶ γὰρ καὶ οὗτος πρωτίστεται τοῦ τῆς Ἀλεξάνδρου· ὁ δὲ Ἀλεξάνδρου ὁμοίως

ὑφ' αὐτὸν ἐχέτω τὸν τῆς Ἀντιόχου· καὶ οὗτος δὲ ὁριστὴς ἔστω τοῦ θρόνου Ἱεροσολύμων. Καὶ πῶς οὐ ταῦτα θόρυβος ἀτεχνῶς;

A chenum habet; rursus et iste arbiter sit sedis Hierosolymorum. At hæc quomodo non fuerint aperta rerum perturbatio?

## ΑΝΤΙΡΡΗΣΙΣ.

Εἰ διὰ τὴν προαρίθμησιν εἶχε τὴν δεσποτείαν ὁ πάπας, ἦν ἂν ὁ λέγεις· εἰ δὲ τῆς προαριθμήσεως αἴτιον ἡ δεσποτεία, τί μάτην σοφίζῃ; Μίαν οἶδεν ἡ τετάρτη σύνοδος κεφαλὴν τῆς Ἐκκλησίας, καὶ φύλακα τῆς ἀμπέλου ἕνα παρὰ τοῦ Σωτῆρος καταστάντα, κυροῦντα καὶ ἀποκυροῦντα τὰ εὖ καὶ ἑτέρως ἔχοντα. Ἐντεῦθεν ἡ προαρίθμησις τοῦ πάπα. Οἱ δὲ λοιποὶ πατριάρχαι γυμνὴν ἔχουσι τὴν προαρίθμησιν καὶ ὑπαρίθμησιν· οἷον εἰ φαίημεν· Προαριθμεῖται ἡ κεφαλὴ τοῦ στήθους, καὶ τὸ στῆθος τῆς γαστρὸς, καὶ ἡ γαστὴρ τῶν μηρῶν, ἀλλ' οὐκ ἴσῳ λόγῳ· ἡ μὲν γὰρ κεφαλὴ προαριθμεῖται ὡς πρῶτον μέλος, οὐ τάξει μόνον καὶ θέσει, ἀλλὰ καὶ δυνάμει καὶ ἀξίᾳ· τὰ δὲ λοιπὰ μέλη προαριθμεῖται καὶ ὑπαριθμεῖται τάξει καὶ θέσει διαφέροντα, οὐχὶ δὲ δυνάμει καὶ ἀξίᾳ τῆς κεφαλῆς. Πόθος τοίνυν ἐκ τούτου θόρυβος, ὁπότε φύσεως αὕτη ἡ τάξις, καὶ ὑπὸ τοῦ δημιουργοῦ τῆς φύσεως ταύτην εἴληφεν ἡ ἐκκλησιαστικὴ ἱεραρχία;

## CONFUTATIO.

Aliquid diceres, si prænumeratio esset origo dominatus; at quia dominatus est prænumerationis causa, quid valet sophisma tuum? Unum agnoscit quarta synodus Ecclesiæ caput, et custodem vineæ unum a Salvatore constitutum, probantem et improbantem quæ recte se habent, et quæ secus. Hæc est causa prænumerationis papæ. Cæteri vero patriarchæ nudam habent prænumerationem et subnumerationem. Ut si dicamus: Caput prænumeratur pectori, et pectus ventri, et venter femoribus, sed non pari ratione; nam caput prænumeratur ut principale membrum, non solum ordine et situ, sed virtute etiam et dignitate: cætera membra prænumerantur et subnumerantur ordinis et situs differentia, non capitis virtute et dignitate. Quæ ergo hinc perturbatio, quando naturæ hic est ordo, et ab auctore naturæ hunc eumdem habet hierarchia ecclesiastica?

## ΝΕΙΛΟΣ.

Οὐ μὴν ἀλλ' εἰ μὲν ὁ Κωνσταντινουπόλεως χειροτονεῖ τὸν Καισαρείας καὶ τοὺς μετ' αὐτὸν, ὁ δὲ Ῥώμης οὔτε τὸν Κωνσταντινουπόλεως, οὔτε ἄλλον οὐδένα τῶν καθολικῶν ἱερέων· πῶς ἔστιν ἀληθεύειν λέγοντα· Οὕτως ἐστὶ πρῶτος ὁ Ῥώμης πρὸς τὸν Κωνσταντινουπόλεως, ὥσπερ αὐτὸς οὗτος πρὸς τοὺς ὑπ' αὐτὸν ἱεράρχας;

## NILUS (Cap. X).

Præterea si Constantinopolitanus consecrat Cæsareensem, et qui post illum sunt; Romanus autem nec Constantinopolitanum, nec ullum ex principalibus episcopis consecrat, quomodo verum sit, ita esse primum Romanum respectu Constantinopolitani, sicut hic ipse est respectu sibi subditorum?

## ΑΝΤΙΡΡΗΣΙΣ.

Ποίαν λέγεις χειροτονίαν; τὴν αὐτοχειρὶ τελουμένην ὑπὸ τοῦ ἱεράρχου, οἵαν Ἀγαπητὸς ὁ πάπας ἐποιήσατο ἐνδημοῦντος τῇ Κωνσταντίνου, ἀπελάσας μὲν τὸν αἱρετικὸν Ἄνθιμον, ὡς φησιν ὁ βασιλεὺς Ἰουστινιανὸς ἐν τῇ μβ' Νεαρᾷ, χειροτονήσας δὲ Μηνᾶν τὸν πατριάρχην; Ἢ χειροτονίαν λέγεις, οἵαν ὁρίζεται ἡ πρώτη σύνοδος ἐν τῷ ς' κανόνι· « Εἴτις χωρὶς γνώμης τοῦ μητροπολίτου γένοιτο ἐπίσκοπος, τὸν τοιοῦτον ἡ μεγάλη σύνοδος ὥρισε μὴ δεῖν εἶναι ἐπίσκοπον; » Εἰ τὴν πρώτην χειροτονίαν λέγεις ἀναγκαίαν, ὥστε σώζεσθαι τὸ πρωτεῖον, γελοῖον λέγεις· ταυτὸν γὰρ ἐστι τοῦτο καὶ τὸ ἀποφαίνεσθαι, μηδένα βασιλεύειν δύνασθαι, ἢ ὧν αὐτὸς ὁ βασιλεὺς γεννήτωρ. Καὶ οἱ τῆς τετάρτης συνόδου Πατέρες τὴν χειροθεσίαν παρὰ τοῦ πάπα οὐδαμῶς εἰλήφεσαν, οἱ δὲ ὅμως ἐκεῖνον κεφαλὴν ἑαυτῶν, καὶ κυβερνήτην τῶν κανόνων ἐπεγίνωσκον, ὅτε περὶ τοῦ προτιμηθῆναι τὸν Κωνσταντινουπόλεως ἦν ὁ ἀγὼν ὑπὲρ τοὺς λοιποὺς τῶν ἀνατολικῶν θρόνους· διαφέρει γὰρ πλεῖστον ὅσον χειροθεσία δικαιοδοσίας· ἡ χειροθεσία τὴν γεννητικὴν μιμεῖται δύναμιν· ἡ ἐξουσία συγκροτεῖ τὸ ἱερατικὸν πολίτευμα. Οὕτω γοῦν ὁ Ῥώμης ἐπίσκοπος πάντας τοὺς ἀνατολικοὺς πατριάρχας καὶ ἀρχιερεῖς, ὡς δέδεικται κατὰ μέρος, καὶ δειχθήσεται, ἔκρινεν, ἠθώου, μετεκίνει ἀποστολικῇ αὐθεντίᾳ, καίτοι παρ' αὐτοῦ τὴν χειροθεσίαν μὴ λαβόντας.

## CONFUTATIO.

Quam dicis consecrationem? illamne quæ fit per ipsam hierarchæ manum, sicut Agapetus papa Menam patriarcham consecravit expulso Anthimo hæretico, ut Justinianus imperator ait Novella 42? an consecrationem sive ordinationem intelligis, de qua statuit synodus I, can. 6: « Si quis præter sententiam metropolitani factus fuerit episcopus, hunc magna synodus statuit non debere esse episcopum? » Si primo modo necessariam dicis, ut servetur primatus, rem ais ridiculam; ac si diceres, neminem regnare posse, nisi super eos quos ipse rex genuit. Et quartæ synodi Patres non erant consecrati per papam, quem tamen suum caput et moderatorem canonum agnoscebant, quando de honorando Constantinopolitano præ cæteris Orientalium sedibus erat illis studium. Differt enim plurimum consecratio a jurisdictione: consecratio generandi facultatem imitatur, jurisdictio sacerdotalem instruit universitatem. Ita Romanus episcopus Orientales omnes patriarchas et præsules, ut particulatim ostensum est et ostendetur, judicabat, absolvebat, repellebat auctoritate apostolica, licet ab ipso non consecratos. Si vero ordinationem secundo modo intelligis, ut scilicet præter majoris sententiam episcopi non fiant, rursus pronuntias falso innixus fundamento. Unde enim habes pa-

triarchas fieri solitos præter sententiam papæ? Clamat Leo papa in epistolis ad Marcianum et Pulcheriam parte in synodi Chalcedonensis, sui favoris assensu Anatolium obtinuisse Constantinopolitanum episcopatum. Clamat Adrianus papa, act. II septimæ synodi, præsertim in Latinis authenticis litteris, quas ponit integras Anastasius Bibliothecarius, quod nisi per fidelem Tarasii concursum pro sanctarum imaginum erectione, assensum nequivisset omnimodo tribuere in ejus consecratione. Quid multa? Unde ortum est ingens schisma quod Orientalem, heu! depascitur Ecclesiam, nisi quia Photius, Romanorum pontificum increpationes non ferens, ambitionis ejus nimios impetus reprimentium, nec suscipientium illum ut legitimum patriarcham, ipse, habenis obedientiæ fractis, jecit semina defectionis novique in Ecclesia principatus, et calamitosi schismatis plantavit errorem? Frustra igitur infers tuum paradoxum, magis subesse Constantinopolitano suos, quam ipsum Romano. Cum enim fuerit probatum papam esse dominum consecrationis Constantinopolitani (qui si legitimum unquam habuit inter suos primatum, a papa hoc impetravit, sicut post Leonis tempora, ut esset in secundo ordine, a papa habuit, quemadmodum testatur Adrianus pontifex in suis authenticis litteris, act. II septimæ synodi: factum enim hoc, ait, per sedis apostolicæ auctoritatem; non tamen permittit, ut vocetur œcumenicus, nam pravitatis hæreticæ hoc esse decernit): probatum ergo cum sit papam esse dominum consecrationis præsulum Constantinopolitanorum, ex hac tota disputatione necessario sequitur contrarium, nimirum papam multo magis præesse Constantinopolitano quam illum suis.

Εἰ δὲ κατὰ τὸν δεύτερον τρόπον νοεῖς τὴν χειροτονίαν, τὸ μὴ χωρὶς γνώμης τοῦ μείζονος γίνεσθαι τῶν ἐπισκόπων τὰς καταστάσεις· ἐχρῆν σε πάλιν μὴ ἀποφαίνεσθαι χρώμενον ἀρχαῖς πορρωτάτω τῆς ἀληθείας. Πόθεν γὰρ ἔχεις, ὅτι χωρὶς γνώμης τοῦ πάππα ἐχειροτονοῦντο οἱ πατριάρχαι; Βοᾷ Λέων ὁ πάππας ἐν ταῖς πρὸς Μαρκιανὸν καὶ Πουλχερίαν ἐπιστολαῖς ταῖς μετὰ τὰ Πρακτικὰ τῆς δ' συνόδου, Ἀνατόλιον συναινέσει τοῦ Ῥώμης γεγονέναι Κωνσταντινουπόλεως ἐπίσκοπον· βοᾷ ὁ πάππας Ἀδριανός· μάλιστα ἐν τοῖς αὐθεντικοῖς γράμμασιν αὐτοῦ Λατινικοῖς, πράξει τῆς ζ' συνόδου δευτέρᾳ, ἅπερ ὁλόκληρα ἐντέθεικεν ὁ βιβλιοθηκάριος Ἀναστάσιος· ὡς οὐκ ἂν ποτε συνῆνεσε τῇ καταστάσει Ταρασίου τοῦ πατριάρχου, ἐπειδὴ ἐκ λαϊκοῦ ἅθρόον ἁλόσε τὴν ἐπισκοπὴν Κωνσταντινουπόλεως, εἰ μὴ αὐτὸν ἔγνω σύνδρομον τῇ ὀρθοδοξίᾳ κατὰ τῶν Εἰκονομάχων. Τί δεῖ πολλὰ λέγειν; Πόθεν ἡ καταβολὴ τοῦ μεγάλου σχίσματος, ὦ, φεῦ! τὴν Ἀνατολικὴν κατανέμεται Ἐκκλησίαν, εἰ μὴ ὅτι Φώτιος μὴ φέρων τὰς ἐπιτιμήσεις τῶν ἀρχιερέων τῆς Ῥώμης, τὴν ὑπερβολὴν τῆς ἐκείνου φιλαρχίας ἀνακοπτόντων, καὶ ὡς ἔννομον πατριάρχην μηδαμῶς καταδεχομένων, αὐτὸς τὰ χαλινὰ τῆς ὑπεξουσίου ἱερωσύνης διαῤῥήξας ἀνταρχίαν ἐμελέτησε καὶ αὐταρχίαν, καὶ κατεφύτευσε τὴν πολυώδυνον τοῦ σχίσματος πλάνην; Μάτην ἄρα ἐπιφέρεις, Νεῖλε, τὴν παράδοξόν σου θέσιν· μᾶλλόν εἶναι πρῶτον τὸν τῆς Κωνσταντίνου πρὸς τοὺς ὑπ' αὐτὸν, ἢ τὸν Ῥώμης πρὸς ἐκεῖνον· δειχθέντος γὰρ τοῦ πάππα κυρίου τῶν χειροτονιῶν τοῦ Κωνσταντινουπόλεως· ὃς εἴπερ ποτὲ νόμιμον ἔσχε πρωτεῖον πρὸς τοὺς ὑπ' αὐτὸν, τοῦτο λαβὼν ἔσχε παρὰ τοῦ πάππα· ὥσπερ καὶ τὴ δευτέραν τάξιν ἐπέχειν μετὰ τοὺς Λέοντος χρόνους ὕστερον ἔλαβε παρὰ τοῦ πάππα, ὡς μαρτυρεῖ Ἀδριανὸς ὁ Ῥώμης ἐν τῷ αὐθεντικῷ αὐτοῦ γράμματι κατὰ τὴν β' τῆς ζ' συνόδου πρᾶξιν· ἐν ᾗ δευτερον ἀριθμεῖσθαί φησι, χαρισαμένου τοῦτο τοῦ ἀποστολικοῦ θρόνου· οὐ μὴν συγχωρεῖ καὶ οἰκουμενικὸν ὀνομάζεσθαι, αἱρετικῆς γὰρ τοῦτο φρενοβλαβείας εἶναί φησιν· δειχθέντος οὖν τοῦ πάππα κυρίου τῶν χειροτονιῶν τοῦ Κωνσταντινουπόλεως, ἀναγκαίως ἕπεται ἐξ ὧν ἀρκούντως εἰρήκαμεν τοὐναντίον· πολλῷ μᾶλλον ὑπερκείμενον τοῦ Κωνσταντινουπόλεως εἶναι τὸν πάππαν, ἢ ἐκεῖνον τῶν ὑπ' αὐτόν.

## NILUS (Cap. XI).

Legito sextum canonem primæ synodi, ut scias, partem Alexandrino, partem universi adjudicatam fuisse Romano, et partem Antiocheno, nec licere uni in partem alterius insilire. Antiqui mores serventur, etc. Audis canonem præcipere, ut veteres Patrum leges observentur, quodque hoc datum sit Romano, nimirum occiduis præesse partibus, sub sede autem Constantinopolitana esse ait diœceses Asianas, et Ponticas et Thracias canon 28 quartæ synodi. Si igitur sua quisque parte contentus est, positum ordinem servat. Si quis vero sua quidem retineat, iniquis autem oculis alienas quoque affectet provincias, hic omnino mores Patrum antiquos perfringit.

## ΝΕΙΛΟΣ.

Ἀνάγνωθι κανόνα ς' τῆς ἁγίας πρώτης συνόδου, ἵν' εἰδῇς, ὡς μέρους μὲν ὁ Ἀλεξανδρείας, μέρους δὲ τῆς οἰκουμένης ἄρχειν ὁ Ῥώμης ἐκρίθη, μέρους δὲ ὁ Ἀντιοχείας, καὶ ὡς οὐκ ἔξεστιν ἑτέρῳ τοῖς ἀλλοτρίοις ἐπιπηδᾷν. Τὰ ἀρχαῖα ἔθη κρατείτω, καὶ τὰ ἐξῆς. Ἀκούεις, ὅπως τοὺς ἀρχαίους τῶν Πατέρων θεσμοὺς ὁ κανὼν στέργειν οἴεται δεῖν. Καὶ ὅτι τῷ Ῥώμης τοῦτο δέδοται, δηλαδὴ τῶν ἑσπερίων κρατεῖν· ὑπὸ δὲ τὸν θρόνον Κωνσταντινουπόλεως ὁ κη' τῆς τετάρτης συνόδου φησὶ τάς τε τῆς Ἀσίας διοικήσεις, καὶ ὅσαι τοῦ Πόντου καὶ τῆς Θρᾴκης. Εἰ μὲν οὖν ἕκαστος ἀρκεῖται τοῖς ἑαυτοῦ, τὴν γενομένην σώζει τάξιν· εἰ δέ τις κατέχων τὰ αὐτοῦ καὶ τὰς ἑτέρων παροικίας ἀδίκοις ὀφθαλμοῖς ἀφῇ, τοῦτον οὐκ ἔστι μὴ καταλύειν τὰ ἀρχαῖα τῶν Πατέρων ἔθη.

ΑΝΤΙΡΡΗΣΙΣ.

Εὖ γε τῆς ἀγχινοίας ! Ὁ κανὼν τῆς α' συνόδου τεσσάρων μέμνηται θρόνων, ἐν οἷς μάλιστα βούλεται κρατεῖν τὰ παλαιὰ ἔθη· σὺ δὲ καὶ πέμπτον εἰσάγεις θρόνον τὸν Κωνσταντινουπόλεως· καὶ ἀπὸ τῆς πρώτης συνόδου πηδᾷς ἐπὶ τὴν τετάρτην· καὶ τοῖς ἀρχαίοις τῶν ἀποστολικῶν θρόνων ἔθεσι συναριθμεῖς καὶ τὰ τοῦ Κωνσταντινουπόλεως, παράγων κανόνα νόθον, ἀδόκιμον, ἄκυρον.

Εἶτα καὶ τοῦ γνησίου κανόνος τὴν ἀρχὴν ἀπεκόψατε, ὡς ἐκ τῆς ις' πράξεως τῆς δ' συνόδου δῆλον. Ἀναγνωσθεὶς γὰρ ἐκεῖ παρὰ τῶν Ῥωμαίων ὁ κανών, οὕτως ἔχει· « Ἡ Ἐκκλησία Ῥώμης πάντοτε ἔσχε τὰ πρωτεῖα. Ἔχει τοιγαροῦν καὶ ἡ Αἴγυπτος, ὥστε τὸν ἐπίσκοπον Ἀλεξανδρείας πάντων ἔχειν ἐξουσίαν, ἐπειδὴ καὶ τῷ Ῥώμης ἐπισκόπῳ τοῦτο σύνηθές ἐστι, » καὶ τὰ ἑξῆς. Ἀναγνωσθεὶς δὲ καὶ παρὰ τῶν ἀνατολικῶν οὕτως ἔχει· « Τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει, ὥστε τὸν Ἀλεξανδρείας ἐπίσκοπον πάντων τούτων ἔχειν ἐξουσίαν, ἐπειδὴ καὶ τῷ ἐν Ῥώμῃ ἐπισκόπῳ τοῦτο σύνηθές ἐστιν. » Οὕτω μὲν οὖν κολοβωθέντος τοῦ ἀληθοῦς κανόνος ἐκεῖνο θαυμαστὸν, ὅτι ἀποκοπὴ γέγονε τοῦ πρωτείου τῆς Ῥώμης, καὶ προσθήκη τοῦ Κωνσταντινουπόλεως. Καὶ τοιούτοις πανουργεύμασι χρώμενοι πολεμεῖτε τῷ πάππᾳ, καὶ τὴν θαυμαζομένην ὑμῶν ὀρθοδοξίαν στηρίζετε.

Λέγεις ἐκείνας τοῦ κανόνος τὰς φωνὰς, « Ἐπειδὴ καὶ τῷ ἐν Ῥώμῃ ἐπισκόπῳ τοῦτο σύνηθές ἐστι, » τοῦτο σημαίνειν· Ἐπειδὴ τῷ πάππᾳ δέδοται τῶν ἑσπερίων κρατεῖν· ὅπερ οὐχ ἑρμηνεύειν ἐστὶν, ἀλλὰ βιάζεσθαι τὰς λέξεις· ἐῶ γὰρ λέγειν, ὅτι ἐκ τῶν τοῦ κανόνος ῥημάτων οὐχὶ νῦν πρῶτον ὁ πάππας ἔλαβε τὸ κρατεῖν τῶν ἑσπερίων, ἀλλ' ὡς κεκτημένος εἰσάγεται· οὐ γὰρ λέγει, Καθὼς ἐν τοῖς ἑσπερίοις ἐστὶ σύνηθες, ἀλλ' Ἐπειδὴ τοῦτό ἐστι σύνηθες. Δεικτικὴ οὖσα ἀντωνυμία ἡ λέξις, *τοῦτο*, εἰ μὲν πρᾶγμα δείκνυσι, τὴν ἐκείνου παρουσίαν ἐμφαίνει, ὡς ἡνίκα λέγεται, Τοῦτό μού ἐστι τὸ σῶμα· τοῦ πράγματος δὲ μὴ παρόντος, ἀνάγκη τὴν δύναμιν τῆς δείξεως φέρεσθαι ἢ πρὸς τὸ ἔγγιστα προηγούμενον, ἢ τὸ προσεχῶς μεθεπόμενον· οἷον ἐν τῷ πρώτῳ κανόνι τῆς αὐτῆς πρώτης συνόδου φασὶν οἱ Πατέρες· « Ὥσπερ δὲ τοῦτο πρόδηλον, ὅτι περὶ τῶν ἐπιτηδευόντων τὸ πρᾶγμα, καὶ τολμώντων ἑαυτοὺς ἐκτέμνειν εἱρηται· » ὁρᾷς τὴν ἀντωνυμίαν, *τοῦτο*, δεικτικὴν οὖσαν τοῦ προσεχῶς ἐπιφερομένου. Καὶ ἐν τῷ ε' κανόνι, « Ἐξεταζέσθω, φασὶ, μὴ μικροψυχίᾳ, ἢ φιλονεικίᾳ, ἢ τινι τοιαύτῃ ἀηδίᾳ τοῦ ἐπισκόπου ἀποσυνάγωγοι γεγένηνται. Ἵνα οὖν τοῦτο τὴν πρέπουσαν ἐξέτασιν λαμβάνῃ, καλῶς ἔχειν ἔδοξεν· » καὶ τὰ ἑξῆς. Ἐνταῦθα ἡ ἀντωνυμία, *τοῦτο*, σημαίνει τὸ ἔγγιστα προηγούμενον· καὶ ἐν τῷ η' κανόνι περὶ τῶν Καθαρῶν, « Πρὸ πάντων δὲ, φασὶ, τοῦτο ὁμολογῆσαι αὐτοὺς ἐγγράφως προσήκει, ὅτι συνθήσονται καὶ ἀκολουθήσουσι τοῖς δόγμασι τῆς καθολικῆς Ἐκκλησίας· » ἐνταῦθα ἡ λέξις, *τοῦτο*, ἀναφέρεται πρὸς τὸ ὁμόσαι ἐπόμε-

A

CONFUTATIO.

Egregium sane hominis ingenium ! Canon primæ synodi quatuor sedes memorat, in quibus potissimum vult antiquos durare mores ; tu vero quinta u addis sedem Constantinopolitanam; et e prima synodo saltas in quartam ; et antiquis apostolicarum sedium moribus annumeras quæ sunt Constantinopolitani ; profersque canonem illegitimum, improbatum, nullas vires habentem.

Deinde et germani canonis principium recidistis, ut constat ex XVI act. quartæ synodi. Si quidem recitatus ibi canon a Romanis sic habet : « Ecclesia Romana semper habuit primatum : habet igitur et Ægyptus, ut episcopus Alexandrinus Ægyptiorum omnium habeat potestatem, quandoquidem et Romano episcopo hoc in more positum est, etc. » Juxta Orientales autem ita se habet : « Antiquæ consuetudines serventur, quæ in Ægypto, Libya et Pentapoli, ut Alexandrinus episcopus horum omnium habeat potestatem, quandoquidem hoc et Romano episcopo in more positum est. » Ita vero canone detruncato illud admirari licet, primatus Romani factam esse mutilationem, et additamentum de Constantinopolitano. Et hujusmodi fraudibus oppugnatis papam, et eximiam vestram stabilitis orthodoxiam.

B

Dicis voces illas, « Quandoquidem hoc et Romano episcopo in more positum est, » hoc sibi velle : Quandoquidem Romano episcopo datum est ut Occidentalibus præsit. Sed hoc (præterquam quod verba synodi non significant, dari eo tempore papæ potestatem in Occidentales, sed ut antiquam supponunt) non interpretari est, verum inferre vim vocibus ; non enim dicit, Sicuti mos est in Occidentalibus, sed, Quandoquidem hoc est in more. *Hoc* pronomen cum demonstrativum sit, si rem ostendat, præsentem significat ; ut cum dicimus : Hoc est corpus meum : si res non præsens sit, necesse est ut vis demonstrationis feratur vel in proxime antecedens, vel in proxime subsequens : ut cum in primo canone primæ synodi aiunt Patres : « Sicut autem manifestum est dictum hoc esse de iis qui rem hanc de industria faciunt, et virilitatem sibi abscindunt, » certe pronomen *hanc* demonstrat quod proxime sequitur. Et canone 5, « Exquiratur, inquiunt, ne indignatione, aut contentione, aut quavis alia episcopi offensione excommunicati sint. Ut igitur hoc digna examinatione quæratur, visum est in rem esse ; » pronomen *hoc* significat, quod proxime antecedit. Et canone 8 de Catharis, « Ante omnia, inquiunt, hoc eos fateri oportet scripto, se suscipere et sequi catholicæ Ecclesiæ dogmata, » pronomen *hoc* refertur ad immediate subsequens. Quomodo igitur, quando sextus canon ait : « Ut Alexandrinus episcopus horum omnium habeat potestatem : quandoquidem et Romano episcopo hoc in more positum est, »

C

D

pronomen *hoc* non refertur ad præcedens, non ad aliquid consequens, ut suapte natura postulat, sed per te demonstrat quod nec antea, nec postea relatum est? Ita enim perverse interpretari est, et vocum significantias detorquere. Quod si, omissis distortionibus, nudum Patrum sequaris sensum, invenies mentem illorum esse, ut consuetudines antiquæ serventur : serventur Alexandriæ quoniam hic Romani etiam mos est. At mos antiquior Romani episcopi nullus est quam is quem princeps apostolorum Petrus induxit : induxit autem Antiochiæ, ubi primum ille sedem tenuit, deinde Evodium constituit : induxit morem Alexandriæ, constituto ejus episcopo evangelista Marco. Præcipit igitur, ut hi mores serventur, et diœceses jam divisæ non confundantur, cum sedes Romana semper habuerit primatum indefinite, ita ut mores particulares pendeant ex more Romanæ Ecclesiæ.

Hic sensus et planus est et rerum veritati consentit. Sed ponamus sensum verborum esse qui tibi placet : sua habeat Alexandria, quoniam Occidentales partes habet Romanus. Duo hic sunt quæ inter se differunt : diœceses et terræ climata esse dispertita, et in his diœcesibus nullam esse subordinationem. Primum asserit canon, secundum tu addis. Habemus a canone, provincias esse dispertitas; sed esse ita divisas, ut nulla sit illarum subjectio, non dicit canon, at vos additis. Si quis dicat diversa esse membra corporis, et officia diversa, verum dicit; at non ideo negat cor, quod unum membrum est, esse illud unde in totum corpus vita emanat. Si quis Romanum dicat imperium in multas dividi provincias, verum dicit; at non ideo negat unam esse regiam urbem, in qua sedet imperator, quæ simul est et imperii pars et caput imperii. Divisæ sunt et gentes ab initio per Petrum ad commodam administrationem variis subditæ patriarchis; cæterum in his etiam est communis religionis et orthodoxiæ metropolis, cui subsunt omnes, Romana sedes. Si canon primæ synodi illum sensum haberet, quem tu ais, profecto synodi posteriores œcumenicæ contrarium non docuissent; non ostendissent verbis et factis, patriarcharum auctoritatem esse limitatam, papæ auctoritatem toto orbe illimitatam. Quod ut perspectum fiat, inductione probabitur.

Patres œcumenicæ synodi secundæ, ut narrat Theodoretus v *Historiæ ecclesiasticæ*, celebrato Constantinopoli generali concilio, sequenti æstate plurimi eorum rursus convenere Constantinopolim, et accepta synodica epistola ab Occidentalibus convocante illos Romam, responderunt hoc quidem se tunc non posse; Constantinopolim vero convenisse vi litterarum, anno superiore missa-

A νόν. Πῶς οὖν ὅτε ὁ ς' κανὼν λέγει· « Ὥστε τὸν Ἀλεξανδρείας ἐπίσκοπον πάντων τούτων ἔχειν ἐξουσίαν, ἐπειδὴ καὶ τῷ ἐν Ῥώμῃ ἐπισκόπῳ τοῦτο σύνηθές ἐστιν· » ἡ λέξις, *τοῦτο*, οὐ πρὸς τὸ προηγούμενον, οὐ πρός τι ἐφεπόμενον ἀναφέρεται κατὰ τὴν ἑαυτῆς φύσιν, ἀλλ' ἕτερόν τ' δείκνυσιν οὔτε πρότερον οὔτε ὕστερον μνημονευθέν; τοῦτο γὰρ παρερμηνεύειν ἐστὶ, καὶ βιάζεσθαι τῶν λέξεων τὰς σημασίας. Εἰ δὲ ἀφέμενος τῆς τῶν λέξεων διαστροφῆς ἀκολουθήσαις ἁπλῇ τῇ ἐννοίᾳ τῶν Πατέρων, εὑρήσεις τὸν ἀληθῆ νοῦν. Φυλαττέσθω τὰ ἀρχαῖα ἔθη, φυλαττέσθω τὰ ἐν Ἀλεξανδρείᾳ, ἐπειδὴ τοῦτο καὶ τῷ Ῥώμης ἔθος ἐστίν. Ἀρχαιότερον δὲ ἔθος ἐπισκόπου Ῥώμης οὐκ ἔστιν, ἢ ὅπερ εἰσήνεγκεν ὁ πρωταπόστολος Πέτρος· εἰσήνεγκε δὲ
B Πέτρος τὸ ἐν Ἀλεξανδρείᾳ ἔθος, καταστήσας ἐκεῖ τὸν εὐαγγελιστὴν Μάρκον· εἰσήνεγκε τὸ ἐν Ἀντιοχείᾳ ἔθος, ἐκεῖ πρῶτον αὐτὸς ἐπισκοπεύσας, εἶτα καταστήσας τὸν Εὐόδιον. Ταῦτα οὖν, φησὶ, τὰ ἔθη κρατείτω, καὶ αἱ διοικήσεις μὴ συγχείσθωσαν οὖσαι διωρισμέναι· ὁ γὰρ Ῥώμης θρόνος πάντοτε ἔσχε τὰ πρωτεῖα ἀδιορίστως, καὶ τοῦτό ἐστιν αὐτοῦ τὸ ἔθος.

Ὁ νοῦς οὗτος καὶ ἀδιάστος ἐστι, καὶ ἀκόλουθος τῇ οἰκονομίᾳ τῶν πραγμάτων. Θῶμεν δὲ ὅμως σὴν χάριν ἔχειν τὴν λέξιν οὕτως ὡς σὺ λέγεις· ἐχέτω ἡ Ἀλεξανδρεία τὰ ἑαυτῆς, ἐπειδὴ ὁ Ῥώμης ἔχει τὰ ἑσπέρια. Δύο γοῦν ἐν τούτῳ ἐστὶ καὶ διάφορα· τὸ εἶναι διανενεμημένας τὰς διοικήσεις καὶ τὰ κλίματα τῆς γῆς, καὶ τὸ ἐν ταύταις ταῖς διοικήσεσι μηδεμίαν εἶναι ὑπαλληλίαν. Τὸ πρῶτον λέγει ὁ κανὼν, τὸ δεύτερον σὺ προσάπτεις. Ἔχομεν ἀπὸ τοῦ κα
C νόνος διῃρημένας εἶναι τὰς ἐπαρχίας· τὸ δὲ οὕτως εἶναι ἀντιδιῃρημένας ὡς μηδένα ἔχειν ὑποδιδασμὸν ὑπακοῆς οὐ λέγει ὁ κανὼν, ἀλλ' ὑμεῖς προστίθετε. Εἴ τις λέγοι διάφορα εἶναι τὰ μέλη τοῦ σώματος, καὶ τὰς ἐνεργείας διαφόρους, ἀληθεύει· ἀλλ' οὐ διὰ τοῦτο ἀφαιρεῖται τὴν καρδίαν, ἥτις ἓν μέλος ἐστὶ, τὸ εἶναι μέλος ζωογονοῦν ἅπαν τὸ σῶμα. Εἴ τις λέγοι τὴν Ῥωμαϊκὴν βασιλείαν διαιρεῖσθαι εἰς πολλὰς ἐπαρχίας, ἀληθεύει· ἀλλ' οὐχὶ διὰ τοῦτο ἀπαρνεῖται τὸ μίαν εἶναι τὴν βασιλίδα πόλιν, ἐν ᾗ προκάθηται ὁ βασιλεὺς, ἥτις καὶ μέρος τῆς βασιλείας
D ἐστὶ καὶ μητρόπολις τῆς βασιλείας· διῃρημένα γοῦν ἐστι καὶ τὰ ἔθνη καταρχὰς ὑπὸ τοῦ Πέτρου, ἵν' εὐχερέστερον διοικοῖτο διαφόροις ὑποκείμενα πατριάρχαις· πλὴν ἐστι κἀν τούτοις ἡ κοινὴ τῆς εὐσεβείας καὶ ὀρθοδοξίας μητρόπολις, ὁ θρόνος τῆς Ῥώμης, ᾧ πάντες ὑπόκεινται. Εἴπερ ὁ κανὼν τῆς πρώτης συνόδου τοιοῦτον εἶχε νοῦν, οἷον σὺ λέγεις, πάντως αἱ μετ' αὐτὴν οἰκουμενικαὶ σύνοδοι οὐκ ἂν ἐδίδαξαν τἀναντία· οὐκ ἂν ἔργοις ἔδειξαν καὶ λόγοις τῶν πατριαρχῶν τὴν ἐξουσίαν εἶναι ὡρισμένην, τοῦ πάππα ἀρίστου κατὰ τὴν ὑφήλιον ἅπασαν. Καὶ ἵνα κατάδηλον τοῦτο γένηται, δι' ἐπαγωγῆς ἀποδείκνυται.

Οἱ Πατέρες τῆς ἁγίας οἰκουμενικῆς β' συνόδου, ὡς φησι, Θεοδώρητος ἐν τῷ ε' τῆς *ἐκκλησιαστικῆς ἱστορίας*, τὴν οἰκουμενικὴν συγκροτήσαντες σύνοδον ἐν Κωνσταντινουπόλει, τοῦ ἐπιγενομένου θέρους εἰς ἐκείνην αὖθις τὴν πόλιν οἱ πλεῖστοι ἐκείνων παρεγένοντο, καὶ συνοδικὴν ἐπιστολὴν δεξάμενοι παρὰ τῶν τῆς ἑσπέρας, εἰς Ῥώμην αὐτοὺς ἀφικέσθαι προτρέπουσαν, ἀπεκρίναντο τοῦτο μὲν

μὴ δύνασθαι τότε αὐτοὺς, εἰς Κωνσταντινούπολιν δὲ συνδραμεῖν ἐκ τῶν πέρυσι γραμμάτων τῶν παρὰ τῆς ἑσπέρας ἐπισταλθέντων πρὸς τὸν βασιλέα Θεοδόσιον· ἄλλως τε μὴ φέροντας μερικὴν συγκατάθεσιν παρὰ τῶν μεινάντων ἐν ταῖς ἐπαρχίαις ἐπισκόπων καὶ διὰ στενότητα τῆς τεθείσης προθεσμίας. Ἐκ τούτων οὕτω φημί· Οἱ ἀνατολικοὶ Πατέρες δυνάμει τῶν γραμμάτων τοῦ πάππα συνῆλθον εἰς Κωνσταντινούπολιν· ἀλλὰ μὴν τοῦτο ἐξουσίας ἐστὶν ἔξω τῶν ἑσπερίων· ἔχει τοίνυν ὁ πάππας τὴν ἐξουσίαν καὶ ἔξω τῶν ἑσπερίων. Πρὸ τῆς ἁγίας τρίτης συνόδου ἔγραφε Κύριλλος Κελεστίνῳ τῷ πάππᾳ περὶ τοῦ ματαιόφρονος Νεστορίου ἐν τῷ πρὸ τῶν Πρακτικῶν κεφ. ιδ'· « Ὅτι ἐπειδὴ τὰ μακρὰ τῶν Ἐκκλησιῶν ἔθη πείθουσιν ἀνακοινοῦσθαι τῇ σῇ ὁσιότητι ἐν ἀναγκαίοις οὕτω πράγμασιν, ἐν οἷς καὶ ἡ τῆς πίστεως ὀρθότης παρασαλεύεται, γράφω πάλιν ἀναγκαίως. »

A rum ab Occidente ad imperatorem Theodosium : præsertim cum non haberent peculiarem assensum ab episcopis qui remanserant in provinciis, et quia præfinitum tempus angustum erat. Ex his ita dico : Orientales vi litterarum papæ convenerunt Constantinopolim ; at hoc est auctoritatis extendentis se ultra regiones Occidentales : ergo Papa habet auctoritatem etiam extra Occidentem. Ante sanctam tertiam synodum scribebat Cyrillus ad Cœlestinum papam de insipiente Nestorio, prima parte concilii Ephesini, cap. 14 : « Quoniam antiquus Ecclesiarum mos suadet, de rebus adeo necessariis admonendam esse Tuam Sanctitatem, in quibus et fidei rectitudo labefactatur, scribo iterum necessario. »

Ἐν τούτοις φησὶ Κύριλλος ἀναγκαίως γράφειν τῷ πάππᾳ κατὰ τὰ μακρὰ ἔθη τῶν Ἐκκλησιῶν, ὅπου ἡ τῆς πίστεως ὀρθότης παρασαλεύεται. Ἐκ τούτου λέγω· Ἔθος ἦν τῶν Ἐκκλησιῶν σαλευομένης τῆς πίστεως γράφειν τῷ πάππᾳ· ἔστιν ἄρα ὁ πάππας φύλαξ τῆς πίστεως, καὶ αἱ Ἐκκλησίαι ἐπεγίνωσκον αὐτὸν διορθωτὴν τῶν ἁπανταχοῦ αἱρέσεων· ἄρα καὶ ἐπιστασίαν ἔχοντα ἔξω τῶν ἑσπερίων. Καὶ πρὸς τῷ τέλει τῆς ἐπιστολῆς γράφει ὁ Κύριλλος· « Οὐ πρότερον δὲ τῆς πρὸς Νεστόριον κοινωνίας ἐκβάλλομεν ἑαυτοὺς μετὰ παῤῥησίας, πρὶν ἂν ταῦτα τῇ σῇ θεοσεβείᾳ ἀνακοινωσώμεθα. Διὸ δὴ καταξίωσον τυπῶσαι τὸ δοκοῦν· καὶ πότερόν ποτε χρὴ κοινωνεῖν αὐτῷ, ἢ λοιπὸν ἀπειπεῖν μετὰ παῤῥησίας, ὅτι τοιαῦτα φρονοῦντι καὶ διδάσκοντι οὐδεὶς κοινωνεῖ· τὸν δ' ἐπὶ τούτοις σκοπὸν τῆς σῆς θεοσεβείας χρὴ γενέσθαι διὰ γραμμάτων καταφανῆ καὶ τοῖς θεοφιλεστάτοις τοῖς κατὰ Μακεδονίαν ἐπισκόποις, καὶ ἅπασι τοῖς κατὰ τὴν Ἀνατολικήν. »

B In his Cyrillus ait se necessario scribere papæ pro antiqua Ecclesiarum consuetudine, quando fidei rectitudo periclitatur. Ex hoc dico : Mos erat Ecclesiarum periclitante fide scribere ad papam ; est ergo papa custos fidei, et Ecclesiæ illum agnoscebant hæresum ubique terrarum exorientium castigatorem ; ergo et potestate fungentem extra Occidentem. Et ad finem epistolæ scribit Cyrillus : « Non prius autem ab illius communione palam aperteque abstinemus, quam hæc pietati tuæ nota faceremus. Ne igitur dedigneris statuere quod placuerit ; et an communicandum cum illo sit, an vero libere ei denuntiandum neminem communicare cum eo qui ita sentiat et doceat. Tuæ porro pietatis sententia per litteras notificanda est reverendissimis Macedoniæ episcopis et cunctis Orientalibus. »

Εἴπερ ὁ Κύριλλος πατριάρχης ὢν Ἀλεξανδρείας οὐ τολμᾷ ἑαυτὸν ἀπορρῆξαι τῆς πρὸς τὸν αἱρετικὸν κοινωνίας δίχα τῆς ἐπιταγῆς τοῦ πάππα, παρ' οὗ αἰτεῖται τοῦ τυπωθῆναι τὸ δοκοῦν, καὶ γνωρισθῆναι τὴν ἀπόφασιν αὐτοῦ πᾶσι τοῖς κατὰ τὴν ἀνατολήν· ἄρα ἐξουσίαν ἔχει ὁ πάππας ἐπὶ τοὺς πατριάρχας, καὶ ἐπὶ πᾶσαν τὴν ἀνατολήν. Ἀποκρινόμενος δὲ Κελεστῖνός φησι πρὸς τὰ τοῦ Κυρίλλου· « Συναφθείσης σοι τοίνυν τῆς αὐθεντίας τοῦ ἡμετέρου θρόνου, καὶ τῇ ἡμῶν τοποτηρησίᾳ ἐξουσιαστικῶς χρησάμενος, ταύτην ἐκβιβάσεις ἀκριβεῖ στερρότητι τὴν ἀπόφασιν· ἵνα ἢ ἐντὸς δέκα ἡμερῶν τὰ κακὰ ἑαυτοῦ κηρύγματα ἐγγράφῳ ὁμολογίᾳ ἀθετήσῃ· ἢ ἐὰν τοῦτο μὴ ποιήσῃ, εὐθὺς ἡ σὴ ἁγιότης ἐκείνης τῆς Ἐκκλησίας προνοησάτω. »

C Si Cyrillus patriarcha Alexandrinus non audet se ab hæretici communione segregare citra papæ mandatum, a quo petit statui quod placuerit, et notam fieri ejus sententiam cunctis Orientalibus, ergo potestatem habet papa in patriarchas et in universum Orientem. Respondens autem Cœlestinus Cyrillo ait : « Quamobrem nostræ sedis auctoritate ascita, nostraque vice ac loco cum potestate usus, ejusmodi non absque exquisita severitate sententiam exsequeris ; nempe, ut nisi decem die-

D rum intervallo nefariam doctrinam suam concepti verbis anathematizet, illico sanctitas tua illi Ecclesiæ prospiciat. »

Πῶς ἔστι φανερώτερον ἀποδεῖξαι ἢ διὰ τούτων τῶν φωνῶν, ὅτι ὁ πάππας κριτὴς ἐστι καὶ μόνος δικαιητὴς τῶν πατριαρχῶν ἁπάντων; Τί δὲ, ὅτι ἐκ τῆς τοποτηρησίας τοῦ Κυρίλλου ταύτης εἰλήφασιν οἱ πατριάρχαι τῆς Ἀλεξανδρείας τὰς κομπώδεις ἐπιγραφὰς καὶ περιέργους ἐπωνυμίας, τῷ καλεῖν ἑαυτοὺς πάππας καὶ πατριάρχας, καὶ κριτὰς τῆς οἰκουμένης; Τοσαύτη πάλαι ἦν παρὰ τοῖς ἀνατολι-

At quomodo posset clarioribus verbis exprimi papam esse judicem et solum arbitrum omnium patriarcharum? Quid? quod ex hac Cyrillo delegata potestate successores Alexandrini patriarchæ sumpsere fastosos titulos et ambitiosas inscriptiones, ut se papas et patriarchas, et orbis terrarum judices vocent? Tanta olim erat apud Orientales opinio et majestas papæ, quam modo vos adeo

extenuatis. Eadem Cœlestinus et Nestorio scribit, sententiam cum potestate proferens, et excommunicationem interminans. Quomodo ergo papa hæc minabatur et decernebat, si nullam habebat in patriarchas potestatem? Quomodo etiam actione secunda tertiæ synodi Cœlestinus papa scribens ad synodum, « Direximus, inquit, pro nostra sollicitudine Arcadium et Projectum episcopos, et Philippum presbyterum nostrum, qui iis quæ aguntur intersint, et quæ a nobis antea statuta sunt exsequantur. » Statuta, inquit, a nobis exsequantur. Præsente synodo œcumenica dicit papa, exsecutoros esse legatos statuta ab eo, cum synodus ad hoc unum congregata esset, et omnes reverendissimi episcopi simul acclamarunt: « Hoc justum judicium: Cœlestino universa synodus gratias agit. » Et Firmus, Cæsareæ Cappadociæ episcopus, interlocutus dixit, posteaquam elapsum esset tempus præstitutum Nestorio, mandatam fuisse exsecutioni sententiam quam miserat sedes apostolica Cœlestini. Deinde Philippus presbyter, papæ legatus, quomodo ausus esset synodum ita alloqui: « Gratias agimus sanctæ synodo, quod litteris beati papæ nostri vobis recitatis, sancta membra sanctis vestris vocibus, sancto capiti, sanctis vestris acclamationibus obtuleritis. Non enim ignorat vestra beatitudo, totius fidei et apostolorum caput esse beatum Petrum. » Et hic idem Philippus actione tertia: « Nulli dubium, inquit, imo sæculis omnibus notum est, quod beatissimus Petrus, princeps et caput apostolorum, columna fidei, Ecclesiæ catholicæ fundamentum, regni claves accepit a Domino nostro Jesu Christo; et ipsi data est potestas ligandi solvendique peccata. Qui usque adhuc et in perpetuum in suis successoribus vivit et judicat. » Et hæc dicentem suscepit sancta synodus et sua confessione dicta illius obsignavit, in relatione ad papam scribens de Joanne Antiocheno, qui celeberrimum Cyrillum iniqua depositione damnaverat: « Verum ut Joannis temeritatem longanimitate vinceremus (depositionem ejus) reservavimus judicio pietatis tuæ. » Et infra: « Proinde Sanctitas Tua convenienti indignatione concitetur. Nam si volentibus licebit etiam majores sedes afficere contumeliis, et sententias adeo iniquas contra præscripta canonum ferre in eos in quos nihil juris habent, in extremam confusionem dilabentur res ecclesiasticæ. »

Provocat synodus indignationem papæ, quoniam Antiochenus inique deposuerat Cyrillum, majoris sedis episcopum. Quo igitur modo dici queat synodum illam non agnovisse in papa potestatem universalem, si judicium illi relinquebat, et ægre

A κοῖς; ἡ ὑπόληψις καὶ τὸ μεγαλεῖον τοῦ πάπα, ὃ νῦν ὑμεῖς τοσοῦτον ἐξευτελίζετε. Τὰ αὐτὰ Κελεστῖνος καὶ πρὸς Νεστόριον γέγραφεν, ἐξουσιαστικῶς τὴν ἀπόφασιν προδιδάζων, καὶ ἀφορισμὸν ἐπανατεινόμενος. Πῶς οὖν ὁ πάπας ταῦτα ἠπείλει καὶ ὥριζε μηδεμίαν ἔχων ἐπὶ τοὺς πατριάρχας ἐξουσίαν; Ἢ πῶς ἐτόλμα τοποτηρητὴν ἑαυτοῦ καθιστάναι τὸν Κύριλλον, καὶ προθεσμίαν ἡμερῶν διορίζειν, καὶ πράττειν ὅσα κριτοῦ καὶ ἐπιστάτου ἴδια τυγχάνει κατὰ τοῦ Κωνσταντινουπόλεως πατριάρχου; Πῶς δὲ ἐν τῇ β' πράξει τῆς τρίτης ταύτης συνόδου Κελεστῖνος ὁ πάπας τῇ ἁγίᾳ συνόδῳ γράφων, « Ἀπεστείλαμεν, φησὶ, τὴν ἡμετέραν ἀναδεχομένους φροντίδα, Ἀρκάδιον καὶ Προῖεκτον ἐπισκόπους, καὶ Φίλιππον τὸν ἡμέτερον πρεσβύτερον, οἳ τοῖς B πραττομένοις παρέσονται, καὶ τὰ παρ' ἡμῶν πάλαι ὁρισθέντα ἐκβιβάσουσιν. » Τὰ παρ' ἡμῶν, φησὶν, ὁρισθέντα ἐκβιβάσουσιν. Παρούσης οἰκουμενικῆς συνόδου λέγει ὁ πάπας, ὅτι τὰ παρ' αὐτοῦ ὁρισθέντα ἐκβιβάσουσιν οἱ τοποτηρηταὶ, καίτοι τῆς συνόδου ἐπὶ τοῦτ' αὐτὸ συναχθείσης. Καὶ πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἅμα ἀνεβόησαν· « Αὕτη δικαία κρίσις. Κελεστίνῳ εὐχαριστεῖ πᾶσα ἡ σύνοδος. » Καὶ Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας διαλαλήσας ἔφη ὅτι τῆς προθεσμίας τῆς δοθείσης Νεστορίῳ παρελθούσης, ἐξεβίβασαν τὸν τύπον, ὃν ὁ ἀποστολικὸς θρόνος Κελεστίνου ἐπεπόμφει. Εἶτα καὶ Φίλιππος ὁ πρεσβευτὴς τοῦ πάπα πῶς ἂν ἐτόλμησε πρὸς τὴν σύνοδον εἰπεῖν· « Χάριτας ὁμολογοῦμεν τῇ ἁγίᾳ συνόδῳ, ὅτι ἀναγινωσκομένων ὑμῖν C τῶν γραμμάτων τοῦ μακαρίου ἡμῶν πάπα, τὰ ἅγια μέλη ταῖς ἁγίαις ὑμῶν φωναῖς τῇ ἁγίᾳ κεφαλῇ, καὶ ταῖς ἁγίαις ὑμῶν ἐκβοήσεσιν ἐνηνόχατε. Οὐ γὰρ ἀγνοεῖ ὑμῶν ἡ μακαριότης, ὅτι ἡ κεφαλὴ ὅλης τῆς πίστεως, ἡ καὶ τῶν ἀποστόλων, ὁ μακάριος Πέτρος. » Καὶ αὐτὸς οὗτος ὁ Φίλιππος ἐν τῇ τρίτῃ πράξει, « Οὐδενὶ, φησὶν, ἀμφιβολόν ἐστι, μᾶλλον δὲ πᾶσι τοῖς αἰῶσιν ἐγνώσθη, ὅτι ὁ μακαριώτατος Πέτρος, ὁ ἔξαρχος καὶ κεφαλὴ τῶν ἀποστόλων, ὁ κίων τῆς πίστεως, ὁ θεμέλιος τῆς καθολικῆς Ἐκκλησίας, ὑπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὰς κλεῖς τῆς βασιλείας ἐδέξατο· καὶ αὐτῷ δέδοται ἐξουσία τοῦ δεσμεῖν καὶ λύειν ἁμαρτίας· ὅστις ἕως τοῦ νῦν καὶ ἀεὶ ἐν τοῖς αὐτοῦ διαδόχοις καὶ ζῇ καὶ D δικάζει. » Καὶ τοιαῦτα φάσκοντα ἡ ἁγία σύνοδος ἀπεδέξατο, καὶ τῇ ἑαυτῆς ὁμολογίᾳ τὰς ἐκείνου ῥήσεις ἐπεσφραγίσατο ἐν τῇ πρὸς τὸν πάπαν ἀνιφορᾷ, περὶ Ἰωάννου γράφουσα τοῦ Ἀντιοχείας, ὃς τὸν ἀοίδιμον Κύριλλον παρανόμῳ καθαιρέσει ὑπεβεβλήκει· « Ὑπὲρ δὲ τοῦ τὴν Ἰωάννου προπέτειαν μακροθυμίᾳ νικῆσαι τετηρήκαμεν τὴν καθαίρεσιν αὐτοῦ τῇ κρίσει τῆς σῆς θεοσεβείας. » Καὶ κατατίρω· « Ἀγανακτησάτω τοίνυν προσφόρως ἐπὶ τοῖς γεγενημένοις ἡ σὴ ὁσιότης· εἰ γὰρ δοθείη τοῖς ἐθέλουσιν ἄδεια καὶ τοὺς μείζονας ὑβρίζειν θρόνους· καὶ καθ' ὧν οὐκ ἔχουσιν ἐξουσίαν, παρανόμως οὕτω καὶ ἀκανονίστους ἐκφέρειν ψήφους, οἰχήσεται πρὸς ἐσχάτην ἀταξίαν τὰ τῆς Ἐκκλησίας πράγματα. »

Προκαλεῖται ἡ σύνοδος τὴν ἀγανάκτησιν τοῦ πάπα, ἐπειπερ ὁ Ἀντιοχείας καθῃρήκει ἀνόμως τὸν Κύριλλον μείζονος ὄντα θρόνου. Πῶς οὖν ἡ ἁγία σύνοδος αὕτη οὐκ ἐπεγίνωσκεν οἰκουμενικὴν ἐν τῷ πάπᾳ ἐξουσίαν, ἣ καὶ τὴν κρίσιν ἐκείνῳ

τετήρηκε, καὶ μὴ φέρουσα τὸν Ἀντιοχείας γενέσθαι κριτὴν τοῦ Ἀλεξανδρείας, δέεται τοῦ πάπα ἵνα κρίνῃ τοὺς πατριάρχας, καὶ μὴ ἐάσῃ τὰ τῆς Ἐκκλησίας κατελθεῖν εἰς ἐσχάτην ἀταξίαν ;

A ferens Antiochenum usurpasse judicium in Alexandrinum, rogat papam, ut judicet patriarchas, et ne permittat Ecclesiæ res devenire in summam confusionem ?

Ἡ δὲ ἁγία τετάρτη σύνοδος πολλὰς ἔχει καὶ μεγάλας μαρτυρίας τῆς ἁπανταχοῦ ἐξουσίας τοῦ πάπα. Εὐθὺς γοῦν ἐν προοιμίοις Πασχασῖνος ἐπίσκοπος τοποτηρητὴς τοῦ πάπα στὰς ἐν μέσῳ τῆς συνόδου μετὰ τῶν σὺν αὐτῷ ἔφη · « Τοῦ μακαριωτάτου καὶ ἀποστολικοῦ ἐπισκόπου τῆς Ῥωμαίων πόλεως, κεφαλῆς ὑπάρχοντος πασῶν τῶν Ἐκκλησιῶν, προστάξεις ἔχομεν, ἐν αἷς κατηξίωσε διαλαλῆσαι, ὅπως Διόσκορος μὴ συγκαθεσθῇ τῇ συνόδῳ · εἰ δὲ ἐπιχειρήσῃ τοῦτο ποιῆσαι, ἐκβληθείη. »

Sancta synodus quarta multis magnisque testimoniis fatetur universalem papæ auctoritatem. In ipso enim exordio Paschasinus episcopus, papæ vicarius, cum in medio stetisset una cum suis collegis, dixit : « Beatissimi atque apostolici Romæ episcopi, qui omnium Ecclesiarum est caput, mandata habemus, quibus præcipere dignatus est ut Dioscorus non sedeat in concilio ; quod si tentaverit, ejiciatur. »

Ποίας ταῦτα ἐξουσίας ; καὶ ὁποία κεφαλὴ ἐν τούτοις δηλοῦται ὁ πάπας ; Μόνῃ τῇ τάξει καὶ τῇ πρωτοκαθεδρίᾳ κεφαλῇ, ἢ καὶ τῇ ἐξουσίᾳ ; Καὶ πότερον φιλοτίμου θεραπείας αὗται φωναί, ἢ ἀκράτου αὐθεντίας ; Εἶτα ζητησάντων τὴν αἰτίαν τῶν παρακαθημένων ἀρχόντων, ἀπεκρίθη ὁ τοποτηρητὴς τοῦ πάπα · « Πρόσωπον ἥρπασε Διόσκορος τοῦ κρίνειν, ὅπερ οὐκ ἐκέκτητο · καὶ σύνοδον ἐτόλμησε ποιῆσαι ἐπιτροπῆς δίχα τοῦ ἀποστολικοῦ θρόνου, ὅπερ οὐδέποτε γέγονεν, οὐδὲ ἔξὸν γενέσθαι. »

B Quam auctoritatem hæc verba designant, et quale caput papa in iis describitur, solone ordine et prærogativa sedendi ante alios, an etiam potestate ? Rursus hæ voces spectantne ad honorarium dicendi genus, an ad meram potestatem? Quærentibus autem senatoribus, qui præsentes aderant, causam, respondit legatus papæ : « Personam judicis arripuit Dioscorus, quam non habebat ; et synodum celebrare est ausus sine impetrata facultate a sede apostolica, quod nunquam factum est, nec fieri licet. »

Εἴπερ ᾔδει τὸν κανόνα τῆς πρώτης συνόδου Διόσκορος διανέμοντα τῆς γῆς τὰ κλίματα τοῖς πατριάρχαις, ὥστε ἕκαστον ἀρκεῖσθαι τοῖς ἑαυτοῦ, καὶ μὴ ἀδίκοις ὀφθαλμοῖς ὁρᾷν τὰς ἑτέρων παροικίας, διατί οὐκ ἀντεῖπεν, ἀνὴρ ὢν ἀλαζονικώτατος, ἔχων καὶ τοὺς ἄρχοντας ὑπεραπολογουμένους, ἀλλ' ἠναγκάσθη καθίσαι ἐν μέσῳ ὡς ὑπεύθυνος διὰ τὸ πρόστιγμα τοῦ πάπα ; Ὁ γὰρ τολμήσας πρότερον τὸ μέγιστον καὶ ἀφόρητον ἔγκλημα, δι' ὃ καὶ μόνον καθῃρέθη ὑπὸ τῆς ἁγίας συνόδου, ὡς φησιν Ἀνατόλιος ὁ Κωνσταντινουπόλεως ἐν τῇ ε' πράξει, δηλονότι ἀκοινωνησίαν ὑπαγορεύσας κατὰ τοῦ πάπα, πῶς οὐκ ἂν ἐτόλμησε μὴ ὢν ὑπεξούσιος τῷ πάπᾳ ἐκβοῆσαι, καὶ τῶν ἐκείνου ληγάτων τὴν παῤῥησίαν ἀπείπασθαι. Οὐ γὰρ δὴ θεραπείας ἦν τότε καιρὸς, ἀλλ' ὑπὲρ ἐγκλημάτων, ὑπὲρ τοῦ θρόνου, ὑπὲρ πίστεως ἦν ὁ ἀγών.

C Si norat Dioscorus, per primæ synodi canonem distributa esse patriarchis terræ climata, ut suis quisque contentus esset, et iniquos oculos non conjiceret in alienas parœcias, cur homo arrogantissimus non contradixit, cui senatores etiam favebant, sed coactus est sedere in reorum loco propter mandatum papæ? Nam qui antea scelus nefarium et intolerabile ausus erat, propter quod unum a sancta synodo damnatus est, ut fatetur Anatolius Constantinopolitanus, nimirum excommunicationi subjicere papam ; qua ratione non fuisset ausus exclamare, si potestatem papæ non agnoscebat, et loquendi libertatem qua legati utebantur retundere? Neque enim tunc honorarii sermonis tempus erat, sed agebatur de illatis criminibus, de sede, de fide.

Καὶ Θεοδώρητος ἐν τῇ α' πράξει ταύτης τῆς συνόδου, ἐκπεσὼν πάλαι τῆς ἐπισκοπῆς, εἶχε τοὺς Αἰγυπτίους ἀντιλέγοντας, καὶ μὴ καταδεχομένους ἐκεῖνον συνεδρεῦσαι τῇ ἁγίᾳ συνόδῳ · οἱ δὲ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ σύγκλητος ἔφασαν · « Εἰσίτω καὶ ὁ εὐλαβέστατος Θεοδώρητος κοινωνήσων τῇ συνόδῳ, ἐπειδὴ καὶ ἀποκατέστησεν αὐτῷ τὴν ἐπισκοπὴν ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Λέων. » Καὶ αὖθις · « Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος τὸν οἰκεῖον ὁπολαβὼν τόπον παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Ῥώμης εἰσῆλθε. »

D Et Theodoretus act. 1 hujus synodi, cum jam ereptus erat episcopatus, habebat contradicentes episcopos Ægyptios, non ferentes ut ille consideret in synodo. At senatores dixerunt : « Ingrediatur et reverendissimus Theodoretus, ut sit particeps synodi, quandoquidem episcopatum illi restituit Leo, sanctus archiepiscopus. » Et rursus : « Theodoretus reverendissimus episcopus, cum suo loco restitutus fuerit a sanctissimo archiepiscopo inclytæ urbis Romæ, ingressus est. »

Τὰ αὐτὰ καὶ ἡμῖν ὁδὸν πρᾶξις περιέχει. Πῶς οὖν μηδεμίαν ἔχων ὁ πάπας ἐν τῇ ἀνατολῇ ἐξουσίαν ἀποκατέστησε Θεοδώρητον, καὶ ἐν τάξει ἐπισκόπων ἐκαθίσθη ἐκεῖνος διὰ μόνην τοῦ πάπα τὴν αὐθεντίαν, πρὶν ἢ τὴν σύνοδον ὅλην περὶ τούτου ψῆφον ἐξενεγκεῖν ; Πῶς οἱ

Eadem vel actione VIII repetuntur. Quomodo igitur, si nulla erat in Oriente papæ auctoritas, restitutus est Theodoretus auctoritate papæ, et sedit in episcoporum ordine antequam universa synodus de eo sententiam ferret? Quomodo inclas

mantes Ægyptii dicentesque, Ab universa synodo damnatus est, non etiam responderunt, Et quam habet papa potestatem in Orientalem episcopum damnatum a synodo, quam illi œcumenicam habebant? Illud præterea actionis v : « Qui contradicunt, Nestoriani sunt. Qui contradicunt, eant Romam; » an non insigne testimonium est universalis potestatis papæ?

Aiebat Cyrillus se necessario scribere papæ, dum fides esset in periculo. Episcopi quartæ synodi hæreticos aiunt Romam esse mittendos : qua ratione etiam tertia synodus depositionem Joannis Antiocheni reliquit papæ : et sexta synodus Macarium Antiochenum et socios hæreticos transmisit ad papam, ut scribit Constantinus Pogonatus imperator in epistola ad Leonem papam. Quid ita? nisi propter eam causam, quam affert quarta synodus, quia custos vineæ est papa, et potestatem habet judicandi de fide et sacerdotibus, ut inquit Valentinianus imperator in epistola ad Theodosium imperatorem. Alioquin, quomodo ausi essent legati papæ, coram hac frequentissima synodo *cunctarum Ecclesiarum archiepiscopum vocare papam ?* et actione sexta, cum definitionem subscriberent, his titulis uti, *apostolici universalis Ecclesiæ, et episcopi omnium Ecclesiarum ?* eo præsertim tempore quo vigebat studium extollendi sedem Constantinopolitanam. Sextæ quoque synodi non leve est testimonium. Etsi enim Constantinopolitani titulum œcumenici per id tempus sibi arrogabant, prodigiosam hanc appellationem usurpantes, tamen hujus synodi Patres, inter quos erat Georgius Constantinopolitanus, dum faciunt mentionem papæ et cœtus episcoporum, his usi sunt vocibus in Prosphonetico ad imperatorem : « Senioris Romæ et apostolicæ summitatis pontificalissimus antistes, nosque minimi. » Quod explanantes legati papæ, ita Prosphonetico subscripserunt : « Theodorus, Georgius, Joannes locum tenens beatissimi et universalis papæ, » etc. Quod enim omnes episcopi minimos se appellarint, papam vero antitistem pontificalissimum, deinde hunc et œcumenicum inscribi, maximam est differentiam fateri inter papam et patriarchas. Quid quod in litteris ad Agathonem papam hæc synodus : « Maximi morbi, inquit, majoribus indigent auxiliis. Ideirco Christus, virtus revera conditrix et gubernatrix rerum, sapientem dedit medicum, Vestram a Deo honoratam Sanctitatem, quæ et contagia pravitatis hæreticæ depelleret salubribus orthodoxiæ medicamentis, et valetudinis robur membris Ecclesiæ largiretur. »

καταβοῶντες Αἰγύπτιοι καὶ κράζοντες· Ἐπὶ πάσης τῆς συνόδου καθῄρηται· οὐκ εἶπον· Ποίαν γὰρ ἔχει ὁ πάπας ἐξουσίαν εἰς ἀνατολικὸν ἐπίσκοπον καθαιρεθέντα ὑπὸ συνόδου νομιζομένης παρ' αὐτῶν οἰκουμενικῆς; Ἐκεῖνο δὲ τὸ κατὰ τὴν ε' πρᾶξιν φερόμενον· « Οἱ ἀντιλέγοντες Νεστοριανοί εἰσιν, οἱ ἀντιλέγοντες εἰς Ῥώμην ἀπέλθωσιν· » πῶς οὐ μέγα μαρτύριον τῆς οἰκουμενικῆς ἐξουσίας τοῦ πάπα;

Ἔλεγε Κύριλλος, ὅτι πίστεως σαλευομένης ἔγραφεν ἀναγκαίως τῷ πάπᾳ. Οἱ ἐπίσκοποι τῆς δ' συνόδου φασὶ, τοὺς αἱρετικοὺς εἰς Ῥώμην παραπέμπεσθαι, καθ' ὃ καὶ ἡ τρίτη σύνοδος τετήρηκε τῷ πάπᾳ τὴν καθαίρεσιν Ἰωάννου τοῦ Ἀντιοχείας· καὶ ἡ ς' σύνοδος Μακάριον τὸν Ἀντιοχείας καὶ τοὺς σὺν αὐτῷ αἱρετικοὺς πρὸς τὸν πάπαν παρέπεμψεν, ὡς φησιν ὁ βασιλεὺς Κωνσταντῖνος ὁ Πωγωνάτος ἐν τῇ πρὸς Λέοντα τὸν πάπαν ἐπιστολῇ. Διατί δὴ ταῦτα; ἢ ὅτι, καθά φησιν ἡ τετάρτη σύνοδος, φύλαξ τῆς ἀμπέλου ὁ πάπας, καὶ τὴν ἐξουσίαν ἔχει τοῦ κρίνειν περί τε πίστεως καὶ ἱερέων, ὡς φησιν Οὐαλεντινιανὸς ὁ βασιλεὺς γράφων Θεοδοσίῳ ἐν τοῖς πρὸ τῶν Πρακτικῶν τῆς δ' συνόδου. Πῶς δὲ ἄλλως ἐτόλμησαν οἱ τοποτηρηταὶ τοῦ πάπα ἐνώπιον τῆς πολυανθρωποτάτης τῶν συνόδων καλεῖν τὸν πάπαν *ἀρχιεπίσκοπον πασῶν τῶν Ἐκκλησιῶν*, ὡς ἐν τῇ δ' πράξει; καὶ ἐν τῇ ὑπογραφῇ τοῦ ὅρου κατὰ τὸν ς' *ἀποστολικὸν* τῆς *οἰκουμενικῆς Ἐκκλησίας, καὶ πάσης Ἐκκλησίας ἐπίσκοπον*; καθ' ὃν μάλιστα καιρὸν ἤκμαζεν ἡ σπουδὴ τῶν πρεσβείων τοῦ Κωνσταντινουπόλεως. Οὐκ ὀλίγη δὲ καὶ ἡ τῆς ς' συνόδου μαρτυρία· εἰ γὰρ οἱ Κωνσταντινουπόλεως ἑαυτοὺς τότε ἐπέγραφον οἰκουμενικούς, προτηγορίαν σφίσιν αὐτοῖς ἀλλόκοτον ἐφαρμόζοντες, ὅμως οἱ τῆς συνόδου ταύτης Πατέρες, ἐν οἷς καὶ Γεώργιος Κωνσταντινουπόλεως, μείζω τοῦ πάπα ποιούμενοι καὶ τῆς ὁμηγύρεως τῶν ἐπισκόπων, τοιαύταις ἐχρήσαντο φωναῖς ἐν τῷ προσφωνητικῷ πρὸς τὸν βασιλέα· « Ὁ τῆς πρεσβυτέρας Ῥώμης καὶ ἀποστολικῆς ἀκροπόλεως ἀρχιερατικώτατος πρόεδρος, καὶ ἡμεῖς οἱ ἐλάχιστοι. » Ὅπερ ἐπεξηγούμενοι οἱ ἐπέχοντες τὸν τόπον τοῦ πάπα, οὕτως ὑπέγραψαν τῷ προσφωνητικῷ· « Θεόδωρος, Γεώργιος, Ἰωάννης, τὸν τόπον ἐπέχων Ἀγάθωνος τοῦ μακαριωτάτου καὶ οἰκουμενικοῦ πάπα· » καὶ τὰ ἑξῆς. Τὸ γὰρ πάντας τοὺς ἐπισκόπους εἰπεῖν ἑαυτοὺς ἐλαχίστους, τὸν πάπαν δὲ ἀρχιερατικώτατον πρόεδρον, εἶτα καὶ οἰκουμενικὸν ἐπιγράφεσθαι, μεγίστην ἐστὶ διαφορὰν ὁμολογεῖν τοῦ πάπα πρὸς τοὺς πατριάρχας. Τί δὲ ὅτι ἐν τοῖς πρὸς Ἀγάθωνα τὸν πάπαν γράμμασιν αὕτη ἡ σύνοδος, « Τὰ μέγιστα, φησὶ, τῶν νοσημάτων μειζόνων δεῖται βοηθημάτων· διά τοι τοῦτο Χριστὸς, ἡ ὄντως τῶν ὄντων δημιουργικὴ τε καὶ προνοητικὴ δύναμις, σοφὸν ἀνέδειξεν ἰατρὸν τὴν ὑμετέραν θεοτίμητον ἁγιότητα, τό τε νοσοῦσες τῆς αἱρετικῆς λύμης ὀρθοδοξίας φαρμάκοις ῥοστικῶς ἀπελαύνουσαν, καὶ πανσθενῆ τὴν ὑγείαν τῆς Ἐκκλησίας χαριζομένην τοῖς μέλεσιν. »

Morbi, qui maximus evaserat, medicum esse inquit papam, largientem Ecclesiæ membris sanitatem. Cur enim recitatis in illa synodo Sophronii, Hierosolymitani episcopi, qui plurimum contra

Τῆς νόσου μεγίστης γενομένης ἰατρὸν λέγει τὸν πάπαν, χαριζόμενον τὴν ὑγείαν τοῖς μέλεσι τῆς Ἐκκλησίας· πῶς γὰρ ἀναγνωσθέντων ἐν ἐκείνῃ τῇ συνόδῳ καὶ τῶν Σωφρονίου τοῦ Ἱεροσολύμων ἐπισκόπου

ὀρθοδόξων συνοδικῶν, τοῦ πολλὰ κατὰ τῶν Μονοθελητῶν ἀγωνισαμένου, μόνοις τοῦ πάπα τοῖς γράμμασιν ἀπονέμουσιν οἱ Πατέρες τὴν ἰατρικὴν δύναμιν εἰς τὰ μέλη τῆς Ἐκκλησίας; Ὁμοφωνοῦντες γὰρ οἱ ἅγιοι Πατέρες ἐν τοῖς οἰκείοις γράμμασιν, ὅπερ οἱ τῆς δ' συνόδου, ἔλεγον φύλακα τῆς ἀμπέλου παρὰ τοῦ Σωτῆρος καταστάντα· τοῦτό φασιν οἱ τῆς ἕκτης, σοφὸν παρὰ Χριστοῦ ἰατρὸν δοθέντα πρὸς τὸ ἀπελαύνειν τὸ νοσῶδες τῆς αἱρετικῆς λύμης, καὶ χαρίζεσθαι τὴν ὑγείαν τοῖς μέλεσι τῆς Ἐκκλησίας. Πῶς δ' ἂν μὴ εἴη ταῦτα τῆς οἰκουμενικῆς ἐν τῷ πάπᾳ ἐπιστασίας μαρτυρία; Καὶ Κωνσταντῖνος ὁ βασιλεὺς Λέοντι τῷ πάπᾳ ἐπιστέλλων γράφει· « Τῷ μακαριωτάτῳ ἀρχιεπισκόπῳ τῆς ἀρχαίας περιδόξου πόλεως Ῥώμης, καὶ οἰκουμενικῷ πάπᾳ. » Καὶ συμπλέκει τὰ δύο, τὸ εἶναι Ῥώμης ἐπίσκοπον, καὶ οἰκουμενικὸν πάπαν.

A Monothelitas decertaverat, orthodoxis synodicis, Patres medicinalem vim in membra Ecclesiæ solis tribuunt litteris papæ? Consona quippe docentes Patres in suis scriptis, quod quarta synodus aiebat, papam vocant custodem vineæ a Salvatore constitutum; hoc idem sexta exprimit, sapientem medicum appellans, a Christo datum ad expellendum pravitatis hæreticæ morbum et largiendam Ecclesiæ membris sanitatem. Quis neget hæc esse universalis in papa potestatis testimonia? Et Constantinus imperator, Leoni papæ scribens, hoc titulo utitur: « Beatissimo archiepiscopo veteris et inclytæ urbis Romæ, et œcumenico papæ. » Et conjungit duo, esse Romæ episcopum, et esse œcumenicum papam.

B

Πῶς δ' ἂν εἴη ὁ πάπας οἰκουμενικὸς, οὐ τάξει μόνῃ καὶ προεδρίᾳ καθ' ὑμᾶς, ἀλλὰ δυνάμει καὶ ἐξουσίᾳ, κατωτέρω ἐξηγεῖται ὁ βασιλεὺς ἐν οἷς λέγει· « Εἰς μίαν ποίμνην τὰ τοῦ Χριστοῦ πρόβατα συνηλάσαμεν, ἑνὶ καὶ μόνῳ ποιμένι τῷ καλῷ ποιμαινόμενα, ᾧ καὶ ὑμεῖς συμποιμαίνειν ἐτάχθητε, καὶ ὑπὲρ τῶν προβάτων τιθέναι τὴν ψυχὴν διετάχθητε. Οὐκοῦν ἀνδρίζου καὶ ἴσχυε, καὶ τὴν τοῦ λόγου ῥομφαίαν περίζωσαι, καὶ στῆθι ἑδραῖος τῆς εὐσεβείας ὑπέρμαχος, καὶ πᾶσαν αἱρετικὴν ἀκοὴν καὶ εἰσήγησιν ἐκτεμεῖν προθυμήθητι, καθὰ καὶ Πέτρος τὸ πρότερον τὸ τῆς Ἰουδαϊκῆς ἀκροάσεως αἰσθητήριον τῇ μαχαίρᾳ πατάξας ἀφείλετο. Ἀνάτεινον τὴν ἀξίνην τοῦ πνεύματος, καὶ πᾶν δένδρον ἐκφύον καρπὸν αἱρέσεως ἢ κατηχήσεσι μεταφύτευσον, ἢ κανονικαῖς ἐπιτιμήσεσιν ἔκκοψον, καὶ εἰς τὸ πῦρ τῆς μελλούσης γεέννης παράπεμψον. » Κατὰ πάντας, φησὶ, δένδρου αἱρέσεως καρπὸν ἐκφύοντος ἀνατεινέτω τὴν ὀξίνην ὁ πάπας, καὶ ἢ κατηχήσεσι μεταφυτευέτω διδασκαλικῶς, ἢ κανονικαῖς ἐπιτιμήσεσιν ἐκκοπτέτω ἐξουσιαστικῶς. Εἶχεν ἄρα ὁ βασιλεὺς καὶ ἡ Κωνσταντινούπολις κατ' ἐκεῖνο καιροῦ τὸν πάπαν οὐχὶ μόνων κρατοῦντα τῶν ἑσπερίων, ὡς οἱ μεταγενέστεροί φασιν, ἀλλὰ μηδένα κατὰ τὴν ὑφήλιον ὅρον ἔχοντα τῆς ποιμαντικῆς ἐξουσίας, καὶ οἰκουμενικὸν ἀρχιποίμενα, φθεγγόμενον τὰ τοῦ Πέτρου, ὥς φησιν αὐτὸς οὗτος ὁ βασιλεὺς ἐν τῇ ἐπιστολῇ πρὸς τὴν σύνοδον τοῦ ἀποστολικοῦ θρόνου. Εἶτα ἐπισφραγίζει τὴν ἐπιστολὴν ὁ βασιλεὺς φάσκων· « Προτρέπομεν δὲ τὴν ὑμετέραν πανίερον κορυφὴν, ἀνυπερθέτως ἐκπέμψαι τὸν παρ' αὐτῆς ὁριζόμενον ἀποκρισιάριον, ἐφ' ᾧ τοῦτον κατὰ τὴν βασιλίδα καὶ θεοφύλακτον ἡμῶν διάγειν πόλιν· καὶ ἐν τοῖς ἀνακύπτουσιν εἴτε δογματικοῖς, εἴτε κανονικοῖς, καὶ ἁπλῶς ἐκκλησιαστικοῖς ἅπασι πράγμασι τὸ τῆς ὑμετέρας ἁγιωσύνης ἐξεικονίζειν πρόσωπον. »

Esse porro papam œcumenicum, non ordine tantum et sedendi loco, ut vos dicitis, sed potestate et auctoritate, declarat infra imperator: « Christi, inquiens, oves in unum gregem redegimus, quæ ab uno et solo pastore bono pascantur; quocum et vos pascere jussi estis, et animam pro omnibus ponere. Ergo viriliter age, et confortare, et accingere verbi gladio, et firmus pietatis sis propugnator, omnemque hæreticum auditum atque doctrinam præcidere stude, sicut et Petrus olim Judaice auditus sensorium gladio percutiens abstulit. Attolle securim spiritus, et omnem arborem ferentem fructum hæreseos vel institutionibus transplanta, vel canonicis pœnis exscinde, et igni futuræ gehennæ transmitte. » Attollat, inquit papa, securim in omnem arborem ferentem hæreseos fructum; et vel institutionibus magisterii transplantet, vel canonicis censuris exscindat cum potestate. Habebat ergo tunc temporis imperator et Constantinopolis papam non solius præsulem Occidentis, ut recentiores aiunt, sed nullis arctatum arctoritatis terminis per universum. Habebat pro pastorum œcumenico principe, per quem Petrus loqueretur, ut idem ipse imperator ait in epistola ad synodum sedis apostolicæ. Denique obsignat imperator rescriptum ad papam his verbis: « Hortamur porro vestram sanctissimam summitatem, ut quam primum mittat quem designare solet apocrisiarium, ut is in regia et a Deo conservata nostra urbe degat; et in emergentibus sive dogmaticis, sive canonicis, ac prorsus in ecclesiasticis omnibus negotiis Vestræ Sanctitatis personam referat. »

C

D

Εἰ γοῦν τῷ ποιμένι Χριστῷ συμποιμαίνει ὁ πάπας, καὶ ἔθος ἦν ἀποκρισιάριον τοῦ πάπα διάγειν ἐν Κωνσταντινουπόλει τὸ ἐκείνου πρόσωπον ἐξεικονίζοντα ἐν ἅπασι τοῖς ἐκκλησιαστικοῖς πράγμασιν (τοῦτο δὲ οὐδὲν ἄλλο ἢ τὰ ἐκκλησιαστικὰ διευθύνειν ἐστὶν, ὡς δῆλον ἐκ τοῦ βίου καὶ πολλῶν ἐπιστολῶν τοῦ ἐν ἁγίοις Γρηγορίου τοῦ Διαλόγου)· πῶς ἄρα

Si ergo cum pastore Christo pascit papa; et mos erat, apocrisiarium papæ Constantinopoli degere, qui illius gereret personam in omnibus ecclesiasticis negotiis (hoc autem nihil est aliud, quam res ecclesiasticas moderari, ut constat ex Vita multisque epistolis sancti Gregorii Dialogi), quomodo tu dicis, Nile, distributas esse gentes

patriarchis, ut suis quisque contentus sit, et nulla sit subordinatio? Hoc idem pariter liquido constat ex Actis septimæ synodi. Scribebat Leo Isaurus, imp. Iconomachus, Gregorio papæ II, de convocanda synodo œcumenica, ut diximus et videre est in litteris illius papæ ad Leonem ante primam actionem. Et papa respondit : « Scripsisti, ut concilium universale cogatur : et nobis inutilis ea res visa est. Fac nos te audisse, et congregatos esse episcopos ex universo orbe, » etc.

A λέγεις, ὦ Νεῖλε, τὰ ἔθνη ἀποκεκληρῶσθαι τοῖς πατριάρχαις, ὡς ἕκαστον ἀρκεῖσθαι τοῖς ἑαυτοῦ, καὶ μηδεμίαν εἶναι ὑπαλληλίαν ; Παραπλησίως τοῦτ' αὐτὸ καταφανὲς ἐκ τῶν Πρακτικῶν τῆς ζ' συνόδου. Ἔγραφε Λέων ὁ Ἴσαυρος Εἰκονομάχος ὢν πρὸς Γρηγόριον τὸν πάπαν περὶ συνόδου οἰκουμενικῆς, ὡς εἴρηται, καὶ ἔστιν ἰδεῖν ἐν ταῖς πρὸς Λέοντα ἐπιστολαῖς ἐκείνου τοῦ πάπα, πρὸ τῶν Πρακτικῶν τῆς ζ' συνόδου. Ἀποκρινόμενος γάρ φησιν ὁ πάπας « Ἔγραψας, ἵνα οἰκουμενικὴ σύνοδος γένηται· καὶ ἡμῖν ἀπρόσφορον ἐφάνη περὶ τούτου σύνθου, ὅτι ἐπηκούσαμέν σου, καὶ συνηθροίσθησαν ἀπὸ πάσης τῆς οἰκουμένης οἱ ἀρχιερεῖς, » καὶ τὰ ἑξῆς.

Si non agnosset in papa Iconomachus generalem auctoritatem, quomodo petiisset a papa convocationem synodi generalis? Qui possit enim fieri per papam œcumenica synodus, si œcumenica auctoritas non sit in papa?

B Εἰ μὴ ἐπεγίνωσκεν ὁ Εἰκονομάχος οἰκουμενικὴν ἐν τῷ πάπᾳ ἐξουσίαν, πῶς ἠτεῖτο τὸν πάπαν οἰκουμενικὴν γενέσθαι σύνοδον ; Πῶς γὰρ ἂν διὰ τοῦ πάπα γένοιτο οἰκουμενικὴ σύνοδος, εἰ μὴ ἔχοι ὁ πάπας οἰκουμενικὴν ἐξουσίαν ;

Et patriarcha Constantinopolitanus Tarasius quomodo scribebat Adriano papæ? « Et cum ante omnia lectæ essent litteræ Vestræ Sanctitatis, communi omnes considebamus corona, spiritalibus epulis tanquam in regia cœna fruentes, quas per litteras tuas Christus præparabat convivis; et sicut oculus toti corpori rectam veritatis semitam ostendebas. » Nam esse oculum, qui veritatis semitam toti corpori ostendat, quid est aliud, quam papam esse custodem fidei, et propugnatorem errore invulnerabilem, et Petrum in illo loqui? Si ergo est fidei totius corporis dux, ergo et fidei patriarcharum, et se habent patriarchæ ad papam C ut duce indigentes ad ducem, et gubernati ad gubernatorem. Et liquet ex his omnibus, vel sanctas synodos fuisse deceptas, quæ factis et dictis approbarunt et agnoverunt in papa generalem Petri auctoritatem, vel te errare, qui male et perverse interpreteris sextum primæ synodi canonem. Atqui impossibile est primum, ergo secundum necessario verum est.

Πῶς δὲ καὶ Ταράσιος ὁ Κωνσταντινουπόλεως ἔγραφεν Ἀδριανῷ τῷ πάπᾳ· « Καὶ προκριθέντων ἀναγνωσθῆναι τῶν τῆς ὑμετέρας ἁγιότητος γραμμάτων, ἦμεν ἐν κοινῇ χορείᾳ ἅπαντες τοῖς πνευματικοῖς ἐδέσμασιν ὡς ἐν βασιλικοῖς δείπνοις ἐντρυφῶντες, ἅπερ ὁ Χριστὸς διὰ τῶν σῶν γραμμάτων εὐωχουμένοις ἠτοίμαζεν, καὶ ὡς ὀφθαλμὸς τὸ ὅλον σῶμα πρὸς τὴν εὐθεῖαν τῆς ἀληθείας τρίβον ἐδείκνυες. » Τί γὰρ ἄλλο ἐστὶν ὀφθαλμὸν εἶναι τοῦ ὅλου σώματος, ὑποδεικνύοντα τὴν τρίβον τῆς ἀληθείας, ἢ τὸν πάπαν εἶναι φύλακα τῆς πίστεως, καὶ πρόμαχον ἐκ πλάνης ἄτρωτον, καὶ Πέτρον ἐν ἐκείνῳ φθέγγεσθαι ; Εἰ δὲ ὁδηγός ἐστι τῆς πίστεως τοῦ ὅλου σώματος, ἆρα καὶ τῆς πίστεως τῶν πατριαρχῶν. Καὶ ἔχουσιν οἱ πατριάρχαι πρὸς αὐτὸν ἀναλογίαν ὁδηγουμένων πρὸς ὁδηγοῦντα, καὶ κυβερνωμένων πρὸς κυβερνῶντα. Καὶ πρόδηλον ἐκ τούτων ἁπάντων ἢ τὰς ἁγίας συνόδους φενακισθῆναι καὶ ἔργοις καὶ λόγοις ἀποδεξαμένας καὶ ὁμολογησάσας ἐν τῷ πάπᾳ τὴν οἰκουμενικὴν τοῦ Πέτρου ἐξουσίαν, ἢ σὲ φενακισθῆναι κακῶς καὶ διεστραμμένως ἐκλαβόντα τὸν ς' κανόνα τῆς α' συνόδου. Ἀδύνατον δὲ τὸ πρῶτον· ἀναγκαῖον ἄρα τὸ δεύτερον.

Cum vero infers, Quod si terræ climata singulis principalium episcoporum essent attributa, et Romanæ sedi nihil esset peculiariter assignatum, sed soli ipsi principatum in alios datum diceret canon, jure affirmari posset, totum terrarum orbem illi subesse, et principales episcopos administrare quæ illius sunt, quemadmodum subditi Constantinopolitano administrant quæ illius sunt. At si Romano quidem illud attributum est, illud vero Alexandrino, hoc autem Constantinopolitano, non magis sub illis Romanus, quam illi sub Romano sunt, quod ad hoc attinet. Hæc veritati nihil obstant. Quod enim partem sibi papa reservaverit, non tollitur per hoc indefinita subordinationis ratio, sicut ex eo quod sit cor unum centum membrum, non tollitur quia sit generale principium vitæ omnium membrorum. Qua ratione papa in actis synodorum et Romæ episcopus et œcumenicus vocatur. Sed tu callido su-

Ὅτε γοῦν ἐπιφέρεις, ὅτι Τὰ κλίματα τῆς γῆς εἴπερ ἦσαν ἑκάστῳ τῶν καθολικῶν ἐπισκόπων διανενεμημένα, καὶ οὐδὲν ὡρισμένως ὑπὸ τὸν τῆς Ῥώμης κατέστη θρόνον, ἀλλὰ μόνον αὐτὸν τὴν ἀρχὴν εἰληφέναι τῶν ἄλλων ἔλεγεν ὁ κανών, εἰκὸς ἦν δήπου λογίζεσθαι πᾶσαν τὴν οἰκουμένην ὑπ' αὐτὸν εἶναι, καὶ τοὺς καθολικοὺς ἐπισκόπους τὰ ἐκείνου διοικεῖν, ὥσπερ τὰ τοῦ Κωνσταντινουπόλεως οἱ ὑπ' αὐτὸν ἱεράρχαι. Εἰ δὲ ἐκεῖνο μὲν ἀπεκληρώθη τῷ Ῥώμης, ἐκεῖνο δὲ τῷ Ἀλεξανδρείας, τοῦτο δὲ τῷ τῆς Κωνσταντίνου, οὐ μᾶλλόν γε ὁ Ῥώμης ὑπ' ἐκείνους, ἢ ὑπὸ τὸν Ῥώμης, ὅσα γε εἰς τοῦτο τελέσουσιν. Ταῦτα, ὦ Νεῖλε, οὐδὲν προσίσταται τῇ ἀληθείᾳ· τὸ γὰρ καὶ ἑαυτῷ τὸν πάπαν ἀποκληρῶσαι ὡς ἰδιόν τι οὐκ ἀφαιρεῖται τὸ ἀόριστον τῆς ὑπαλληλίας· ὥσπερ τὸ εἶναι τὴν καρδίαν ἓν μέλος ὡρισμένον οὐκ ἀφαιρεῖται τὸ εἶναι αὐτὴν ἀόριστον ἀρχὴν τῆς τῶν ἄλλων μελῶν ζωογονίας· καθ' ὃν δὴ τρόπον ὁ πάπας ἐν τοῖς Πρακτικοῖς τῶν συνόδων

καὶ Ῥώμης ἐπίσκοπος, καὶ οἰκουμενικὸς προσαγορεύεται. Σὺ δὲ πανούργως σοφίζῃ, τὸ ὡρισμένον καὶ τὸ ἀόριστον οὐ πρὸς διάφορα, ἀλλὰ πρὸς ἓν ταυτὸν λαμβάνων· ὥσπερ ἂν εἴ τις ἔλεγεν, Ἡ καρδία ὡρισμένον μέλος ἐστὶν, ἆρα οὐκ ἀόριστον· ὅπερ ἑαυτοῦ ὂν ὡρισμένον, τοῖς ἄλλοις ἐστὶν ἀόριστον. Ὥστε ψευδὴς ὁ λαμβάνεις, ὅτι ἐχρῆν μηδὲν εἶναι ὡρισμένον ὑπὸ τὸν πάππαν, ἵνα φῶμεν ὑπ' αὐτὸν εἶναι πᾶσαν τὴν οἰκουμένην· οὐ γὰρ ἀναγκαῖον τοῦτο, μᾶλλον δὲ τοὐναντίον ἀναγκαῖον· ἵνα γὰρ χώραν ἔχῃ κεφαλῆς ἐν τῇ Ἐκκλησίᾳ, ὃ φασιν αἱ ἅγιαι σύνοδοι, ἀνάγκη καὶ ὡρισμένως εἶναι τὸ μέλος τοῦτο κεφαλὴν ἐκ μορίων ὡρισμένων συνεστηκὸς, καὶ πρὸς τἆλλα μέλη τὴν ἀρχὴν ἀορίστως ἔχειν· ὅθεν ἀναγκαίως ἕπεται πάντας εἶναι ὑπὸ τὸν Ῥώμης, οὐχ ὥσπερ ὑπὸ τὸν Κωνσταντινουπόλεως οἱ ὑπ' αὐτὸν ἱεράρχαι, ἀλλὰ πολλῷ μᾶλλον, ὡς ἔφθημεν εἰπόντες.

A phismate uteris, definitum et indefinitum non sumens respectu diversorum, sed respectu ejusdem; ac si quis diceret: Cor certum et determinatum est membrum, ergo non indeterminatum: cum tamen sibi determinatum, cæteris indeterminatum sit. Itaque falsum accipis, cum dicis debuisse nihil assignari papæ determinate, ut diceremus, totum illi orbem subesse; non enim hoc, sed oppositum necessario requiritur. Nam ut papa locum capitis obtineat in Ecclesia, quod sanctæ synodi affirmant, necesse est ut et certum hoc membrum, caput, ex determinatis constet particulis, et rationem principii respectu aliorum membrorum indeterminate habeat; ex quo sequitur necessario, omnes subesse Romano, non sicut Constantinopolitano subsunt qui sub illo sunt, sed multo magis, ut diximus.

B

## ΝΕΙΛΟΣ.

Εἰ δὲ ὅτι τὴν ἔφεσιν τῶν ἐκκλησιαστικῶν ἔχει, διὰ τοῦτο καὶ δεσπότην αὐτὸν ἀξιοῖς, ταύτην καὶ τοῦ Κωνσταντινουπόλεως ἔχοντος, ἔστωσαν ὑπ' ἐκεῖνον ὁμοίως οἱ λοιποὶ θρόνοι. Ἀλλ' οὔτε ὁ τῆς Κωνσταντίνου ὁριστὴς ἐκείνων διὰ τοῦτο κατέστη, οὔτε ὁ πάπας διὰ τοῦτο δίκαιος ἂν εἴη ταῖς παροικίαις τῶν ἄλλων πατριαρχῶν ἐνοχλεῖν. Ἀνάγνωθι κανόνα θ' τῆς δ' συνόδου, ἵν' εἰδῇς τὴν ἔκκλητον προσοῦσαν καὶ τῷ θρόνῳ Κωνσταντινουπόλεως.

## NILUS (Cap. XII).

Si vero quia rerum ecclesiasticarum appellationes habet, idcirco illum constitui vis dominum, cum eas habeat et Constantinopolitanus, subsint illi etiam cæteræ sedes. Sed neque Constantinopolitanus propter hoc constitutus est illarum judex, nec papa debet propter hoc provinciis aliorum patriarcharum molestus esse. Lege quartæ synodi nonum canonem, ut scias ad Constantinopolitanum etiam pertinere appellationes.

## ΑΝΤΙΡΡΗΣΙΣ.

Αὕτη ἡ παράθεσις· Ἔχει τῶν ἐκκλησιαστικῶν τὴν ἔφεσιν ὁ πάπας, ἔχει καὶ ὁ Κωνσταντινουπόλεως· πλήρης σοφισμάτων ἐστὶ, καὶ διὰ τοῦτο ἀρχὴ πολλῶν ἀτοπημάτων· πρῶτον μὲν, ὦ γενναῖε, ὁ ἔννατός σου κανὼν τῆς δ' συνόδου τὸ ἀνύποπτον οὐκ ἔχει· βοῶσι γὰρ αἱ Λέοντος τοῦ πάπα ἐπιστολαὶ αἱ μετὰ τὰ Πρακτικὰ τῆς τετάρτης συνόδου, συναγηγέρθαι τὴν οἰκουμενικὴν ἐκείνην πανήγυριν ἐπὶ μόνῃ τῶν αἱρέσεων ἀνατροπῇ, οὐχὶ δὲ καὶ κανόνων ἐκφωνήσει· δεύτερον, ὡς ἀδιαφόρους οὔσας τάς τε τοῦ πάπα καὶ τοῦ Κωνσταντινουπόλεως ὑποτίθῃ τὰς ἐκκλήτους, καὶ ἀδίκως πλεῖστα τὴν ἀλήθειαν. Ἔχει τὰς ἐκκλήτους ὁ πάππας ἄνωθεν, ἀπ' ἀρχῆς τοῦ κηρύγματος· μάρτυς ἡ ἐν Ἀντιοχείᾳ σύνοδος κατὰ Παύλου Σαμοσατέως, ὃν καθαιρεθέντα καὶ μὴ βουλόμενον ἀποστῆναι, ὡς φησιν Εὐσέβιος ἐν τῷ ζ' τῆς *Ἱστορίας*, Αὐρηλιανὸς ὁ βασιλεὺς, πρὸς ὃν ταῦτα ἀνήνεγκεν ἡ τότε σύνοδος, ἔχειν ἔκρινε τὴν ἐπισκοπὴν, ὃν ἂν ἐπικρίνοι ὁ Ῥώμης ἐπίσκοπος. Καὶ τὴν κρίσιν τοῦ βασιλέως αἰσιωτάτην καλεῖ ὁ Εὐσέβιος. Οὐκ ἂν δὲ ἦν αἰσιωτάτη, εἰ μὴ ἦν ὁ πάπας αἴσιος κριτὴς τῆς συνοδικῆς κρίσεως. Μάρτυς Διονύσιος ὁ Ἀλεξανδρείας, ὡς ἱστορεῖ ὁ μέγας Ἀθανάσιος ἐν οἷς ὑπὲρ ἐκείνου συνέγραψε καὶ ἐν τῷ περὶ τῶν ἐν Ἀριμίνῳ καὶ Σελευκείᾳ συνόδων. Κατηγορηθεὶς γὰρ οὗτος ὁ Διονύσιος προσέφυγε τῷ πάπᾳ ἀπολογούμενος· καὶ τοῦτο πρὸ τῆς ἐν Νικαίᾳ συνόδου.

C

## CONFUTATIO.

Ista comparatio: Habet papa ecclesiasticorum appellationes, habet et Constantinopolitanus, plena sophismatum est ideoque multorum absurdorum origo. Primo enim nonus, quem citas, quartæ synodi canon suspicione non caret. Nam Leo papa in suis epistolis, quæ tertia parte quartæ synodi habentur, apertissime asserit, œcumenicam illam congregationem sacerdotum esse factam ad exstinguendas tantum hæreses, non etiam ad canones condendos. Secundo, appellationes ad papam atque ad Constantinopolitanum quasi nulla ratione differentes supponis, et veritatem intime lædis. Habet appellationes papa ab initio, ab ortu evangelicæ prædicationis. Testis Antiochena synodus contra Paulum Samosatenum; qui cum depositus esset, parere noluit, ut tradit Eusebius VII *Historiæ*. Quare ab Aureliano imperatore, ad quem synodus confugit, responsum fuit, illi dandum episcopatum, cui Romanus episcopus adjudicasset; et judicium hoc imperatoris æquissimum vocat Eusebius. At certe non esset æquissimum, nisi papa esset judicii synodici congruens judex. Testis Dionysius Alexandrinus, ut narrat sanctus Athanasius in iis quæ pro illo scripsit, et epistola de synodis Arimini et Seleuciæ. Accusatus enim iste Dionysius apologiam suam scripsit ad papam, idque ante Nicænam synodum.

D

Testis ipse magnus Athanasius qui ante Sardicensem synodum, a qua jus appellationum papæ concessum asserunt neoterici Orientales, elapsus ex Arianorum insidiis, pervenit Romam et res suas permisit Ecclesiæ, ut ipsemet scribit in Apologia ad Constantium. In secundo quoque Apologetico affert pro se Athanasius epistolam Julii papæ, in qua de appellationibus hæc habentur : « Non enim soli Athanasius et Marcellus episcopi Romam venerunt, injusta se passos querentes, sed plurimi alii episcopi e Thracia, Cœlesyria, Phœnice et Palæstina. Presbyteri quoque non pauci, alii quidem Alexandria, alii vero ex aliis partibus venerunt ad hanc synodum. » Testis Eutyches archimandrita, ut ex prima actione quartæ synodi constat, et epistolis sancti Leonis papæ ad sanctum Flavianum et Theodosium Augustum. Depositus enim Eutyches, et excommunicatus a sancto Flaviano et ejus synodo, ante quartum generale concilium appellationis libellum obtulit papæ. Testis idem sanctus Flavianus, quando depositus a Dioscoro provocavit et ipse ante concilium quartum, ut constat actione ejus prima, et ex epistola Valentiniani ad Theodosium.

Μάρτυς ὁ μέγας Ἀθανάσιος πρὸ τῆς ἐν Σαρδικῇ συνόδου· καθ' ἣν οἱ μεταγενέστεροι τῶν ἀνατολικῶν φασι δεδόσθαι τὰς ἐκκλήτους τῷ πάπᾳ· φυγὼν τοὺς διωγμοὺς τῶν Ἀρειανῶν, καὶ ἀνελθὼν εἰς Ῥώμην, καὶ τῇ Ἐκκλησίᾳ τὰ κατ' αὐτὸν παραθεὶς, ὡς αὐτὸς ἐκεῖνος γράφει ἐν τῇ πρὸς Κωνστάντιον ἀπολογίᾳ. Καὶ ἐν τῷ β' ἀπολογητικῷ φέρει ὑπὲρ ἑαυτοῦ ὁ μέγας Ἀθανάσιος ἐπιστολὴν Ἰουλίου τοῦ πάπα, τοιαῦτα περὶ τῶν ἐκκλήτων ἔχουσαν· « Οὐ γὰρ μόνον οἱ περὶ Ἀθανάσιον καὶ Μάρκελλον οἱ ἐπίσκοποι ἐληλύθασιν εἰς Ῥώμην, αἰτιώμενοι κατ' αὐτῶν ἀδίκιαν γεγονέναι, ἀλλὰ καὶ πλεῖστοι ἄλλοι ἐπίσκοποι ἀπὸ Θρᾴκης, ἀπὸ Κοίλης Συρίας, ἀπὸ Φοινίκης καὶ Παλαιστίνης. Καὶ πρεσβύτεροι μὲν οὐκ ὀλίγοι, ἄλλοι δέ τινες ἀπὸ Ἀλεξανδρείας, καὶ ἄλλοι ἐξ ἄλλων μερῶν ἀπήντησαν εἰς τὴν ἐνταῦθα σύνοδον. » Μάρτυς Εὐτυχὴς ὁ ἀρχιμανδρίτης, ὡς δῆλον ἐν τῇ α' τῆς δ' συνόδου πράξει, καὶ ἐν ταῖς ἐπιστολαῖς Λέοντος τοῦ πάπα πρὸς τὸν ἐν ἁγίοις Φλαβιανὸν, καὶ τὸν βασιλέα Θεοδόσιον, τῇ συνόδῳ ἐγκειμέναις· καθαιρεθεὶς γὰρ, καὶ ἀκοινωνησίᾳ ὑποβληθεὶς παρὰ τοῦ ἐν ἁγίοις Φλαβιανοῦ καὶ τῆς σὺν αὐτῷ συνόδου ὁ Εὐτυχὴς πρὸ τοῦ συγκροτηθῆναι τὴν τετάρτην σύνοδον, ἐκκλήτου λίβελλον ἐπιδέδωκε πρὸς τὸν πάπαν. Μάρτυς καὶ αὐτὸς ὁ ἐν ἁγίοις Φλαβιανὸς, ὅτε παρὰ Διοσκόρου καθαιρεθεὶς ἐξεκαλέσατο καὶ αὐτὸς πρὸ τῆς τετάρτης συνόδου, ὡς δῆλον ἐν τῇ α' πράξει, καὶ ἐν τῇ ἐπιστολῇ Οὐαλεντινιανοῦ πρὸς Θεοδόσιον πρὸ τῶν Πρακτικῶν τῆς τετάρτης συνόδου.

In hunc modum habet appellationes papa; Constantinopolitanus vero per se habet ex nono quartæ synodi canone : differunt igitur ut quid recens ab antiquissimo; differunt præterea, ut limitatum ab illimitato. Nam Constantinopolitano datæ sunt a synodo illæ appellationes quæ ferri possent a diœcesibus illi concessis, Asia, Ponto et Thracia; est enim in concesso apud Græcos non provocare ad Constantinopolitanum eos qui subjecti sunt aliis patriarchis : at vero ad Romanum referuntur appellationes, ut probatum est, et a patriarchis, et ab universa Ecclesia, ita ut cæteri patriarchæ sint quidem post Constantinopolitanum, sed non sub Constantinopolitano; omnes vero sint post Romanum et sub Romano. Vides quantum in argumento pecces? Habet, ais, appellationes ecclesiasticorum papa, habet etiam Constantinopolitanus; ergo si Constantinopolitanus non est propter hoc aliorum judex, nec papa erit; non sequitur : quia sibi subditorum, non post se numeratorum est judex Constantinopolitanus : et quorum judex est, eorum etiam appellationes habet, et contra : nam convertitur. Papa vero cum omnium appellationes habeat, omnium quoque est judex, et ex hac differentia tollitur sophismatis impostura. De vicesimo autem octavo quartæ synodi canone, deque quadragesimo sexto quinisextæ, quos citas, nihil dicemus. Nam quartæ synodi canon ille jam reprobatus est, qui eosdem honores statuit papæ et Constantinopolitano; eo-

Καὶ οὕτω μὲν ἔχει τὰς ἐκκλήτους ὁ πάπας· ὁ δὲ Κωνσταντινουπόλεως ἔχει κατὰ σὲ ἐκ τοῦ θ', κανόνος τῆς δ' συνόδου· ὥστε διαφέρουσιν ὥσπερ τὸ πρόσφατον τοῦ ἀρχαιοτάτου· ἔτι διαφέρουσιν ὥσπερ ὡρισμένον ἀορίστου. Ὁ μὲν γὰρ Κωνσταντινουπόλεως ἐκείνας ἔλαβε τὰς ἐκκλήτους παρὰ τῆς συνόδου, ὧν ἔλαβε καὶ τὰς παροικίας, Ἀσίας, Πόντου καὶ Θρᾴκης· ὁμολόγηται γὰρ παρὰ Γραικοῖς, ὅτι οὐκ ἐκκαλοῦνται ἐπὶ τὸν Κωνσταντινουπόλεως οἱ ὑπὸ τοὺς λοιποὺς πατριάρχας· πρὸς δὲ τὸν Ῥώμης ἀναφέρονται αἱ ἔκκλητοι, ὡς δέδεικται καὶ παρὰ πατριαρχῶν καὶ ἀπάσης τῆς Ἐκκλησίας· ὥστε τοὺς λοιποὺς πατριάρχας εἶναι μετὰ τὸν Κωνσταντινουπόλεως, ἀλλ' οὐχὶ ὑπὸ τὸν Κωνσταντινουπόλεως, ἅπαντας δὲ εἶναι καὶ μετὰ τὸν Ῥώμης καὶ ὑπὸ τὸν Ῥώμης. Ὁρᾷς οὖν, οἷα ἐν τῷ ἐπιχειρήματι ἁμαρτάνεις; Ἔχει τὴν ἔφεσιν τῶν ἐκκλησιαστικῶν ὁ πάπας, ἔχει καὶ ὁ τῆς Κωνσταντίνου· εἰ δὲ οὐκ ἔστι διὰ τοῦτο ὁ τῆς Κωνσταντίνου ὁριστὴς τῶν ἄλλων, οὔτε ὁ πάπας· οὐκ ἔρρωται ἡ ἔνστασις· τῶν γὰρ ὑπ' αὐτὸν, οὐχὶ τῶν μετ' αὐτὸν ὁριστὴς ὁ Κωνσταντινουπόλεως· καὶ ὧν ἐστιν ὁριστὴς, ἐκείνων ἔχει τὰς ἐκκλήτους, καὶ ἀνάπαλιν, ἀντιστρέφει γάρ. Ὁ δὲ πάπας ἔχων τὰς ἁπάντων ἐκκλήτους, καὶ ἁπαξαπάντων ἐστὶν ὁριστής· διαφόρως οὖν ἐχουσῶν τῶν ἐκκλήτων, ἡ πλεκτάνη τοῦ σοφίσματος διαλύεται. Περὶ δὲ τὸν κη' τῆς δ' συνόδου κανόνα, καὶ τὸν λς' τῆς πενθέκτης, οὐδὲν ἐροῦμεν· ὁ μὲν γὰρ τῆς δ' συνόδου ἤδη ψευδὴς ἀπελήλεγκται, ὁ τὰ αὐτὰ πρεσβεῖα νομοθετῶν τῷ πάπᾳ

καὶ τῷ Κωνσταντινουπόλεως. Παραπλησίως ἐλεγχθήσεται καὶ ὁ τῆς πενθέκτης, ἔνθα περὶ τῆς συνόδου ἐκείνης ἔσται ὁ λόγος.

dem modo reprobabitur et canon quinisextæ, quando de illa synodo erit sermo.

## ΝΕΙΛΟΣ.

Ὅτι δὲ πάντας ἀνακρίνων, αὐτὸς ὑπ' οὐδενὸς ἀνακρίνεται, τοῦτο καὶ ψεῦδος, καὶ τοῖς τῶν ἀποστόλων ἔθεσιν οὐ συμβαίνει. Εἰ γὰρ Παῦλος τοῖς ἄλλοις κοινοῦται τὸ Εὐαγγέλιον, μήπως εἰς κενὸν τρέχῃ ἢ ἔδραμε, καὶ πάλιν Πέτρος ἐπιτιμῶγτος ἀνέχεται Παύλου· πῶς οὗτος καθάπερ τύραννος ἀνεύθυνον ἕξει τὸν βίον; Ὅτι δὲ καὶ ψεῦδος τὸ τοιοῦτον, σαφές. Περὶ μὲν τῶν δογμάτων Ὁνώριος τοῖς παρ' ἡμῖν μαρτυρεῖ, ὃς κριθεὶς παρὰ τῆς ς' συνόδου τῷ ἀναθέματι παρεδόθη· περὶ δὲ τῆς ἄλλης πολιτείας καὶ πᾶσι μὲν νόμοις, οἷς ἕκαστος τῶν ἐπισκόπων ὑπόκειται, ἐνέχεται καὶ αὐτὸς εἰς ἐπισκόπους τελῶν· πολλοὶ δὲ οἱ τοιοῦτοι τῶν νόμων, οἱ μὲν παρὰ τῶν ἀποστόλων, οἱ δὲ παρὰ τῶν οἰκουμενικῶν ἐκτεθειμένοι συνόδων· καὶ ἰδίᾳ δὲ φαίνεται παρὰ τῶν μακαρίων Πατέρων ἐπιτιμώμενος. Ἀνάγνωθι κανόνα τῆς ς' συνόδου ιγ' περὶ τοῦ γάμου τῶν ἱερωμένων, καὶ τὸν νε' περὶ τοῦ Σαββάτου.

## NILUS (Cap. XIII).

Quod vero omnes ipse judicans a nemine judicetur, hoc et falsum et moribus apostolorum contrarium est. Nam si Paulus confert cum aliis Evangelium, ne forte in vacuum curreret aut cucurrisset, et rursus Petrus a Paulo increpari se patitur, quomodo iste quasi tyrannus vitam nulli judici obnoxiam traducet? Quod autem falsum quoque sit, inde patet. Nam de dogmatibus Honorius est testis, qui judicatus a sexta synodo et anathemate condemnatus est. De moribus autem certum est illum et cunctis quidem teneri legibus, quibus et quilibet episcopus, cum inter episcopos numeretur: sunt porro leges hujusmodi multæ, partim ab apostolis, partim a conciliis generalibus editæ; speciatim vero videtur a sanctis Patribus reprehendi. Lege canonem quinisextæ 13, de conjugio sacerdotum, et 55, de Sabbato.

## ΑΝΤΙΡΡΗΣΙΣ.

Σύμφωνα ταῦτα ἐπιπλέκεις ταῖς σαῖς ἀρχαῖς, ἀλλ' ἀσύμφωνα τῇ ἀληθείᾳ, καὶ τοῖς ἤδη προκομισθεῖσιν ἐλέγχοις. Εἰ γὰρ κατὰ σὲ τὸ πρωτεῖον ὁ πάπας ἔχει παρὰ τῶν Πατέρων, καὶ ἔστι διάδοχος τοῦ Πέτρου ὡς τῶν ἐπισκόπων ἕκαστος τῶν ὑπ' ἐκείνου χειροτονηθέντων, καὶ δύναται τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων, καὶ πρῶτός ἐστι τάξει μόνῃ, καὶ ὡρισμένην ἔχει παροικίαν, εὔλογον πάντως καὶ αὐτὸν ἀνακρίνεσθαι κατὰ τοὺς ἄλλους, μηδὲν ἐξαίρετον ἔχοντα.

Εἰ δὲ ὅσα εἴρηται, λῆρος καὶ ψευδολογία καὶ νεωτερισμός, εὔδηλον καὶ ἃ νῦν ἐπιφέρεις, εἶναι κομπώδη τερετίσματα. Παῦλος κοινοῦται τὸ Εὐαγγέλιον, Πέτρος ἀνέχεται παρὰ Παύλου ἐπιτιμώμενος, ἆρα δεῖ κρίνεσθαι καὶ τὸν πάππαν. Οὐ συνορᾷς τοῦ συλλογισμοῦ τὸ ἀπρόσφορον; Ἄλλο τὸ κοινοῦσθαι καὶ τὸ ἐπιτιμᾶσθαι, καὶ ἄλλο τὸ κρίνεσθαι· ἐκεῖνα ἀγάπης καὶ φιλίας, τοῦτο ἐξουσίας. Εἰ δέ σοι τὸ ἐπιτιμᾶσθαι τὸν Πέτρον δοκεῖ ὑποβιβασμὸν δηλοῦν, ἄκουε τοῦ μεγάλου Πατρὸς Γρηγορίου τοῦ ἐπίκλην Διαλόγου ἐν τῇ ιη' εἰς τὸν Ἰεζεκιὴλ ὁμιλίᾳ· « Ὁ Πέτρος, φησί, γέγονε καὶ τῷ ἐλάττονι ἀδελφῷ συναινέτης, καὶ τῷ ὑποδεεστέρῳ κατακολούθησεν ἐν τῇ αὐτῇ ὑποθέσει, ἵνα κἂν τούτῳ μείζων γένηται, ὥσπερ κορυφαῖος ὢν τῇ ἀποστολικῇ ἀξίᾳ, οὕτω καὶ τῇ ταπεινοφροσύνῃ γινόμενος. »

Εἰ δὲ ὅλως μὴ κρίνεσθαι μέν, ἀλλ' ἐπιτιμᾶσθαι βούλει τὸν πάπαν ὑπὸ τῶν συμπατριαρχῶν, ὥσπερ ὑπὸ τοῦ συναποστόλου ὁ ἀπόστολος· ἐχρῆν σε ἐνθυμεῖσθαι τὰ ῥητὰ καὶ τὰς ὁμολογίας τῶν ἐν ταῖς συνόδοις Πατέρων, ὅτι ὀφθαλμός καὶ κορυφή, καὶ πατὴρ τῶν ἐπισκόπων ἁπάντων ὁ πάπας, ἐκεῖνοι δὲ συναπόστολοι. Καὶ χωλαίνει ἡ ἀναλογία. Ἐπετέλεσα Κελεστῖνος ἐν τῇ τρίτῃ συνόδῳ τῷ Νεστορίῳ,

## CONFUTATIO.

Tu quidem fundamentis tuis convenientia loqueris, sed a veritate aliena et jam rejecta. Si enim papa per te primatum habet Patrum beneficio, et successor est Petri, non secus ac quivis alius episcopus ex iis quos Petrus consecravit, et potest errare in fide, et primus est ordine tantum, et definitam habet diœcesim: certe rationi consonum est ut judicetur et ipse sicut alii, et nullo sit privilegio exemptus.

At si ea omnia nugatoria sunt, ac falsitatis et novitatis plena, certe et quæ infers inanes cantilenæ sunt. Confert Evangelium Paulus, Petrus increpari se patitur, ergo etiam papa judicio subdendus est. Annon animadvertis insulsitatem syllogismi? Aliud est conferre et increpari, et aliud judicari: illa charitatis et amicitiæ sunt, hoc potestatis. Quod si increpari Petrum, videtur tibi principatus imminutio, audi eximium doctorem Gregorium Magnum homilia in Ezechielem 18: « Petrus, inquit, se etiam minori fratri ad consensum dedit, atque in eadem re factus est sequens minoris sui, etiam ut in hoc præiret: quatenus qui primus erat apostolatus culmine, esset primus in humilitate. »

Sed si omnino vis non quidem judicari papam, sed increpari a compatriarchis, sicut apostolus a coapostolo, meminisse debes dicta et confessiones Patrum in synodis, quod oculus et vertex et pater episcoporum omnium papa, illi vero, coapostoli. Et proportio non quadrat. Increpabat Cœlestinus in tertia synodo Nestorium, non increpabatur; increpabat Leo in quarta Dioscorum, et increpa-

tiones synodus approbabat; procacitatem vero Dioscori adversus papam cum horrore detestata est. Agatho papa in sexta synodo scribebat apostolicos suos prædecessores commonuisse, rogasse, increpasse Orientales ut curarentur. Et Adrianus papa in septima Tarasium Constantinopolitanum increpabat, quod ex laico ordine patriarchatus culmen esset adeptus, et inscriberetur œcumenicus. Tu vero evangelicum pervertis ordinem, et papam non increpari modo vis, sed etiam judicari; et Honorium inculcas, quem judicaverit et condemnaverit sexta synodus etiam post mortem. Et vocas sextæ synodi opus, quod Acephali egerunt Orientales. Nec vides, haud primos hoc ausos esse Patres sextæ synodi. Ita enim Patres secundæ synodi clandestinum scripserant canonem de honore Constantinopolitani sine papa; ita quartæ synodi Patres, ut enarratum est; ita soli postmodum Orientales celebrata synodo quinisexta schismati radicem posuere. In summa, quidquid Orientales in conciliis egerunt clam papa, non sacris conciliis tribuenda sunt, sed artificiosis quorumdam machinamentis. Quare multum conqueritur Leo papa in quarta synodo. Judicavit et condemnavit Honorium livor eorum qui dicta illius mala interpretatione exceperunt, et loquebantur quæ sibi cordi erant, ut ait sanctus Maximus in dialogo quem supra citavimus. Non ferebant enim quatuor Constantinopolitanos patriarchas anathematizari ut hæreticos Monothelitas, et non inseri Honorium Romanum.

Quod vero de moribus ais, papam, cum sit episcopus, subesse cunctis legibus quibus subjacet omnis episcopus, hoc plane est doctrina tua non indignum. Certe nunquam dixeris patriarcham Constantinopolitanum subdi legibus hierarcharum sibi subjectorum inter quos ille primus est ut unitas, et non sicut coordinatus, ut tu dicis. Quomodo enim sit non coordinatus et subordinatus? At vero papam cunctis subesse legibus, quibus et quilibet episcopus, egregie admodum pronuntias; et si subest cunctis legibus, quibus et omnis episcopus, erit per te papa ejus ordinis, cujus et episcopi suffraganei Cæsareensis. At hoc dicere, quid est aliud quam insanire? Sed si verum est multo magis Constantinopolitanum subesse papæ quam illi subditos hierarchas; et Constantinopolitanus non subjicitur legibus suorum episcoporum; profecto nec papa subjicitur legibus omnium episcoporum; quare nec legibus subjectus est quibus subest quilibet episcoporum, quandoquidem quilibet episcoporum subest apostolorum et Patrum legibus; papa vero cum pastorum caput sit, nullis pastorum legibus subest; alioquin quomodo dicta et sententiæ synodorum de papa consistent?

Asseris deinde, papam videri speciatim repre-

οὐκ ἐπετιμᾶτο· ἐπετίμα Λέων ἐν τῇ δ' Διοσκόρῳ, καὶ τὰς ἐπιτιμήσεις ἐπεκύρου ἡ σύνοδος, τὴν δὲ Διοσκόρου τόλμαν κατὰ τοῦ πάππα μετὰ φρίκης ἀπεσκοράκισεν. Ἀγάθων ὁ πάππας ἐν τῇ ἕκτῃ ἔλεγε τοὺς πρὸ αὐτοῦ ἀρχιερεῖς τῆς Ῥώμης ὑπομνῆσαι, ἐρωτῆσαι, ἐπιτιμῆσαι τοῖς ἀνατολικοῖς ὥστε θεραπευθῆναι. Καὶ Ἀδριανὸς ὁ πάππας ἐν τῇ ζ' ἐπετίμα Ταρασίῳ τῷ Κωνσταντινουπόλεως, ὅτι ἐκ λαϊκῆς τάξεως ἐκεχειροτόνητο πατριάρχης, καὶ οἰκουμενικὸς ἐπεφημίζετο ἀδίκως. Σὺ δὲ τὴν εὐαγγελικὴν ἀνατρέπεις τάξιν, καὶ βούλει τὸν πάπαν οὐκ ἐπιτιμᾶσθαι μόνον, ἀλλὰ καὶ κρίνεσθαι. Καὶ ἀνακυκλεῖς τὸν Ὀνώριον, ὡς κριθέντα καὶ κατακριθέντα καὶ μετὰ θάνατον παρὰ τῆς ς' συνόδου. Καὶ ὃ μόνοι ἔπραξαν ἀκεφάλως οἱ ἀνατολικοί, καλεῖς ἔργον τῆς ς' συνόδου. Καὶ οὐχ ὁρᾷς μὴ πρώτοις τοῦτο τοῖς κατὰ τὴν ς' σύνοδον τετολμῆσθαι· οὕτω περὶ τοῦ Κωνσταντινουπόλεως κρύφιον κανόνα ἐξέθεντο οἱ τῆς β' συνόδου δίχα τῆς ἐξουσίας τοῦ πάππα· οὕτως οἱ τῆς δ' ὡς εἴρηται· οὕτως μόνοι τὴν πενθέκτην μετὰ ταῦτα οἱ ἀνατολικοὶ συγχρότησαντες τὸ σχίσμα ἐρρίζωσαν· καὶ ὅλως ὅσα οἱ ἀνατολικοὶ ἐν ταῖς συνόδοις κρύφα τοῦ πάπα πεπράχασιν, οὐχ ἁπλῶς ἀπονεμητέα ταῖς ἁγίαις συνόδοις, ἀλλὰ ταῖς τινων ἐντέχνοις μηχανουργίαις· περὶ οὗ πλεῖστα μέμφεται ἐν τῇ δ' συνόδῳ Λέων ὁ πάπας. Ἔκρινεν, ὦ βέλτιστε, καὶ κατέκρινε τὸν Ὀνώριον ἡ βασκανία τῶν παρερμηνευσάντων τὰς ἐκείνου λέξεις, καὶ λαλούντων τὰ ἀπὸ καρδίας, ᾗ φησιν ὁ μέγας Μάξιμος· οὐ γὰρ ἔφερε τέσσαρας Κωνσταντινουπόλεως πατριάρχας ἀναθεματισθῆναι ὡς Μονοθελήτας αἱρετικούς, καὶ μὴ ἐγκεντρίσαι τὸν Ῥώμης Ὀνώριον.

Περὶ δὲ τῆς ἄλλης πολιτείας ὃ φῂς, ὅτι ἐπίσκοπος ὢν ὁ πάπας ἐνέχεται καὶ αὐτὸς πᾶσι τοῖς νόμοις, οἷς ὑπόκειται ἕκαστος τῶν ἐπισκόπων, τοῦτο τῆς σῆς ἄξιον διδασκαλίας. Καὶ τὸν μὲν Κωνσταντινουπόλεως πατριάρχην οὐκ ἂν ποτε φαίης ὑποκεῖσθαι τοῖς νόμοις τῶν ὑπ' αὐτὸν ἱεραρχῶν, ὧν ἐστι πρῶτος ὡς μονάς, καὶ ὡς μὴ συντεταγμένος, καθὰ σὺ λέγεις· πῶς γὰρ ἂν εἴη μὴ συντεταγμένος καὶ ὑποτεταγμένος; τὸν δὲ πάπαν μάλα σεμνῶς ἀποφαίνῃ πᾶσιν ὑποκεῖσθαι τοῖς νόμοις, οἷς καὶ τῶν ἐπισκόπων ἕκαστος. Εἰ δὲ οἷς καὶ τῶν ἐπισκόπων ἕκαστος, τῆς αὐτῆς κατὰ σὲ τάξεως ὁ πάπας, ᾗς καὶ οἱ ὑπὸ τὸν Καισαρείας ἐπίσκοποι. Τί δ' ἄλλο τοῦτο ἢ μανία σαφής; Εἰ τοίνυν ἀληθές, πολλῷ μᾶλλον ὑποκεῖσθαι τὸν Κωνσταντινουπόλεως τῷ πάπᾳ, ἢ ἐκείνῳ τοὺς ὑπ' αὐτὸν ἱεράρχας· ὃ κ ἐνέχεται δὲ ὁ Κωνσταντινουπόλεως τοῖς τῶν οἰκείων ἐπισκόπων νόμοις, οὐδ' ὁ πάπας ἄρα ἐνέχεται τοῖς τῶν ἁπανταχοῦ ἐπισκόπων νόμοις· ὅθεν οὐδ' ἐνέχεται, οἷς καὶ ἕκαστος τῶν ἐπισκόπων, ἐπειδὴ τῶν ἐπισκόπων ἕκαστος καὶ τοῖς τῶν ἀποστόλων καὶ τοῖς τῶν Πατέρων ὑπόκειται νόμοις· ὁ δὲ πάπας ὡς ποιμενάρχης οὐδέσιν ὑπόκειται ποιμένων νόμοις, εἴπερ ἀληθεῖς αἱ τῶν συνόδων ἀποφάσεις περὶ τοῦ πάπα, ἃς προηνέγκαμεν.

Εἶτα καὶ ἰδίᾳ ἐπιτιμώμενον φαίνεσθαι λέγεις τὸν

πάππαν ὑπὸ τῆς πενθέκτης συνόδου· καὶ παράγεις τὸν ιγ' ἐκείνης κανόνα περὶ τοῦ γάμου τῶν ἱερωμένων, καὶ τὸν νε' περὶ τοῦ Σαββάτου· καὶ ἔοικας, ὦ Νεῖλε, τῷ κριτὰς ἐν δικαστηρίῳ καὶ μάρτυρας καθιστῶντι τοὺς ἀντιδίκους. Χρὴ δὲ ἐν τοιούτοις προφέρειν τὰ κοινῇ ὁμολογούμενα, οὐ τὰ κατὰ μονομέρειαν παρανόμως γεγονότα. Ἡ πενθέκτη σύνοδος χωρὶς τοῦ ἀποστολικοῦ θρόνου τοὺς κανόνας ἐκθεμένη ἀρχὴ καὶ ῥίζα τοῦ σχίσματος γέγονε, συνωθοῦντος Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου· ἀπαυθαδιάσασα γὰρ πρὸς τὴν ἀρχαιότητα πολλῆς καινοτομίας ἐδείχθη διδάσκαλος. Πῶς οὖν ὅλως συμφωνήσει ὁ ιγ' αὐτῆς κανὼν τῷ γ' τῆς ἁγίας α' συνόδου; « Ἀπηγόρευσεν ἡ μεγάλη σύνοδος καθόλου μήτε ἐπισκόπῳ, μήτε πρεσβυτέρῳ, μήτε διακόνῳ, μήτε ὅλως τινὶ τῶν ἐν κλήρῳ ἐξεῖναι συνεισακτον ἔχειν· πλὴν εἰ μὴ ἄρα μητέρα, ἢ ἀδελφὴν, ἢ θείαν, ἢ ἃ μόνα πρόσωπα πᾶσαν ὑποψίαν διαπέφευγε. » Τοῦτον τὸν κανόνα ἐξηγοῦνται οἱ Γραικοὶ περὶ τῶν ἐν ἱερωσύνῃ ἀζύγων, καὶ προφασίζονται προφάσεις ἐν ἁμαρτίαις· ὁ δὲ μέγας Βασίλειος τὸν ἀληθῆ νοῦν παραδίδωσι, Γρηγορίῳ πρεσβυτέρῳ γράφων· « Οὔτε πρῶτοι, οὔτε μόνοι, ὦ Γρηγόριε, ἐνομοθετήσαμεν γυναῖκα ἀνδράσι μὴ συνοικεῖν· ἀλλ' ἀνάγνωθι τὸν κανόνα τὸν ἐξενεχθέντα παρὰ τῶν ἁγίων Πατέρων ἡμῶν τῶν ἐν τῇ συνόδῳ Νικαίας, ὃς φανερῶς ἀπαγορεύει συνεισάκτους μὴ εἶναι. Ἀγαμία δὲ ἐν τούτῳ ἔχει τὸ σεμνὸν, ἐν τῷ κεχωρίσθαι τῆς γυναικῶν διαγωγῆς· ὡς ἂν ἐπαγγελλόμενός τις τῷ ὀνόματι, ἔργῳ τὰ τῶν ταῖς γυναιξὶ συνοικούντων ποιῇ, δῆλός ἐστι τὸ μὲν τῆς παρθενίας σεμνὸν ἐν τῇ προσηγορίᾳ διώκων, τοῦ δὲ καθ' ἡδονὴν ἀπρεποῦς μὴ ἀφιστάμενος. »

Ἐν τούτοις ὁ μέγας Πατὴρ τὸ συνεισάκτους μὴ εἶναι ταυτὸν εἶναι βούλεται τῇ ἀγαμίᾳ. Καὶ ὃ φησιν ἡ ἁγία σύνοδος, *ἐπισκόπῳ*, *πρεσβυτέρῳ*, *διακόνῳ*, παραφράζει ὁ μέγας Βασίλειος εἰς τὸ, « ἀνδράσι μὴ συνοικεῖν· » καὶ τὸ, « μήτε ὅλως τινὶ τῶν ἐν κλήρῳ, » αὐτὸς ἑρμηνεύει φάσκων· « Ὡς ἂν ἐπαγγελλόμενός τις τῷ ὀνόματι, ἔργῳ ποιῇ τὰ τῶν συνοικούντων ταῖς γυναιξίν. » Ὥστε τὸν νοῦν τοῦ κανόνος κατὰ τὸν μέγαν Βασίλειον εἶναι τοῦτον· « Ἀπηγόρευσεν ἡ μεγάλη σύνοδος καθόλου τοῖς ἱερωσύνην ἐπαγγελλομένοις συνοικεῖν γυναιξὶν, οἵτινες ἀγαμίαν τηρεῖν ὀφείλουσιν. » Κατὰ δὲ τοὺς ἐξηγητὰς τῶν Γραικῶν τὸν νοῦν εἶναι τοιοῦτον· « Ἀπηγόρευσεν ἡ μεγάλη σύνοδος καθόλου τοῖς ἀγάμοις τῶν ἱερέων γυναιξὶ συνοικεῖν· ὀφείλουσι γὰρ φεύγειν τὴν λαθραγαμίαν. »

Οὕτω διαφόρως ἐχουσῶν τῶν ἐξηγήσεων, ἀξιοπιστότερος δήπου ὁ μέγας Βασίλειος καὶ ἁγιότητι καὶ ἀρχαιότητι καὶ σοφίᾳ διαπρέπων· οὐ μὴν ἀλλὰ καὶ μαρτυροῦντας αὐτῷ ἔχων τὸν Παμφίλου Εὐσέβιον, καὶ τὸν ἅγιον Ἐπιφάνιον· ὧν ὁ Παμφίλου καὶ τῇ πρώτῃ παρῆν, καὶ τὴν ἔννοιαν τοῦ ἐκτεθέντος κανόνος ἐξηγεῖται ἐν τῷ πρώτῳ τῆς *Εὐαγγελικῆς Ἀποδείξεως*, οὕτωσι λέγων· « Χρὴ, φησὶν ὁ Λόγος, τὸν ἐπίσκοπον γεγονέναι μιᾶς γυναικὸς ἄνδρα· πλέον ἀλλὰ τοῖς ἱερωμένοις, καὶ περὶ τὴν

hensum a quinisexta synodo: professque decimum tertium ejus canonem de conjugio sacerdotum, et quinquagesimum quintum de Sabbato, et videris perinde facere ac illi qui judices et testes constituunt adversarios. At in hujusmodi rebus afferenda sunt quæ apud utramque partem sint in confesso, non quæ ab altera parte contra jus fasque gesta sunt. Quinisexta synodus, quam sine papa Græci celebrarunt impellente Justiniano Rhinotmeto, schismatis fuit origo et radix: nam deposita reverentia adversus antiquitatem, multæ novitatis magistram se præbuit. Quomodo enim canon ejus decimus tertius concordabit cum tertio sanctæ primæ synodi? Prohibet magna synodus, ne omnino liceat episcopo, aut presbytero, aut diacono, sive cuicunque clerico introductam habere mulierem; nisi forte matrem, aut sororem, aut amitam; vel eas tantum personas, quæ omnem fugiunt suspicionem. » Hunc canonem Græci exponunt de iis clericis qui vivunt in cælibatu, excusando excusationes in peccatis. At magnus Basilius verum tradit sensum scribens Gregorio presbytero: « Nec primi, nec soli nos, o Gregori, legem tulimus vetantem cohabitare feminam viris; sed legito canonem editum a sanctis Patribus nostris in Nicæna synodo, qui manifeste prohibet ne mulieres introductæ sint. Cælibatus autem hoc habet eximium, si quis abstineat a mulierum contubernio. Quod si quis profiteatur quidem nomine tenus cælibatum, sed re ipsa peragat quod ii qui degunt cum feminis, certe virginitatem ille quidem specioso titulo persequitur, sed a fœditate voluptatis sese non continet. »

In his magnus Pater pro eodem accipit, non habere introductam, et servari cælibatum. Et quod ait sancta synodus, *episcopo*, *presbytero*, *diacono*, paraphrasi utens magnus Basilius, « viris, ait, non cohabitare; » et verba illa, « sive cuicunque clerico, » ipse sic interpretatur, « Si quis profiteatur quidem nomine tenus cælibatum, sed re peragat quod ii qui degunt cum feminis. » Ita ut sensus canonis de mente Basilii sit hic: « Prohibet magna synodus omnibus omnino sacerdotii gradibus cohabitare feminis, cum cælibatum servare teneantur. » At juxta Græcorum interpretes sensus hic est: « Prohibet omnino sancta synodus ne sacerdotes cælibes cohabitent feminis; debent enim evitare furtiva cum mulieribus commercia. »

Cum ergo diversæ interpretationes sint, certe fide dignior est Basilius magnus, sanctitate, antiquitate et scientia pollens, præsertim cum attestantes habeat et Eusebium Pamphili, et sanctum Epiphanium. Porro Eusebius et primæ synodo interfuit, et sensum expositi canonis declarat libro I *Demonstrationis Evangelicæ*, his verbis: « Oportet, inquit Scriptura, episcopum unius fuisse uxoris virum. Cæterum et sacerdotio fungentibus, et circa Dei cultum occupatis convenit deinceps se a consue-

tudine conjugii abstinere. » Et sanctus Epiphanius ad finem libri tertii contra hæreses: « Corona, inquit, horum omnium et mater parensque, sacrum sacerdotium; quod in virginibus quidem ut plurimum collocatur; quod si non in virginibus, collocatur in monachis. Quod si ex monachis idonei non sint ad ministerium, assumuntur continentes a propriis uxoribus, aut vidui post monogamiam. » Et lib. II *Contra hæreses*, hæresi Catharorum: « Revera, inquit, sacra Dei prædicatio non admittit post Christi adventum eos qui a primo matrimonio defuncta uxore transeunt ad secunda vota, propter excellentiam sacerdotalis honoris. Et hoc sancta Dei Ecclesia cautissime servat et exactissime. Quin et dantem adhuc operam liberis, unius uxoris virum non admittit; sed eum, qui se ab una continuit, aut viduus mansit, diaconum suscipit, et presbyterum, et episcopum, et subdiaconum, præsertim ubi ecclesiastici canones in suo robore vigent. At profecto, dices, in quibusdam locis adhuc liberis operam dare presbyteros, et diaconos, et subdiaconos. Verum hoc non a canone, sed ex inertia mentis humanæ, quæ subrepit aliquando, provenit; et multitudinis causa, cum facile ministri non suppetant: semper enim, quod decentius est Ecclesia spectans, sancto Spiritu bene disposita, statuit, offerendum esse Deo studiosum cultum sepositis distrahentibus curis, et spirituales functiones cum castissima conscientia obeundas. »

Ita interpretantibus sanctis Patribus Basilio et Epiphanio, et attestante Eusebio, qui primæ synodo interfuit, quomodo quinisexta in suo canone 13, dum vocat sacerdotum matrimonia exactum apostolicæ ordinationis ritum, sacris doctoribus non contradicit? contradicendo autem quomodo reprehendit papam, qui vere apostolicum observat morem?

Quinquagesimus quintus etiam de Sabbato canon quanta temeritate scatet! Interrogatus olim sanctus Ambrosius a B. Augustino adhuc catechumeno, an esset Sabbato jejunandum, respondit: Quando Mediolani sum, non jejuno Sabbato; quando Romæ sum, jejuno Sabbato. » Hac sanctus Augustinus epistola 88, ubi de hac re pulcherrime philosophatur. Nam ad significandam, inquit, Christi in sepulcro requiem, putarunt Orientales relaxandum esse jejunium; Romani vero jejunandum. Porro in apostolicis, inquit, litteris de hoc nullum præceptum reperiri; at quinisexta synodus hoc sonuiavit. Ambrosius etiam, si exstare hac de re canonem scisset apostolicum, non dixisset Augustino, pro locorum varietate varios mores esse servandos; nam canones apostolorum ubique ligant.

Et epistola 118 tria esse inquit in novi populi

τοῦ Θεοῦ θεραπείαν ἀσχολουμένους ἀνέχειν λοιπὸν σφᾶς αὐτοὺς προσήκει τῆς γαμικῆς ὁμιλίας. » Καὶ ὁ θεῖος δὲ Ἐπιφάνιος ἐν τῷ τέλει τοῦ γ' βιβλίου κατὰ αἱρέσεων, « Στεφάνη δὲ, φησὶ, τούτων ἁπάντων ἡ μήτηρ καὶ γεννήτρια, ἡ ἁγία ἱερωσύνη, ἐκ μὲν παρθένων τὸ πλεῖστον ὁρμωμένη· εἰ δὲ οὐκ ἐκ παρθένων, ἐκ μοναζόντων· εἰ δὲ μὴ εἶεν ἱκανοὶ εἰς ὑπηρεσίαν ἀπὸ μοναζόντων, ἐξ ἐγκρατευομένων τῶν ἰδίων γυναικῶν, ἢ χηρευσάντων ἀπὸ μονογαμίας. » Καὶ ἐν τῷ *Κατὰ αἱρέσεων* β' βιβλίῳ, ἐν τῷ κατὰ Καθαρῶν, « Τῷ ὄντι, φησὶν, οὐ δέχεται τὸ ἅγιον τοῦ Θεοῦ κήρυγμα μετὰ τὴν τοῦ Χριστοῦ ἐνδημίαν τοὺς ἀπὸ πρώτου γάμου τελευτησάσης τῆς αὐτῶν γυναικὸς δευτέρῳ γάμῳ συναφθέντας, διὰ τὸ ὑπερβάλλον τῆς τιμῆς τῆς ἱερωσύνης. Καὶ ταῦτα ἀσφαλῶς ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία μετὰ ἀκριβείας παραφυλάττεται. Ἀλλὰ καὶ τὸν ἔτι βιοῦντα καὶ τεκνογονοῦντα, μιᾶς γυναικὸς ὄντα ἄνδρα, οὐ δέχεται, ἀλλὰ τὸν ἀπὸ μιᾶς ἐγκρατευσάμενον, ἢ χηρεύσαντα διάκονόν τε καὶ πρεσβύτερον, καὶ ἐπίσκοπον καὶ ὑποδιάκονον, μάλιστα ὅπου ἀκριβεῖς οἱ ἐκκλησιαστικοὶ κανόνες. Ἀλλὰ πάντως ἐρεῖ μοι ἔν τισι τόποις ἔτι τεκνογονεῖν πρεσβυτέρους, καὶ διακόνους, καὶ ὑποδιακόνους. Τοῦτο οὐ παρὰ τὸν κανόνα, ἀλλὰ παρὰ τὴν τῶν ἀνθρώπων κατὰ καιρὸν ῥᾳθυμήσασαν διάνοιαν, καὶ τοῦ πλήθους ἕνεκεν μὴ εὑρισκομένης ὑπηρεσίας· τὸ πρεπωδέστερον γὰρ ἀεὶ ἡ Ἐκκλησία ὁρῶσα, ἁγίῳ Πνεύματι εὖ διαταχθεῖσα, ἔγνω ἀπερισπάστους τῷ Θεῷ τὰς λατρείας ἐπιτελεῖσθαι σπουδάζειν, καὶ τὰ πνευματικὰ τῶν χρειῶν μετὰ πάσης ἀγνωτάτης συνειδήσεως τελειοῦσθαι. »

Οὕτως ἐξηγουμένων τῶν ἁγίων Πατέρων Βασιλείου καὶ Ἐπιφανίου, καὶ προσμαρτυροῦντος Εὐσεβίου, ὃς καὶ τῇ πρώτῃ συνόδῳ παρῆν, πῶς ἡ πενθέκτη σύνοδος ἐν τῷ ιγ' ἑαυτῆς κανόνι τοὺς γάμους τῶν ἱερέων λέγουσα ἀποστολικὴν ἀκρίβειαν καὶ τάξιν, οὐκ ἀντιλέγει τοῖς ἱεροῖς διδασκάλοις; Ἀντιλέγουσα δὲ, πῶς ἐπιτιμᾷ τῷ πάπᾳ, τὴν ὄντως ἀποστολικὴν τηροῦντι ἀκρίβειαν;

Ποίας ὡσαύτως προπετείας οὐ γέμει ὁ νε' περὶ τοῦ Σαββάτου κανών! Ἐρωτηθεὶς ποτὲ ὁ θεῖος Ἀμβρόσιος ὑπὸ τοῦ μακαρίου Αὐγουστίνου ἔτι ἐν κατηχουμένοις τελοῦντος, εἰ χρὴ νηστεύειν τῷ Σαββάτῳ, ἀπεκρίνατο· « Ἐν Μεδιολάνῳ διάγων οὐ νηστεύω· ὅτε καταλαμβάνω τὴν Ῥώμην, νηστεύω. » Ταῦτά φησιν ὁ μακάριος Αὐγουστῖνος ἐν τῇ πς' αὐτοῦ ἐπιστολῇ, κάλλιστα περὶ τοῦ κεφαλαίου τούτου φιλοσοφῶν. Τὴν γὰρ ἐν τῷ τάφῳ, φησὶ, τοῦ Χριστοῦ ἀνάπαυσιν τῷ Σαββάτῳ οἱ μὲν τῆς ἑῴας δεῖν ᾠήθησαν τῇ ἐπισιτίσει σημαίνεσθαι, οἱ δὲ τῆς Ῥώμης τῇ νηστείᾳ. Καὶ οὐδαμοῦ, φησὶν, ἀποστολικῆς τοῦτο γραφῆς διάταγμα, ὅπερ οἱ τῆς πενθέκτης συνόδου ὀνειροπολοῦσιν. Ἀλλ' οὐδὲ Ἀμβρόσιος, εἴπερ ἦδει κανόνα περὶ τούτου, εἶναι ἀποστολικὸν εἶπεν ἂν τῷ Αὐγουστίνῳ, τοῖς τόποις συμμεταβάλλειν καὶ τὴν συνήθειαν· οἱ γὰρ ὄντως ἀποστολικοὶ κανόνες πανταχοῦ κρατοῦσιν.

Καὶ ἐν τῇ ριη' ἐπιστολῇ τρία φησὶν εἶναι ἐν τῇ

πολιτείᾳ τῶν Χριστιανῶν· πρῶτα μὲν, ὅσα ἐγγράφως ἔχομεν ἐν ταῖς κανονικαῖς βίβλοις· δεύτερα, ὅσα οὐ διὰ γραφῆς, ἀλλὰ διὰ παραδόσεως ἔχομεν, καὶ παρὰ πᾶσι κοινῇ φυλάττονται· οἷον τὸ ἑορτάζεσθαι τὴν Χριστοῦ ἀνάστασιν, τὸ πάθος, καὶ τὰ ὅμοια· τρίτα δὲ τὰ κατὰ τόπους διάφορα, οἷον, φησὶν, ἡ τοῦ Σαββάτου νηστεία· οἱ μὲν γὰρ νηστεύουσιν, οἱ δὲ οὐ νηστεύουσι, καὶ τὰ παραπλήσια. Ταῦτα τὰ τρίτα φησὶν ἐλευθέρας εἶναι παραφυλακῆς, ἵν' ἐκεῖνος ἄριστα πολιτεύηται, ὃς ἂν, φησὶν, ἐν τούτοις φυλάσσῃ τὸ ἦθος τῆς Ἐκκλησίας, ἐν ᾗ ἂν γένηται. Εἶτα πάλιν φέρει τὸ ῥητὸν τοῦ Ἀμβροσίου, καὶ τοιοῦτον ἐκείνου παράγγελμα·

Εἰς ἣν ἂν ἀφίκοιο Ἐκκλησίαν, ἐκείνης τὰ ἔθιμα φύλασσε, εἴ σοι βουλητὸν μηδενὶ μηδὲν πρόσκομμα διδόναι ἢ πάσχειν. Ἐγὼ δὲ, φησὶν Αὐγουστῖνος, τὸ τοιοῦτον παράγγελμα πλεῖστα κατ' ἐμαυτὸν λογιζόμενος, οὕτως ἔχω, ὡς εἰ θεόθεν ἐδόθη μοι.

Καὶ ἐν τῇ ιθ' ἐπιστολῇ, Ἐάν τις, φησὶν, ἀνατολικὸς ἀνὴρ ἐνδημήσῃ τῇ Ῥώμῃ, ἆρα νηστεύσας τὰ Σάββατα πλὴν τοῦ ἑνὸς, ἐγκληθήσεται; Εἰ γὰρ ναὶ, οὐ μόνον ἀποδοκιμάζεις τὴν Ῥωμαίων Ἐκκλησίαν, ἀλλὰ καὶ γείτονας πολλὰς, καὶ μακρὰν οὔσας.

Καὶ Πέτρος δὲ ὁ Ἀλεξανδρείας ἱερομάρτυς τὴν νηστείαν τῆς Τετάρτης καὶ Παρασκευῆς οὐ κανόνος ἀποστολικοῦ νόμον, ἀλλὰ παραδόσεως εὐλόγου φησίν. Καίτοι παρὰ Γραικοῖς ἀποστολικός ἐστι περὶ τούτου κανὼν ξθ', οἷόν ἐστι καὶ ὃ φησιν ὁ μέγας Βασίλειος ἐν τῷ *Περὶ τοῦ ἁγίου Πνεύματος* κεφαλαίῳ κζ', ἔνθα *Περὶ τῶν ἀγράφων δογμάτων* αὐτῷ ὁ λόγος, τὰς τρεῖς ἐν τῷ βαπτίσματι καταδύσεις. Οἱ δὲ ἀνατολικοὶ περὶ τούτου τὸν ν' ἔχουσι κανόνα τῶν ἀποστόλων. Ὥστε ἢ τὸν κανόνα ἠγνόει ὁ μέγας Βασίλειος, ὅπερ ἀπιθανώτατον· ἢ δῆλον ὅτι οὐ πάντες ἀποστολικοὶ κανόνες οἱ περιφερόμενοι ἐπ' ὀνόματι τῶν ἀποστόλων, ἀλλὰ νόθοι ὄντες οὐκ ὀλίγοι τοῖς γνησίοις λάθρα συνηριθμήθησαν. Ὁ δὲ ἅγιος Ἱερώνυμος ἐν τῇ πρὸς Λουκίνιον ἐπιστολῇ, Ζητεῖς, φησὶ, περὶ τοῦ Σαββάτου εἰ νηστευτέον. Περὶ τούτου καὶ Ἱππόλυτος γέγραφεν· ἐγὼ δέ σοι λέγω, τὰς ἐκκλησιαστικὰς παραδόσεις, μάλιστα δὲ τὰς μὴ λυμαινομένας τῇ πίστει, οὕτω δεῖν παρατηρεῖσθαι, ὡς παραδέδονται ὑπὸ τῶν ἀρχαιοτέρων· μηδὲ τὴν ἑτέρων συνήθειαν ἀνατρέπεσθαι τῇ ἑτέρων ἐναντίᾳ συνηθείᾳ. Μαρτυρεῖ καὶ Κασσιανὸς ἐν τῷ συγγράμματι περὶ τῆς κανονικῆς διατάξεως τῶν μεθ' ἡμέραν εὐχῶν καὶ ψαλμῳδιῶν, περὶ τοῦ Σαββάτου, ὡς διὰ τὴν τῶν ἀποστόλων ἀγρυπνίαν τῇ ἑσπέρᾳ τῆς Παρασκευῆς ἐν τῷ καιρῷ τοῦ σωτηρίου πάθους, ἐπιφώσκοντος τοῦ Σαββάτου, ἐκράτησε παρὰ τοῖς ἀνατολικοῖς συνήθεια διανυκτερεύειν τότε, καὶ μετὰ τοὺς καμάτους τῆς παννυχίδος ἀνιέναι τὴν νηστείαν Σαββάτῳ καὶ Κυριακῇ. Οὐ γὰρ δὴ, φησὶ, λύεται ἡ νηστεία κατὰ Ἰουδαϊσμόν· πῶς γάρ; ἀλλὰ πρὸς ἄνεσιν καὶ κουφισμὸν πεπονηκότος τοῦ σώματος, πέντε καθ' ἑκάστην ἑβδομάδα δι' ὅλου τοῦ ἔτους ἡμέραις νηστείᾳ κατατρυχομένου, καὶ δυεῖν ἡμέ-

societate: prima, quæ in Scripturis habentur canonicis; secunda, quæ non scripta, sed tradita custodimus, et toto terrarum orbe observantur, sicuti Passio est et Resurrectio Christi, et similia, quæ solemniter celebrantur; tertii generis, quæ per locа terrarum regionesque variantur, sicuti est quod alii jejunent Sabbato, alii vero non, et alia hujusmodi. Totum hoc, inquit, genus rerum liberas habet observationes, nec disciplinæ est ulla in his melior, quam ut eo modo vir prudens agat quo agere viderit Ecclesiam, ad quamcunque forte devenerit. Deinde rursus affert Ambrosii dictum ejusque præceptum:

Ad quamcunque forte Ecclesiam veneris, ejus morem serva, si cuiquam non vis esse scandalo, nec quemquam tibi. Ego vero, inquit Augustinus, de hac sententia etiam atque etiam cogitans, ita habeo tanquam eam cœlesti oraculo susceperim.

Et epist. 19, Utrum, inquit, si quisquam sanctus Orientalis Romam venerit, et Sabbato jejunaverit, excepto illo die Paschalis vigiliæ, culpandus sit? Si affirmes, non solum Romanam Ecclesiam, sed etiam multas ei vicinas et remotiores damnabis.

Petrus quoque Alexandrinus episcopus et martyr jejunium quartæ et sextæ feriæ, non legem apostolici canonis, sed traditionis esse inquit rationi congruentis. Cum tamen apud Græcos de hoc exstet canon apostolicus 69, quale illud etiam est apud Basilium magnum in libro *De Spiritu sancto*, capite *De dogmatis non scriptis:* Triha, inquam, in baptismate immersio, licet Orientales hac de re quinquagesimum habeant canonem apostolicum. Aut ergo Basilius Magnus ignorabat canonem, quod nullo modo credibile est; vel constat, non omnes qui apostolorum nomine circumferuntur, esse canones apostolicos, sed irrepsisse multos, et germanis furtim esse annumeratos. Et sanctus Hieronymus in epistola ad Lucinium: De Sabbato, inquit, quæris utrum jejunandum sit. Scripsit quidem et Hippolytus, et diversi scriptores; sed ego illud admoneo, traditiones ecclesiasticas, præsertim quæ fidei non officiunt, ita observandas, ut a majoribus traditæ sunt; nec aliorum consuetudinem aliorum contrario more subverti. Testatur etiam Cassianus, qui de institutis monachorum scripsit, libro tertio de canonico diurnarum orationum et psalmorum modo, apostolos tota nocte mansisse pervigiles illucescente Sabbato, passionis tempore; ac propinde per totum Orientem fuisse in more positum, ut i li nocti, inquit, deputaretur vigiliarum solemnitas, et post vigiliarum laborem absolutio jejunii fieret Sabbato et Dominica. Non enim, inquit, absolutio ista jejunii reputanda est ad communionem festivitatis Judaicæ, sed ad refectionem et levamentum corporis; quod per totas anni septimanas jugiter quinis diebus jejunans, nisi duobus saltem

interpositis refocillatum fuerit, facile deficit. Neque usquam canonis apostolici meminit de Sabbato. Quare duorum alterum dicamus necesse est: vel tales tantosque viros laborasse ignorantia, cum tamen antiquiores fuerint, et proinde antiquitatis magis periti, vel quinisextam synodum quæ de Sabbato canonem edidit, et cæteros canones, per quos ausa est Ecclesiæ Romanæ ponere leges, nil aliud egisse quam novis rebus studuisse, et exordio schismatis. Per tales vero canones reprehensum velle papam, et hujusmodi canonibus esse illum subjectum, est sibi assentari, et virus odii contra papam evomere. Itaque si papam jure divino esse custodem et medicum Ecclesiæ, totiusque corporis oculum, idem est metaphorice quod esse gubernatorem et pastorem; et pastor non pascitur, ergo neque judex judicatur. Et si judex, non ideo tyrannus, quia non judicatur, temere papam tyranno assimilas, qui judex a Deo constitutus, a Deo quoque habet ut non judicetur.

A

B

## NILUS (Cap. XIV).

Quod vero papa majoris non sit ordinis quam episcopalis, constat ex dictis; quomodo enim corrigeretur ab inferioribus? et Patres illum Romæ episcopum vocant, et ab episcopis consecratur. Beatus quoque Dionysius, qui fuit tempore apostolorum, divisit hierarchiam ecclesiasticam in ministros sacerdotes et episcopos; nec licet ex verbis ejus dignitatem episcopali majorem excogitare. »

C

## CONFUTATIO.

Hoc ad umbram pugnare est. Quis enim dixit unquam, papam majoris esse ordinis quam episcopalis? An vero per te Constantinopolitanus majoris est ordinis quam episcopalis? An vero per te Constantinopolitanus majoris estordinis quam episcopalis? Si ergo ille, cum sit episcopus, habet tamen sub se hierarchas, qua ratione papæ, cum sit episcopus, primatum illum negas, cujus illi testes sunt sacræ synodi? Cum tertia synodus ageretur, Romanus episcopus erat Cœlestinus, Cyrillus Alexandrinus, Joannes Antiochenus. Deposuit Joannes Cyrillum; ægre ferebat Cyrillus, quod cum dignioris esset sedis, fuisset a Joanne depositus. Scribit synodus rogans papam ut in Joannem animadverteret, ne Ecclesiæ res abirent in extremam confusionem. De quibus omnibus supra dictum est. Quomodo igitur episcopus cum episcopo apud episcopum judicio certabat? An forte Cyrillus, et universa sancta synodus ignorabat ordinem episcoporum. Non ergo requiritur ad plenitudinem ecclesiasticæ hierarchiæ, ut prima sedes sit majoris ordinis sacerdotalis, sed dignitatis et auctoritatis majoris. Hoc sibi vult apud Patres sextæ synodi titulus ille, *Pontificalissimus antistes;* et voces il-

D

ραιν ἀναψυχὴν ἀναγκαίως ἐπιζητοῦντος. Καὶ οὐδαμοῦ μέμνηται κανόνος ἀποστολικοῦ διαγορεύοντος περὶ τοῦ Σαββάτου. Ὥστε δυοῖν θάτερον εἰπεῖν ἀναγκαῖον, ἢ τοσούτους καὶ τηλικούτους ἄνδρας πεπλανῆσθαι ὑπ' ἀμαθίας, καὶ ταῦτα ἀρχαιοτέρους ὄντας, καὶ διὰ τοῦτο τὰ τῆς ἀρχαιότητος μᾶλλον εἰδότας· ἢ τοὺς τῆς πενθέκτης συνόδου ἐκδεδωκότας τὸν κανόνα περὶ τοῦ Σαββάτου, καὶ τοὺς λοιποὺς κανόνας, ἐν οἷς τετολμήκασι τὴν Ῥωμαϊκὴν καινίσαι Ἐκκλησίαν, οὐδὲν ἄλλο πεπραχέναι ἢ νεωτερισμοὺς καὶ σχισμάτων προοίμια. Τοιούτοις δὲ κανόσι λέγειν ἐπιτιμᾶσθαι καὶ ὑποκεῖσθαι τὸν πάππαν τί ἄλλο, ἢ τὰ δοκοῦντα λέγειν, καὶ τὸ κατὰ τοῦ πάπα μῖσος ἐρεύγεσθαι; ὥστε εἴπερ τὸ εἶναι θεῖῳ δικαίῳ φύλακα τὸν πάππαν, καὶ ἰατρὸν τῆς Ἐκκλησίας, καὶ ὀφθαλμὸν τοῦ ὅλου σώματος, μεταφορικῶς λεγόμενον ταυτόν ἐστι τὸ εἶναι κυβερνήτην καὶ ποιμένα· καὶ ὁ ποιμὴν οὐ ποιμαίνεται, ἆρα καὶ ὁ κριτὴς οὐ κρίνεται· καὶ εἴπερ οὐ τύραννος ὁ κριτὴς διὰ τὸ μὴ κρίνεσθαι, παραλόγως τυράννῳ εἰκάζεις τὸν πάππαν, ὃς θεόθεν ἔχων τὸ κρίνειν, ἐκεῖθεν ἔχει καὶ τὸ μὴ κρίνεσθαι.

## ΝΕΙΛΟΣ.

« Ὅτι δὲ καὶ μείζονος τάξεως ἢ κατ' ἐπίσκοπον οὐκ ἔστι τὸ κατ' αὐτὸν, δῆλον μὲν καὶ ἐξ ὧν εἴρηται· πῶς γὰρ παρὰ τῶν ἐλαττον ἐχόντων εὐθύνετο ἄν; καὶ ἐπίσκοπον δὲ Ῥώμης αὐτὸν οἱ Πατέρες καλοῦσι, καὶ παρ' ἐπισκόπων χειροτονεῖται. Ὁ δὲ μακάριος Διονύσιος ἐπὶ τῶν ἀποστόλων γεγονὼς, εἰς λειτουργοὺς καὶ ἱερέας καὶ ἐπισκόπους τὴν ἐκκλησιαστικὴν ἱεραρχίαν διαιρῶν φαίνεται, καὶ μείζονα τῆς τοῦ ἐπισκόπου ἀξίας οὐδ' ἔστιν ἐκ τῶν ἐκείνου λόγων ἐπινοεῖν. »

## ΑΝΤΙΡΡΗΣΙΣ.

Τοῦτό σκιαμαχεῖν ἐστιν, ὦ βέλτιστε. Τίς γὰρ εἶπέ ποτε τῶν ἁπάντων τὸν πάππαν μείζονος εἶναι τάξεως; ἱερατικῆς ἢ κατ' ἐπίσκοπον; Κατὰ σὲ δὲ ὁ Κωνσταντινουπόλεως μείζονός ἐστιν ἢ κατ' ἐπίσκοπον τάξεως; Εἰ γοῦν ἐπίσκοπος ὢν ἔχει τοὺς ὑπ' αὐτὸν ἱεράρχας, τίνι λόγῳ τὸν πάππαν ὄντα ἐπίσκοπον ἀφαιρῇ τὸ πρωτεῖον ἐκεῖνο, ὅπερ αὐτῷ προσμαρτυροῦσιν αἱ σύνοδοι; Ἐπὶ τῆς τρίτης συνόδου Κελεστῖνος ἦν Ῥώμης ἐπίσκοπος, Κύριλλος Ἀλεξανδρείας, Ἰωάννης Ἀντιοχείας. Καθεῖλε Κύριλλον ὁ Ἰωάννης· ἠγανάκτει Κύριλλος, ὅτι μείζονος ὢν θρόνου καθῃρέθη. Γράφει ἡ σύνοδος παρακαλοῦσα τὸν πάππαν ἀγανακτῆσαι κατὰ Ἰωάννου, ἵνα μὴ, φασὶν, οἴχοιτο τὰ τῆς Ἐκκλησίας εἰς παντελῆ σύγχυσιν· περὶ ὧν ἁπάντων ἀνωτέρω εἰρήκαμεν. Τίνα γοῦν τρόπον ἐπίσκοπος ἐπισκόπῳ παρ' ἐπισκόπῳ ἐδικάζετο; Ἢ τάχα Κύριλλος ἠγνόει τὴν τάξιν τῶν ἐπισκόπων, ἡ πᾶσα ἡ ἁγία σύνοδος; Οὐκ ἄρα πρὸς τὸ πλήρωμα τῆς ἐκκλησιαστικῆς ἱεραρχίας ἀνάγκη τὸν πρωτοκάθεδρον εἶναι μείζονος ἱερατικῆς τάξεως, ἀλλὰ μείζονος θρόνου καὶ ἐξουσίας. Τοῦτο βούλεται τοῖς Πατράσι τῆς ς' συνόδου τὸ, Ἀρχιερατικώτατος πρόεδρος· καὶ τὸ τοῦ βασιλέως Πωγωνάτου, Οἰκουμενικῷ ἀρχιποίμενι,

καὶ ἄλλα μυρία. Διὰ τοῦτο καὶ Ῥώμης ἐπίσκοπος ὑπὸ τῶν ἁγίων καλεῖται Πατέρων, καὶ χειροτονεῖται παρ' ἐπισκόπων. Καὶ ὁ μακάριος Διονύσιος περὶ πάσης ἐκκλησιαστικῆς ἱεραρχίας ποιεῖσθαι τὸν λόγον ἐπαγγειλάμενος, οὐδὲν παραλέλοιπεν· ἀλλ' οὐ διὰ τοῦτο ὁ πάππας ἢ εὔθυνεται, ὅπερ σὺ ὡς ἀποδειχθὲν λαμβάνεις, ἢ τῆς ἐξουσίας ἐστέρηται, ἣν πᾶσαι αἱ σύνοδοι ἐν αὐτῷ καθομολογοῦσι, κεφαλὴν λέγουσαι καὶ ὀφθαλμὸν, καὶ οἰκουμενικὸν πάσης Ἐκκλησίας ἐπίσκοπον.

A le Constantini imp. Pogonati, *Œcumenico pastorum principi*, et sexcenta alia. Propter hoc etiam a sanctis Patribus vocatur episcopus Romæ, et consecratur ab episcopis; et beatus Dionysius de cunctis hierarchiæ ecclesiasticæ partibus sermonem pollicitus, nihil prætermisit: non ideo tamen papa aut correctioni episcoporum subjacet, quod tu quasi demonstratum accipis; aut illi neganda auctoritas, quam omnes synodi affirmant, caput illum vocantes, et oculum, et œcumenicum omnium Ecclesiarum episcopum.

ΝΕΙΛΟΣ.

« Πῶς δὲ, φασὶ, κανόνων ς' συνόδου μεμνῆσθαι δίκαιον, τῆς ς' μηδαμῶς κανόνας ἐκδούσης, ὅτι ἡ σύνοδος ἡ ἐκδοῦσα τοὺς κανόνας παρὰ πόδας τῆς ς' συγκροτηθεῖσα, οἰκουμενική ἐστι καὶ αὐτη, τὸ ὑστέρημα τῆς ε' καὶ ς' ἀναπληροῦσα. Ὅτι δὲ οἰκουμενική, δῆλον καὶ ἐκ τῆς ἱστορίας, Βασίλειον ἔχουσα Γορτύνης ἐπίσκοπον πάσης τῆς κατὰ τὴν Ῥώμην Ἐκκλησίας συνόδου τὸν τόπον ἐπέχοντα· δῆλον δὲ καὶ ἐξ ὧν αὐτὴ περὶ ἑαυτῆς συνεχῶς φθέγγεται, οἰκουμενικὴν ἑαυτὴν ὀνομάζουσα. »

NILUS (Cap. XV).

« At quomodo, inquiunt, fas sit, sextæ synodi canonum meminisse, cum sexta nequaquam ediderit canones? Quoniam synodus quæ edidit canones, quæ post sextam e vestigio celebrata est, œcumenica et ipsa est, supplens quintæ et sextæ defectum. Quod vero sit œcumenica, patet et ex ipsa historia; fuit enim in ea Basilius Gortynæ episcopus universæ Romanæ synodi locum tenens; patet præterea ex eo quod se ipsam assiduo, dum de se loquitur, œcumenicam appellat. »

ΑΝΤΙΡΡΗΣΙΣ.

Ἵνα καταφευασῃς τὸν πάππαν ὀρθῶς ἐπιτιμώμενον, ὡς ὁμοταγῆ καὶ ἰσότιμον τοῖς ἄλλοις ἐπισκόποις, καὶ πᾶσι νόμοις ὑποκείμενον, οἷς καὶ τὸ τῶν ἐπισκόπων γένος, λέγεις τὴν καλουμένην πενθέκτην εἶναι καὶ γνησίαν καὶ οἰκουμενικήν. Καὶ ὅτι μὲν γνησία σύνοδος, ὑπέθου ὡς βέβαιον· ὅτι δὲ οἰκουμενικὴ, κατασκευάζεις ἐκ τοῦ τὴν σύνοδον ἐκείνην ἐσχηκέναι Βασίλειον τὸν Κρήτης τοποτηρητὴν πάσης τῆς κατὰ Ῥώμην συνόδου· καὶ ὅτι αὐτὴ ἑαυτὴν καλεῖ οἰκουμενικήν. Τοιαύτης δὲ οὔσης ἔρρωνται καὶ οἱ παρ' αὐτῆς ἐκτεθέντες κανόνες κατὰ τοῦ πάππα. Ἀλλ' οὐ δυσχερὲς ἀποδεῖξαι, ὅτι μήτε γνησία, μήτε οἰκουμενική.

Ἐνεκλήθη Διόσκορος εὐθὺς συνεδρευσάσης τῆς τετάρτης συνόδου προστάξει τοῦ πάππα Λέοντος ὑπὸ τῶν αὐτοῦ τοποτηρητῶν, ὅτι πρόσωπον ἥρπασε τοῦ κρίνειν, ὅπερ οὐκ ἐκέκτητο· καὶ σύνοδον ἐτόλμησε ποιῆσαι ἐπιτροπῆς δίχα τοῦ ἀποστολικοῦ θρόνου, ὅπερ οὐδέποτε γέγονεν, οὐδὲ ἔξὸν γενέσθαι. Καὶ πρὸς τοῦτο οὐδὲν ἐτόλμησεν ἀντειπεῖν Διόσκορος, ἀλλ' ἠναγκάσθη διὰ τῆς συγκλήτου καθεσθῆναι ὡς ὑπεύθυνος ἐν μέσῳ.

Κατὰ τὴν ς' τῆς ἑβδόμης συνόδου πρᾶξιν, « Πῶς, φησὶ, μεγάλη καὶ οἰκουμενικὴ ἡ τῶν Εἰκονομάχων σύνοδος, ἥτις οὐκ ἔσχε συνεργὸν τὸν τηνικαῦτα τῆς Ῥωμαίων πάππαν, ἢ τοὺς περὶ αὐτὸν ἱερεῖς, οὔτε διὰ τοποτηρητῶν αὐτοῦ, οὔτε δι' ἐγκυκλίου ἐπιστολῆς, καθὼς νόμος ἐστὶ ταῖς συνόδοις; » Κατωτέρω δὲ καὶ αὐτὸς ἀποδέχῃ τὸν πολυθρύλλητον ἐκεῖνον κανόνα, οὗ μέμνηνται αἱ ἱστορίαι· « Οὐκ ἔστι κανονίζεσθαι τὰ ἐκκλησιαστικὰ χωρὶς τοῦ πάππα. » Εἰ γοῦν ταῦτα ἀληθῆ καὶ ἀνατίῤῥητα, καὶ ὁ Γορτύνης Βασίλειος ἐν τῇ πενθέκτῃ οὐδεμίαν προήνεγκεν ἐπιστολὴν μαρτυροῦσαν αὐτῷ τὴν τοποτηρησίαν τῆς Ῥωμαϊκῆς συνόδου· πῶς ἡ δίχα τοῦ

CONFUTATIO.

Ut probares, papam recte reprehendi, quippe qui unus e numero episcoporum sit, et cunctis legibus subjaceat quibus et cæteri episcopi, asseris illam quæ synodus quinisexta vocatur, esse legitimam et œcumenicam. Et quod illa quidem sit legitima synodus, ut certum supposuisti; quod vero sit œcumenica, probas, eo quod fuerit in ea Basilius Cretensis, universæ Romanæ synodi locum tenens; et quia ipsa se ipsam vocat œcumenicam. Talis ergo cum sit, ejus quoque canones contra papam editi validi sunt. Atqui difficile non est demonstrare, illam nec legitimam, nec œcumenicam esse.

Accusatus fuit Dioscorus initio congregationis quartæ synodi, mandato Leonis papæ, ab ejus legatis, quod personam judicis arripuisset, quam non habebat; et synodum celebrare ausus esset absque auctoritate sedis apostolicæ; quod nunquam factum est nec fieri licet. Ad hoc Dioscorus non est ausus respondere, sed coactus fuit per senatores sedere in loco reorum.

Actione sexta septimæ synodi hæc habentur: « Quomodo magna et generalis Iconomachorum synodus, quæ non habuit cooperantem illius temporis papam, vel sacerdotes ejus, neque per legatos, nec per encyclicam epistolam, ut postulat lex conciliorum? » Tu quoque infra recipis celebrem illum canonem, cujus et historiæ meminerunt: « Non licet absque papa de rebus ecclesiasticis ferre regulas. » Hæc si vera sunt et explorata, et Basilius Cretensis in quinisexta nullam protulit epistolam legationis suæ testem, quo pacto facta episcoporum congregatio citra sedis apostolicæ auctoritatem, et ausa regulis suis subjicere eccle-

siasticarum rerum regulam, synodus fuerit eaque œcumenica? Quis vero credat, editos fuisse canones contra papam præsente legato papæ? Et si in quarta synodo, cum ordo patriarcharum orientalium mutaretur, adeo moleste tulerunt hoc legati papæ, ut constantissime reclamarent, quomodo passi essent in quinisexta manifestissimis onerari contumeliis Petri sedem?

Cur etiam, si papæ legatus aderat in quinisexta, non docuit Orientales, quando suum scribebant canonem decimum tertium de Patribus Carthaginensibus, quod ii de continentia et castitate clericorum tractantes cum dixissent, subdiaconos, diaconos et presbyteros continere se ab uxoribus secundum propria statuta, et Orientales per illud («secundum propria statuta») intelligerent, secundum stata tempora; quasi Carthaginenses Patres dixerint, oportere inservientes altari continere se ab uxoribus, quando sacra tractaturi sunt; extra vero id tempus nequaquam illis denegandum commercium cum uxoribus: cur, inquam, legatus papæ non docuit, quæ dicenda erant pro Ecclesia Romana: quod ista verborum interpretatio non congruit cum sensu Carthaginensium, qui abstinere jubent clericos sacri ordinis secundum propria statuta, vel priora statuta, hoc est perpetuo? Hoc enim manifeste patet ex verbis Carthaginensis synodi II, cap. 2: « Aurelius episcopus dixit: Cum in præterito concilio de continentiæ et castitatis moderamine tractaretur, gradus isti tres conscriptione quadam castitati per consecrationes annexi sunt episcopos inquam, presbyteros et diaconos, ita placuit, ut deceret sacrosanctos antistites, et Dei sacerdotes, nec non et levitas, vel qui sacramentis divinis inserviunt, continentes esse in omnibus; quo possint simpliciter, quod a Deo postulant impetrare, ut quod apostoli docuerunt, et ipsa servavit antiquitas, nos quoque custodiamus. Ab universis episcopis dictum est: Omnibus placet, ut episcopi, presbyteri et diaconi, vel qui sacramenta contrectant, pudicitiæ custodes etiam ab uxoribus se contineant. Ab omnibus dictum est, Placet, ut in omnibus et ab omnibus pudicitia custodiatur, qui altari deserviunt. » Patres autem concilii Carthaginensis V, capite tertio: « Præterea, inquiunt, cum de quorumdam clericorum, quamvis erga uxores proprias, incontinentia referretur, placuit, episcopos et presbyteros, et diaconos, secundum priora statuta, etiam ab uxoribus continere. Quod nisi fecerint, ab ecclesiastico removeantur officio. »

Quomodo igitur legatus papæ in his non contradixit, et non aperuit dissonantiam sensuum? Quomodo non contradixit adversus canonem tricesimum sextum de æqualitate honoris papæ et

ἀποστολικοῦ θρόνου τῶν ἐπισκόπων γενομένη συνάθροισις, καὶ κανονίσαι τολμήσασα τὸν κανόνα τῶν ἐκκλησιαστικῶν σύνοδος ἂν εἴη, καὶ ταῦτα οἰκουμενική; Πῶς δ' ἂν εἴη πιθανὸν τὸ, παρόντος τοποτηρητοῦ τῆς Ῥώμης, ἐκδοθῆναι κανόνας κατὰ τοῦ Ῥώμης; Καὶ εἰ τοσαύτην ἐπεδείξαντο ἀγανάκτησιν οἱ τοποτηρηταὶ τοῦ πάππα κινουμένης τῆς τάξεως τῶν ἀνατολικῶν πατριαρχῶν ἐν τῇ τετάρτῃ συνόδῳ, πῶς ἤνεγκαν οὕτω λαμπρῶς ὑβρίζεσθαι τὸν Πέτρου θρόνον ἐν τῇ πενθέκτῃ;

Καὶ πῶς, εἴ γε παρῆν ἐν τῇ πενθέκτῃ ὁ τὸν τόπον ἐπέχων τοῦ πάππα, οὐκ ἐδίδαξε τοὺς ἀνατολικοὺς ἐπισκόπους, ἵνθα τὸν ιγ' αὐτῶν κανόνα γράφοντες ἔλεγον· « Τοὺς ἐν Καρθαγένῃ συνελθόντας πρόνοιαν τιθεμένους τῆς ἐν βίῳ σεμνότητος τῶν λειτουργῶν φάναι, ὥστε τοὺς ὑποδιακόνους καὶ διακόνους καὶ πρεσβυτέρους ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι κατὰ τοὺς ἰδίους ὅρους » (καὶ τὸ, « κατὰ τοὺς ἰδίους ὅρους, » ἐξηγοῦντο οἱ ἀνατολικοὶ κατὰ καιροὺς ἰδίους· ὡς ἂν εἰ ἔλεγον οἱ ἐν Καρθαγένῃ χρῆναι τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας ἐν τῷ καιρῷ τῆς τῶν ἁγίων μεταχειρίσεως; ἐγκρατεῖς εἶναι, ἔξω δὲ τοῦ τοιούτου καιροῦ μὴ ἀποστερεῖσθαι τῆς πρὸς νόμιμον γυναῖκα συναφείας)· πῶς οὐκ ἐδίδαξε, φημὶ, τὰ δίκαια τῆς Ῥωμαίων Ἐκκλησίας φάσκων, ὅτι οὐ συμφωνεῖ ἡ ἐξήγησις αὐτῶν τοῖς ἐν Καρθαγένῃ Πατράσιν, οἵτινες ἐγκρατεύεσθαι τοὺς ἱερωμένους κελεύουσι κατὰ τοὺς οἰκείους ὅρους ἢ θεσμούς· ἄλλοι δὲ γράφουσι, κατὰ τοὺς ἀρχαίους θεσμοὺς, δηλαδὴ ἀειδήποτε; Καὶ δῆλον τοῦτο ἐξ ὧν φασιν οἱ τῆς δευτέρας ἐν Καρθαγένῃ συνόδου Πατέρες ἐν τῷ β' κεφαλαίῳ· « Αὐρήλιος ἐπίσκοπος εἶπεν· Ἐν τῇ προλαβούσῃ συνόδῳ περὶ τῆς ἐν ἐγκρατείᾳ, σωφροσύνῃ σεμνοπρεπείας λέλεκται, ὅτι οἱ τρεῖς οὗτοι ἀπογραφῇ τινι δι' ἀφιερώσεως συνδέδενται τῇ σωφροσύνῃ, ἐπισκόπων φημὶ, πρεσβυτέρων καὶ διακόνων· οὕτως ἤρεσε, καθὼς χρὴ τοὺς ἁγιωτάτους προέδρους, ναὶ μὴν καὶ Λευίτας, ἀλλὰ καὶ τοὺς ὑπηρετοῦντας τοῖς θείοις μυστηρίοις ἐγκρατεῖς εἶναι ἐν ἅπασιν· ἵν' ἔχωσιν ἁπλῶς ὅπερ αἰτοῦνται τὸν Θεὸν λαμβάνειν· ὅπως φυλάττωμεν καὶ ἡμεῖς ὅπερ ἐδίδαξαν οἱ ἀπόστολοι, καὶ ἐκράτησεν ἡ ἀρχαιότης. Πάντες οἱ ἐπίσκοποι εἶπον· Πᾶσιν ἀρέσκει, ἵνα οἱ ἐπίσκοποι, πρεσβύτεροι, καὶ διάκονοι, ἢ καὶ οἱ τὰ μυστήρια ψηλαφῶντες, τὴν σωφροσύνην τηροῦντες καὶ αὐτῶν τῶν γαμετῶν ἀπέχωνται. Πάντες εἰρήκασιν· Ἀρέσκει, ἵνα ἐν πᾶσι καὶ παρὰ πάντων τῶν ὑπηρετούντων τῇ τραπέζῃ φυλάσσηται ἡ ἐγκράτεια. » Οἱ δὲ τῆς ε' ἐν Καρθαγένῃ συνόδου Πατέρες ἐν κεφαλαίῳ τρίτῳ φασίν· « Πρὸς τούτοις ἀνήνεκται περὶ τῆς κληρικῶν τινων ἀκρασίας, εἰ καὶ ταῖς ἰδίαις ἐχρήσαντο γαμεταῖς· ἤρεσεν οὖν, ἵνα ἐπίσκοποι, πρεσβύτεροι, καὶ διάκονοι κατὰ τοὺς οἰκείους ὅρους, καὶ αὐτῶν ἀπέχωνται τῶν γαμετῶν. Ἂν τοῦτο μὴ πράξωσι, τῆς ἐκκλησιαστικῆς ἀποκινεῖσθωσαν ἐργασίας. »

Πῶς οὖν ὁ τοποτηρητὴς τοῦ πάππα οὐκ ἀντεῖπεν ἐν τούτοις, καὶ οὐκ ἤλεγξε τὸ ἀσύμφωνον; Πῶς οὐκ ἀντεῖπε πρὸς τὸ τοῦ λς' κανόνος περὶ τῶν ἴσων πρεσβείων τοῦ πάππα καὶ τοῦ Κωνσταντινουπό-

λεως: Πῶς τὸ ἐν τῷ νε' κανόνι περὶ τοῦ Σαββάτου ἀνεξέταστον εἶασε, καὶ τὸ ἐν τῷ ξζ' περὶ ἀποχῆς αἵματος καὶ πνικτοῦ; Τίς δὲ τῶν κανόνων ἐκείνων τὰς ὑπογραφὰς οὕτω διατεθείσας ὁρῶν, ὥστε πρώτην εἶναι τὴν ὑποσημείωσιν τοῦ βασιλέως Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου, εἶτα τόπον ὑπολειφθέντα τῷ πάππᾳ εἰς ὑπογραφήν, οἰκουμενικῆς ταῦτα συνόδου φάνῃ γνωρίσματα; Πάμπολυ ἀπέχει, ὦ γενναῖε, ἡ τοποτηρησία τῶν πρὸς ἑκάστην οἰκουμενικὴν σύνοδον μετὰ ἰδικῶν ἐνταλμάτων παρὰ τοῦ πάππα στελλομένων, τῆς τοποτηρησίας τῶν ληγαταρίων, ἣν μετεχειρίζοντο οἱ παρὰ Γραικοῖς τὸ πρόσωπον τοῦ πάππα κοινῷ τινι λόγῳ ἐξεικονίζοντες, οἷος ἦν ὁ Καισαρείας Καππαδοκίας, ὁ Ἐφέσου, ὁ Θεσσαλονίκης, ὁ Κορίνθου, ὁ Γορτύνης, ἐκ τῶν ὑπογραφῶν τοῦ ὅρου τῆς ς' συνόδου· οὗτοι γὰρ ἐκδιβαστῶν ὡς εἰπεῖν χώραν ἐπλήρουν, καὶ ἔξαρχοι ἐκαλοῦντο ἐν ταῖς ἰδίαις ἕκαστος ἐπαρχίαις, καὶ μερικὴν ἔχοντες δικαιοδοσίαν περὶ μερικὰ κεφάλαια ἐκκλησιαστικά, εἷον κληρονόμοι κατὰ διαδοχὴν τῆς τοιαύτης διακονίας. Οἱ δὲ πρὸς τὰς οἰκουμενικὰς παρὰ τοῦ πάππα συνόδους στελλόμενοι, ἢ παρὰ τῆς ἐκεῖ συνόδου, τὸν τόπον ἀνεπλήρουν τῆς παρουσίας τοῦ πάππα, ἢ καὶ τῆς συνόδου, καὶ τῶν πατριαρχῶν προεκαθέζοντο, καὶ περὶ δογμάτων ὡς περὶ τὸ πλεῖστον ἀνέκρινον· καὶ τοῦτο ἐφάπαξ, μέχρι τῆς συνοδικῆς περὶ τοῦ κινουμένου πράγματος ἀποφάσεως. Τοιούτους δὲ ὁ πάππας προεβίβαζεν ἀπὸ Ῥώμης ἐκ τοῦ ἰδίου πλευροῦ. Καὶ γὰρ καὶ ἐν τῇ τρίτῃ συνόδῳ ὅ τε Κελεστῖνος ὁ πάππας τοποτηρητὴν κατέστησε Κύριλλον, κατὰ πόδα καὶ ἰδίους τοὺς ἐκ Ῥώμης ἀπέστειλε πρεσβευτάς. Ποῦ τοίνυν ἐν τῇ πενθέκτῃ τὰ νομίμης συνόδου γνωρίσματα; Πόθεν δὲ ἐπῆλθεν ὑμῖν σκῆψιν τοιαύτην ἐφευρεῖν, ὅτι ἡ πενθέκτη ἀνεπλήρωσε τὸ ὑστέρημα τῆς ε' καὶ ς', ὡς μὴ ἐξὸν οἰκουμενικὴν γενέσθαι σύνοδον ἄνευ κανόνων συγγραφῆς; καίτοι τοῦ ἐν ἁγίοις πάππα Γρηγορίου τοῦ Διαλόνου ἐν τῇ πρὸς Εὐλόγιον Ἀλεξανδρείας, καὶ Ἀναστάσιον Ἀντιοχείας ρξς' ἐπιστολῇ τοὺς κανόνας τῆς β' συνόδου φάσκοντος μήτε ποτὲ ὀφθῆναι, μήτε παραδεχθῆναι τῇ Ἐκκλησίᾳ Ῥώμης, καὶ τοῦ ἐν ἁγίοις πάππα Λέοντος ἐν ταῖς φερομέναις αὐτοῦ ἐπιστολαῖς μετὰ τὰ Πρακτικὰ τῆς δ' συνόδου λαμπρῶς ἀποφαινομένου, ἐπὶ μόνῃ τῆς αἱρέσεως ἀνατροπῇ, καὶ ἐπιστηρίξει τῆς ὀρθοδοξίας συναγηγέρθαι τὴν τετάρτην σύνοδον. Πόθεν οὖν ἡ τῆς ἀναπληρώσεως ἀνάγκη, ἣν οἱ πρῶτοι τοῦ σχίσματος ἡγεμόνες ἐμηχανήσαντο;

Εἰ δὲ οἰκουμενικὴν εἶναι λέγεις τὴν πενθέκτην, ζῇ αὐτὴ ἑαυτὴν οὕτως ὀνομάζει, ἀκουέτω τὸ, Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς. Πῶς γὰρ οἰκουμενική, ἥτις ἐν τῷ β' αὐτῆς κανόνι ἀπαριθμησαμένη τῶν οἰκουμενικῶν καὶ τοπικῶν συνόδων τοὺς κανόνας, ναὶ μὴν καὶ τῶν ἀνατολικῶν ἁγίων Πατέρων καὶ διδασκάλων, οὐδενὸς μέμνηται ἢ Ῥώμης ἀρχιερέως, ἢ διδασκάλου δυτικοῦ, περὶ ὧν ἡ πέμπτη οἰκουμενικὴ σύνοδος πρὸς τῷ τέλει τῆς τρίτης συνελεύσεως οὕτω φησίν· « Πρὸς τούτοις ἀκολουθοῦμεν κατὰ πάντα τοῖς ἁγίοις Πατράσι καὶ διδασκάλοις τῆς Ἐκκλησίας, Ἀθανασίῳ, Ἱλαρίῳ, Βασιλείῳ, Γρηγορίῳ τῷ Θεολόγῳ, Γρηγορίῳ τῷ Νύσσης, Ἀμβροσίῳ, Αὐγουστίνῳ, Θεοφίλῳ, Ἰωάννῃ τῷ Κωνσταντινουπόλεως, Κυρίλλῳ,

A Constantinopolitani, et indiscussum reliquit quinquagesimum quintum de Sabbato canonem et sexagesimum septimum de abstinendo a sanguine et suffocato? Subscriptiones porro illorum canonum quis ita positas inspiciat, ut prima sit Justiniani imperatoris Rhinotmeti, deinde relictus sit locus papæ ad subscribendum, et œcumenicæ synodi notas agnoscat? Plurimum differt inter legatos qui mittebantur a papa ad unamquamque synodum œcumenicam cum peculiaribus mandatis, et legatos illos qui apud Græcos communi quadam ratione personam papæ referebant, ut Cæsariensis, Ephesius, Thessalonicensis, Corinthius, Gortynius. Nam isti exsecutorum, ut ita
B dicam, locum obtinebant, et exarchi vocabantur in suis quisque provinciis, particularem habentes jurisdictionem ad particularia ecclesiastica negotia, tanquam hujus ministerii per successionem hæredes. Qui vero ad œcumenicas synodos mittebantur a papa, vel ab ejus synodo, præsentiam papæ supplebant, et sedebant ante patriarchas, deque dogmatibus ut plurimum judicabant, idque usque ad ferendam de re controversa sententiam. Tales vero mittebat papa ab Urbe, suo ex latere. Nam et in tertia synodo, quando Cœlestinus papa legationis munus Cyrillo mandaverat, mox suos etiam ab Urbe legatos misit. Quænam ergo notæ sunt œcumenicæ synodi in quinisexta? Unde vero
C vobis in mentem venit ille prætextus, quod quinisexta suppleverit defectum quintæ et sextæ? quasi non liceat generalem celebrare synodum absque canonum editione? cum tamen sanctus Gregorius papa, epistola 195, ad Eulogium Alexandrinum, et Anastasium Antiochenum asserat, canones secundæ synodi nec fuisse visos, nec receptos ab Ecclesia Romana, et sanctus Leo papa in suis epistolis, tertia parte quartæ synodi, clarissimis verbis affirmet, ad exstinguendam solum hæresim, et confirmandam fidem catholicam fuisse illam congregatam. Unde igitur supplementi necessitas, excogitata a primis auctoribus schismatis?

D Si vero œcumenicam dicis quinisextam, quia se ipsam hoc titulo ipsa insigniat, merito audiat: Tu de te ipsa testimonium perhibes. Quomodo enim œcumenica, quæ in secundo suo canone, enumeratis generalium et provincialium synodorum canonibus, nec non Patrum doctorumque orientalium, nullos recenset Romanorum pontificum aut occidentalium doctorum? cum sancta generalis quinta synodus in fine collationis tertiæ dicat: « Super hæc sequimur per omnia et sanctos Patres et doctores Ecclesiæ, Athanasium, Hilarium, Basilium, Gregorium Theologum, et Gregorium Nyssenum, Ambrosium, Augustinum, Theophilum, Joannem Constantinopolitanum, Cy-

rillum, Leonem, Proclum; et suscipimus omnia quæ de recta fide et condemnatione hæreticorum exposuerunt. Suscipimus autem et alios sanctos et orthodoxos Patres, qui in sancta Dei Ecclesia rectam fidem irreprehensibiliter usque ad finem suæ vitæ prædicaverunt. »

Ita sentiente et scribente synodo œcumenica, quomodo generalis fuerit quinisexta, quæ solos orientales agnoscit doctores, et prohibet ne quisquam alios recipiat canones? Nullo igitur jure vocari potest œcumenica, seu legitima prorsus synodus, juxta canones synodorum.

Λέοντι, Πρόκλῳ· καὶ δεχόμεθα πάντα, ὅσα περί τε τῆς ὀρθῆς πίστεως, καὶ πρὸς ἔλεγχον τῶν αἱρετικῶν ἐξέθεντο. Δεχόμεθα δὲ καὶ τοὺς ἄλλους καὶ ὀρθοδόξους Πατέρας, τοὺς ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ τὴν ὀρθὴν πίστιν ἀμέμπτως μέχρι τέλους τοῦ βίου κηρύξαντας. »

Οὕτω φρονούσης τε καὶ γραφούσης τῆς οἰκουμενικῆς συνόδου, πῶς οἰκουμενικὴ ἡ πενθέκτη, ἢ τοὺς ἀνατολικοὺς οἶδε μόνους διδασκάλους; Κἂν τις παραδέχοιτο ἑτέρων κανόνας, τοῦτό φησι μηδενὶ ἐξεῖναι ποιεῖν. Οὐδενὶ δικαίῳ δύναται καλεῖσθαι οἰκουμενική, οὔθ' ὅλως νομίμη σύνοδος κατὰ τοὺς κανόνας τῶν συνόδων.

## NILUS (Cap. XVI).

« Sancta quoque et œcumenica septima synodus in primo suo canone, « Divinos, inquit, canones libenter suspicimus, integramque illorum et immotam servamus præceptionem, sive per Spiritus tubas apostolos editorum, sive per sex œcumenicas synodos, atque etiam provinciales. » Cum ergo canonum meminerit sex generalium conciliorum, quæ vero sexta proprie fuit, nullos ediderit canones, manifestum est eam loqui de canonibus hujus synodi, quæ defectum sextæ videtur supplevisse. »

## ΝΕΙΛΟΣ.

« Οὐ μὴν ἀλλὰ καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ ζ' σύνοδος ἐν τῷ πρώτῳ αὐτῆς κανόνι τοιάδε φησίν· « Ἀσπαζίως τοὺς θείους κανόνας ἐνστερνιζόμεθα, καὶ ὁλόκληρον τὴν αὐτῶν διαταγὴν καὶ ἀσάλευτον κρατοῦνομεν, τῶν ἐκτεθέντων ὑπὸ τῶν σαλπίγγων τοῦ Πνεύματος ἀποστόλων, τῶν τε ἓξ οἰκουμενικῶν συνόδων, καὶ τῶν τοπικῶς συναθροισθεισῶν. » Εἰ δὲ κανόνων μέμνηται τῶν ἓξ οἰκουμενικῶν συνόδων, τῇ δὲ κυρίως ς' περὶ κανόνων ἐμέλησεν οὐδαμῶς, πῶς οὐ πρόδηλον, ὡς περὶ τῶν κανόνων τῆς συνόδου ταύτης φησίν, ἣ τὸ τῆς ἕκτης ἐνδεὲς ἀναπληρώσασα φαίνεται;

## CONFUTATIO.

Arguis tertio, ad probandum quinisextam esse œcumenicam. Septima synodus amplectitur canones sex generalium conciliorum. Atqui sexta proprie synodus nullos edidit canones; intelligit ergo de canonibus quinisextæ. Sed si placeret veritas, et aversareris mendacium, legisses in septimæ synodi act. 4, quosdam turbari audientes esse sextæ synodi canones. Quibus Tarasius patriarcha respondebat, quod sancta et magna sexta synodus sub Constantino celebrata fuit, et post quatuor aut quinque annos iidem ipsi Patres convenientes sub Justiniano filio Constantini ediderunt canones. Illi enim, inquit, qui subscripserunt sub Constantino, ipsi et sub Justiniano subscripserunt.

Hæc Tarasius dicebat ad confirmandos canones quinisextæ, inter quos octogesimus secundus agit de imagine Salvatoris, ut probare posset contra Iconomachos usum sacrarum imaginum. Hic erat scopus Tarasio, dum laudabat quinisextæ canones; et cum septimæ canones componebat, in primo aiebat se suscipere canones sex generalium synodorum, ut etiam quinisextæ canones comprehenderet ea mente qua diximus. Duo tamen dicit non congruentia: unum, quod quatuor aut quinque post sextam synodum annis celebrata sit quinisexta, quod impossibile est. Nam si postrema sextæ synodi actio celebrata fuit indict. x, quinisexta vero in suo tertio canone ait edere suos canones post quartam indictionem, decem omnino interlapsi sunt anni, non quinque. Alterum est, quod eos-

## ΑΝΤΙΡΡΗΣΙΣ.

Τρίτον ἐπιχειρεῖς, ἀποδεῖξαι βουλόμενος οἰκουμενικὴν τὴν πενθέκτην. Ἐνστερνίζεται ἡ ζ' σύνοδος τοὺς κανόνας τῶν ἓξ οἰκουμενικῶν συνόδων. Ἡ δὲ κυρίως ς' κανόνας οὐκ ἐξέθετο· ἆρα περὶ τῶν κανόνων τῆς πενθέκτης νοεῖ. Ἀλλ' εἴπερ ἔχαιρες τῇ ἀληθείᾳ, καὶ ἐμίσεις τὸ ψεῦδος, κατεῖδες ἂν ἐκ τῶν Πρακτικῶν τῆς ζ' συνόδου, πράξει δ', ὅτι ἐσκανδαλίζοντο τινὲς ἀκούοντες κανόνας τῆς ς' συνόδου· πρὸς οὓς ἔλεγε Ταράσιος ὁ πατριάρχης ὅτι ἡ ἁγία μεγάλη ἕκτη σύνοδος ἐπὶ Κωνσταντίνου συνεκροτήθη· καὶ μετὰ τέσσαρα ἔτη ἢ πέντε συναθροισθέντες οἱ αὐτοὶ Πατέρες ἐπὶ Ἰουστινιανοῦ υἱοῦ Κωνσταντίνου τοὺς κανόνας ἐκτεθείκασιν. Οἱ γάρ, φησίν, ὑπογράψαντες ἐπὶ Κωνσταντίνου, οἱ αὐτοὶ καὶ ἐπὶ Ἰουστινιανοῦ ὑπέγραψαν.

Ἔλεγε δὲ ταῦτα Ταράσιος κυρῶσαι βουλόμενος τοὺς κανόνας, ἐν οἷς ἦν ὁ πβ' διαλαμβάνων περὶ τῆς εἰκόνος τοῦ Σωτῆρος, ἵν' ἔχοι δεῖξαι κατὰ τῶν εἰκονομαχούντων τὴν χρῆσιν τῶν σεπτῶν εἰκόνων. Τούτῳ γοῦν τῷ σκοπῷ Ταράσιος ἐπαινέτης ἦν τῶν τῆς πενθέκτης κανόνων· καὶ συγγράφων τοὺς τῆς ζ, ἐν τῷ πρώτῳ ἐνστερνίζεσθαι ἔλεγε τοὺς κανόνας τῶν ἓξ οἰκουμενικῶν συνόδων, ἵνα συμπεριλάβοι καὶ τοὺς τῆς πενθέκτης ἐπὶ τῷ προρρηθέντι σκοπῷ. Δύο δὲ ὅμως λέγει ἀσύμφωνα· ἓν μέν, ὅτι τέσσαρα ἢ πέντε μετὰ τὴν ἁγίαν ς' σύνοδον ἔτη γέγονεν ἡ πενθέκτη, ὅπερ ἀδύνατον· εἰ γὰρ ἡ ἐσχάτη τῆς ς' συνόδου πρᾶξις γέγονεν ἰνδικτιῶνος ι', οἱ δὲ τῆς πενθέκτης ἐν τῷ τρίτῳ κανόνι φασὶν ἐκτίθεσθαι τοὺς κανόνας μετὰ τὴν τετάρτην ἰνδικτιῶνα, δέκα πάντως ἔτη θατέον μεθόριον, οὐχὶ πέντε. Δεύτερόν ἐστιν, ὅτι

τοὺς αὐτοὺς λέγει ὑπογεγραφέναι τῇ ς συνόδῳ καὶ τῇ πενθέκτῃ· ὅπερ οὐκ ἀληθὲς ἐκ τῶν ὑπογραφῶν ἐλέγχεται· δῆλον γὰρ τῷ βουλομένῳ συμβάλλειν, ὅτι τὸ πλεῖστον μέρος τῶν ὑπογραψάντων διαφέρει, ἐξ ὧν ἀληθῆ πάντως εὑρίσκεται, ἃ γράφει ὁ Βιβλιοθηκάριος Ἀναστάσιος ἐν τῷ προσφωνητικῷ πρὸς Ἰωάννην ὄγδοον τὸν πάππαν, καταβαλλόμενος προοίμιον τῇ ἑαυτοῦ ἑρμηνείᾳ τῆς ζ' συνόδου· λέγει δὲ ταῦτα· « Ἰστέον ἐν ταύτῃ τῇ λ' συνόδῳ προσεῖναί τινα ἔκ τε τῶν ἀποστολικῶν, καὶ τῶν τῆς ς' οἰκουμενικῆς συνόδου κανόνων καὶ ῥήσεων, ἃ παρ' ἡμῖν, δηλαδὴ τοῖς Ῥωμαίοις, οὔτε διερμηνευθέντα φέρεται, οὔτε ἀπόδεκτά ἐστι. Περὶ μὲν γὰρ τῶν ἀποστολικῶν κανόνων ἴσμεν σαφῶς ἐνίους τὴν τῶν τοιούτων κανόνων παραδοχὴν μὴ ῥᾳδίως ποιεῖσθαι. Καὶ γὰρ καὶ ὁ προκάτοχός σου πάππας ὁ μακαριώτατος Στέφανος τούτων οὐ πλείους ἢ πεντήκοντα δεκτέους εἶναι συνοδικῶς ἀπεφήνατο, εἰ καὶ ἀρχιερέων Ῥώμης θεσμοί τινες ἐκ τῶν κανόνων ἐκείνων παρειλῆφθαι δοκοῦσιν. Ὅθεν δὴ θεσπίσματι τῆς ἀποστολικῆς σου ἀξίας οὐ μόνον ἐκείνους τοὺς ν' δέχεται ἡ Ἐκκλησία, ἀλλὰ καὶ τοὺς τῶν ἀρχιερέων Ῥώμης ἅπαντας, οἷα δὴ σαλπίγγων τοῦ Πνεύματος· ναὶ μὴν καὶ τοὺς ἁπάντων καθόλου τῶν ἐκκρίτων Πατέρων, καὶ τοὺς τῶν ἱερῶν συνέδων κανόνας καὶ διδάγματα, ἐκεῖνα δηλαδὴ μόνα, ἐν οἷς οὐδὲν ἔνεστι τῇ ὀρθοδοξίᾳ μὴ σύμφωνον, καὶ τῇ ὀρθότητι τῶν ἠθῶν ὑπεναντίον, ἢ τοῖς δόγμασι τῆς Ῥωμαϊκῆς κἂν ὁτιοῦν ἀντιφερόμενον· μᾶλλον δὲ τὰ σφοδρῶς μαχόμενα τοῖς ἐξ ἐναντίας, τουτέστι τοῖς αἱρετικοῖς. Τοὺς τοίνυν κανόνας, οὓς φασιν οἱ Γραικοὶ ὑπὸ τῆς ἕκτης ἐκδοθῆναι συνόδου ἐπὶ τοσοῦτον ὁ κορυφαῖος δέχεται θρόνος ἐν τῇ παρούσῃ ἑδόμῃ συνόδῳ, ὥστε μηδαμῶς τὸ παράπαν ἐκείνους στέργειν, οἳ τοῖς προτέροις κανόσι καὶ διαταγαῖς τῶν ἁγίων τοῦ θρόνου τούτου ἀρχιερέων, ἢ γοῦν τῇ σεμνότητι τῶν ἠθῶν εἰσιν ἀντικείμενοι, εἰ καὶ παρὰ Λατίνοις μέχρι τοῦδε ξύμπαντες ἄγνωστοι παντελῶς διατελοῦσιν ὄντες, οὐδὲ γὰρ ἡρμηνεύθησαν· ἀλλ' οὐδὲ εὑρηνται ἐν τοῖς λοιποῖς πατριαρχικοῖς θρόνοις, καίπερ Ἑλλάδι χρωμένοις φωνῇ, τοῖς ἐκείνων ἀρχείοις ἐγκείμενοι· ὅτι μηδεὶς αὐτῶν ὅτε ἐξεδίδοντο, ἢ συνεκδιδοὺς, ἢ συμφωνῶν, ἢ παρὼν ὅλως ἐτύγχανε. Καίτοι διαβεβαιοῦνται οἱ Γραικοὶ, τοὺς κανόνας τούτους ἐκτεθεῖσθαι ὑπ' αὐτῶν ἐκείνων τῶν Πατέρων, οἳ τὴν ἕκτην σύνοδον συνεκρότουν· ἀλλὰ τοῦτο δεῖξαι σαφέσι τεκμηρίοις οὐκ ἂν ἔχοιεν. »

Ὁρᾷς ὅτι σύμφωνα τῇ ἀληθείᾳ γράφει ὁ ἑρμηνεὺς Ἀναστάσιος; Ὅτε γοῦν ἐπιχειρεῖς, ὅτι ἡ ζ' σύνοδος μέμνηται κανόνων τῶν ἓξ οἰκουμενικῶν συνόδων, ἄρα καὶ τῶν τῆς πενθέκτης, ἡ γὰρ κυρίως ς' κανόνας οὐ συνέγραψεν· ἀληθῆ λέγεις, ἀλλ' οὐκ ἀναγκαῖα καὶ ἔνθεσμα· τοῦτο γὰρ ἐσκόπει Ταράσιος ὁ τοὺς κανόνας τῆς ζ' συνόδου ὑπαγορεύσας, τὸ τοὺς κανόνας τῆς πενθέκτης νομισθῆναι γνησίους πρὸς τὸ ἀπελέγξαι τοὺς Εἰκονομάχους· ὥστε τῶν ἀνατολικῶν ἦν ἡ τοιαύτη οἰκονομία. Ὁ δὲ ἀποστολικὸς θρόνος τούτου οὔτε ἐπεγίνωσκεν, οὔτε εἶχε κανόνας, ἀλλ' ἐπὶ τοσοῦτον ἐδέξατο ἐν τῇ ζ' συνόδῳ, ὅσον ἐπιδοκι-

A dem fuisse inquit, qui subscripsere in sexta synodo et in quinisexta; quod ex subscriptionibus patet verum non esse; si quis enim conferre voluerit, comperiet majorem partem qui subscripserunt, non esse eosdem. Scribebat sane et Leo Isaurus ad Gregorium II, Cur, inquiens, in sex conciliis de imaginibus nihil est dictum? et paparespondit, nihil dictum esse. Quod papa non fateretur, nec imperator objiceret, si quinisexta legitima haberetur. Ex quibus vera esse comperiuntur, quæ scribit Bibliothecarius Anastasius in præfatione suæ in septimam synodum interpretationis ad Joannem VIII: « Sane notandum est, quædam in hac synodo ex apostolorum et sextæ universalis synodi canonibus et sententiis inveniri, quæ B penes nos interpretata nec habentur nec admittuntur. Et certe de apostolorum canonibus liquido novimus, quoniam his quidam facile non præbuero consensum. Sed et prædecessor vester beatus papa Stephanus non ex his plus quam quinquaginta recipiendos synodice promulgavit, licet quædam constituta pontificum ex ipsis canonibus assumpta esse videantur. Unde apostolatu Vestro decernente non solum illos solos quinquaginta canones Ecclesia recipit, sed et omnes pontificum Romanorum utpote Spiritus sancti tubarum, quia et omnium omnino probabilium Patrum, et sanctorum conciliorum regulas et institutiones admittit, illas duntaxat quæ nec rectæ fidei, nec probis moribus C obviant, sed nec sedis Romanæ decretis ad modicum quid resultant; quin potius adversarios, id est hæreticos, potenter impugnant. Ergo regulas, quas Græci a sexta synodo perhibent editas, ita in hac synodo principalis sedes admittit, ut nullatenus ex iis illæ recipiantur quæ prioribus canonibus vel decretis sanctorum sedis hujus pontificum, aut certe bonis moribus inveniuntur adversæ. Quamvis omnes hactenus ex toto maneant apud Latinos incognitæ, quia nec interpretatæ; sed nec in cæterarum patriarchalium sedium, licet Græca utantur lingua, reperiantur archivis: nimirum quia nulla earum, cum ederentur, aut promulgans, aut consentiens, aut saltem præsens inventa est. Quanquam eosdem Patres illas Græci promul- D gasse perhibeant, qui in sexta synodo sunt inventi; sed hoc nullis probare certis possunt indiciis. »

Vides interpretem Anastasium consona scribere veritati? Quando igitur arguis: Septima synodus meminit canonum sex generalium conciliorum; ergo etiam quinisextæ, quandoquidem quæ vere sexta fuit, nullos canones edidit, vera dicis, sed non necessario et jure concludentia. Nam Tarasius, qui septimæ synodi canones conscripsit, hoc volebat, nimirum canones quinisextæ haberi pro legitimis, ut posset redarguere Iconomachos. Itaque Orientalium fuit excogitatio hæc; at vero sedes apostolica nec agnoscebat, nec pro canonibus habebat, sed eatenus in septima synodo susce-

pit, ut solum probaret argumentum canonis octogesimi secundi, per quem iconomachiæ perfidia reprobatur. Itaque hujusmodi argumentis uti ad probandum quinisextam esse œcumenicam, idem, Nile, est, quod, dum causa agitur, Græcos proferre accusatores, testes, judices contra Latinos.

μάσαι τὴν ἐμφερομένην τῷ πβ' κανόνι ἔννοιαν, δι' ἧς στηλιτεύεται ἡ εἰκονομαχία.

Τοιαῦτα γοῦν προβάλλειν ἐπιχειρήματα πρὸς τὸ τὴν πενθέκτην ἀποδεῖξαι οἰκουμενικὴν ἑαυτόν ἐστιν, ὦ Νεῖλε, καὶ τὸ δίκης ἀνισταμένης προφέρειν τοὺς Γραικοὺς κατὰ Λατίνων κατηγόρους, μάρτυρας καὶ δικαστάς.

## NILUS (Cap. XVII).

« Adeo vero ratos illos canones Romanus episcopus habebat, dum pax Ecclesiarum vigebat, ut Adrianus papa scribens ad Tarasium, admiraretur quod is sanctæ hujus synodi canones et decreta teneret. Legito in actis septimæ synodi ex epistola Adriani papæ ad Tarasium Constantinopolitanum hæc : « Invenimus autem in prædicta synodica epistola Sanctitatis Vestræ post plenitudinem fidei et confessionem sacri Symboli, et omnium sanctarum sex synodorum, et de sacris ac venerabilibus characteribus miraculum laude ac veneratione dignissimum contineri : quia et easdem sanctas sex synodos suscipio cum omnibus regulis quæ jure ac divinitus ab ipsis promulgatæ sunt, inter quas continetur canon octogesimus secundus de venerandis imaginibus. » Quod igitur iste canon per ipsum quoque beatum Adrianum ratus sit, codices ostensi testabuntur. At nimis absurdum est, Latinos non solum hostes esse œcumenicarum synodorum, quorum ipsi duces fuere, sed inter se etiam digladiari ; et modo quidem Adrianum papam vocare hos canones miraculum laude dignum : modo vero Innocentium, vel alium quemcunque reprobare eosdem. »

## ΝΕΙΛΟΣ.

« Οὕτω δὲ τοὺς κανόνας ἐκείνους κυρίους ἠγεῖτο καὶ ὁ τῆς Ῥώμης ἐπίσκοπος, ἕως ἐν εἰρήνῃ τὰ ἐκκλησιαστικὰ διετέλουν ὄντα, ὡς καὶ τὸν πάπταν Ἀδριανὸν Ταρασίῳ γράφοντα διὰ θαύματος ἄγειν τὰ κατ' αὐτὸν, ἐμμένοντα τοῖς ὑπὸ τῆς ἁγίας ταύτης συνόδου κανονικῶς ὁρισθεῖσιν. Ἀνάγνωθι ἀπὸ τῶν Πρακτικῶν τῆς ζ' συνόδου, ἀπὸ τῆς ἐπιστολῆς τοῦ πάπτα Ἀδριανοῦ πρὸς Ταράσιον Κωνσταντινουπόλεως ταῦτα· « Εὕρομεν δὲ ἐν τῇ προειρημένῃ ἐπιστολῇ τῇ συνοδικῇ τῆς ὑμετέρας ἁγιωσύνης μετὰ τὸ πλήρωμα τῆς πίστεως καὶ τῆς ὁμολογίας τοῦ ἱεροῦ συμβόλου, καὶ πασῶν τῶν ἁγίων ἓξ συνόδων, καὶ περὶ τῶν ἱερῶν καὶ σεπτῶν χαρακτήρων θαῦμα αἰνέσεως καὶ περιπτύξεως ἄξιον, περιέχον· Ὅτι καὶ τὰ ὑπὸ τῆς αὐτῆς ἁγίας ἕκτης συνόδου δέχομαι μετὰ πάντων τῶν ἐνθέσμως καὶ θειωδῶς ἐκφωνηθέντων παρ' αὐτῆς κανόνων· ἐν οἷς ἐμφέρεται κανὼν πβ' περὶ τῶν σεπτῶν εἰκόνων. » Ὅτι μὲν οὖν ὁ κανὼν οὗτος καὶ παρὰ τοῦ μακαρίου Ἀδριανοῦ τὸ κύριον ἔχει, τὰ βιβλία φανέντα μαρτυρήσει τῷ λόγῳ· πάνυ δὲ ἄτοπον μὴ μόνον πρὸς τὰς οἰκουμενικὰς τῶν συνόδων Λατίνους ἀπεχθῶς ἔχειν, ὧν ἡγεμόνες αὐτοὶ κατέστησαν, ἀλλὰ καὶ πρὸς ἑαυτοὺς στασιάζειν· καὶ νῦν μὲν τὸν πάπταν Ἀδριανὸν τοὺς κανόνας τοὺς θαῦμα αἰνέσεως καλεῖν, νῦν δὲ τὸν Ἰννοκέντιον, ἢ ἕτερον, εἰ τύχοι, τοὺς αὐτοὺς ἀποδοκιμάζειν. »

## CONFUTATIO.

Arguis quarto pro quinisexta : Adrianus papa scribens Tarasio ratum habet octogesimum secundum canonem quinisextæ ; ergo synodus illa legitima est et in œcumenicis numeranda. Sed plane erras, et erroris tui causa est prava interpretatio. Nam Tarasii voces, quas papa laudat, non ita habent ut Græca interpretatio continet ; Græce enim ita legitur : Quia et eamdem sanctam sextam synodum suscipio cum omnibus ejus canonibus. At textus Latinus habet : Quia et easdem sanctas sex synodos suscipio cum earum canonibus. Ita nec Tarasius sextam synodum expresse posuit, nec papa referendo illius voces, sed corrigendo voces Tarasii, quod ita is dixerat : Suscipio sanctas sex synodos cum earum canonibus, papa sic refert : Post confessionem sacri Symboli et sex synodorum, invenimus et de sacris imaginibus. Non ergo laudat papa Tarasium, ut decreta quinisextæ tenentem, quemadmodum dicis, sed ut omnium sanctarum synodorum et rectæ de sacris imaginibus fidei cultorem. Hæc autem recta de imaginibus fides continebatur in octogesimo secundo canone quinisextæ et rectam fidem papa

## ΑΝΤΙΡΡΗΣΙΣ.

Τέταρτον ἐπιχειρεῖς εἰς σύστασιν τῆς πενθέκτης· Ἀδριανὸς ὁ πάπτας Ταρασίῳ γράφων κύριον ἔχει τὸν πβ' κανόνα τῆς πενθέκτης· ἄρα γνησία ἡ πενθέκτη, καὶ ἐν ταῖς οἰκουμενικαῖς ἀριθμητέα. Ἀλλ' ἐπλανήθης, ὦ θαυμάσιε, ἐκ τῆς παρερμηνείας τοῦ χωρίου. Αἱ γὰρ τοῦ Ταρασίου φωναὶ, ἃς ἐπαινεῖ ὁ πάπτας, οὐ περὶ τῆς ἕκτης συνόδου ῥητῶς διαλαμβάνουσι, καθὼς ἔχει ἡ Ἑλληνικὴ ἑρμηνεία· τὸ γὰρ Λατινικὸν ὕφος τῆς ἐπιστολῆς τοῦ πάπτα, ὃς ἔγραψε Ῥωμαϊστὶ, ἔχει οὕτως· Ὅτι καὶ τὰς αὐτὰς ἁγίας ἓξ συνόδους δέχομαι μετὰ πάντων τῶν κανόνων, οὓς ἐνθέσμως καὶ θειωδῶς αὐταὶ ἐξεφώνησαν. Ὥστε Ἀδριανὸς ὁ πάπτας οὐκ ἐπαινεῖ τὸν Ταράσιον ὡς ἐμμένοντα τοῖς ὁρισθεῖσιν ὑπὸ τῆς πενθέκτης, ὡς σὺ λέγεις, ἀλλ' ὡς ἐμμένοντα τῇ ὀρθοδοξίᾳ πασῶν τῶν συνόδων καὶ τῶν σεπτῶν εἰκόνων. Αὕτη δὲ ἡ περὶ τῶν εἰκόνων ὀρθοδοξία περιείχετο τῷ πβ' τῆς πενθέκτης κανόνι· καὶ ἐπαινεῖ ὁ πάπτας τὴν ὀρθοδοξίαν, τὸν δὲ κανόνα λεγόμενον οὐκ ἐπικυροῖ ὡς κανόνα. Καὶ δῆλον ἐξ ὧν ἐπιφέρει μετὰ τὴν ἐξάπλωσιν τοῦ κανόνος. Ταύτῃ γὰρ, φησὶ, τῆς ὀρθοδόξου πίστεως τῇ μαρτυρίᾳ τὴν περιεργίαν τῶν πονηρευομένων, καὶ τὴν φλυαρίαν τῶν αἱρετικῶν ἀπώσατο ἡ

ὑμετέρα ἀδελφικὴ ἱερωσύνη. Οὐ λέγει ὁ πάππας· Τούτῳ τῷ κανόνι τῆς ζ' συνόδου, ἀλλὰ, Ταύτῃ τῆς ὀρθοδόξου πίστεως τῇ μαρτυρίᾳ· ἐπαινεῖ γὰρ τὸ ἐμπεριεχόμενον, ἀλλ' οὐχὶ ὡς κανόνα· καὶ τοῦτ' αὐτό ἐστιν, ὅπερ ἔλεγεν ὁ Βιβλιοθηκάριος Ἀναστάσιος· ὅτι τοὺς τοιούτους κανόνας ὁ ἀποστολικὸς θρόνος ἐπὶ τοσοῦτον δέχεται ἐν τῇ ζ' συνόδῳ, ὥστε μὴ στέργειν ἐκείνους, οἵτινες ἀντίκεινται τοῖς κανόσι τῶν ἀρχιερέων τῆς Ῥώμης· καὶ ὅτι ἁπαξάπαντας οὐκ εἶχον οἱ Λατῖνοι, ἀλλ' ἦσαν αὐτοῖς ἄγνωστοι. Εἴ τις δὲ τις κανὼν ὁ περὶ τῶν ἱερῶν εἰκόνων γέγονε γνώριμος διὰ τὸ ἐντεθῆναι τῇ ζ' συνόδῳ κατὰ τῶν Εἰκονομάχων· καὶ τοῦτον ἐπαινεῖ ὁ πάππας ἐν τῇ Ταρασίου ἐπιστολῇ, ἔπειτα ὀνομάζει κανόνα μὲν οὐχί, μαρτυρίαν δὲ τῆς ὀρθοδόξου πίστεως. Ὅθεν μάταια ἐπιχειρεῖς· πρῶτον μὲν, ὅτι τὰς φωνὰς τοῦ Ταρασίου ἐν τῇ ἐπιστολῇ τοῦ πάππα προκομίζεις οὐ γνησίως ἑρμηνευθείσας. Διαφέρει γὰρ εἰπεῖν, « Τὰ ὑπὸ τῆς αὐτῆς ἁγίας ἕκτης συνόδου, » ὡς ἔχει τὸ κείμενον τὸ Ἑλληνικόν· καὶ εἰπεῖν, « Τὰς αὐτὰς ἁγίας ἓξ συνόδους » κατὰ τὸ Ῥωμαϊκόν· καὶ πάλιν τὸ εἰπεῖν, « Ἐκφωνηθέντων παρ' αὐτῆς, » καὶ « Ἐκφωνηθέντων παρ' αὐτῶν, » ὡς ἔχει τὸ Λατινικόν· δεύτερον, ὅτι ὁ ἔπαινος τοῦ Ἀδριανοῦ οὐ δίδωσι τῷ κανόνι κῦρος, ἀλλ' ἢ μόνον ὅτι ὀρθοδοξίαν περιεῖχεν· ἐκ τούτου δὲ οὐκ ἔστι συνάγειν τοὺς κανόνας εἶναι γνησίους, καὶ τὴν πενθέκτην οἰκουμενικήν· ἀλλ' ὅτι ἐν ἐκείνοις οὐκ ὀλίγοι κανόνες, ἐν οἷς ὀρθ' ἄττα καὶ οὐκ ἀπόβλητα περιέχεται. Οὔκουν ἀπεχθῶς ἔχουσιν οἱ Λατῖνοι πρὸς τὰς οἰκουμενικὰς τῶν συνόδων, τὰς μὴ οὔσας οἰκουμενικὰς μὴ ὡς τοιαύτας δεχόμενοι, μᾶλλον δὲ τὰς μήτε ὅλως συνόδους καλεῖσθαι ἀξίας· οὔτε πρὸς ἑαυτοὺς στασιάζουσιν οἱ ἀρχιερεῖς τῆς Ῥώμης· ὁ γὰρ Ἀδριανὸς ἔσχε θαῦμα αἰνέσεως καὶ περιπτύξεως ἄξιον, τοῦτο καὶ οἱ λοιποὶ ἀρχιερεῖς ὑπερεπαινοῦσιν. Ἠγάσθη δὲ ὁ πάππας τὴν ὀρθοδοξίαν τοῦ Ταρασίου περὶ τῶν ἁγίων εἰκόνων. Ἔγραφε καὶ Ἀέων Ἴσαυρος πρὸς Γρηγόριον τὸν πάππαν· Διατί ἐν ταῖς ἓξ συνόδοις οὐδὲν ἐῤῥέθη περὶ τῶν εἰκόνων; Καὶ ἀποκρινόμενος ὁμολογεῖ ὁ πάππας, ὅτι οὐδὲν ἐῤῥέθη. Ἀλλ' οὔτε ὁ βασιλεὺς οὕτως ἂν προὔτεινεν, οὔτε ὁ πάππας ἀπεκρίνετο τοιουτοτρόπως, εἴπερ ἐνομίζετο καὶ παρὰ Γραικοῖς καὶ παρὰ Λατίνοις ἡ πενθέκτη οἰκουμενικὴ, καὶ οἱ παρ' αὐτῆς κανόνες κύριοι. Ζήτει τὰς πρὸ τῆς ζ' συνόδου ἐπιστολάς· οὐχὶ τὸν κανόνα ὡς κανόνα, καθ' ὃ οἱ τῆς Ῥώμης συνεφώνησαν, καὶ συμφωνοῦσι πάντες. Διὸ δὴ καὶ τὸ λέγειν τοὺς κανόνας τῆς πενθέκτης νομισθῆναι κυρίους ὑπὸ τῶν ἐπισκόπων τῆς Ῥώμης ἕως διετέλεσι ὄντα ἐν εἰρήνῃ τὰ ἐκκλησιαστικὰ, μετὰ δὲ τὴν διχόνοιαν ἀποδοκιμασθῆναι, συγκλώθειν ἐστὶ τὰ ἀσύγκλωστα. Ποῦ γὰρ εὑρήσεις πρὸ τῆς διχονοίας τὸν Κωνσταντινουπόλεως ἐξισούμενον τῷ πάππᾳ, ὡς φησιν ὁ λς' τῆς πενθέκτης κατὰ τοὺς ψευδοκανόνας τὸν τρίτον, τῆς β' καὶ τῆς δ' τὸν κη'; Εἰ τούτους δὴ τοὺς λεγομένους κανόνας ἀειδήποτε ἡ Ἐκκλησία τῆς Ῥώμης ἀπεδοκίμαζεν, ὡς δῆλον ἐκ τῶν ἐπιστολῶν Λέοντος τοῦ πάππα τῶν μετὰ τὰ Πρακτικὰ τῆς δ'

A laudat; illum vero qui dicitur canon, non ut canonem probat. Quod ex iis liquet quæ infert papa post expositum canonem. Hoc enim, inquit, testimonio orthodoxæ fidei malignorum curiositatem et hæreticorum garrulitatem vestrum repulit fraternum sacerdotium. Non dicit papa, Hoc sexto synodi canone, sed, Hoc testimonio orthodoxæ fidei; laudat enim quod continetur, non ut canonem; et hoc est quod Bibliothecarius Anastasius aiebat, hujusmodi canones a sede apostolica ita admitti, ut nullatenus illos recipiat qui decretis pontificum Romanorum adversantur, et universos fuisse Latinis incognitos, quia nec interpretatos. Erant igitur universi quidem incogniti. Unus vero quidam ex iis, octogesimus secundus, de sacris imaginibus innotuit, quia insertus fuit septimæ synodo B contra Iconomachos; et hunc laudat papa in epistola ad Tarasium, non quidem canonem illum vocans, sed orthodoxæ fidei testimonium. Itaque vano uteris argumento: primo quidem, quia voces Tarasii epistolæ papæ insertas profers non recte conversas. Differt enim dicere, « Quæ ab eadem sancta sexta synodo, » ut legitur Græce; et dicere, « Easdem sanctas sex synodos, » ut habet textus Latinus; et rursus differt, « promulgatæ ab ipsa » et « promulgatæ ab ipsis, » ut habetur in textu Latino. Secundo, quia ex ea commendatione papæ non fit canon legitimus, sed probatur tantum rectam in eo fidem contineri; ex quo non licet colligere canones esse legitimos, et quinisextam œcu- C menicam, sed tantum, non paucos ejus canones recta et non rejicienda continere. Quare nec verum est, Latinos esse generalium synodorum inimicos, si non suscipiunt pro œcumenicis quæ non sunt œcumenicæ, imo quæ nec synodi quidem sunt: nec secum pugnant Romani pontifices. Nam quod Adrianus habuit pro miraculo laude ac veneratione digno, hoc et cæteri pontifices extollunt laudibus. Admiratus vero fuit papa rectam fidem Tarasii de sacris imaginibus, non canonem ut canonem; in quo Romani pontifices convenere omnes et conveniunt. Proinde asserere canones quinisextæ habitos fuisse ratos a Romanis pontificibus dum Ecclesiarum pax vigebat, postea vero D fuisse reprobatos, est connectere quæ non cohærent. Ubi enim reperias ante schisma Constantinopolitanum exæquatum papæ, ut canon 36 quinisextæ statuit juxta pseudocanones secundæ synodi, et 28 quartæ? Si hos titulo tenus canones Romana semper Ecclesia reprobavit, ut videre est in epistola Leonis papæ parte III quartæ synodi, quomodo ratos postmodum habuit canones quinisextæ, qui iisdem constant vocibus quibus et reprobati? Et quæ pax erat inter papam et patriarcham, qui se æqualem papæ jactitaret, si Cœlestinus condemnabat et removebat Nestorium patriarcham Constantinopolitanum, Leo Dioscorum Alexandrinum, Agapetus Anthimum Constantinopolitanum, Leo II Macarium Antiochenum, Adrianus Tarasium

Constantinopolitanum dum illi scriberet, se ejus synodica minime recepturum fuisse, quod statim ex laico ordine sublimatus esset ad gradum sacerdotalem, nisi orthodoxum cognovisset? Quomodo hæc fiebant, et pax erat Ecclesiis, et quinisextæ canones pro legitimis habebantur? Nullo modo hæc consistunt. Nam si rati erant canones, nullam potestatem pontifices habebant in patriarchas; si vero habebant, non rati erant canones : sed cum pax erat, nullius auctoritatis erant; post schisma vero sunt apud Latinos quod semper erant, solis vero probati Orientalibus quibus etiam fuerunt origo præcipua schismatis.

A συνόδου, πῶς εἶχεν ἔπειτα κυρίους τῆς πενθέκτης τοὺς κανόνας ταυτοφώνους ὄντας τοῖς ἀποδοκιμασθεῖσιν; Καὶ πῶς εἰρήνευεν ὁ πάπτας μετὰ τοῦ πατριάρχου ἴσον ἑαυτὸν τῷ πάππᾳ κομπάζοντος, εἴπερ Κελεστῖνος κατέκρινε καὶ μετεκίνει Νεστόριον πατριάρχην Κωνσταντινουπόλεως, Λέων τὸν Ἀλεξανδρείας Διόσκορον, Ἀγαπητὸς ὁ πάππας Ἄνθιμον Κωνσταντινουπόλεως, Μακάριον Ἀντιοχείας Λέων ὁ πάππας, καὶ Ἀδριανὸς Ταράσιον τὸν Κωνσταντινουπόλεως, γεγραφὼς πρὸς αὐτὸν, ὡς οὐκ ἂν ἐδέξατο τὴν αὐτοῦ χειροτονίαν, ἀθρόον ἐκ λαϊκοῦ ἀνυφωθέντος εἰς τὸν ἱερατικὸν βαθμὸν, εἰ μὴ ὀρθοδοξοῦντα ἐπέγνω; Πῶς ταῦτα ἐγίνετο, καὶ εἰρήνη κατεῖχε τὰς Ἐκκλησίας, καὶ οἱ κανόνες τῆς πενθέκτης κύριοι ἐνομίζοντο; Ἀδύνατα ταῦτα, ὦ Νεῖλε. Εἰ γὰρ κύριοι οἱ κανόνες, οὐκ ἂν εἶχον ἐξουσίαν ἐπὶ τοὺς πατριάρχας οἱ Ῥώμης ἐπίσκοποι. Εἰ δὲ εἶχον, οὐ κύριοι οἱ κανόνες· ἀλλ' εἰρήνης μὲν οὔσης, ὑπῆρχον ἄκυροι· μετὰ δὲ τὴν διχόνοιαν παρὰ μὲν Λατίνοις εἰσὶν ὅπερ ἦσαν πάντοτε ἄκυροι, τοῖς δὲ ἀνατολικοῖς κύριοι μόνοις, οἷς καὶ γεγόνασι καταβολὴ μεγίστη τοῦ σχίσματος.

Constantinopolitanum dum illi scriberet, se ejus synodica minime recepturum fuisse, quod statim ex laico ordine sublimatus esset ad gradum sacerdotalem, nisi orthodoxum cognovisset? Quomodo hæc fiebant, et pax erat Ecclesiis, et quinisextæ canones pro legitimis habebantur? Nullo modo hæc consistunt. Nam si rati erant canones, nullam potestatem pontifices habebant in patriarchas; si vero habebant, non rati erant canones : sed cum pax erat, nullius auctoritatis erant; post schisma vero sunt apud Latinos quod semper erant, solis vero probati Orientalibus quibus etiam fuerunt origo præcipua schismatis.

## NILUS (Cap. XVIII).

« Si quis vero dicat, papam non subdi Patrum legibus, quis hoc ferat? cum a Patribus ipse primatum acceperit. Certe intolerabile est illos ab eo negligi, per quos ipse evectus est et magnus esse videtur. Præterea qui hoc animo est, se quoque ipsum damnat; quandoquidem qui leges posuit, ipse est. At B. Paulus prævaricatorem se inquit, si quæ destruxit hæc iterum ædificare vellet. Quod si ostensum est, illum judicio Patrum esse subditum sicut in dogmatibus, ita et in cæteris, quomodo Patrum legibus non sit subjectus? Quis vero æquum esse dicat, cæteros illum observare ut Patrem, qui tantorum Patrum auctoritatem antiquat? »

B

## ΝΕΙΛΟΣ.

« Εἰ δέ τις ὑπάγεσθαι τὸν πάπταν τοῖς παρὰ τῶν Πατέρων κειμένοις νόμοις ἐρεῖ, οὐκ ἀνεκτὰ πάντως; ἐρεῖ. Διατί; Ὅτι παρὰ τῶν Πατέρων αὐτὸς τὸ πρεσβεῖον εἴληφε. Καὶ ἥκιστα φορητὸν, δι' ὧν ἐκεῖνος ἤρθη τε καὶ μέγας εἶναι δοκεῖ, τούτους ἐν οὐδενὶ τίθεσθαι. Ἄλλως τε τὸν οὕτω διακείμενον καὶ ἑαυτὸν ἐστιν ἀθετεῖν, εἴπερ αὐτός ἐστιν ὁ τοὺς νόμους θείς. Ὁ δὲ μακάριος Παῦλος παραβάτην ἑαυτὸν φησιν, εἴ γε ἃ κατέλυσε, ταῦτα πάλιν οἰκοδομεῖν προθυμεῖται. Εἰ δὲ δέδεικται ὥσπερ ἐν τοῖς δόγμασιν, οὕτω δὴ κἀν τοῖς ἄλλοις παρὰ τῶν Πατέρων εὐθύνεσθαι, πῶς οὐχ ὑπάγεται τοῖς παρὰ τῶν Πατέρων κειμένοις νόμοις; Ἢ πῶς δίκαιον τοὺς ἄλλους ὡς Πατρὶ τούτῳ προσέχειν, Πατέρας τοσούτους αὐτῷ διαγράφοντι; »

C

## CONFUTATIO.

Multa jam de hoc argumento dixeras, et resumis, illud unum tibi habens propositum, ut deprimas papam. Dicis intolerandum esse, si quis dicat papam non subdi legibus Patrum, quod ipse a Patribus accepto primatu, cur eos possit parvipendere, per quos magnus effectus est? Dicis papam ita affectum se ipso damnari, quandoquidem ipse est qui posuit leges; dicis ostensum esse, papam et rationem dogmatum et aliarum rerum judicio subdi, et non esse æquum honorari ut Patrem qui aspernatur Patres. At certe si tuum argumentum valet, valebit etiam quod ex contrario est. Tu sic arguis : Papa habet primatum a Patribus, ergo subditus est legibus Patrum. Nos vero dicimus : Patres habent privilegia et honores a papa, ergo papa non subjacet legibus Patrum, sed potius illi subjacent legibus papæ. Tui vero enthymematis antecedens falsum esse jam probatum est per synodorum testimonia; et nunc etiam ad roborandam veritatem probabitur ejus falsitas.

## ΑΝΤΙΡΡΗΣΙΣ.

Πολὺν περὶ τούτου λόγον καταθέμενος, αὖθις τὴν ὑπόθεσιν ἐπαναλαμβάνεις, ἐκεῖνο μάλιστα φροντίζων, ὅπως τὸν πάπταν καταβιβάσῃς. Λέγεις οὐκ ἀνεκτὸν εἶναι φάσκειν μὴ ὑπάγεσθαι τὸν πάπταν τοῖς κειμένοις παρὰ τῶν Πατέρων νόμοις· ὅτι παρὰ τῶν Πατέρων εἰληφὼς τὸ πρεσβεῖον, πῶς ἐξουθενεῖν δύναται τοὺς αὐτὸν μεγαλύναντας; Λέγεις, ὅτι διακείμενος οὕτως ἑαυτὸν ὁ πάπτας ἀθετεῖ, εἴπερ αὐτός ἐστιν ὁ θεὶς τοὺς νόμους· λέγεις, ὅτι δέδεικται καὶ ἐν δόγμασι, καὶ ἐν ἄλλοις τὸν πάπταν εὐθύνεσθαι· καὶ ὅτι οὐ δίκαιον τιμᾶσθαι ὡς Πατέρα τὸν διαγράφοντα τοὺς Πατέρας. Εἰ μὲν οὖν ὑγιές ἐστι τὸ σὸν ἐπιχείρημα, πάντως καὶ τὸ ἐκ τοῦ ἐναντίου ὑγιὲς ἔσται. Τὸ σὸν οὕτως ἔχει· Ὁ πάπτας ἔχει τὸ πρεσβεῖον παρὰ τῶν Πατέρων, ἄρα ὑπόκειται τοῖς νόμοις τῶν Πατέρων. Ἡμεῖς δέ φαμεν· Οἱ Πατέρες ἔχουσι τὰ προνόμια καὶ τὰς τιμὰς παρὰ τοῦ πάπτα, ἄρα ὁ πάπτας οὐχ ὑπόκειται τοῖς νόμοις τῶν Πατέρων, μᾶλλον δὲ ἐκεῖνοι ὑπόκεινται τοῖς νόμοις τοῦ πάπτα. Τοῦ δὲ σοῦ ἐνθυμήματος ἡ πρόσληψις ἤδη μὲν ἐξελήλεγκται ψευδὴς οὖσα ταῖς συνοδικαῖς ἀποφάσεσι, καὶ νῦν δὲ ὅμως ἐλεγχθήσεται εἰς παράστασιν τῆς ἀληθείας.

D

Οἱ τῆς β' συνόδου Πατέρες κανόνα ἐγεγράφεισαν, ὥστε τὸν Κωνσταντινουπόλεως ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν τῆς Ῥώμης ἐπίσκοπον. Ἀλλ' ὅμως Θεόφιλος ὁ Ἀλεξανδρείας ἀντεποιεῖτο τῆς χειροτονίας τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως, καὶ Διόσκορος Ἀλεξανδρείας ἐχειροτόνησεν Ἀνατόλιον τὸν Κωνσταντινουπόλεως· ὅθεν παντὶ που δῆλον, ὅτι ὁ κανὼν ἐκεῖνος, εἰ καὶ ὅλως γέγονεν, ἄκυρος ἔμεινεν. Διὸ δὴ ἐν τῇ τετάρτῃ συνόδῳ οἱ τοποτηρηταὶ τοῦ πάππα τὸν κανόνα τοῦτον οὐκ ὀρθῶς προφέρεσθαι ἔλεγον· καὶ Λέων ὁ τηνικαῦτα πάππας, καὶ οἱ μετ' αὐτὸν ἀρχιερεῖς οὐδέποτε ὡς γνήσιον ἐδέξαντο· ὥσπερ καὶ τὸν τῆς τετάρτης συνόδου, ὃν ἐπὶ βεβαιώσει τοῦ προτέρου τινὲς ὑπεξέθεντο· μέχρις οὗ τῆς μακρᾶς κατισχυσάσης ἐπιμονῆς, ὡς μαρτύρει Ἀδριανὸς ὁ πάππας ἐν τῇ β' τῆς ἑβδόμης συνόδου πράξει πρὸς τοὺς βασιλέας γράφων, ὁ Κωνσταντινουπόλεως θρόνος τὴν δευτέραν ἐκληρώσατο τάξιν, ὑποβιβάσας δηλαδὴ ἑαυτῷ τοὺς λοιποὺς τῶν ἀνατολικῶν θρόνους, καὶ μετακινήσας τὰ ὅρια, ἃ ἔθεντο οἱ ἀπόστολοι καὶ ἡ πρώτη σύνοδος. Κατέπραξε δὲ τοῦτο, φησὶν Ἀδριανός, τῇ αὐθεντίᾳ τῆς ἀποστολικῆς καθέδρας τὸ δεύτερος εἶναι λαβών.

Patres secundæ synodi ediderant canonem, ut Constantinopolitanus haberet honoris prærogativam post Romanum. Attamen Theophilus Alexandrinus vindicabat sibi consecrationem episcopi Constantinopolitani (1), et Dioscorus Alexandrinus consecravit Anatolium Constantinopolitanum. Ex quo manifestum est, canonem illum, si factus est, nullum robur habuisse. Quapropter legati papæ actione XVI quartæ synodi immerito illum proferri aiebant, et Leo, tunc temporis papa, et successores ejus nunquam ut legitimum susceperunt, quemadmodum et vicesimum octavum quartæ synodi, suppositum a quibusdam ad confirmandum priorem illum, donec, longa prævalente instantia, ut Adrianus papa testatur actione II septimæ synodi scribens ad imperatores, Constantinopolitana sedes locum obtinuit secundum, nimirum inferiores se constituens cæteras Orientis patriarchales sedes, et transferens terminos, quos statuerunt apostoli et prima synodus. Hæc autem, ut Adrianus papa inquit, sedis apostolicæ auctoritate habuit, ut jam illius beneficio esset secunda.

Εἰ δὲ Μάρκος μὲν ἐν Ἀλεξανδρείᾳ, καὶ Εὐόδιος ἐν Ἀντιοχείᾳ, ὥς φησιν Εὐσέβιος ἐν τῷ β' καὶ γ' τῆς *Ἱστορίας*, καὶ Ἰγνάτιος ὁ θεοφόρος ἐν τῇ πρὸς Ἀντιοχεῖς ἐπιστολῇ, τοὺς πατριαρχικοὺς ἐκόσμησαν θρόνους τῇ ἐξουσίᾳ τοῦ Πέτρου· ὥστε λέγειν τὸν ἐν ἁγίοις Γρηγόριον τὸν Διάλογον ἐν τῇ ρα' ἐπιστολῇ πρὸς Εὐλόγιον Ἀλεξανδρείας, ὅτι τρεῖς ὕψωσεν ὁ Πέτρος θρόνους, καὶ εἷς τοὺς τρεῖς εἶχεν· εἶτα ὁ Κωνσταντινουπόλεως ἐδράξατο τῆς δευτέρας χώρας, παραγκωνισάμενος τοὺς δύο, καὶ τοῦτο βεβιασμένῃ ἐνστάσει κατεκτήσατο δι' αὐθεντείας τοῦ πάππα· πῶς οὐκ εὔδηλον τῶν ἀνατολικῶν θρόνων τὰ προνόμια ἠρτῆσθαι τῆς ἐξουσίας τοῦ πάππα; Καὶ πῶς οὐκ εὔδηλον, ὅτι Πέτρου τὸν Ἀλεξανδρείας δεύτερον, καὶ τρίτον καταστήσαντος τὸν Ἀντιοχείας, ἔπειτα τοῦ πάππα νομοθετήσαντος δεύτερον τὸν Κωνσταντινουπόλεως, ἴσην ἔχει ὁ Πέτρος καὶ οἱ διάδοχοι τὴν ἐξουσίαν κατά γε τὸ ποιμαίνειν, καὶ κυβερνᾷν, καὶ διατίθεσθαι τὰ τῆς Ἐκκλησίας; Εἰ γοῦν πρεσβεῖόν ἐστι τοῦ Κωνσταντινουπόλεως τὸ εἶναι δεύτερον, τοῦ Ἀλεξανδρείας τὸ τρίτον εἶναι, τοῦ Ἀντιοχείας τὸ εἶναι τέταρτον, καὶ ταῦτα ἔχουσι παρὰ τοῦ πάππα· οὐκ ἀληθῆ λέγεις, Νεῖλε, ὅτι παρὰ τῶν Πατέρων εἴληφεν ὁ πάππας τὸ πρωτεῖον. Ἀληθὲς δὲ, ὅτι παρὰ τοῦ πάππα εἰλήφασιν οἱ Πατέρες τὰ πρωνόμια. Καὶ εἴπερ κατὰ σὲ, παρ' ὧν τις ἔχει τὸ πρεσβεῖον, ἐκείνων τοῖς νόμοις ὑπάγεται· οἱ δὲ ἀνατολικοὶ πατριάρχαι παρὰ τοῦ πάππα ἔχουσι τὸ πρεσβεῖον τοῦ εἶναι δεύτερον, καὶ τρίτον, καὶ τέταρτον· ἄρα κατὰ σὲ ἐπάναγκες ὑπάγονται τοῖς νόμοις τοῦ πάππα. Εἰ δὲ φαίης, οὐ παρὰ τῶν πατριαρχῶν, οὓς ἐτίμησεν ὁ πάππας, ἀλλὰ παρὰ συνόδων οἰκουμενικῶν εἶναι τὸ πρεσβεῖον τοῦ

Si ergo Marcus quidem Alexandriæ, et Evodius Antiochiæ, ut inquit Eusebius lib. II et in *Historiæ*, et sanctus Ignatius martyr in epist. ad Antiochenos, patriarchalibus præsedere sedibus auctoritate Petri; ut plane sanctus Gregorius magnus epist. 101, ad Eulogium Alexandrinum dicat tres a Petro sedes fuisse sublimatas et unum tres habuisse; deinde Constantinopolitanus, extrusis illis, secundus est habitus, et hoc assidua instantia consecutus per auctoritatem papæ, an non manifestum est privilegia Orientalium sedium pendere ab auctoritate papæ? An non manifestum est, quod Petro constituente secundum Alexandrinum, Antiochenum tertium, papa vero postmodum concedente ut secundus esset Constantinopolitanus, parem habet Petrus et successores potestatem in pascendo, gubernando et instituendo ecclesiastico ordine? Itaque si prærogativa Constantinopolitani est esse secundum, et Alexandrini esse tertium, et Antiocheni esse quartum, et hæc habent a papa, non est verum quod ais, papam a Patribus habuisse primatum; sed contra, patres habuisse a papa privilegia, et si per te, a quibus quisque honores sumit, legibus illorum est subditus; Orientales vero patriarchæ habent honores a papa, ut secundum, tertium, et quartum obtineant locum; certe etiam papæ legibus necessario per te subduntur. Si dicas non esse primatum papæ a patriarchis, quos honoravit papa, sed ab œcumenicis conciliis, dicis quæ nullo modo constant. Prima synodus in sexto canone præcipit, antiquos observari mores, et vetusta Ecclesiarum privilegia non turbari. Si ergo papa primatum habebat

(1) Ex Vita Chrysostomi.

ante Nicænam synodum, ut expresse fatetur et ipsa in hoc eodem canone recitato a Romanis actione XVI quartæ synodi, quomodo primatu honoratus est a conciliis generalibus? Non itaque contemnit Patres papa, quia legibus illorum non subditur; nam si subderetur, evangelico non obtemperaret dicto, quo jussus est Petrus pascere, non pasci, et custos esse vineæ, non custodibus subesse, et medicus esse valetudinem largiens Ecclesiæ membris, non ipse sanari juxta synodorum sententias. Tu vero quando transgressorem vocas papam, quia leges quas posuit non observat, accipis ut confessum quod placet, quasi vero quinisextæ pseudocanones firmati essent auctoritate papæ. Ubi ergo damnat se ipsum papa, dum damnat quæ nunquam probavit? Ita nec papam ostendisti legitime judicatum et damnatum in causa dogmatum, nec in aliis Patrum judicio subjectum. Quare id etiam quod subdis tanquam demonstratum, nullam habet veritatis umbram; nimirum, si papa non subditur Patrum legibus, per hoc fieri ut ab ipso contemnantur.

A πάππα, ἀπίθανα λέγεις καὶ ἀμήχανα. Ὅτι τὰ ἀρχαῖα ἔθη κρατεῖν βούλεσθαι ἡ πρώτη σύνοδος, καὶ σώζεσθαι τὰ πρεσβεῖα ταῖς Ἐκκλησίαις κατὰ τὴν παλαιὰν συνήθειαν. Εἰ δὲ πρὸ τῆς ἐν Νικαίᾳ πρώτης συνόδου ὁ πάππας εἶχε τὰ πρωτεῖα, πῶς τὸ πρεσβεῖον εἴληφε παρὰ συνόδων οἰκουμενικῶν; Οὐκ ἐξουθενεῖ τοίνυν τοὺς Πατέρας ὁ πάππας, τοὺς ἐκείνων νόμοις μὴ ὑπαγόμενος· εἰ γὰρ ὑπήγετο τοῖς ἐκείνων νόμοις, ἦν ἂν παραβάτης τῆς εὐαγγελικῆς θεσμοθεσίας, δι' ἧς ποιμαίνειν τῷ Πέτρῳ προστέτακται, οὐ ποιμαίνεσθαι, καὶ φύλαξ εἶναι τῆς ἀμπέλου, οὐ φυλάσσεσθαι, καὶ ἰατρὸς τὴν ῥῶσιν χαριζόμενος τοῖς μέλεσι τῆς Ἐκκλησίας, οὐχ ὑγιάζεσθαι κατὰ τὰς συνοδικὰς ἀποφάσεις. Σὺ δὲ ὅτε λέγεις παραβάτην τὸν πάππαν, ὅτι τοὺς νόμους

B οὗ; ἔθετο οὐ φυλάττει, λαμβάνεις τὸ σοὶ δοκοῦν ὡς ὁμολογούμενον· ὥσπερ εἰ κυρωθέντες ἦσαν τῇ ἐξουσίᾳ τοῦ πάππα οἱ ψευδοκανόνες τῆς πενθέκτης. Ποῦ τοίνυν ἀθετεῖ ἑαυτὸν ὁ πάππας διὰ τὸ ἀθετεῖν ἃ μηδέποτε ἐδοκίμασεν; Οὔτε γοῦν ἔδειξας τὸν πάππαν ἐν τοῖς δόγμασιν εὐθυνόμενον κανονικῶς καὶ ἐνθέσμως, οὔτε ἐν τοῖς ἄλλοις παρὰ τῶν Πατέρων κρινόμενον. Ὅθεν οὐδ' ὃ ἐπιφέρεις ὡς ἀποδειχθὲν, ἔχει σκιὰν ἡντιναοῦν ἀληθείας· ὅτι τοῖς παρὰ τῶν Πατέρων κειμένοις νόμοις μὴ ὑπαγόμενος ὁ πάππας διαγράφει τοσούτους Πατέρας.

## NILUS. (Cap. XIX.)

« Dicere autem, papam non esse certi loci episcopum, sed absolute episcopum, quomodo non sit cum valde manifestis pugnare? Primo enim ostensum supra est, illum et cæteros episcopos esse ejusdem ordinis; deinde in cunctis œcumenicis conciliis Romæ episcopus vocatur. Si vero quia in suis litteris non se Romæ episcopum, sed absolute episcopum scribit, habeat propterea hoc idem et Cyrillus; is enim alicubi absolute ita inscribitur, *Cyrillo episcopo* (1); et multo magis hoc Cyrillus habeat, quod et ab aliis hoc illi datur. Similiter si quis episcopus, quando scribit, non addat episcopi titulum, hic ne episcopus quidem esto; sed si solum se episcopum vocet, certi loci limites fugiat, et sit universalis orbis terrarum episcopus; si vero et hoc supprimat, hic ne episcopus quidem esto. Et quomodo hæc non sint ænigmati similia? »

## ΝΕΙΛΟΣ.

« Τὸ δὲ λέγειν μὴ εἶναι τὸν πάπταν ἐπίσκοπον ἀφωρισμένους, ἀλλ' ἁπλῶς ἐπίσκοπον, πῶς οὐ σφόδρα ταῖς φανεροῖς ἀντιλέγειν ἐστί; Πρῶτον μὲν γὰρ δέδεικται ἀνωτέρω ὁμοταγῆ τοῦτον εἶναι τοῖς ἄλλοις

C ἐπισκόποις· ἔπειτα ἐν πάσαις ταῖς οἰκουμενικαῖς τῶν συνόδων Ῥώμης ἐπίσκοπος ὀνομάζεται. Εἰ δὲ ὅτι ἐν οἷς αὐτὸς ἐπιστέλλει, οὐ Ῥώμης ἐπίσκοπον, ἀλλ' ἁπλῶς ἐπίσκοπον ἑαυτὸν ὀνομάζει, ἐχέτω τὰ ἴσα διὰ ταῦτα καὶ Κύριλλος· ἔστι γάρ ὅπου ἁπλῶς ἐπιγράφεται, *Κυρίλλῳ ἐπισκόπῳ*· καὶ πολλῷ πλέον ἐκείνου, ὅσῳ καὶ παρ' ἄλλων τὰ τοιαῦτα ἀκούει. Οὐ μὴν ἀλλ' εἰ καί τις ἐπίσκοπος ἐν οἷς γράφει, οὐ προστίθησι τὸ τοῦ ἐπισκόπου ὄνομα, μηδὲ ἐπίσκοπος ἔστω λοιπόν· ἀλλ' ἂν μὲν γράφῃ ἐπίσκοπος μόνον, φευγέτω τὴν περιγραφήν, καὶ καθολικὸς τῆς οἰκουμένης ἐπίσκοπος ἔστω· ἂν δὲ καὶ τοῦτο ἀφῇ, καὶ ὑπὸ τὸν τοιοῦτον ἔστω. Καὶ πῶς οὐ ταῦτα αἰνίγματι παραπλήσια; »

## CONFUTATIO.

Si cum manifestis pugnare est, sentire et loqui de primatu papæ quæcunque supra dicta sunt, quod et Romæ episcopus, et episcopus universalis, impletum in te illud est: *Væ ponentes tenebras lucem, et lucem tenebras; sapientes in oculis vestris, et coram vobismetipsis prudentes* [1]. Namque juxta tuam doctrinam hæc duo pugnant inter se, esse Romæ episcopum et episcopum universalem. Non ita res habet. Norat Athanasius se episcopum Alexandrinum, et Julium Romanum, ascendit tamen vocatus Romam ad Julium episcopum, et ra-

[1] Isa. v, 20, 21.

## ΑΝΤΙΡΡΗΣΙΣ.

Εἰ τοῖς φανεροῖς ἀντιλέγειν ἐστὶ τὸ περὶ τῆς τοῦ πάπτα ἀρχῆς φρονεῖν καὶ λέγειν, ὅσα εἴρηται ἀνωτέρω, ὅτι καὶ Ῥώμης ἐπίσκοπος, καὶ οἰκουμενικὸς ἐπίσκοπος, πεπλήρωται ἐπὶ σοὶ τὸ ῥηθὲν ἐκεῖνο, *Οὐαὶ οἱ τιθέντες τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος· οἱ συνετοὶ ἐν ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες.* Κατὰ γὰρ τὴν σὴν ἐπιστήμην τὸ εἶναι Ῥώμης ἐπίσκοπον, καὶ οἰκουμενικὸν ἐπίσκοπον, πρὸς ἄλληλα μάχεται. Ἀλλ' ὦ γενναῖε, οὐχ οὕτως ἔχει. Ἤδει καὶ Ἀθανάσιος Ἰούλιον ἐπίσκοπον ὄντα Ῥώμης, καὶ ἑαυτὸν Ἀλεξανδρείας ἐπίσκοπον

(1) 1 part. conc. Ephes., cap. 52.

ἀλλ' ὅμως ἀνῆλθεν κληθεὶς εἰς Ῥώμην πρὸς Ἰούλιον, καὶ ὑπὲρ ἑαυτοῦ ἀπελογήσατο. Καὶ ὁ πάππας πρὸς τοὺς ἐν Ἀντιοχείᾳ κατηγόρους τοῦ Ἀθανασίου γράφων, πολλὰ μὲν καὶ μεγάλα λέγει μαρτυροῦντα αὐτῷ τὴν ἐπὶ τοὺς ἀνατολικοὺς ἐξουσίαν. ἐν δὲ τοῖς ἄλλοις καὶ ταῦτα πρὸς τῷ τέλει· « Εἰ γὰρ καὶ ὅλως, ὡς φατέ, γέγονέ τι ἁμάρτημα, ἔδει κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα, καὶ μὴ οὕτως γεγενῆσθαι τὴν κρίσιν· ἔδει γραφῆναι πᾶσιν ἡμῖν, ἵν' οὕτως παρὰ πάντων ὁρισθῇ τὸ δίκαιον. Ἐπίσκοποι γὰρ ἦσαν οἱ πάσχοντες, καὶ οὐχ αἱ τυχοῦσαι ἐκκλησίαι αἱ πάσχουσαι, ἀλλ' ὧν αὐτοὶ οἱ ἀπόστολοι δι' ἑαυτῶν καθηγήσαντο. Διὰ τί δὲ περὶ τῆς Ἀλεξανδρέων πόλεως μάλιστα οὐκ ἐγράφετε ἡμῖν; Ἢ ἀγνοεῖτε, ὅτι τοῦτο ἔθος ἦν, πρότερον γράφεσθαι ἡμῖν, καὶ οὕτως ἔνθεν ὁρίζεσθαι τὰ δίκαια; Εἰ μὲν οὖν τι τοιοῦτον ἦν ὑποπτευθὲν εἰς τὸν ἐπίσκοπον τὸν ἐκεῖ, ἔδει πρὸς τὴν ἐνταῦθα Ἐκκλησίαν γραφῆναι. » Εἶτα· « Ἃ γὰρ παρειλήφαμεν παρὰ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, ταῦτα καὶ ὑμῖν δηλῶ· καὶ οὐκ ἂν ἔγραψα, φανερὰ ἡγούμενος εἶναι ταῦτα παρὰ πᾶσιν, εἰ μὴ τὰ γενόμενα ἡμᾶς ἐτάραξεν. »

Εἴπερ διδασκαλία τοῦ ἀποστόλου Πέτρου ἐστὶ γράφεσθαι τῷ ἐπισκόπῳ Ῥώμης, ἵν' ἐκεῖθεν ὁρίζωνται τὰ δίκαια, ὡς φησιν ἡ ἐπιστολή, ἣν ὑπὲρ ἑαυτοῦ φέρει ὁ μέγας Ἀθανάσιος, ἀνάγκη πᾶσα τὸν πάπταν εἶναι καὶ ἐπίσκοπον Ῥώμης ὡρισμένως, καὶ ἁπλῶς οἰκουμενικὸν ἐπίσκοπον. Ἤδει Κύριλλος τὸν Κελεστῖνον Ῥώμης ἐπίσκοπον, καὶ ἑαυτὸν Ἀλεξανδρείας ἐπίσκοπον· ἀλλ' οὐ θαρρεῖ χωρὶς τοῦ πάπτα ἀποστῆναι τῆς Νεστορίου κοινωνίας· ἤδει πᾶσα ἡ τρίτη σύνοδος τὸν πάπταν Ῥώμης ἐπίσκοπον, ἀλλ' ἐπικαλεῖται κατὰ τῶν ἀποσχιστῶν τοῦ πάπτα τὴν ἀγανάκτησιν, ἵνα σωφρονισθῶσιν ὑπὸ τοῦ πάπτα. Τί δεῖ πολλὰ λέγειν; Ἀρκούντως περὶ τούτου ἐν τοῖς κατόπιν εἴρηται, καὶ πλήρη τὰ Πρακτικὰ τῶν συνόδων. Τοῦτο γοῦν ἀπαρνεῖσθαι τοῖς φανεροῖς ἀντιλέγειν ἐστί· καὶ τὸ καλεῖν τὸν πάπταν ὁμοταγῆ τοῖς ἄλλοις τῶν ἐπισκόπων ψευδομένους ἐστὶν ἀποφαίνεσθαι τοὺς τῶν ἁγίων συνόδων Πατέρας, οἵτινες τὴν ὑπεροχὴν τοῦ πάπτα τοσούτῳ πλήθει προσωνυμιῶν ἐκεύφημησαν. Πῶς ἂν ταῦτα Κυρίλλῳ, ἢ ὑτινιοῦν ἐπισκόπῳ προσάψαι τις; Εἰ γὰρ ἐφαίνετο ἐν τοῖς Πρακτικοῖς τῶν συνόδων ἕτερός τις ἐπίσκοπος καὶ οἰκεῖον ἔχων ἀφωρισμένως θρόνον, καὶ ἐπὶ πᾶν τὸ σῶμα τῆς Ἐκκλησίας αὐθεντίαν ἐπιδεικνύμενος, ἠκολούθει ἂν ἃ ἐπιφέρεις ἄτοπα· νῦν δὲ τοιούτου ὄντος μόνου τοῦ πάπτα, τί χρὴ ἐπιφέρειν τὰ ἀνάρμοστως ἔχοντα, ὅτι παρασιωπῶν τις ἐπίσκοπος τὸ ἑαυτοῦ ἀξίωμα, οὐκ ἂν εἴη ἐπίσκοπος; Εἰ δὲ ἁπλῶς ἐπίσκοπον ἑαυτὸν ἐπιγράφοι, καθολικὸς ἂν εἴη τῆς οἰκουμένης ἐπίσκοπος. Οὐ γὰρ ἐκ τῆς προσηγορίας τεθείσης ἢ μὴ προστεθείσης ἐστὶν ἢ μὴ ἐστι τοιοῦτος ὁ περὶ οὗ ὁ λόγος· οὐδ' ἐκ τῶν λόγων ἐστὶ τὰ πράγματα, ἀλλ' ἐκ τῶν πραγμάτων οἱ λόγοι. Καὶ Κύριλλος οὖν καὶ ὁτιοῦν ἐπίσκοπος, ἂν μὴ προσθῇ τὸ τίνος, οὐχ

A tionem de se reddidit. Et papa scribens ad Antiochenos accusatores Athanasii, multa dicit et magni ponderis, quæ testantur jurisdictionem ejus in Orientales; inter alia vero ad finem hæc (1): « Nam si omnino, ut dicitis, aliquid peccatum est, oportebat secundum canonem ecclesiasticum, et non ita fieri judicium; oportebat ad nos omnes scribi, ut quod justum est decerneretur ab omnibus: episcopi enim erant qui patiebantur, et principales Ecclesiæ quæ patiebantur, quibus ipsi per sese apostoli præfuerunt. Cur vero de Alexandrina potissimum civitate non scripsistis ad nos? An nescitis hunc morem fuisse, ut prius scribatur ad nos, atque ita hinc definiantur quæ justa sunt? Si talis igitur erat suspicio de episcopo illius urB bis, scribendum erat ad hanc Ecclesiam. » Deinde: « Quæ enim accepimus a B. apostolo Petro, ea vobis significo, nec certe scripsissem, quæ omnibus manifesta esse arbitror, nisi nos turbassent, quæ gesta sunt. »

Si tradita est ab apostolo Petro hæc institutio, ut scribatur episcopo Romano, et definiantur inde quæ justa sunt, ut epistola inquit quam pro se affert magnus Athanasius, omnino necesse est, papam et Romæ esse ut certi loci episcopum, et absolute episcopum œcumenicum. Sciebat Cyrillus Cœlestinum Romæ esse episcopum, non tamen C audet citra obtentam a papa licentiam abdicare se Nestorii communione; sciebat universa tertia synodus papam esse Romæ episcopum, implorat tamen contra schismaticos indignationem papæ, ut per eam castigarentur. Quid multa? satis hac de re dictum, et plena sunt acta synodorum. Hoc igitur abnegare cum manifestis pugnare est; et asserere, papam cum cæteris episcopis esse ejusdem in jurisdictione ordinis, est mentientes facere Patres conciliorum, qui tam variis titulis papæ excellentiam celebrarunt. Hæc autem Cyrillo, aut cuivis episcopo quomodo conveniant? Si enim legeretur in actis synodorum esse aliquem alium episcopum qui et suam privatam haberet D sedem, et in totum Ecclesiæ corpus auctoritatem exerceret, sequerentur absurda quæ infers; nunc vero, cum talis episcopus sit solus papa, quid opus est inferre quæ minime congruunt? Quod si quis episcopus supprimat nomen dignitatis, non sit episcopus; si vero simpliciter episcopum se inscribat, universalis sit orbis terrarum episcopus? Non enim ex appellatione posita, vel non posita est vel non est talis qui scribit; nec res ex vocibus sunt, sed voces e rebus. Itaque sive Cyrillus, sive quicunque alius episcopus, si forte non addiderit cujus loci sit episcopus, nunquam erit universalis; et papa sive simpliciter, sive Romæ episcopus dicatur, semper habet quod sit Petri

(1) Athan. Apol. II, 1, ad Rom. synod.

successor, hoc est et Romæ et totius orbis episcopus.

ἔξει ποτὲ τὸ καθολικὸς εἶναι. Καὶ ὁ πάππας εἴτε ἁπλῶς εἴτε Ῥώμης καλούμενος ἐπίσκοπος, οὐδέποτε ἀπόλλυσι τὸ Πέτρου εἶναι διάδοχος, δηλονότι καὶ Ῥώμης καὶ οἰκουμενικὸς ἐπίσκοπος.

### NILUS (Cap. XX).

« Sed neque sola, ut aiunt, Romana sedes habet, ut vocetur apostolica. Constat ex undecima sextæ synodi actione, ubi legitur : « Constantinus, religiosissimus archidiaconus hujus sanctæ Dei catholicæ et apostolicæ Ecclesiæ, » hoc est Constantinopolitanæ. Similiter actionibus VI et VII sedes quæque principalis vocatur apostolica. Ut si quis quæ justa sunt disceptare velit, vel omnes propter hæc æquali dignas honore censere debeat cum Romana sede, vel nec Romana sedes propter hoc superemineat cæteras, dum non licet commune in privatum transire. »

### ΝΕΙΛΟΣ.

Ἀλλ' οὐδ' ὡς φασι, μόνος ὁ τῆς Ῥώμης θρόνος ἔχει τὸ ἀποστολικὸς ὀνομάζεσθαι· Δῆλον ἐκ τῆς ια' πράξεως τῆς ς' συνόδου. « Κωνσταντῖνος ὁ θεοσεβέστατος ἀρχιδιάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, » δηλαδὴ Κωνσταντινουπόλεως. Ὁμοίως δὲ ἐν τῇ ς' καὶ ἐν τῇ ζ' ἕκαστος τῶν καθολικῶν θρόνων ἀποστολικὸς ὀνομάζεται· ὥστε εἴ τις ἐθέλοι τὰ δίκαια λογίζεσθαι, ἢ καὶ πάντας διὰ ταῦτα τῶν ἴσων ἀξιώσει τῷ Ῥώμης θρόνῳ· ἢ μηδὲ ὁ τῆς Ῥώμης θρόνος διὰ ταῦτα τὸ ἐξαίρετον κατὰ τῶν ἄλλων ἐχέτω, ἕως ἂν τὸ κοινὸν ἴδιον γενέσθαι χώραν οὐκ ἔχῃ. »

### CONFUTATIO.

Si in actis synodorum non esset obvia et appellationis communio, et simul differentia, haberent aliquam tua dicta excusationem; sed si multo magis elucet in illis differentia quam communitas, cur in tanta luce caligas? Numquam reperies orientales sedes vocari apostolicas absque additamento, sed cum distinctione et diminutione. Quin imo in vetustioribus conciliis nequaquam sibi arrogabant apostolici titulum; sola enim Romana sedes vocatur apostolica in tertia synodo. Certe secunda ejus actione Cyrillus simpliciter Alexandrinus, Juvenalis Hierosolymitanus; Arcadius, et Projectus, et Philippus apostolicæ sedis vocantur legati; et hoc deinceps in illa synodo reperies, nimirum solos papæ legatos sedis apostolicæ dictos, sedium vero orientalium inscriptos simpliciter. In quarta synodo pariter orientales sedes nude proferuntur, legati autem papæ apostolici titulo passim exprimuntur. Itaque actione prima in ipso exordio : « Paschasinus, inquit, sedis apostolicæ legatus, dixit : Beatissimi et apostolici episcopi Romæ, qui est omnium Ecclesiarum caput, mandata habemus, etc. » Nec facile numeraveris in quarta synodo hujus tituli repetitionem. In sexta quoque synodo, actione 1, Orientales simpliciter scriptos reperies, Romanos vero ita : « Theodorus, et Georgius et Joannes tenentes locum sancti papæ sedis apostolicæ senioris Romæ; » et hoc deinceps observatum usque ad actionem undecimam, in qua post enumerationem episcoporum habetur in Græco quod citas, « Constantinus, religiosissimus archidiaconus hujus sanctissimæ Dei catholicæ et apostolicæ magnæ Ecclesiæ. » Et locum non examinatum arripis, ut suffragetur tibi. Nec animadvertis, aliud esse sedem apostolicam, et aliud Ecclesiam apostolicam; quam necesse est unam esse ubique diffusam, sedem vero apostolicam esse Constantinopolitanam, nec ipsi unquam dicere, aut eo titulo se subscribere ausi sunt, qui se patriarchas œcumenicos nullo jure appellarunt.

### ΑΝΤΙΡΡΗΣΙΣ.

Εἰ μὲν ἐν τοῖς Πρακτικοῖς τῶν συνόδων μὴ ἦν τὸ κοινὸν τῆς προσηγορίας κατιδεῖν ὁμοῦ καὶ τὸ διάφορον, εἶχες ἂν εὐλογοφανῆ τῶν σῶν λόγων αἰτίαν· εἰ δὲ ἐν ἐκείνοις πολλῷ μᾶλλον λάμπει τὸ διάφορον ἢ τὸ κοινὸν, πόθεν, ὦ θαυμάσιε, τὴν τοσαύτην πέπονθας ἀβλεψίαν; Οὐδέποτε τοὺς ἀνατολικοὺς εἶδες θρόνους καλουμένους χωρὶς προσθήκης ἀποστολικοὺς, ἀλλὰ μετὰ διαστολῆς καὶ ὑφέσεως. Ἀλλ' οὐδὲ ἀποστολικοὶ ὅλως ἐπεγράφοντο ἐν ταῖς ἀρχαιοτάταις τῶν συνόδων· μόνος γὰρ ὁ τῆς Ῥώμης θρόνος ἀποστολικὸς ἐν τῇ τρίτῃ καλεῖται συνόδῳ. Κατὰ γοῦν τὴν δευτέραν πρᾶξιν Κύριλλος ἁπλῶς Ἀλεξανδρείας, Ἰουβενάλιος Ἱερουσολόμων· Ἀρκάδιος δὲ, καὶ Πρόεκτος, καὶ Φίλιππος τοῦ ἀποστολικοῦ θρόνου καλοῦνται λεγάτοι· καὶ τοῦτο καθεξῆς εὑρήσεις ἐν ἐκείνῃ τῇ συνόδῳ, μόνους δηλαδὴ πάπαι τοὺς λεγάτους ἐπιγραφομένους τῆς ἀποστολικῆς καθέδρας, τοὺς δὲ ἀποστολικοὺς θρόνους ψιλῶς ἐκφερομένους. Παραπλησίως κἀν τῇ τετάρτῃ οἱ ἀνατολικοὶ θρόνοι γυμνῶς ἐκφέρονται, οἱ δὲ τοῦ πάπα λεγάτοι τὴν τοῦ ἀποστολικοῦ προσηγορίαν ἔχουσιν ἄνω καὶ κάτω συμπλεκομένην. Εὐθὺς οὖν ἐν τῇ πρώτῃ πράξει, « Πασχασῖνος, φησὶ, φύλαξ τοῦ ἀποστολικοῦ θρόνου ἔφη· Τοῦ μακαριωτάτου καὶ ἀποστολικοῦ ἐπισκόπου τῆς Ῥωμαίων πόλεως, φαλῆς ὑπάρχοντος πασῶν τῶν Ἐκκλησιῶν, προστάξεις ἔχομεν, » καὶ τὰ ἑξῆς. Καὶ ὅλως οὐκ ἔστιν εὐαρίθμητα ἐν τῇ δ' συνόδῳ τὰ τοιαῦτα. Εἶτα κατὰ τὴν ς' σύνοδον ἐν μὲν τῇ πρώτῃ πράξει εὑρήσεις τοὺς ἀνατολικοὺς ἁπλῶς μνημονευομένους τοὺς δὲ, ἀπὸ Ῥώμης οὕτω· « Θεόδωρος καὶ Γεώργιος καὶ Ἰωάννης οἱ τὸν τόπον ἐπέχοντες τοῦ ἁγιωτάτου πάπα τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης· » καὶ τοῦτ' αὐτὸ ἐφεξῆς φυλαττόμενον μέχρι τῆς ια' πράξεως, ἐν ᾗ μετὰ τὴν ἀπαρίθμησιν τῶν ἐπισκόπων κεῖται ἑλληνιστὶ, ὃ προφέρεις, « Κωνσταντῖνος ὁ θεοσεβέστατος ἀρχιδιάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς μεγάλης Ἐκκλησίας. » Καὶ συναρπάζεις τὸ χωρίον ἀνεξετάστως εἰς μαρτύριον, οὐ συννοῶν, ὅτι ἄλλο θρόνος ἀποστο-

λικὸς, καὶ ἄλλο ἀποστολικὴ Ἐκκλησία, ἣν μίαν εἶναι ἀνάγκη ἁπανταχοῦ διεσπαρμένην· θρόνον δὲ ἀποστολικὸν εἶναι τὸν Κωνσταντινουπόλεως οὔτ' αὐτοί ποτε εἶπεῖν ἢ καθυπογράψαι ἐτόλμησαν οἱ παρανόμως ἑαυτοὺς ἐπιφημίσαντες οἰκουμενικοὺς πατριάρχας. Καὶ γοῦν ὁ μακάριος Λέων ὁ πάππας Μαρκιανῷ τῷ Αὐγούστῳ περὶ Ἀνατολίου γράφων τοῦ Κωνσταντινουπόλεως, καὶ μεμφόμενος τὸν δρὸς τὸ ὑπέρμετρον, « Ἀρκείτω, φησὶν, Ἀνατολίῳ, ὅτι βοηθούσης τῆς ὑμετέρας εὐσεβείας, καὶ συγκαταθεμένης τῆς ἐμῆς σπουδῆς γέγονε πόλεως τηλικαύτης ἐπίσκοπος· μὴ δὴ ἀπαξιούτω τὴν βασιλίδα πόλιν, ἣν οὐ δύναται ἀποστολικὴν θρόνον ποιῆσαι. » Ὅθεν καὶ ἡ μάταιος ἐλέγχεται φλοτιμία τῶν λεγόντων, ὅτι πρῶτος Βυζαντίου ἐπίσκοπος ὁ πρωτόκλητος Ἀνδρέας. Εἰ γὰρ τοῦτο ἦν, πῶς οἱ Κωνσταντινουπόλεως ἐπίσκοποι τῆς τοῦ ἀποστολικοῦ προσηγορίας οὐ κατετρύφων ἐν ταῖς οἰκουμενικαῖς συνόδοις; καὶ διατί τοσούτους ἀγῶνας ἠγωνίσαντο, τῶν ἄλλων πατριαρχῶν ὑπερκύψαι φιλοτιμούμενοι.

A Itaque S. Leo papa scribens Marciano Augusto de Anatolio Constantinopolitano et reprehendens immoderatum hominis studium, « Satis, inquit, sit prædicto, quod vestræ pietatis auxilio et mei favoris assensu episcopatum tantæ urb's obtinuit. Non dedignetur regiam civitatem, quam apostolicam non potest facere sedem. » Ex quo etiam refellitur inanis ambitio dicentium, primum Byzantii episcopum fuisse Andream apostolum. Nam si hoc esset, cur episcopi Constantinopolitani in conciliis œcumenicis apostolici titulum sibi frequentissime non arrogarunt? cur vero tot labores susceperunt, cupientes sese attollere supra cæteros patriarchas?

Τί δὲ, ὅτι καὶ αὐτὸ τοῦτο τὸ χωρίον, ὃ προφέρεις ἐκ τῆς ια' πράξεως τῆς ς' συνόδου, φανερῶς προσθήκην πέπονθε τῆς λέξεως ἐκείνης, *ἀποστολικῆς*; Ὁ γὰρ ἀρχαῖος ἑρμηνεὺς οὕτω Λατινικῶς μετήνεγκεν· « Κωνσταντῖνος ὁ θεοσεβέστατος διάκονος ταύτης τῆς ἁγιωτάτης τοῦ Θεοῦ Ἐκκλησίας. » Καὶ μή μοι λέγε, ὅτι Λατῖνος ἦν· οὔπω γὰρ ἦσαν τότε τῆς διχονοίας αἱ ὑποψίαι· καὶ μαρτυρεῖ τῇ ἀκεραιότητι τοῦ Λατίνου ἑρμηνέως ἡ τῶν πραγμάτων ἀλήθεια. Οὐ γὰρ ἂν εὕροις ἐν τοῖς Πρακτικοῖς τῶν συνόδων πατριάρχην Κωνσταντινουπόλεως ἀποστολικὸν ἐπιγραφόμενον, τοὺς δὲ τοποτηρητὰς τοῦ πάπα καὶ κατ' αὐτὴν ταύτην τὴν ια' τῆς ς' συνόδου πρᾶξιν ἀποστολικοῦ θρόνου μνημονευομένους, καὶ ἐφεξῆς μέχρι τῆς ὑπογραφῆς τοῦ ὅρου, ἐν ᾗ Πέτρος ὑπογέγραπται τοῦ ἀποστολικοῦ θρόνου τῆς Ἀλεξανδρέων, καὶ Γεώργιος ἐπέχων τὸν τόπον τοῦ ἀποστολικοῦ θρόνου Ἱεροσολύμων, μετὰ τῆς ὀφειλομένης ἀεὶ προσθήκης, ὡς εἴρηται, καὶ τοῦτο πρῶτον ἐν τῷ τέλει τῆς ς' συνόδου. Ὁ δὲ Ῥώμης θρόνος ἄνωθεν καὶ ἀποστολικὸς Ῥώμης, καὶ ἀποστολικὸς κατ' ἐξαίρετον ἐπιγράφεται ἀπολύτως· τοῦτο δηλαδὴ σημαινουσῶν τῶν ἁγίων συνόδων, ὅτι καὶ Ῥώμης ἐπίσκοπος ὁ πάπας, καὶ ἐπίσκοπος ἁπάσης τῆς Ἐκκλησίας· οἱ δὲ λοιποὶ ἀποστολικοὶ θρόνοι ἀφωρισμένως εἰσὶ μόνον ἀποστολικοί, ἀλλ' οὐχὶ καὶ ἀπολύτως· ὅπερ καὶ ἐν τῇ ζ' συνόδῳ πρόδηλως φαίνεται· ἐκεῖ γὰρ συνεχῶς ἀποστολικοὶ καλοῦνται, ὡς ἐν τῇ δευτέρᾳ πράξει· « Πέτρος καὶ Πέτρος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ πρεσβευταὶ τῆς ἀποστολικῆς καθέδρας εἶπον· Λεγέτω ἡμῖν ἡ ἁγία σύνοδος, εἰ παραδέχεται τὰ γράμματα τοῦ ἁγιωτάτου πάπα. » Καὶ τοῦτ' αὐτὸ ἐσήμαινε Ταράσιος ὁ πατριάρχης ἐν τῇ πρὸς Ἀδριανὸν τὸν πάπαν ἐπιστολῇ τῇ ἐμφερομένῃ μετὰ τὰ Πρακτικὰ τῆς ζ' συνόδου, φάσκων· « Ἡ οὖν ἀδελφικὴ ὑμῶν ἀρχιερατικὴ ἁγιωσύνη ἐνθέσμως καὶ κατὰ Θεοῦ βούλησιν πρυτανεύουσα τὴν ἱεραρχικὴν ἁγιστείαν, διαβόητον ἔχει τὴν δόξαν. » Τὸ γὰρ πρυτανεύεσθαι τὴν ἱεραρχικὴν ἁγιστείαν ἀπολελυμένως παρὰ τοῦ πάπα τῆς κατὰ πᾶσαν τὴν

B Quid? quod hic ipse locus quem profers ex actione undecima sextæ synodi, manifeste additamentum passus est vocis illius *apostolicæ*? nam antiquus interpres ita Latine transtulit: « Constantinus Deo amabilis diaconus hujus sanctæ Dei Ecclesiæ. » Neque dicas interpretem fuisse Latinum, nondum enim ortæ erant suspiciones ex Orientali dissensione, probatque integritatem interpretis rei veritas. Nam in Actis synodorum nusquam videbis patriarchum Constantinopolitanum apostolici titulo insignitum; at vero legatos papæ et in ipsa sextæ synodi actione undecima ita vocatos, et deinceps usque ad subscriptiones definitionis, in qua subscriptus est Petrus apostolicæ sedis Alexandrinorum, et Georgius locum tenens C apostolicæ sedis Hierosolymorum, cum adjectione semper, ut dictum est; sed ibi primum ad finem sextæ synodi. At Romana sedes ab initio et apostolica Romæ, et absolute apostolica per excellentiam nuncupatur. Ut sanctæ synodi illud plane significent, quod papa et Romæ sit episcopus et episcopus universæ Ecclesiæ; cæteræ vero sedes apostolicæ limitata dignitate sint apostolicæ, non illimitata. Quod et in septima synodo palam est: in illa enim assiduo leguntur sedes apostolicæ Orientalis diœceseos; Romana vero etiam absolute, ut actione secunda: « Petrus et Petrus Deo amabiles presbyteri et legati apostolicæ cathedræ dixerunt: Dicat nobis sancta synodus, si admittat litteras sanctissimi papæ. » Hoc innuebat Tarasius D scribens Adriano papæ his verbis: « Vestra igitur fraterna summoque sacerdotio decorata sanctitas legitime ac secundum Dei voluntatem gubernans sacrum hierarchicum ordinem, percelebrem habet gloriam. » Quod enim absolute dixit hierarchicum ordinem gubernari a papa, universalem denotat Ecclesiam apostolica auctoritate gubernari, siquidem paulo ante cathedræ Petri apostoli papam vocat hæredem; et manifestum hujus rei indicium est, quod nullus unquam patriarcha vocatus est

Pater apostolicus, nisi solus papa. Septima synodo, actione II : « Petrus et Petrus Deo amabiles presbyteri et locum tenentes Adriani sanctissimi papæ Romani dixerunt : Nos ipsi acceptas ab apostolico Patre nostro hujusmodi litteras detulimus. » Et actione IV, in subscriptionibus : « Petrus miseratione divina archipresbyter sanctæ Dei catholicæ et apostolicæ Ecclesiæ, et locum supplens Adriani sancti et apostolici papæ, etc. » Adeo vero communis Christianorum omnium erat mos ita nominandi papam, ut magnus Athanasius in epistola ad omnes ubique solitariam vitam agentes hæc dicat : « Nam nec ipsi Liberio episcopo Romano in primis pepercerunt, sed furorem suum usque ad ea loca extenderunt ; nec ducti reverentia sunt, quod sit apostolica sedes, et Roma imperii Romani metropolis ; nec recordati sunt, quod illos antea, cum ad eos scriberent, apostolicos viros vocarent. »

Ἐκκλησίαν ἀποστολικῆς διοικήσεως σημαντικόν ἐστι· φησὶ γάρ, ὅτι Πέτρου τοῦ θείου ἀποστόλου τὴν καθέδραν ἐκληρώσατο· καὶ τούτου σαφὲς τεκμήριον, ὅτι οὐδεὶς ποτε τῶν πατριαρχῶν ἔσχε τὴν τοῦ ἀποστολικοῦ Πατρὸς ἐπωνυμίαν, εἰ μὴ μόνος ὁ πάππας· ἐν τῇ β' πράξει τῆς ζ' συνόδου, « Πέτρος καὶ Πέτρος, φησὶν, οἱ θεοφιλέστατοι πρεσβύτεροι, καὶ τὸν τόπον ἐπέχοντες Ἀδριανοῦ τοῦ ἁγιωτάτου πάππα Ῥώμης εἶπον· Ἡμεῖς αὐτοὶ λαβόντες παρὰ τοῦ ἀποστολικοῦ ἡμῶν Πατρὸς τὰ τοιαῦτα γράμματα ἠγάγομεν · » καὶ ἐν τῇ δ' πράξει ἐν ταῖς ὑπογραφαῖς · « Πέτρος ἐλέῳ Θεοῦ ἀρχιπρεσβύτερος τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, καὶ τὸν τόπον ἀναπληρῶν Ἀδριανοῦ τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ πάππα, » καὶ τὰ ἑξῆς. Οὕτω δὲ κοινὸν ἦν τοῖς πᾶσι καλεῖν τῇ ὀνομασίᾳ ταύτῃ τὸν πάππαν, ὡς καὶ τὸν μέγαν Ἀθανάσιον ἐν τῇ ἐπιστολῇ τοῖς ἁπανταχοῦ τὸν μονήρη βίον ἀσκοῦσι, λέγειν· « Καὶ γὰρ οὐδὲ Λιβερίου τοῦ ἐπισκόπου Ῥώμης κατὰ τὴν ἀρχὴν ἐφείσαντο, ἀλλὰ καὶ μέχρι τῶν ἐκεῖ τὴν μανίαν ἐξέτεινον· καὶ οὐχ ὅτι ἀποστολικός ἐστι θρόνος ἠδέσθησαν, οὐδ' ὅτι μητρόπολις ἡ Ἰώμη τῆς Ῥωμαίων ἐστὶν εὐλαβήθησαν· οὐδ' ὅτι πρότερον ἀποστολικοὺς ἄνδρας γράφοντες εἰρήκασιν, ἐμνημόνευσαν. »

Itaque cum tanta sit differentia, qua tribuitur apostolici appellatio Orientalibus et papæ, cur dicis vel omnes æqualis esse debere dignitatis cum Romana sede, vel nec Romanam sedem excellere, dum fieri non potest ut commune transeat in privatum ? Quænam communitas, si solus olim papa hoc habebat, deinde aliis vix tandem commune factum, aliter papæ, aliter patriarchis tribuitur ? Cæterum in hoc aliqua apparet convenientia; quod vero Constantinopolitanus œcumenicum se inscribat, quæ ratio, quæ convenientia ? An quia Constantinopolis nova Roma ? At Leo papa scribens ad Marcianum Augustum clamabat : « Habeat sicut optamus, Constantinopolitana civitas gloriam suam; alia tamen ratio est rerum sæcularium, alia divinarum. Nec præter illam petram quam Dominus in fundamento posuit, stabilis erit ulla constructio. Propria perdit, qui indebita concupiscit. » Alia est, inquit, ratio sæcularium, alia divinorum. Itaque argumentum illud non valet : Honorata fuit Constantinopolis imperio et senatu, habeat ergo cum seniore Roma æqualia privilegia. Non enim fundatur senioris Romæ primatus imperio et senatu, ut inquit B. Leo, sed illa petra quam Dominus in fundamento posuit.

Ὥστε τοσαύτης οὔσης τῆς διαφορᾶς, καθ' ἣν ἡ τοῦ ἀποστολικοῦ προσηγορία καὶ τοῖς ἀνατολικοῖς ἀπονέμεται καὶ τῷ πάππᾳ, πῶς λέγεις, ὅτι ἢ πάντας δεῖ ἀξιοῦσθαι τῶν ἴσων τῷ Ῥώμης θρόνῳ, ἢ μηδὲ τὸν Ῥώμης θρόνον ἔχειν τὸ ἐξαίρετον, ἕως ἂν τὸ κοινὸν ἴδιον γενέσθαι χώραν οὐχ ἔχῃ ; Ποία κοινότης, εἰ μόνος εἶχε πάλαι τοῦτο ὁ πάππας, εἶτα ὀψὲ καὶ μόγις κοινωθὲν ἄλλως ἀποδίδοται τῷ πάππᾳ, καὶ ἄλλως τοῖς πατριάρχαις ; Καὶ τοῦτο μὲν ὅμως γέγονε κατά τινα φαινομένην ἀκολουθίαν· πόθεν δὲ καὶ ἐκ ποίας ἀκολουθίας ἑαυτῷ προσήρπασε τὴν τοῦ οἰκουμενικοῦ ἐπιγραφὴν ὁ Κωνσταντινουπόλεως ; Διὰ τὸ εἶναι τὴν Κωνσταντινούπολιν νέαν Ῥώμην ; Ἀλλ' ἐδόα Λέων ὁ πάππας Μαρκιανῷ τῷ Αὐγούστῳ ἐπιστέλλων· « Ἔχέτω, ὃ ποθοῦμεν, ἡ Κωνσταντινούπολις τὴν ἑαυτῆς δόξαν· ἀλλ' ἕτερος λόγος ἐστὶ τῶν κοσμικῶν, καὶ ἕτερος τῶν θείων· παρὰ γὰρ τὴν πέτραν, ἣν ὁ Κύριος ἐν θεμελίῳ ἔθετο, οὐδεμία στάσιμος ἔσται οἰκοδομή. Τῶν οἰκείων ἐκπίπτει ὁ τῶν ἀνοικείων ἐφιέμενος. » Ἕτερος, φησὶ, λόγος τῶν τοῦ κόσμου, καὶ τῶν θείων ἕτερος· οὐχ ὑγιὴς ἄρα ἡ δύναμις τοῦ ἐπιχειρήματος· Τετίμηται ἡ Κωνσταντινούπολις βασιλείᾳ καὶ συγκλήτῳ· ἄρα τῶν ἴσων ἀπολαυέτω τῇ πρεσβυτέρᾳ Ῥώμῃ πρεσβείων· οὐ γὰρ ἵδρυται τῆς πρεσβυτέρας Ῥώμης τὸ πρεσβεῖον ἐπὶ τῇ βασιλείᾳ καὶ τῇ συγκλήτῳ, ᾗ φησιν ὁ μακάριος Λέων, ἀλλ' ἐπὶ τῇ πέτρᾳ ἣν ὁ Κύριος ἐν θεμελίῳ ἔθετο.

Omnino autem qui fieri potest ut duo sint episcopi œcumenici ? Nam quod refert Bibliothecarius Anastasius, in sui defensionem responderi a Græcis (1), quod non ita vocetur œcumenicus Constantinopolitanus, ut universi orbis teneat præsulatum, sed quod quidam parti orbis præsit quæ a Christianis inhabitata vocatur *œcumene* ; hoc, inquam, inventum non serio agentium, sed ludentium

Πῶς δὲ ὅλως δυνατὸν δύο εἶναι οἰκουμενικοὺς ἐπισκόπους ; Ὃ γάρ φησιν ὁ βιβλιοφύλαξ Ἀναστάσιος παρὰ τῶν ἐν Κωνσταντινουπόλει προφερόμενον εἰς ἀπολογίαν ὅτι οὐχ οὕτως οἰκουμενικὸς ὁ Κωνσταντινουπόλεως, ὡς εἶναι τῆς καθόλου πρόεδρος Ἐκκλησίας, ἀλλ' ὅτι μέρους τινὸς, ὃ παρὰ Χριστιανῶν οἰκούμενον *οἰκουμένη* καλεῖται· τοῦτο, φημὶ, τὸ παρεύρημα παιζόντων ἂν εἴη τὰ θεῖα, οὐ σπουδαζόν-

(1) In præfatione VII syn. ad Joan. VIII.

των. Οὐχ οὕτως ἐξέλαβον τὴν φωνὴν οἱ πολλὰ κατ' ἐκείνης ἀθλήσαντες ἀρχιερεῖς τῆς Ῥώμης, Πελάγιος, καὶ Γρηγόριος ὁ Διάλογος· οὐδ' ἡρμήνευσαν οὕτως οἱ τὴν φωνὴν ταύτην πρῶτοι ἐφαρπάσαντες πατριάρχαι, Ἰωάννης ὁ Νηστευτὴς καὶ Κυριακός· ἀλλ' οἰκουμενικοὺς ἐπέγραφον ἑαυτοὺς καταχρώμενοι τῷ σημαινομένῳ· καὶ ὡς φησιν ὁ Διάλογος γράφων Ἀναστασίῳ τῷ Ἀντιοχείας· Τοιαύτην αἰτίαν παρεχόμενοι, ὥστε εἰ ταύτην, φησὶν, εὐμενῶς φέρομεν, τῆς καθόλου Ἐκκλησίας τὴν πίστιν φθείρομεν. Καὶ οὐκ ἔστιν ὅπου περὶ τῆς φωνῆς γράφων, συχνὰς δὲ περὶ ταύτης ἔδωκεν ἐπιστολὰς, οὐκ ἀθετεῖ, καὶ ἀποβάλλεται ὡς βέβηλον, ὡς ὕβριν τῆς Ἐκκλησίας, ὡς μεγάλων ἀφορμὴν σκανδάλων, ἀλαζονείας μεστὴν, τοῦ Ἀντιχρίστου πρόδρομον, ἀπώλειαν τῆς πίστεως, ἀνοσίαν, ἀντιλέγουσαν τῷ Εὐαγγελίῳ καὶ τοῖς ἱεροῖς κανόσιν, ἀλλοτρίωσιν τῆς πίστεως, καὶ οἰκείωσιν αἱρέσεως, φησὶν ἐν τῇ δευτέρᾳ πρέξει τῆς ἑβδόμης συνόδου ὁ πάπτας Ἀδριανός.

tium est in divinis. Non ita vocem hanc intellexerunt, qui contra eam acerrime invecti sunt Romani pontifices, Pelagius et Gregorius Dialogus (1); nec ita sunt interpretati, qui primi hunc titulum sibi arrogarunt patriarchæ, Joannes Jejunator et Cyriacus; sed œcumenicos se inscripserunt vero abutentes significatu; atque, ut scribit Gregorius Dialogus Anastasio Antiocheno, talem præbentes causam, ut si hanc, inquit, æquanimiter portamus, universæ Ecclesiæ fidem corrumpamus Nec locus est in quo de hac voce mentionem faciens, frequentes autem propter illam dedit epistolas, eam non damnaverit rejeceritque ut profanam, ut universalis Ecclesiæ injuriam, ut magnorum originem scandalorum, plenam superbiæ, Antichristi præcursorem, per quam fides perditur, ut scelestam et contradicentem Evangelio sacrisque caponibus; qua, ut Adrianus papa inquit in suis litteris ad imperatores, qui utitur et assensum præbet, alienum se a fide orthodoxa, et rebellem Ecclesiæ catholicæ manifestat.

## ΝΕΙΛΟΣ.

« Ὁ δὲ μακάριος Χρυσόστομος καὶ τῶν ἀρχιερέων ἕκαστον ἐν τῷ τοῦ Χριστοῦ θρόνῳ καθίσαι λέγει, ὥσπερ τοὺς νομικοὺς ἱερέας ἐπὶ τοῦ θρόνου Μωσέως. Ὥστε οὐ μέγα τῇ Ῥώμης θρόνῳ τὸ παρὰ τῶν ἀποστόλων καλεῖσθαι, ἑκάστου τῶν ἐπισκόπων ἐπὶ τοῦ θρόνου τοῦ Χριστοῦ καθημένου. »

## NILUS (Cap. XXI).

« Beatus vero Pater Chrysostomus etiam unumquemque episcopum asserit in cathedra Christi sedere, quemadmodum legales sacerdotes in cathedra Mosis. Quare non est magni faciendum quod Romæ sedes vocetur apostolica, cum omnis episcopus sedeat in sede Christi. »

## ΑΝΤΙΡΡΗΣΙΣ.

Ἀνωτέρω μὲν ἔλεγες ἕκαστον τῶν καθολικῶν θρόνων ἀποστολικὸν ὀνομάζεσθαι, ὥστε τὸν πάπταν μηδὲν πλέον ἔχειν κατά γε τοῦτο ὑπὲρ τοὺς ἀνατολικοὺς πατριάρχας· νῦν δὲ λέγεις μὴ τῶν πατριαρχῶν μόνον, ἀλλὰ καὶ τῶν ἐπισκόπων ἑκάστου μηδὲν πλέον ἔχειν τὸν πάπταν, ἐπείπερ κατὰ τὸν μακάριον Χρυσόστομον ἕκαστος τῶν ἐπισκόπων κάθηται ἐπὶ τοῦ θρόνου τοῦ Χριστοῦ· καὶ ταῦτα λέγων δύο ἁμαρτάνεις· ἓν μὲν, ὅτι τοῦ Χρυσοστόμου τὸ ῥητὸν διαστρέφεις· εἶτα καὶ σαυτῷ περιπίπτεις. Ἐν οἷς γὰρ τὸν πάπταν ἐξευτελίζεις, μίαν ἁπάντων δογματίζεις ἰσότητα, εἴπερ τῶν ἐπισκόπων ἕκαστος ἕνα καὶ τὸν αὐτὸν ἔχει τοῦ Χριστοῦ θρόνον. Πῶς τοίνυν ἔλεγες τοὺς καθολικοὺς τῶν θρόνων ὡς ἐξαίρετόν τι καλεῖσθαι πάντας ἀποστολικούς; Εἰ γὰρ μεῖζον ἔχειν τὸν Χριστοῦ θρόνον, ἢ ἀποστολικὸν εἶναι, καὶ πάντες οἱ ἐπίσκοποι τὸν Χριστοῦ ἔχουσι θρόνον, πάντες ἄρα τὸ μεῖζον ἔχουσι, καὶ εἰς τὸ οὐδὲν οἴχεται κατὰ σὲ τῶν πατριαρχῶν ἡ προτίμησις διὰ τὸ καλεῖσθαι ἀποστολικούς. Διαστρέφεις δὲ καὶ τὸ ῥητὸν τοῦ Χρυσοστόμου· λέγει γάρ· « Ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· νῦν δὲ οὐκ ἔστιν εἰπεῖν, Ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ ἱερεῖς, ἀλλ' ἐπὶ τῆς τοῦ Χριστοῦ· τὴν γὰρ ἐκείνου διεδέξαντο διδασκαλίαν. » Ἐξηγουμένου τοίνυν τοῦ Χρυσοστόμου τὸν θρόνον εἰς τὴν διδασκαλίαν, σὺ λαμβάνεις εἰς τὴν

## CONFUTATIO.

Supra dicebas, quamlibet principalium sedium vocari apostolicam, ut papa, quod attinet ad hoc, nihil plus habeat supra cæteros patriarchas. Nunc dicis papam non solum supra nullum patriarcham, sed neque supra quemlibet episcopum plus quidquam habere, quandoquidem juxta beatum Chrysostomum quilibet episcopus sedet in cathedra Christi; et hæc dicens duo peccas: primo quidem, quia dictum Chrysostomi pervertis; deinde et ipse tecum pugnas. Dum enim papam deprimis, unam constituis omnium æqualitatem, siquidem episcopus quilibet unam et eamdem Christi cathedram habet. Quomodo igitur aiebas præcipuum hoc habere principales sedes, quod omnes vocentur apostolicæ? Si enim plus est, habere Christi sedem quam vocari apostolicum, et omnes episcopi habent cathedram Christi, certe omnes habent quod plus est, et evanescit per te patriarcharum prærogativa, quod vocentur apostolici. Pervertis autem et Chrysostomi dictum. Ait enim: « Super Moysi cathedram sederunt Scribæ et Pharisæi, nunc vero non ita; neque enim super cathedram Moysi sederunt sacerdotes, sed super Christi sedem, illius enim suscepere doctrinam. » Cum ergo Chrysostomus cathedram in doctrinam interpretetur, tu in potestatem accipis. Itaque secundum Chrysostomi sensum habemus verum dogma, quod

(1) Lib. VI, ep. 24.

omnes episcopi sedem Christi habeant, doctrinam scilicet evangelicam disseminantes. At vero secundum tuæ interpretationis perversitatem habemus blasphemam opinionem, quod omnes episcopi æqualitatem habeant dignitatis. Porro quid sentiret beatus Pater Chrysostomus de Petro et successoribus, habes homilia 34 in Acta apostolorum, dum verba illa explicat, *In diebus illis exsurgens Petrus* : « Ut fervens, inquit, et is cui Christus demandaverat ovilis curam, utque sociorum princeps, ipse semper loquitur primus. » Et infra : « Merito ipse rem cum auctoritate tractat, ut qui omnes habuit sibi commissos; huic enim dixit Christus : *Et tu aliquando conversus confirma fratres tuos*[a]. Et homilia 21 : « Petrus tanquam exercitus dux circumibat acies, quærens quæ pars esset bene apparata, quæ bene instructa, quæ indigeret ejus præsentia. Vide ubique ipsum circumcursantem, et primum se ostendentem. » Et infra : « Et ubi quidem periculum, et gubernantis prudentia, ibi Petrus; ubi vero tranquilla omnia, communiter omnes. Ita majorem non exigebat honorem. » Et homilia in Joannem 88, explicans illud postremi capitis, *Hic autem quid?* « Quoniam, inquit, Petro magna Christus prædixit, et orbem terrarum illi tradidit. » Et paulo ante : « Huic Petro commissa est præfectura fratrum. »

Hæc de Petro tam magnificis verbis Chrysostomus. De successoribus vero itane sentiebat ut tu? Minime gentium; namque Innocentio papæ scribens, primo quidem miserabiliter deplorat quæcunque passus erat a Theophilo Alexandrino; et inter alia, « Necessarium, inquit, duximus persuadere honorabilissimis dominis meis, Demetrio, Pansophio, Pappo et Eugenio episcopis suas sedes relinquere et tam vasto mari sese committere, longamque peregrinationem suscipere, et ad vestram charitatem properare, ut omnibus aperte narratis remedium quam citissime adhibeatur. » Et infra : « Neque enim juri consentaneum erat, Ægyptium esse judicem incolentium Thraciam. » Et : Rogo charitatem vestram, ut excitetur, condoleatque et nihil prætermittat quo malorum sit finis. » Et : Ubi ergo, domini mei summe honorandi, perveneritis ad rerum notitiam, ostendite fortitudinem quæ vos decet, et studium ponite ut tanta iniquitas quæ grassata est in Ecclesias reprimatur. » Et : « Ne igitur totum pervadat orbem tanta confusio, scribe, quæso, ut quæ absentibus nobis et judicium non detrectantibus adeo nefarie gesta sunt, altera tantum parte præsente, nullius sint roboris; eos vero qui ejusmodi scelera ausi sunt, ubi convicti fuerint, ecclesiasticarum legum censuræ subdi; nobis autem, qui in nullo crimine deprehensi sumus, nullius rei sceleris, date ut vestris assidue litteris

[a] Luc. xxii, 32.

ἐξουσίαν. Καὶ κατὰ μὲν τὴν ἔννοιαν τοῦ Χρυσοστόμου ἀληθὲς ἔχομεν δόγμα, ὅτι πάντες οἱ ἐπίσκοποι τὸν Χριστοῦ ἔχουσι θρόνον, δηλαδὴ τὴν εὐαγγελικὴν σπείροντες διδασκαλίαν· κατὰ δὲ τὴν στρεβλότητα τῆς σῆς ἑρμηνείας βλάσφημον ἔχομεν κακοδοξίαν, ὅτι πάντες οἱ ἐπίσκοποι τὴν αὐτὴν ἔχουσιν ἰσοτιμίαν. Οἷα δὲ ἐφρόνει ὁ μέγας Πατὴρ Χρυσόστομος περὶ Πέτρου καὶ τῶν διαδόχων ἔχεις, ἐν τῇ εἰς τὰς Πράξεις τῶν ἀποστόλων ὁμιλίᾳ γ' εἰς ἐκεῖνο τὸ ῥητόν· *Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος.* « Καὶ ὡς θερμὸς, φησὶ, καὶ ὡς ἐμπιστευθεὶς παρὰ Χριστοῦ τὴν ποίμνην, καὶ ὡς τοῦ χοροῦ πρῶτος, ἀεὶ πρότερος ἄρχεται τοῦ λόγου. » Καὶ κατωτέρω· « Εἰκότως πρῶτος τοῦ πράγματος αὐθεντεῖ Πέτρος, ἅτε γὰρ αὐτὸς πάντας ἐγχειρισθεὶς· πρὸς γὰρ τῶν εἶπεν ὁ Χριστὸς, *Καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου.* Καὶ ἐν τῇ κα' ὁμιλίᾳ· « Καθάπερ τις στρατηγὸς περιῇει τὰς τάξεις ὁ Πέτρος ἐπισκοπῶν, ποῖον εἴη συγκεκροτημένον μέρος, ποῖον ἐν κόσμῳ, ποῖον τῆς αὐτοῦ δέοιτο παρουσίας. Ὅρα πανταχοῦ αὐτὸν περιτρέχοντα, καὶ πρῶτον εὑρισκόμενον. » Καὶ κατωτέρω· « Καὶ ἔνθα μὲν ἦν κίνδυνος, καὶ ἔνθα οἰκονομία, ὁ Πέτρος· ἔνθα δὲ γαλήνης τὰ πράγματα γέμει, κοινῇ πάντες. Οὕτως οὐκ ἀπῄτει τιμὴν μείζονα. » Καὶ ἐν τῇ πη' ὁμιλίᾳ εἰς τὸν Ἰωάννην, ἐξηγούμενος ἐκεῖνο τοῦ ἐσχάτου κεφαλαίου· *Κύριε, οὗτος δὲ τί;* « Ἐπεὶ, φησὶ, τῷ Πέτρῳ μεγάλα προεῖπεν ὁ Χριστὸς, καὶ τὴν οἰκουμένην ἐνεχείρισε· » Καὶ μικρῷ πρόσθεν· « Οὗτος ὁ Πέτρος τὴν προστασίαν ἐνεπιστεύθη τῶν ἀδελφῶν. »

Τοιαῦτα περὶ τοῦ Πέτρου μεγαληγορῶν φθέγγεται. Περὶ δὲ τῶν διαδόχων ἄρα οὕτω; ἐφρόνει, ὥσπερ σὺ, Νεῖλε; Οὐδαμῶς· καὶ γὰρ Ἰννοκεντίῳ γράφων τῷ πάππᾳ, πρῶτον μὲν ἐκτραγῳδεῖ ὅσα πέπονθε διὰ Θεοφίλου Ἀλεξανδρείας, εἶτα πρὸς τοῖς ἄλλοις φησίν· « Ἀναγκαῖον ἐνομίσαμεν τοὺς κυρίους μου τοὺς τιμιωτάτους ἐπισκόπους, Δημήτριον, Πανσόφιον, Πάππον, καὶ Εὐγένιον πεῖσαι τάς τε ἑαυτῶν ἀφεῖναι, καὶ πελάγους κατατολμῆσαι τοσούτου, καὶ μακρὰν ἀποδημίαν στείλασθαι, καὶ πρὸς τὴν ὑμετέραν ἀναδραμεῖν ἀγάπην, καὶ πάντα σαφῶς ἀναδιδάξαντας ταχίστην παρασκευάσαι γενέσθαι τὴν διόρθωσιν. » Καὶ κατωτέρω· « Θὺ γὰρ ἀκόλουθον ἦν τὸν ἐξ Αἰγύπτου τοῖς ἐν Θρᾴκῃ δικάζειν. » Καί· « Παρακαλῶ τὴν ὑμετέραν ἀγάπην διαναστῆναι, καὶ συναλγῆσαι, καὶ πάντα ποιῆσαι, ὥστε στῆναι ταύτῃ τὰ κακά. » Καί· « Μαθόντες τοίνυν ἅπαντα, κύριοί μου τιμιώτατοι, τὴν προσήκουσαν ὑμῖν ἀνδρίαν καὶ σπουδὴν ἐπιδείξασθε, ὥστε παρανομίαν τοσαύτην ἐπεισελθοῦσαν ταῖς Ἐκκλησίαις ἀναστεῖλαι. » Καί· « Ἵνα μὴ οὖν τοσαύτη σύγχυσις καταλάβῃ τὴν ὑφ' ἥλιῳ πᾶσαν, ἐπιστεῖλαι παρακλήθητι, τὰ μὲν οὕτω παρανόμως γεγενημένα ἀπόντων ἡμῶν, καὶ ἐκ μιᾶς μοίρας, καὶ οὐ παραιτησαμένων κρίσιν, μηδεμίαν ἔχειν ἰσχύν· τοὺς δὲ τοιαῦτα παρανομήσαντας, ἐλεγχομένους, τῷ ἐπιτιμίῳ ὑποβάλλεσθαι τῶν ἐκκλησιαστικῶν νόμων· ἡμᾶς δὲ τοὺς οὐχ ἁλόντας, οὐκ ἀποδειχθέντας ὑπευθύνους, τῶν γραμμάτων

τῶν ὑμετέρων δότε ἀπολαύειν συνεχῶς, καὶ τῆς ἀγάπης, καὶ πάντων τῶν ἄλλων, ὥσπερ καὶ ἔμπροσθεν. » Μετὰ ταῦτα γράφει ὁ θεσπέσιος Πατὴρ ἑτοιμότατα ἔχειν τοῦ κριθῆναι παρὰ τοῦ πάππα, καὶ μηδαμῶς φεύγειν τὸ τοιοῦτον κριτήριον. Γράφει καὶ δευτέραν πρὸς τὸν πάππαν ἐπιστολὴν πάνυ εὐχαριστῶν ὑπὲρ τῆς καταβληθείσης σπουδῆς, κἂν μὴ ἔτυχε τὰ πράγματα τῆς ὀφειλομένης διορθώσεως. Ἀλλ' οὖν μὴ δεῖν ἀποκαμεῖν τὸν πάππαν· προκεῖσθαι γὰρ αὐτῷ ἀγῶνα ταραττομένης σχεδὸν τῆς οἰκουμένης ἁπάσης.

Τρία γοῦν ἐστι λαβεῖν ἐκ τῶν τοῦ Χρυσοστόμου ῥημάτων· ὅτι οὐκ ἐνείχετο ὁ Χρυσόστομος κρίνεσθαι ὑπὸ τοῦ Ἀλεξανδρείας· ὅτι ἐπικαλεῖται τὸ κριτήριον τοῦ πάππα, ἵνα τῆς ἀδίκου κρίσεως ἀπαλλαγῇ· ὅτι, ταραττομένης τῆς οἰκουμενικῆς Ἐκκλησίας, τὸν πάππαν διεγείρει πρὸς ἄμυναν. Τί δὲ ἄλλο ταῦτα ἢ ὁμολογία σαφὴς τῆς ἀποστολικῆς καὶ οἰκουμενικῆς ἐν τῷ πάππᾳ ἐξουσίας, ἣν οὔτε ὁ Ἀλεξανδρείας, οὔτε ὁ Κωνσταντινουπόλεως εἶχεν, ἢ ἔχει; Πῶς οὖν οὐδὲν μέγα τῷ Ῥώμης τὸ ἀποστολικὸν καλεῖσθαι, ἑκάστου τῶν ἐπισκόπων καθημένου ἐπὶ τοῦ θρόνου τοῦ Χριστοῦ; Οὐκ ἔστι ταῦτα σύμφωνα τῷ φρονήματι τοῦ Χρυσοστόμου, καὶ τῆς πάλαι ἀνατολικῆς Ἐκκλησίας· ἀλλὰ τὸ λέγειν ὡς λέγεις κλέπτειν ἐστὶ τὰς πατρικὰς χρήσεις, καὶ ἀναρχίαν καὶ σχίσματα παρεισάγειν. Καίτοι οὐδὲ κατὰ τὴν σὴν ἐξήγησιν συμπεραίνεις ὃ βούλει. Ἔστω γὰρ πάντας τοὺς ἐπισκόπους καθῆσθαι ἐπὶ τοῦ θρόνου τοῦ Χριστοῦ· ἀλλ' οὐκ ἀνάγκη καθῆσθαι ἰσοτίμως· ὥσπερ οἱ νομικοὶ ἱερεῖς ἐπὶ τῆς Μωσέως καθέδρας, ἀλλ' οὐκ ἰσοτίμως, ὑπερεῖχε γὰρ ἐν αὐτοῖς ὁ μέγας ἀρχιερεύς. Μέγα τοίνυν τῷ Ῥώμης θρόνῳ τὸ μόνον κεκλεῖσθαι ἐξαιρέτως ἀποστολικὸν, καὶ τὸ μόνον οὕτω καθῆσθαι ἐπὶ τοῦ θρόνου τοῦ Χριστοῦ, ὥστε κρίνειν ἅπαντας τοὺς ἐπισκόπους.

A frumur et charitate aliisque omnibus, sicut et antea. » Subdit deinde sanctus Pater, paratissimum se esse ad subeundum papæ judicium, et ejus tribunal se nullo modo devitare. Scribit et alteram epistolam ad eumdem papam, agitque magnas gratias pro studio collato, quamvis subsecutum non esset remedium, quod opus erat. Rogat tamen ne papa causam deserat; propositum quippe illi esse certamen, interturbato fere universo terrarum orbe.

B Ex quibus Chrysostomi verbis tria habemus: quod non ferebat Chrysostomus se ab Alexandrino judicari; quod appellat papæ judicium, ut se iniquo judicio liberaret; quod, turbata per universum orbem Ecclesia, papam excitat ad ferendum judicium. Hæc porro quid aliud sunt quam aperta confessio apostolicæ et universalis in papa auctoritatis, quam nec Alexandrinus, nec Constantinopolitanus habuit aut habet? Quomodo igitur non magnifaciendum quod Romanus vocetur apostolicus, cum episcopus quisque sedeat in sede Christi? Hæc non conveniunt cum sensu Chrysostomi et antiquæ Orientalis Ecclesiæ; sed ita dicere ut tu dicis, est Patrum sententias afferre fallaciter, et negando primatum schisma inducere. Quanquam ne sic quidem, ut tu interpretaris, habes quod vis. Esto enim quod omnes episcopi sedeant in sede Christi; non tamen necesse est sedere omnes cum
C æqualitatis honore: sicut et legales sacerdotes in cathedra Moysi non omnes æqualiter sedebant; eminebat enim inter illos pontifex. Itaque magnifaciendum est quod sola Romana sedes per excellentiam vocetur apostolica, et solus episcopus Romanus ita sedeat in cathedra Christi, ut episcoporum omnium sit judex.

## ΝΕΙΛΟΣ.

« Τὸ δὲ λέγειν, Μόνῳ τῷ πάππᾳ ἔξεστιν οἰκουμενικὴν ἀθροίζειν σύνοδον, πῶς οὐ τοῖς λίαν φανεροῖς ἀντιλέγειν ἐστὶ, μᾶλλον δὲ πῶς οὐκ αἰσχύνη, τὸν ἱερέα ἀπὸ τούτων φιλοτιμεῖσθαι, ἀφ' ὧν ἐστι μέγα καὶ τὸν βασιλέα φρονεῖν; Ἵνα δὲ εἰδῇς, ὅτι βασιλεῦσι μᾶλλον, οὐκ ἐπισκόποις τὰ τοιαῦτα ἀνεῖται, ἀνάγνωθι ἀπὸ τῶν Πρακτικῶν τῆς πρώτης D συνόδου τὴν ἐπιστολὴν αὐτῆς τῇ Ἀλεξανδρέων Ἐκκλησίᾳ· « Ἐπειδὴ, φησὶ, τῆς τοῦ Θεοῦ χάριτος, καὶ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου, συναγαγόντος ἡμᾶς ἐκ διαφόρων ἐπαρχιῶν. » Ἀνάγνωθι ἀπὸ τῶν Πρακτικῶν τῆς τρίτης συνόδου τὴν ἐπιστολὴν αὐτῆς πρὸς Θεοδόσιον καὶ Οὐαλεντινιανόν· « Ἡ ἁγία σύνοδος, φησὶν, ἡ χάριτι Θεοῦ καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει· » καὶ ἀπὸ τοῦ τέλους τῶν Πρακτικῶν τῆς τετάρτης συνόδου· « Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος, ἡ κατὰ Θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων συναχθεῖσα. » Ὁ δὲ μακάριος Λέων ὁ Ῥώμης Θεοδοσίῳ τῷ βασιλεῖ γράφων, ἀντὶ μεγάλου

## NILUS (Cap. XXII).

« Dicere autem, soli papæ licere œcumenicam congregari synodum, an non est quæ manifestissima sunt oppugnare? an potius turpe non est in eo sacerdotem esse ambitiosum, in quo potest etiam imperator se jactare? Ut scias autem ad imperatorem potius, quam ad episcopos id pertinere, legito epistolam primæ synodi ad Ecclesiam Alexandrinam: « Quoniam, inquit, Dei gratia, et Constantinus Deo amabilissimus imperator nos congregavit e diversis provinciis. » Legito ex Actis tertiæ synodi epistolam ejus ad Theodosium et Valentinianum, actione VI: « Sancta synodus Dei gratia et nutu majestatis vestræ congregata in Ephesiorum metropoli; » et ex fine actorum quartæ synodi: « Sancta et magna et universalis synodus, per Dei gratiam et sanctionem religiosissimorum et Christi amantium imperatorum collecta. » Beatus quoque Leo Romanus episcopus ad Theodosium imperatorem scribens, loco magnæ rei petit, ut imperator annueret fieri in Italia synodum generalem. Non petiisset autem, si Juris sui fuisset præstare illud. »

τινὸς αἱρεῖται καταυεῦσαι τὸν βασιλέα γενικὴν συγκροτηθῆναι σύνοδον ἐν Ἰταλίᾳ. Οὐκ ἂν δὲ ἐζήτησεν ὅπερ σὺν τῷ δικαίῳ ἔφθασεν ἔχων.»

## CONFUTATIO.

Si manifestam veritatem oppugnare est quærere in Actis synodorum ut nulla sit repugnantia, certe qui hæc non quærit, contradicit synodis. Congregatam se ait prima synodus a Dei gratia et imperatore Constantino. Exponit hoc sancta sexta synodus in Prosphonetico ad Constantinum imperatorem: « Arius, inquit, insurgebat, divisor et partitor Trinitatis, et continuo Constantinus semper Augustus, et Silvester celeberrimus magnam et illustrem Nicææ synodum congregabant. Congregabant Constantinus et Silvester; non ergo verum est, quod ais, non ad episcopos, sed ad imperatores hoc pertinere.

De secunda vero synodo rursus iidem Patres in Prosphonetico: « Theodosius et Damasus conventum congregabant. »

De tertia vero et quarta synodo: « Iterum Nestorius, et contra Cœlestinus et Cyrillus; nam ille Christum dividebat et partiebatur: hi vero a Domino stantes cum sceptrorum domino divisorem dejiciebant. Deinde, inquit, Eutychis delirante insania novam fabulam, Leonis epistola tamquam rugitus leonis, grandi sonitu ex urbe perstrepens archimandritam tunc temporis bestiam perterruit, et e monachorum depulit grege. »

De quinta præterea: « Vigilius, inquit, et Justinianus quintæ synodi conventum celebrabant. »

Cum sexta synodus tam planis verbis hæc asserat, prima vero, et tertia, et quarta, quas profers, dicant se congregatas nutu et decreto imperatorum, necesse est aut sanctas synodos inter se dissentire, aut non vera te dicere, dum asseris, imperatorum esse, non sacerdotum congregare synodos œcumenicas. Non dissentire autem sacras synodos et per se constat: alioquin altera pars mentiretur, si esset dissidium. Constat etiam ex ipsorummet imperatorum scriptis, per quæ synodi œcumenicæ congregatæ sunt. Ipsi enim fatentur, quo modo quave ratione congregabant, declarantes se hoc fecisse non ut auctoritate utentes, sed ut religionem propugnantes. Ut ex his jure optimo colligatur solius papæ potestatis esse proprie synodos œcumenicas congregare. Itaque præclaræ memoriæ Constantinus imperator in allocutione ad sanctam synodum de pace, ut videre est in fragmentis primæ synodi: « Postquam, inquit, de vestra dissensione præter omnem spem audivi, non posthabendum duxi quod relatum est; sed precatus huic etiam rei adhiberi remedium per ministerium meum, omnes absque mora accersivi. » Accersisse ait se episcopos, non regia usum potestate, non politica administratione iunixum, sed precatum,

## ΑΝΤΙΡΡΗΣΙΣ.

Εἰ τοῖς φανεροῖς ἀντιλέγειν ἐστὶ τὸ ζητεῖν ἐν τοῖς τῶν συνόδων Πρακτικοῖς τὴν προσήκουσαν συμφωνίαν, τὸ μὴ ταύτην ζητεῖν ἀντιλέγειν ἔσται ταῖς συνόδοις. Συναγηγέρθαι φησὶν ἡ πρώτη σύνοδος ὑπὸ τῆς Θεοῦ χάριτος καὶ τοῦ βασιλέως Κωνσταντίνου. Ἐξηγεῖται τοῦτο ἡ ἁγία ἕκτη σύνοδος; ἐν τῷ προσφωνητικῷ πρὸς τὸν βασιλέα Κωνσταντῖνον· « Ἄρειος, φησὶ, διαιρέτης καὶ κατατομεὺς τῆς Τριάδος ἐγήγερτο, καὶ παραυτίκα Κωνσταντῖνος ὁ ἀεισέβαστος καὶ Σίλβεστρος ὁ ἀοίδιμος τὴν ἐν Νικαίᾳ μεγάλην τε καὶ περίβλεπτον συνέλεγον σύνοδον. Συνέλεγε Κωνσταντῖνος καὶ Σίλβεστρος· οὐκ ἀληθὲς ἄρα ὃ λέγεις, ὅτι βασιλεῦσιν, οὐκ ἐπισκόποις ταῦτα ἀνεῖται.

Ὡσαύτως περὶ τῆς δευτέρας φησὶν, ὅτι Θεοδόσιος καὶ Δάμασος ὁ πάππας συνήθροιζον τὸν σύλλογον.

Περὶ δὲ τῆς τρίτης καὶ δ' συνόδου ἐξηγεῖται ὁμοίως ἡ ἕκτη ἐν οἷς λέγει· « Πάλιν Νεστόριος, καὶ πάλιν Κελεστῖνος καὶ Κύριλλος· ὁ μὲν γὰρ τὸν Χριστὸν διῄρει καὶ κατεδίκαζεν, οἱ δὲ τῷ δεσπότῃ συλλαμβανόμενοι σὺν τῷ τῶν σκήπτρων δεσπόζοντι τὸν κατατομέα κατέβαλλον. Εἶτα, φησὶ, τῆς Εὐτυχοῦς ἀνοίας ληρωδούσης ἕτερον μύθημα, Λέοντος ἡ δέλτος καθάπερ βρύχημα λέοντος βωμαλέον ἐκ Ῥώμης ἠχήσασα τὸν τέως ἀρχιμανδρίτην θῆρα κατεξερόβησε, τῆς τε μοναστικῆς ἀγέλης ἀπῆλασεν.

Καὶ περὶ τῆς πέμπτης, ὅτι « Βιγίλιος σὺν Ἰουστινιανῷ συνίστων τὸ τῆς πέμπτης συνέδριον. »

Ταῦτα λεγούσης ἀναφανδὸν τῆς ς' συνόδου, τῆς δὲ πρώτης καὶ τρίτης, καὶ τετάρτης, ἃς προφέρεις, λεγουσῶν συναχθῆναι νεύματι καὶ θεσπίσματι τῶν βασιλέων, ἀνάγκη ἢ τὰς ἁγίας συνόδους διαφωνεῖν, ἢ σὲ μὴ ἀληθεύειν ἀποφαινόμενον, ὅτι βασιλέων, οὐχ ἱερέων ἐστὶ τὸ συνάγειν οἰκουμενικὴν σύνοδον. Τὰς μὲν οὖν ἁγίας συνόδους μὴ διαφωνεῖν πρὸς ἑαυτὰς καὶ αὐτόθεν δῆλον· ἀνάγκη γὰρ ἐν οἷς ἡ διαφωνία θάτερον μέρος ψεύδεσθαι· δῆλον δὲ καὶ ἐξ ὧν αὐτοὶ ἐκεῖνοι γράφουσιν οἱ βασιλεῖς, δι' ὧν αἱ οἰκουμενικαὶ συνηθροίσθησαν σύνοδοι· αὐτοὶ γὰρ ἐξηγοῦνται, πῶς καὶ τίνι λόγῳ συνήθροιζον, δηλοποιοῦντες ὅτι τοῦτο ἔπραττον οὐχ ὡς ἐξουσιασταί, ἀλλ' ὡς ὑπερασπισταί. Ὥστε δικαίως ἐκ τούτων συνάγεσθαι μόνης εἶναι κυρίως τῆς ἐξουσίας τοῦ πάππα τὸ τὰς οἰκουμενικὰς συναθροίζειν συνόδους. Κωνσταντῖνος γοῦν ὁ ἀοίδιμος βασιλεὺς πρὸς τὴν ἁγίαν πρώτην σύνοδον περὶ εἰρήνης διαλεγόμενος, ὡς ἐν τοῖς σωζομένοις ἔνεστι τῆς συνόδου ἐκείνης, « Ἐπειδὴ, φησὶ, τὴν ὑμετέραν διάστασιν παρ' ἐλπίδα πᾶσαν ἐπυθόμην, οὐκ ἐν δευτέρῳ τὴν ἀκοὴν ἐθέμην· τυχεῖν δὲ καὶ τοῦτο θεραπείας δι' ἐμῆς εὐξάμενος ὑπηρεσίας, τοὺς πάντας ἀμελλητὶ συμμετεστειλάμην. » Συμμετεστείλατο, φησὶ, τοὺς ἐπισκόπους, οὐ βασιλικῇ δυναστείᾳ χρησάμενος, οὐ

πολιτικῇ ἐπιμελείᾳ στηριζόμενος, ἀλλ' εὐξάμενος τυχεῖν θεραπείας τὸ καλὸν διὰ τῆς αὐτοῦ ὑπηρεσίας. Εἴτε γοῦν ὑπηρεσίαν νοεῖς τὴν πρὸς τὸν Θεὸν, εἴτε τὴν πρὸς τὴν Ἐκκλησίαν, εὐχῆς καὶ ὑπηρεσίας ἔργον ὁμολογεῖν γενέσθαι αὐτῷ ὁ βασιλεὺς τὴν μετάπεμψιν τῶν ἐπισκόπων, οὐχὶ ἐξουσίας καὶ δυναστείας. Εἰ δὲ κατὰ τὴν ς' σύνοδον Κωνσταντῖνος καὶ Σίλβεστρος συνέλεγον τὴν πρώτην σύνοδον, καὶ ὁμολογεῖ Κωνσταντῖνος συναγεῖραι ὑπηρετικῶς· ἄρα Σίλβεστρος συνήγειρε ποιμαντικῶς. Πῶς γὰρ ἄλλως; Εἰ γὰρ ἄλλως, διατί μὴ συναγεῖραι λέγει ὁ Ἀλεξανδρείας, ἢ ὁ Ἀντιοχείας, ἀλλὰ Σίλβεστρος ὁ Ῥώμης; Εἰ δὲ εἴποις, Διὰ τὸ εἶναι τὸν Ῥώμης πρῶτον τῇ τάξει, ἀντιλεγούσας ἔχεις τὴν δ' σύνοδον καὶ τὴν ἑβδόμην· τὴν δ' ἐν οἷς λέγει κατὰ τὴν ἀρχὴν τῶν Πρακτικῶν· « Σύνοδον ἐτόλμησε ποιῆσαι Διόσκορος ἐπιτροπῆς δίχα τοῦ ἀποστολικοῦ θρόνου, ὅπερ οὐδέποτε γέγονεν, οὐδὲ ἐξὸν γενέσθαι. »

Τὴν ζ' ἐν οἷς λέγει κατὰ τὴν ς' πρᾶξιν· « Νόμος ἐστὶ ταῖς συνόδοις ἔχειν συνεργὸν τὸν τῆς Ῥωμαίων πάππαν. » Ταῦτα δὲ πρωτεῖον οὐ ψιλῆς τάξεως, ἀλλ' ἐξουσίας δηλοῦσιν· ἡ γὰρ ἐπιτροπὴ, καὶ ἡ συνεργία τοῦ πάππα κατὰ τὸν νόμον τῶν συνόδων, ἀθέμιτον καὶ παράνομον δηλοῖ τοὐναντίον· τοῦτο δὲ τεκμήριον προφανὲς οὐχὶ μόνης τάξεως, ἀλλ' ἐξουσίας καὶ ἐπιστασίας· καὶ γὰρ ὑπῆρξαν οἰκουμενικαὶ σύνοδοι, ἐν αἷς οὐ τετήρηται τῶν πατριαρχῶν ἡ τάξις, οἷον ἐν τῇ τρίτῃ· οὐ γὰρ παρῆν ὁ Κωνσταντινουπόλεως καὶ ὁ Ἀντιοχείας· ἐν τῇ τετάρτῃ, ἐν ᾗ οὐ παρῆν ὁ Ἀλεξανδρείας· ἐν τῇ ἕκτῃ ἐκβέβληται ὁ Ἀντιοχείας. Χωρὶς δὲ τοῦ Ῥώμης οὐδέποτε γέγονεν, οὐδὲ ἐξὸν γενέσθαι. Εἰ δὲ μόνη ἡ τάξις ἐδίδου τὸ πρωτεῖον τῷ πάππᾳ, ἐγίνοντο ἂν αἱ σύνοδοι καὶ χωρὶς τοῦ πάππα, καὶ τῆς ἐξουσίας αὐτοῦ.

Ἑρμηνεύει δὲ τὸν ἑαυτοῦ σκοπὸν ὁ μέγας Κωνσταντῖνος προδηλότερον, ἐν οἷς λέγει καὶ γράφει ταῖς Ἐκκλησίαις· « Ἔμαθον, φησὶ, λαβὼν ἐκ τῆς τῶν κοινῶν εὐπραξίας, ὅση τῆς θείας δυνάμεως πέφυκε χάρις, τοῦτον πρό γε πάντων ἔκρινα εἶναί μοι προσήκειν σκοπὸν, ὅπως παρὰ τοῖς μακαριωτάτοις τῆς καθολικῆς Ἐκκλησίας πλήθεσι πίστις μία, καὶ εἰλικρινὴς ἀγάπη, ὁμογνώμων τε περὶ τὸν παγκρατῆ Θεὸν εὐσέβεια τηρῆται. Ἀλλ' ἐπειδὴ τοῦτο οὐχ οἷόν τε ἦν ἀκλινῆ καὶ βεβαίαν τάξιν λαβεῖν, εἰ μὴ εἰς ταυτὸ πάντων ὁμοῦ, ἢ τῶν γοῦν πλειόνων ἐπισκόπων συνελθόντων, ἑκάστου τῶν προσηκόντων τῇ ἁγιωτάτῃ θρησκείᾳ διάκρισις γένοιτο· τούτου ἕνεκεν πλείστων ὅσων συναθροισθέντων, καὶ αὐτὸς καθάπερ εἷς ἐξ ὑμῶν ἐτύγχανον συμπαρών. Οὐ γὰρ ἀρνησαίμην ἄν, ἐφ' ᾧ μάλιστα χαίρω, συνθεράπων ὑμέτερος πεφυκέναι. »

Ἐν τούτοις ὁ μέγας Κωνσταντῖνος οὕτως ἐπιλογίζεται· Ἡ εὐπραξία τῶν κοινῶν ἐμοὶ περιγέγονεν ἐκ τῆς Θεοῦ χάριτος. Ἐγὼ δὲ βασιλεὺς ὢν τὴν εὐπραξίαν τῶν κοινῶν ὀφείλω ζητεῖν· ὀφείλω τοίνυν ἐπισπᾶσθαι τὴν θείαν χάριν. Ἐπιδίδωσι δὲ ἡ θεία χάρις ἑαυτὴν γινομένων ἐκείνων, ἐν οἷς εὐαρεστεῖται Θεός· εὐαρεστεῖται δὲ μάλιστα τῇ ὀρθῇ πίστει θρησκευομένῃ παρὰ τῶν λαῶν. Τοῦτο ἄρα ἐμοὶ

ut malo adhiberetur remedium per ministerium ejus. Sive ergo ministerium intelligas erga Deum, sive Ecclesiam, precis et ministerii opus fuisse sibi convocationem episcoporum fatetur imperator, non potestatis et auctoritatis. Et si Constantinus et Silvester, ut ait sexta synodus, congregabant primam synodum; et Constantinus fatetur se convocasse ministri opera, restat ut Silvester convocaverit pastoris officio. Quo enim alio titulo? Si enim alio titulo, cur potius Silvester Romanus quam Alexandrinus et Antiochenus convocasse dicitur? Si dicas, Quia Romanus est ordine primus, contradicunt quarta et septima synodus: quarta, ubi dicit Actorum initio: « Synodum celebrare ausus est Dioscorus non obtenta facultate a sede apostolica; quod nunquam factum est, nec fieri licet. »

Septima actione VI ubi dicit, « legem synodorum esse, ut Romanum papam cooperantem habeant. » Hæc autem primatum designant non nudi ordinis sed auctoritatis. Nam concedendæ licentiæ et cooperatio papæ juxta legem synodorum nefarium et iniquum ostendit quod contra fit, et manifestissimum est argumentum non puri ordinis, sed potestatis et jurisdictionis; siquidem fuere synodi œcumenicæ in quibus ordo patriarcharum non est servatus, utpote tertia, in qua non fuit Constantinopolitanus, et Antiochenus; quarta, in qua non adfuit Alexandrinus; sexta, in qua ejectus est Antiochenus. At sine papa nunquam facta est synodus, nec fieri potest. Quod si ordo solus primatum tribueret papæ, possent etiam fieri synodi sine papa et auctoritate ejus.

Suum porro consilium declarat apertius Constantinus Magnus in sua epistola ad Ecclesias: « Cum, inquit, ex rebus pro republica feliciter gestis experimento didicerim, quanta sit divinæ virtutis benignitas, hoc mihi ante alia propositum statuendum putavi, ut beatissimi Ecclesiæ catholicæ populi fidem unam, et charitatem sinceram, et consentientem erga omnipotentem Deum teneant cultum. Verum quia hoc non poterat fixo stabilique ordine firmari, nisi vel omnibus episcopis, vel majori eorum parte in unum conveniente, quo singula ad sanctissimam religionem pertinentia examinarentur, idcirco quamplurimis congregatis, ipse quoque tanquam unus e numero vestrum adfui. Neque enim negaverim id, ex quo maximam capio lætitiam, vestrum me esse conservum. »

In his Constantinus Magnus hac ratiocinatione utitur: Felicitas reipublicæ obvenit mihi ex Dei gratia. Ego vero, cum imperator sim, reipublicæ statum felicem curare debeo; ergo et gratiam aucupari divinam. Dat vero se divina gratia, si fiant illa quæ Deo placent; placet vero potissimum Deo rectæ fidei cultus in populis. Hoc ergo est mihi curandum. Sed quia non poterat hoc ad prosperum

perduci finem absque synodo œcumenica, ideo episcopos convocavi.

Causa igitur et finis convocationis episcoporum est felix reipublicæ status, cujus potestas et administratio in imperatore est. Sed quia impossibile est finem spiritalium esse corporalia, impossibile etiam est felicem reipublicæ statum esse per se finem synodi. Si ergo alius est per se finis synodi, alius profecto ab imperatore est, cujus proprium sit operari ad finem per se propositum : talis autem est spiritalis pastor. Illius ergo per se erit opus convocare synodos ; et Constantinus apte congruenterque dixit, suo ministerio fuisse convocatos episcopos. Ait enim eximius doctor Gregorius Nazianzenus oratione ad Nazianzenos civilibus fungentes muneribus et timore perculsos, necnon præfectum irascentem : « Num sermonem cum libertate prolatum accipietis, quando lex Christi meæ vos potestati ac meo tribunali subjicit ? si quidem dominamur et ipsi, et addo principatum nostrum majorem et perfectiorem esse. An vero decet spiritum carni, et terrenis cœlestia cedere ? »

Itaque si principatus spiritalis ita se habet ad temporalem sicut spiritus ad carnem, et caro est organum spiritus, necessario et imperium erit sacerdotii instrumentum, et convocantur episcopi per imperatores jure ministerii, non dominatus, instrumenti, non principalis causæ ; inferioris munere, non superioris potestate. Quid vero aliud significabat imperator (1), quando in conventu episcoporum considere noluit postremus, nisi annuentibus episcopis? et cum occasione libellorum, quos alter alterum accusantes episcopi obtulerant, ipse aiebat : « Cum vos constituerit Deus sacerdotes et principes, ut judicetis et dijudicetis populos, diique sitis, utpote cunctis hominibus superiores : juxta dictum illud ita decernens: *Ego dixi : Dii estis, et filii Excelsi omnes*[9] ; et, *Deus stetit in synagoga deorum*[10] ; oportet vos omne studium ad divina conferre. »

Quomodo hæc dixisset et egisset Constantinus Magnus, si quasi auctoritate usus congregasset episcopos? Sicut autem prima synodus posterioribus regula exstitit, ita quæ gessit et dixit Constantinus synodum cogens, regula fuit iis qui successere principibus. Tria enim erant ob quæ imperatores dicebantur congregare synodos : orthodoxæ fidei propugnatio, cibariorum subministratio, et pacatus reipublicæ status. Propugnationem Constantinus vocat ministerium. De subministratione alimoniæ narrat Eusebius lib. III, *De Vita Constantini*, jussisse illum, ut episcopis in dies singulos abunde suppeditarentur necessaria. Tranquillum reipublicæ statum et ipse Constanti-

[9] Psal. LXXXI, 6. [10] ibid. 4.

(1) Euseb. lib. III De Vita Const.

A ζητητέον. Ἀλλ' ἐπειδὴ τοῦτο ἀδύνατον ἦν κατορθωθῆναι ἄνευ συνόδου οἰκουμενικῆς, διὰ τοῦτο συνεκάλεσα τοὺς ἐπισκόπους.

Ἡ τοίνυν αἰτία καὶ τὸ τέλος τοῦ συγκαλέσαι τὴν σύνοδον ἡ εὐπραξία τῶν κοινῶν, ἧς ἡ ἐξουσία καὶ τὸ κῦρος ἐν τῷ βασιλεῖ. Ἀλλὰ μὴν ἀδύνατον τὰ σωματικὰ εἶναι τέλος τῶν πνευματικῶν· ἀδύνατον ἄρα καὶ τὴν εὐπραξίαν τῶν κοινῶν τὸ καθ' αὑτὸ τέλος τῆς συνόδου. Εἰ δὴ τὸ καθ' αὑτὸ τέλος τῆς συνόδου ἄλλο, ἄλλον εἶναι δεῖ παρὰ τὸν βασιλέα, οὗ ἂν εἴη ἴδιον ἐνεργεῖν σκοποῦντα τὸ καθ' αὑτὸ τέλος· τοιοῦτος δέ ἐστιν ὁ πνευματικὸς ποιμήν. Ἐκείνου τοίνυν καθ' αὑτὸ ἔργον ἂν εἴη συγκαλεῖν τὰς συνόδους· καὶ μάλα προσφυῶς ἔλεγε Κωνσταντῖνος ὁ Μέγας διὰ τῆς αὐτοῦ ὑπηρεσίας μετασταλῆναι τοὺς ἐπισκόπους. Φησὶ γὰρ ὁ μέγας φωστὴρ Γρηγόριος ὁ Θεολόγος ἐν τῷ πρὸς τοὺς πολιτευομένους Ναζιανζοῦ ἀγωνιῶντας, καὶ τὸν ἄρχοντα ὀργιζόμενον· « Ἆρα δέχεσθε σὺν παῤῥησίᾳ τὸν λόγον, ὅτι τοῦ Χριστοῦ ὁ νόμος ὑποτίθησιν ὑμᾶς τῇ ἐμῇ δυναστείᾳ, καὶ τῷ ἐμῷ βήματι; ἄρχομεν γὰρ καὶ αὐτοί· προσθήσω δέ, ὅτι καὶ τὴν μείζονα καὶ τελεωτέραν ἀρχήν. Ἢ δεῖ τὸ πνεῦμα ὑποχωρῆσαι τῇ σαρκὶ, καὶ τοῖς γηΐνοις τὰ ἐπουράνια ; »

Εἴπερ οὖν οὕτως ἔχει ἡ πνευματικὴ ἀρχὴ πρὸς τὴν ἕξω, ὥσπερ τὸ πνεῦμα πρὸς τὴν σάρκα· ἔτι δὲ ἡ σὰρξ τοῦ πνεύματος ὄργανον· ἀνάγκη καὶ τὴν βασιλείαν εἶναι ὄργανον τῆς ἱερωσύνης· καὶ συγκαλεῖσθαι τοὺς ἐπισκόπους ὑπὸ τῶν βασιλέων ὑπηρετικῶς, οὐ δεσποτικῶς, ὀργανικῶς, οὐκ αὐθεντικῶς, διακονικῶς, οὐκ ἐξουσιαστικῶς. Ἢ τί ἄλλο ἦν τὸ συνεδρευσάσης τῆς συνόδου μὴ καθεσθῆναι Κωνσταντῖνον, εἰ μή, ἐπινευσάντων τῶν ἐπισκόπων, εἰσελθόντα μετὰ τοὺς ἐπισκόπους εἰς τὴν ἁγίαν σύνοδον; Καὶ τὸ ῥηθὲν αὐτῷ προφάσει τῶν λιβέλλων, οὓς κατ' ἀλλήλων οἱ ἐπίσκοποι ἐδεδώκεισαν· « Τοῦ Θεοῦ προχειρισαμένου ὑμᾶς ἱερεῖς τε καὶ ἄρχοντας, κρίνειν τε καὶ διακρίνειν τὰ πλήθη, καὶ θεοὺς εἶναι, ἅτε δὴ ἀνθρώπων ἁπάντων ὑπερέχοντας, ὁρισαμένου κατὰ τὸ εἰρημένον· *Ἐγὼ εἶπα, Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες*· καὶ τὸ, *Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν*· χρὴ πᾶσαν τὴν σπουδὴν περὶ τὰ θεῖα ποιεῖσθαι. »

Πῶς ἂν τοιαῦτα ἔλεγε καὶ ἔπραττεν ὁ μέγας Κωνσταντῖνος, εἰπερ ὡς μετ' ἐξουσίας μετεκαλεῖτο τοὺς ἱερεῖς ; Ὥσπερ δὲ ἡ πρώτη σύνοδος κανὼν γέγονε ταῖς μετὰ ταῦτα συνόδοις, οὕτω καὶ ἃ πέπραχε καὶ εἶπε Κωνσταντῖνος συναγείρων τὴν σύνοδον, κανὼν γέγονε τοῖς μετέπειτα βασιλεῦσιν. Τρία γὰρ ἦν, δι' ἃ τὰς οἰκουμενικὰς συνόδους ἐλέγοντο συγκροτεῖν οἱ βασιλεῖς· ὀρθοδόξου πίστεως ὑπερμαχία, σιτηρεσίων χορηγία, καὶ τοῦ πολιτεύματος εἰρηναία κατάστασις. Τὴν ὑπερμαχίαν ὁ Κωνστα τῖνος ὑπηρεσίαν καλεῖ. Περὶ τῆς χορηγίας λέγει Εὐσέβιος, ὅτι πᾶσι τοῖς ἐπισκόποις προσέταττε Κωνσταντῖνος ἐφ' ἑκάστης ἡμέρας χορηγεῖσθαι ἀφθόνως τὰ σιτηρέσια. Τὴν εἰρηναίαν κατάστασιν καὶ

αὐτὸς ὁ Κωνσταντῖνος ἔν τε ταῖς ἐπιστολαῖς καὶ ταῖς προσλαλιαῖς αὐτοῦ, καὶ οἱ λοιποὶ αὐτοκράτορες αἰτιολογοῦσιν. Ὑπερμαχεῖν δὲ καὶ χορηγεῖν, καὶ τῶν λαῶν τὰ σχίσματα καὶ τὰς διχονοίας δι' ἐπισκοπικῆς ὁμηγύρεως ἀπελαύνειν οὐκ ἔστιν αὐθεντεῖν καὶ ἐξουσιάζειν· διαφέρει γὰρ ταῦτα τὸ σύνολον, ὥσπερ κριτοῦ ἔργον καὶ συνηγόρου.

Τοῦτο ἐξηγούμενος Γρηγόριος ὁ πάππας Λέοντι τῷ Ἰσαύρῳ ἐπιστέλλων ἔγραψε· καὶ φέρεται τὰ γράμματα πρὸ τῶν Πρακτικῶν τῆς ζ' συνόδου· « Οἶδας, βασιλεῦ, ὅτι τὰ δόγματα τῆς ἁγίας Ἐκκλησίας οὐχὶ βασιλέων εἰσὶν, ἀλλὰ τῶν ἀρχιερέων. » Εἶτα· « Ἡ συμβουλία δὲ τῶν φιλοχρίστων βασιλέων, καὶ τῶν εὐσεβῶν ἀρχιερέων μία δύναμίς ἐστιν, ὅταν μετ' εἰρήνης καὶ ἀγάπης τὰ πράγματα διοικῶνται. » Καὶ πάλιν ἐν τῇ β' ἐπιστολῇ· « Ἄκουσον, φησὶ, βασιλεῦ, τῆς ταπεινώσεως ἡμῶν, καὶ παῦσον, καὶ ἀκολούθησον τῇ ἁγίᾳ Ἐκκλησίᾳ, καθὼς εὗρες καὶ παρέλαβες. Οὐκ εἰσὶ δόγματα τῶν βασιλέων, ἀλλὰ τῶν ἀρχιερέων, ὅτι ἡμεῖς νοῦν Χριστοῦ ἔχομεν. » Καὶ γράψαντος τοῦ Εἰκονομάχου Λέοντος, ὅτι, « Βασιλεὺς καὶ ἱερεύς εἰμι, » ἀποκρίνεται ὁ πάππας· Τοῦτο οἱ πρὸ σοῦ βασιλεῖς ἔδειξαν ἔργῳ καὶ λόγῳ, οἱ κτίσαντες καὶ φροντίσαντες τῶν Ἐκκλησιῶν, ἅμα τοῖς ἀρχιερεῦσιν ἐκζητήσαντες πόθῳ καὶ ζήλῳ τῆς ὀρθοδοξίας τὴν ἀλήθειαν, Κωνσταντῖνος ὁ Μέγας, καὶ Θεοδόσιος ὁ Μέγας, καὶ Οὐαλεντινιανὸς ὁ Μέγας, καὶ Κωνσταντῖνος ὁ Ἰουστινιανοῦ πατὴρ, ὁ τῆς ς' συνόδου. Οὗτοι οἱ βασιλεῖς θεοπρεπῶς ἐβασίλευσαν, μετὰ τῶν ἀρχιερέων μιᾷ βουλῇ καὶ γνώμῃ τὰς συνόδους συναθροίσαντες, καὶ τὴν ἀλήθειαν τῶν δογμάτων ἐκζητήσαντες τὰς ἁγίας Ἐκκλησίας συνεστήσαντο καὶ κατεκόσμησαν. »

Ἰδοὺ γυμνὴν ἔχεις τὴν ἀλήθειαν, ὅτι τὰ δόγματα οὐκ ἔστι τῶν βασιλέων· καὶ ὅτι μετὰ τῶν ἀρχιερέων οἱ βασιλεῖς συνήθροιζον τὰς συνόδους μιᾷ βουλῇ, ὑπερμαχοῦντες, χορηγοῦντες, καὶ εἰρήνην τοῖς λαοῖς πρυτανεύοντες. Θεοδόσιος καὶ Οὐαλεντινιανὸς προσκαλούμενοι τοὺς Πατέρας τῆς γ' συνόδου, « Ἥρτηται, φασὶ, τῆς εἰς Θεὸν εὐσεβείας ἡ τῆς ἡμετέρας πολιτείας κατάστασις. » Εἶτα· « Βασιλεύειν οὖν τεταγμένοι παρὰ Θεοῦ, σύνδεσμοί τε τῆς τῶν ὑπηκόων εὐσεβείας τε καὶ εὐπραγίας τυγχάνοντες, ὁρᾶγες ἀεὶ τὸ προσφυὲς τούτων φυλάττομεν. » Εἶτα· « Ἑκατέρου δεόντως ἐπιμελόμενοι (οὐδὲ γὰρ ἔνεστι τὸν θατέρου μεταποιούμενον μὴ ὁμοίως τοῦ ἑτέρου φροντίσαι), σπουδὴν τιθέμεθα πρὸ τῶν ἄλλων τὸ τὴν ἐκκλησιαστικὴν κατάστασιν Θεῷ πρέπουσαν καὶ τοῖς ἡμετέροις πρόσφορον διαμένειν καιροῖς, ἔχειν τε ἐκ τῆς τῶν πάντων ὁμονοίας τὸ ἀτάραχον, καὶ διὰ τῆς ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασιν εἰρήνης τὸ ἀστασίαστον. »

Ὁρᾷς, ποίῳ λόγῳ οἱ βασιλεῖς ἐλέσθαι φασὶ προνοεῖν τῶν ἐκκλησιαστικῶν; Ὅτι, φασὶν, ἡ κατάστασις τῶν πολιτικῶν ἥρτηται τῶν πνευματικῶν· καὶ ἐπειδὴ ἴδιον τοῖς βασιλεῦσιν ἔργον τὸ διατηρεῖν ἀτάραχον καὶ ἀστασίαστον τὸ πολίτευμα, δέον αὐτοὺς φροντίσαι καὶ τῆς εὐσεβείας· ἣ μὴ συμφώνως πιστευομένης ταραχαὶ καὶ σχίσματα ἐν τοῖς λαοῖς.

nus in epistolis et allocutionibus suis et cæteri imperatores pro causa afferunt. Propugnare autem, et suppeditare, et populorum dissidia et seditiones per conventum episcoporum exstinguere, non est jus dominii et potestatis habere. Distant enim hæc inter se plurimum, sicut judicis et patroni opus.

Declarat hæc in priore sua epistola ad Leonem Isaurum Gregorius papa ante septimam synodum: « Scis, inquit, imperator, sanctæ Ecclesiæ dogmata non imperatorum esse, sed pontificum. » Deinde: « Consilium autem Christi amantium imperatorum, et piorum pontificum virtus est una, quando cum pace atque charitate res administrantur. » Et in secunda epistola: « Audi, inquit, humilitatem nostram, imperator; cessa, et sanctam Ecclesiam sequere, prout invenisti atque accepisti. Non sunt imperatorum dogmata, sed pontificum, quoniam Christi sensum nos habemus. » Et cum Iconomachus Leo scripsisset: « Imperator sum et sacerdos; » respondit papa: « Enimvero qui ante te fuerunt imperatores, hoc opere ac sermone demonstrarunt, qui condiderunt et curam gesserunt Ecclesiarum una cum pontificibus, cupiditate zeloque incensi, rectæque fidei veritatem pervestigantes, Constantinus Magnus, Theodosius Magnus, Valentinianus Magnus et Constantinus Justiniani pater, qui sextæ synodo interfuit. Imperatores isti religiose imperarunt, et cum pontificibus uno consilio ac sententia synodos congregantes, et veritatem dogmatum perquirentes, sanctas Ecclesias constituerunt et ornarunt. »

En nudam habes veritatem, quod dogmata non sunt imperatorum, et quod cum pontificibus imperatores congregabant synodos uno consilio, propugnantes, subministrantes, et pacem populorum curantes. Theodosius et Valentinianus convocantes tertiæ synodi Patres. « Pendet, inquiunt, a religione, qua Deus colitur, nostræ reipublicæ status. » Deinde: « Constituti igitur a Deo ut regnemus, et simus subditis nostris vinculum pietatis et prosperitatis, individuam semper conservamus naturalem eorum societatem. » Mox: « Utriusque, ut par est, curam gerentes (nec enim fieri potest, ut qui uni studet alterum negligat), ante omnia in illud incumbimus, ut Ecclesiarum status Deum condecens, nostrisque temporibus congruens servetur, habeamusque ex communi omnium concordia tranquillitatem, perque servatam in rebus ecclesiasticis pacem exstinguamus seditiones. »

Vides qua ratione imperatores fatentur se conferre ad ecclesiasticorum curam? Quoniam status reipublicæ pendet a spiritalibus, et quia proprium imperatorum opus est, conservare rempublicam a turbis et seditionibus liberam, opus est illos etiam de religione cogitare: nam si una fides omnium non sit, turbæ et schismata oriuntur in populis.

Itaque fatentur, non primaria ratione, sed ob necessitatem temporalium attingere spiritalia. Hoc autem non est, quod tu dicis imperatorum esse, non episcoporum, congregare synodum œcumenicam: sed contra, imperatorum esse per accidens, episcoporum per se.

Valentinianus et Marcianus de quarta synodo scribentes Leoni papæ, « Sanctitatem, inquiunt, Tuam principatum in episcopatu divinæ fidei possidentem, sacris litteris in principio justum credimus alloquendam. » Deinde, « Quatenus omni impio errore sublato, per celebrandam synodum te auctore maxima pax circa omnes episcopos fidei catholicæ fiat. » Et Pulcheria Augusta in eumdem modum Leoni scribens, « Et propterea, inquit, tua reverentia quocunque modo prospexerit, significare dignetur, ut omnes etiam totius Orientis episcopi, Thraciæ atque Illyrici in unam civitatem velociter ab Orientalibus partibus valeant convenire. »

Vides, qui quartam synodum congregavere quid scribant? Convocandam synodum auctore papa, et significare volente, ut in unam civitatem conveniant episcopi. Hoc ergo solum innuunt sacræ synodi, cum se congregatas dicunt Dei gratia et imperatorum decreto. Neque enim synodi plus tribuunt imperatoribus quam imperatores sibi.

Quod autem objicis, beatum Leonem papam scripsisse imperatori Theodosio, et loco magnæ rei petiisse, ut imperator annueret fieri in Italia synodum generalem; quod, ais, non quæ sivisset si juris sui fuisset præstare illud, ipse Leo declarat optime, et instantiam diluit per ea quæ in eadem epistola scribit: « Litteris clementiæ vestræ, quas dudum ad beati Petri apostoli sedem pro catholicæ fidei amore misistis, tantam fiduciam sumpsimus defendendæ per vos veritatis et pacis. » Deinde: « Comperimus enim non incerto nuntio, sed fidelissimo rerum quæ gestæ sunt narratore, Hilaro diacono nostro, convenisse ad synodum plurimos sacerdotes; quorum utique frequentia consultationi et judicio profuisset, si is qui sibi locum principem vindicabat, sacerdotalem moderationem custodire voluisset. »

Loquitur autem pontifex de Dioscoro, qui sibi locum principem vindicaverat, quoniam ab imperatore Theodosio primatum et auctoritatem acceperat in secunda synodo Ephesina, ut constat ex prima actione Chalcedonensis. Hoc igitur reprehendens papa et in litteris ad Pulcheriam et alios, manifestissime ostendit, quod si munus imperatorum esset congregare synodos, ipsorum quoque esset dare locum principem in iis cui vellent. Atqui Leo papa hoc reprehendit, et Dioscorum ait vindicasse sibi principem locum, quamvis ille hoc ab impera-

A Ὁμολογοῦσιν οὖν μὴ κατὰ πρῶτον λόγον, ἀλλὰ διὰ τὴν ἀνάγκην τῶν σωματικῶν ἅπτεσθαι τῶν πνευματικῶν· τοῦτο δὲ οὐκ ἔστιν ὃ λέγεις, βασιλέων, οὐκ ἐπισκόπων εἶναι τὸ συνάγειν συνόδους· μᾶλλον μὲν οὖν τοὐναντίον, κατὰ συμβεβηκὸς εἶναι τῶν βασιλέων, καθ' αὐτὸ τῶν ἐπισκόπων.

Οὐαλεντινιανὸς δὲ καὶ Μαρκιανὸς περὶ τῆς δ' συνόδου πρὸς Λέοντα γράφοντες τὸν πάππαν, ὡς ἔστιν ἰδεῖν ἐν τοῖς πρὸ τῶν Πρακτικῶν τῆς συνόδου, « Τὴν σὴν Ἁγιωσύνην, φασὶν, ἐπισκοπεύουσαν, καὶ ἄρχουσαν τῆς θείας πίστεως, ἱεροῖς γράμμασιν ἐν πρώτοις δίκαιον ἡγησάμεθα προσειπεῖν. » Εἶτα· « Ὥστε, πάσης ἀσεβοῦς πλάνης ἀποκινηθείσης διὰ τῆς συγκροτηθησομένης ταύτης συνόδου σοῦ αὐθεντοῦντος, μεγίστη εἰρήνη περὶ πάντας τοὺς ἐπισκόπους τῆς καθολικῆς πίστεως γένηται. » Γράφει καὶ Πουλχερία ἡ Αὐγούστα περὶ τούτου πρὸς τὸν αὐτὸν Λέοντα τὸν πάππαν τοιαῦτα· « Καὶ διὰ τοῦτο ἡ σὴ εὐλάβεια καθ' ὃν ἂν φανείη τρόπον, σημᾶναι κατα-

B ξιώσει, ἵνα πάντες καὶ πάσης τῆς Ἀνατολῆς οἱ ἐπίσκοποι, Θράκης τε καὶ Ἰλλυρικοῦ, εἰς μίαν πόλιν τὴν ταχίστην ἀπὸ τῶν ἀνατολικῶν μερῶν παραγένωνται.

Βλέπεις οἷα γράφουσιν οἱ τὴν τετάρτην συναθροίσαντες σύνοδον; Συγκροτηθησομένην τὴν σύνοδον αὐθεντοῦντος τοῦ πάππα, καὶ σημᾶναι κατεξιοῦντος, ὅπως εἰς μίαν πόλιν παραγένωνται οἱ ἐπίσκοποι. Τοῦτ' ἄρα καὶ μόνον βούλονται αἱ ἅγιαι σύνοδοι, κατὰ Θεοῦ χάριν ἑαυτὰς καὶ θέσπισμα βασιλικὸν συναθροισθῆναι διαγορεύουσαι· οὐ γὰρ δὴ πλέον ἀπονέμουσιν αἱ σύνοδοι τοῖς βασιλεῦσιν, ἢ αὐτοὶ

C ἑαυτοῖς οἱ βασιλεῖς.

Ὃ δὲ λέγεις, ὅτι Λέων ὁ μακάριος πάππας Θεοδοσίῳ τῷ βασιλεῖ γράφων, ἀντὶ μεγάλου τινὸς αἰτεῖται κατανεῦσαι τὸν βασιλέα γενικὴν συγκροτηθῆναι σύνοδον ἐν Ἰταλίᾳ, καὶ ὅτι οὐκ ἂν ἐζήτει ὅπερ σὺν τῷ δικαίῳ ἔφθασεν ἔχων· αὐτὸς ὁ Λέων ἄριστα διασαφεῖ, καὶ λύει τὴν ἔνστασιν ἐν οἷς γράφει κατ' αὐτὴν ἐκείνην τὴν ἐπιστολήν· « Τοῖς γράμμασι τῆς ὑμετέρας φιλανθρωπίας ἐντυχόντες, ἃ πρώτῳ ἐστείλατε τοῦ μακαρίου ἀποστόλου Πέτρου τῷ θρόνῳ ἐκ τῆς πρὸς τὴν καθολικὴν πίστιν διαθέσεως, τοσαύτην ἐλάβομεν πεποίθησιν τοῦ ἐκδικηθῆναι δι' ὑμῶν τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην. » Εἶτα· « Ἔγνωμεν γὰρ διηγησαμένου πιστότατα ὑμῖν Ἱλάρου τοῦ ἡμετέρου διακόνου πλείστους ἱερεῖς συνελθεῖν εἰς τὴν

D σύνοδον, ὧν ἡ πληθὺς ἐγένετο ἂν πρὸ ἔργου τῇ συμβουλίᾳ καὶ τῇ κρίσει, εἴπερ ἱερατικὴν ἐπιείκειαν φυλάξαι ἠθέλησεν ἐκεῖνος, ὅστις ἑαυτῷ τόπον ἐξάρχοντος ἐξεδίκει. »

Λέγει δὲ περὶ Διοσκόρου ὁ πάππας, τόπον ἄρχοντος ἑαυτῷ ἐκδικήσαντος διὰ τὸ παρὰ Θεοδοσίου τοῦ βασιλέως τὴν αὐθεντίαν καὶ τὰ πρωτεῖα τῆς δευτέρας ἐν Ἐφέσῳ εἰληφέναι συνόδου, ὡς δῆλον ἐκ τῆς α' πράξεως τῆς τετάρτης συνόδου. Τοῦτο γοῦν μεμφόμενος ὁ πάππας ἐνταῦθα, καὶ ἐν τοῖς πρὸς Πουλχερίαν γράμμασι, καὶ ἑτέρους σαφέστατα δείκνυσιν, ὅτι εἰ βασιλέων ἦν τὸ συνάγειν τὰς συνόδους, βασιλέων ἂν ἦν καὶ τὸ δοῦναι τὴν αὐθεντίαν τῶν συνόδων καὶ τὰ πρωτεῖα οἷς ἂν βούλοιντο. Ἀλλὰ μὴν τοῦτο μέμφεται ὁ μακάριος Λέων, ὅτι Διόσκορος

ἐξεδίκησεν ἑαυτῷ ἐξάρχοντος τόπον, καίτοι λαβὼν παρὰ βασιλέως τὴν ἐξουσίαν. Οὐκ ἄρα βασιλέων τὸ συνάγειν τὰς συνόδους, εἰ μὴ ὀργανικῶς καὶ ὑπηρετικῶς· καθ' ὃν δὴ τρόπον οὐκ ὤφειλε Διόσκορος ἐκδικεῖν ἑαυτῷ τὰ πρωτεῖα. Εἶτα ἐπιφέρει ὁ πάππας· « Ἐπεὶ τῷ μυστηρίῳ τῆς ἀληθοῦς, θεότητος, καὶ τῆς ἀληθοῦς ἐν Χριστῷ ἀνθρωπότητος ὀλίγοι τινὲς ἀντιφέρονται νῦν ἀσεβῶς, πᾶσαι τῶν ἡμετέρων μερῶν αἱ ἐκκλησίαι, πάντες μετὰ στεναγμῶν καὶ δακρύων οἱ ἱερεῖς δέονται τῆς ὑμετέρας πραότητος· ἀντεῖπον γὰρ πιστῶς καὶ οἱ ἡμέτεροι, καὶ λίβελλον ἐκκλήτου δέδωκεν αὐτοῖς Φλαβιανὸς ὁ ἐπίσκοπος, ἵνα σύνοδον οἰκουμενικὴν ἐντὸς τῆς Ἰταλίας γενέσθαι κελεύσητε. Κὰν τῷ τέλει τῆς ἐπιστολῆς ἐξηγεῖται, ὁποῖόν τι δέεται τοῦ βασιλέως· « Βοηθήσατε, φησὶ, τοῖς ὀρθοδόξοις κατὰ τὸ ὑμέτερον καὶ πατρῷον ἦθος· δότε παῤῥησίαν τοῦ ἐκδικεῖσθαι τὴν πίστιν· ἣν (εἰρήσεται δὲ μετὰ τῆς ὀφειλομένης τῇ βασιλείᾳ ὑμῶν αἰδοῦς), οὐ βία, οὐ φόβος τοῦ κόσμου οὐδεὶς ἀποκινῆσαι δυνήσεται· ἅμα γὰρ τῷ πράττειν τὰ ἐκκλησιαστικὰ καὶ τὰ τῆς ἡμετέρας πράττομεν βασιλείας καὶ σωτηρίας, ἵνα ἡσύχως τῶν ὑμετέρων ἐπαρχιῶν δεσπόζητε· ὑπεραγωνίσασθε κατὰ τῶν αἱρετικῶν, ἀκράδαντον τηροῦντες τῆς Ἐκκλησίας τὸ κτάστημα, ἵνα καὶ τὸ ὑμέτερον βασίλειον κρατύνηται τῇ δεξιᾷ τοῦ Χριστοῦ. »

tore accepisset. Non est ergo imperatorum congregare synodos, nisi per ministerii modum; qua ratione Dioscorus non debebat vindicare sibi principem locum. Et subdit papa: « Quia sacramento veræ divinitatis et veræ in Christo humanitatis a paucis impie nunc obviatur, omnes partium nostrarum Ecclesiæ, omnes mansuetudini vestræ cum gemitibus et lacrymis supplicant sacerdotes, ut quia et nostri fideliter reclamarunt, et eisdem libellum appellationis Flavianus episcopus dedit, generalem synodum jubeatis intra Italiam celebrari. » Et in fine Epistolæ declarat, cujusmodi rem petat ab imperatore; « Favete, inquit, Catholicis vestro more parentumque vestrorum. Date defendendæ fidei libertatem, quam, salva clementiæ vestræ reverentia, nulla vis, nullus poterit mundanus terror auferre. Cum enim Ecclesiæ causas, tum regni vestri agamus et salutis, ut provinciarum vestrarum quieto jure potiamini, defendite contra hæreticos inconcussum Ecclesiæ statum, ut et vestrum Christi dextera defendatur imperium. »

Ζητεῖ γοῦν ὁ πάππας τὴν σύνοδον ὡς παρὰ προμαχοῦντος καὶ ἐκδίκου τοῦ βασιλέως, ἵνα καὶ αὐτὸς τῶν ὑπηκόων ἡσύχως δεσπόζῃ. Καὶ οὐκ αἰτεῖται ἀντὶ μεγάλου τινὸς ὅπερ σὺν τῷ δικαίῳ οὐκ εἶχεν· ὅτι δὲ χωρὶς τινος ἀντιλογίας τοῦτ' ἀληθὲς, καὶ τὸ ζητεῖν παρὰ βασιλέως τὴν σύνοδον οὐκ ἔστιν ὑφαίρεσις τῆς ἐκκλησιαστικῆς ἐξουσίας, αὐτὸς διδάξει Λέων ὁ Μέγας ἐν οἷς γράφει πρὸς τοὺς ἐπισκόπους τῆς ἁγίας συνόδου· « Ἵνα ἡ καθόλου ὑμῶν ἀδελφότης, καὶ ἀπάντων τῶν πιστῶν αἱ καρδίαι γνῶσιν, ἐμὲ μὴ διὰ τῶν ἀδελφῶν μόνον, οἳ τοποτηροῦντες ἐμοὶ ἦσαν, ἀλλὰ καὶ δι' ἐπικυρώσεως τῶν ἐν τῇ συνόδῳ πεπραγμένων ὁμογνωμονῆσαι ὑμῖν περὶ μόνην τῆς πίστεως τὴν ὑπόθεσιν· δι' ἣν καὶ θεσπίσματι τῶν Χριστιανῶν βασιλέων, καὶ συναινέσει τοῦ ἀποστολικοῦ θρόνου οἰκουμενικὴν σύνοδον ἔδοξε συναχθῆναι. »

Petit ergo synodum papa ab imperatore tanquam propugnatore et vindice, ut et ipse subditis quiete dominetur, non loco rei magnæ, quod sui juris non erat. Hoc autem esse omnino verum et certissimum, et petere ab imperatore synodum non esse ecclesiasticæ potestatis imminutionem, ipse Leo Magnus docebit in epistola ad episcopos synodi Chalcedonensis: « Ut vestra fraterna universitas, et omnium fidelium corda cognoscant, me non solum per fratres qui vicem meam exsecuti sunt, sed etiam per approbationem gestorum synodalium propriam vobiscum iniisse sententiam, in sola videlicet fidei causa; propter quam generale concilium et ex præcepto Christianorum principum, et ex consensu apostolicæ sedis placuit congregari. »

Τὴν δὲ συναίνεσιν τοῦ ἀποστολικοῦ θρόνου οὕτως ἀναγκαίαν ἡγοῦντο οἱ Ἀνατολικοὶ πρὸς τὰς συνελεύσεις τῶν συνόδων, ὥστε καὶ Λέων ὁ Ἴσαυρος, ὡς εἴρηται, ὁ Εἰκονομάχος, τὴν ἑαυτοῦ μανίαν κρατῦναι βουλόμενος ἔγραφε τῷ Ῥώμης Γρηγορίῳ, ὡς ἔστιν ἰδεῖν ἐν ταῖς πρὸ τῶν Πρακτικῶν τῆς ζ' συνόδου ἐπιστολαῖς, ἵνα οἰκουμενικὴ σύνοδος γένηται. Ἀντέγραφε δὲ ὁ πάππας· « Ἔγραψας ἵνα οἰκουμενικὴ σύνοδος γένηται, καὶ ἡμῖν ἀπρόσφορον ἐφάνη περὶ τούτου. Σύνθου, ὅτι ἐπηκούσαμέν σου, καὶ συνηθροίσθησαν ἀπὸ πάσης τῆς οἰκουμένης οἱ ἀρχιερεῖς, » καὶ τὰ ἑξῆς.

Consensum porro sedis apostolicæ adeo necessarium censebant Orientales in celebrandis synodis, ut Leo quoque Isaurus, ut dictum est, volens iconomachiæ suæ insaniam stabilire, scripserit ad Gregorium II ut œcumenicam synodum fieri juberet. Papa vero respondit: « Scripsisti ut concilium universale cogeretur, et nobis inutilis ea res visa est. Finge nos te audisse, et ex universo terrarum orbe pontifices congregatos esse, » etc.

Καὶ σὺ μὲν λέγεις, ὅτι Λέων ὁ πάππας ᾔτει παρὰ Θεοδοσίου τοῦ βασιλέως ἀντὶ μεγάλου τινὸς τὸ συγκροτηθῆναι σύνοδον οἰκουμενικὴν τῇ ἐκείνου κατανεύσει· ἡμεῖς δέ φαμεν, ὅτι Λέων ὁ βασιλεὺς ᾔτειτο τὸν πάππαν ἀντὶ μεγάλου τινὸς τὸ κατανεῦσαι τοῦ πάππα συγκροτηθῆναι οἰκουμενικὴν σύνοδον. Εἰ τοίνυν ἡ συναίνεσις τοῦ πάππα ἀναγκαία, οὐκ ἀλη-

Et tu quidem dicis, Leonem papam loco magnæ rei petiisse a Theodosio imperatore ut ejus nutu synodus œcumenica cogeretur; nos autem dicimus, Leonem imperatorem petiisse loco magnæ rei a papa ut ejus nutu celebraretur synodus œcumenica. Si ergo necessarius est papæ consensus, falsum est, ad imperatores, non ad episcopos id

pertinere, ut tu dicis. Nam quod per imperatorum decreta convenerint synodi, non arguit in imperatoribus potestatem, sed obsequium, et ministerium, et propugnationem orthodoxæ fidei. Quod etiam imperator Constantinus Pogonatus fatetur in epistola ad Leonem II: « Compluries, inquit, Ecclesia hæresum impetu ægrotavit; at non aliter orthodoxiæ medicinam accepit, quam piorum et Christi amantium imperatorum adhortatione, et Deiferorum sacerdotum consensu et congregatione. »

A

NILUS (Cap. XXIII).

« Si vero quia Petrus Romæ diem suum obiit, idcirco magnam existimas Romanam sedem, certe præferenda erit Hierosolymorum sedes, cum eo in loco Salvator vivificam oppetierit mortem. »

B

CONFUTATIO.

Non hoc ipso quod Romæ mortem obierit, sed quia Petro Romæ vita functo sedes Petri evasit Roma. Tu supra dicebas, cum differentias Petri et Romani episcopi recenseres, Petrum simpliciter audisse: Quodcunque solveris, aut ligaveris, erit ligatum aut solutum in cœlis; cum vero ipse in Romanum episcopum transmitteret gratiam, non dixisse simpliciter, sed cum adjuncto: Ligabis quod ligandum erit, et rursus solves quod opus erit. Fateris ergo tu quoque transmissam a Petro gratiam in episcopum Romanum, sed non talem ac tantam qualem et quantam is habebat. Nobis vero satis erit, talem ac tantam fateri papæ potestatem, qualem quantamque testantur synodi œcumenicæ.

C

Tertia, in qua Cyrillus non abstinet a Nestorii communione, nisi petita facultate a papa; et papa dat Cyrillo auctoritatem potestatemque pronuntiandi sententiam contra Nestorium. In qua de papa dicitur, quod omnium Ecclesiarum curam gerat, et synodus implorat papæ indignationem contra Joannem Antiochenum, et summatim in qua papa damnat Constantinopolitanum, Alexandrino potestatem judicandi dat, et arrogantiæ Antiocheni castigator a synodo excitatur.

D

Quarta, in qua Dioscorus, qui usque adeo insolens exstiterat, ut papam excommunicationi subjecerit, e cœtu episcoporum quibus considebat, ejectus est mandato papæ privatusque sacerdotio. In qua custos vineæ constitutus a Domino prædicatur papa, et Orientalium moderator Ecclesiarum, atque Constantinopolitanæ illustrator Ecclesiæ, apostolico radio Romæ residente. In qua scriptum ab Orientalibus canonem de privilegiis Constantinopolitani rejicit papa, perque sacræ synodi epistolam agnoscitur canonum legislator; et juxta imperiales Gallæ Placidiæ litteras ad Theodosium, habere illam sedem dicitur papa, in qua principa-

Οὐκ ὅτι βασιλέων ἐστὶν, οὐκ ἐπισκόπων τὸ συνάγειν τὰς συνόδους. Καὶ τὸ θεσπίσματι βασιλικῷ συνάγεσθαι οὐ δίδωσιν ἐξουσίαν τοῖς βασιλεῦσιν, ἀλλὰ θεραπείαν καὶ ὑπηρεσίαν, καὶ προστασίαν τῆς ὀρθοδόξου πίστεως· ὅπερ ὁμολογεῖ καὶ ὁ Πωγωνάτος Κωνσταντῖνος ἐν τῇ πρὸς Λέοντα τὸν πάππαν γράφων· « Πολλάκις γὰρ, φησὶν, ἡ Ἐκκλησία ταῖς εἰσβολαῖς τῶν αἱρέσεων ἐπικινδύνως ἐνόσησεν, ἀλλ' οὐχ ἑτέρως ἐδέξατο τῆς ὀρθοδοξίας τὴν ἴασιν, εἰ μὴ ταῖς τῶν εὐσεβῶν καὶ φιλοχρίστων βασιλέων προσκλήσεσι, τοῖς δὲ τῶν θεοφόρων ἱερέων συνεύσεσί τε καὶ συνελεύσεσιν.

ΝΕΙΛΟΣ.

« Εἰ δὲ ὅτι ὁ Πέτρος ἐν Ῥώμῃ τὸν βίον κατέλυσε, διὰ τοῦτο μέγαν τὸν τῆς Ῥώμης θρόνον ἡγῇ, πάντως ὁ τῶν Ἱεροσολύμων τὸ πλέον ἕξει, ἐκεῖ τοῦ Σωτῆρος τὸν ζωοποιὸν καταδεξαμένου θάνατον. »

ΑΝΤΙΡΡΗΣΙΣ.

Οὐ κατ' αὐτὸ τοῦτο, ὅτι κατέλυσε τὸν βίον ἐν Ῥώμῃ, ἀλλ' ὅτι καταλύσαντος ἐκεῖ τὸν βίον, θρόνος γέγονε τοῦ Πέτρου ἡ Ῥώμη. Αὐτὸς σὺ ἐν οἷς ἀνωτέρω γράφεις, τὰς διαφορὰς ἀπαριθμούμενος Πέτρου καὶ τοῦ ἐπισκόπου Ῥώμης ἔλεγες, ὅτι ὁ μὲν Πέτρος ἁπλῶς ἤκουσεν· Ὃ λύσεις ἢ δήσεις, ἔσται δεδεμένον ἢ λελυμένον ἐν τοῖς οὐρανοῖς· πρὸς δὲ τὸν Ῥώμης αὐτὸς διαβιβάζων τὴν χάριν, οὐχ ἁπλῶς εἴρηκεν, ἀλλὰ, Δήσεις ὃ δεῖ δεθῆναι, καὶ λύσεις πάλιν μετὰ τοῦ δέοντος. Ὁμολογεῖς καὶ σὺ διαβιβασθῆναι παρὰ τοῦ Πέτρου τὴν χάριν εἰς τὸν Ῥώμης ἐπίσκοπον, πλὴν οὐ τοσαύτην καὶ τοιαύτην, οἵαν καὶ ὅσην ἐκεῖνος εἶχεν. Ἡμεῖς δὲ ἀρκεσθησόμεθα τοσαύτην καὶ τοιαύτην ἐν αὐτῷ ἐξουσίαν ὁμολογοῦντες, ὅσην καὶ οἵαν αὐτῷ προσμαρτυροῦσιν αἱ οἰκουμενικαὶ σύνοδοι.

Ἡ γ', καθ' ἣν Κύριλλος οὐκ ἀφίσταται τῆς κοινωνίας τοῦ Νεστορίου χωρὶς τῆς ἐξουσίας τοῦ πάππα καὶ ὁ πάππας δίδωσιν αὐθεντίαν καὶ ἐξουσίαν τῷ Κυρίλλῳ τοῦ ἀποφήνασθαι κατὰ Νεστορίου· ἐν ᾗ ὁ πάππας κηρύττεται πασῶν τῶν Ἐκκλησιῶν ἔχειν τὴν φροντίδα· καὶ ἡ σύνοδος προκαλεῖται τοῦ πάππα τὴν ἀγανάκτησιν κατὰ τοῦ Ἀντιοχείας Ἰωάννου· καὶ ἁπλῶς εἰπεῖν, ἐν ᾗ ὁ πάππας τὸν Κωνσταντινουπόλεως κατακρίνει, τῷ Ἀλεξανδρείας ἐξουσίαν δίδωσι τοῦ κρίνειν, καὶ κατὰ τῆς προπετείας τοῦ Ἀντιοχέως παρὰ τῆς συνόδου σωφρονιστὴς διεγείρεται.

Ἡ δ', καθ' ἣν Διόσκορος, ὁ τοσοῦτον τολμήσας, ὥστε καθυποβαλεῖν ἀφορισμῷ τὸν πάππαν, τοῦ χοροῦ τῶν ἐπισκόπων, οἷς συνεκαθέζετο, ἐξεώσθη τῇ αὐθεντίᾳ τοῦ πάππα, καὶ τῆς ἱερωσύνης ἐγυμνώθη. Ἐν ᾗ συνόδῳ ὁ πάππας φύλαξ τῆς ἀμπέλου παρὰ τοῦ Σωτῆρος εἶναι κηρύττεται, καὶ κηδεμὼν τῆς Ἀνατολῆς Ἐκκλησιῶν, καὶ τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας, τῆς ἀποστολικῆς ἀκτῖνος ἐν Ῥώμῃ κρατούσης. Καθ' ἣν σύνοδον ὁ πάππας ἀκυροῖ τὸν ἐκτεθέντα παρὰ τῶν Ἀνατολικῶν κανόνα περὶ τῶν πρεσβείων Κωνσταντινουπόλεως, καὶ διὰ συνοδικῆς ἐπιστολῆς θεσμοθέτης τῶν κανόνων ἐπιγινώσκεται· καὶ κατὰ τὸ βασιλικὸν γράμμα Γάλλας

Πλακιδίας πρὸς Θεοδόσιον, ἐκεῖνον ἔχειν τὸν θρόνον ὁ πάππας ἀναγορεύεται, ἐν ᾧ τὸ πρωτεῖον τῆς ἐπισκοπικῆς ἀξίας καθίδρυσεν ὁ τὰς κλεῖς δέξασθαι τὰς οὐρανίους ἀξιωθείς.

Ἡ ς' σύνοδος, ἧς φασιν οἱ Πατέρες ἐν τῷ προσφωνητικῷ πρὸς τὸν βασιλέα Κωνσταντῖνον· « Ὁ δὲ κορυφαιότατος ἡμῖν συνηγωνίζετο πρωτοπόστολος· τὸν γὰρ ἐκείνου μιμητὴν, καὶ τῆς καθέδρας διάδοχον εἴχομεν ὑπλείφοντα. »

Εἰ γοῦν διάδοχος τοῦ Πέτρου ὁ πάππας, καὶ τοιοῦτος διάδοχος, οἷον αἱ οἰκουμενικαὶ σύνοδοι προσμαρτυροῦσι, τὴν αὐτὴν δηλαδὴ τῷ Πέτρῳ ἐξουσίαν ἔχων, ὡς καὶ ἐν τῇ β' πράξει τῆς ζ' συνόδου διαρρήδην βοᾷ Ἀδριανὸς ὁ πάππας γράφων· αὐτὸς γὰρ ὁ ἔξαρχος τῶν ἀποστόλων, ὁ μακάριος Πέτρος, ὁ πρῶτος τῆς ἀποστολικῆς καθέδρας προεδρεύσας, τῆς ἀποστολικῆς αὐτοῦ ἀξίας τὴν ἀκρότητα καὶ ποιμαντικῆς φροντίδος κατέλιπε τοῖς ἑαυτοῦ διαδόχοις, οἵτινες ἐπὶ τοῦ ἱερωτάτου αὐτοῦ θρόνου εἰς τὸ διηνεκὲς καθεδοῦνται· οἷς καὶ τὴν ἐξουσίαν, καθὼς αὐτῷ παρὰ τοῦ Σωτῆρος δεσπότου Θεοῦ ἐδόθη, καὶ αὐτὸς τοῖς διαδόχοις αὐτοῦ ἀρχιερεῦσιν θείᾳ προστάξει παρέδωκε καὶ παρακατέθετο· πῶς λέγεις, ὅτι ἄλλως εἶχε τὴν ἐξουσίαν ὁ Πέτρος, καὶ ἄλλως ὁ πάππας, ἐκεῖνος ἁπλῶς, οὗτος οὐχ ἁπλῶς, τῶν συνόδων τἀναντία διδασκουσῶν; Καὶ διὰ τοῦτο μέγας ὁ Ῥώμης θρόνος, ὅτι καταλύσας ἐκεῖ τὸν βίον ὁ Πέτρος, διάδοχον ἰσοδυναμοῦντα τὸν πάππαν κατέλιπεν. Ὁ δὲ τῶν Ἱεροσολύμων οὐχ οὕτως· τοσοῦτον γὰρ ἀπεῖχε τοῦ πρῶτος εἶναι διὰ τὸν ἐκεῖ θάνατον τοῦ Σωτῆρος, ὥστε καὶ τιμηθεὶς, ὑπέκειτο τῇ Καισαρείας μητροπόλει, ὡς φησιν ἡ α' σύνοδος ἐν τῷ ζ' κανόνι· οὐδὲ γὰρ ἔχει διαδοχὴν ἡ τοῦ Χριστοῦ ἱερωσύνη.

tum episcopatus ordinavit qui cœlestes accipere claves dignus fuit.

Sexta synodus, cujus Patres in Prosphonetico ad Constantinum imperatorem, « Summus, inquiunt, nobiscum concertabat apostolorum princeps : illius enim imitatorem et sedis successorem habebamus inungentem. »

Si ergo Petri successor est papa, talisque successor qualem generalia testantur concilia, eamdem scilicet quam Petrus auctoritatem habens, ut actione II septimæ synodi Adrianus papa luculenter asserit in litteris ad imperatores; nam ipse princeps apostolorum beatus Petrus, qui apostolicæ sedi primitus præsedit, sui apostolatus principatus ac pastoralis curæ successoribus suis, qui in ejus sacratissima sede perenniter sessuri sunt, dereliquit; quibus et auctoritatis potestatem, quemadmodum a Salvatore nostro Domino Deo ei concessa est, et ipse quoque suis contulit ac tradidit divino jussu successoribus pontificibus; cur tu dicis, potestatem, sive gratiam aliter in Petro, aliter esse in successoribus; in illo simpliciter, in his non simpliciter, cum synodi contraria doceant? Magna igitur sedes Romæ, quia Petrus illic vita functus successorem æquali potestate præditum reliquit papam. At Hierosolymitanus non ita: tantum enim abest ut propter Salvatoris mortem primatu gaudeat, ut etiam honore auctus subjaceret Cæsariensi metropoli, ut septimo suo canone prima synodus ait : Christi enim sacerdotium nullum potest habere successorem.

## ΝΕΙΛΟΣ.

« Εἰ δέ σε θορυβεῖ τὸ τῆς τιμῆς μέγεθος, ὃ παρὰ τῶν μακαρίων Πατέρων ὁ τῆς Ῥώμης ἐκληρώσατο θρόνος, τάξεως φυλακὴν τὸ τοιοῦτον ἡγοῦ. Μέγα δὲ παρὰ τοῖς ἁγίοις ἡ τάξις, ἡ καὶ τὰ οὐράνια συνέχει καὶ τὰ ἐπίγεια. »

## NILUS (Cap. XXIV).

« Si vero te commovet honoris papæ magnitudo, quam a beatis Patribus Romana sedes sortita est, factum hoc puta servandi ordinis gratia. Magni autem fit a sanctis Patribus ordo, qui et cœlestia continet et terrestria. »

## ΑΝΤΙΡΡΗΣΙΣ.

Πανταχοῦ κατὰ τῆς ἀρχῆς τοῦ πάππα μηχανώμενος, παρὰ τῶν μακαρίων Πατέρων αὐτὴν κατάγεις· καὶ ὡς ἀποδεδειγμένον λαμβάνεις τὸ σοὶ δοκοῦν, ἀντιφθεγγομένας ἔχων τὰς ἁγίας συνόδους, ὧν σὺ καὶ οἱ κατὰ σὲ τοῖς θεμελίοις ἐπερείδεσθαι, οὐκ οἶδ' ὅπως, μεγαληγορεῖτε. Παρὰ τῶν Πατέρων γοῦν νενομοθετῆσθαι λέγων τὸ μέγεθος τῆς τοῦ πάππα τιμῆς, ἐκεῖθεν καὶ τὴν τάξιν γενεαλογεῖς. Εἶτα τοῖς μὲν οὐρανίοις καὶ ἐπιγείοις τάξιν ἀπονέμεις θεοφύτευτον καὶ φυσικὴν, τῇ δὲ ἐκκλησιαστικῇ ἱεραρχίᾳ παρὰ τῶν Πατέρων οἰκονομηθεῖσαν, τοῦ Σωτῆρος λέγοντος· *Καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν.* Οἰκοδομήσαντος οὖν τοῦ Χριστοῦ τὴν

## CONFUTATIO.

Dum omnes machinas adhibes contra primatum papæ, a beatis Patribus ubique illum deducis; et quasi demonstratum accipis quod tibi placet, contradicentibus tibi sacris conciliis : quorum fundamentis inniti tu tuique similes nescio qua fronte jactatis.

Itaque papæ magnitudinem a Patribus acceptam ponens, inde etiam ordinis seriem pendere ais. Et cœlestibus quidem ac terrestribus ordinem tribuis a Deo datum et naturalem, hierarchiæ vero ecclesiasticæ ordinem a Patribus destinatum, cum Salvator dicat : *Et super hanc petram ædificabo Ecclesiam meam* [11]. Cum ergo Christus ædificaverit Ecclesiam, necessarium est ut ab eodem sit ædificii

[11] Matth. xvi, 18.

fundamentum cum ipse sit qui petram et fundamentum catholicæ Ecclesiæ jecit, juxta voces actorum tertiæ synodi, ubi Philippus, apostolicæ sedis legatus, aiebat actione 3: « Omnibus sæculis notum est, quod sanctus et beatissimus Petrus, apostolorum princeps et caput, columna fidei, catholicæ Ecclesiæ fundamentum, a Domino nostro Jesu Christo regni claves accepit; et ipsi data est potestas ligandi ac solvendi peccata. Qui ad hoc usque tempus et in perpetuum vivit in suis successoribus, et judicium exercet. »

Super hoc fundamento a Deo posito et prima synodus sanxit, servanda esse Ecclesiarum privilegia juxta mores antiquos; et secundam a sede Romana agnoscit Alexandrinam, tertiam Antiochenam; et post eas honorari vult etiam Hierosolymitanam, salva dignitate metropolis. Et tertia synodus (act. 5), in Relatione ad Cœlestinum: « Indignetur, ait, Tua Sanctitas convenienter adversus Joannem Antiochenum. Nam si licebit volentibus quibusque sedes etiam majores afficere injurlis, in extremam ibunt confusionem Ecclesiæ res. »

In his sancta illa synodus agnoscit papam ordinis Ecclesiarum custodem, sicuti quarta synodus custodem vineæ a Domino constitutum. Non ergo habuit a Patribus papa magnitudinem propter ordinem a Patribus illi datum, sed quia honorabile est, quod divinum et excellentius est, et Petrus vivit et judicat in successoribus, magnitudo honoris papæ est a dignitate Petri. Itaque quod ais, servandi ordinis gratia esse magnitudinem honoris papæ, si recte intelligatur, verum est; falsum, ut tu intelligis. Tu enim nudum ponis ordinem, et primatum nudi ordinis a Patribus, sanctæ vero synodi ordinem jurisdictionis fatentur in papa, et hunc lege Christi: ut sit per te magnitudo honoris papæ forinsecus, cum secundum veritatem intrinsecus sit. Cæterum admiratione dignum est quod adeo graviter philosopheris de ordine deque magnitudine honoris papæ, cum vos ordinem juxta mores antiquos, ut inquit prima synodus, rejeceritis, et Constantinopolitanum multis artibus usi secundum constitueritis, deinde quamvis ordine secundum iisdem decreveritis gaudere privilegiis quibus et papa; ex quo factum ut primatum papæ redegeritis in sedendi et numerandi priorem locum. Postea crescente paulatim audacia titulum œcumenici Constantinopolitanus sibi arrogavit, ne inferior esse nova Roma videretur, sed ut re vera œcumenicus est papa, ita illum æmularetur, qui per vos est illi æqualis. Unde factum ait duorum sit in Ecclesia principatus, quia duo sunt capita per vos. Cum ad hoc pervenisset audacia, visum est vobis sejungi a papa, nihil ex hoc mali futurum opinantibus, quod haberetis Constantinopolitanum caput æquipollens papæ. Schisma vero, torrentis instar vi erumpentis, multam dog-

Ἐκκλησίαν, ἀνάγκη παρ' αὐτοῦ ἐκείνου καὶ τὸν θεμέλιον εἶναι τῆς οἰκοδομῆς, εἴπερ αὐτὸς κατεβάλετο τὴν Πέτραν καὶ τὸν θεμέλιον τῆς καθολικῆς Ἐκκλησίας, κατὰ τὰς φωνὰς τῶν Πρακτικῶν τῆς γ' συνόδου, ἔνθα Φίλιππος τῆς ἀποστολικῆς καθέδρας πρεσβευτὴς ἔλεγεν· « Ὅτι ὁ ἅγιος καὶ μακαριώτατος Πέτρος, ὁ ἔξαρχος καὶ κεφαλὴ τῶν ἀποστόλων, ὁ κίων τῆς πίστεως, ὁ θεμέλιος τῆς καθολικῆς Ἐκκλησίας ἀπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὰς κλεῖς τῆς βασιλείας ἐδέξατο· καὶ αὐτῷ δέδοται ἐξουσία τοῦ δεσμεῖν καὶ λύειν ἁμαρτίας· ὅστις ἕως τοῦ νῦν καὶ ἀεὶ ἐν τοῖς αὐτοῦ διαδόχοις καὶ ζῇ καὶ δικάζει. »

Ἐπὶ τούτῳ τῷ θεοπροβλήτῳ θεμελίῳ καὶ ἡ πρώτη σύνοδος τὰ πρεσβεῖα σώζεσθαι τῶν Ἐκκλησιῶν κατὰ τὰ ἀρχαῖα ἔθη θεσπίζει, καὶ μετὰ τὸν Ῥώμης θρόνον οἶδε τὸν Ἀλεξανδρείας, τρίτον τὸν Ἀντιοχείας, μεθ' οὓς τιμᾶσθαι βούλεται καὶ τὸν Ἱεροσολύμων σωζομένου τοῦ ἀξιώματος τῇ μητροπόλει. Καὶ ἡ γ' σύνοδος ἐν τῇ ἀναφορᾷ πρὸς Κελεστῖνον τὸν πάππαν, « Ἀγανακτησάτω, φησὶν, ἡ σὴ ὁσιότης κατὰ τοῦ Ἀντιοχείας Ἰωάννου. Εἰ γὰρ ἔσθειη τοῖς ἐθέλουσιν ἄδεια καὶ τοὺς μείζονας ὑβρίζειν θρόνους, εἰς ἔσχατον ἀταξίαν τὰ τῆς Ἐκκλησίας πράγματα. »

Ἐν τούτοις ἡ ἁγία ἐκείνη σύνοδος ἐπιτιννύσκει τὸν πάππαν φύλακα τῆς τῶν Ἐκκλησιῶν τάξεως, καθάπερ ἡ δ' σύνοδος φύλακα τῆς ἀμπέλου παρὰ τοῦ Σωτῆρος. Οὐκ ἄρα ἔλαβε παρὰ τῶν Πατέρων ὁ πάππας τὸ μέγεθος τῆς τιμῆς διὰ τὴν τάξιν, ἣν αὐτῷ οἱ Πατέρες ἐδώκασιν· ἀλλ' ἐπειδὴ τίμιον τὸ θεῖον καὶ βέλτιον, καὶ ὁ Πέτρος ἐν τοῖς διαδόχοις ζῇ καὶ δικάζει, τὸ μέγεθος τῆς τοῦ πάππα τιμῆς ἐκ τῆς ἀξίας ἐστὶ τοῦ Πέτρου. Ὥστε ὅπερ λέγεις, τὸ μέγεθος τῆς τοῦ πάππα τιμῆς εἶναι φυλακὴν τάξεως, ὀρθῶς νοούμενον ἀληθές ἐστιν· κατὰ σὲ δὲ νοούμενον, ψευδές. Σὺ μὲν γὰρ ψιλὴν ἐν τῷ πάππᾳ τάξιν λέγεις, καὶ πρωτείων τάξεως παρὰ τῶν Πατέρων· αἱ δὲ ἅγιαι σύνοδοι τάξιν ἐξουσίας ἐν τῷ πάππᾳ ὁμολογοῦσι, καὶ ταύτην θεσμοθεσίᾳ τοῦ Χριστοῦ· διὸ κατὰ σὲ τὸ μέγεθος τῆς τιμῆς τοῦ πάππα θύραθεν, κατὰ δὲ τὴν ἀλήθειαν οἰκοθέν ἐστιν. Θαυμαστὸν δὲ, πῶς μάλα σεμνῶς φιλοσοφεῖς περὶ τάξεως καὶ περὶ μεγέθους τῆς τιμῆς τοῦ πάππα· τὴν μὲν γὰρ τάξιν ὑμεῖς ἀπεσκορακίσατε τὴν κατὰ τὰ ἀρχαῖα ἔθη κατὰ τὴν α' σύνοδον, καὶ πολυμηχανίᾳ δεύτερον τὸν Κωνσταντινουπόλεως κατεστήσατε· εἶτα καὶ δεύτερον, τῶν ἴσων ὅμως ἀπολαύειν πρεσβείων τῷ τῆς πρεσβυτέρας Ῥώμης ἐψηφίσασθε, κἀντεῦθεν τὸ πρωτεῖον τοῦ πάππα εἰς πρωτοκαθεδρίαν καὶ προαριθμησιν περιεστήσατε. Εἶτα ταῖς κατὰ μικρὸν τολμηραῖς ἀναβάσεσιν οἰκουμενικὸν ἑαυτὸν ὁ Κωνσταντινουπόλεως ἐπέγραψεν, ἵνα μὴ δοκῇ μειονεκτεῖν τῆς παλαιᾶς Ῥώμης ἡ νέα, ἀλλ' ὥσπερ οἰκουμενικὸς τῷ ὄντι ὁ πάππας, οὕτως ἀνθαμιλλῶτο πρὸς αὐτὸν ὁ τῶν ἴσων ἀξιωθεὶς παρ' ὑμῶν. Καὶ τοῦτον τὸν τρόπον διαρχία περιγέγονε τῇ Ἐκκλησίᾳ, δικεφάλῳ οὔσῃ καθ' ὑμᾶς. Τῆς τόλμης ἐς τοσοῦτον ἐληλακυίας ἔδοξεν ὑμῖν ἀποσχισθῆναι τοῦ πάππα, καὶ μηδὲν οἴεσθαι παρὰ τοῦτο πάσχειν δεινὸν, ἔχοντας τὸν

Κωνσταντινουπόλεως κεφαλὴν ἰσοδυναμοῦσαν τῷ πάππᾳ. Τὸ δὲ σχίσμα ὥσπερ χειμάρρους βίᾳ ἐκραγεὶς πολὺν συρφετὸν δογμάτων συνεφειλκύσατο. Ἵνα γὰρ μὴ παράλογον δόξῃ τὸ τόλμημα, τὴν καλουμένην παρ' ὑμῶν ἐν τῷ συμβόλῳ προσθήκην ἐπενοήσατε, ὅτι δὴ Λατῖνοι τὸ πκρὰ τῆς γ' ὁρισθὲν, ὡς φατὲ, συνόδου παραβάντες γεγόνασιν ὑπὸ ἀνάθεμα. Μετὰ ταῦτα καὶ αὐτὸ τὸ δόγμα, τὴν καὶ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν τοῦ παναγίου Πνεύματος διασύρειν ἐπεχειρήσατε, τί μὴ λέγοντες, τί μὴ γράφοντες; Ἅμα δὲ καὶ τὴν Σαββάτου νηστείαν κωμῳδεῖν ἠξιώσατε ἀποστολικόν τινα προβαλλόμενοι κανόνα τὸν μέχρι τῆς τότε μάχης ἐν γωνίᾳ που κείμενον, ὡς ἐπίπλαστον, καὶ τῇ ἀρχαιότητι ἄγνωστον. Τούτοις ἐξηκολούθησε καὶ ἡ κατὰ τοῦ ἀζύμου φιλονεικία, διατεινομένων ὑμῶν Ἰουδαϊκὸν εἶναι τὸ ἄζυμον, καὶ τοὺς Λατίνους ἀζυμίτας καλούντων. Ἐπὶ τούτοις ἀνέκυψε καὶ ἡ τοῦ καθαρτηρίου ἀπάρνησις, καὶ τῆς ἀπολαύσεως τῶν ἁγίων· πλείους γὰρ ἀεὶ τὰς διαφορὰς ἐπεσώρευεν ἡ διχόνοια μὴ μόνον ἐν δόγμασιν, ἀλλὰ κἀν διαφόροις θρησκεύμασιν. Οὕτω Λατινικὸν ὑμῖν δοκεῖ ἡ ὀσημέραι γονυκλισία, καὶ τὸ ἱεροὺς ἐγείρειν τῶν ἁγίων ἀνδριάντας. Ἐῶ λέγειν, ὅτι χωρίζοντες τὰ ἀνδρόγυνα τὴν τετραγαμίαν ἀθετεῖτε. Καὶ φρονοῦντες οὕτω, καὶ οὕτω πολιτευόμενοι μεγαλαυχεῖτε, ὡς πόρρω τῶν νεωτερισμῶν καθεστηκότες, καὶ ἀπαράτρωτα τὰ ἀρχαῖα φυλάττοντες. Ποία γοῦν τάξις ἐν τούτοις; ἢ ποῖον μέγεθος παρ' ὑμῖν τῆς τιμῆς τοῦ πάππα; Ὑμεῖς αὐτὸν ἐξεώσατε τῶν διπτύχων· ὑμεῖς αὐτὸν οὐκ ἔχετε ὀρθόδοξον· καὶ τὸ μέγιστον αὐτῷ ἀπανέμετε, ἐὰν, φησὶν, ὀρθόδοξος ᾖ, πρωτοκαθεδρίαν καὶ προαρίθμησιν. Τί δὲ ἄλλο ταῦτα ἢ ἀταξία καὶ σύγχυσις, καὶ ἀντινομοθετεῖν τῷ Χριστῷ, καὶ ἀντιλέγειν ταῖς οἰκουμενικαῖς τῶν συνόδων;

matum colluviem secum pertraxit. Ut enim videremini non sine justis causis ausi quod fecistis, additamentum Symbolo, ut vocatis, factum criminamini, et Latinos tertiæ synodi decretum violasse dicitis, ac inde anathemati subjectos esse. Post hæc ipsum quoque dogma, nimirum processionem sancti Spiritus a Filio, reprobare cœpistis, quid non dicentes, quid non scribentes! præterea jejunium Sabbati reprehendere, prætextu cujusdam canonis, quem apostolicum dicitis; qui ad ea usque tempora latens tunc emersit, nempe ut fictus et antiquitati incognitus. Hæc subsecuta est contentio de azymo, asserentibus vobis illud esse Judaicum, Latinosque vocantibus azymitas. Hinc ortum habuit opinio purgatorium negans et fruitionem sanctorum; plures enim discrepantias accumulabat in dies dissidium non solum per dogmata, sed etiam in exteriori cultu religionis. Ita vobis Latini moris esse videtur quotidiana genuum flexio et sacrarum statuarum erectio. Taceo quod, divortia vinculi permittentes, tetragamiam improbatis. Atque ita sentientes et his legibus viventes, gloriamini quod nullam admiseritis novitatem, et integram servetis antiquitatem. Quis ergo in his ordo? aut quæ apud vos magnitudo honoris papæ? Vos illum e diptychis expunxistis, vos illum non habetis orthodoxum; et quod illi summum conceditis est ut primus sedeat, et numeretur primus, dum catholicus sit. At quid aliud hæc sunt quam ordinis confusio, et legum Christi oppugnatio, et synodorum œcumenicarum contemptio?

## ΝΕΙΛΟΣ.

« Ἀλλ' οὐκ ἔστι, φησὶ, τοῦ πάππα χωρὶς τὰ ἐκκλησιαστικὰ κανονίζεσθαι. Καλῶς γε. Ἀλλ' οὐδὲ τῷ πάππᾳ τῶν ἄλλων χωρὶς, ἕως ἂν τοῖς τῶν ἀποστόλων νόμοις πειθόμενος ᾖ. Ἀνάγνωθι ἀποστόλων κανόνα λδ'· « Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν, καὶ μηδέν τι πράττειν περιττὸν ἄνευ τῆς ἐκείνου γνώμης. Ἀλλὰ μηδ' ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι· οὕτω γὰρ ὁμόνοια ἔσται, καὶ δοξασθήσεται ὁ Θεός.

## NILUS (Cap. XXV).

« An non licet, inquiunt, sine papa ecclesiasticis negotiis regulam dari. Ita plane. Verum nec papæ sine aliis licet, dum regulis apostolicis parere velit. Lege apostolorum canonem 34: « Episcopos cujusque gentis scire oportet quis eorum primus sit, et loco capitis eum habere, nihilque agere modum excedens, id est, ad provinciam pertinens, inconsulto illo. Sed nec ille quidquam agat præter voluntatem omnium; ita enim erit concordia, et glorificabitur Deus. »

## ΑΝΤΙΡΡΗΣΙΣ.

Τοῦτον τὸν κανόνα ἡ ἐν Ἀντιοχείᾳ σύνοδος εἶναι Πατέρων φησὶν, οὐχὶ ἀποστόλων. Πλὴν ἔστω καὶ τοῦτο σὴν χάριν. Ἀλλὰ τὸ τοὺς κανόνας τούτους ὡς ταυτοδυνάμους λαμβάνειν, καὶ ἐκ τοῦ ἀντιστρέφειν τὸν δεύτερον, ἀντιστρέφοντα ποιεῖν καὶ τὸν πρῶτον, πολλῆς ἐστιν ἐθελοκακίας. Ὁ πρῶτος βούλεται τῶν ἐκκλησιαστικῶν ἁπάντων εἶναι κανόνα τὸν πάππαν· ὁ β' τῶν κατὰ μέρος Ἐκκλησιῶν τὰ μέρη σύμπνοα βούλεται καὶ ὁμόφωνα· ὁ α' τὰ ἐκκλησιαστικὰ λέγει πρὸς κατάρτισμὸν ἑκάστης Ἐκκλησίας συντείνοντα, μὴ δεῖν εἰς κανόνος δύναμιν προβαίνειν χωρὶς τοῦ πάπα· ὁ β' τοῖς ἐπαρχιώταις ἐπισκόποις διακελεύεται μηδὲν πράττειν περιττὸν, τουτέστιν, ὡς

## CONFUTATIO.

Hunc canonem Antiochena synodus suo canone Patrum esse dicit, non apostolorum. Sed esto ut vis; certe canonem antiquissimum, ut sine papa non liceat Ecclesias regulari; et canonem quem profers, sumere tanquam æquivalentes: et quia posterior convertitur, velle ut prior etiam convertatur, hoc est animi mala sponte amplectentis. Primus mandat ut papa sit regula omnium ecclesiasticarum rerum: posterior, ut provincialium Ecclesiarum membra conveniant et concordent. Prior ecclesiastica inquit, quæ ad perfectum cujusque Ecclesiæ statum spectant, non esse in canonum formam redigenda sine papa; alter præcipit

ut provinciales episcopi nihil modum excedens agant; hoc est, ut exponit Antiocheua synodus, quod ad suam cujusque diœcesim non spectet: hujusmodi enim, cum ulteriora sint, agere debet metropolita cum episcopis. Cur ergo ex conversione secundi colligis converti etiam primum, perinde ac si ex regulis aristocratiæ transire liceret ad regias? proportione enim hæc sibi respondent: Non licet sine papa regulari ecclesiastica, et non licet sine rege legem imponere civitatibus. Rursus respondent: Oportet episcopos cujusque gentis administrare propria, nihil autem modum excedens, hoc est extra diœcesim, agere absque metropolita; nec metropolitam sine episcopis agere, videlicet quod modum excedat; et, Oportet in aristocratico regimine nihil agere ad communitatem pertinens sine optimatum consensu. Sicut ergo non licet ex reciprocatione aristocraticorum inferre reciprocationem in potestatem regiam (neque enim si non licet magistratibus sine archonte, nec illi sine magistratibus, ita civitatibus non licebit sine rege, ne regi sine civitatibus ferre leges: sed illa quidem conversio valet, ista minime): in eumdem modum valet conversio metropolitæ ad episcopos, cum aristocratico modo se habeant: non valet autem conversio Ecclesiarum ad papam. Leges enim fert rex, et papa condit canones; sed non eget rex sociis legislatoribus, nec papa sociis canonum conditoribus. Huic vero sensui concordant Acta synodorum.

Præligebat Cœlestinus regulam Cyrillo, quid agendum, et quæ pœna subeunda Nestorio in tertia synodo: Cyrillus autem non cum papa. Quare et Firmus, Cæsareæ episcopus, in secunda illius synodi actione aiebat: « Antea etiam sententiam tulit, et formam præscripsit apostolica et sancta sedes sanctissimi episcopi Cœlestini; quam nos quoque secuti, exsecutioni illam mandavimus, canonicum apostolicumque judicium intendentes in Nestorium. » Et hæc non semel in secunda et tertia actione legere est. Subjiciebat regulis Leo papa Dioscorum in quarta synodo, quia judicis personam arripuerat, et synodum celebrare ausus fuerat absque obtenta a papa licentia. Quia vero Dioscorus ausus et ipse fuerat regulis subjicere papam, et excommunicatione percellere, hac una de causa depositus est a quarta synodo, ut liquet act. v, ex ipsamet confessione Anatolii Constantinopolitani. Abrogabat pariter idem Leo papa regulam ab Orientalibus factam, et rogantibus ut a papa confirmaretur; et poterat solus papa omnium conatus infringere, illi vero sine papa non poterant ratum facere canonem.

Denique cum sacræ synodi tribuant ut propria papæ, in quibus non habet locum reciprocatio, frustra confugis ad illam. Actione II tertiæ synodi per Philippum, sedis apostolicæ legatum, vocatur papa sanctorum membrorum sanctum caput: et

ἐξηγεῖται ἡ ἐν Ἀντιοχείᾳ σύνοδος, μηδὲν τῇ ἑκάστου παροικίᾳ μὴ ἐπιβάλλον· τὰ τοιαῦτα γὰρ περαιτέρω ὄντα ὁ μητροπολίτης μετὰ τῶν ἐπισκόπων ὀφείλει πράττειν. Πῶς οὖν συνάγεις ἐκ τῆς ἀντιστροφῆς τοῦ β' ἀντιστρέφειν καὶ τὸν πρῶτον, ὥσπερ εἰ τοὺς ὁριστοκρατικοὺς κανόνας ἐξῆν ἐπὶ τοὺς βασιλικοὺς μεταβιβάζειν; ἀνάλογον γὰρ ἔχουσιν αὗται· Οὐκ ἔστι χωρὶς τοῦ πάππα κανονίζειν τὰ ἐκκλησιαστικά· καὶ οὐκ ἔστι χωρὶς τῶν βασιλέων νόμον εἰσφέρειν ταῖς πόλεσι. Καὶ πάλιν αὖται· Χρὴ τοὺς ἑκάστου ἔθνους ἐπισκόπους τὰ οἰκεῖα διοικεῖν, περιττὸν δέ, ἡγοῦν ἔξω τῆς παροικίας, μηδὲν χωρὶς τοῦ μητροπολίτου πράττειν, μηδὲ τὸν μητροπολίτην χωρὶς τῶν ἐπισκόπων, δηλαδὴ περιττόν τι πράττειν. Καί· Χρὴ τοὺς ὁριστοκρατικῶς πολιτευομένους μηδὲν πράττειν τῶν κοινῶν χωρὶς τῆς ἁπάντων γνώμης. Ὥσπερ οὖν οὐκ ἔστιν ἐκ τῆς ἀντιστροφῆς τῶν ὁριστοκρατικῶν ἐπιφέρειν ἀντιστροφὴν καὶ ἐπὶ τῆς βασιλικῆς ἀρχῆς (οὐδὲ γὰρ εἰ χωρὶς τοῦ ἄρχοντος οὐκ ἔξεστι τοῖς ἐν τέλει, οὐδὲ χωρὶς ἐκείνων τῷ ἄρχοντι, οὕτω καὶ ταῖς πόλεσι χωρὶς τοῦ βασιλέως, καὶ τῷ βασιλεῖ χωρὶς τῶν πόλεων οὐκ ἐξέσται νομοθετεῖν· ἀλλ' ἐκείνη μὲν ἡ ἀντιστροφὴ ὑγιῶς ἔχει, αὕτη δὲ οὐδαμῶς)· τὸν αὐτὸν τρόπον ἔρρωται ἡ ἀντιστροφὴ τοῦ μητροπολίτου πρὸς τοὺς ἐπισκόπους ἀριστοκρατικῶς ἐχουσα· οὐκ ἔρρωται δὲ ἡ τῶν Ἐκκλησιῶν πρὸς τὸν πάπαν· νομοθετεῖ γὰρ ὁ βασιλεὺς, καὶ κανονίζει ὁ πάπας· ἀλλ' οὐ δέεται συννομοθετῶν ὁ βασιλεὺς οὔτε συγκανονιστῶν ὁ πάπας.

Ταύτῃ τῇ ἀληθεῖ ἐννοίᾳ συμμαρτυρεῖ τὰ Πρακτικὰ τῶν συνόδων. Ἐκανόνιζε Κελεστῖνος τί πρακτέον Κυρίλλον, καὶ τί οἰστέον Νεστορίῳ ἐν τῇ τρίτῃ συνόδῳ, οὐχὶ δὲ Κύριλλος σὺν τῷ πάππᾳ. Διὸ δὴ καὶ Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας ἔλεγεν ἐν τῇ β' πράξει τῆς συνόδου ἐκείνης· « Καὶ πρότερον ψῆφον ἐπέσχε καὶ τύπον τῷ πράγματι ὁ ἀποστολικὸς καὶ ἅγιος θρόνος τοῦ ἁγιωτάτου ἐπισκόπου Κελεστίνου· ᾧ ἀκολουθήσαντες καὶ ἡμεῖς τὸν τύπον ἐξεβιβάσαμεν, κανονικὴν καὶ ἀποστολικὴν αὐτῷ κατανοήσαντες κρίσιν. » Καὶ τοῦτ' αὐτὸ περιέχει πολλάκις ἡ β' καὶ γ' πρᾶξις. Ἐκανόνιζε Λέων ὁ πάππας τὸν Διόσκορον ἐν τῇ δ' συνόδῳ, ὅτι πρόσωπον κριτοῦ ἥρπασε, καὶ σύνοδον ἐτόλμησε ποιῆσαι δίχα τῆς ἐπιτροπῆς τοῦ πάππα. Ἐπεὶ δὲ ἐτετολμήκει Διόσκορος κανονίσαι καὶ αὐτὸς τὸν πάππαν, καὶ ἀφορισμῷ καθυποβαλεῖν, διὰ τοῦτο καὶ μόνον καθῃρέθη ὑπὸ τῆς ἁγίας δ' συνόδου, ὡς δῆλον καὶ ἐκ τῆς ὁμολογίας Ἀνατολίου τοῦ Κωνσταντινουπόλεως ἐν τῇ ε' πράξει. Ἐκανόνιζεν ὁ αὐτὸς Λέων τοὺς ἀνατολικοὺς Πατέρας τῆς δ' συνόδου δεομένους περὶ τοῦ κη' αὐτῶν κανόνος· καὶ ἠδύνατο μόνος ὁ πάππας ἀκυροῦν τὰς ἁπάντων σπουδάς, ἐκεῖνοι δὲ οὐκ εἶχον ἄνευ τοῦ πάππα κυροῦν τὸν κανόνα.

Ὅλως δὲ προσνεμουσῶν τῷ πάπᾳ τῶν ἁγίων συνόδων ἐκεῖνα τὰ ἰδιώματα, ἐν οἷς ἀδύνατον εἶναι χώραν τῇ ἀντιστροφῇ, μάτην καταφεύγεις ἐπὶ ταύτην. Ἐν τῇ β' πράξει τῆς συνόδου ἐκ τῆς φωνῆς Φιλίππου πρεσβευτοῦ τῆς ἀποστολικῆς καθέδρας τὸν

ται, καὶ δεσμωτήριον οἰκῶσι διαπαντὸς, κἂν ἀναξίοις δουλεύωσι, κἂν πένωνται, κἂν ἐξορύττωνται, κἂν καίωνται, κἂν κατὰ μικρὸν δαπανῶνται τὰ σώματα, κἂν ἑτέρου ἄλλο πάσχωσι δεινόν. Δακρύωμεν δὲ καὶ ταλανίζωμεν τοὺς ἐν ἀσελγείᾳ καὶ πονηρίᾳ καὶ τοῖς ἐσχάτοις ζῶντας κακοῖς, κἂν τῆς παρὰ πάντων ἀπολαύωσι τιμῆς, κἂν διάδημα καὶ ἀλουργίδα περίκεινται, πρὸς αὐτὸν ἀναβάντες τὸν βασιλικὸν θρόνον, κἂν τῆς οἰκουμένης κρατῶσι πάσης· οὐδὲν γὰρ ὄντως ἀθλιώτερον τῆς οὕτω διακειμένης ψυχῆς, κἂν ἅπασαν ὑποτεταγμένην ἔχῃ τὴν οἰκουμένην. Τί γὰρ ὄφελος ἐν χρήμασι πλουτεῖν, ὅταν κατὰ τὴν ἀρετὴν πάντων πενέστερος ᾖ; Τί δὲ κέρδος τοσούτων κρατεῖν, ὅταν ἑαυτοῦ καὶ τῶν ἑαυτοῦ παθῶν περιγενέσθαι μὴ δύνηται; Μὴ θαυμάζωμεν δὲ μόνον τοὺς ἐναρέτους, καὶ τοὺς ἐν κακίᾳ ζῶντας κακίζωμεν, ἀλλὰ καὶ πάσῃ δυνάμει πᾶσαν μὲν φεύγωμεν πονηρίαν, πᾶν δὲ τῆς ἀρετῆς εἶδος, ὡς χρεών, μετερχώμεθα διὰ βίου παντὸς, ἵνα μὴ μάτην μηδὲ εἰκῇ κάμνωμεν, ἀλλὰ καὶ τῆς ἐνταῦθα ἀπολαύσωμεν ἀσφαλείας, καὶ τῆς ἐκεῖ μετάσχωμεν δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΔΙΑΛΕΞΕΩΣ ΔΕΥΤΕΡΑΣ ΗΘΙΚΟΝ.

*Ὅτι οὐ δυσκατόρθωτος οὐδ' ἐπίπονος ἡ ἀρετὴ, ἐὰν κατὰ ταύτην ἐθέλωμεν ζῆν* (1).

α'. Ἀλλ' οὕτω μὲν ὁ Χριστὸς καὶ τῷ Ἰωάννῃ μεγάλα προσμαρτυρεῖ, καὶ ἑαυτὸν ἐκείνου προτίθησιν· ἡμῖν δὲ δείκνυσι μάλιστα πάντων ἀνθρώπων ὁ Ἰωάννης τοιοῦτος ὢν κατὰ τὴν δεσποτικὴν ἀπόφασιν, τί ποτέ ἐστιν ἄνθρωπος, καὶ ὅση τῆς ἡμετέρας φύσεως ἡ εὐγένεια, καὶ ὅσης ἐστὶ δεκτικὸν ἀρετῆς τουτὶ τὸ ζῶον. Ἵσταται γὰρ ὁ Ἰωάννης ἐξ οὗ γέγονεν, ἀεὶ ἀπολογούμενος ὑπὲρ τοῦ Δεσπότου λαμπρᾷ τῇ φωνῇ πρὸς πάντας τοὺς ἐγκαλοῦντας ἡμῶν τῇ κατασκευῇ, καὶ μάλα δεικνὺς ὅτι ἀγγέλων καὶ ἀνθρώπων οὐ πολὺ τὸ μέσον, ἐὰν ἑαυτοῖς προσέχειν ἐθέλωμεν· οὐ γὰρ ἄλλης οὕτως ἀχρὼν φύσεως, οὐδὲ ἑτέρας κοινωνήσας ψυχῆς, οὐδὲ ἄλλον οἰκήσας κόσμον, ἀλλ' ἐν τῇ αὐτῇ γῇ καὶ χώρᾳ καὶ νόμοις τοῖς αὐτοῖς καὶ ἔθεσι τραφεὶς, καὶ ὡς ὁμογενὴς ἡμῶν ὑπὸ τῶν αὐτῶν ἐνοχλούμενος παθῶν, πάντας ἀνθρώπους ὑπερηκόντισε τοὺς, ἐξ οὗ γεγόνασιν ἄνθρωποι, γενομένους· καὶ ὡς ἂν νεκρὸς πρὸς νεκροὺς ἀκίνητος γένοιτο, οὕτω μετὰ ἀκριβείας τῆς φύσεως τὰ σκιρτήματα κατευνάζων, οὐδὲν οὐδέποτε πρὸς οὐδὲν ἀνθρώπινον ἔπαθεν, ἐρρωμένῳ τῷ λογισμῷ τὴν φύσιν ἡνιοχήσας, καὶ περιγενόμενος τῶν ἀτάκτων σκιρτημάτων, καὶ πάσης τῆς τοῦ παρόντος βίου καταγελάσας εὐημερίας, ἅτε δὴ πρὸς μόνην τὴν ἀληθῆ δόξαν ἐπτερωμένος.

β'. Ἀοιπὸν οὖν μηδεὶς λεγέτω τὴν ἀρετὴν δυσκα-

τόρθωτον, τὸν Βαπτιστὴν ἐννοῶν, καὶ μετὰ τούτου τοὺς ἐξ ἐκείνου μέχρι καὶ ἐς δεῦρο καλῶς ἐν ὄρεσιν ἡσυχάζοντας, ἀφιέντας μὲν οἰκίας καὶ γυναῖκας καὶ προστασίαν ἅπασαν, ἔξω δὲ ἑαυτοὺς τοῦ κόσμου ποιοῦντας, καὶ σάκκον περιτιθεμένους, καὶ ὑποστρωννυμένους σποδὸν, καὶ κλοιὰ τῶν τραχήλων ἐξαρτῶντας, καὶ κατακλείοντας ἑαυτοὺς ἐν οἰκίσκῳ μικρῷ, καὶ οὐδὲ μέχρι τούτου ἱσταμένους, ἀλλὰ καὶ νηστείαις καὶ λιμῷ διηνεκεῖ κατατείνοντας ἑαυτοὺς, καὶ σκληρὸν ὄντως καὶ τραχὺν ἀναδεχομένους βίον διὰ τὴν τῶν οὐρανῶν βασιλείαν. Εἰ γὰρ βουλοίμεθα, δυνατὸν καὶ ἡμῖν ὡς ἐκείνοις ἀποστῆσαι μὲν τῆς γῆς ἑαυτοὺς, ἀνελθεῖν δὲ πρὸς οὐρανὸν, οὐ τόπῳ, τρόπῳ δὲ καὶ τῇ προαιρέσει. Εἰ γὰρ τέχνας οὕτω κατορθοῦμεν ὑπερβαινούσας τοὺς πολλοὺς, πολλῷ μᾶλλον δ μὴ τοσούτου δεῖται πόνου. Τί γὰρ, εἰπέ μοι, χαλεπώτερον τοῦ διὰ σχοίνου τεταμένης ἄνω, καθάπερ ἐπὶ ἰσοπέδου, βαδίζειν, καὶ ἄνω ταύτης περιπατοῦντα ὑποδύεσθαι καὶ ἀποδύεσθαι, καθάπερ ἐπὶ κλίνης καθήμενον; Τί δὲ, εἰπέ μοι, χαλεπώτερον τοῦ κόντον ἐπὶ τοῦ μετώπου λαβεῖν, εἶτα ἐπιθέντα ἄνω παιδίον μυρία ποιεῖν, καὶ τέρπειν τοὺς θεατάς; Οὐχὶ οὕτω φρικτὸν ἡμῖν εἶναι δοκεῖ τὸ πρᾶγμα, ὡς μηδὲ θέλειν θεάσασθαι, ἀλλὰ δεδοικέναι καὶ τρέμειν καὶ πρὸς τὴν ὄψιν αὐτήν; Τούτων τοίνυν ἁπάντων εὐκολωτέρα ἡ ἀρετὴ, ἐὰν θέλωμεν, καὶ τὸ πρὸς αὐτὸν ἀναδῆναι τὸν οὐρανόν.

ptistam recogitans et cum eo eos qui ab illo tempore usque adhuc pulchre in montibus in pace vivunt, relictis domibus, uxoribus et omni munere, forasque se mundo mittentes, et sacco circumdati, et cinere conspersi et sibi collaria collo devincientes, et includentes se in domuncula parva, et non hucusque sistentes, sed et jejuniis et fame continua torquentes seipsos et duram plane atque asperam aggressi vitam propter cœlorum regnum. Si enim velimus, possibile est nobis, ut istis, extollere nosmetipsos a terra et ascendere ad cœlum non loco modo, sed et delectu. Si enim perficimus artes quæ plerosque superant, multo magis quod non tanti indiget laboris. Quid enim, dic mihi, difficilius quam per funem desuper extensum, quasi super solum, ambulare et super eum deambulans sus deque ferri tanquam in lecto sedens? Quid, dic mihi, difficilius, quam jaculum in fronte tenere, et puerum superimpositum in numero agere, et delectare spectantes? Nonne ita horrida res esse videtur ut nolimus quidem videre, sed timeamus et trepidemus hoc ipso aspectu? His igitur omnibus facilior virtus, si velimus, et ad cœlum ascensus.

γ'. Καὶ μή μοι λεγέτω τις, Θέλω, ἀλλ' οὐ δύναμαι. Εἰ γὰρ πράγματός τινος ἐντὸς γενέσθαι βουλόμενοι, οὐχὶ τῷ θελῆσαι μόνον ἀρκούμεθα, ἀλλὰ καὶ τοῦ πράγματος ἁπτόμεθα· πολλῷ μᾶλλον εἰς τὸν οὐρανὸν ἀνελθεῖν βουλόμενοι, τῆς πρακτικῆς ἀρετῆς δεησόμεθα. Μηδὲ πάλιν ἕτερόν τινα αἰτιάσθω τις, ὡς πρὸς τοὺς τῆς ἀρετῆς πόνους αὐτὸν ἐμποδίζοντα, ἀλλὰ τῇ οἰκείᾳ ῥᾳθυμίᾳ τὸ πᾶν ἐπιγραφέτω. Καὶ τί λέγω ἕτερον; μηδὲ αὐτὸν τὸν διάβολον νομιζέτω τις ἱκανὸν εἶναι κωλῦσαι τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδὸν βύνασθαι· ἀλλ' ἀπατᾷ μὲν καὶ ὑποσκελίζει τοὺς ῥᾳθυμοτέρους, οὐ μὴν κωλύει καὶ βιάζεται. Καὶ τοῦτο αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα δείκνυσιν· ὅτι ἡνίκα μὲν ἂν βουλώμεθα νήφειν, τοσοῦτον τὸν πόνον ἐπιδεικνύμεθα, ὡς μηδὲ πολλῶν ὄντων τῶν προτρεπόντων ἐπὶ τὴν τῆς κακίας ὁδὸν ἀνέχεσθαι τῆς συμβουλῆς, ἀλλὰ παντὸς ἀδάμαντος στερρότερους ἡμᾶς γίνεσθαι, καὶ ἀποφράττειν τοῖς τὰ φαῦλα συμβουλεύουσι τὰς ἀκοάς· ὅταν δὲ ῥᾳθυμῶμεν, καὶ μηδενὸς ὄντος του συμβουλεύοντος, ἢ ὑποσκελίζοντος, οἰκοθεν κινούμενοι ἐπὶ τὴν κακίαν ὁρμῶμεν. Τῷ ὄντι γὰρ καὶ ἐὰν βουλώμεθα νήφειν, κἂν μυρίοι ὦσιν οἱ πρὸς τὴν κακίαν ἕλκοντες, οὐδὲν ἡμῶν τὴν σπουδὴν δύναται λυμήνασθαι· καὶ ἐὰν εἰς ῥᾳθυμίαν ἀποκλίνωμεν πάλιν, καὶ ὑπὸ τῶν τυχόντων βλαπτόμεθα· ἐπείπερ οὐδεὶς φύσει καλὸς, ἢ κακὸς, ἀλλ' ἐν τῇ προαιρέσει κεῖται ἡμῶν ὄντων αὐτεξουσίων τὸ πονηροὺς μὲν ὑπάρχειν τῇ οἰκείᾳ ῥᾳθυμίᾳ κεχρημένους, καὶ τὴν ἑαυτῶν προδιδόντας σωτηρίαν, καὶ τῆς θεόθεν εὐνοίας ἑαυτοὺς καθιστῶντας ἐρήμους· ἀγαθοὺς δὲ εἶναι τῇ οἰκείᾳ σπουδῇ, τὰ τῆς ἀρετῆς ἔργα κατορθοῦν δυναμένους μετὰ τῆς ἄνωθεν χάριτος. Ὅθεν καὶ λίαν ἄτοπον τέχνην μὲν ἔχειν τὸν ἄνθρωπον, τὰ ἄλογα κατὰ τὸ

3. Et ne mihi quis dicat: Volo, sed nequeo. Cum enim volumus rem aliquam penetrare, non voluntate sola contenti sumus, sed et rem aggredimur; multo magis cum in cœlum ascendere volumus virtute quæ operatur indigemus. Nec rursus alium quemquam accuset aliquis, quasi se impediat in virtutis labore, sed propriæ desidiæ imputet. Et quid dico alium? Ne diabolum quidem ipsum credat aliquis talem esse ut impedire viam ad virtutem ducentem valeat. Sed decipit et supplantat vecordes, non impedit nec violentat. Et hoc ipsa rerum experientia ostendit, quod quando volumus prudentes esse, tantum laborem exhibemus, ut etsi multa sint quæ nos convertant ad malitiæ viam non de proposito desistamus, sed adamante quovis duriores facti, et obturemus aures ab his qui perversa suadent; cum autem negligentes sumus, nemine suadente, aut supplantante nos, intrinsecus agitati in improbitatem ferimur. Reipsa enim si velimus esse sapientes, etsi permulti sint ad malum nos trahentes, nihil nostrum studium potest adulterare. Etsi ad negligentiam declinemus denuo, a quovis percutimur. Itaque nemo natura est bonus vel malus, sed in electione nostra est; nam ipsi habemus potestatem malos esse, nostra propria utentes negligentia, et nostræ proditores salutis, et divinæ benevolentiæ nos redentes vacuos; bonos autem esse proprio studio quia virtutis opera perficere possumus cum superna gratia. Unde valde stultam artem habet homo: irrationabilia flectendo ad humanam nobilitatem, mutare psittacos et picas, docens vocem humanam exprimere et arte naturæ vim faciens, cicures reddens leones et per forum ducens, ipsum autem seipsum lupis agrestiorem

prabens, proditor virtutis naturalis et nobilitatis A quam a Deo accepit, et quod intellectu difficilius est, irrationalium unumquodque defectum unum habet; in improbo autem non ita est. Non enim unum defectum sæpe habet homo, sed multorum irrationalium malitias in suam ipsam congerit animam.

ἐγχωροῦν εἰς ἀνθρώπων εὐγένειαν μετατιθέναι, ψιττακούς καὶ κίσσας, παιδεύοντα φωνὴν ἀνθρωπίνην φθέγγεσθαι, καὶ τῇ τέχνῃ τὴν φύσιν βιάζειν, ἡμέρους ἐργαζόμενον λέοντας, καὶ διὰ τῆς ἀγορᾶς ἕλκοντα, αὐτὸν δὲ τοῦτον ἑαυτὸν λύκων ἀγριώτερον καθιστᾷν, προδιδόντα τὴν ἀρετὴν τῆς φύσεως, καὶ ἣν ἔλαβεν εὐγένειαν ἐκ Θεοῦ· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι τῶν μὲν ἀλόγων ἕκαστον ἓν ἐλάττωμα ἔχει· ἐπὶ δὲ ἀνθρώπου πονηροῦ οὐκ ἔνι τοῦτο· οὐδὲ γὰρ ἓν ἐλάττωμα πολλάκις κέκτηται ἄνθρωπος, ἀλλὰ καὶ τὰς τῶν πολλῶν ἀλόγων κακίας εἰς τὴν ἑαυτοῦ συνάγει ψυχήν.

4. Ideo non attendamus si animam habeamus humanam, sed si homines simus mente, irrationalibus imperantes imperamur, ipsorum in nobis irrationalium affectuum servi. Quomodo ergo homines vocamur, cum non habeamus regiæ dignitatis B signum? Cogitemus juxta cujus imaginem facti sumus, nec deferamur in irrationalium vilitatem. Si enim velimus ediscere a Deo in natura infixas esse leges discernentes, quid bonum sit quid malum, qui Deus juxta imaginem suam nos creavit propitium et similitudinem. Ipsam nostram agendi rationem interrogabimus, et videbimus quomodo male agentes fugiant malorum accusationem. Mœchus mœchatur; mœchus autem si vocetur erubescit. Dicat quis consilenti mœcho: Mœche! et hæc agens lætatur, audiens erubescit. Dicat aliquis pejeranti: Perjure; et injuriam habet allocutionem de propriis operibus. Si igitur bonam putat esse culpam, cur allocutionem fugit? Sed dicat sapienti: Sapiens, nec eum operis pudebit, nec de allocutione C erubescet. Vocet justum, Justum, et opere coronatur et allocutione gloriatur. Et quamvis prudenter recuset nomen, in mente tamen excipit bonam famam, et nullum unquam reperiet qui, malum ex ipso vultu apparens quod non mutuet speciem virtutis. Et quomodo audiamus. Mendax, non confitens mendacium mentitur, sed veritatem simulans decipit. Dolosus non ostendit dolum, sed exhibet amicitiam et molitur improbitatem. Calumniator quando tribunal adit, non quod est confessus ingreditur, sed testem veritatis exhibens habitu per mendacium testem malitiæ ostendit. Verum et anima nostra etsi malis immisceatur, nomine bonum amplectitur.

δ'. Διὰ τοῦτο μὴ σκοπῶμεν εἰ ψυχὴν ἔχομεν ἀνθρώπου, ἀλλ' εἰ τυγχάνομεν ἄνθρωποι τὸ φρόνημα· τῶν ἀλόγων ἄρχοντες ὑπάρχομεν, καὶ τῶν ἐν ἡμῖν ἀλόγων παθῶν δοῦλοι· πῶς οὖν ἄνθρωποι κληθῶμεν, ὡς οὐκ ἔχομεν τῆς βασιλείας τὸ σύνθημα; Ἐνοήσωμεν κατὰ τίνος εἰκόνα γεγόναμεν, καὶ μὴ κατενεχθῶμεν εἰς τὴν τῶν ἀλόγων εὐτέλειαν. Εἰπερ γὰρ ἐθέλομεν μαθεῖν, ὅτι ἐν τῇ φύσει ἔπηξεν ὁ Θεὸς τοὺς νόμους τοὺς διακρίνοντας τί καλὸν καὶ τί πονηρόν, κατ' εἰκόνα δημιουργήσας ἡμᾶς ἰδίαν καὶ καθ' ὁμοίωσιν, αὐτὴν ἡμῶν τὴν ἀναστροφὴν ἐρωτήσωμεν, πῶς ἅπαντες οἱ ποιοῦντες τὰ κακὰ φεύγουσι τῶν κακῶν τὴν προσηγορίαν. Ὁ μοιχὸς μοιχεύει· μοιχὸς δὲ ἀκούων, αἰσχύνεται. Εἰπάτω τις τῷ ὁμολογουμένῳ μοιχῷ, Μοιχέ· καὶ ὁ ποιῶν ἥδεται, ἀκούων αἰσχύνεται· Εἰπάτω τῷ ἐπιόρκῳ, Ἐπίορκε· καὶ εἰς ὕβριν λαμβάνει τὴν προσηγορίαν τῶν οἰκείων ἔργων. Εἰ οὖν καλὸν ἡγεῖται τὴν ἁμαρτίαν, τί φεύγει τὴν προσηγορίαν; Ἀλλ' εἰπάτω τῷ σώφρονι, Σῶφρον· καὶ οὗ τὸ ἔργον ἥδεται, οὐδὲ τὴν προσηγορίαν αἰσχύνεται· καλεσάτω τὸν δίκαιον δίκαιον· καὶ τῷ ἔργῳ στεφανοῦται, καὶ τῇ προσηγορίᾳ σεμύνεται· κἂν γὰρ δι' εὐλάβειαν παραιτήσηται τὸ ὄνομα, ἀλλ' ἐν τῇ ψυχῇ δέχεται τὴν εὐφημίαν· καὶ οὐδεμίαν δὲ πάλιν εὑρήσει τις κακίαν, ἐξ οἰκείου προσώπου φαινομένην, ἐὰν μὴ δανείσηται πρόσωπον ἀρετῆς. Καὶ πῶς, ἀκούσωμεν· ὁ ψευδόμενος, οὐχ ὁμολογῶν τὸ ψεῦδος, ψεύδεται, ἀλλ' ἀληθειαν ὑποκρινόμενος ἀπατᾷ· ὁ δόλιος οὐ δείκνυσι τὸν δόλον, ἀλλὰ σχηματίζεται τὴν φιλίαν, καὶ πραγματεύεται τὴν πονηρίαν· ὁ συκοφάντης ὅταν εἰσέλθῃ εἰς δικαστήριον, οὐ τοῦτο ὁμολογήσας ὅπερ ἔστιν εἰσέρχεται, ἀλλὰ μάρτυρα ἀληθείας προστησάμενος τῷ σχήματι διὰ τοῦ ψεύδους, τὸν μάρτυρα τῆς κακίας ἐνδείκνυται· ἀλλὰ καὶ ἡ ψυχὴ ἡ ἡμετέρα, κἂν ἐν κακίαις ἐμφύρηται, τὸ ὄνομα τὸ ἀγαθὸν ἀσπάζεται.

5. Multi enim sæpe domini ambitionem spirantes et nihil aliud cogitantes nisi rapinam et injustitiam, avertuntur a quibusdam rebus, vel a liberando paupere a præsenti necessitate, vel a cedendo aliquid debiti, vel ab auxilio non ferendo affligentibus, aut iis qui affligere creduntur: et vadens bene lega ione defuncturus ad virum potentem et improbum non extemplo a veritate incipit, et ei dicit quod est, sed præmittit ei nomen virtutis: Vives, inquiens, bonus, divulgatur nomen tuum; omnes tua præclare facta canunt, et multa hujusmodi adjungens ut flectatur ille bona allocutione, et desinat malitiam: Videte quomodo malitia vinci-

ε'. Πολλοὶ γὰρ πολλάκις δυνάσται πλεονεξίαν πνέοντες, καὶ μηδὲν ἕτερον ἐννοοῦντες ἢ ἁρπαγὴν καὶ ἀδικίαν, δυσωποῦνται παρά τινων, ἢ ἀνεῖναι τῷ πένητι τὴν ἐπικειμένην ἀνάγκην, ἢ συγχωρῆσαί τι τοῦ χρέους, ἢ μὴ ἀμύνασθαι τοὺς λυπήσαντας ἢ λυπεῖν νομισθέντας· καὶ ὁ ἐλθὼν καλῶς πρεσβεῦσαι παρὰ ἀνδρὶ δυνάστῃ καὶ πονηρῷ οὐκ εὐθέως ἀπὸ τῆς ἀληθείας ἄρχεται, καὶ λέγει αὐτῷ ὅ ἐστιν, ἀλλὰ προστίθησιν αὐτῷ ὄνομα ἀρετῆς, Ἀνὴρ εἶ, φάσκων, ἀγαθός, διαβεβόηταί σου τὸ ὄνομα, πάντες σου τὰς εὐπραγίας ᾄδουσι, καὶ πολλὰ τοιαῦτα συνάπτων, εἰ καμφθῇ τῇ εὐφημίᾳ ἐκεῖνος, καὶ φύγῃ τὴν πονηρίαν. Ὁρᾶτε πῶς ἡ κακία νικᾶται τοῖς

εὐφημίαις τῆς ἀρετῆς· οὐδεὶς κακὸς κακῶς ἀκούειν βούλεται· ἡ γὰρ φύσις τὸ ἴδιον ἀσπάζεται, εἰ καὶ ἡ προαίρεσις τὸ ἐναντίον αἱρεῖται· τοσοῦτον ἀγαθὸν ἡ ἀρετὴ, καὶ οὕτω ταύτης ἡ ἄσκησις, τίμιον μὲν κτῆμα τῷ ἔχοντι, ἥδιστον δὲ θέαμα τοῖς ἐντυγχάνουσι.

A tur, bonis virtutis verbis. Nullus improbus vult improbus vocari. Natura enim proprium amplectitur, etsi electio contrarium deligat. Tantum enim bonum est virtus, et hoc est ejus exercitium, honorabilis quidem possessio habenti, jucundissimum vero spectaculum obviantibus.

ς'. Διὰ δὴ τοῦτο καὶ πολλὰς ἀπὸ τῆς φύσεως ἀφορμὰς δεξάμενοι πρὸς ἀρετὴν ἑλκούσας, μὴ ὀκνῶμεν μηδὲ ἀναβυώμεθα, μηδὲ ὡς ἐπίπονον φεύγωμεν τὴν ἀρετὴν, ἀλλ' ἑλώμεθα ταύτην, πολὺ μετὰ τῆς ἡδονῆς κεκτημένην τὸ κέρδος. Ἀποστήσωμεν ἑαυτοὺς τῆς γῆς· ἄνω πρὸς οὐρανὸν ἀναβλέψωμεν· τῆς ἐκεῖ φερούσης ἀψώμεθα· μετὰ πολλῆς τῆς σπουδῆς ταύτην ἀνύωμεν τὴν ὁδὸν, καὶ προσέχωμεν διαπαντὸς ἑαυτοῖς, ἵνα μὴ μικρὸν ἀθυμήσαντες ἀπολώμεθα. Καθάπερ γὰρ ἐν τοῖς θεάτροις οἱ τὴν σχοῖνον τὴν κάτωθεν ἄνω τεταμένην ἀναβαίνειν καὶ καταβαίνειν μελετῶντες, ἂν μικρὸν παραβλέψωσι, παρατραπέντες κατενεχθήσονται κάτω καὶ ἀπολοῦνται, οὕτω καὶ οἱ τὴν πνευματικὴν ὁδεύοντες ὁδὸν, ἂν μικρὸν ῥᾳθυμήσωσι, κατακρημνίζονται. Καὶ γὰρ ἐκείνης τῆς σχοίνου ἡ ὁδὸς αὕτη καὶ στενωτέρα καὶ ὀρθιος καὶ προσάντης μᾶλλόν ἐστι, καὶ ὑψηλοτέρα πολλῷ, διὰ τὸ τῆς ἀρετῆς μεγαλεῖον, καὶ ὑψηλὸν ἄξιωμα, καὶ σφόδρα σφοδρὸν καὶ πάνυ μέγα· πρὸς γὰρ αὐτὸν ἄνω τελευτᾷ τὸν οὐρανὸν ἡ ῥηθεῖσα πορεία· καὶ τότε ἡμῖν σφαλερώτερα ἔσται τὰ βήματα, ὅταν ἄνω καὶ πρὸς αὐτῇ γενώμεθα τῇ κορυφῇ. Τοῖς γὰρ ἐφ' ὕψους ἑστῶσι πολὺς ὁ τρόμος καὶ μία μόνον ἀσφάλεια λείπεται, τὸ μὴ κατακύψαι κάτω, μηδὲ εἰς τὴν γῆν ἰδεῖν· καὶ γὰρ πολὺς ἐντεῦθεν καὶ χαλεπὸς ὁ σκοτόδινος γίνεται. Οὗπερ ἵνα τὴν πεῖραν φύγωμεν, ἀρετὴν ἀσκοῦντες, τῶν μὲν ὄπισθεν ἐπιλανθανώμεθα, τοῖς δὲ ἔμπροσθεν ἐκτεινώμεθα, πρὸς τὸ τῶν ἐφετῶν ἀκρότατον ἐπειγόμενοι φθάσαι· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

6. Idcirco cum multos a natura impetus exceperimus ad virtutem trahentes, non simus segnes, neque retrogrediamur, nec veluti laboriosam fugiamus virtutem, sed teneamus eam multum cum voluptate habentem lucrum: Elongemus nos a terra; sursum ad cœlos aspiciamus. Viæ huc ducenti adhæreamus; multo studio viam hanc perficiamus et nobis attendamus omnino ut nequiquam animo despondentes pereamus. Ut enim in theatris ii qui in funem desursum extensum ascendere et descendere tentant, si vel minime oculos flectant, deferuntur deorsum et pereunt; ita spiritalem viam agentes, si vel minime segnes fiant, præcipitantur. Nam via funi ipsa arctior, rectior, magisque ardua et altior, ob virtutis magnitudinem et excelsam dignitatem ingentissimam et maximam; ad ipsum enim cœlum desinit præfatum iter, et tunc nobis periculosiores erunt gradus, cum sursum et ad ipsum apicem devenimus. Iis enim qui in altitudinibus stant magna trepidatio et una tantum relinquitur securitas, non inclinari deorsum nec aspicere ad terram. Multa enim exinde et periculosa vertigo accidit. Ne ergo experimentum fugiamus, virtutem colentes, posteriorum obliviscamur, in anteriora vero extendamur ad desideratorum summum imitati properare, quod eveniat omnes nos contingere gratia et humanitate Domini nostri Jesu Christi, per quem et quocum sit Patri gloria simul ac sanctissimo Spiritui nunc et semper et in sæcula sæculorum. Amen.

## ΔΙΑΛΕΞΕΩΣ ΤΡΙΤΗΣ ΗΘΙΚΟΝ (1).

*Ὅτι δεῖ ἡμᾶς ὠτία κτήσασθαι πνευματικὰ παρὰ Θεοῦ· καὶ ταῦτα λαβόντας, πρὸς ἅπαντα κατακούειν τῶν ψυχικῶν ἡμῶν ἰατρῶν, τῆς πνευματικῆς χρήζοντας θεραπείας.*

## SERMONIS TERTII ETHICON.

*Quod oporteat nos spiritales aures a Deo impetrare; et his acceptis, auscultare omnino animarum nostrarum medicos, quotiescunque spiritali medela indigebimus.*

α'. Τοιγαροῦν εὐξώμεθα προστεθῆναι ἡμῖν ὠτία παρὰ Θεοῦ πρὸς τὸ ἀκούειν, ὅ φησιν ἡ Γραφὴ, τουτέστιν ὦτα νοητὰ καὶ δυνάμενα λόγον ἀκούειν, πρὸς τὸ τοῖς λεγομένοις ἐπιβάλλειν καλῶς· καὶ ταῦτα κτησάμενοι, πρὸς ἅπαντα κατακούωμεν αὐτοῦ τε Χριστοῦ· καὶ τῶν θεραπόντων Χριστοῦ, τοῦ τῶν ψυχῶν ἰατροῦ καὶ τῶν σωμάτων, κάμνοντες ἤδη κατὰ ψυχὴν, ὅπως ἂν ἀπὸ τῆς κακίας ἀναστάντες, ἐντεῦθεν ἀπέλθωμεν ὑγιεῖς. Καὶ γάρ ἐστιν ὄντως ἄτοπον, τῶν μὲν σωμάτων ἡμῶν νοσούντων, καὶ ἰατροὺς παρακαλεῖν, καὶ τοῖς νόμοις πείθεσθαι τῆς

1. Oremus igitur ut apientur nobis aures a Deo ad audiendum, ut ait Scriptura, id est aures intelligentes et valentes verbum audire, ut ad dicta feramur bene; et his impetratis in omnibus audiamus et Christum et ministros Christi, qui animarum medicus est et corporum, in anima laborantes ut a malo devitato exhinc abeamus sani. Etenim est plane absurdum corporibus nostris ægrotis medicos advocare et legibus obtemperare artis, etsi dicant isti medicinam parari magni pretii, statim cedere, et quidquid injungant obedire confestim et stipendia

(1) Post Lucæ VIII, 8, verba: *Qui habet aures audiendi, audiat*, eorumque explanationem, sequitur tertium ethicon, cum egregia confessionis et asceticæ directionis expositione.

ipsi horum præscriptorum solvere ; animam vero male dispositam omnino negligere et nec medicum adducere, nec bona expendere..; et studium aliud afferre, nec verbis attendere quibus liberaremur a morbo, sed perinde ac si servi, et inimici et hostis esset, ita eum despicere et nullam habere curam. Ut enim sunt medici corporum, ita et animarum. Et sicut illis obedimus male disposito corpore, ita oportet omnimode et hos audire, agrotante anima nostra ; non enim fieri potest aliter ut animæ cupiditatibus eruamur.

A τέχνης, κἂν εἴπωσιν οὗτοι φάρμακα κατασκευασθῆναι πολλῆς τιμῆς, εὐθέως εἶκειν, κἂν ὁτιοῦν ἐπιτάξωσι, πείθεσθαι παραχρῆμα, καὶ μισθοὺς αὐτοῖς τῶν προσταγμάτων τούτων τελεῖν · τῆς δὲ ψυχῆς κακῶς διακειμένης παντάπασιν ἀμελεῖν, καὶ μήτε ἰατρὸν εἰσάγειν, μήτε χρήματα ἀναλίσκειν, μήτε σπουδὴν ἄλλην εἰσφέρειν, μήτε λόγοις προσέχειν δι' ὧν ἂν ἀπαλλαγῶμεν τῆς νόσου, ἀλλ' ὥσπερ δημίου τινὸς καὶ ἐχθροῦ καὶ πολεμίου κειμένου, οὕτω ταύτης καταφρονεῖν, καὶ μηδεμίαν ποιεῖσθαι ἐπιμέλειαν. Ὥσπερ γάρ εἰσιν ἰατροὶ σωμάτων, οὕτω δὴ καὶ ψυχῶν · καὶ καθαπερ ἐκεινοις πειθόμεθα, πονήρως τοῦ σώματος ἔχοντος, οὕτω χρὴ κάντως καὶ τούτων ἀκούειν, νοσούσης ἡμῶν ψυχῆς · οὐ γὰρ οἷόν τε ἄλλως τῶν ψυχικῶν ἡμᾶς ῥυσθῆναι παθῶν.

2. Quando ergo laboramus anima, non magis autem quum non laboramus ostendamus infirmam animam Domino Christo præ omnibus omnem morbum et debilitatem cunctam sananti, ejus discipulos inducamus mirandos medicos, et cum eis prophetas, et his assidentes audiamus ab eis quid faciendum ægrotæ ad ejus curationem. Omnino dicent nec quidquam abscondent ; loquuntur enim semper per Scripturas. Sed non attendit febri capta ? (Angariemus) cogamus nos eam, et rationem ejus excitemus quin oporteat bona medicis expendere istis. Neque enim mercedem pro seipsis exposcunt, neque pro medicinis quas præparant in necessitate a nobis expensum exigunt nisi ratione eleemosynæ. De cætero vero et addunt, quando verbi gratia, jubent temperari a superfluis et ab irrationalibus, liberant expensis : cum abstinere ab ebrietate, ditiores nos reddunt. Vidistine medicorum artem cum sanitate et divitias afferentem ? Assideamus ergo istis, audiamus hæc jussuum verba quæ imperant, auribus acquisitis spiritualibus ad audiendum, et discamus ab eis morbi nostri naturam, sicuti videmus bonorum sæpe et divitiarum, ut febricitantes frigoris ; audiamus quid hortentur ; sicut enim ait corporalis medicus noster ; quando afficiemini cupiditate multa his et his opponetis. Eodem quidem modo et Paulus : Qui volunt divites fieri, incidunt in tentationem et cupiditates stultas et nocuas, quæ præcipitant homines in perditionem et ruinam. Sed debiles sumus. Audiamus cum rursus dicentem : Adhuc modicum et qui venit veniet, et non tardabit. Dominus prope est ; nihil negligite ; et rursus : Præterit figura hujus mundi.

β'. Ὅταν οὖν κάμνωμεν ψυχικῶς, μᾶλλον δὲ οὐκ ἔστιν ὅτε οὐ κάμνομεν, ἐπιδείξωμεν τὴν ἀῤῥωστοῦσαν ψυχὴν τῷ Δεσπότῃ Χριστῷ πρὸ πάντων, τῷ B πᾶσαν νόσον καὶ μαλακίαν ἅπασαν ἰωμένῳ, τοὺς αὐτοῦ μαθητὰς εἰσάγωμεν, τοὺς θαυμασίους ἰατροὺς, καὶ σὺν αὐτοῖς τοὺς προφήτας · καὶ τούτοις παρακαθήσαντες ἀκούσωμεν παρ' αὐτῶν, τί δεῖ ποιεῖν τὴν νοσοῦσαν εἰς ἰατρείαν αὐτῆς. Πάντως ἐροῦσι καὶ οὐκ ἀποκρύψονται · φθέγγονται γὰρ ἀεὶ διὰ τῶν Γραφῶν. Ἀλλ' οὐ προσέχει τῷ πυρετῷ κατεχομένη ; καταναγκάσωμεν ἡμεῖς αὐτὴν, καὶ τὸ λογικὸν αὐτῆς διεγείρωμεν, οὐκέτι χρήματα τοῖς ἰατροῖς καταθεῖναι τούτοις · οὔτε γὰρ αὐτοὶ μισθὸν ὑπὲρ ἑαυτῶν ἀπαιτοῦσιν, οὔτε ὑπὲρ φαρμάκων ὧν κατασκευάζουσιν, εἰς ἀνάγκην ἡμᾶς δαπάνης ἐκκαλοῦνται, πλὴν τῆς ἐλεημοσύνης · ἐν τοῖς ἄλλοις δὲ καὶ προσδιδόασιν, οἷον ὅταν κελεύωσι σωφρονεῖν τῶν ἀκαίρων ἡμᾶς, καὶ ἀτόπων ἀπαλλάττουσιν ἀναλωμάτων, C ὅταν ἀπέχεσθαι μέθης, εὐπορωτέρους ἡμᾶς ποιοῦσιν. Εἶδες ἰατρῶν τέχνην μετὰ τῆς ὑγείας καὶ χρήματα παρεχόντων ; Παρακαθίσωμεν τοίνυν αὐτοῖς, ἀκούσωμεν τούτων τῶν λόγων ἐπιτατόντων, ὥσπερ κεκτημένοι πνευματικὰ πρὸς τὸ ἀκούειν · καὶ μάθωμεν παρ' αὐτῶν τοῦ νοσήματος ἡμῶν τὴν φύσιν, οἷον ὁρῶμεν χρημάτων πολλάκις καὶ πλεονεξίας, ὥσπερ οἱ πυρέττοντες ψυχροῦ · ἀκούσωμεν οὖν τί παραινοῦσι · καθάπερ γάρ φησιν ὁ σωματικὸς ἰατρὸς ἡμῶν, ὅτι ἐὰν χρήσησθε τῇ ἐπιθυμίᾳ πολλῇ, τὰ καὶ τὰ ὑποστήσεσθε · τὸν αὐτὸν δὴ τρόπον καὶ Παῦλος · Οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ ἐπιθυμίας ἀνοήτους καὶ βλαβερὰς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν · ἀλλ' ἀκαρτέρητοί ἐσμεν. Ἀκούσωμεν αὐτοῦ πάλιν λέγοντος · Ἔτι μικρὸν, ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ · ὁ Κύριος ἐγγύς · μηδὲν μεριμνᾶτε · καὶ αὖθις · Παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου.

3. Non solum autem jubet, sed et consolatur medicus : ita et ipse avertit cupiditatem : Vultis ditari, inquit, in operibus ditemini bonis. Cupitis thesaurizare, nequaquam impedio : modo fiat in cœlis. Ac veluti medicus dicit frigus esse nocuum, ita et ipse brevius, quia brevem esse curat, evidentius multo et potentius : Radix omnium malorum est avaritia. Quo igitur oportet uti ? Hoc et dicit : Sufficientia pro abundantia, est enim quæstus magnus, at sufficientia cum pietate. Si autem ægre

γ'. Οὐδὲ γὰρ ἐπιτάττει μόνον, ἀλλὰ καὶ παραμυθεῖται ὡς ἰατρός · οὕτω καὶ οὗτος μετοχετεύει τὴν ἐπιθυμίαν. Βούλεσθε πλουτεῖν ; φησίν · ἐν ἔργοις πλουτεῖτε ἀγαθοῖς. Ἐπιθυμεῖτε θησαυρίζειν ; οὐδὲν κωλύω · μόνον ἐν τοῖς οὐρανοῖς · καὶ ὥσπερ ὁ ἰατρὸς λέγει, ὅτι τὸ ψυχρὸν βλαβερὸν, οὕτω καὶ αὐτὸς συντομώτερον, ἅτε βραχυλογίας ἐπιμελούμενος, σαφέστερον δὲ πολλῷ καὶ δυνατώτερον · ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία. Τίνι δεῖ οὖν χρήσασθαι ; λέγει καὶ τοῦτο, τῇ αὐταρκείᾳ ἀντὶ

πλεονεξία; · ἔστι γὰρ ποριστὸς μέγας, φησὶν, ἡ αὐτάρκεια μετ' εὐσεβείας. Εἰ δὲ δυσανασχετεῖ τις, καὶ πλειόνων ἐπιθυμεῖ, καὶ οὕπω χωρεῖ βίψαι τὰ περιττὰ πάντα, λέγει καὶ τῷ οὕτως ἀῤῥώστῳ, καὶ τούτοις πῶς χρήσασθαι δεῖ· ἵνα οἱ χαίροντες ἐπὶ κτήμασιν ὡς μὴ χαίροντες ὦσιν· οἱ ἔχοντες, ὡς μὴ κατέχοντες· οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι· εἴδετε οἷα ἐπιτάττει;

A ferat quis et amplius desideret, et nondum consentiat abjicere optima quæque, dicit et ita debili etiam quomodo his oporteat uti, ut fruentes bonis quasi non fruantur, et habentes quasi non habentes: ut hoc utentes mundo quasi non utentes: videtisne qualia jubeat?

δ'. Βούλεσθε καὶ ἕτερον ἐπεισάγωμεν τούτῳ ἰατρόν; Ἔμοιγε δοκεῖ· οὐδὲ γάρ εἰσιν οὗτοι ἰατροὶ, καθάπερ οἱ τῶν σωμάτων, οἱ πολλάκις ἀντιφιλοτιμούμενοι ἀλλήλοις, κατέδυσαν τὸν ἀῤῥωστοῦντα· ἀλλ' οὐχ οὗτοι· πρὸς γὰρ τὴν τῶν καμνόντων ὑγίειαν, οὐ πρὸς τὴν οἰκείαν ὁρῶσι φιλοτιμίαν. Μὴ τοίνυν αὐτῶν δείσωμεν τὸ πλῆθος· εἷς ἐν ἅπασι φθέγγεται διδάσκαλος ὁ Χριστός· ἴδωμεν εἰσελθόντα πάλιν ἕτερον, καὶ χαλεπὰ λέγοντα περὶ νοσήματος τούτου, τὴν τοῦ Χριστοῦ συγγράφοντα διδαχὴν, διεξιόντος, Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ. Ναὶ, φησὶ, καὶ πῶς ταῦτα ἔσται; πῶς τῆς ἐπιθυμίας παυσόμεθα; Ἐντεῦθεν καὶ τοῦτο ἔστι μαθεῖν· καὶ πῶς εἰσόμεθα; Ἀκούσωμεν αὐτοῦ καὶ τοῦτο λέγοντος· Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσιν. Εἴδετε πῶς ἀπὸ τοῦ τόπου, ἀπὸ τῶν λυμαινομένων ἀπάγει τῆς ἐπιθυμίας ταύτης τῆς ἐνταῦθα, καὶ προσηλοῖ τῷ οὐρανῷ, ὅπου πάντα ἀνάλωτα; Ἂν γὰρ μεταθῆτε τὸν πλοῦτον ἐκεῖ, φησὶν, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, οὔτε κλέπται διορύσσουσι καὶ κλέπτουσι, καὶ ταύτην ἀποκρεύσεσθε τὴν νόσον, καὶ τὴν ψυχὴν ἐν μεγίστῃ καταστήσετε εὐπορίᾳ.

4. Vultisne alium isti inducamus medicum? Ita mihi videtur. Non enim sunt isti ut corporum medici, qui sæpe æmulantes invicem submerserunt infirmum. Sed non isti: ad laborantium enim sanitatem non ad proprium honorem attendunt. Ne igitur horum timeamus multitudinem. Unus in omnibus loquitur magister Christus. Videamus ingredientem alium, et ingrata dicentem, de morbo isto Christi assignantem doctrinam disserentis; Nemo potest Deo servire et mammonæ. Etiam inquit et quomodo ista fient? Quomodo cupiditas nostra cessabit? Illinc quoque illud potestis addiscere, et quomodo sciemus? Audiamus ipsum hoc quoque dicentem. Non thesaurizate vobis thesauros in terra, ubi vermis et ærugo destruit, et ubi fures effodiunt et furantur. Videte quomodo a loco, a damnum afferentibus avertit cupiditatis hujus mundi, et affigat cœlo, ubi nulla pereunt. Si enim deponatis divitias vestras ibi, inquit, ubi neque vermis neque ærugo destruit, neque fures effodiunt et furantur, hunc quoque expelletis morbum et animam in maxima constituetis constantia.

ε'. Μετὰ δὲ τῶν εἰρημένων παράδειγμα εἰς μέσον ἄγει, διὰ τούτου σωφρονίζων ἡμᾶς· καθάπερ γὰρ ὁ ἰατρὸς φοβῶν τὸν ἀῤῥωστον, φησὶν, ὅτι ὁ δεῖνα ψυχρῷ χρησάμενος ἀπώλετο, οὕτω καὶ αὐτὸς εἰσάγει τὸν πλούσιον κάμνοντα καὶ ἐπιθυμοῦντα ζωῆς καὶ ὑγείας, οὐ δυνάμενον δὲ ἐπιτυχεῖν διὰ τὸ πλεονεξίας ἐφίεσθαι, ἀλλ' ἀπιόντα κρύον· ὃν δή που τρόπον καὶ ἕτερον δείκνυσιν ἡμῖν σὺν αὐτῷ πλούσιον, ἄλλος εὐαγγελιστὴς τὸν ἀποτηγανιζόμενον, καὶ οὐδὲ σταγόνος ὄντα κύριον. Εἶτα δεικνύων ὅτι εὔκολα τὰ ἐπιτάγματα, φησὶν· Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὰ ἑξῆς. Συγκαταβατικὸς δὲ ὢν, οὐδὲ τοὺς πλουτοῦντας ἀφίησιν ἀπογινώσκειν· τὰ γὰρ παρὰ ἀνθρώποις ἀδύνατα δυνατὰ παρὰ τῷ Θεῷ, φησί. Κἂν γὰρ πλούσιός ᾖ τις, δύναται τοῦτον θεραπεῦσαι ὁ ἰατρός· οὐδὲ γὰρ τὸ πλουτεῖν ἀνεῖλεν, ἀλλὰ τὸ δοῦλον εἶναι χρημάτων τὸ, πλεονεξίας ἐραστήν· καὶ πῶς δυνατὸν τὸ πλουτοῦντα σωθῆναι; κοινὰ τὰ ὄντα τοῖς δεομένοις κεκτημένον, οἷος ἦν ὁ Ἰὼβ, καὶ τὴν τοῦ πλείονος ἐπιθυμίαν ἐξορίζοντα ἀπὸ τῆς ψυχῆς, καὶ οὐδαμοῦ τὴν χρείαν ὑπερβαίνοντα τὴν ἀναγκαίαν· δείκνυσιν ἡμῖν καὶ τοῦτον αὐτὸν τὸν τελώνην, τὸν σφόδρα κατεχόμενον τῷ πυρετῷ τῆς πλεονεξίας, ταχέως ἀπαλλαγέντα τούτου τοῦ πυρετοῦ· τί γὰρ τελώνου καπηλικώτερον; Ἀλλ' ὅμως γέγονεν ἀκτή-

5. Post autem dicta exemplum in medium affert per hoc erudiens nos. Veluti namque medicus timens infirmum, dicit quemdam frigore captum absumptum esse, si et ipse inducit divitem laborantem et cupientem vitam et sanitatem non valentem autem attingere propter abundantiæ desiderium sed abeuntem retro. Eodem quidem modo et alium ostendit nobis cum eo divitem: alius evangelista frictum et neque guttæ possessorem. Deinde ostendens facilia esse jussa, ait: Considerate volatilia cœli, et reliqua. Mitior vero factus nec ipsos divites sinit desperare: Impossibilia enim hominibus possibilia sunt Deo, inquit. Etsi enim dives esset aliquis, potest cum sanare medicus. Non enim divitiæ perdunt, sed servitus bonorum et abundantiæ appetitus. Et quomodo fieri potest ut dives salvus fiat? communia si habeat sua cum pauperibus, ut erat Job; et amplioris rei cupiditatem excludens ab anima et nullo modo id de quo indiget præteriens necessarium; ostendit nobis et eumdem publicanum valde captum febri avaritiæ, velociter liberatum ab hac febri. Quid enim publicano mercaturæ magis deditus? Verumtamen factus est sine possessione, pauper homo, eo quod obedierit medici legibus; et enim discipulos eos habuit Christus iisdem affectos morbis ac nos et sanat eos velociter; et eorum

quisque ostendit nobis non desperare. Videte igitur publicanum istum.

μων ἄνθρωπος, ἐκ τοῦ πείθεσθαι τοῖς ἰατροῦ νόμοις· καὶ γὰρ τοὺς μαθητὰς τοιούτους εἶχεν ὁ Χριστὸς ταῦτα νοσήσαντας τὰ νοσήματα, ἅπερ ἡμεῖς, καὶ ὑγιάναντας ταχέως· καὶ ἕκαστον αὐτῶν δείκνυσιν ἡμῖν, ὥστε μὴ ἀπογνῶναι. Ὁρᾶτε γοῦν τὸν τελώνην τοῦτον.

6. Attendite rursus alium publicanorum principem, juxta alium evangelistam; qui publicanus princeps quadruplum quidem pollicetur se daturum pro his quæ rapuit, dimidiam vero partem omnium quæ possidebat se daturum pauperibus, ita ut Jesum exciperet. Sed videtis vos et valde concupiscitis bona? Habete omnium bona pro vestris; etenim amplius quam quæritis dabo vobis, inquit, divitum domos aperiens vobis per omnem terram. Qui enim reliquit patrem aut matrem aut agros aut domum, centuplum accipiet. Et non modo plurium fruitionem accipietis, sed et asperam sitim avaritiæ exstinguetis omnino, et feretis omnia facile, non modo ampliora non cupientes sed neque necessaria sæpe. Ita Paulus esurit, et gloriatur magis quam si manducaret, cum ipse athleta pugnans et coronatus vellet dissolvi et esse in desidia; vel nauta maritimos labores aggressus non cuperet in otio esse deinceps. Et nos ergo gustemus ut oportet fructus spirituales; cæterum autem non ducamus aliquid esse præsentia, velut quadam ebrietate pulcherrima futurorum capiditate capti. Gustemus ergo omnia audiendo a spiritualibus nostris medicis, auribus spiritualibus acceptis a Deo ad audiendum, ut a strepitu præsentium liberemur et futurorum æternorum contingamus bonorum gratia et humanitate Domini nostri Jesu Christi, per quem et quocum sit Patri gloria simul cum sanctissimo Spiritu nunc et semper, et in sæcula seculorum. Amen.

ς'. Σκοπεῖτε πάλιν ἕτερον ἀρχιτελώνην κατ' ἄλλον εὐαγγελιστήν, ὃς ἀρχιτελώνης τετραπλασίονα μὲν ὑπέσχετο δώσειν ὑπὲρ ὧν ἥρπασε, τὰ δὲ ἡμίση πάντων ὧν ἐκέκτητο, δώσειν τοῖς πτωχοῖς, ὥστε τὸν Ἰησοῦν ὑποδέξασθαι. Ἀλλ' ἐκκαίεσθε ὑμεῖς, καὶ σφόδρα ἐπιθυμεῖτε χρημάτων; ἔχετε τὰ πάντων ἀντὶ τῶν ὑμετέρων· καὶ γὰρ πλεῖον ὧν ζητεῖτε δίδωμι ὑμῖν, φησὶ, τὰς τῶν πλουτούντων οἰκίας ἀνοίγων ὑμῖν κατὰ τὴν οἰκουμένην. Ὃς γὰρ ἀφῆκε πατέρα ἢ μητέρα ἢ ἀγροὺς ἢ οἰκίαν, ἑκατονταπλασίονα λήψεται. Καὶ οὐχὶ πλειόνων ἀπόλαυσιν μόνον λήψεσθε, ἀλλὰ καὶ τὸ χαλεπὸν τοῦτο δίψος τῆς πλεονεξίας ἀναιρήσετε παντάπασι, καὶ οὔσετε πάντα ῥᾳδίως, οὐ μόνον τῶν πλειόνων οὐκ ἐφιέμενοι, ἀλλ' οὐδὲ τῶν ἀναγκαίων πολλάκις. Οὕτως ὁ Παῦλος πεινᾷ, καὶ σεμνύεται μᾶλλον, ἢ ὅτε ἐσθίειν, ἐπεὶ καὶ ἀθλητὴς ἀγωνιζόμενος καὶ στεφανούμενος οὐκ ἂν ἤλειτο καταλῦσαι καὶ εἶναι ἐν ῥᾳστώνῃ· ἢ καὶ ἔμπορος τῶν ἐν θαλάττῃ πόνων ἁψάμενος, οὐκ ἂν ἐπιθυμήσειεν ἐν ἀργίᾳ εἶναι λοιπόν. Καὶ ἡμεῖς τοίνυν ἂν γευσώμεθα ὡς χρὴ τῶν καρπῶν τῶν πνευματικῶν, λοιπὸν οὐδὲ ἡγησόμεθά τι τὰ παρόντα εἶναι, καθάπερ τινὶ μέθῃ καλλίστῃ τῇ τῶν μελλόντων ἐπιθυμίᾳ ἁλόντες. Γευσώμεθα γοῦν διὰ τοῦ πρὸς ἅπαντα κατακούειν τῶν ψυχικῶν ἡμῶν ἰατρῶν, ὡτία πνευματικὰ λαβόντες παρὰ Θεοῦ πρὸς τὸ ἀκούειν, ἵνα καὶ τοῦ θορύβου τῶν παρόντων ἀπαλλαγῶμεν, καὶ τῶν μελλόντων αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## SERMONIS QUARTI ETHICON.

*Quod magnum detrimentum sit Scripturas ignorare. Et quod virtuti sint membra quovis specioso corpore formosiora. Et quænam sint hæc. Et quod perfectæ imagines virtutis apostoli sint. Et quod nihil vetet, si modo velimus, apostolis pares nos fieri.*

Audiamus ergo quotquot lectionem divinitus inspiratarum Scripturarum negligimus, quantum sublimus damnum, quantam penuriam. Quandonam activum accepimus gubernium si neque ipsas leges noverimus juxta quas gubernare oporteat? At ditescentes quidem et bona concupiscentes continuo excutiunt vestes suas ne vermibus edantur. Nos autem verme periculosiorem videntes oblivionem adulterantem qua pessumdatur anima nostra, non aggredimur sacros libros quibus decoratur anima illuminata? Non discutimus ex oblivione damnum? Non decoramus animam nostram eruditione, mo-

## ΔΙΑΛΕΞΕΩΣ ΤΕΤΑΡΤΗΣ ΗΘΙΚΟΝ (1).

*Ὅτι μεγάλη ζημία τὸ μὴ τὰς Γραφὰς εἰδέναι· καὶ ὅτι τῇ ἀρετῇ εἰσι μέλη, παντὸς σώματος εὐειδοῦς εὐπρεπέστερα· καὶ τίνα ταῦτα· καὶ ὅτι ταύτης εἰκόνες ἀκριβεῖς οἱ ἀπόστολοι· καὶ ὅτι οὐδὲν τὸ κωλύον, ἂν θέλωμεν, τῶν ἀποστόλων ἴσους ἡμᾶς γενέσθαι*

α'. Ἀκούσωμεν τοίνυν ὅσοι τῆς ἀναγνώσεως τῶν θεοπνεύστων Γραφῶν ἀμελοῦμεν, ὅσην ὑπομένομεν βλάβην, ὅσην πενίαν. Πότε γὰρ τῆς διὰ τῶν ἔργων ἐπιλαβόμεθα πολιτείας, οἱ μηδὲ αὐτοὺς τοὺς νόμους εἰδότες, καθ' οὓς πολιτεύεσθαι χρή; Ἀλλ' οἱ μὲν πλουτοῦντες καὶ περὶ χρήματα μεμηνότες, συνεχῶς τινάσσουσιν αὐτῶν τὰ ἱμάτια, ὥστε μὴ σητόβρωτα γενέσθαι· ἡμεῖς δὲ σητὸς χαλεπώτερον ὁρῶντες τὴν λήθην, λυμαινομένην ἡμῶν τὴν ψυχήν, οὐκ ἐντυγχάνομεν ἱεροῖς βιβλίοις, δι' ὧν καλλωπίζεται ἡ ψυχὴ φωτιζομένη; οὐ διακρουόμεθα τὴν ἐκ τῆς λήθης λύμην; οὐ καλλωπίζομεν ἡμῶν τὴν ψυχὴν σωφρο-

(1) Post Matthæi XIII, 52, explanatum textum: *Ideo omnis scriba doctus in regno cœlorum, similis est homini patrifamilias qui profert de thesauro suo nova et vetera*; sequitur ethicon.

σύνῃ καὶ ἐπιεικείᾳ καὶ φόβῳ πρὸς Θεὸν ἐρριζωμένῳ, καὶ ταῖς εὐχαῖς καὶ ταῖς ἐλεημοσύναις, καὶ τῇ πρὸς ἀλλήλους ὁμονοίᾳ; τοὺς ἀποστόλους καὶ τοὺς προφήτας ἔχοντες ἡμᾶς ἀποσμήχοντας διὰ τῶν διδαγμάτων αὐτῶν, ἀποξύοντας τῆς ἁμαρτίας τὸ γῆρας, ἐπάγοντας τῆς νεότητος τὴν ἀκμήν, πᾶσαν κηλίδα, πᾶσαν ῥυτίδα, πάντα σπίλον ἐκβάλλοντας τῆς ἡμετέρας ψυχῆς, καὶ κάλλος ἀμήχανον ἐντιθέντας αὐτῇ, καὶ κρεῖττον πολλῷ τῷ μέτρῳ τοῦ σώματος κάλλους· τὸ μὲν γὰρ τοῦ σώματος κάλλος καὶ νόσος ἐμάρανε, καὶ πλῆθος χρόνου διέφθειρε, καὶ γῆρας ἔαβεσε, καὶ θάνατος ἐπελθὼν ἅπαν ἀνεῖλε· τὸ δὲ τῆς ψυχῆς οὐ νόσος, οὐ χρόνος, οὐ γῆρας, οὐ θάνατος, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν λυμαίνεσθαι δύναται, ἀλλὰ μένει διηνεκῶς ἀνθοῦν· καὶ τὸ μὲν τοῦ σώματος, τοὺς ὁρῶντας εἰς ἀκολασίαν ἐκκαλεῖται πολλάκις· τὸ δὲ τῆς ψυχῆς κάλλος, αὐτὸν τὸν Θεὸν πρὸς τὸν οἰκεῖον ἔρωτα ἐπισπᾶται· καθά φησιν ὁ Προφήτης πρὸς τὴν Ἐκκλησίαν διαλεγόμενος, ἥτις ἐστὶ τὸ τῶν πιστῶν ἡμῶν ἅπαν πλήρωμα· Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. Οὗ δὴ κάλλους ἡμεῖς καταφρονοῦντες ἀθλίως, οὐ καλλωπίζομεν ἡμῶν τὴν ψυχήν, ὡς εἶπον, οὐκ ἐπισκοποῦμεν συνεχῶς τὴν εἰκόνα τῆς ἀρετῆς, καὶ τὰ μέλη αὐτῆς καταμανθάνομεν, καὶ τὴν κεφαλήν· καὶ γὰρ καὶ κεφαλὴν ἔχει καὶ μέλη παντὸς σώματος εὐειδοῦς καὶ καλοῦ εὐπρεπέστερα.

A destia et timore in Deum radicato, et precibus, et eleemosynis et in invicem concordia? Apostolos et prophetas habentes, abstergentes nos doctrinis suis, scabere peccati senectutem, iniacentes juventutis florem, omnem labem, omnem rugam, omnem sordem ejicientes ex anima nostra et pulchritudinem infinitam ingerentes ei, et meliorem omnimodo corporis specie. Pulchritudo enim corporis morbo emarcescit, et copia temporis corrumpitur, e senectute exstinguitur, et morte superveniente tota destruitur. Animæ vero forma non morbo, non tempore, non senectute, non morte, non alia ulla re simili deterior fieri potest, sed remanet perpetuo florens. Et ea corporis forma aspicientes ad libidinem allicit sæpe, animæ vero ipsum Deum ad B sui amorem attrahit, juxta illud quod ait propheta Ecclesiam alloquens, quæ est fidei nostræ omnis plenitudo : Audi, filia, et vide, et inclina aurem tuam ; et concupiscet rex decorem tuum. Quam pulchritudinem nos despicientes misere, non decoramus nostram animam, ut dixi. Non inspicimus continuo imaginem virtutis, et membra ejus edi-scimus et caput : etenim et caput habet et membra quovis corpore specioso et pulchro formosiora.

β'. Τίς οὖν ἡ κεφαλὴ τῆς ἀρετῆς φησιν; Ἡ ταπεινοφροσύνη· διὸ καὶ ἀπ' αὐτῆς ὁ Χριστὸς ἄρχεται, λέγων· Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· αὕτη ἡ κεφαλὴ οὐ κόμας ἔχει καὶ βοστρύχους, ἀλλὰ κάλλος C τοιοῦτον, οἷον τὸν Θεὸν ἐπισπάσασθαι. Ἐπὶ τίνα γὰρ ἐπιβλέψω, φησὶν, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; Καὶ πάλιν· Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πραεῖς τῆς γῆς. Καὶ αὖθις· Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς πνεύματι σώσει. Αὕτη ἡ κεφαλὴ ἀντὶ τριχῶν καὶ κόμης, θύματα φέρει τῷ Θεῷ κεχαρισμένα· βωμός ἐστι χρυσοῦς καὶ θυσιαστήριον πνευματικόν· Θυσία γὰρ τῷ Θεῷ πνεῦμα συντετριμμένον. Αὕτη ἐστὶν ἡ τῆς σοφίας μήτηρ· ἂν ταύτην ἔχῃ τις, καὶ τὰ λοιπὰ ἕξει· εἶδες κεφαλὴν οἵαν οὐδέποτε εἶδες. Βούλει καὶ τὸ πρόσωπον ἰδεῖν. μᾶλλον δὲ μαθεῖν; Οὐκοῦν μάθε τέως αὐτοῦ τὸ χρῶμα τὸ ἐρυθρὸν καὶ εὐανθὲς καὶ πολλὴν ἔχον τὴν χάριν· καὶ μάθε πόθεν συνίσταται· πόθεν οὖν συνίσταται; ἀπὸ τοῦ αἰσχύνεσθαι καὶ ἐρυθριᾷν· διὸ καί τις φησὶ, Πρὸ αἰσχυντηροῦ προελεύσεται χάρις· τοῦτο καὶ τῶν ἄλλων μελῶν πολὺ καταχεῖ τὸ κάλλος· κἂν μυρία μίξῃς χρώματα, οὐκ ἐργάσῃ τοιαύτην ὥραν. Εἰ δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐθέλεις ἰδεῖν, ὅρα κοσμιότητι καὶ σωφροσύνῃ μετὰ ἀκριβείας ὑπογεγραμμένους. Διὸ καὶ οὕτω καλοὶ καὶ ὀξυδερκεῖς γίνονται, ὡς καὶ αὐτὸν τὸν Κύριον ὁρᾷν· Μακάριοι γάρ, φησὶν, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται· στόμα δὲ αὐτῆς, σοφία καὶ σύνεσις, καὶ τὸ πνευματικοὺς ὕμνους εἰδέναι· καρδία δὲ, Γραφῶν ἐμπειρία, καὶ δογμάτων ἀκριβῶν

2. Quod ergo caput est virtutis ? inquit. Humilitas ideo, et ab ea Christus incipit dicens : Beati pauperes spiritu. Hoc caput non cæsariem habet nec cincinnos, sed talem pulchritudinem ut Deum attrahat. Super quem enim aspiciam, inquit, nisi super mansuetum et pacificum, et timentem sermones meos? Et rursus : Oculi mei super mansuetos terræ. Et denuo : Prope est Dominus contritos corde et humiles spiritu salvos faciet. Ipsum caput pro capillis et cæsarie victimas fert Deo gratas : altare est aureum et ara spiritalis. Sacrificium enim Deo spiritus contribulatus. Ipsa est sapientiæ mater : si quis eam habet, et cætera habebit. Vidisti caput quale nunquam vidisti, visne et faciem videre, potius vero discere? Disce ergo usque ad ejus colorem rubrum et bene florentem, et multam habens gratiam. Et disce unde consistat? Unde igitur consistat? A pudore et rubore : ideo et dicitur : Ruborem præcedit gratia. Hoc cæteris membris multam infundit pulchritudinem. Etsi innumeros misceas colores, non efficies tantam pulchritudinem. Si autem oculos vis videre, aspice modestia et prudentia accurate compositos. Idcirco ita pulchri et acuti fiunt ut et ipsi Dominum videant. Beati enim, ait, mundi corde, quia ipsi Deum videbunt. Os autem ejus sapientia et intellectus et spiritalia cantica noscere. Cor vero, Scripturarum experientia ; et dogmatum exactorum examen, et humanitas et bonitas, ac veluti absque priore vivere non potes, ita absque posteriore non salvum fieri potes : inde etenim omnia gignuntur pulchra. Illa

sunt et pedes et manus, bonorum operum exhibitiones; illius est anima, pietas; illius est pectus aureum et adamante durius, fortitudo: et omnia perdi facilius quam disrumpi pectus ejus. Spiritus autem qui est in cerebro et corde, charitas est.

διατήρησις, καὶ φιλανθρωπία καὶ χρηστότης· καὶ καθάπερ ταύτης ἄνευ οὐκ ἔνι ζῆσαι, οὕτως οὐδὲ ἐκείνης χωρὶς ἔνι σωθῆναι ποτέ· καὶ γὰρ ἐκεῖθεν πάντα τίκτεται τὰ καλά. Εἰσὶν αὐτῇ καὶ πόδες καὶ χεῖρες τῶν ἀγαθῶν ἔργων αἱ ἐπιδείξεις· ἔστιν αὐτῆς καὶ ψυχή, ἡ εὐσέβεια· ἔστιν αὐτῇ καὶ στῆθος χρυσοῦν καὶ ἀδάμαντος στερρότερον, ἡ ἀνδρία· καὶ πάντα ἁλῶναι εὔκολον, ἢ τοῦτο διαῤῥαγῆναι τὸ στῆθος. Τὸ δὲ πνεῦμα τὸ ἐν ἐγκεφάλῳ καὶ καρδίᾳ, ἡ ἀγάπη ἐστί.

3. Visne ut et de ipsis operibus ostendam tibi imaginem? Intende mihi et ipsum evangelistam, Matthæum, inquam; et vero non omnem ejus vitam descriptam habemus, sed tamen e paucis possumus ejus imaginem cernere fulgentem. Quod quidem humilis contritus erat, audi juxta Evangelium, publicanum seipsum vocantem; quod autem misericors, vide cunctis exutum, et sequentem Christum; quod pius, patet e doctrinis; et intelligentiam illius vides qua composuit Evangelium; facile potes videre et charitatem: de orbe enim terrarum curam habuit; et bonorum operum probationem vides propter thronum in quo sedere debet, et fortitudinem ex eo collige quod lætus reversus est a facie synagogæ; talem vivam virtutis imaginem et cæterorum quemque apostolorum reperimus. Etenim magnos et miros effecerunt eos non miracula, sed virtutes animæ. Multi enim, ejicientes dæmonia, postquam injuste egissent, non facti sunt mirabiles, sed et puniti sunt; isti autem, bona despicientes, gloriam contemnentes, rebus vitæ liberati, exinde magis mirabiles facti sunt; si autem ista non possedissent, at servi cupiditatum fuissent, etsi innumeros mortuos resuscitassent, non modo nequicquam profecissent, sed et impostores visi fuissent. Sic est vita undequaque fulgens, spiritus gratiam attrahens.

γ'. Βούλει καὶ ἐπ' αὐτῶν τῶν ἔργων δείξω σοι τὴν εἰκόνα; ἐννόησόν μοι τοῦτον αὐτὸν τὸν εὐαγγελιστήν, λέγω δὴ τὸν Ματθαῖον, καί τοι οὐ πάντα αὐτοῦ τὸν βίον ἀνάγραπτον ἔχομεν, ἀλλ' ὅμως καὶ ἐξ ὀλίγων ἔστιν αὐτοῦ τὴν εἰκόνα ἰδεῖν διαλάμπουσαν. Ὅτι μὲν ταπεινὸς συντετριμμένος ἦν, ἄκουσον μετὰ τὸ Εὐαγγέλιον, τελώνην ἑαυτὸν καλοῦντα· ὅτι δὲ καὶ ἐλεήμων, ὅρα πάντα ἀποδυσάμενον, καὶ ἀκολουθήσαντα τῷ Χριστῷ· ὅτι δὲ καὶ εὐσεβής, δῆλον ἀπὸ τῶν δογμάτων· καὶ τὴν σύνεσιν δὲ αὐτοῦ, ἃς' οὗ συνέθηκεν Εὐαγγελίου· ῥᾴδιον ἔστιν ἰδεῖν καὶ τὴν ἀγάπην· τῆς γὰρ οἰκουμένης ἐπεμελήσατο· καὶ τὴν τῶν ἔργων ἀγαθῶν ἐπίδειξιν, ἀπὸ τοῦ θρόνου ἐφ' οὗ μέλλει καθεδεῖσθαι· καὶ τὴν ἀνδρίαν δέ, ἐξ ὧν χαίρων ὑπέστρεψεν ἀπὸ τοῦ προσώπου τοῦ συνεδρίου· τοιαύτην ἔμψυχον ἀρετῆς εἰκόνα, καὶ τῶν ἄλλων ἕκαστον ἀποστόλων εὑρήσομεν. Καὶ γὰρ μεγάλους καὶ θαυμαστοὺς ἐποίησεν αὐτοὺς οὐχὶ τὰ σημεῖα, ἀλλ' ἡ τῆς ψυχῆς ἀρετή· πολλοὶ μὲν γὰρ δαίμονας ἐκβαλόντες, ἐπειδὴ τὴν ἀνομίαν εἰργάσαντο, οὐκ ἐγένοντο θαυμαστοί, ἀλλὰ καὶ ἐκολάσθησαν· οὗτοι δὲ χρημάτων καταφρονήσαντες, δόξης ὑπεριδόντες, πραγμάτων ἀπαλλαγέντες βιωτικῶν, ἐντεῦθεν μᾶλλον ἐθαυμαστώθησαν· ὡς εἴ γε μὴ ταῦτα εἶχον, ἀλλὰ δοῦλοι παθῶν ἦσαν, εἰ καὶ μυρίους ἤγειραν νεκροὺς, οὐ μόνον οὐδὲν ἂν ὠφέλησαν, ἀλλὰ καὶ ἀπατεῶνες ἂν ἐνομίσθησαν εἶναι. Οὕτως ὁ βίος ἐστὶν ὁ πανταχοῦ λάμπων, ὁ καὶ τοῦ πνεύματος τὴν χάριν ἐπισπώμενος.

4. Quale miraculum fecit Joannes, qui urbes tantas suspendit? Illum nullius auctorem signi, audi evangelistam dicentem: Joannes signum fecit nullum. Unde igitur Elias clarus factus est? Nonne operatus est ex veracitate ad regem? nonne a zelo pro Deo? nonne a paupertate? nonne a pelle ovina et spelunca et montibus? Signa enim post hæc omnia patravit. Job autem, quale operatus est miraculum, quod diabolus videns eum percussit? Miraculum quidem nullum, vitam vero fulgentem et patientiam adamante duriorem exhibens. Quale miraculum David fecit adhuc adolescens, ut diceret Deus: Inveni David filium Jesse, virum juxta cor meum? et Abraham, et Isaac, et Jacob, quem mortuum suscitarunt? quam lepram sanarunt? nescis miracula, nisi sapientes simus, et nocent sæpe? sic multi ex Corinthiis separati sunt ab invicem: sic multi ex Romanis desperati sunt. Ita Simon dejectus est: ita qui Christum cupiebat sequi, dissuasus est audiens vulpes antra

δ'. Ποῖον σημεῖον ὁ Ἰωάννης ἐποίησεν, ὅτι πόλεις τοσαύτας ἀνηρτήσατο; ὅτι γὰρ οὐδὲν ἐθαυμαστούργησεν, ἄκουσον τοῦ εὐαγγελιστοῦ λέγοντος, ὅτι Ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν· πόθεν δὲ θαυμαστὸς Ἠλίας ἐγένετο; οὐκ ἀπὸ τῆς παῤῥησίας; τῆς πρὸς τὸν βασιλέα; οὐκ ἀπὸ τοῦ ζήλου τοῦ ὑπὲρ τοῦ Θεοῦ; οὐκ ἀπὸ τῆς ἀκτημοσύνης; οὐκ ἀπὸ τῆς μηλωτῆς καὶ τοῦ σπηλαίου καὶ τῶν ὀρῶν; τὰ γὰρ σημεῖα μετὰ ταῦτα ἅπαντα ἐποίησε. Τὸν δὲ Ἰὼβ ποῖον σημεῖον ὁρῶν ποιοῦντα ἐξεπλάγη ὁ διάβολος; σημεῖον μὲν οὐδὲν, βίον δὲ λάμποντα καὶ ὑπομονὴν ἀδάμαντος στερροτέραν ἐπιδεικνύμενον· ποῖον σημεῖον ὁ Δαβὶδ ἐποίησεν ἔτι νέος ὤν, ὡς εἰπεῖν τὸν Θεὸν, Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου; Ὁ δὲ Ἀβραὰμ, καὶ ὁ Ἰσαὰκ, καὶ ὁ Ἰακὼβ, ποῖον νεκρὸν ἤγειραν; ποῖον δὲ λεπρὸν ἐκαθάρισαν; οὐκ οἶσθα ὅτι τὰ σημεῖα, ἐὰν μὴ νήφωμεν, καὶ βλάπτει πολλάκις; Οὕτω πολλοὶ τῶν Κορινθίων ἀπεσχίσθησαν ἀπ' ἀλλήλων· οὕτω πολλοὶ τῶν Ῥωμαίων ἀπενοήθησαν· οὕτω Σίμων ἐξ-

δλήθη· οὕτως ὁ τῷ Χριστῷ τότε ἐπιθυμήσας ἀκολουθεῖν ἀπεδοκιμάζετο, ὁκούσας ὅτι αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ· τούτων γὰρ ἕκαστος, ὁ μὲν χρημάτων, ὁ δὲ δόξης ἐφιέμενος, τῶν ἀπὸ τῶν σημείων ἐξέπιπτον· βίου δὲ ἐπιμέλεια, καὶ ἀρετῆς ἔρως οὐ μόνον οὐ τίκτει τοιαύτην ἐπιθυμίαν, ἀλλὰ καὶ οὖσαν ἀναιρεῖ. A habere, et volatilia cœli habitacula, filium autem hominis non habere quo caput reponat : horum enim quisque unus bona, alter gloriam cupiens, ab iis quibus operantur miracula exciderunt. Vitæ autem cura et virtutis amor non modo non pariunt tale desiderium, sed et exsistentem destruunt.

ε'. Καὶ αὐτὸς δὲ ὁ Κύριος, ὅτε τοῖς ἑαυτοῦ μαθηταῖς ἐνομοθέτει, τί ἔλεγε; Ποιήσατε σημεῖα, ἵνα ἴδωσιν οἱ ἄνθρωποι; Οὐδαμῶς· ἀλλὰ τί; Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Καὶ τῷ Πέτρῳ δὲ οὐκ εἶπεν, Εἰ φιλεῖς με, ποίει σημεῖα, ἀλλά, Ποίμαινε τὰ πρόβατά μου· καὶ πανταχοῦ δὲ αὐτὸν προτιμῶν τῶν ἄλλων μετὰ Ἰακώβου καὶ Ἰωάννου, πόθεν, εἰπέ μοι, προετίμα; ἀπὸ τῶν σημείων; Καὶ μὴν πάντες ὁμοίως ἐκάθαιρον τοὺς λεπροὺς, καὶ τοὺς νεκροὺς ἤγειρον· πᾶσι γὰρ ὁμοίως τὴν ἐξουσίαν ἔδωκε ταύτην· πόθεν οὖν εἶχον τὸ πλέον οὗτοι; ἀπὸ τῆς κατὰ ψυχὴν ἀρετῆς· ὁρᾷς ὅτι πανταχοῦ βίου χρεία, καὶ τῆς διὰ τῶν ἔργων ἐπιδείξεως· ἀπὸ τῶν καρπῶν γὰρ, φησὶν, αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Τί δὲ τὴν ζωὴν ἡμῶν συνίσησιν; ἆρα τῶν σημείων ἡ ἐπίδειξις, ἢ τῆς ἀρίστης πολιτείας ἡ ἀκρίβεια; εὔδηλον ὅτι τὸ δεύτερον· τὰ δὲ σημεῖα, καὶ τὰς ἀφορμὰς ἐντεῦθεν ἔχει, καὶ εἰς τοῦτο καταλήγει τὸ τέλος. Ὅτε γὰρ βίον ἄριστον ἐπισπᾶται ταύτην τὴν χάριν, ὅ τε λαμβάνων τὴν χάριν, διὰ τοῦτο λαμβάνει, ἵνα τὸν ἑτέρων διορθώσηται βίον· ἐπεὶ καὶ ὁ Χριστὸς διὰ τοῦτο τὰ θαυμαστὰ ἐκεῖνα ἐποίησεν, ἵνα, ἀξιόπιστος ἐντεῦθεν φανεὶς, καὶ πρὸς ἑαυτὸν τοὺς ἀνθρώπους ἑλκύσας, ἀρετὴν εἰς τὸν βίον εἰσαγάγῃ· διὸ καὶ τὴν πλείονα ὑπὲρ τούτου σπουδὴν ἐποίει. Οὐδὲ γὰρ τοῖς σημείοις ἠρκεῖτο μόνοις, ἀλλὰ καὶ γέενναν ἠπείλει, καὶ βασιλείαν ἐπηγγέλλετο, καὶ τοὺς παραδόξους ἐκείνους ἐτίθει νόμους, καὶ πάντα ὑπὲρ τούτου ἐπραγματεύετο, ἵνα ἰσαγγέλους ἐργάσηται τοὺς ἀνθρώπους· καὶ τί λέγω ὅτι ὁ Χριστὸς πάντα ὑπὲρ τούτου ἐποίει; Σοὶ γὰρ εἴ τις ἔδωκεν, εἰπέ μοι, αἱρεσιν νεκροὺς ἀναστῆσαι ἐν τῷ ὀνόματι αὐτοῦ, ἢ διὰ τὸ ὄνομα αὐτοῦ ἀποθανεῖν, τ ἂν ἐδέξω μᾶλλον; οὐκ εὔδηλον ὅτι τὸ δεύτερον; καὶ μὴν τὸ μὲν, σημεῖον ἐστὶν· τὸ δὲ, ἔργον. Τί δὲ εἴ τις σοι προὔθηκε ποιῆσαι χόρτον, χρυσὸν, ἢ δυνηθῆναι πάντων τῶν χρημάτων ὡς χόρτου καταφρονῆσαι, οὐκ ἂν τοῦτο ἐδέξω μᾶλλον; καὶ μάλα εἰκότως· καὶ γὰρ τοὺς ἀνθρώπους τοῦτο ἂν μάλιστα ἐπεσπάσατο. Εἰ μὲν γὰρ εἶδον τὸν χόρτον χρυσὸν γενόμενον, ἐπεθύμησαν ἂν καὶ αὐτοὶ ταύτην λαβεῖν τὴν δύναμιν ὥσπερ ὁ Σίμων, καὶ ἠὐξήθη ἐν αὐτοῖς ὁ τῶν χρημάτων ἔρως· εἰ δὲ εἶδον ὡς χόρτου τοῦ χρυσοῦ πάντας καταφρονοῦντας, πάλαι ἂν τῆς νόσου ταύτης ἀπηλλάγησαν. B C D

5. Et ipse Dominus, quando præcepta dabat suis discipulis, quid dicebat? Operamini signa, ut videant homines? Minime, sed quid? Luceat lux vestra coram hominibus, ut videant opera vestra bona, et glorificent Patrem vestrum qui est in cœlis. Et Petro non dixit : Si diligis me, operare miracula, sed : Pasce oves meas ; et ubique præ cæteris eum honorans cum Jacobo et Joanne : quare, quæso, præ cæteris eum honorabat? propter miracula? Et omnes similiter sanabant leprosos, et mortuos suscitabant. Omnibus enim potestatem dedit istam. Unde ergo habebant amplius isti? a virtute animæ. Vides ubique esse vitæ curam, et ubique per opera demonstrationem. A fructibus eorum, inquit, noscetis eos. Quo vero vita nostra noscitur? Num a miraculorum ostensione, an optimæ directionis diligentia? Patet esse posterius. Miracula enim et ascensus inde veniunt et huc desinit finis. Quando enim vitæ optimæ inducitur ea gratia, eo fit ut gratiam accipiens accipiat ad recte faciendum cæterorum vitam ; quum Christus ideo miranda ista operatus est ut fide dignus apparens et ad se homines attrahens, virtutem in vitam adducat; idcirco et majorem in hoc zelum adhibuit. Non enim miraculis contentus erat solis, sed et gehennam minabatur, et regnum nuntiabat, et inauditas illas ponebat leges et omnia ad hoc faciebat ut angelis pares efficeret homines : et quid dico quod Christus omnia hujus rei gratia faciebat? Tibi enim si quis concessit, dic quæso, mortuos suscitare in nomine ipsius, aut propter nomen ejus mori, quid recipere posses melius? Nonne patet esse posterius? et tamen hic miracula, illic opera. Quid ergo, si quis proposuit tibi facere herbam aurum; aut posse bona omnia quasi fenum despicere, nonne hoc reciperes potius? Et valde evidenter; etenim hoc homines maxime attraheret. Si enim viderent herbam aurum factam, cuperent et ipsi hanc accipere potestatem quam Simon, et augeret in ipsis bonorum delectatio. Si autem viderent ut fœnum omnes aurum dispicientes, omnino morbo isto liberarentur.

ς'. Ὁρᾷς ὅ τι ὁ βίος μᾶλλον ὠφελεῖν δύναται; βίον δὲ λέγω νῦν οὐχὶ ἂν νηστεύσῃς, οὐδὲ ἂν σάκκον καὶ σποδὸν ὑποστρώσῃς, ἀλλ' ἐὰν χρημάτων ὑπερίδῃς, ὡς ὑπεριδεῖν χρὴ, ἐὰν φιλοσοφήσῃς κατὰ

6. Videsne quid vita potius prodesse potest? Vitam autem nunc dico non si jejunes, neque si saccum et cinerem subeas, sed si bona despicias, ut despicere oportet, si philosopheris juxta desur-

sum philosophiam, si des esurienti panem tuum, si appetitum domineris, si vanam gloriam ejicias, si invidiam destruas; ita et ipse Christus docebat: Discite enim, inquiebat, a me quia mitis sum et humilis corde; non dixit: Jejunavi, et habebat dicere de quadraginta diebus, sed non hoc dixit, verum: Mitis sum et humilis corde. Et rursus, mittens discipulos suos ad prædicandum, non dixit: Jejunate, sed: Omne quod apponetur vobis manducate. De divitiis plane quidem multam diligentiam dissuadebat, dicens: Non habebitis aurum, neque argentum, neque æs in zonis vestris; hæc autem dico vobis, non jejunium damnans, absit, etenim valde hoc laudo, sed pro vobis patiens cæteris omnibus virtutis speciebus posthabitis, solam credite sufficere ad salutem vestram, eam quæ ultimam loci virtutis tenet partem: maximum enim est charitas, et sufficientia, et eleemosyna quæ et virginitatem superat: sine enim virginitate cerni potest regnum, absque autem eleemosyna impossibile est. Et hoc ostendunt quinque virgines; Necessariorum enim hoc et præcipuorum summa: non quidem immerito, nam cor virtutis illud vocavimus.

A τὴν ἀνωτάτω φιλοσοφίαν, ἐὰν δῷς πεινῶντι τὸν ἄρτον σου, ἐὰν θυμοῦ κρατήσῃς, ἂν κενοδοξίαν ἐκβάλῃς, ἂν βασκανίαν ἀνέλῃς· οὕτω καὶ αὐτὸς ὁ Χριστὸς ἐπαίδευε· Μάθετε γάρ, ἔλεγεν, ἀπ' ἐμοῦ ὅτι πρᾶος εἰμὶ καὶ ταπεινὸς τῇ καρδίᾳ· οὐκ ἔφραζεν ὅτι Ἐνήστευσα· καίτοι γε εἶχεν εἰπεῖν τὰς τεσσαράκοντα ἡμέρας· ἀλλ' οὐκ ἔφασκε τοῦτο, ἀλλ' ὅτι Πρᾶός, εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. Καὶ πάλιν πέμπων τοὺς μαθητὰς εἰς τὸ κήρυγμα, οὐκ ἔλεγεν ὅτι Νηστεύετε, ἀλλὰ, Πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε· χρημάτων μέντοι γε ἕνεκα πολλὴν ἀκρίβειαν ἀπῃτει, λέγων, Μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν· ταῦτα δέ φημι ἐγὼ, οὐχὶ νηστείαν κακίζων, μὴ γένοιτο, καὶ γὰρ σφόδρα ταύτην ἐπαινῶ, ἀλλ' ὑπὲρ ἡμῶν ἀλγῶν, B τῶν μὲν ἄλλων ἁπάντων τῆς ἀρετῆς εἰδῶν ἀμελούντων, ταύτην δὲ μόνον νομιζόντων ἀρκεῖν εἰς σωτηρίαν ἡμῖν, τὸ ἔσχατον τοῦ χοροῦ τῆς ἀρετῆς ἔχουσαν μέρος· τὸ γὰρ μέγιστον, ἀγάπη καὶ ἐπιείκεια καὶ ἐλεημοσύνη, ἥ καὶ παρθενίαν ὑπερηκόντισε· χωρὶς μὲν γὰρ παρθενίας, δυνατὸν βασιλείαν ἰδεῖν· χωρὶς δὲ ἐλεημοσύνης, ἀδύνατον· καὶ δηλοῦσιν αἱ πέντε παρθένοι· τῶν γὰρ ἀναγκαίων τοῦτο ἐστι, καὶ συνεχόντων τὸ πᾶν· οὐκ ἄρα ἀπεικότως, καρδίαν αὐτὸ κεκλήκαμεν τῆς ἀρετῆς.

7. Itaque si velimus, possumus et nos velut virtutis imaginem ad quemque aspicientes apostolorum, et Scripturis divinis hoc diligenter præbentibus, per quas anima decoratur illuminata nihil cedere illis: num enim angeli erant illi? num de cœlo descenderunt? Nonne ejusdem naturæ nobiscum participes fuerunt? nonne in urbibus enutriti sunt? nonne iisdem usi sunt? nonne artes manibus exercuerunt? facti sunt autem mirabiles, et vere præ omnibus mirandi, omnem virtutis cum exercuissent viam, et exemplar facti omnibus ad salutem, et sic potestatem destruentes diaboli, hujus succidentes nervos, conterentes ejus caput, dissolventes ejus tyrannidem, dissipantes ejus exercitum: et hoc miraculum, omnibus miraculis melius ostendentes; et verissime quidem: patitur enim diabolus quando expellitur corpore, utpote qui sit potestas malefica et hominum gaudens punitione et destructione; multo vero magis patitur quando peccatis liberatam videt animam. Et enim magna dæmonii potestas, peccatum est, utpote quæ ab eo efficitur fugiente virtutem. Propter hoc mortuus est Christus, ut hoc destruat: hoc enim mortem induxit, per hoc ea quæ sursum sunt deorsum facta sunt. Si ergo et nos ab omnibus eximentes nos quæ ad vitam pertinent, efferamus nos ad Christum, et apostolorum vitam imitantes fiamus juxta illos doctores edocti in regnum cœlorum, ad hoc sinus in lege docti in evangelicam et novam doctrinam Christi, hanc diligenter scientes et secundum eamdem gubernantes nos; atque in præsenti vita fulgentes juxta apostolos erimus, et in futura

Ζ'. Ὥστε ἐὰν θέλωμεν, δυνατὸν ἡμῖν ὡς εἰς ἀρετῆς εἰκόνα πρὸς ἕκαστον ὁρῶσι τῶν ἀποστόλων, καὶ ταῖς θείαις Γραφαῖς προσέχουσιν ἀκριβῶς, δι' ὧν ἡ ψυχὴ καλλωπίζεται φωτιζομένη, μηδὲν ἔλαττον C ἔχειν ἐκείνων· μὴ γὰρ ἄγγελοι ἦσαν ἐκεῖνοι; μὴ γὰρ ἐξ οὐρανοῦ κατέβησαν; οὐχὶ τῶν αὐτῶν ἡμῖν μετέσχον; οὐκ ἐν πόλεσιν ἐτράφησαν; οὐ τῶν αὐτῶν ἀπήλαυσαν; οὐχὶ τέχνας μετεχειρίσαντο; γεγόνασι δὲ θαυμαστοὶ καὶ ὡς ἀληθῶς ὑπερθαύμαστοι, πᾶσαν ἀρετῆς ἀσκήσαντες ὁδὸν, καὶ τύπον γενόμενοι πᾶσι πρὸς σωτηρίαν, καὶ οὕτω τὴν δύναμιν ἀνελόντες τοῦ διαβόλου, ἐκκόψαντες τοῦτου τὰ νεῦρα, συντρίψαντες αὐτοῦ τὴν κεφαλὴν, καταλύσαντες αὐτοῦ τὴν τυραννίδα, διασπάσαντες τὸ στρατόπεδον· καὶ τοῦτο σημεῖον, ἁπάντων σημείων μεῖζον ἐπιδειξάμενοι· καὶ μάλα εἰκότως· ἀλγεῖ μὲν γὰρ ὁ διάβολος ὅταν ἐξελαθῇ σώματος, ἅτε δύναμις ὢν κακοποιὸς καὶ τῇ τῶν ἀνθρώπων ἐφηδόμενος τιμω- D ρίᾳ καὶ ἀπωλείᾳ· πολλῷ δὲ μᾶλλον ἀλγεῖ, ὅταν ἀμαρτίας ἀπαλλαττομένην ἴδῃ ψυχήν. Καὶ γὰρ ἡ μεγάλη τοῦ δαίμονος δύναμις, ἡ ἁμαρτία ἐστὶν, ὡς ἐξ αὐτοῦ δημιουργηθεῖσα φυγόντος τὴν ἀρετήν. Διὰ ταύτην ἀπέθανεν ὁ Χριστὸς, ἵνα ταύτην καταλύσῃ· καὶ γὰρ αὕτη τὸν θάνατον εἰσήγαγε· διὰ ταύτην τὰ ἄνω κάτω γέγονεν. Ἂν τοίνυν καὶ ἡμεῖς πάντων ἀποστήσαντες ἑαυτοὺς τῶν βιωτικῶν, ἀναθώμεθα ἑαυτοὺς τῷ Χριστῷ, καὶ τὸν τῶν ἀποστόλων βίον ζηλώσαντες γενώμεθα κατ' ἐκείνους γραμματεῖς μαθητευθέντες εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀντὶ τοῦ, γενώμεθα νομομαθεῖς εἰς τὴν εὐαγγελικὴν καὶ νέαν διδασκαλίαν Χριστοῦ, τῷ ταύτην ἀκριβῶς εἰδέναι, καὶ πολιτεύεσθαι κατὰ ταύτην, καὶ ἐν τῷ νῦ-

ρόντι βίῳ λαμπροὶ κατὰ τοὺς ἀποστόλους ἐσόμεθα, καὶ ἐν τῷ μέλλοντι ζωὴν κληρονομήσομεν τὴν αἰώνιον· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A vitam hæreditabimus æternam; quam eveniat omnes nos contingere, gratia et humanitate Jesu Christi Domini nostri, per quem et quocum sit Patri gloria simul cum sanctissimo Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

## ΔΙΑΛΕΞΕΩΣ ΠΕΜΠΤΗΣ ΗΘΙΚΟΝ (1).

## SERMONIS QUINTI ETHICON.

*Ὅτι τῶν δαιμονιζομένων οὐδὲν διαφέρουσι, πάντες μὲν οἱ τὰς τοῦ διαβόλου ποιοῦντες ἐπιθυμίας, μάλιστα δὲ οἱ φιλάργυροι.*

*Quod a dæmoniacis nihil differant, omnes quidem illi qui diaboli concupiscentiis sunt dediti, præcipue tamen avari.*

α'. Καὶ οὕτω μὲν ὁ Σωτὴρ ἰάσατο τοὺς δαιμονιζομένους, ἀεὶ περιπατοῦντας ἐν τοῖς μνήμασι, καὶ λίαν ὄντας χαλεποὺς καὶ ἀγρίους· ἴδοι δ' ἄν τις καὶ νῦν γινόμενα τὰ παρὰ τῶν τότε δαιμονιζομένων, πρὸ τοῦ θεραπευθῆναι ἐκείνους γινόμενα, καὶ πολλοὺς τρόπον ἕτερον ἐν τοῖς μνημείοις δαιμονιζομένους χεῖρον ἐκείνων· οὓς οὐδὲν κατέχει τῆς μανίας, οὐ σίδηρος, οὐχ ἅλυσις, οὐκ ἀνθρώπων πλῆθος, οὐ παραίνεσις, οὐ νουθεσία, οὐ φόβος, οὐκ ἀπειλή, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Καὶ γὰρ ὅταν τις ἀκόλαστος ᾖ πρὸς πάντα τὰ σώματα ἐπτοημένος, οὐδὲν διενήνοχε τοῦ δαιμονῶντος, ἀλλὰ γυμνὸς ὡς ἐκεῖνος περιέρχεται, ἱμάτια μὲν ἐνδεδυμένος, τῆς δὲ ἀληθοῦς περιβολῆς ἐστερημένος, καὶ τῆς αὐτῷ προσηκούσης δόξης γεγυμνωμένος, οὐ λίθοις ἑαυτὸν κόπτων, ἀλλ' ἁμαρτήμασι πολλῷ λίθων χαλεπωτέροις. Τίς οὖν αὐτὸν δῆσαι δυνήσεται; τίς παῦσαι ἀσχημονοῦντα καὶ οἰστρούμενον, καὶ οὐδέποτε ἐν ἑαυτῷ γινόμενον, ἀλλ' ἀεὶ παρὰ τὰ μνήματα φοιτῶντα; τοιαῦτα γὰρ τῶν πορνῶν τὰ καταγώγια, πολλῆς τῆς δυσωδίας γέμοντα, πολλῆς τῆς σηπεδόνος.

1. Et ita quidem Salvator sanavit dæmoniacos, semper deambulantes in monumentis et valde molestos et barbaros; si videat et nunc aliquis quæ fiunt a B dæmoniacis, quæ fiunt antequam sanentur, et multos alio modo in monumentis dæmoniacos pejore quam cæteris; quorum nihil cohibet dementiam, neque ferrum, neque catena, neque hominum pulchritudo, neque hortatio, neque monitio, neque metus, neque minæ, neque horum simile quidquam. Cum enim aliquis indocilis est ad omnia corpora volans, nihil differt a dæmoniaco, sed nudus ut ille circuit, vestibus quidem indutus, vera autem coopertura privatus et gloria sibi convenienti nudatus, non lapidibus se percutiens, sed peccatis lapide molestioribus. Quis ergo eum poterit ligare? quis placare indecora facientem et furiosum, et in se non contentum, sed semper monumenta frequentans? Hujusmodo enim sunt prostibulorum diversoria, multi fœtoris plena, et multæ putredinis. C

β'. Τί δὲ ὁ φιλάργυρος; οὐχὶ τοιοῦτος; τίς γὰρ αὐτὸν ἰσχύσει δῆσαι ποτέ; οὐχὶ φόβοι καὶ ἀπειλαὶ καθημεριναὶ καὶ παραινέσεις καὶ συμβουλαί; ἀλλὰ πάντα ταῦτα διακόπτει τὰ δεσμά· κἂν ἔλθῃ τις ἀπαλλάξαι, ὁρκίζει ὥστε μὴ ἀπαλλαγῆναι, βάσανον ἡγούμενος εἶναι μεγίστην, τὸ μὴ εἶναι ἐν τῇ βασάνῳ· οὗ τί γένοιτ' ἂν ἀθλιώτερον; Ἐκεῖνος μὲν γὰρ ὁ δαίμων, εἰ καὶ ἀνθρώπων κατεφρόνησεν, ἀλλὰ τῷ προστάγματι εἶξε τοῦ Χριστοῦ, καὶ ταχέως ἀπεδήμησε τοῦ σώματος· οὗτος δὲ οὐδὲ τῷ προστάγματι εἴκει. Ἰδοὺ γοῦν καθ' ἑκάστην ἡμέραν ἀκούει αὐτοῦ λέγοντος, Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ· καὶ γέενναν ἀπειλοῦντος, καὶ τὰς ἀνηκέστους κολάσεις, καὶ οὐ πείθεται· οὐχ ὅτι ἰσχυρότερός ἐστι τοῦ Χριστοῦ, ἀλλ' ὅτι ἄκοντας ἡμᾶς ὁ Χριστὸς οὐ σωφρονίζει· διὰ τοῦτο ὡς ἐν ἐρήμοις ὁ τοιοῦτος διατρίβει, κἂν ἐν μέσαις ταῖς πόλεσιν ᾖ. Τίς γὰρ ἂν ἕλοιτο τοιούτῳ συγγίνεσθαι ἀνθρώπῳ; μᾶλλον ἂν ἐγὼ κατεδεξάμην μετὰ μυρίων δαιμονώντων οἰκεῖν, ἢ μετὰ ἑνὸς τὴν μητέρα πάντων κακῶν φιλαργυρίαν νοσοῦντος.

2. Quid ergo avarus? nonne talis? quis enim eum valebit ligare aliquando? nonne timores et minæ quotidianæ et hortationes et consilia? sed omnia hæc dissecat vincula. Adestne aliquis eum liberaturus, jurat ita ut ne liberetur, pœnam putans maximam non esse in pœna; quo quid potest fieri miserabilius? Iste enim dæmon, etsi homines despiciat, jussui tamen cessit Christi, et velociter dereliquit corpus; hic autem neque jussui cedit. Ecce quidem quotidie audit D eum dicentem: Non potestis servire Deo et mammonæ: et gehennam minanti et sine remedio pœnitiones non obedit; non quod fortior sit Christo, sed quod invitos nos Christus non reddit sapientes. Idcirco velut in desertis iste versatur, quamquam in mediis sit urbibus. Quis enim eligeret conversari cum istiusmodi homine? Malim ego decem millibus cum dæmoniacis habitare quam cum uno qui, matre omnium malorum, avaritia laborat.

(1) Subsequens ethicon respicit ad verba Lucæ VIII, 27 et seqq. *Occurrit illi vir quidam qui habebat dæmonium jam temporibus multis, et vestimento non induebatur, neque in domo manebat, sed in monumentis.*

3. Et me non errare ista dicentem patet ex his quæ unusquisque patitur. Avari quidem eum qui nihil injuste egit hostem putant, et servum tenere volunt eum qui liber est, et innumeris malis circumdant : dæmoniaci autem nihil tale agunt ; sed in seipsis nutriunt morbum. Et hi multas domos evertunt, et nomen Dei blasphemari faciunt, et pestis urbium sunt et orbis terræ : qui vero dæmoniis impediuntur, miseratione potius digni sunt et lacrymis : et quidem dæmoniaci sine intellectu pleraque faciunt : avari autem cum ratione peccant, in mediis urbibus bacchantes novo aliquo furore furiosi : quando enim tale operantur dæmoniaci quale Judas ausus est, ingentem culpam operatus et tradens magistrum triginta argenteis, utpote qui avarus esset. Et omnes cum æmulantes, velut bestiæ molestæ a decipulis fugientes urbes perturbant, nemine cohibente. Circumdantur enim eis ligamina undequaque, qualia sunt judicum timor aut legum minæ, aut multitudinis damnatio, et alia plura istis ; sed tamen hæc disrumpentes, omnia susdeque faciunt. Et si quis tandem hoc ab ipsis auferat, tunc agnoscere potest evidenter quod in ipsis est dæmonium, multo pejus esse quam exiens et furiosius.

4. Sed quum illud non fieri potest nisi sermone, tantum hoc exponemus, et omnes ejus percurremus catenas ; et tunc clare sciemus ejus furorem ; sed ne timeatis belluam, quando ipsam revelabimus ; in verbo enim scena, non in veritate res est. Sit ergo homo quidam ignem oculis emittens, niger toto corpore, ex utroque humero serpentes pro manibus habens dependentes ; sit illi quoque os, pro dentibus enses acutos habens infixos, loco autem linguæ veneni perniciosi fontem scaturientem : Venter autem omni camino avidior illata omnia absumens ; et pedes agiles et flamma quavis velociores ; et facies illi de lupo et cane compositum : loquatur nihil humani, sed sine sono, sine lepore et terribiliter ; habeat in manibus flammam : forsan terribilia nobis videntur esse quæ dicuntur ; sed nondum satis expressimus eum ; ad hæc enim et alia oportet addere : scilicet obvios trucidet, devoret usque ad ossa et medullas. Sed et hoc multo molestior est avarus omnia invadens ut orcus, omnes ebibens, communis hostis percurrens hominum genus. Nam vult hominem esse nullum, ut omnia possideat : nec ibi consistit ; sed quando omnes destruxisset cupiditate, et terræ essentiam mutari vellet, et aurum eam videre : non autem solam terram, sed et montes et sylvas et fontes et omnia simpliciter apparentia (visibilia).

5. Et ut disceatis nondum furorem illius expositum

γ'. Καὶ ὅτι οὐ σφάλλομαι ταῦτα λέγων, δῆλον ἐξ ὧν ἑκάτεροι πάσχουσιν· οἱ μὲν γὰρ φιλάργυροι τὸν οὐδὲν ἠδικηκότα, ἐχθρὸν ἡγοῦνται, καὶ δοῦλον λαβεῖν βούλονται τὸν ἐλεύθερον ὄντα, καὶ μυρίοις κακοῖς περιβάλλουσιν· οἱ δὲ δαιμονῶντες, οὐδὲν τοιοῦτον ἐργάζονται, ἀλλ' ἐν ἑαυτοῖς τρέφουσι τὴν νόσον· καὶ οὗτοι μὲν πολλὰς οἰκίας ἀνατρέπουσι, καὶ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖσθαι παρασκευάζουσι, καὶ λύμη πόλεων καὶ τῆς οἰκουμένης πάσης εἰσίν· οἱ δὲ ὑπὸ δαιμόνων ἐνοχλούμενοι, ἐλεεῖσθαι μᾶλλον εἰσὶν ἄξιοι καὶ δακρύεσθαι· καὶ οἱ μὲν δαιμονῶντες ἀναισθησίᾳ τὰ πλείονα πράττουσιν· οἱ δὲ φιλάργυροι μετὰ λογισμοῦ παραπταίουσιν, ἐν μέσαις πόλεσι βακχευόμενοι, καινήν τινα μανίαν μαινόμενοι· τί γὰρ τοιοῦτον ἐργάσονται οἱ δαιμονῶντες ἅπαντες, οἷον Ἰούδας ἐτόλμησε, τὴν μεγίστην παρανομίαν ἐργασάμενος, καὶ προδοὺς τὸν διδάσκαλον τριάκοντα ἀργυρίοις, ἅτε φιλάργυρος ὤν· καὶ πάντες δὲ οἱ ἐκεῖνον ζηλοῦντες, καθάπερ θηρία χαλεπὰ ἀπὸ γαλιάγρας φυγόντα τὰς πόλεις θορυβοῦσιν, οὐδενὸς κατέχοντος· περίκεινται μὲν γὰρ καὶ τούτοις ἐσμὰ πανταχόθεν, οἷον ὁ τῶν δικαστῶν φόβος, ἡ τῶν νόμων ἀπειλή, ἡ παρὰ τῶν πολλῶν κατάγνωσις, καὶ ἕτερα πλείονα τούτων· ἀλλ' ὅμως καὶ ταῦτα διαῤῥηγνύντες, πάντα ἄνω καὶ κάτω ποιοῦσι· καὶ εἴ τις αὐτὰ τέλεον αὐτῶν ἀφεῖλε, τότε ἂν ἔγνω σαφῶς τὸν ἐν αὐτοῖς δαίμονα, πολὺ τοῦ νῦν ἐξελθόντος ἀγριώτερον ὄντα καὶ μανικώτερον.

δ'. Ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι, τῷ λόγῳ τέως, αὐτὸ ὑποθώμεθα, καὶ πάσας αὐτοῦ περιέλωμεν τὰς ἁλύσεις· καὶ τότε αὐτοῦ σαφῶς εἰσόμεθα τὴν λαμπρὰν μανίαν· ἀλλὰ μὴ δείσητε τὸ θηρίον. ὅταν αὐτὸ ἐκκαλύψωμεν· ἐν γὰρ τῷ λόγῳ ἡ σκηνή, οὐκ ἐν ἀληθείᾳ τὸ πρᾶγμα. Ἔστω τοίνυν τις ἄνθρωπος πῦρ ἀπὸ τῶν ὀφθαλμῶν ἀφιείς, μέλας ὅλον τὸ σῶμα, ἐξ ἑκατέρων τῶν ὤμων δράκοντας ἀντὶ χειρῶν ἔχων ἐξηρτημένους· ἔστω δὲ αὐτῷ καὶ στόμα, ἀντὶ μὲν ὀδόντων ξίφη ὀξέα ἔχων πεπηγότα, ἀντὶ δὲ γλώττης, ἰοῦ καὶ δηλητηρίου φαρμάκου πηγὴν ἀναβλύζουσαν· γαστὴρ δὲ καμίνου πάσης δαπανικωτέρα, τὰ ἐμβαλλόμενα πάντα ἀναλίσκουσα· καὶ πόδες ὑπόπτεροί τινες, καὶ φλογὸς ἁπάσης σφοδρότεροι· καὶ τὸ πρόσωπον δὲ αὐτῷ ἀπὸ κυνὸς καὶ λύκου κατεσκευασμένον ἔστω· καὶ φθεγγέσθω μηδὲν ἀνθρώπινον, ἀλλ' ἀηχές τι καὶ ἀηδὲς καὶ φοβερόν· ἐχέτω δὲ καὶ ἐν χερσὶ φλόγα· τάχα φοβερὰ ὑμῖν δοκεῖ εἶναι τὰ εἰρημένα· ἀλλ' οὐδέπω κατ' ἀξίαν αὐτὸν ἐσχηματίσαμεν· μετὰ γὰρ τούτων καὶ ἕτερα δεῖ προσθεῖναι· καὶ γὰρ τοὺς ἁπάντων ὄντας σφαττέτω, κατεσθιέτω, τῶν ὀστέων αὐτῶν καὶ μυελῶν· ἀλλὰ καὶ τούτου πολλῷ χαλεπώτερος ὁ φιλάργυρος, πᾶσιν ἐπιὼν ὥσπερ ᾅδης, πάντας καταπίνων, κοινὸς πολέμιος περιερχόμενος τοῦ τῶν ἀνθρώπων γένους. Καὶ γὰρ βούλεται μηδένα ἄνθρωπον εἶναι, ἵνα τὰ πάντα κατέχῃ· καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλ' ὅταν πάντας ἀπολέσῃ τῇ ἐπιθυμίᾳ, καὶ τῆς γῆς τὴν οὐσίαν ἀφανίσαι ἐπιθυμεῖ, καὶ χρυσὸν αὐτὴν οὖσαν ἰδεῖν· οὐ τὴν γῆν δὲ μόνον, ἀλλὰ καὶ ὄρη καὶ νάπας καὶ πηγάς, καὶ πάντα ἁπλῶς τὰ φαινόμενα.

ε'. Καὶ ἵνα μάθητε ὅτι οὐδέπω τὴν μανίαν παρε-

στήσαμεν τὴν ἐκείνου, μηδεὶς ἔστω ὁ ἐγκαλῶν, καὶ δεδιττόμενος, ἀλλὰ ἄνελε τὸν ἐκ τῶν νόμων φόβον, τῷ λόγῳ τέως, καὶ ὄψει αὐτὸν ξίφος ἁρπάσαντα, καὶ πάντας διαχρώμενον, καὶ οὐδενὸς φειδόμενον, οὐ φίλου, οὐ συγγενοῦς, οὐκ ἀδελφοῦ, οὐκ αὐτοῦ τοῦ γεγεννηκότος· μᾶλλον δὲ οὐδὲ ὑποθέσεως ἐντεῦθα χρεία, ἀλλ' ἐρώμεθα αὐτὸν, εἰ μὴ τοιαύτας πλάττει καθ' ἑαυτὸν φαντασίας ἀεὶ, καὶ πάντας ἔπεισιν ἀναιρῶν τῷ λογισμῷ καὶ φίλους καὶ συγγενεῖς καὶ αὐτοὺς τοὺς γεγεννηκότας· μᾶλλον δὲ οὐκ ἐρωτήσεως χρεία· καὶ γὰρ πάντες ἴσασιν, ὡς οἱ τούτῳ κατεχόμενοι τῷ νοσήματι, καὶ γῆρας βαρύνονται πατρὸς, τό τε γλυκὺ καὶ πᾶσιν ἐπέραστον, τὸ παῖδας ἔχειν, βαρὺ καὶ ἐπαχθὲς εἶναι νομίζουσι. Πολλαὶ γοῦν καὶ ἀτοκίαν διὰ τοῦτο ὠνήσαντο, καὶ τὴν φύσιν ἐπήρωσαν, οὐκ ἀνελόντες τεχθέντας τοὺς παῖδας, ἀλλὰ μηδὲ φύναι τὴν ἀρχὴν συγχωρήσαντες. Μὴ τοίνυν θαυμάσησθε εἰ τὸν φιλάργυρον οὕτως ἐσχηματίσαμεν· καὶ γὰρ πολὺ χείρων ἐστὶ τῶν εἰρημένων.

ς'. Ἀλλὰ σκοπήσωμεν πῶς τοῦ δαίμονος αὐτὸν ἀπαλλάξομεν. Πῶς οὖν ἀπαλλάξομεν; εἰ μάθοι σαφῶς, ὅτι ἡ φιλαργυρία πρὸς αὐτὸ τοῦτο, μάλιστα αὐτῷ ἐναντιοῦται πρὸς τὸ πορίζειν χρήματα· οἱ γὰρ τὰ μικρὰ κερδαίνειν βουλόμενοι, μεγάλας ὑπομένουσι ζημίας· ὅθεν δὴ καὶ παροιμία εἰς αὐτὸ τοῦτο ἐξενήνεκται· πολλοὶ γοῦν πολλάκις ἐπὶ μεγάλοις δανεῖσαι βουλόμενοι τόκοις, τῇ προσδοκίᾳ τοῦ κέρδους, οὐκ ἐξετάσαντες τοὺς λαμβάνοντας, μετὰ τοῦ τόκου καὶ τοῦ κεφαλαίου παντὸς ἐξέπεσον· πάλιν εἰς κινδύνους περιπεσόντες ἕτεροι, καὶ μὴ βουληθέντες ὀλίγα προέσθαι, καὶ τὴν ψυχὴν μετὰ τῆς οὐσίας ἀπώλεσαν· καὶ παρὸν πάλιν, ἢ ἀξιώματα κερδαλέα, ἢ ἄλλο τι τοιοῦτον ὠνήσασθαι, μικρολογησάμενοι, τὸ πᾶν ἀπώλεσαν. Ἐπειδὴ γὰρ οὐκ ἴσασι σπείρειν, ἀλλ' ἀεὶ θερίζειν μεμελετήκασι, καὶ τοῦ ἀμητοῦ συνεχῶς ἐκπίπτουσιν· οὐδεὶς γὰρ ἀεὶ θερίζειν δύναται, ὥσπερ οὐδὲ ἀεὶ κερδαίνειν. Ἐπεὶ οὖν οὐ βούλονται δαπανᾶν, οὐδὲ κερδαίνειν ἴσασιν· ἀλλὰ κἂν γυναῖκα δέῃ λαβεῖν, πάλιν τὸ αὐτὸ τοῦτο ὑπομένουσιν· ἢ γὰρ ἐξηπατήθησαν, ἄπορον ἀντ' εὐπόρου λαβόντες, ἢ καὶ πλουσίαν εἰσαγαγόντες, καὶ μυρίων γέμουσαν ἐλαττωμάτων, πλείονα πάλιν τὴν ζημίαν ὑπέμειναν· οὐ γὰρ ἡ περιουσία, ἀλλ' ἡ ἀρετὴ τὸν πλοῦτον ἐργάζεται. Τί γὰρ ὄφελος τοῦ πλούτου, ὅταν δαπανηρὰ ᾖ καὶ ἄσωτος, καὶ πάντα ἀνέμου σφοδρότερον ἐκφορῇ· τί δὲ, ἂν ἀσελγὴς, καὶ μυρίους ἑταίρας ἐφέλκηται; τί δὲ, ἂν μέθυσος; οὐ πάντων πενέστερον ταχέως τὸν ἄνδρα ἐργάσεται; Οὐ γαμοῦσι δὲ μόνον, ἀλλὰ καὶ ὠνοῦνται ἐπισφαλῶς ὑπὸ τῆς ἐπιθυμίας τῆς πολλῆς, οὐ τὰ σπουδαῖα τῶν ἀνδραπόδων, ἀλλὰ τὰ εὔωνα περιεργαζόμενοι. Ταῦτ' οὖν ἅπαντα ἀναλογισάμενοι οἱ φιλάργυροι, τῶν γὰρ περὶ τῆς γεέννης καὶ τῆς βασιλείας λόγων οὐδέπω ἀκούειν δύνανται, καὶ τὰς ζημίας ἐννοήσαντες, ἃς ὑπέμειναν πολλάκις ἀπὸ τῆς φιλοχρηματίας καὶ ἐν δανεισμασι καὶ ἐν ὠνίοις καὶ ἐν γάμοις καὶ ἐν προστασίαις καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, ἀποστήτωσαν τοῦ

A esse, nullus sit objurgans et timens, sed tolle legum timorem, verbo tantum, et videbis eum ensem evaginantem et omnes occidentem et nemini parcentem, non amico, non cognato, non fratri, non suo genitori; sed non opus est supponere; dicamus vero si non tales apud se fingat imagines, semper, et omnes invadat destruens ratiocinio et amicos et cognatos et ipsos genitores. Potius autem non interrogatione opus est: omnes enim sciunt, quomodo morbo isto capti et senectutem gravant patris, et quod cæteris tam dulce et amabile est, grave et intolerabile esse putant pueros habere. Multi enim et sterilitatem propter hoc emerunt, et naturam privarunt, non destruentes partos infantes, sed neque producere principium concedentes. Ne ergo miremini si avarum ita descripserimus: multo enim pejor est dictis.

6. Sed videamus quomodo eum a dæmone liberemus. Quomodo ergo liberabimus? Si discat clare, avaritiam præter hoc præsertim ipsi adversatur ad acquirenda bona. Qui enim parva lucra facere volunt, magna subeunt damna. Unde igitur initium ad hoc accidit (eruitur). Multi enim sæpe, magnis volentes mutuum dare usuris, exspectatione lucri non probantes eos qui mutuantur, cum usura et summam totam amittunt. Rursus in periculo cadentes alii et nolentes pauca appetere animam cum bonis amiserunt; et rursus adest ut dignitates lucrum habentes aut aliud quoddam simile emere parvipendentes, omnia perdiderunt. Cum enim nesciant seminare, sed semper metere curent, a messe continuo privantur: nemo enim semper metere potest, quomodo neque semper lucrifacere. Cum enim nolint expendere, neque lucrifacere sciunt. Sed quando uxorem ducere oporteat, rursus idem subeunt. Vel enim decepti sunt, pauperem pro divite accipientes, vel et divitias inducentes et decem millibus refertas vitiis, majorem rursus perniciem subiere. Non enim abundantia, sed virtus divitias operatur. Quid enim prosunt divitiæ quando prodiga est et vesana, et omnia vento velocius efferat: quid ergo si libidinosa et innumeros amasios attrahat? Quid autem si vinolenta? nonne omnium pauperiorem brevi reddet virum? non uxorem tantum ducunt, sed et emunt periculose cupiditatis causa; non servorum studiosas curas sed quæ parvi constent exquirunt. Hæc igitur omnia ratiocinantes avari, de his enim quæ ad gehennam et regnum spectant audire nondum possunt, et de damnis meditantes quæ subierunt sæpe cupiditatis causa, et mutuis datis, et emptionibus et matrimoniis et muneribus et in cæteris omnibus, discedunt ab amore bonorum. Sic enim poterunt et præsentem vitam in pace agere, et parvi pendentes etiam de philosophia audire verba, et aspicien-

tes ut ipsum vel aut justitiæ solem, et annuntiatorum ab eo bonorum participes fiant gratia et humanitate Domini nostri Jesu Christi, per quem et quocum sit Patri gloria simul cum sanctissimo Spiritu, nunc et semper et in sæcula sæculorum. Amen

χρημάτων ἐρᾷν. Οὕτω γὰρ δυνήσονται καὶ τὸν παρόντα βίον μετὰ ἀσφαλείας ζῆν, καὶ μικρὸν ἐπιδόντες, καὶ τῶν περὶ φιλοσοφίας ἀκοῦσαι λόγων· καὶ διαβλέψαντες εἰς αὐτὸν τῆς δικαιοσύνης ἰδεῖν τὸν ἥλιον, καὶ τῶν ἐπηγγελμένων παρ' αὐτοῦ ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## SERMONIS SEXTI ETHICON.

### *De patientia et longanimitate. Ex Jobi et Davidis historia.*

1. Quanam igitur essemus digni venia, tanta habentes exempla, et in pace molles et deficientes? Nemine enim bellum gerente, trucidamur; nemine persequente, dissolvimur: in pace salvos fieri jubemur; neque illud quidem valemus. Ast apostoli, orbem totum incandescentem, et in universam terram ingredientes incendium accensum, de media eripuerant flamma conflagratos; nos autem neque nosmetipsos servare possumus in libertate positi? Quæ ergo nobis erit excusatio, quæ venia in illa die, qui neque unum quoddam habeamus ostendere ex his quæ passi sumus propter Christum pro nobis passum multa, et certe inimicis? Non enim ignoramus militem quando vulnera et plagas ostendit, tunc posse clarum fieri apud regem: sin nullum habeat exhibendum facinus præclarum, et nullum percusserit, in novissimis collocabitur. Sed non est belli tempus, ait. Si enim esset, dic, quæso, quis pugnaret? quis prosiliret, quis phalangem trajiceret? forsan nemo. Cum enim video nos bona non despicere propter Christum, quomodo quis nobis suadebit se dum percuteretur, despecturum?

2. Dixit Christus: Tolerate injuriam facientes viriliter, et his benedicite; hoc autem non agimus. Et plagas feremus, dic, quæso, ubi multus dolor, et cruciatus? Verum apostoli, inquies, quos imitari adhortaris, miracula faciebant super cæteros facti: unde omnia tolerabant fortiter pro Christo solo. Idcirco igitur non flagellabantur? Idcirco non persecutionem patiebantur? Et hoc est incredibile quod illud ab his quibus benefecerant patiebantur, neque tamen propterea turbabantur, mala pro bonis accipientes, sed innumeros livores et punctiones continuas experientes, majoribus quam cœlicolæ deliciis gaudebant: nos autem neque in somnio hujusmodi quippiam sustinentes, quamvis cera molliores sumus. Quando alicui beneficium parvum contulimus, et postea triste quid ab eo excepimus, turbamur, terremur, et facti nos pœnitet. Si quidem fiat, quod absit nec accidat unquam, bellum in ecclesias et

## ΔΙΑΛΕΞΕΩΣ ΕΚΤΗΣ ΗΘΙΚΟΝ (1).

### *Περὶ ὑπομονῆς καὶ μακροθυμίας· ἐκ τῆς κατὰ τὸν Ἰὼβ καὶ Δαβὶδ ἱστορίας.*

α'. Τίνος οὖν ἂν εἴημεν ἄξιοι συγγνώμης ἡμεῖς, τοσαῦτα ἔχοντες ὑποδείγματα, καὶ ἐν εἰρήνῃ μαλακιζόμενοι καὶ καταπίπτοντες; Οὐδενὸς γὰρ πολεμοῦντος, σφαττόμεθα· οὐδενὸς διώκοντος, ἐκλυόμεθα· ἐν εἰρήνῃ σωθῆναι κελευόμεθα, καὶ οὐδὲ τοῦτο δυνάμεθα· καὶ οἱ μὲν ἀπόστολοι τῆς οἰκουμένης καιομένης ἁπάσης, καὶ κατὰ πᾶσαν γῆν τῆς πυρᾶς ἐναπτομένης εἰσιόντες ἔνδον, ἐκ μέσης ἥρπαζον τῆς φλογὸς τοὺς ἐμπιπραμένους· ἡμεῖς δὲ οὐδὲ ἑαυτοὺς διατηρῆσαι δυνάμεθα ἐν ἀνέσει; Τίς τοίνυν ἡμῖν ἔσται παῤῥησία, ποία συγγνώμη κατ' ἐκείνην τὴν ἡμέραν, μηδὲ ἓν ἔχουσιν ἐπιδεῖξαι ὧν πεπόνθαμεν διὰ τὸν Χριστὸν τὸν παθόντα δι' ἡμᾶς πολλά, καὶ τοί γε ὄντας ἐχθρούς; Οὐ γὰρ ἀγνοοῦμεν ὅτι καὶ ὁ στρατιώτης ὅτε τραύματα καὶ ὠτειλὰς ἐπιδείκνυται, τότε δυνήσεται λαμπρὸς εἶναι παρὰ τῷ βασιλεῖ· ἂν δὲ μηδὲν ἔχῃ δεῖξαι κατόρθωμα, κἂν μηδὲν ᾖ προσκεκρουκὼς, ἐν τοῖς ἐσχάτοις ταχθήσεται· ἀλλ' οὐκ ἔστι πολέμου καιρὸς, φησίν. Εἰ γὰρ ἦν, εἰπέ μοι, τίς ἂν ἠγωνίσατο; τίς ἂν ἐπεπήδησε; τίς ἂν τὴν φάλαγγα διέξεσε; τάχα οὐδείς. Ὅταν γὰρ ἴδω ὅτι οὐ χρημάτων καταφρονοῦμεν ἕνεκα τοῦ Χριστοῦ, πῶς τις ἡμῖν πιστεύσει ὅτι πληγῶν καταφρονήσομεν;

β'. Εἶπεν ὁ Χριστὸς, Φέρετε τοὺς ὑβρίζοντας γενναίως, καὶ εὐλογεῖτε· καὶ τοῦτο οὐ ποιοῦμεν· καὶ πληγὰς οἴσομεν, εἰπέ μοι, ἔνθα πολὺ τὸ τῆς ὀδύνης, καὶ τὸ τῆς ἀλγηδόνος; ἀλλ' οἱ ἀπόστολοι, φησὶν, οὓς ἡμᾶς μιμεῖσθαι παραινεῖς, ἐθαυματούργουν γεγονότες ὑπὲρ τοὺς ἄλλους· ὅθεν καὶ πάντα ἔφερον εὐψύχως; ὑπὲρ ἑνὸς τοῦ Χριστοῦ. Διὰ τοῦτο γοῦν οὐκ ἐμαστιγοῦντο; διὰ τοῦτο οὐκ ἠλαύνοντο; Καὶ γὰρ τοῦτο ἐστὶ τὸ παράδοξον, ὅτι καὶ παρὰ τῶν εὐεργετουμένων τοιαῦτα ἔπασχον, καὶ οὐδὲ οὕτως ἐθορυβοῦντο, κακὰ ἀντὶ ἀγαθῶν ἀπολαμβάνοντες, ἀλλὰ μυρίους ἔχοντες μώλωπας, καὶ στίγματα συνεχῆ, τῶν ἐν παραδείσῳ διαγόντων μᾶλλον ἐτρύφων· ἡμεῖς δὲ οὐδὲ ὄναρ τοιοῦτόν τι ὑπομείναντες, κηροῦ παντὸς ἐσμὲν μαλακώτεροι· κἂν τινα εὐεργετήσωμεν μικράν τινα εὐεργεσίαν, εἶτα λυπηροῦ τινος ἀπολαύσωμεν παρ' αὐτοῦ, θορυβούμεθα, ταραττόμεθα, καὶ ἐπὶ τῷ γεγενημένῳ μετανοοῦμεν. Εἰ τοί-

(1) Subsequens ethicon pertinet ad illa Domini verba apud Matthæum x, 22: *Qui autem perseveraverit usque in finem, hic salvus erit.*

νυν γένηται, ὃ μὴ γένοιτο, μηδὲ συμβαίη ποτὲ γενέσθαι πόλεμος ἐκκλησιῶν καὶ διωγμὸς, ἐννοήσωμεν πόσως ἔσται ὁ γέλως, πόσα τὰ ὀνείδη· καὶ μάλα εἰκότως. Ὅταν γὰρ ἐν τῇ παλαίστρᾳ μηδεὶς γυμνάζηται, πῶς ἐν τοῖς ἀγῶσιν ἔσται λαμπρός; ποῖος γὰρ ἀθλητὴς παιδοτριβεῖν (1) οὐκ εἰδὼς, δυνήσεται καλούντων τῶν ὀλυμπιακῶν ἀγώνων, μέγα τι καὶ γενναῖον ἐπιδείξασθαι πρὸς τὸν ἀνταγωνιστήν; Οὐ γὰρ ἐχρῆν καθ' ἑκάστην ἡμέραν παλαίειν ἡμᾶς καὶ πυκτεύειν καὶ τρέχειν; οὐκ ἀκούομεν τοὺς λεγομένους πεντάθλους, ἐπειδὰν μηδένα ἔχωσι τὸν ἀνταγωνιστὴν, πῶς θύλακον ἄμμου πληρώσαντες πολλῆς, καὶ κρεμάσαντες, ἐκεῖ τὴν ἰσχὺν γυμνάζουσιν ἅπασαν; οἱ δὲ τούτων νεώτεροι ἐν τοῖς τῶν ἑταίρων σώμασι μελετῶσι τὴν πρὸς τοὺς ἐχθροὺς μάχην.

γ'. Τούτους οὖν καὶ ἡμεῖς ζηλώσωμεν, καὶ μελετήσωμεν τῆς φιλοσοφίας τὰ παλαίσματα· καὶ εἰς θυμὸν πολλοὶ παροξύνουσι, καὶ πολλὴν ἀνάπτουσι φλόγα· στῶμεν τοίνυν κατὰ τῶν παθῶν, φέρωμεν γενναίως τὰς κατὰ διάνοιαν ὀδύνας, ἵνα καὶ τὰς τοῦ σώματος ἐνέγκωμεν. Καὶ γὰρ ὁ μακάριος Ἰὼβ εἰ μὴ καλῶς ἦν γυμνασάμενος πρὸ τῶν ἀγώνων, οὐκ ἂν οὕτω λαμπρῶς ἐπὶ τῶν ἀγώνων ἔλαμψεν· εἰ μὴ μεμελετήκει πάσης ἀθυμίας ἐκτὸς εἶναι, εἶπεν ἄν τι τολμηρὸν, τῶν παίδων ἀποθανόντων· νυνὶ δὲ πρὸς πάντα ἔστη τὰ παλαίσματα· πρὸς χρημάτων ἀπώλειαν καὶ περιουσίας τοσαύτης ἀφανισμὸν, πρὸς παίδων ἀποβολὴν, πρὸς γυναικὸς συμπάθειαν, πρὸς σώματος μάστιγας, πρὸς φίλων ὀνείδη, πρὸς λοιδορίας οἰκετῶν. Εἰ δὲ διέῤῥηξε τὰ ἱμάτια, καὶ τὴν κόμην ἀπεκείρατο, τὴν τῶν φιλτάτων ἀκούσας ἀπώλειαν, μὴ θαυμάσωμεν· πατὴρ γὰρ ἦν, καὶ πατὴρ φιλόστοργος, καὶ ἔδει δειχθῆναι καὶ τὴν τῆς φύσεως συμπάθειαν, καὶ τὴν τῆς γνώμης φιλοσοφίαν. Εἰ γὰρ μηδὲ τοῦτο ἐποίησεν, ἴσως ἂν τις καὶ ἀναισθησίας ἐνόμισε τὴν φιλοσοφίαν ταύτην.

δ'. Εἰ δὲ θέλομεν καὶ τὰ τοῦ Ἰὼβ θεωρῆσαι γυμνάσια, ἀκούσωμεν αὐτοῦ λέγοντος, πῶς κατεφρόνει χρημάτων, οὕτω· Εἰ δὲ καὶ εὐφράνθην πολλοῦ πλούτου μοι γενομένου· εἰ ἔταξα χρυσίον εἰς χοῦν· εἰ λίθῳ πολυτελεῖ ἐπεποίθειν· διὰ τοῦτο οὐδὲ ἁρπαγέντων αὐτῶν ἐθορυβεῖτο, ἐπειδὴ καὶ παρόντων αὐτῶν οὐκ εὐφραίνετο· ἀκούσωμεν πῶς καὶ τὰ κατὰ τοὺς παῖδας διῴκει, οὐ καταμαλακιζόμενος παρὰ τὸ δέον, καθάπερ ἡμεῖς, ἀλλὰ πᾶσαν ἀκρίβειαν παρ' αὐτῶν ἀπαιτῶν· ὁ γὰρ καὶ ὑπὲρ ἀδήλων θυσίαν ἀναφέρων, ἐννοήσωμεν πῶς ἦν ἀκριβὴς τῶν φαινομένων δικαστής. Εἰ δὲ καὶ τοὺς περὶ σωφροσύνης ἀγῶνας μαθεῖν βουλόμεθα, αὐτοῦ λέγοντος ἀκούσωμεν· Διαθήκην διεθέμην τοῖς ὀφθαλμοῖς μου, τοῦ μὴ κατανοῆσαι εἰς παρθένον· διὰ τοῦτο αὐτὸν οὐ κατέκλασεν ἡ γυνή. Ἐφίλει μὲν γὰρ αὐτὴν καὶ πρὸ τούτου, ἀλλ' οὐχ ὑπὲρ τὸ μέτρον, ἀλλ' ὡς εἰκὸς γυ-

A persecutio, quantus erit risus videbimus, quantum ludibrium, et valde verisimiliter. Quando enim in luctatione nemo sese exercet, quomodo in certamine fiet illustris? Qualis enim athleta exercitium nesciens poterit, vocantibus olympiacis ludis, magnum quid et generosum exhibere adversus antagonistam? Nonne oportuit nos quotidie luctari et pugnare et currere? Nonne audimus pentathlos, cum neminem adversarium habeant, quomodo in saccum arena repletum multa, et suspensum, vim totam exerceant? Illi vero recentiores sociorum corporibus in hostes certamen meditantur.

B 3. Nos ergo et nos imitemur, et philosophiæ pugnas meditemur: et ad animum multi incitant, et multam accendunt flammam: resistemus igitur cupiditatibus, generose dolores menti adversantes feramus, ut et corporis dolores toleremus. Etenim beatus Job si non fuisset bene exercitus ante pugnas, non ita clare in pugnis refulsisset. Nisi studuisset omnem ignaviam foras mittere, numquid audax verbum dixisset, pueris mortuis? Nunc autem contra omnia stetit certamina; adversus bonorum destructionem et facultatis tantæ ruinam, et puerorum amissionem, et uxoris affectum, et corporis flagella, et amicorum improperia, et domesticorum ludibria. Si vero vestes scidit, et crines avulsit, carissimorum perditione audita, ne miremur: pater enim C erat, et pater amans, naturæque affectus ostendi opus erat, pariterque mentis philosophiam. Si enim hæc non fecisset, forsan istam philosophiam sine sensu putares.

4. Si vero Jobi exercitia spectare velimus, ipsum audiamus dicentem, quomodo contemnebat bona ista. Si autem multis mihi divitiis factis gavisus sim: si aurum in cumulum disposuerim: si lapidi pretioso confiderim: idcirco neque raptis istis turbabatur, qui præsentibus his non gaudebat. Audiamus quomodo et ea quæ ad pueros spectabant, insectaretur, D non mollis factus erga officium, ut nos, sed omnem diligentiam ab eis exigens: cum enim pro absconditis hostias offerebat, videamus quam diligens erat apparentium judex. Si vero pro sapientia pugnas ediscere velimus, cum loquentem audiamus: Pactum pepigi cum oculis meis ne virginem videant: quamobrem eum mulier non fregit. Diligebat enim illam maxime, non autem præter modum, sed ut decet mulierem: unde mihi et mirari subit unde putarit diabolus hujus exercitia noscens, in luctam

(1) Animadvertant philologi hunc de schola athletica locum, cum vocabulis technicis παιδοτριβεῖν, θύλακος ἄμμου, πένταθλοι, a quibus distinguuntur νεώτεροι luctatores, ut fit in maximo musivo Romano ex thermis Antoninianis ante hos annos eruto.

agitare. Unde putavit? mala bestia est; nunquam ignorat: quod magna fit nobis damnatio, cum ille quidem nunquam desperet, nos autem nostræ obliviscamur salutis.

B ναῖκα· ὅθεν μοι καὶ θαυμάσαι ἔπεισι, πόθεν ἐπῆλθε τῷ διαβόλῳ, τούτου τὰ γυμνάσια εἰδότι κινῆσαι πρὸς τοὺς ἀγῶνας. Πόθεν οὖν ἐπῆλθε; πονηρόν ἐστι τὸ θηρίον· οὐδέποτε ἀπογινώσκει· ὃ μέγιστον ἡμῖν κατάκριμα γίνεται, ὅτι ἐκεῖνος μὲν οὐδέποτε ἀπελπίζει τῆς ἀπωλείας ἡμῶν, ἡμεῖς δὲ τὴν ἑαυτῶν ἀπογινώσκομεν σωτηρίαν.

5. Nunquam desperans diabolus, sed ubique retia et decipulas nobis tendens, cum hoc modo nequeat vinci, contrariam viam ingrediens, postquam Jobum viderit nequaquam divitiis victum, per inopiam explicavit retia, inde illum superare sperans. Quo quid fiat incredibilius? Qui enim potuit divitias ferre sapienter, multo generosius paupertatem feret; et qui præsentibus bonis non lætatus est, neque absentia quæret. Ut ergo non felix tunc erat, ita B inopia illustrior e contra fiet. Bona quidem auferre valuit pravus diabolus ille, caritatem autem erga Deum non modo auferre non valuit, sed et validiorem effecit, et omnibus propriis eum nudans pluribus eum bonis luxuriare fecit. Ideo et sine mediis erat: quo plura enim afferebat vulnera, eo fortiorem factum eum videbat: quapropter cuncta adiens, et personans, cum nihil profecisset amplius, ad vetera recurrit arma, mulierem: et personam indutus sollicitudinis valde miserabiliter per eam ejus casus repræsentavit, liberationemque volens malorum istius, tentavit perniciosum illud consilium ingerere: sed neque hoc modo victoriam retulit. Etenim ipsius diaboli fraudem cognovit C mirabilis et magnus Job, et multo cum sensu mulieris ex illo loquentis os obturavit: quia diligebat eam non supra modum, ut diximus, sed sicut decet mulierem; ita erat Job diligens custos sapientiæ ab initio, ut ex ejus verbis et operibus apparet.

ε'. Μηδέποτε δὲ ἀπελπίζων ὁ διάβολος, ἀλλὰ πάντοτε παγίδας καὶ θήρατρα καθ' ἡμῶν τιθείς, κἂν μὴ δυνηθῇ διὰ τοῦδε τοῦ τρόπου νικῆσαι, τὴν ἐναντίαν ὁδὸν ἐρχόμενος, ἐπείπερ εἶδε τὸν Ἰὼβ οὐδόλως ὑπὸ τοῦ πλούτου νικηθέντα, διὰ τῆς πενίας ἐπλέξε τὰ δίκτυα, ἐκεῖθεν αὐτοῦ περιγενέσθαι προσδοκῶν· οὗ τί γένοιτ' ἂν ἀνοητότερον; Ὁ γὰρ πλοῦτον δυνηθεὶς ἐνεγκεῖν σωφρόνως, πολλῷ μᾶλλον πενίαν οἴσει γενναίως· καὶ ὁ παρόντων χρημάτων οὐκ εὐφραινόμενος, οὐδὲ ἀπόντα ζητήσει ταῦτα· ὥσπερ οὖν οὐδὲ ὁ μακάριος τότε ἐκεῖνος, ἀλλ' ἀπὸ τῆς πενίας λαμπρότερος ἐγίνετο πάλιν. Τὰ μὲν γὰρ χρήματα ἴσχυσεν ἀφελέσθαι ὁ πονηρὸς δαίμων ἐκεῖνος, τὴν δὲ ἀγάπην τὴν πρὸς τὸν Θεὸν οὐ μόνον ἀφελεῖν οὐκ ἠδυνήθη, ἀλλὰ καὶ δυνατωτέραν ἐποίησε, καὶ πάντων τῶν ὑπαρχόντων αὐτὸν γυμνώσας, πλείοσιν ἐποίησε κομᾷν ἀγαθοῖς. Διὸ καὶ ἐν ἀμηχανίᾳ ἦν· ὅσῳ γὰρ πλείους ἀπήγαγε πληγάς, τοσούτῳ τότε δυνατώτερον ἑώρα γινόμενον· διὸ δὴ πάντα ἐπελθών, καὶ διακωδωνήσας, ὡς οὐδὲν ἤνυσε πλέον, ἐπὶ τὸ παλαιὸν ὅπλον ἔδραμε τὴν γυναῖκα· καὶ προσωπεῖον ὑποδὺς κηδεμονίας ἄγαν ἐλεεινῶς ἐξετραγῴδησε δι' ἐκείνης τὰς αὐτοῦ συμφοράς, καὶ προσεποιήσατο ὑπὲρ ἀπαλλαγῆς τῶν τούτου κακῶν, τὴν ὀλεθρίαν ἐκείνην εἰσάγειν συμβουλήν· ἀλλ' οὐδὲ οὕτως ἐκράτησε. Καὶ γὰρ συνεῖδεν αὐτοῦ τοῦ διαβόλου τὸ δέλεαρ ὁ θαυμαστὸς καὶ μέγας Ἰώβ, καὶ μετὰ πολλῆς τῆς συνέσεως τὴν ἐξ ἐκείνου φθεγγομένην γυναῖκα ἐπεστόμισεν· ἐπειδήπερ φιλῶν αὐτὴν οὐχ ὑπὲρ τὸ μέτρον ἐφίλει, ἀλλ' ὡς εἰκὸς γυναῖκα, καθάπερ εἴπομεν· οὕτως ἦν ὁ Ἰὼβ ἀκριβὴς φύλαξ τῆς σωφροσύνης ἐξ ἀρχῆς, ὥσπερ ἔκ τε τῶν λόγων αὐτοῦ καὶ τῶν ἔργων ἀναφαίνεται.

6. At corpus invalidum et tabescens video quomodo curabat: cum enim ipse nihil unquam tale subiisset, sed in divitiis et deliciis et cæteris splendoribus circumdatus vitam degeret, alienos unum post alterum casus somniabat, et hoc ostendens dicebat: Timor quem timebam, venit mihi, et quem metuebam obviavit mihi. Et rursus: Ego D omne quod fieri nequibat, flevi; ingemui hominem videns in angustiis: Quamobrem, nulla incidentium rerum magnarum illarum et intolerabilium turbabatur. Non enim attendo bonorum perditionem, non puerorum substractionem, neque plagam illam insanabilem, neque mulieris insidias, sed his multo molestiora. Et quid istis, inquis, molestius Job passus est? Ab historia nihil his amplius accepimus. Quum dormimus nihil discimus. Ut curam habens et margaritam scrutans multo majora his videbit. Molestiora enim et apta ad majorem incutiendam turbationem, alia erant:

ς'. Ἀλλὰ καὶ σώματος πήρωσιν καὶ λώβην σκόπει πῶς ἐμελέτα: ἐπειδὴ γὰρ αὐτὸς οὐδέποτέ τι τοιοῦτον ὑπέμεινεν, ἀλλ' ἐν πλούτῳ καὶ τρυφῇ καὶ τῇ ἄλλῃ περιφανείᾳ διετέλει ζῶν, τὰς ἀλλοτρίας καθεκάστην ὠνειροπόλει συμφοράς· καὶ τοῦτο δηλῶν, ἔλεγε· Φόβος γάρ, ὃν ἐφοβούμην, ἦλθέ μοι· καὶ ὃν ἐδεδοίκειν, συνήντησέ μοι. Καὶ πάλιν· Ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα, ἐστέναξα δὲ ἰδὼν ἄνδρα ἐν ἀνάγκαις. Διὰ τοῦτο, οὐδὲν αὐτὸν ἐθορύβει τῶν προσπιπτόντων τῶν μεγάλων ἐκείνων καὶ ἀφορήτων· μὴ γάρ μοι τὴν ἀπώλειαν εἴπῃς τῶν χρημάτων, μηδὲ τὴν τῶν παίδων ἀφαίρεσιν, μηδὲ τὴν πληγὴν ἐκείνην τὴν ἀνίατον, μηδὲ τὴν τῆς γυναικὸς ἐπιβουλήν, ἀλλὰ τὰ πολλῷ τούτων χαλεπώτερα· καὶ τί τούτων, φησί, χαλεπώτερον ἔπαθεν ὁ Ἰώβ; Παρὰ γὰρ τῆς ἱστορίας, οὐδὲν τούτων πλέον μανθάνομεν· ἐπειδὴ καθεύδομεν, οὐ μανθάνομεν· ὡς ὅ γε μεριμνῶν, καὶ τὸν μαργαρίτην καλῶς διερευνώμενος, πολλῷ πλείονα τούτων εἴσεται· τὰ γὰρ χαλε-

πώτερα καὶ ἱκανὰ, μείζονα ἐντέναι θόρυβον, ἕτερα ἦν· καὶ πρῶτον τὸ μηδὲν εἰδέναι περὶ βασιλείας οὐρανῶν καὶ ἀναστάσεως (1), σαφές· ὅπερ οὖν καὶ θρηνῶν ἔλεγεν· Οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμήσω. Δεύτερον, τὸ πολλὰ ἑαυτῷ συνειδέναι κακά· τρίτον τὸ μηδὲν συνειδέναι πονηρόν· τέταρτον, τὸ παρὰ Θεοῦ νομίζειν ταῦτα ὑπομένειν· τὸ γὰρ, τὸν δίκαιον Θεὸν, καὶ παντὶ τρόπῳ παρ' αὐτοῦ θεραπευθέντα, τοῦτον εἰδέναι αὐτῷ πολεμεῖν, καὶ πρόφασιν τινὰ εὔλογον τῶν γινομένων εὑρεῖν μὴ δύνασθαι, σφόδρα τοῦτον ἐτάραττε καὶ ἐθορύβει. Εἰ δὲ καὶ τὸν διάβολον ἐνόμιζεν αὐτῷ ταῦτα ἐπάγειν, καὶ τοῦτο ἱκανὸν ἦν αὐτὸν σκανδαλίσαι· πέμπτον, τὸ ἀκούειν τῶν φίλων ἐπὶ κακίᾳ διαβαλλόντων αὐτὸν, καὶ λεγόντων, Οὐκ ἄξια ὧν ἥμαρτες μεμαστίγωσαι; ἕκτον, τὸ τοὺς ἐν πονηρίᾳ ζῶντας εὖ πάσχοντας ὁρᾶν, καὶ ἐπιγελῶντας αὐτῷ· ἕβδομον, τὸ μὴ ἔχειν εἰς ἕτερον ἰδεῖν τοιαῦτα πεπονθότα ποτέ.

A Primum, nihil scire de regno cœlorum et resurrectione, evidens : quod lacrymans dicebat : Non enim in æternum vivam, ut longanimis sim. Secundum, multa sibi cognoscere mala : tertium, nihil mali sibi conscium esse : quartum, a Deo hæc pati credere; justum enim Deum, et omni modo ab eo curatum, scire sibi bellum gerere, et causam bonam eorum quæ flebant reperire non posse multum eum terrebant et turbabant. Si ipsum diabolum credidisset hæc sibi inferre, hoc eum labefactare potuisset. Quintum, audire amicos se calumniari male tractatum, et dicentes : Nonne quantum peccatis meritus es castigaris? Sextum, in improbitate viventes bene habentes videre et irridentes sibi. Septimum, non aspicere alterum similia patientem.

ζ'. Καὶ εἰ βουλόμεθα μαθεῖν ἡλίκα ταῦτα ἐστὶν, ἐννοήσωμεν τὰ παρόντα. Εἰ γὰρ νῦν βασιλείας προσδοκωμένης καὶ ἀναστάσεως ἐλπιζομένης, καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἐκείνων τῶν μελλόντων, οἱ μυρία συνειδότες ἑαυτοῖς κακὰ, καὶ τοσαῦτα ἔχοντες παραδείγματα, καὶ τοσούτης μετέχοντες φιλοσοφίας, ἂν ὀλίγον χρυσίον ἀπολέσωσι, καὶ τοῦτο πολλάκις ἁρπάσαντες, ἀβίωτον εἶναι τὸν βίον νομίζουσι· καὶ ταῦτα οὔτε γυναικὸς ἐπικειμένης, οὔτε παίδων ἀφαιρεθέντων, οὐ φίλων ὀνειδιζόντων, οὐκ οἰκετῶν ἐπεμβαινόντων, ἀλλὰ καὶ πολλῶν παρακαλούντων, τῶν μὲν διὰ ῥημάτων, τῶν δὲ διὰ πραγμάτων, πόσων οὐκ ἂν ἄξιος ἐκεῖνος εἴη στεφάνων, τὰ ἐκ δικαίων πόνων συλλεγέντα ὁρῶν ἁπλῶς καὶ ὡς ἔτυχεν ἁρπαζόμενα, τὸν ὁλόκληρον τῶν παίδων χορὸν, παίδων τῶν πολλὴν ἀρετὴν ἐπιδεικνυμένων, τῶν ἐν αὐτῷ τῆς ἡλικίας ὄντων τῷ ἄνθει, καταλύσαντα τὸν βίον ἀθρόον πικρῷ θανάτῳ· καὶ ἑαυτὸν ἐξαίφνης, οὐ πένητα μόνον, τὸν πολλοῖς περιῤῥέμενον χρήμασι, καὶ ἄπαιδα τὸν πολύπαιδα, ἀλλὰ καὶ νόσῳ βαρυτάτῃ παλαίοντα, καὶ λιμὸν καινότατον ὑφιστάμενον, τῷ μὴ δύνασθαι τῶν προκειμένων ἅπτεσθαι σιτίων, διὰ τὴν ὑπερβολὴν τῆς δυσωδίας, τῆς ἐκ τῶν τοῦ σώματος τραυμάτων, καὶ τῆς πηγῆς τῶν σκωλήκων, καὶ νικώσης μεθ' ὑπερβολῆς τὴν τοῦ λοιμοῦ βιαιοτάτην ἀνάγκην, καὶ κατεπειγούσης λέγειν αὐτὸν, βρόμον ὁρῶ τὰ σῖτά μου· καὶ παρὰ μὲν τῶν φίλων ὀνείδη, παρὰ δὲ τῶν οἰκετῶν κατα-

7. Et si discere velimus quanta ista sint, videamus præsentia. Si enim regno exspectato, resurrectione sperata, et ineffabilibus bonis illis futuris, qui sibi mille mala norunt etsi tanta habeant exempla et talis participes sint philosophiæ, si modicum aurum amiserint, cum hoc sæpe rapuerint, intolerabilem esse vitam credant, dum nec instat mulier nec auferuntur pueri, nec improperant amici, nec insurgunt domestici, sed multi consolantur, hi verbis, illi actibus, quantis coronis non esset dignus ille qui vidit ea quæ labore collegerat simpliciter et indistincte rapta, puerorum omnem cœtum, puerorum qui multam virtutem docti fuerant, qui sibi aderant in ætatis flore, vitam amara morte totam finientes; et subito semetipsum non modo pauperem qui multis abundabat bonis, et orbum qui multos habuerat pueros, sed et cum morbo gravissimo luctantem, et famem crudelissimam subeuntem, ut nequeat appositos attingere cibos, propter excessum graveolentiæ, et vulnerum corporis, et fontis vermium vincentem supra modum famis violentissimam necessitatem, et eum dicere cogentem : Graveolentiam video cibos meos : atque ab amicis improperia, et a domesticis despectus, et ab inimicis insurrectiones excipiens : et cum his omnibus alias innumeras tentationum nubes sustinens et per omnia inconcussus remanens, et decentem referens Domino pro his gratiam.

(1) Sic interpungitur in codice ante σαφὲς, ita ut Theodorus affirmare videatur nihil Jobo constitisse de regno cœlorum et de resurrectione. Sublata tamen, ut par est, interpunctione, mollior sensus fiet, nempe Jobo haud satis perspicue constitisse de prædictis dogmatibus. Sic reapse Chrysostomus in catena Juniana ad hujus capituli septimi versiculum 10 : Ὅτι γὰρ οὐκ ᾔδει τι σαφὲς περὶ τοῦ μυστηρίου τῆς ἐκ νεκρῶν παλιγγενεσίας, ἐντεῦθεν δῆλον· *Quod enim nullam certam scientiam habuerit mysterii regenerationis, quæ est post mortem, ex eis liquet quæ dicit*, etc. Attamen in Jobo typum nobis resurrectionis oblatum jure credimus. Porro autem priscus et copiosissimus quidam Jobi interpres, quem prelo nos aliquando committemus, verba οὐ γὰρ εἰς αἰῶνα ζήσομαι, etc., aliter prorsus intelligit, nempe : Ὅθεν ἴδιον ἀνταλλάττομαι τῆς ἐποδύνου ζωῆς τὸν θάνατον· ἴσως γὰρ οὗτος ἐπελθὼν παύσει μου τὰς ὀδύνας· οὐ γὰρ ἐν τούτῃ τῇ διαγωγῇ διαιωνίζω, ἵνα ἀπνευστὶ φέρω τὰς τηλικαύτας ὀδύνας· ἐφήμερος δὲ ὢν, ὑπομένειν ἀστενακτὶ οὐχ οἷός τέ εἰμι. *Quamobrem mori potius quam vivere velim. Fortasse enim mors superveniens doloribus meis finem imponet. Certe in hac vitæ conditione sempiternus esse nolim, si semper tales tantosque cruciatus sine intermissione sim perpessurus. Cum autem brevissimi ævi sim, pati sine gemitu nequeo.*

φρονήσεις, παρὰ δὲ τῶν ἐχθρῶν ἐπαναστάσεις δεχόμενος· καὶ μετὰ πάντων τούτων καὶ ἄλλας μυρίας νιφάδας πειρασμῶν ὑπομένων, καὶ διὰ πάντων μένων ἀκίνητος, καὶ τὴν προσήκουσαν ἀναφέρων τῷ Δεσπότῃ περὶ τούτων εὐχαριστίαν.

8. Etsi nihil ex cæteris aliquis dixerit, sola mulieris verba petram idonea sunt excutere, mulieris illius quam videns diabolus magnopere sibi inservientem ad insidiandum magno patientiæ athletæ, sicut ab initio Evam cum primo homine non delevit cum pueris, sed vivere sivit. Et per eam supplantare justum tentans, non boum destructorum adduxit medium, neque asinorum, neque camelorum, neque domus dejectæ, neque puerorum inhumatorum. Sed quando vermium erupit fons, et expensæ sunt carnes, pus multo putore plenum effecerunt, et frixorio et camino, et omni flamma dolorosiorem ipsum Job diaboli manus perdidit, manus bestia quavis molestior peredens undique et comedens: et multo tempore profecit in hac conditione, et ob hanc causam ipsum propter mutationem conveniens erat sitire et cupere mortem, qui nec respirare posset, tunc eam attulit multa cum malitia. Aggressa enim, suadente diabolo, non memoravit bona, non memoravit camelos et ovium boumque pecora; noverat enim viri de his philosophiam, sed omnibus his fortius pueros dico et ea quæ ad illam spectabant proposuit, neque ita valuit dejicere patientiæ inaccessam turrim. Si autem in quieto animo nihil injucundum patientes multos sæpe persuaserunt mulieres, videamus qualis esset ista generosa et juvenilis anima ipsam cum tantis armis aggredientem repellens, et duos maxime tyrannicos affectus conculcans, desiderium et miserationem: etenim multi ex his qui cupiditatem vicerunt miseratione flexi sunt.

A η'. Ἂν γὰρ μηδὲν τῶν ἄλλων μηδεὶς εἴπῃ, τὰ τῆς γυναικὸς μόνος ῥήματα, πέτραν ἱκανὰ διασαλεῦσαι· γυναικὸς ἐκείνης, ἣν εἰδὼς ὁ διάβολος μεγάλα αὐτῷ συντελέσουσαν πρὸς τὴν ἐπιβουλὴν τοῦ μεγάλου τῆς ὑπομονῆς ἀθλητοῦ, καθάπερ ἐξ ἀρχῆς τῆς Εὔαν μετὰ τοῦ πρωτοπλάστου οὐκ ἐφάνισε μετὰ τῶν τέκνων, ἀλλ' ἀφῆκε ζῆν· καὶ διὰ ταύτης ὑποσκελίσαι τὸν δίκαιον ἐπιχειρήσας, οὐ τῶν βοῶν ἀπολλυμένων προσήγαγε τοῦτο τὸ μηχάνημα, οὐδὲ τῶν ὄνων, οὐδὲ τῶν καμήλων, οὐδὲ τῆς οἰκίας κατενεχθείσης, οὐδὲ τῶν παίδων καταχωσθέντων. Ἀλλ' ὅτε τῶν σκωλήκων ἀνέβλυσεν ἡ πηγή, καὶ δαπανώμεναι αἱ σάρκες, ἰχῶρα πολλῆς γέμοντα δυσωδίας ἐποίουν, καὶ τηγάνων καὶ καμίνων, καὶ πάσης φλογὸς ὀδυνηρότερον αὐτὸν τὸν Ἰὼβ ἡ τοῦ διαβόλου B κατανήλισκε χεὶρ, θηρίου παντὸς χαλεπώτερον διατρώγουσα πάντοθεν καὶ κατεσθίουσα· καὶ πολὺς ἐν τῇ τοιαύτῃ συμφορᾷ προῆλθεν ὁ χρόνος, καὶ διὰ ταῦτα αὐτὸν ἀπαλλαγῆς εἰκὸς ἦν διψᾶν, καὶ ἀποθανεῖν ἐπιθυμεῖν, ὡς οὐδὲ ἀναπνεῖν ἔχοντα, τότε αὐτὴν προσήγαγε μετὰ πολλῆς κακουργίας. Προσελθοῦσα γὰρ αὕτη τῷ διαβόλῳ πεισθεῖσα, οὐκ ἐμνήσθη χρημάτων, οὐκ ἐμνήσθη καμήλων καὶ ποιμνίων καὶ βουκολίων· συνεῖδε γὰρ τῷ ἀνδρὶ τὴν ἐπὶ τούτοις φιλοσοφίαν, ἀλλὰ τοῦ πάντων τούτων φορτικωτέρου, τῶν παίδων λέγω, καὶ τὰ παρ' ἑαυτῆς προσέθηκε, καὶ οὐδ' οὕτως ἴσχυσε καταβαλεῖν τὸν τῆς ὑπομονῆς ἀπερίτρεπτον πύργον. Εἰ δὲ ἐν εὐθυμίᾳ ὄντας καὶ μηδὲν πάσχοντας ἀηδὲς, πολλοὺς πολλάκις ἔπεισαν γυναῖκες, ἐννοήσωμεν ποταπή C τις ἦν ἐκείνη ἡ γενναία καὶ νεανικὴ ψυχὴ, μετὰ τοσούτων ὅπλων αὐτὴν ἐπελθοῦσαν ἀποκρουσαμένη, καὶ δύο τὰ τυραννικώτατα παθήματα πατήσασα, ἐπιθυμίαν καὶ ἔλεον· καί τοι πολλοὶ τῶν κρατησάντων ἐπιθυμίας, ὑπὸ ἐλέου ἐκάμφθησαν.

9. Sapientissimus ille Joseph, imperiosissimam cohibuit voluptatem, et barbaram hanc mulierem repulit innumera adhibentem media; a lacrymis vero non temperavit, sed fratres injuste tractatos videns, dolore dissectus est, et personam brevi ejiciens, drama revelavit. Cum autem adest mulier et ea quæ miserationem movent dicit, et tempus habet cooperans, et vulnera et livores et eventuum numerosos fluctus, quomodo quisnam merito omni adamante duriorem, si nihil a tanta tempestate patiatur, animam habere appareat? Date mihi aperte loqui, quod apostolis si non melior, attamen nihil D inferior sit ille beatus. Illis etenim animum hoc dabat, quod pro Christo patiebantur; et ita poterat eis quotidie remedium præbere; propter me dicente, et quamvis me dominum Beelzebub vocent. Ille autem hoc privatus erat incitamento et eo quod a miraculis, et eo quod a gratia provenit. Non enim tantam animi potestatem habuit; et, quod majus est, in multis deliciis enutritus, et divitiis multis luxurians et a multis militibus stipatus, et ubique

θ'. Ὁ γοῦν σωφρονέστατος ἐκεῖνος Ἰωσὴφ, τῆς μὲν τυραννικωτάτης ἡδονῆς κατέσχε, καὶ τὴν βάρβαρον ἐκείνην γυναῖκα διεκρούσατο, μυρία προσάγουσαν μηχανήματα· δακρύων δὲ οὐ κατέσχεν, ἀλλ' ἰδὼν τοὺς ἀδελφοὺς τοὺς ἠδικηκότας, ἐνεπρίσθη τῷ πάθει, καὶ τὸ προσωπεῖον ταχέως ῥίψας, τὸ δρᾶμα ἀπεκάλυψεν. Ὅταν δὲ καὶ γυνὴ ᾖ, καὶ ἐλεεινὰ λέγῃ, καὶ τὸν καιρὸν ἔχῃ συμπράττοντα, καὶ τὰ τραύματα, καὶ τοὺς μώλωπας, καὶ τὰ τῶν συμφορῶν κύματα μυρία, πῶς οὐκ ἄν τις δικαίως ἀδάμαντος παντὸς στερρότεραν τὴν οὐδὲν ὑπὸ τοσούτου χειμῶνος παθοῦσαν ψυχὴν εἶναι ἀποφήναιτο; Δότε μοι μετὰ παῤῥησίας εἰπεῖν, ὅτι καὶ τῶν ἀποστόλων, εἰ μὴ καὶ μείζων, ἀλλ' οὐδὲ ἐλάττων ὁ μακάριος οὗτος ἦν. Ἐκείνους μὲν γὰρ παρεμυθεῖτο τὸ διὰ τὸν Χριστὸν πάσχειν· καὶ οὕτως ἱκανὸν ἦν τὸ φάρμακον καθ' ἑκάστην ἡμέραν αὐτοὺς ἀναστῆσαι, ἕνεκεν ἐμοῦ λέγοντα, καὶ εἰ ἐμὲ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν· ἐκεῖνος δὲ ταύτης ἔρημος ἦν τῆς παραμυθίας, καὶ τῆς ἀπὸ τῶν σημείων, καὶ τῆς ἀπὸ τῆς χάριτος. Οὐδὲ γὰρ εἶχε τοσαύτην τοῦ πνεύ-

ματος δύναμιν· καὶ τὸ δὴ μεῖζον ὅτι ἐν πολλῇ τρυφῇ τραφεὶς καὶ πλούτῳ πολλῷ κομῶν καὶ παρὰ πολλῶν δορυφορούμενος, καὶ πανταχοῦ μετὰ πολλῆς ἀνακηρυττόμενος τῆς ἐπιφανείας, οὐκ ἐξ ἀλιέων ὢν καὶ τελωνῶν καὶ τῶν εὐτελῶς βεβιωκότων, ἀλλὰ τοσαύτης ἀπολελαυκὼς τιμῆς ἔπασχεν ἅπερ ἔπασχεν· καὶ ὅπερ φορτικώτατον ἐπὶ τῶν ἀποστόλων εἶναι ἐδόκει, τοῦτο αὐτὸ καὶ αὐτὸς ὑπέμενε παρὰ φίλων, παρὰ οἰκετῶν, παρὰ ἐχθρῶν μισούμενος, παρὰ τῶν εὖ πεπονθότων, καὶ τὴν ἱερὰν ἄγκυραν, τὸν ἀκύμαντον λιμένα· τοῦτο δὲ ἦν τὸ τοῖς ἀποστόλοις εἰρημένον, τὸ ἕνεκεν ἐμοῦ, τοῦτο ἰδεῖν οὐκ εἶχε.

ι'. Θαυμάζω τοὺς παῖδας τοὺς τρεῖς ὅτι κατεπολέμησαν καμίνου, ὅτι κατεξανέστησαν τυράννου· ἀλλ' ἄκουσον τί λέγουσι· Τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ἣ ἔστησας οὐ προσκυνοῦμεν· ὅπερ μεγίστη παραμυθία αὐτοῖς ἦν, τὸ σαφῶς εἰδέναι ὅτι διὰ τὸν Θεὸν πάντα πάσχουσιν ἅπερ ἂν πάθωσιν· οὗτος δὲ οὐκ ᾔδει ὅτι ἀγωνίσματα ταῦτα καὶ πάλη· εἰ γὰρ ᾔδει, οὐκ ἂν ἤσθετο τῶν γινομένων. Ὅτε γοῦν ἤκουσεν ὅτι μὴ ἄλλως οἴει με κεχρηματικέναι σοι, ἢ ἵνα ἀναφανῇς δίκαιος, ἐνοήσωμεν πῶς ἀπὸ ψιλοῦ ῥήματος εὐθέως ἀνέπνευσε, πῶς ἐξηυτέλισεν ἑαυτὸν, πῶς οὐδὲ πεπονθέναι ἐνόμισεν ἅπερ ἔπαθεν, οὕτω λέγων· Τί ἔτι κρίνομαι νουθετούμενος καὶ ἐλεγχόμενος ὑπὸ Κυρίου, ἀκούων ταῦτα, οὐδὲν ὢν ἐγώ; Καὶ πάλιν· Ἀκοῇ μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον· νῦν δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε· διὸ ἐφαύλισα ἐμαυτὸν καὶ ἐτάκην· ἡγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν.

ια'. Κατανοήσωμεν τοίνυν ἀκριβῶς, πότε ἦν λαμπρότερος ὁ Ἰώβ, ὅτε τὴν οἰκίαν αὐτοῦ πᾶσι τοῖς παριοῦσιν ἀνεώγνυ, καὶ τὰ ὄντα ἐξεδίδου τοῖς πένησιν· ἢ ὅτε ἀκούσας αὐτὴν κατενεχθεῖσαν, οὐκ ἐπεδυσπέτησεν, οὐδὲ ἐφθέγξατό τι ῥῆμα πικρὸν, ἀλλ' εὐφήμησε τὸν Θεόν· πότε φαιδρότερος, ὅτε ἔθυεν ὑπὲρ τῶν παίδων, καὶ πρὸς ὁμόνοιαν αὐτοὺς ἦγεν, ἢ ὅτε καταχωσθέντων αὐτῶν καὶ θανάτῳ πικρῷ τὸ ζῆν ἐκμετρησάντων, μετὰ πολλῆς τῆς φιλοσοφίας ἤνεγκε τὸ συμβάν· τότε μᾶλλον ἐξέλαμψεν ὅτε ἀπὸ τῆς κουρᾶς τῶν προβάτων τοὺς γυμνοὺς περιέβαλεν, ἢ ὅτε ἀκούσας ὅτι πῦρ ἔπεσεν ἐξ οὐρανοῦ, καὶ κατέφαγε τὴν ἀγέλην μετὰ τῶν ποιμένων, οὐ διεταράχθη, ἀλλὰ πράως ἤνεγκε τὴν συμφοράν. Τότε μέγας ἦν καὶ εὐδόκιμος, ὅτε τῇ ὑγείᾳ τοῦ σώματος πρὸς τὴν τῶν ἀδικουμένων ἐκέχρητο προστασίαν, συντρίβων τὰς μύλας τῶν ἀδίκων καὶ ἐκ μέσου ὀδόντων αὐτῶν ἐξαρπάζων ἁρπάγματα· ἢ ὅτε τὸ σῶμα τοῦτο αὐτὸ, τὸ τῶν ἀδικουμένων ὅπλον ἑώρακε κατεσθιόμενον ὑπὸ σκωλήκων, καὶ καθήμενος ἐπὶ τῆς κοπρίας, αὐτὸς αὐτὸ κατέξεε, λαβὼν ὄστρακον, ταῦτά τοι καὶ ἔλεγε, τήκῳ βώλακος γῆς ἀπὸ ἰχῶρος ξέων. Καί τοι ἐκεῖνα μὲν πάντα κατορθώματα, ταῦτα δὲ παθήματα ἦν· ἀλλ' ὅμως ταῦτα αὐτὸν ἐκείνων μᾶλλον ἀπέφηνε λαμπρότερον. Τότε μὲν γὰρ φιλάνθρωπος ἦν, νῦν δὲ φιλόσοφος ἐγίνετο,

magno apparatu annuntiatus, non unus ex piscatoribus, aut publicanis, et viliter viventibus, sed tanto fruens honore passus est ea quæ passus est. Et quod gravius, quam quod apostolis contigit, esse videbatur, hoc ipsum ab amicis tulit, a domesticis, ab inimicis odio habitus, ab his qui prospere degebant; et sacram anchoram, portum sine fluctu, hoc apostolis dictum est, *propter me*, hoc videre non poterat.

10. Miror tres pueros, quod cum camino pugnarint, quod insurrexerint in tyrannum. Sed audi quid dicant: Deis tuis non servimus et imaginem auream quam erexisti non adoramus. Quod maxima adhortatio erat his, clare scire se pro Deo pati quod patiebantur. Ille vero nesciebat se pro eo pati luctamina et pugnas. Si enim scivisset, non accidentia sensisset. Quando igitur audivit dicentem: Ne aliter putes me temetipso usum esse, quam ut appareas justus, cogitemus quomodo propter exiguum verbum cito respiraverit, quomodo se vilipendat, quomodo ne passum quidem se esse quæ passus est, ita loquens: Quid adhuc judicòr, meipsum, quum admonear et arguar a Domino, audiens hæc qui nihil sum? Et rursus: Auditu auris audiebam te prius; nunc autem oculus meus vidit te; ideo vilem me reputavi et consumptus sum; meipsum enim ut terram et pulverem arbitratus sum.

11. Videamus igitur diligenter, quando illustrior erat Job, cum domum suam omnibus præsentibus aperiret, et facultates pauperibus daret, vel cum ipsius ruina audita, non animum despondit, nec verbum quid amarum pronuntiavit, sed benedixit Deo; quando clarior, cum sacrificium offerret pro pueris, et ad concordiam eos duceret, vel cum inhumatis illis, et morte amara vita defunctis, cum magna sapientia tulit eventus? tunc magis effulsit cum vellere ovium nudos vestiebat, quam cum audiens ignem de cœlo cecidisse, et armenta boum cum pastoribus devorasse, non turbatus est, sed mitis infortunium tulit? Tunc magnus erat et celebris, cum valetudine corporis uteretur ad defensionem injuste patientium, conterens injustorum molas et de mediis dentibus eorum rapinas eripiens, magis quam dum corpus hoc ipsum injuriam patientium propugnaculum devoratum vermibus vidit, et in fimo sedens, ipse illud scabebat, tenens testam, hæc quidem dicebat: Tabesco terræ glebas a putredine scabens. Et illa quidem omnia prosperitas erant, hæc dolores. Sed hæc tamen ipsum magis quam illa illustriorem manifestarunt. Tunc enim humanus erat, nunc sapiens; tunc pauperum miserebatur, nunc autem Domino gratias agit, quia scit ab eo cuncta disponi ad utilitatem. Et ut discamus, ma-

jorem ab eo tandem diabolo plagam factam, cum spoliatus gratias egit, quam cum possidens miserebatur, audiamus.

12. Illis quidem factis, quanquam impudenter et audacter valde, respondit tamen diabolus dicens : Num dono Job honorat Deum? Illis autem evenientibus, absconditus tergo verso recessit, neque impudentis contradictionis umbram habens proferendam ; illustrior enim justus doloribus quam prosperitate factus erat. Eo enim qui in divitiis degens facit eleemosynam, major est qui sibi omnia rapi generose tolerat, et cum gratiarum actione. Cum enim rebus vento prospero procedentibus gratias agere Deo non sit mirandum ; quando autem fluctuatio multa est et navicula devolvitur et periclitatur, tunc multa est patientiæ et prudentiæ exhibitio. Quis vidit, quis audivit talia miranda certamina? Externorum enim præliorum pugnatores, cum capita adversariorum absciderunt, tunc vincunt et coronantur : diabolus autem, cum abscidit caput justi, tunc devictus est et recessit, postquam eum fecerit illustriorem et clariorem. Agnovimus quantus ex afflictione questus evenerit. Pulchrum enim et sanum erat corpus : multo autem venerabilius factum est vulneribus istis, cum lanæ quidem pulchræ sint ante tincturam, cum autem purpuratæ fuerint, ineffabilem induunt pulchritudinem, et multum decorem. Si eum non nudasset, non agnovisset coronati fortem constitutionem ; nisi ejus perforasset corpus vulneribus, non radii refulsissent extrinsecus : nisi eum sedere fecisset in fimo, non agnovissemus ejus divitias. Non enim ita clarus rex est in throno sedens, ut ille tunc erat in fimo miraculosus et circumfulgens : post enim regium thronum, mors ; et post fimum istum cœlorum regnum.

13. Imitemur ergo et nos sancti hujus pietatem, edocti quantæ e patientia germinent pulchritudines. Ut enim in communi theatro terræ magnus ille vir exsurgens et generosus cunctis per afflictiones sibi allatas alloquitur omnia accidentia generose pati, et nulli cedere insurgentium adversorum. Non est enim, non est ulla humana afflictio quæ nequeat exinde solatium accipere. Quæ enim in omni terra dispersæ sunt afflictiones, hæc omnia simul convenientia et in unum hujus corpus gravantia valde æquanimiter sustulit, dum ultima tentarent dolores, quia regimen virtute plenum exceperat. Unde commune cunctis patientiæ et fortitudinis exemplar adest intelligentibus, semper ejus recordantibus, et videre credentibus fimumque illum et hunc in medio fimo sedentem, et statuam auream, lapidibus

A τότε τοὺς πένητας ἠλέει, νῦν δὲ ηὐχαρίστει τῷ Δεσπότῃ, πάντα τοῦτον εἰδὼς οἰκονομοῦντα πρὸς τὸ συμφέρον. Καὶ ἵνα μάθωμεν ὅτι μείζονα, ὕστερον ἔδωκε τὴν πληγὴν τῷ διαβόλῳ, ὅτε ἀφαιρεθεὶς ηὐχαρίστησεν, ἢ ὅτε κεκτημένος ἠλέει, ἀκούσωμεν.

ιβ'. Ἐκείνων μὲν γινομένων, εἰ καὶ ἀναισχύντως καὶ σφόδρα ἰταμῶς, ἀλλ' ὅμως ἀντεῖπεν ὁ διάβολος, λέγων· Μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν Θεόν; Τούτων δὲ συμβαινόντων, ἐγκαλυψάμενος, ἀνεχώρησε νῶτα δούς· καὶ οὐδὲ ἀναισχύντου τινὸς ἀντιλογίας σκιὰν γοῦν ἔχων προβαλέσθαι· λαμπρότερος γὰρ ὁ δίκαιος ἀπὸ τῶν παθημάτων μᾶλλον ἢ ἀπὸ τῶν κατορθωμάτων ἐγένετο. Τοῦ γὰρ ἐν πλούτῳ ζῶντα ποιεῖν ἐλεημοσύνην, τὸ πάντα ἁρπαγέντα γενναίως ἐνεγκεῖν, καὶ μετ' εὐχαριστίας, πολλῷ μεῖζον ἐστίν· B ἐπειδὴ τὸ μὲν ἐξ οὐρίας φερομένων τῶν πραγμάτων, εὐχαριστεῖν τῷ Θεῷ, θαυμαστὸν οὐδέν· ὅταν δὲ πολὺ τὸ κλυδώνιον ᾖ, καὶ τὸ σκάφος περιτρέπηται καὶ κινδυνεύῃ, τότε ἐστὶν ἡ πολλὴ τῆς ὑπομονῆς καὶ τῆς εὐγνωμοσύνης ἐπίδειξις· τίς εἶδε, τίς ἤκουσε τοιαῦτα θαυμαστὰ παλαίσματα; Οἱ μὲν γὰρ τῶν ἔξωθεν ἀγώνων πύκται, ἐπειδὰν κατακόψωσι τὰς κεφαλὰς τῶν ἀντιπάλων, τότε νικῶσι καὶ στεφανοῦνται· ὁ δὲ διάβολος, ὅτε κατέκοψε τὸ σῶμα τοῦ δικαίου, τότε ἐνικήθη καὶ ἀνεχώρησεν, ἐργασάμενος αὐτὸν λαμπρότερον καὶ φαιδρότερον· ἔγνωμεν ὅσον τῆς θλίψεως τὸ κέρδος ἐγένετο. Καλὸν μὲν γὰρ ἦν καὶ ὑγιαῖνον τὸ σῶμα· πολλῷ δὲ σεμνότερον γέγονε κατατμηθὲν ὑπὸ τῶν τραυμάτων ἐκείνων· ἐπεὶ καὶ ἔρια καλὰ μὲν καὶ πρὸ τῆς βαφῆς, ἐπειδὰν δὲ C ἁλουργὰ γένηται, ἄφατον προσλαμβάνει τὸ κάλλος, καὶ πολλὴν τὴν εὐπρέπειαν. Εἰ γὰρ μὴ ἀπέδυσεν αὐτὸν, οὐκ ἂν ἔγνω τοῦ στεφανίτου τὴν εὐεξίαν, εἰ μὴ διέτρησεν αὐτοῦ τὸ σῶμα ταῖς ὠτειλαῖς, οὐκ ἂν ἀντέλαμψαν ἔνδοθεν αἱ ἀκτῖνες· εἰ μὴ ἐκάθισεν αὐτὸν ἐπὶ τῆς κοπρίας, οὐκ ἔν ἔγνωμεν αὐτοῦ τὸν πλοῦτον· οὐδὲ γὰρ οὕτω λαμπρὸς βασιλεὺς ἐπὶ θρόνου καθήμενος, ὡς ἐκεῖνος τότε ἐπὶ τῆς κοπρίας καθήμενος, ἐπίσημος ἦν καὶ περιφανής· μετὰ μὲν γὰρ τὸν βασιλικὸν θρόνον, θάνατος· μετὰ δὲ τὴν κοπρίαν ἐκείνην, οὐρανῶν βασιλεία.

ιγ'. Ζηλώσωμεν τοιγαροῦν καὶ ἡμεῖς τοῦ ἁγίου τούτου τὴν εὐλάβειαν, μαθόντες ὅσα ἀπὸ τῆς ὑπομονῆς βλαστάνει καλά. Καθάπερ γὰρ ἐν κοινῷ θεάτρῳ τῆς οἰκουμένης ὁ μέγας οὗτος ἐστὼς καὶ γενναῖος ἀνὴρ ἅπασι διὰ τῶν συμβεβηκότων αὐτῷ παθῶν διαλέγεται, πάντα φέρειν τὰ συμπίπτοντα γενναίως, καὶ πρὸς μηδὲν ἐνδιδόναι τῶν ἐπιόντων δεινῶν· οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἀνθρώπινον πάθος, ὃ μὴ δύναται παραμυθίαν ἐκεῖθεν δέξασθαι. Ἃ γὰρ ἐν πάσῃ τῇ οἰκουμένῃ διέσπαρται ἄθλα ταῦτα ὁμοῦ συνελθόντα, καὶ εἰς ἓν κατασκήψαντα σῶμα τὸ τούτου, λίαν εὐψύχως οὗτος ὑπέμεινε, τὰ τῶν ἕσχατα τετολμηκότων παθῶν, ὁ πολιτείαν ἐπιδειξάμενος γέμουσαν ἀρετῆς· ὅθεν καὶ κοινὸν ἅπασιν ὑπομονῆς καὶ καρτερίας ὑπόδειγμα πρόκειται τοῖς ἔχουσι νοῦν, ἀεὶ μεμνημένοις αὐτοῦ, καὶ νομί-

ζουσι βλέπειν καὶ τὴν κοπρίαν ἐκείνην, καὶ τοῦτον ἐν μέσῃ τῇ κοπρίᾳ καθήμενον, τὸν ἀνδριάντα τὸν χρυσοῦν, τὸν διάλιθον, τὸν οὐκ οἶδα πῶς εἰπω· καὶ γὰρ οὐκ ἔχω τιμίαν οὕτως ὕλην εὑρεῖν, ὡς δυνηθῆναι παραβαλεῖν τὸ ἠμαγμένον ἐκεῖνο σῶμα· οὕτω πάσης ὕλης τιμίας ἐκ πολλοῦ τοῦ περιόντος, τῆς σαρκὸς ἐκείνης ἡ φύσις ἐδείκνυτο λαμπροτέρα, καὶ τὰ τραύματα τῶν ἡλιακῶν ἀκτίνων φαιδρότερα.

A pretiosis ornatum, et nescio quid : etenim non valeo dignam satis materiam reperire quam corpori isti sanguineo conferre possim ; ita cuncta pretiosa materia ex multis quæ ambiunt carnis istius natura illustrior apparebat, et vulnera solis radiis clariora.

ιδ'. Καὶ μάλα εἰκότως· αὗται μὲν γὰρ τὰς τοῦ σώματος καταυγάζουσιν ὄψεις, ἐκεῖνα δὲ τὰ τῆς διανοίας ἡμῶν φωτίζουσιν ὄμματα· διὸ δίκαιον ταῦτα περιφέρει ἡμᾶς ἐν νῷ· καὶ ὅταν ἐξ οὐρίας πλέωμεν, τὸ ναυάγιον φοβουμένους· καὶ ὅταν πειρασμοῖς περιπίπτωμεν, τὸ ἐκ τῆς ὑπομονῆς ἐννοοῦντας κέρδος· ὡς γὰρ ἐν τῷ σκάμματι τὸν ἀθλητὴν καὶ ἱδρῶτι καὶ κόνει καὶ θέρμῃ πολλῇ, καὶ πόνοις καὶ ταλαιπωρίαις μάχεσθαι δεῖ, οὕτω καὶ τὸν ἄριστον τοῦ Χριστοῦ στρατιώτην πολλὰ χρεὼν ὑπομένειν ἐνταῦθα, καὶ πάντα φέρειν γενναίως, εἴ γε μέλλοι λαμπροὺς ἀπολήψεσθαι τοὺς στεφάνους. Εἰ γὰρ δὴ σῶμα μακαρίζομεν, τὸ δυνάμενον ψύχος καὶ καῦμα φέρειν ἀλύπως, καὶ λιμὸν, καὶ ἔνδειαν, καὶ ὀδοιπορίαν, καὶ ταλαιπωρίας ἑτέρας, πολλῷ μᾶλλον δεῖ μακαρίζειν ψυχὴν τὴν δυναμένην καρτερῶς καὶ γενναίως τῶν δεινῶν τὰς προσβολὰς ὑπομένειν ἁπάσας, καὶ διατηρεῖν ἀδούλωτον αὐτῆς διὰ πάντων τὸ φρόνημα. Ὥσπερ οὖν ἡ ἀργίας καὶ ἀδείας ἀπολαύουσα ψυχὴ, εὐκόλως ὑπὸ τῶν παθῶν ἁλίσκεται, οὕτως ἡ διηνεκῶς τοῖς ὑπὲρ τῆς ἀρετῆς ἀγῶσιν ἐσχολακυῖα, οὐδὲ σχολὴν ἄγει ταῦτα ἐννοῆσαί ποτε τῆς περὶ τὰ παλαίσματα μερίμνης, πάντων αὐτὴν ἀπαγούσης ἐκείνων· οὐ γὰρ τὸ ποιῆσαί τι χρηστὸν μόνον, ἀλλὰ καὶ τὸ παθεῖν τι κακὸν, πολλὰς ἔχει τὰς ἀμοιβάς. Διὰ δὴ τοῦτο καὶ συγχωρεῖ πολλάκις ὁ φιλάνθρωπος Θεὸς τοὺς εὐδοκίμους ἐν βίου λαμπρότητι μυρία πάσχειν ἐνταῦθα δεινὰ, σφόδρα φιλῶν αὐτοὺς, ὡς ἂν διὰ τῶν δεινῶν τούτων τοὺς φιλουμένους ἐργασάμενος λαμπροτέρους, στεφανώσῃ μειζόνως.

B 14. Et valde vere : hi enim corporis visum illuminant, illa intelligentiæ nostræ oculos illustrant ; ideo juste hæc nos circumferunt in mente ; et quando vento prospero navigamus, naufragium timentes ; et quando tentationibus obruimur, questum e patientia intuentes. Ut enim in arena athletam oportet et sudore et pulvere et calore multo, et laboribus et miseriis pugnare, ita militem Christi optimum, qui multa debet pati in hac vita, et omnia generose ferre, si coronas accipere debeat multas. Si enim corpus beatum dicimus quod potest frigus et calorem sine tristitia ferre, et famem, et inopiam, et iter et miserias alias, multo magis beata dicenda est anima quæ valet fortiter et generose infortuniorum aggressus omnes sustinere, et per omnia sententiam suam extra servitutem servare. Ut enim inertia et securitate fruens anima facile afflictionibus occupatur, ita quæ jugiter versatur in virtutis pugnis, neque intueri unquam certaminis curam vacat, cum se ab his omnibus abstraxerit. Non enim bene agere tantum, sed et C mali quid pati multam mercedem habent. Quamobrem sæpe hominum amator Deus gloriosos in vitæ claritate innumera hic pati infortunia permittit, eos valde diligens, ut quos per hæc adversa amatos effecerit, illustriores melius coronet.

ιε'. Ἂν τοίνυν ἀπολέσῃ τις χρήματα, μηδόλως δυσχερανάτω, ἀλλὰ γενναίως ἐνεγκὼν εὐχαριστησάτω τῷ Θεῷ, κατὰ τὸν Ἰὼβ εἰπὼν, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφεῖλε· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου ηὐλογημένον εἰς τὸν αἰῶνα· καὶ κέρδος τὴν ζημίαν διὰ τῆς εὐχαριστίας ποιήσει· μὴ εἰπάτω ὅτι ἄνθρωπος ἀφείλατο ταῦτα ἀδικήσας· καὶ πῶς δυνήσομαι εἰπεῖν, ὁ Κύριος ἀφείλετο; καὶ ὁ Ἰὼβ γὰρ ἃ ὁ διάβολος ἔλαβε, ταῦτα ἔφησεν ὅτι ὁ Κύριος ἀφείλετο· μηδὲ πάλιν εἰπάτω τις, ὅτι οὐκ εἰδότος οὐδὲ βουλομένου μου ὁ λῃστὴς ἔλαβε ταῦτα, καὶ ποῖος ἔσται μοι μισθὸς, οὐκ ἐμῆς γνώμης τοῦ πράγματος ὄντος; οὐδὲ γὰρ τοῦ Ἰὼβ εἰδότος οὐδὲ βουλομένου ταῦτα ἐγένετο· ἀλλ' ὅμως οὐκ ἔλαττον ἔχει τῶν ἐλεημοσύνην δόντων ἐκεῖνος ὁ μὴ δοὺς τότε· Παραπλησίως οὖν καὶ πᾶς τις ἄλλος ἀφαιρεθεὶς χρήματα καὶ ὑπομείνας, τοσοῦτον λήψεται μισθὸν, ὅσον ἂν εἰ ἑκὼν ἔρριψε ταῦτα, εἰ πρὸς πένητας δεδαπάνηκε· καὶ εἰκότως· τοῦτον καὶ γὰρ θαυμάζομεν μᾶλλον τὸν ἐπηρείας εὐχαρίστως φέροντα, ἢ τὸν ἑκόντα διδόντα· τί δή

D 15. Si igitur quis bona amiserit nequaquam ægre ferat, sed generose ferens Deo gratias agat, uti Job dicens ; Dominus dedit, Dominus abstulit ; ut Domino placuit, factum est ; sit nomen Domini benedictum in æternum. Atque lucrum damnum per gratiarum actionem efficiet. Ne dicat sibi injuste ab homine hæc rapta fuisse ; nam quomodo dicere possim : Dominus abstulit? Job enim quæ diabolus rapuit, hæc dixit a Domino ablata. Neque rursus dicat quis : Neque sciente neque volente me latro hæc cepit ; et qualis erit mihi stipendium si hoc me inscio fiat? Non enim sciente Job neque volente hæc facta sunt ; attamen non inferior est his qui eleemosynam faciunt ipse nihil dans. Similiter igitur quivis alius bonis privatus et patiens tantum stipendium accipiet quantum si hæc libenter ejecisset, si pauperibus erogasset ; et merito. Eum enim magis miramur qui privationem lætus suffert, quam eum qui dat libenter. Cur igitur? Quia ille laudibus enutritur conscientiæ et bonam spem habet : et prius generose ferens, bonorum privationem tunc

illa ejecit. Hic vero adhuc alligatus violenter spoliatus est. Non autem par est prius persuasum bonis recedere, et tunc eis evacuari, hæc autem adhuc cupientem spoliari ; neque rursus multo tempore contemptum bonorum meditari et crudele damnum accidens sufferre.

ποτε ; ὅτι ἐκεῖνος μὲν τοῖς ἐπαίνοις τρέφεται, καὶ τῷ συνειδότι, καὶ χρηστὰς ἔχει τὰς ἐλπίδας· καὶ πρότερον γενναίως ἐνεγκὼν τὴν στέρησιν τῶν χρημάτων, τότε αὐτὰ ἔῤῥιψεν· οὗτος δὲ ἔτι προσδεδεμένος ἀφῃρέθη βίᾳ. Οὐκ ἔστι δὲ ἴσον πρότερον πεισθέντα ἀποστῆναι χρημάτων, οὕτως αὐτὰ κενῶσαι, καὶ ἔτι αὐτῶν ποθοῦντα ἀποστερηθῆναι· οὐδὲ πάλιν ἐν πολλῷ χρόνῳ μελετῆσαι καταφρονῆσαι τῶν χρημάτων, καὶ ἀθρόον ζημίαν συμβᾶσαν ὑπενεγκεῖν.

16. Si quis alius inglorius e glorioso fiat, vel morbo longo et terribili lucta, vel aliud quidpiam e vitæ malis passus fuerit, non Jobi modo meminerit, innumeris malis luctati, etsi virtute præditus vivat, sed et prophetarum et justorum et apostolorum ipsorum : et omnes istos reperiens non inter divites, aut in deliciis viventes, sed inter pauperes et afflictos, et angustiis pressos, in fame, siti, in nuditate degentes, gratias agat Domino, qui fatum hoc sibi dedit, non odio habens, sed valde diligens, et multas ei coronas præbens. Cum illis non odio habens tanta adversa patienda miserit, sed quia multum eos amabat, illustriores eos per adversa illa effecit. Etsi quis non a Deo adversa quædam patiatur, sed ex hominum spoliatione, gratias aget, et non blasphemabitur in eum qui impedire potest, sed patientis ob gloriam permittit. Velut ii qui a Deo afflinguntur coronam accipiunt, ita ipse eamdem mercedem attinget, quia ab hominibus illatos casus generose tulerit, et ei qui impedire potest sed non vult gratias egerit.

ις'. Ἂν ἕτερός τις πάλιν ἄδοξος ἐξ ἐνδόξου γένηται, ἢ νόσῳ μακρᾷ καὶ δεινῇ παλαίῃ, ἢ ἄλλο τι πέπονθε τῶν τοῦ βίου κακῶν, μὴ τοῦ Ἰὼβ μόνον ἀναμνησθήτω, μυρίοις δεινοῖς πυκτεύσαντος, καὶ ταῦτα ζῶντος ἐν ἀρετῇ, ἀλλὰ καὶ τῶν προφητῶν, καὶ τῶν δικαίων καὶ τῶν ἀποστόλων αὐτῶν· καὶ πάντας τούτους εὑρὼν οὐ τῶν πλουτούντων οὐ τῶν τρυφώντων, ἀλλὰ τῶν πενομένων, τῶν θλιβομένων, τῶν στενοχωρουμένων, τῶν ἐν λιμῷ καὶ δίψῃ καὶ γυμνότητι διαγόντων ὄντας, εὐχαριστησάτω τῷ Δεσπότῃ, ὅτι τῆς μοίρας ταύτης αὐτὸν ἐποίησεν, οὐχὶ μισῶν, ἀλλὰ καὶ σφόδρα φιλῶν, καὶ πολλοὺς ἐντεῦθεν αὐτῷ προξενῶν στεφάνους· ἐπεὶ κἀκείνους οὐχὶ μισῶν ἠφίει τοσαῦτα πάσχειν δεινά, ἀλλ' ἐπειδὴ σφόδρα ἐφίλει, λαμπροτέρους αὐτοὺς διὰ τῶν δεινῶν τούτων εἰργάζετο· κἂν γὰρ μὴ διὰ τὸν Θεὸν πάθῃ τίς τι τῶν δεινῶν, ἀλλ' ἐξ ἀνθρώπων ἐπηρείας, εὐχαριστήσει δὲ καὶ μὴ βλασφημήσει τὸν δυνάμενον μὲν κωλύσαι, ἀφέντα δὲ τῆς τοῦ πεπονθότος ἕνεκα δοκιμῆς, ὥσπερ οἱ διὰ τὸν Θεὸν παθόντες, στεφανοῦται· οὕτως αὐτὸς τῶν αὐτῶν ἐπιτεύξεται μισθῶν, ὅτι τὰς παρὰ ἀνθρώπων ἐπαχθείσας αὐτῷ συμφορὰς ἤνεγκε γενναίως· καὶ τῷ δυναμένῳ μὲν ταύτας κωλύσαι, μὴ βουληθέντι δὲ, ηὐχαρίστησεν· ἔτι ἕκαστος ἡμῶν ἀναμιμνησκέσθω, ὅτι καθάπερ οἱ σπουδάζοντες, καὶ ἀπὸ τῶν λυπούντων κερδαίνουσιν· ἡ γὰρ νήφουσα καὶ ἐγρηγορυῖα ψυχὴ, μὴ μόνον ἐπειδὰν κατὰ ῥοῦν φέρηται τὰ πράγματα, τὴν εὐγνωμοσύνην ἐπιδείκνυται, ἀλλὰ κἂν ἐναντία τις πραγμάτων περίστασις· παρακολουθήσῃ, καὶ τότε τὴν ἴσην εὐχαριστίαν ἀναφέρει, μηδὲν ἀπὸ τῆς τῶν πραγμάτων μεταβολῆς χαυνουμένη, οὕτως εἰ ῥᾳθυμοῦντες οὐδὲ ἀπὸ τῶν ὠφελούντων ἀμείνους γίνονται.

Deinde unusquisque nostri recordetur, ut studiosis, et ab affligentibus lucrum reportare : jejunans enim et vigilans anima non modo quando prospere res feruntur sapientiam ostendit, sed quando rerum contraria quædam adest circumstantia, tunc parem gratiarum actionem refert, nullo modo rerum mutatione emollita : ita animum despondentes ne secundis quidem rebus meliores fiunt.

17. Propterea Dei educationem non ferentes grate, sed ægre patientes, præterea quod nullum ex ea fructum capiant, extremis seipsos circumdant adversis. Hoc unusquisque ex nobis evangellizatus non blasphemetur benefacientem nobis et salvatorem et tutorem in adversis positus, ne laborem istorum subeat, ejus vero lucro ob impatientiam privetur, et in abyssum extremæ perditionis deprimatur, quia auxilium Dei repulerit, et vehementiorem adversum se diabolum effecerit ; sed cunctos cum gratiarum actione ferat præsentes dolores, ut exhinc commodum et salutem multam lucretur, insidiis diaboli repulsis, Dei vero cura in se adducta : diabolus enim innumera hominibus adversa ingerit ut eos in abyssum perditionis deducat, quando quidem videt facile blasphemantem eum qui adversitate quadam circumdatur,

ιζ'. Διὰ τοῦτο οἱ τὴν τοῦ Θεοῦ παιδείαν μὴ μετ' εὐχαριστίας φέροντες, ἀλλὰ δυσανασχετοῦντες, πρὸς τῷ μηδὲν ἐξ αὐτῆς καρπώσασθαι, καὶ ταῖς ἐσχάταις ἑαυτοὺς περιβάλλουσι συμφοραῖς· καὶ τοῦτο ἕκαστος ἡμῶν εὐαγγελιζόμενος μὴ βλασφημείτω τὸν εὐεργέτην καὶ σωτῆρα καὶ κηδεμόνα γενόμενος ἐν δεινοῖς, ἵνα μὴ τὸν πόνον μὲν τούτων ὑποστῇ, τοῦ δὲ ἐξ αὐτοῦ διὰ τῆς ὑπομονῆς κέρδους ἀποστερηθῇ, καὶ πρὸς βάραθρον ἑαυτὸν τῆς ἐσχάτης ἀπωλείας ὠθήσῃ, τὴν μὲν τοῦ Θεοῦ συμμαχίαν ἀποκρουσάμενος, σφοδρότερον δὲ καθ' ἑαυτοῦ τὸν διάβολον ἐργασάμενος· ἀλλὰ πάντα εὐχαρίστως φερέτω τὰ ἐνταῦθα παθήματα, ἵν' ἐντεῦθεν ὠφέλειαν καὶ σωτηρίαν πολλὴν κερδάνῃ, τὰς μὲν ἐπιβουλὰς τοῦ πονηροῦ δαίμονος ἀποκρουσάμενος, τὴν δὲ τοῦ κηδεμόνος Θεοῦ θεραπείαν πρὸς ἑαυτὸν ἐπισπασάμενος· ὁ γὰρ διάβολος διὰ τοῦτο μυρία τοῖς ἀνθρώποις ἐπ-

ἀγων δεινὰ, ἵνα πρὸς βάραθρον ἀπωλείας αὐτοὺς καταγάγῃ, ὅταν μὲν ἴδῃ βλασφημοῦντα ῥᾳδίως τὸν δεινῷ τινι περιπεπτωκότα, αὔξει τὴν ἀλγηδόνα, καὶ μείζονα ποιεῖ, ἵνα κεντούμενος ἐκεῖνος ἀποδυσπετήσῃ πάλιν· ὅταν δὲ ἴδῃ γενναίως φέροντα, καὶ ὅσῳ τὸ πάθος ἐπιτείνεται, τοσοῦτο μᾶλλον εὐχαριστοῦντα τῷ Θεῷ, ἀφίσταται εὐθέως, ὡς εἰκῇ καὶ μάτην παρεδρεύων λοιπόν.

A augete dolorem, et majorem reddit, ut ille stimulatus desistat rursus : cum autem videt generose ferentem, et quo magis dolor extenditur, eo magis gratias agentem Deo, cito desistit reliquis tanquam frustra et incassum insistens.

ιη'. Ἱκανὰ μὲν οὖν τὰ εἰρημένα πρὸς παράκλησιν ὑπομονῆς· ἄξιον δὲ τούτοις προσθεῖναι καὶ τὴν κατὰ τὸν Δαβὶδ ἱστορίαν, τὰ μεγάλα συμβαλλομένην· ἐξέπεσε γάρ ποτε καὶ οὗτος τῆς πατρίδος καὶ τῆς ἀρχῆς, καὶ περὶ τῆς ἐλευθερίας καὶ τῆς ψυχῆς αὐτῆς ἐκινδύνευσε, τοῦ υἱοῦ αὐτοῦ τοῦ Ἀβεσσαλὼμ κατεξαναστάντος αὐτοῦ· καὶ τοῦ στρατοπέδου πρὸς τὸν ἀκόλαστον νεανίσκον, τὸν τύραννον ἐκεῖνον καὶ πατραλοίαν, μεταταξαμένου, ἐπλανᾶτο κατὰ τὴν ἔρημον, καὶ οὐκ ἐδυσχέρανεν, οὐδὲ ἀπεδυσπέτησε πρὸς τὸν Θεὸν, οὐδὲ εἶπε, Τί ποτε τοῦτό ἐστιν; ὁ Θεὸς συνεχώρησε τῷ παιδὶ ταῦτα κατὰ τοῦ γεγεννηκότος; ἐργάσασθαι, Καίτοι καὶ εἰ δίκαια ἐγκαλεῖν εἶχεν ὁ υἱὸς, οὐδὲ οὕτω ταῦτα γενέσθαι ἔδει. Νυνὶ δὲ οὐ μικρὸν, οὐ μέγα, παρ' ἡμῶν ἠδικημένος περιέρχεται, τὴν δεξιὰν ἐπιθυμῶν αἵματι μολῦναι πατρικῷ, τοῦ Θεοῦ τὰ γινόμενα ὁρᾷν ἀνεχομένου; ἀλλ' οὐδὲν τούτων εἶπε· καὶ τὸ δὴ μεῖζον καὶ θαυμαστὸν, ὅτι πλανωμένῳ καὶ πάντων ἐκπεπτωκότι τῷ θαυμασίῳ Δαβὶδ, Σεμεεί τις ἄνθρωπος καὶ μιαρὸς ἐπέθετο, μιαιφόνον ἀποκαλῶν καὶ ἀσεβῆ, καὶ τὰ μυρία κακά· καὶ οὐδὲ οὕτως ἠγρίανεν· ἀλλὰ καὶ τοῦ στρατηγοῦ ἀξιοῦντος ἐπιτραπῆναι διαβῆναι, καὶ τὴν κεφαλὴν ἀποτεμεῖν ἐκείνου, οὐ μόνον οὐκ ἐπέτρεψεν, ἀλλὰ καὶ ἐδυσχέρανε λέγων· Τί ἐμοὶ καὶ σοὶ, υἱὲ Σαρουΐα; Ἄφετε αὐτὸν καταρᾶσθαι, ὅπως ἴδῃ τὴν ταπείνωσίν μου Κύριος, καὶ ἀνταποδώσῃ μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ. Ὁρᾷς ὅπως οἶδεν ὁ δίκαιος, ὅτι τὸ φέρειν γενναίως τὰς λοιδορίας, ἀφορμὴ πλείονος εὐδοκιμήσεως γίνεται; Καὶ γὰρ οὕτως ἔχει· ἐπειδὰν λοιδορηθέντες καὶ μυρία παθόντες δεινὰ, τοὺς ὀνειδίζοντας φέρωμεν γενναίως, μείζονα παρὰ τοῦ Θεοῦ τὴν εὔνοιαν ἐπισπώμεθα. Ταῦτ' οὖν ἅπαντες εἰδότες, κατὰ τοὺς εὐγνώμονας υἱοὺς, οἳ τῶν πατέρων πολλάκις οὐδὲ δεόντως κολαζόντων αὐτοὺς ὑπομένουσιν, ἀνεχώμεθα τοῦ Θεοῦ παιδεύοντος ἡμᾶς, καὶ πατέρων μᾶλλον ἡμᾶς φιλοῦντος, καὶ πάντα πρὸς τὸ συμφέρον πραγματευομένου, ἵνα τὴν τοῦ Ἰὼβ, καὶ τοῦ Δαβὶδ, καὶ τῶν ὅσοι κατ' ἐκείνους ἀνδρίαν καὶ ἐπιείκειαν καὶ ὑπομονὴν ἐνδειξάμενοι, δυνηθῶμεν ἐντεῦθεν αὐτοῖς κοινωνῆσαι, καὶ τῶν αἰωνίων καὶ μακαρίων σκηνῶν· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

18. Idonea quidem sunt dicta ad exhortationem patientiæ : operæ autem pretium est his addere Davidis historiam magna ex parte congruentem : decidit enim aliquando iste a possessione patriæ et imperii, et pro libertate et anima ipsa filio suo Absalom in se insurgente ; et exercitu cum indomito isto juvene, tyranno et parricida instructo, B errabat per desertum, non ægre ferebat, neque indignatus est in Deum, nec dixit : Cur igitur hoc fit ? Deus concessit filio hæc adversus patrem agere ? Certe etsi justa invocare habuisset filius, non ita hæc fieri debebant. Nunc autem nonne parvam, non magnam, a nobis injustitiam passus circuit dexteram cupiens sanguine paterno inquinare, Deo impediente ne videat quæ fiunt ? Sed nihil ex his dixit : et quod majus est et mirabile, inerrantem et omnibus destitutum admirabilem Davidem Semei quidam homo scelestus illatus est homicidam vocans et impium, et millia perversa. Porro neque postea iratus est ; sed et duce exercitus opinante fore ut converteretur ad perforandum, et caput ejus abscindendum, non modo non incitavit, sed C ægre tulit dicens : Quid tibi et mihi, fili Sarvia ? sinite illum maledicere, ut videat humilitatem meam Dominus et reddat mihi bona pro illius maledictione. Videsne quomodo sciat justus injurias generose ferre aditum esse ad majorem gloriam ? Etenim ita se res habet. Postquam injuriam passi et innumera experti adversa generose feramus improperia facientes, majorem a Deo benevolentiam nobis attrahimus. Hæc igitur omnes scientes, juxta prudentes filios, qui, patribus sæpe ne opportune quidem castigantibus, eos patiuntur, sustineamus Deum corrigentem nos, magis quam patres nos diligentem, et omnia ad utilitatem disponentem ut Jobi, Davidis et omnium qui, ut isti, fortitudinem, D molestiam et patientiam ostenderunt, exhinc possimus cum ipsis æternorum et beatorum consortes esse tabernaculorum, quod eveniat nos omnes contingere gratia et bonitate Domini nostri Jesu Christi per quem et quocum sit Patri gloria, simul cum sanctissimo Spiritu nunc et semper, et in sæcula sæculorum. Amen.

## SERMONIS SEPTIMI ETHICON.

## ΔΙΑΛΕΞΕΩΣ ΕΒΔΟΜΗΣ ΗΘΙΚΟΝ (1).

*Quod fugienda sit hominum gloria et honorificentia, quæ nihil prodest, imo vero maximopere animæ nostræ nocet. Et quod principatus et potestates non sint optandæ : non quod imperare hominibus malum sit ; nam et hoc a Deo est, et negotium per se amabile ; sed quia male hoc officio multi funguntur ; ideoque hinc detrimentum capiunt.*

*Ὅτι δεῖ φεύγειν τὴν παρὰ τῶν ἀνθρώπων δόξαν καὶ τιμὴν μηδὲν ὠφελοῦσαν, ἀλλὰ καὶ τὰ μέγιστα καταβλάπτουσαν ἡμῶν τὴν ψυχήν· καὶ τῶν ἀρχῶν δὲ καὶ ἐξουσιῶν μὴ ἐφίεσθαι· οὐχ ὡς τοῦ ἄρχειν ἀνθρώπων ὄντος κακοῦ, τοῦτο καὶ γὰρ ἐκ Θεοῦ, καὶ πρᾶγμα ἐράσμιον, ἀλλ' ὡς τῶν κακῶς τῇ ἀρχῇ χρωμένων βλαπτομένων ἐντεῦθεν.*

1. Cernitis quomodo et verbis et opere nos docens Servator humanum honorem contemnere, secessit in montem solus, cum Judæi venturi essent ad eum rapiendum ut regem crearent ? Studeamus itaque omnes humanam gloriam non cupere ; primo quidem probe scientes, nihil adeo comparare animam ad indecore agendum, ut gloriæ amorem. Non enim potest hujus amator vitam crucifixam vivere : sicut etiam qui gloriam calcaverit, plerasque alias passiones conculcare valebit. Etenim, qui gloriam superaverit, invidiam quoque et avaritiam, aliosque omnes diros animi morbos vincet. Deinde etiam cognoscimus quanta nos gloria digni habiti fuimus, præ qua humana ista, contumelia et risus et comœdia esse videtur : quemadmodum etiam præsentes divitiæ, præ illis pauperies sunt ; et vita hæc absque illa mortificatio est. « Sine enim, aiebat Christus, ut mortui sepeliant mortuos suos [1]. « Adeo gloria hæc præ illa ignominia risusque est ! Ne igitur hanc consectemur. Nam si illi, qui eam nobis exhibent, umbra et somniis vaniores sunt, multo magis ipsa gloria. « Gloria enim, inquit Scriptura, hominis tanquam flos fœni [2]. » Quid autem fœni flore vilius sit ?

α'. Εἴδετε πῶς ὁ Σωτὴρ καὶ διὰ ῥημάτων καὶ διὰ πραγμάτων ἡμᾶς διδάσκων καταφρονεῖν τῆς παρὰ τῶν ἀνθρώπων τιμῆς, ἀνεχώρησεν εἰς τὸ ὄρος μόνος αὐτός, τῶν Ἰουδαίων μελλόντων ἔρχεσθαι καὶ ἁρπάζειν αὐτὸν ἵνα ποιήσωσι βασιλέα ; Σπουδάζωμεν τοίνυν ἅπαντες τῆς ἀνθρωπίνης μὴ ἐφίεσθαι δόξης, πρῶτα μὲν ἀκριβῶς εἰδότες, ὅτι οὐδὲν οὕτω παρασκευάζει ψυχὴν ἀσχημονεῖν, ὡς τὸ δόξης ἐρᾷν· οὐ γὰρ ἔστι ταύτης ἐρῶντα ζῆσαι βίον ἐσταυρωμένον· ὥσπερ οὖν οὐκ ἔστι πατήσαντα ταύτην, μὴ τὰ πλείονα τῶν παθῶν καταπατῆσαι. Καὶ γὰρ ὁ ταύτης περιγενόμενος καὶ φθόνου, καὶ φιλοχρηματίας, καὶ τῶν ἄλλων ἁπάντων χαλεπῶν νοσημάτων περιέσται. Ἔπειτα δὲ καὶ μεγίστην γινώσκοντες τὴν δόξαν ἣ τετιμήμεθα, καὶ πρὸς ἣν αὕτη παραβαλλομένη, ὕβρις καὶ γέλως καὶ κωμῳδία εἶναι δοκεῖ· καθάπερ γὰρ ὁ πλοῦτος οὗτος πρὸς ἐκεῖνον πενία· καὶ ἡ ζωὴ αὕτη χωρὶς ἐκείνης νέκρωσις· « Ἄφες γάρ, φησί, τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· » οὕτω καὶ ἡ δόξα αὕτη πρὸς ἐκείνην αἰσχύνη καὶ γέλως ἐστί. Μὴ γοῦν διώκωμεν αὐτήν· εἰ γὰρ οἱ παρέχοντες αὐτὴν σκιᾶς καὶ ὀνείρων εἰσὶν εὐτελέστεροι, πολλῷ μᾶλλον αὐτὴ ἡ δόξα· « Δόξα γάρ, φησὶν, ἀνθρώπου ὡς ἄνθος χόρτου. » Τί δὲ ἄνθους χόρτου εὐτελέστερον γένοιτ' ἄν ;

2. Sed etiamsi ea gloria stabilis foret, quid animam juvare posset ? Nihil omnino. Imo et plurimum nocet, quia servos facit, et quidem pecunia coemptis deteriores ; servos, inquam, non uni domino tantum, sed duobus ac tribus et innumeris, diversa imperantibus, obedientes. Quanto ergo melius est liberum esse quam servum ? ab hominum, inquam, servitio esse liberum, et servum Domini Dei ? Prorsus autem, si volumus gloriam amare, utique gloriam amemus, sed immortalem : nam splendidius hujus est theatrum, et lucrum majus. Mortales enim domini jubent nos cum impensa ipsis placere ; Christus contrarium prorsus ; nam centuplicatum nobis reddit quod ipsi contulimus, vitamque æternam superaddit. Quid ergo melius ? in terra an in cœlis esse ? apud homines existimatione frui, an apud Deum ? cum damno, an cum lucro ? coronari uno die, an per sæcula infinita ? Nam res quidem humanæ quanto altius attolluntur et splendent, eo majore lapsu ruunt, neque subditorum tantummodo, verum

β'. Εἰ δὲ καὶ μόνιμος ἦν, τί τὴν ψυχὴν ὠφελῆσαι ἴσχυσεν ἄν ; Πάντως οὐδέν. Ἀλλὰ καὶ καταβλάπτει τὰ μέγιστα, δούλους ποιοῦσα, καὶ δούλους ἀργυρωνήτων χείρους· δούλους οὐχ ἑνὶ δεσπότῃ μόνον, ἀλλὰ καὶ δυσὶ καὶ τρισὶ καὶ μυρίοις διάφορα ἐπιτάττουσιν ὑπακούοντας. Πόσῳ τοίνυν βέλτιον ἐλεύθερον εἶναι ἢ δοῦλον ; καὶ τῆς τῶν ἀνθρώπων δουλείας ἐλεύθερον ὄντα, δοῦλον εἶναι τῆς τοῦ Θεοῦ δεσποτείας ; Ὅλως δὲ εἰ βουλόμεθα δόξης ἐρᾷν, δόξης ἐρῶμεν, ἀλλὰ τῆς ἀθανάτου· καὶ γὰρ λαμπρότερον αὐτῆς τὸ θέατρον, καὶ μεῖζον τὸ κέρδος· οὗτοι μὲν γὰρ κελεύουσιν ἡμᾶς δαπανωμένους ἀρέσκειν αὐτοῖς· ὁ δὲ Χριστὸς τοὐναντίον ἅπαν· καὶ γὰρ ἑκατονταπλασίονα δίδωσιν ἡμῖν τῶν παρ' ἡμῶν διδομένων, καὶ ζωὴν αἰώνιον τούτοις προστίθησι. Τί γοῦν βέλτιον ; ἐν τῇ γῇ ἢ ἐν τοῖς οὐρανοῖς ὑπὸ ἀνθρώπων ἢ ὑπὸ Θεοῦ θαυμάζεσθαι ; ἐπὶ ζημίᾳ, ἢ ἐπὶ κέρδει ; στεφανοῦσθαι πρὸς μίαν ἡμέραν, ἢ πρὸς ἀπείρους αἰῶνας ; Τὰ γὰρ ἀνθρώπινα πράγματα, ὅσον ἂν ἐπαρθῇ καὶ λάμψῃ, τοσούτῳ μείζονα τὴν πτῶσιν ἐργάζεται, οὐ τὰ τῶν ἀρχομένων μόνα, ἀλλὰ καὶ τὰ τῶν βασιλευόντων

[1] Luc. IX, 6. [2] I Petr. I. 24.

(1) Ethicon hoc subsequitur explanationem verborum Joannis cap. VII, 15 : *Jesus ergo cum cognovisset, quia venturi essent ut raperent eum, et facerent eum regem, fugit iterum in montem ipse solus.*

αὐτῶν· οὐδὲ γὰρ ἂν εὕροι τις οἰκίαν ἰδιωτικὴν τοσούτων ἐμπεπλησμένην συμφορῶν, ὅσον τὰ βασίλεια γέμει κακῶν. Ἢ γὰρ οὐ νοοῦμεν τὸ τῆς ἐνταῦθα τιμῆς καὶ τῆς δόξης εὐμάραντον, καὶ ὅσον ἐντεῦθεν τίκτεται τὸ κακόν; καὶ τὸ δὴ χαλεπώτατον τούτων, ὅτι τὰ μὲν ἐξ αὐτῶν κακὰ ἀθάνατα μένει, ἡ δὲ ἡδονὴ οὔπω ἐφάνη, καὶ ἀπέπτη.

A etiam regum ipsorum. Nam nec quisquam domum privatam ullam tot calamitatibus implicitam comperiet, quot regia palatia malis redundant. Nonne vero intelligimus præsentis honoris et gloriæ fragilitatem, et quantum inde generetur malorum? Quodque omnium gravissimum est, parta hinc mala immortalia sunt, at voluptas vix ostensa avolat.

γ'. Λοιπὸν οὖν διακρουσώμεθα δόξαν, ἵνα μᾶλλον λάβωμεν δόξαν. Εἰ δὲ διώκομεν δόξαν, ἐκπεσούμεθα δόξης. Τίς δὲ νοῦν ἔχων ἰδὼν ἐζωγραφημένον ἄρτον, κἂν μυριάκις ὑπὸ λιμοῦ κατέχηται, τῆς γραφῆς ἅψεται; Τὸν αὐτὸν οὖν τρόπον καὶ ἡμεῖς δόξης ἐρῶντες, μὴ τὴν τῆς δόξης σκιάν, τοιαύτη γὰρ ἡ παροῦσα δόξα, ἀλλ' αὐτὴν τὴν ἀλήθειαν ὅλῃ ψυχῆς B προθέσει ζητῶμεν. Καὶ τὰς ἀρχὰς δὲ καὶ ἐξουσίας, καὶ τὸ μεγάλα δύνασθαι κατὰ κόσμον, ὥστε φέρειν ἅπαντα καὶ ἄγειν ὅπου βουλόμεθα, καὶ τοὺς ἐχθροὺς λυπεῖν, καὶ τοὺς κολακεύοντας εὐεργετεῖν, φυγῇ πάντες φεύγωμεν· ἓν δὴ τοῦτο σκοποῦντες μόνον, ὅπως ἂν ὦμεν ἐν ἀρετῇ καὶ φιλοσοφίᾳ· αἱ γὰρ ἐξουσίαι καὶ αἱ ἀρχαὶ πολλὰ τῶν τῷ Θεῷ μὴ δοκούντων πείθουσι ποιεῖν· καὶ σφόδρα νεανικῆς δεῖ ψυχῆς, ὥστε εἰς δέον χρήσασθαι τῇ δεδομένῃ ἐξουσίᾳ τε καὶ ἀρχῇ· ὁ μὲν γὰρ ἀπεσπερημένος ἀρχῆς καὶ ἄκων φιλοσοφεῖ· ὁ δὲ ἀπολαύων αὐτῆς τοιοῦτόν τι πάσχει, οἷον ἂν εἴ τις κόρῃ συνοικῶν εὐειδεῖ καὶ καλῇ, νόμους δέξηται μηδέποτε πρὸς αὐτὴν ἀκολάστως ἰδεῖν· τοιοῦτον γὰρ ἡ ἐξουσία· διὸ πολλοὺς καὶ ἄκοντας εἰς τὸ ὑβρίζειν ἐνέβαλε, καὶ θυμὸν ἤγειρε, C καὶ χαλινὸν γλώττης ἀφεῖλε, καὶ θύραν ἀνεπέτασε στόματος, ὥσπερ ὑπὸ πνεύματος τὴν ψυχὴν ἀναρριπίζουσα, καὶ εἰς τὸν ἔσχατον τῶν κακῶν βυθὸν τὸ σκάφος καταποντίζουσα· ἀρχῆς γὰρ μέγεθος τοῖς οὐκ ἀξίως τῆς ἀρχῆς ζῆν προαιρουμένοις προσθήκη τιμωρίας ἐστί· τὸ γὰρ εὐδοκιμεῖν καὶ προκόπτειν ἐν δήμῳ, ὅσῳ λαμπρότερον ποιεῖ, τοσούτῳ μείζους τοὺς κινδύνους ἔχει, καὶ τὰς φροντίδας καὶ τὰς ἀθυμίας· ἀναπνεῦσαι γὰρ καὶ στῆναι ὁ τοιοῦτος ἁλὼς οὐ δύναται, οὕτω πικρὸν ἔχων καὶ βαρὺν τὸν δεσπότην. Καὶ τί λέγω στῆναι καὶ ἀναπνεῦσαι; κἂν μυρία ἔχῃ κατορθώματα ὁ τοιοῦτος, δυσκόλως εἰς τὴν τοῦ Θεοῦ βασιλείαν εἰσέρχεται· οὐδὲν γὰρ οὕτως ἐκτραχηλίζειν εἴωθεν, ὡς ἡ παρεπομένη τῇ ἐξουσίᾳ D παρὰ τῶν πολλῶν δόξα· τὸ μὲν γὰρ ἀτιμίαν ἐνεγκεῖν μέγα καὶ γενναῖον· τὸ δὲ δόξης μετασχεῖν νεανικῆς δεῖται ψυχῆς καὶ σφόδρα μεγάλης, ὥστε δόξης ἀπολαύοντα μὴ ἐκτραχηλισθῆναι.

3. Reliquum ergo est ut gloriam recusemus, ut sic potius gloriam nanciscamur. Quod si gloriam sectamur, gloria excidemus. Quis cordatus, panem pictum videns, etiamsi sexcenties fame corripiatur, picturam gustabit? Pari modo nos quoque si gloriæ amore stimulamur, ne gloriæ umbram, cujusmodi est præsens gloria, sed veritatem ipsam toto animi proposito conquiramus. Principatus et potestates, et magnam in mundo potentiam, qua omnia sus deque pro nostro libito versare velemus, item inimicos vexare, et assentatoribus bene facere; hæc, inquam, omnes fugiamus; unum hoc spectantes, ut in virtute ac philosophia versemur. Nam potestates ac principatus multa quæ Deo non placent, agere suadent: opusque est virili admodum animo, ut recte utamur data potestate aut principatu. Nam qui principatu spoliatus fuerit, invitus quidem, sed tamen philosophatur: qui autem illo fruitur, idem fere patitur atque ille qui cum puella habitans speciosa pulchraque, lege vetetur quominus ad illam impudice respiciat. Hæc nimirum est principatus conditio. Ideo multos vel invitos ad injuriam faciendam impulit, multis iracundiam commovit, et linguæ frenum laxavit, et oris januam patefecit: idem tanquam flatu animam ventilat, et in extremum malorum barathrum scapham demergit. Principatus enim sublimitas his qui non digne illo vivere eligunt, additamentum pœnæ est. Nam gratiosum fieri ac provehi in populo, quanto splendidiorem reddit, tanto majora pericula habet, et curas, et timores. Nam respirare et consistere omnino nequit, tam acerbum gravemque habens dominum. Quid dico consistere ac respirare? Quamvis innumera recte facta hic habeat, ægre introibit in regnum Dei. Nihil enim æque præcipitem dare hominem solet, ut potestatis comes apud vulgus gloria. Certe ignobilitatem æque animo ferre magnum quid est et nobile; sed qui in gloria versatur, forti animo et maximo indiget, ut dum gloria fruitur, cervicem non frangat.

δ'. Ταῦτα δὲ λέγω, οὐ τὸ εἶναι ἄρχοντας ἀναιρῶν, οὐδὲ τὴν ἐξουσίαν διαβάλλων, ἀλλὰ τοὺς κακῶς ταύτῃ χρωμένους, καὶ πρὸς ἀτόπους ὀρέξεις καὶ ἡδονάς· « Οὐ γάρ ἐστιν ἐξουσία εἰ μὴ ὑπὸ Θεοῦ, » φησίν[a]· ἐπειδὴ τὸ ἀρχὰς εἶναι, καὶ τοὺς μὲν ἄρχειν, τοὺς δὲ ἄρχεσθαι, καὶ μὴ ἁπλῶς ἀνέδην ἅπαντα φέρεσθαι ὥσπερ κυμάτων, τῇδε κἀκεῖσε τῶν δήμων

4. Porro hæc aio, non quia esse principes nolim; nec quia potestatem criminer, sed eos qui male illa utuntur, vel ad absurdos appetitus ac voluptates. « Non enim est potestas nisi a Deo [a], ait Scriptura. Nam principatus esse, et alios imperare, alios imperari, neque temere omnia tanquam fluctus agitari, populis modo huc modo illuc cir-

[a] Rom. XIII, 1.

cumactis, Dei sapientiæ negotium est. Nam quod sunt in ædificiis trabium connexiones, id principes vel magistratus in civitatibus præstant. Et sicut remoto gubernatore, navem demerseris; et exercitum si e castris ducem submoveas, vinctos hostibus milites tradideris; sic etiam de civitatibus si principes aut magistratus abstuleris, feris irrationabilibus nos vivemus irrationabilius. Propterea severus vindex est Deus, si hi spernantur; et ultionem non mediocrem, sed plane maximam, de transgressore capit. Et jure sane optimo. Nam qui principibus subditus est, non principibus, sed Deo, qui sic res ordinavit, obedit : qui autem illis non obtemperat, Deo adversatur.

A περιαγομένων, τῆς τοῦ Θεοῦ σοφίας ἔργον ἐστὶν ὅπερ γάρ εἰσιν ἐν ταῖς οἰκίσις τῶν ξύλων αἱ ἰμαντώσεις, τοῦτο οἱ ἄρχοντες ἐν ταῖς πόλεσιν ὑπάρχουσι· καὶ καθάπερ νηὸς ἐὰν ἀποστήσῃς τὸν κυβερνήτην, κατεπόντισας τὸ σκάφος, καὶ στρατὸν, ἂν [στρατηγὸν] ἀπαγάγῃς τοῦ στρατοπέδου, δεδεμένους τοῖς πολεμίοις παρέδωκας τοὺς στρατιώτας· οὕτω καὶ τῶν πόλεων ἂν τοὺς ἄρχοντας ἀνέλῃς, θηρίων ἀλόγων ἀλογώτερον βιωσόμεθα βίον. Διὰ τοῦτο καὶ σφοδρός ἐστι τιμωρὸς ὁ Θεὸς, τούτων καταφρονουμένων, καὶ δίκην οὐ τὴν τυχοῦσαν, ἀλλὰ καὶ σφόδρα μεγίστην ἀπαιτεῖ τὸν παρακούοντα. Καὶ μάλα εἰκότως· ὁ μὲν γὰρ τοῖς ἄρχουσιν ὑποτασσόμενος οὐ τοῖς ἄρχουσιν ὑποτάσσεται, ἀλλὰ τῷ Θεῷ τῷ ταῦτα νομοθετήσαντι πείθεται· ὁ δὲ μὴ ὑπακούων ἐκείνοις B τῷ Θεῷ πολεμεῖ.

5. Sicut autem principatus esse bonum divinumque donum est, ita omnino oportet quemque principem, prout decet datam divinitus potestatem, cunctis irreprehensibilem semet præbere : cohibere iram, invidiam, voluptatem, atque omnia ex legum divinarum norma agere, mentem liberam conservare, neque omnino sinere, ut animæ suæ dominetur voluptatum potentia, atque ita vere principem esse. Nam qui perturbationibus animæ rationem præfecerit, facile etiam hominibus præerit cum divinis legibus; ita ut ipse in patris loco subditis sit, cum omnimoda mansuetudine in populo suo versans, sicque omnes sibi amore devinciens, et benevolentiam illis erga principatum C suadens, rem sane pol difficillimam, et quæ præcipue facit principem esse. Haud enim facile tot hominum affectum poterit quis ad se attrahere, etiamsi innumeram pecuniam largiatur, etiamsi plurimos exercitus debellarit, quidquid denique aliud patraverit : nec quidquam est quod adeo principem denotet, ut ipsius erga subditos amor. Nam neque patrem generatio tantummodo facit, sed et amor erga genitos. Quod si ubi natura est, ibi amorem esse oportet, multo magis ubi gratia est. Secus vero qui hominum princeps esse videtur, iracundiæ autem et ambitioni et voluptatibus servit, primo quidem ridiculus subditis apparebit, quia coronam gemmis interstinctam et auream gestat, temperantia autem non est redimitus : et purpura totum corpus splendet, sed animam inornatam habet. Deinde nec quomodo quidem principatum administret sciet : nam qui sibi ipsi imperare nequit, quomodo alios poterit dirigere legibus?

ε'. Ὥσπερ δὲ τὸ ἀρχὰς εἶναι καλὸν καὶ θεῖον τῷ ὄντι δῶρον, οὕτω δεῖ πάντως καὶ ἕκαστον ἄρχοντα τῆς θεόθεν αὐτῷ δοθείσης ἀρχῆς ἄξιον πᾶσιν ἀνεπίληπτον εἶναι· καὶ κρατεῖν μὲν θυμοῦ καὶ φθόνου καὶ ἡδονῆς, πάντα δὲ ὑπὸ τοὺς τοῦ Θεοῦ νόμους ἄγειν· καὶ τὸν νοῦν ἐλεύθερον τηρεῖν, καὶ μηδ' ὅλως ἐᾷν ἐνδυναστεῦσαι τῇ ψυχῇ τὴν δεσποτείαν τῶν ἡδονῶν· καὶ οὕτως ἀληθῶς ἄρχοντα εἶναι· καὶ γὰρ ὁ μὲν τοῖς πάθεσι τῆς ψυχῆς τὸν λογισμὸν ἐπιστήσας ῥᾳδίως ἂν ἐπιστατοίη καὶ ἀνθρώποις μετὰ τῶν θείων νόμων, ὥστε αὐτὸν ἐν πατρὸς τάξει τοῖς ἀρχομένοις εἶναι, μετὰ πάσης ἡμερότητος ὁμιλοῦντα τοῖς ὑπ' αὐτὸν τεταγμένοις, καὶ πάντας ἐντεῦθεν ἑαυτοῦ καθιστῶντα, καὶ μετ' εὐνοίας περὶ τὴν ἀρχὴν διακεῖσθαι πείθοντα, τὸ δυσκατόρθωτον ὄντως πρᾶγμα, καὶ μάλιστα πάντων δεικνύον τὸν ἄρχοντα· οὐ γὰρ εὐκόλως τοσούτων ἀνδρῶν διάθεσιν δυνήσεταί τις ἑαυτὸν ἐπισπάσασθαι, κἂν χρήματα ἀναλώσῃ μυρία, κἂν μυρία νικήσῃ στρατόπεδα, κἂν ὁτιοῦν ἕτερον ἐργάσηται· καὶ οὐδὲν οὕτω δείκνυσι τὸν τὴν ἀρχὴν ἔχοντα, ὡς ἡ περὶ τοὺς ἀρχομένους φιλοστοργία· καὶ γὰρ πατέρα οὐ τὸ γεννῆσαι μόνον ποιεῖ, ἀλλὰ καὶ τὸ φιλεῖν μετὰ τὸ γεννῆσαι. Εἰ δὲ ἔνθα φύσις καὶ ἀγάπης χρεία, πολλῷ μᾶλλον ἔνθα χάρις ὑπάρχει. Ὁ δὲ ἀνθρώπων μὲν ἄρχειν δοκῶν, θυμῷ δὲ καὶ φιλαρχίᾳ καὶ ἡδοναῖς δουλεύων πρῶτον μὲν καταγέλαστος εἶναι δόξειεν ἂν τοῖς ἀρχομένοις, ὅτι στέφανον μὲν φορεῖ λιθοκόλλητον καὶ χρυσοῦν, σωφροσύνῃ δὲ οὐκ ἐστεφάνωται· καὶ ἁλουργίδι μὲν ὅλον τὸ σῶμα λάμπεται, τὴν δὲ ψυχὴν ἀκόσμητον ἔχει. Ἔπειτα δὲ οὐδὲ ὅπως μεταχειρίσεται τὴν ἀρχὴν ἐπιστήσεται· ὁ γὰρ ἑαυτοῦ μὴ δυνηθεὶς ἄρχειν πῶς ἂν ἑτέρους δυνηθείη κατευθύγειν τοῖς νόμοις;

6. Quamobrem non quasi principatum vituperantes, aut quemquam cum potestate esse nolentes, dicimus haud debere nos principatus ambire. Nam multi præclare imperio usi, Deo placuerunt; quam rem testantur Moyses, Josue, David mitissimus, et cum aliis Constantinus Magnus et par apostolis, cujus vitam, ut oblectamento et exemplo futuris regibus foret, peculiari nos scripto tra-

ς'. Ὥστε οὐ τὰς ἀρχὰς κακίζοντες, οὐδ' ἀναιροῦντες τὸ εἶναί τινας ἐν ἐξουσίαις, εἴπωμεν μὴ ἐφίεσθαι ἡμᾶς τῶν ἀρχῶν· πολλοὶ γὰρ καλῶς τῇ ἀρχῇ χρησάμενοι, τῷ Θεῷ εὐηρέστησαν· καὶ μαρτυροῦσι Μωσῆς τε καὶ Ἰησοῦς καὶ Δαβὶδ ὁ πραότατος, καὶ σὺν ἑτέροις πολλοῖς Κωνσταντῖνος ὁ Μέγας· καὶ ἴσαι πόστολοι, οὗ τὸν βίον ἡδυσμά τε καὶ παίδευμα τοῖς εἰς ὕστερον βασιλεῦσιν ὄντα παραδεδώκαμεν ἰδίᾳ

γραφῇ (1), φιλοθέων ἀνδρῶν ἀξιώσει, διεξελθόντες ἐκ τῶν ἐκείνου πολλῶν ὀλίγα, καίτοι τῇ παρούσῃ σπουδῇ ἐνησχολημένοι· ἀλλὰ τὸ τοῦ πράγματος ἐννοοῦντες δυσμεταχείριστον μέγεθος, ἐπειδὴ πᾶσα μὲν ἀρχὴ δυσχερής· καὶ πάντων, ἀνθρώπων δὲ μάλιστα, ὅσῳ καὶ θηρίου δυσμεταχειριστότερον ἄνθρωπος, κατὰ τὸν εἰπόντα σοφὸν, διὰ τὴν πηγὴν τοῦ φρονεῖν· καὶ σὺν τούτῳ βλέποντες τὴν τοῖς ῥᾳθύμοις ἐγγινομένην ἐντεῦθεν βλάβην, ἑαυτοῖς μὴ προσέχουσι, καὶ τῷ καλῷ μὴ καλῶς χρήματι κεχρημένοις, καὶ τὸν Θεὸν παροξύνουσιν οὐκ ἐν τῷ μέλλοντι μόνον αἰῶνι, ἀλλὰ καὶ ἐν τῷ παρόντι, τούτοις ἀποδιδόντα κατὰ τὰ ἔργα αὐτῶν· ὅπερ ἵνα μὴ πάθωμεν, ἐλώμεθα μᾶλλον ἀκινδύνως ἄρχεσθαι, ἢ ἄρχειν ἐπικινδύνως· κερδήσομεν γὰρ ἐντεῦθεν καὶ τὴν ἀπαλλαγὴν τῶν ἐνταῦθα κινδύνων διὰ τὴν ἀρχὴν, καὶ τῆς ἀποκειμένης ἐκεῖ τοῖς οὐκ ἀξίως ζήσασι τῆς ἀρχῆς ἀτελευτήτου κολάσεως τὴν φυγὴν, καὶ τῶν αἰωνίων καὶ πέρας οὐκ ἐπισταμένων ἀπολαύσομεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ παναγίῳ Πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A didimus, piis viris rogantibus; narrantes ex illius actibus multis paucos, quanquam præsenti lucubratione occupati. Sed rei consideramus summam arduitatem; quoniam omnis dominatio difficilis, hominum autem maxime; quanto scilicet vel fera intractabilior est homo, prout dixit sapiens, propter ingenii profunditatem. Simulque observavimus damnum hinc socordibus eveniens, qui sibi minime attendunt, et pulchra re non utuntur pulchre; et Deum irritant, non in futuro tantum sæculo, verum etiam in præsenti, qui hos remuneratur juxta opera ipsorum. Quod ne patiamur, malimus potius tuto imperari quam periculose imperare. Sic enim vitabimus tum in præsenti vita imperii pericula, et repositam illic indigne B viventibus incessabilem punitionem; atque æternis finemque nescientibus bonis fruemur. Quæ utinam omnes nos consequamur gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri gloria est cum sanctissimo Spiritu nunc et per omnia sæcula sæculorum. Amen.

## ΔΙΔΑΞΕΩΣ ΟΓΔΟΗΣ ΗΘΙΚΟΝ (1).

*Περὶ τῶν φρικτῶν καὶ θείων καὶ ἀχράντων καὶ ζωοποιῶν τοῦ Χριστοῦ μυστηρίων· καὶ ὅτι ἡ τούτων μετάληψις τοῖς μὲν ἀξίοις ἐστὶ σωτηρία, τοῖς δὲ ἀναξίοις κόλασις.* C

α'. Σκόπει γε μὴν κἀκεῖνο, ὅτι λέγει νῦν φανερῶς περὶ τῆς μυστικῆς μεταλήψεως τοῦ τιμίου σώματος αὐτοῦ καὶ ζωοποιοῦ· καθάπερ γάρ ἐστι ζωοποιὸς κατὰ φύσιν ὁ μονογενὴς τοῦ Θεοῦ Υἱός τε καὶ Λόγος, οὕτω δὴ καὶ τὴν, ἐν ᾗ κατῴκησε σάρκα, ζωοποιὸν ἀπέδειξεν, ὅλος κατὰ τὸν ἄῤῥητον τῆς ἑνώσεως λόγον ταύτῃ συμβεβηκὼς, καὶ μετασκευάσας αὐτὴν εἰς τὸ ἴδιον ἀγαθὸν ἤτοι τὴν ζωήν· διὰ τοῦτο καὶ ζωοποιεῖ τοὺς μετέχοντας αὐτοῦ, τὸ πανάγιον σῶμα Χριστοῦ, τὸν θάνατον ἐξελαύνον, καὶ ἐξιστῶν τὴν φθορὰν, ἅτε δὴ τὸν τὴν φθορὰν τελείως ἀφανίζοντα λόγον ὡδῖνον ἐν ἑαυτῷ· ὁ γὰρ ἄρτος ὁ ἐν τοῖς μυστηρίοις ὑφ' ἡμῶν ἐσθιόμενος, καὶ ὁ οἶνος ὁ πινόμενος ὁμοίως σὺν ὕδατι, οὐκ ἀντίτυπά ἐστι τῆς τοῦ D Κυρίου σαρκὸς τοῦ αἵματος, ἀλλ' αὐτὴ ἡ τοῦ Κυρίου σὰρξ καὶ τὸ αἷμα· οὐχ ὅτι αὐτὸ τὸ ἀναληφθὲν σῶμα ἐξ οὐρανοῦ κατέρχεται, ἀλλ' ὅτι αὐτὸς ὁ ἄρτος καὶ ὁ οἶνος ἅμα τῷ ὕδατι πρὸς σῶμα καὶ αἷμα Χριστοῦ ἡνωμένον θεότητι μεταποιοῦνται, ὡς τὸ ἐκ τῆς ἁγίας Παρθένου σῶμα λόγοις ἀπορρήτοις διὰ τῆς μυστικῆς εὐλογίας καὶ ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος. Οὐ γὰρ εἶπεν ὁ Κύριος, ὅτι Ὁ ἄρτος ὃν ἐγὼ δώσω, ἀντίτυπόν ἐστι τῆς σαρκός μου, ἀλλ' ἡ σάρξ

## SERMONIS OCTAVI ETHICON.

*De tremendis et divinis immaculatisque ac vivificis Christi mysteriis. Et quod horum susceptio dignis fiat in salutem, indignis autem in pœnam.*

1. Nunc et illud vide, quod nempe in præsenti loquitur manifeste de pretiosi ac vivifici corporis sui mystica communione. Sicut enim vivificus suapte natura est unigenitus Dei Filius ac Verbum, sic etiam illam, in qua habitavit, carnem vivificam effecit, cum ei se totum per ineffabilem unionis rationem conjunxit, eamdemque ad sui ipsius excellentiam, id est vitam extulit. Propterea etiam vivificat sui participes sanctissimum Christi corpus, mortem pellens, corruptionem submovens: quippe quod peremptorium prorsus corruptionis Verbum in se gestat. Etenim panis qui a nobis in mysteriis comeditur, et vinum quod aqua immista pariter bibimus, haud sunt profecto carnis sanguinisque Domini antitypa, sed ipsamet Domini caro et sanguis: non quod corpus, quod sumitur, de cœlo adveniat, sed quia ipse panis cum vino et aqua in corpus sanguinemque Christi divinitati copulatum convertuntur; ut fiat illud de sancta Virgine natum corpus, modis inenarrabilibus, per mysticam benedictionem et sancti Spiritus interventionem. Non enim dixit Dominus: Panis quem ego dabo, antitypon carnis

(1) Tres mihi in manibus sunt Constantini Magni Vitæ, quas in Vaticanis codicibus reperi. Utrum vero in earum numero sit hæc, cujus se auctorem Theodorus noster dicit, alibi disquiremus.

(2) Huic ethico præit expositio verborum Domini apud Joan. VI, 52: *Et panis, quem ego dabo, caro mea est quam ego dabo pro mundi vita.* Porro ut in Præfatione innuimus, hujus præsertim ethici causa, in quo est præclarissimum de SS. Eucharistia testimonium, cum perspicua dogmatis doctrina, hæc nos Theodori excerpta vulgare suscepimus.

meæ est, sed caro mea est: id quod postea quoque in mystica cœna affirmavit, quo tempore ad voluntariam passionem accessit. Dixit nimirum: « Hoc est corpus meum, » dum panem porrigeret, et « Ille est sanguis meus, » dum calicem propinaret. Hæc videlicet mensa illa est, nihiloque inferior: non enim illam quidem Christus, hanc autem homo instruit; sed hanc pariter Christus apparat, sacerdotibus ministrorum vice fungentibus: quandoquidem haud humanarum virium opera nobis in conspectu sunt, sed Dei sanctificantis et transmutantis.

μου ἐστίν (2)· ὥσπερ ὕστερον κἀν τῷ μυστικῷ δείπνῳ εἴρηκεν, εἰς τὸ πάθος ἐρχόμενος τὸ ἑκούσιον· « Τοῦτό ἐστι τὸ σῶμά μου, » τὸν ἄρτον διδούς· καὶ, « Τοῦτό ἐστι τὸ αἷμά μου, » τὸ ποτήριον παρέχων· αὕτη γὰρ ἐκείνη ἐστὶν ἡ τράπεζα, καὶ οὐδὲν ἔλαττον ἔχει· οὐ γὰρ ἐκείνην μὲν ὁ Χριστὸς, ταύτην δὲ ἄνθρωπος δημιουργεῖ· ἀλλὰ καὶ ταύτην αὐτὸς, ὑπηρετῶν τάξιν τῶν ἱερέων ἐπεχόντων, ἐπείπερ οὐκ ἀνθρωπίνης δυνάμεως ἔργα τὰ προκείμενα, ἀλλὰ Θεοῦ ἁγιάζοντος ταῦτα καὶ μετασκευάζοντος.

2. Quod si modum rei gestæ requiris, satis tibi scire sit, quod per sanctum Spiritum sibi atque in se carnem Dominus constituit: nihilque ulterius cognoscimus, nisi quod Dei Verbum verum omnipotensque est, rei autem modus inscrutabilis. Neque id quoque fortasse dicetur absurde, quod quomodo naturaliter panis in comestione, et vinum cum aqua in potu, in manducantis bibentisque corpus ac sanguinem commutantur, neque idcirco sit aliud hominis corpus a priore diversum; ita etiam oblatus panis et vinum cum aqua, per invocationem atque adventum sancti Spiritus, supernaturaliter in corpus Christi ac sanguinem convertuntur: neque idcirco duo sunt, sed unum. Idemque nunc in iis efficitur, qui cum fide ac digne suscipiunt, in peccatorum remissionem, vitam æternam, et animæ corporisque custodiam; in illis vero qui cum incredulitate ac indignitate communicant, fit punitionis pœnæque instrumentum. Non secus ac Domini mors credentibus extitit vita et incorruptio, ut beatitudine fruantur æterna; incredulis autem et Domini interfectoribus punitionem pœnamque contulit sempiternam. Etenim quia humanæ naturæ se commiscuit Dominus, corpusque nostrum assumpsit, escam quoque de pane exhibuit, et de vino aquaque potum. Haud aliam quippe excogitavit conservandæ naturæ rationem, sed communibus congruisque alimentis corpus suum sustentavit, esca et potu subsistentiam conservans: nam panis ille comesus et potio bibita, in corpus ejus sanguinemque convertebatur, fiebatque conformis deiferæ carni, eique augendæ et conservandæ proderat, quæ scilicet ob inhabitans Dei Verbum ad dignitatem simul divinam transferebatur.

β'. Εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς, πῶς γίνεται, ἀρκεῖ σοι μαθεῖν ὅτι διὰ Πνεύματος ἁγίου ἑαυτῷ τὴν σάρκα ὁ Κύριος ὑπεστήσατο· καὶ πλέον οὐδὲν γινώσκομεν, ἢ ὅτι ὁ Λόγος τοῦ Θεοῦ ἀληθής ἐστι καὶ παντοδύναμος, ὁ δὲ τρόπος ἀνεξερεύνητος. Οὐ χεῖρον δὲ ἴσως καὶ τοῦτο εἰπεῖν, ὅτι καθάπερ φυσικῶς ὁ ἄρτος διὰ τῆς βρώσεως, καὶ οἶνος καὶ τὸ ὕδωρ διὰ τῆς πόσεως, εἰς σῶμα καὶ αἷμα τοῦ ἐσθίοντος καὶ πίνοντος μεταβάλλονται, καὶ οὐ γίνονται σῶμα ἕτερον παρὰ τὸ πρότερον αὐτοῦ σῶμα, οὕτω καὶ ὁ τῆς προθέσεως ἄρτος καὶ οἶνος καὶ τὸ ὕδωρ διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου Πνεύματος ὑπερφυῶς εἰς τὸ σῶμα τοῦ Χριστοῦ καὶ τὸ αἷμα μεταποιοῦνται· καὶ οὐκ εἰσὶ δύο, ἀλλ' ἕν. Καὶ τὸ αὐτὸ γίνεται νῦν τοῖς μὲν πίστει καὶ ἀξίως μεταλαμβάνουσιν εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ζωὴν αἰώνιον, καὶ εἰς φυλακτήριον ψυχῆς τε καὶ σώματος, τοῖς δὲ ἐν ἀπιστίᾳ καὶ ἀναξίως μετέχουσιν εἰς κόλασιν καὶ τιμωρίαν· ὥσπερ καὶ ὁ τοῦ Κυρίου θάνατος τοῖς μὲν πιστεύουσι γέγονε ζωὴ καὶ ἀφθαρσία εἰς ἀπόλαυσιν τῆς αἰωνίου μακαριότητος, τοῖς δὲ ἀπειθοῦσι καὶ τοῖς Κυριοκτόνοις, εἰς κόλασιν καὶ τιμωρίαν αἰώνιον· καὶ γάρ τοι καὶ συνανακραθέντος τῇ ἀνθρωπίνῃ φύσει τοῦ Κυρίου, καὶ ἐν σώματι γενομένου τῷ ἡμετέρῳ καὶ τὴν ἐξ ἄρτου τροφὴν προσιεμένου, καὶ τὴν ἐξ οἴνου καὶ ὕδατος πόσιν· οὐ γὰρ ἄλλην τινὰ παρεκαινοτόμησε τῇ φύσει τὴν σύστασιν, ἀλλὰ διὰ τῶν συνήθων καὶ καταλλήλων, ἔδωκε τῷ καθ' ἑαυτὸν σώματι τὴν διαμονὴν, βρώσει καὶ πόσει περικρατῶν τὴν ὑπόστασιν· ὁ ἄρτος ἐκεῖνος, ὁ ἐσθιόμενος, καὶ τὸ πινόμενον πῶμα, πρὸς σῶμα αὐτοῦ καὶ αἷμα μετεβάλλετο, καὶ συνεξομοιοῦτο τῇ θεοδόχῳ σαρκὶ, καὶ εἰς αὔξησιν καὶ σύστασιν αὐτῆς συνεβάλλετο, μεταποιηθείσης ἅμα τῇ ἐνοικήσει τοῦ Θεοῦ Λόγου πρὸς τὴν ἀξίαν τὴν θείαν.

3. Bene igitur nunc quoque sanctificatum verbo Dei panem in Verbi divini corpus commutari cre-

γ'. Καλῶς οὖν καὶ νῦν τὸν τῷ λόγῳ τοῦ Θεοῦ ἁγιαζόμενον ἄρτον εἰς σῶμα τοῦ Θεοῦ Λόγου μετα-

(2) Sic apud Catenam Possinianam ad Matth. Theodorus Heracleota : Μὴ νομίσῃς τύπον εἶναι τὰ τοιαῦτα, ἀλλ' ὅτι ὁ ἄρτος αὐτὸ ἐκεῖνο τὸ σῶμα τοῦ Κυρίου, καὶ τὸ αἷμά ἐστι μεταποιούμενον εἰς σάρκα καὶ αἷμα τοῦ Κυρίου ἡμῶν ἀῤῥήτῳ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος. Ibidem Theodorus Mopsuestenus : Οὐκ εἶπε, Τοῦτό ἐστι τὸ σύμβολον τοῦ σώματός μου· καὶ τοῦτο τοῦ αἵματός μου· ἀλλὰ, « Τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τὸ αἷμά μου· » διδάσκων ἡμᾶς μὴ πρὸς τὴν φύσιν ὁρᾷν τοῦ προκειμένου, ἀλλὰ διὰ τῆς γενομένης εὐχαριστίας εἰς σάρκα καὶ αἷμα μεταβάλλεσθαι. Ibidem denique Chrysostomus : εἰπών, « Τοῦτό μου ἐστὶ τὸ σῶμα, » δεικνύει ὅτι αὐτὸ τὸ σῶμα τοῦ Κυρίου ἐστὶν ἄρτος ὁ ἁγιαζόμενος ἐν τῷ θυσιαστηρίῳ· » ἀῤῥήτῳ γὰρ τρόπῳ μεταποιεῖται εἰς σάρκα καὶ αἷμα τοῦ Κυρίου, κἂν ἡμῖν φαίνηται. Similiter in Catena Corderiana ad Matth. S. Joannes Damascenus : Οὐκ ἔστι τύπος ὁ ἄρτος ἄρτος, καὶ οἶνος καὶ ὕδωρ τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ· μὴ γένοιτο· ἀλλ' αὐτὸ τὸ σῶμα, καὶ αὐτὸ τὸ αἷμα εἰς σύστασιν τῆς ἡμετέρας ψυχῆς τε καὶ σώματος χωροῦν.

ποιεῖσθαι πιστεύομεν· καὶ ὁμοίως τὸν οἶνόν τε καὶ τὸ ὕδωρ εἰς αἷμα· ἐπεὶ κἀκεῖνο τὸ σῶμα τῇ ἐπισκηνώσει τοῦ Λόγου τοῦ ἐπισκηνώσαντος ἐν αὐτῷ καθαγιασθὲν ἄρτος καὶ οἶνος καὶ ὕδωρ ἦν τῇ δυνάμει· καὶ γὰρ ἐκ τούτων παντὸς ἀνθρωπίνου σώματος ἡ ὑπόστασις· καὶ ὁ πρὸς ταῦτα βλέπων δυνάμει πρὸς τὸν ὄγκον τοῦ ἡμετέρου σώματος βλέπει· ὅτι ἐν τούτῳ ἐκεῖνα γενόμενα, τοῦτο γίνεται, καὶ τρόπον τινὰ ταυτόν ἐστιν ἐκείνοις τὸ ταῦτα παραδεξάμενον σῶμα, τῆς τροφῆς, ὥσπερ εἴρηται, πρὸς τὴν τοῦ σώματος φύσιν διὰ τῆς ἀλλοιωτικῆς δυνάμεως καταλλήλως μεθισταμένης· ὅθεν γὰρ ὁ ἐν ἐκείνῳ τῷ σώματι μεταποιηθεὶς ἄρτος εἰς θείαν μετέστη δύναμιν, διὰ τοῦ αὐτοῦ καὶ νῦν τὸ ἴσον γίνεται· ἐκεῖ τε γὰρ ἡ τοῦ Λόγου χάρις ἅγιον ἐποίει τὸ σῶμα, ᾧ ἐκ τοῦ ἄρτου καὶ τοῦ οἴνου καὶ τοῦ ὕδατος ἡ σύστασις ἦν, καὶ τρόπον τινὰ καὶ αὐτὸ ἄρτος καὶ οἶνος καὶ ὕδωρ ἦν, ἐνταῦθά τε ὡσαύτως ὁ ἄρτος καὶ ὁ οἶνος καὶ τὸ ὕδωρ, καθά φησιν ὁ Ἀπόστολος, ἁγιάζονται διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως, οὐ διὰ βρώσεως προϊόντα εἰς τὸ σῶμα γενέσθαι τοῦ Λόγου, ἀλλ' εὐθὺς εἰς τὸ σῶμα διὰ τοῦ Λόγου μεταποιούμενα.

δ'. Τοῦτο καὶ ἐπὶ τοῦ θείου βαπτίσματος γίνεται· τὸ γὰρ κοινὸν ὕδωρ, καὶ ὀλίγου τινὸς ἄξιον πρὸ τῆς εὐλογίας, μετὰ τὸν ἁγιασμὸν τὸν παρὰ τοῦ θείου Πνεύματος θεῖον γίνεται καὶ ἱερόν, ἐνεργοῦν μεγάλα καὶ θαυμαστά, λέγω δὴ κάθαρσιν ἁμαρτιῶν, ἀνακαινισμὸν καὶ ἀναγέννησιν, πάντως οὐχὶ σωματικήν, καὶ ἦν ὁ Νικόδημος ἐνόησεν, ἔτι τῇ τοῦ νόμου παρακαθήμενος σκιᾷ, καὶ μηδὲν ὑψηλὸν φαντασθῆναι δυνάμενος, ἀλλὰ ξένην τινὰ καὶ παρηλλαγμένην, καὶ ὀφθαλμοῖς μὲν οὐδαμῶς βλεπομένην, ἐννοίᾳ δὲ μόνῃ θεωρουμένην, καὶ ὄντως ὀξίαν τοῦ ταύτην ἡμῖν χαρισαμένου Χριστοῦ, δι' ἡμᾶς γεγονότος καθ' ἡμᾶς· ἵνα, ὥσπερ ἐπεβουλεύθημεν πάλαι μετὰ τῆς μερίμνης τοῦ κακουργοῦντος ὑποχθονίου δαίμονος καὶ μοχθηροῦ καὶ βασκάνου, προκάλυμμα τῆς ἑαυτοῦ γνώμης ἄξιον εὑρηκότος τὸν ὄφιν, ὁμοίῳ τε ἑρπετῷ ἐνοικήσαντος, καὶ διὰ τούτου τὴν κατὰ τοῦ γένους ἡμῶν ἁμαρτίαν καινοτομήσαντος, οὕτως ὕστερον σωθῶμεν μετὰ τῆς φροντίδος τοῦ δημιουργοῦ καὶ φιλανθρώπου Θεοῦ τέλειον ἄνθρωπον ἀναλαβόντος, καὶ οὕτω τὴν τοῦ ἐχθροῦ πονηρίαν ἐπανορθώσαντος, καὶ αὐτουργήσαντος τὴν ἡμῶν σωτηρίαν· τὸν αὐτὸν οὖν τρόπον καὶ ὁ ἄρτος καὶ ὁ οἶνος ἅμα τῷ ὕδατι, κοινὰ πρότερον ὄντα, ὅταν αὐτὰ τὸ μυστήριον ἱερουργήσῃ, σῶμα καὶ αἷμα γίνονται τοῦ Χριστοῦ, τῆς ἄνωθεν χάριτος εὐλογούσης αὐτά.

ε'. Καὶ πῶς, φησίν, οὐχὶ φαίνονται ἡμῖν σὰρξ καὶ αἷμα, ἀλλ' ἄρτος καὶ οἶνος; Διὰ τὸ μὴ ἡμᾶς ἀηδίζεσθαι πρὸς τὴν βρῶσιν· εἰ μὲν γὰρ σὰρξ καὶ αἷμα ἐφαίνοντο, ὀηδῶς ἂν διεκείμεθα περὶ τὴν μετάληψιν ὡς ἀσυνήθη (1)· νῦν δὲ τοιαύτης φαινομένης ἡμῖν, εὐχερῶς ταύτης μεταλαμβάνομεν. Οἶδε γὰρ ὁ Θεὸς ὅτι ἡ ἀνθρωπίνη ἀσθένεια πολλάκις τὰ μὴ κατὰ συνήθειαν τετριμμένα ἀποστρέφεται δυσχεραίνουσα· διὸ

A dimus; vinumque cum aqua pariter in sanguinem: quandoquidem et corpus illud, Verbi habitaculo quod in eo residebat sanctificatum, panis vinique cum aqua vim habebat: namque his alimentis omne corpus humanum subsistit: et qui hæc spectat, perinde est ac si corporis nostri incrementum spectet: quia intra hoc illa suscepta, corpus revera fiunt, et idem quodammodo cum illis fit corpus eadem excipiens; cibo, ut dictum est, in corporis naturam, per vim convertibilem, congruenter transformato. Sicut ergo in Christi corpore commutatus panis in divinam vim transibat, ita et nunc contingit similiter. Illic enim gratia Verbi sanctum efficiebat corpus, cui ex pane
B vinoque et aqua subsistentia conflebat, ita ut idem corpus panis quodammodo ac vinum et aqua esset. Nunc autem panis similiter et vinum cum aqua, sicut ait Apostolus [a], sanctificantur per verbum Dei et orationem; neque hæc tamen vi manducationis in corpus Verbi transeunt, sed illico in corpus a Verbo communitantur.

4. Hoc etiam in divino baptismate accidit. Etenim quæ vulgaris erat vilisque pretii aqua ante benedictionem, post sanctificationem a divino Spiritu collatam, divina sacraque fit, magna et mirabilia operans, purgationem, inquam, peccatorum,
C renovationem et regenerationem; haud profecto corporalem, de qua Nicodemus cogitabat, qui legis adhuc umbræ adhærebat, nihilque excelsum imaginari valebat: sed peregrinam quamdam diversamque; et oculis sane invisibilem, sola vero mente spectabilem; vereque dignam Christo ipsam donante, qui nostri gratia factus est sicut unus de nobis. Ut sicut olim insidiis circumventi fuimus, artificio malefici infernalis draconis, improbi et invidi, qui operculum mente sua dignum adinvenit serpentem, et in simili sibi reptili habitavit; et hujus opera primo in nostrum genus introduxit peccatum; sic nos postea cura creatoris clemen-
D tisque Dei, qui perfectum hominem assumpsit, atque ita inimici malitiam correxit, nostramque salutem operatus est; pari, inquam, modo panis quoque et vinum cum aqua, quæ antea res communis erant, postquam ea mysterium consecraverit, corpus et sanguis Christi fiunt, superna ipsis benedicente gratia.

5. Atqui, dicet aliquis, cur caro et sanguis non apparent nobis, sed panis vinumque? Ne nos videlicet, inquam, a comestione abhorreremus. Nam si caro et sanguis apparerent, insuaviter prorsus ad participandum tam insolita accederemus. Nunc vero, tali sub forma cum nobis appareant, facile hæc participamus. Scit enim Deus humanam infirmitatem sæpe respuere quæ sibi non sunt con-

[a] 1 Tim. IV, 5.

(1) Imitatur Theodorus sanctum Cyrillum in commentario ad Lucam.

sueta : ideoque solita sua indulgentia utens, per consueta naturæ facit ea quæ sunt supra naturam. Sicut igitur in baptismate, quoniam hominum nos est aqua lavari, et oleo ungi, aquæ et oleo gratiam Spiritus immiscuit, fecitque hæc renovationis lavacrum et regenerationis ; re sensibili intellectuale donum efficiens ; pari ratione, quoniam solent homines panem comedere vinumque cum aqua bibere, his copulavit deitatem suam ; eaque corpus suum ac sanguinem efficiens, panis tamen vinique apparentiam retinuit, ut a consuetis ac naturalibus ad supernaturalia sublevemur. Nihil enim sensibile nobis Christus tradidit, sed res quidem sensibiles ; omnia tamen intellectualiter accipienda. Nam si quidem incorporei essemus, utique incorporalia nobis dona dedisset : sed quia corpori copulata est anima, sensibili sub specie intellectualia nobis tradidit. Neque idcirco panis ille et vinum cum aqua, quæ in sacro altari sanctificantur, typus quidam sunt Christi corporis sanguinisque ; absit ! sed corpus ipsum ac sanguis Domini deificata. Caveamus itaque quominus hæc tantummodo prout oculis prostant spectemus, sed Christi verba retinentes, persuadeamus nobismet atque credamus, eaque mentis oculis conspiciamus. Nam sermo ejus infallibilis est ; sensus vero noster facile decipitur : ille nunquam excidit, hic plerumque fallitur. Quandoquidem igitur sermo ejus dicit : « Hoc est corpus meum, » et « Hic est sanguis meus, » Deo credamus, et nullatenus contradicamus : etiamsi rationi nostræ contrarium appareat atque visui id quod affirmatur : ac ratiocinio prorsus nostro visuque potiorem existimemus sermonem ejus.

6. Quod si nonnulli antitypa corporis sanguinisque Domini hæc appellaverunt, veluti deiloquus loquitur Basilius in mysticis sacrificii precibus dicens : « Et proponentes antitypa corporis et sanguinis Christi tui ; » haud equidem post sanctificationem, inquam ego, sed ante sanctificationem et ante susceptam gratiam, sic ea appellaverunt ; ordinantes egregie admodum hi viri inspirati, ut nos cum amore ac fide veneremur, ante etiam quam consecrentur, divina hæc dona, tanquam antitypa illorum quæ geruntur in magno ingressu ad sacram liturgiam : ea ratione, qua humanam quoque Dei humanati fictam pictamque figuram, tanquam ejusdem antitypum, veneramur. Namque imaginis honor ad prototypum transit, ut magnus inquit Basilius. Cæteroqui picta quidem Dominicæ carnis imago, hujus omnino antitypon est, nunquam tamen erit ipsum prototypon, id est ipse Christus. Hæc autem divina dona, quæ catenus

(1) Sic etiam S. Cyrillus.

(2) Consonat prorsus Joan. Damascenus in Corderiana Catena p. 755 : Εἰ δὲ καί τινες ἀντίτυπα τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου τὸν ἄρτον καὶ τὸν οἶνον ἐκάλεσαν, οὐ μετὰ τὸ ἁγιασθῆναι, εἶπον, ἀλλὰ πρὶν ἁγιασθῆναι τὴν προσφορὰν οὕτω καλέσαντες.

καὶ τῇ συνήθει κεχρημένης συγκαταβάσει, διὰ τῶν συνήθων τῆς φύσεως ποιεῖται τὰ ὑπὲρ φύσιν · ὥσπερ οὖν ἐπὶ τοῦ βαπτίσματος, ἐπειδήπερ ἐστὶ τοῖς ἀνθρώποις ἔθος ὕδατι λούεσθαι καὶ ἐλαίῳ χρίεσθαι, συνέμιξε τῷ ὕδατι καὶ τῷ ἐλαίῳ τὴν χάριν τοῦ Πνεύματος, καὶ ἐποίησε ταῦτα λουτρὸν ἀναγεννήσεως καὶ ἀνακαινίσεως, δι' αἰσθητοῦ πράγματος νοητὸν δῶρον ἀποτελῶν · οὕτως ἐνταῦθα, ἐπεὶ τοῖς ἀνθρώποις ἔθος ἄρτον ἐσθίειν, καὶ πίνειν οἶνον μεθ' ὕδατος, συνέζευξεν αὐτοῖς τὴν αὐτοῦ θεότητα · καὶ ποιήσας αὐτὰ σῶμα καὶ αἷμα αὐτοῦ, τὸ εἶδος τοῦ ἄρτου καὶ τοῦ οἴνου ἐφύλαξεν, ἵνα διὰ τῶν συνήθων καὶ κατὰ φύσιν ἐν τοῖς ὑπὲρ φύσιν γινώμεθα · οὐδὲν γὰρ αἰσθητὸν παρέδωκεν ἡμῖν ὁ Χριστὸς, ἀλλ' αἰσθητὰ μὲν πράγματα, πάντα δὲ νοητά · εἰ μὲν γὰρ ἀσώματοι ἦμεν, γυμνὰ ἂν ἡμῖν αὐτὰ τὰ ἀσώματα παρέδωκε δῶρα · ἐπεὶ δὲ σώματι συμπέπλεκται ἡ ψυχὴ, ἐν αἰσθητοῖς ἡμῖν τὰ νοητὰ παραδίδωσιν. Οὐκ ἄρα τύπος ὁ ἄρτος, καὶ ὁ οἶνος ἅμα τῷ ὕδατι, τὰ ἐν τῷ θείῳ θυσιαστηρίῳ ἁγιαζόμενα τοῦ σώματος τοῦ Χριστοῦ καὶ τοῦ αἵματος, μὴ γένοιτο, ἀλλ' αὐτὸ τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Κυρίου τεθεωμένα · διὸ μὴ τοῖς κειμένοις μόνον ἐμβλέπωμεν, ἀλλὰ τὰ ῥήματα αὐτοῦ κατέχοντες, καὶ πειθώμεθα, καὶ πιστεύωμεν, καὶ νοητοῖς αὐτὰ βλέπωμεν ὀφθαλμοῖς · ὁ μὲν γὰρ λόγος αὐτοῦ ἀπαραλόγιστος (1) · ἡ δὲ αἴσθησις ἡμῶν εὐεξαπάτητος · οὗτος οὐδέποτε διέπεσεν · αὕτη δὲ τὰ πλείονα σφάλλεται. Ἐπεὶ οὖν ὁ λόγος αὐτοῦ φησὶ, « Τοῦτό ἐστι τὸ σῶμά μου, » καὶ, « Τοῦτό ἐστι τὸ αἷμά μου, » πειθώμεθα τῷ Θεῷ, καὶ μὴ ἀντιλέγωμεν, κἂν ἐναντίον εἶναι δοκῇ τοῖς ἡμετέροις λογισμοῖς, καὶ ταῖς ὄψεσι τὸ λεγόμενον · καὶ λογισμῶν καὶ ὄψεων κυριώτερον ἔχωμεν αὐτοῦ τὸν λόγον.

ς'. Εἰ δὲ καί τινες ἀντίτυπα τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου ταῦτα ἐκάλεσαν, ὡς ὁ θεοφάντωρ ἔφη Βασίλειος ἐν ταῖς μυστικαῖς τῆς λειτουργίας εὐχαῖς, οὕτω λέγων · « Καὶ προθέντες τὰ ἀντίτυπα τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου · » ἀλλ' οὐ μετὰ τὸ ἁγιασθῆναι, εἶπον, πρὸ μέντοι τοῦ ἁγιασθῆναι, καὶ πρὸ τοῦ τὴν χάριν λαβεῖν, οὕτως ἐκάλεσαν (2), διαταξάμενοι μάλα καλῶς οἱ θεόληπτοι προσκυνεῖν ἡμᾶς μετὰ πόθου καὶ πίστεως, καὶ πρὸ τοῦ τελειωθῆναι ταῦτα τὰ θεῖα δῶρα, ὡς ἀντίτυπα τῶν τῆς μεγάλης γινομένης εἰσόδου (1), τῆς ἐν τῇ ἱερᾷ λειτουργίᾳ, καθάπερ προσκυνοῦμεν καὶ τῆς ἀνθρωπίνης τοῦ θεανθρώπου Λόγου μορφῆς τὸ ἐκτύπωμα, ὡς ἐκείνου ἀντίτυπον · ἡ γὰρ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει, φησὶν ὁ μέγας Βασίλειος (2) · καίτοι γε ἡ μὲν γεγραμμένη τῆς τοῦ Κυρίου σαρκὸς εἰκὼν, τούτου διὰ παντὸς ἀντίτυπος οὖσα, οὐκ ἔσται ποτὲ αὐτὸ τὸ πρωτότυπον, ἤγουν αὐτὸς ὁ Χριστός. Ταῦτα δὲ τὰ θεῖα δῶρα μέχρι τινὸς ἀν-

(3) Duplex est ad Græcam missam introitus ; minor initio dum sacra dona nondum consecrata ad mensam deferuntur ; major, cum jam consecrata deducuntur ad altare.

(4) S. Basilii locum videsis late expositum a S. Nicephoro in opere contra Iconomachos, apud nos in hac Biblioth. T. V. (*Patrologiæ*, tom. C.

τυπα ὄντα τῆς τοῦ Κυρίου σαρκὸς καὶ τοῦ αἵματος, ἁγιάζονται μετὰ ταῦτα, καὶ ἀληθῶς αὐτὸ γίνονται τὸ πρωτότυπον, ἤτοι ἡ σὰρξ αὐτὴ καὶ τὸ αἷμα τοῦ Χριστοῦ, διὰ τῆς μυστικῆς εὐλογίας, καὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐπιφοιτήσεως· ὅθεν χρεὼν καὶ διὰ τοῦτο μετὰ πόθου καὶ πίστεως προσκυνεῖν ἡμᾶς ταῦτα, πρὸς τὸ τελειωθῆναι ἀγόμενα (3). Ἀντίτυπα δὲ τῶν μελλόντων λέγονται ταῦτα, οὐχ ὡς μὴ ὄντα κατ' ἀλήθειαν σῶμα καὶ αἷμα Χριστοῦ, ἀλλ' ὅτι νῦν μὲν δι' αὐτῶν μετέχομεν τῆς τοῦ Χριστοῦ θεότητος, τότε δὲ νοητῶς διὰ μόνης τῆς θέας· διά τοι τοῦτο καὶ κοινωνία ἡ αὐτῶν καλεῖται μετάληψις, ὅτι τὴν πρὸς τὸν Χριστὸν ἡμῖν χαρίζεται ἕνωσιν, καὶ κοινωνοὺς ἡμᾶς ποιεῖ τῆς αὐτοῦ βασιλείας· οὐ μὴν δὲ ἀλλ' ὅτι καὶ κοινωνεῖν ἐντεῦθεν ἡμᾶς καὶ ἀλλήλοις ἑνοῦσθαι παρασκευάζει· ἐπεὶ γὰρ ἐξ ἑνὸς ἄρτου καὶ ποτηρίου μεταλαμβάνομεν ἅπαντες, λοιπὸν καὶ ἓν σῶμα Χριστοῦ, καὶ ἓν αἷμα, καὶ ἀλλήλων μέρη γινόμεθα, ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ τῶν ὀστέων αὐτοῦ σύσσωμοι Χριστοῦ χρηματίζοντες· οὐ γὰρ εἰς ἀφεδρῶνα χωροῦσι ταῦτα οὐδὲ φθείρονται, οὐδὲ δαπανῶνται, μὴ γένοιτο, ἀλλ' εἰς σύστασιν οὐσιώδη χωροῦσι τῶν μεταλαμβανόντων, τὴν τῆς ψυχῆς οὐσίαν καὶ τοῦ σώματος συντηροῦντα.

ζ'. Καὶ μή τις ἀκούων, Χριστὸν ἐν ἡμῖν γίνεσθαι διὰ τῆς μεταλήψεως, ἀπιστῶν λεγέτω· Ἆρα οὖν, ἐπειδὴ καὶ ἐν ἡμῖν αὐλίζεται τοῦ Θεοῦ ὁ Λόγος ζωὴ κατὰ φύσιν ὑπάρχων, ζωοποιόν ἐστι καὶ τὸ ἑκάστου σῶμα; Ἴστω δὲ μᾶλλον, ὡς ἕτερόν ἐστι τὸ κατὰ μέθεξιν σχετικὴν ἡμᾶς ἔχειν ἐν ἑαυτοῖς τὸν Υἱὸν [τοῦ Θεοῦ], καὶ ἕτερον ὁλοτρόπως τὸ τοῦτον γενέσθαι σάρκα, τουτέστιν ἴδιον ποιήσασθαι σῶμα, τὸ ἐκ τῆς ἁγίας Παρθένου ληφθὲν, καὶ τούτῳ ἑνωθὲν ὑπὲρ λόγον· οὐ γὰρ ἐν ἡμῖν γενόμενος, ἐνανθρωπῆσαι λέγεται, καὶ γενέσθαι σὰρξ, τοῦτο γὰρ γέγονεν ἅπαξ, ὅτε προῆλθεν ἄνθρωπος, οὐκ ἀποβαλὼν τὸ εἶναι Θεός· ἀλλὰ κατὰ μέθεξιν σχετικὴν λέγεται γενέσθαι θεοπρεπῶς διὰ τοῦ ἁγίου Πνεύματος· ἵνα γὰρ μὴ μόνον κατὰ τὴν ἀγάπην τοῦτο γενώμεθα, ἀλλὰ καὶ κατ' αὐτὸ τὸ πρᾶγμα πρὸς ἐκείνην ἀνακερασθῶμεν τὴν σάρκα, διὰ τῆς τροφῆς τοῦτο γίνεται, ἣν ἐχαρίσατο, βουλόμενος ἡμῖν δεῖξαι τὸν πόθον ὃν ἔχει περὶ ἡμᾶς· διὰ τοῦτο ἀνέμιξεν ἑαυτὸν τῇ ἐπικήρῳ φύσει, καὶ ἔχυρε τὸ σῶμα αὐτοῦ εἰς ἡμᾶς, ἵνα ἔν τι γενώμεθα καθάπερ σῶμα κεφαλῇ συνημμένον· τῶν γὰρ σφόδρα ποθούντων ἐστὶ τοῦτο, καὶ τῇ τῆς θεότητος κοινωνίᾳ συναποθεωθῆναι τὸ ἀνθρώπινον. Τοῦτο γοῦν ὁ Ἰὼβ αἰνιττόμενος ἔλεγε περὶ τῶν ἑαυτοῦ οἰκετῶν, οἷς ἦν μεθ' ὑπερβολῆς ποθεινὸς, « Προσφῦναι ταῖς σαρξί μου οὐκ ἀπέσχον ὀδοῦσιν. » Ἐκεῖνοι γὰρ τὸν πολὺν αὐτῶν ἐνδεικνύμενοι πόθον, ὃν εἶχον, ἔλεγον· « Τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ ἐμπλησθῆναι; » Διὸ δὴ καὶ ὁ Χριστὸς αὐτὸ

A antitypa fuerant Dominicæ carnis ac sanguinis, sanctificantur postea, vereque ipsum prototypon fiunt, id est caro ipsa et sanguis Christi, per mysticam benedictionem et sancti Spiritus adventum. Quare etiam oportet cum amore ac fide hæc nos venerari dum ad sanctificationem pompatice deducuntur. Denique antitypa etiam futurorum dicuntur hæc, non quia vere corpus et sanguis Christi non sit, sed quia nunc quidem per ea participamus Christi divinitatem, tunc autem intellectualiter per solam visionem. Quam ob rem communio quoque hæc participatio dicitur, quia unionem nobis cum Christo largitur, et ad regni sui communionem admittit : et præterea, quod sic nos invicem communicare conjungique facit. Quia B enim ex uno pane et calice percipimus omnes, sequitur ut unum corpus Christi, unusque sanguis, et mutua membra fiamus, ex illius carne illiusque ossibus, Christo concorporati. Nec porro hæc in aphedronem secedunt, neque corrumpuntur; absit ! sed in substantialem consistentiam transeunt participantium, et animæ corporisque substantiam conservant.

7. Age vero, ne forte aliquis audiens Christum in nobis fieri per hanc participationem, incredulus dicat : Ergone, quia in nobis Dei Verbum habitat, quod est suapte natura vita, nostrum quoque uniuscujusque corpus vivificum evadet ? Sciat itaque hic potius, aliud esse per relativam par- C ticipationem habere intra nos Filium Dei ; aliud vero omnino hunc carnem fieri, id est proprium effici illud corpus quod ex sancta Virgine sumptum, Deo supernaturaliter unitum fuit. Etenim nequaquam cum intra nos est, humanari dicitur, et caro fieri; id enim semel accidit, cum homo processit, quin simul desineret esse Deus : sed per relativam participationem dicitur in nobis ratione Deo digna consistere per sanctum Spiritum. Ut enim non charitate tantum hoc fiamus, sed re etiam, et cum illa carne permisceamur, res hæc cibi more perficitur, quem largitus est, volens suam erga nos charitatem demonstrare. Propterea insinuavit se caducæ naturæ, suumque corpus nobiscum immi- D scuit, ut unum quid fieremus, ceu corpus capiti junctum. Eximie enim amantium hoc opus est, ut per deitatis communionem simul homo deificetur. Rem hanc videlicet Jobus innuens, de familiaribus suis aiebat, quibus eximie charus erat : « A carnibus meis dentes non abstinebant [a]. » Illi quippe ut multum suum amorem ostenderent, aiebant : « Quis det nobis ut de carnibus ejus saturemur [b] ? » Quare et Christus idem fecit, ad ma-

[a] Job. xix. 22. [b] Job. xxxi, 31.

(3) Loquitur de veneratione Græci populi erga oblata etiam cum deducuntur pompatice ad mensam ut consecrentur; de quo ritu satis controverso alibi nos locuti sumus, scilicet in hac Bibliothe. t. IV, p. 61, ubi Eutychium patriarcham produximus id cultus genus reprehendentem. Reliqua vero hujus articuli usque ad n. 7, sumit Theodorus ex Damasceno, prout leguntur in Cat. Cord. p. 755.

jorem amicitiam nos provocans. Atque ut amorem suum erga nos demonstraret, non se videndum tantummodo amantibus præbuit, sed tangendum etiam, et comedendum, ut et dentes carni ejus infigeremus, et complicaremur, nostrumque amorem plane expleremus.

8. Jam quemadmodum mulier proprio sanguine et lacte partum suum alit, sic et Christus quos genuit proprio nutrit continuatim sanguine. Imo vero qui genuerunt sæpe aliis nutriendos dant partus suos ; Christus autem non sic, sed propriis carnibus alens, semet ipse nobis præbet, omnes nos liberaliter educatos volens, bonam denique de futuris spem nobis injiciens. Nam qui nobis hic se tradidit, multo id magis in futuro : frater scilicet noster esse voluit : carnem ac sanguinem nostri gratia participavit : rursusque eamdem carnem ac sanguinem, quorum causa factus est affinis, nobis credentibus præbet sub gratiæ dispensatione, semet nobis per carnem inserens, quæ ex pane vinoque cum aqua confecta fuit, seque credentium corporibus infundit; ut nimirum per unionem cum immortali homo quoque incorruptionis particeps fiat. Hæc autem largitur, dum per vim benedictionis in corpus illud transformat rerum apparentium naturam.

9. Nimirum veteri omni legis cultui fine imposito, qui imperfectis et parvulis congruebat, novum sacrificium mundum et incruentum invexit; quod ab ortu solis usque ad occasum oblatum iri, olim ore prophetæ prædixit[7]; Sacerdos propter-« ea in æternum, » sicut ait divinus David[8], exsistens; haud secundum Aaronis ordinem legitima sacrificia offerens, sed secundum ordinem Melchisedech, qui panis et vini munere Abrahamum excepit ab alienigenarum cæde redeuntem. Ille enim sacerdos præcipui pontificis Christi typum imaginemque gerebat; illaque mensa hanc mysticam portendebat. Sicut enim ille de pane ac vino benedictionem obtulit Abrahamo, ita deinde Christus Dominus, quo tempore se pro omnibus ceu victimam immaculatam Deo Patri oblaturus erat, panem accipiens et calicem miscens, dabat discipulis, aiebatque : « Hoc est corpus meum, » et : « Hic est sanguis meus. » Et omnino cunctis posthinc temporibus sacerdotio fungens, idem est offerens, et idem oblatus; et qui excipit, et qui dat, prout sapiens Basilius ait. Cui consona Chrysostomus loquens, ait quod neque angelus neque archangelus operari quidquam valet circa hæc Dei dona, sed Pater et Filius et sanctus Spiritus cuncta administrant; sacerdos autem suam tantummo-

πεποίηκεν, εἰς φιλίαν ἡμᾶς ἐνάγων μείζονα· καὶ τὸν αὐτοῦ πόθον ἐνδεικνύμενος τὸν περὶ ἡμᾶς, οὐκ ἰδεῖν μόνον αὑτὸν παρέσχε τοῖς ἐπιθυμοῦσιν, ἀλλὰ καὶ ἅψασθαι, καὶ φαγεῖν, καὶ ἐμπῆξαι τοὺς ὀδόντας τῇ σαρκὶ, καὶ συμπλακῆναι, καὶ τὸν πόθον ἐμπλῆσαι πάντα.

η'. Καὶ καθάπερ γυνή τις οἰκείῳ αἵματι καὶ γαλακτι τρέφει τὸ τεχθὲν, οὕτω καὶ ὁ Χριστὸς ὡς ἐγέννησεν αὐτὸς, οἰκείῳ τρέφει διηνεκῶς αἵματι· μᾶλλον δὲ οἱ μὲν γεννήσαντες πολλάκις ἑτέροις τρέφειν διδόασι τὰ τεχθέντα· ὁ δὲ Χριστὸς οὐχ οὕτως, ἀλλὰ ταῖς οἰκείαις τρέφων σαρξὶν, ἑαυτὸν ἡμῖν παρατίθησι, πάντας ἡμᾶς εὐγενεῖς εἶναι βουλόμενος, καὶ χρηστὰς ἡμῖν περὶ τῶν μελλόντων ὑποτείνων ἐλπίδας· ὁ γὰρ ἐνταῦθα ἡμῖν ἐκδοὺς ἑαυτὸν πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι· ἀδελφὸς ἠθέλησεν ἡμέτερος γενέσθαι· ἐκοινώνησε σαρκὸς καὶ αἵματος δι' ἡμᾶς· πάλιν αὐτὴν τὴν σάρκα καὶ τὸ αἷμα δι' ὧν συγγενὴς ἐγένετο, ἐκδίδωσιν ἡμῖν πᾶσι τοῖς πεπιστευκόσι τῇ οἰκονομίᾳ τῆς χάριτος, ἑαυτὸν ἐνσπείρων διὰ τῆς σαρκὸς, ἧς ἡ σύστασις ἐξ ἄρτου καὶ οἴνου καὶ ὕδατός ἐστι, καὶ τοῖς σώμασι τῶν πεπιστευκότων κατακιρνώμενος· ὡς ἂν τῇ πρὸς τὸ ἀθάνατον ἑνώσει καὶ ὁ ἄνθρωπος τῆς ἀφθαρσίας μέτοχος γένοιτο. Ταῦτα δὲ δίδωσι, τῇ τῆς εὐλογίας δυνάμει πρὸς ἐκεῖνο μεταστοιχειώσας τῶν φαινομένων τὴν φύσιν.

θ'. Καὶ τὴν μὲν πάλαι νομικὴν λατρείαν ἅπασαν καταπαύσας, ὡς ἀτελέσι καὶ νηπίοις προσήκουσαν, τὴν δὲ καινὴν θυσίαν καὶ καθαρὰν καὶ ἀναίμακτον παραδοὺς, ἣν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δύσεως αὐτῷ προσφέρεσθαι προεθέσπισε διὰ τοῦ προφήτου πάλαι· « Καὶ ἱερεὺς ἐντεῦθεν εἰς τὸν αἰῶνα, » καθά φησιν ὁ θεῖος Δαυὶδ, χρηματίσας. οὐ κατὰ τὴν τάξιν Ἀαρὼν τὰς ἐν νόμῳ θυσίας προσφέροντος, ἀλλὰ κατὰ τὴν τάξιν Μελχισεδὲκ, ἄρτῳ καὶ οἴνῳ δεξιωσαμένου τὸν Ἀβραὰμ, ἐκ τῆς τῶν ἀλλοφύλων κοπῆς ὑποστρέφοντα· ἐκεῖνός τε γὰρ ὁ ἱερεὺς τοῦ κυρίως ἀρχιερέως Χριστοῦ τύπον ἔφερε καὶ εἰκόνισμα· κἀκείνη ἡ τράπεζα τὴν μυστικὴν προεμήνυε ταύτην· ὡς γὰρ ἐκεῖνος τῷ τότε δι' ἄρτου καὶ οἴνου τὸν Ἀβραὰμ εὐλόγησεν, οὕτως ὕστερον ὁ δεσπότης Χριστὸς μέλλων ἑαυτὸν ὑπὲρ πάντων, ὥσπερ ἄμωμον ἱερεῖον τῷ Θεῷ καὶ πατρὶ προσενηνοχέναι, λαβὼν ἄρτον, καὶ ποτήριον κεράσας, ἐδίδου τοῖς μαθηταῖς, καὶ ἔλεγε· « Τοῦτό ἐστι τὸ σῶμά μου, » καὶ « Τοῦτό ἐστι τὸ αἷμά μου. » Καὶ διὰ παντὸς ἐξ ἐκείνου ἱερατεύων, ὁ αὐτός ἐστι προσφέρων τε καὶ προσφερόμενος, καὶ προσδεχόμενος καὶ διαδιδόμενος, ᾗ φησιν ὁ σοφὸς Βασίλειος (1)· ᾧ συνῳδὰ φθεγγόμενος ὁ Χρυσορρήμων, λέγει ὅτι οὔτε ἄγγελος, οὔτε ἀρχάγγελος ἐργάσασθαί τι δύναται εἰς τὰ δεδομένα παρὰ Θεοῦ, ἀλλὰ Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα

[7] Malach. I, 11. [8] Psal. CIX, 4.

(1) De hoc S. Basilii dicto synodum Constantinopolitanam nos edidimus (*Spicil. Rom.*, t. X) [*Patrologiæ* tom. CXL] sub Manuele imp. celebratam adversus Soterichum, contrariæ sententiæ auctorem.

πάντα οἰκονομεῖ· ὁ δὲ ἱερεὺς τὴν ἑαυτοῦ δανείζει γλῶσσαν, καὶ τὴν ἑαυτοῦ παρέχει χεῖρα (2).

ι'. Περὶ ταύτης τῆς μυστικῆς καὶ φρικτῆς θυσίας προλέγων καὶ αὖθις ὁ μελῳδὸς, εἴρηκεν οὕτως ἐκ προσώπου Χριστοῦ πρὸς τὸν Θεὸν καὶ Πατέρα· « Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, » ἀντὶ τοῦ ἀπεδοκίμασας τὴν νομικὴν θυσίαν καὶ τὴν ἐκεῖθεν προσφοράν, ἐνστάντος δηλονότι τοῦ τῆς ἐνανθρωπήσεως χρόνου· « σῶμα δὲ κατηρτίσω μοι, » τουτέστι σῶμά μοι κατεσκεύασας ἐκ παρθενικῶν αἱμάτων εἰς τὸ θυσιασθῆναι τοῦτο τῆς τῶν ἀνθρώπων ἕνεκα σωτηρίας· « ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐξεζήτησας· » ἔτι σαρκωθέντος ἐμοῦ τοῦ λογικοῦ θύματος καὶ ἀληθινοῦ· τοῦ τὴν ἁμαρτίαν αἴροντος τοῦ κόσμου, οὐδὲν θῦμα νομικὸν ἐζήτησας. « Τότε εἶπον, Ἰδοὺ ἥκω· » τουτέστιν ὅτε τὰ νομικὰ θύματα ἀπηυδόκησας, τότε εἶπον αὐτὸς, ὅτι ὡς ὁρᾷς ἡτοίμασμαι· καὶ, « Πάτερ, ἤγγικεν ἡ ὥρα, δόξασόν σου τὸν Υἱὸν, » διὰ τοῦ σταυροῦ πάντως, ὡς εὐδόκησας τὸν ὑπὲρ τῆς πάντων σωτηρίας ἡμέτερον θάνατον. Τοῦτον τὸν οὐράνιον ἄρτον καὶ ζωηρὸν προεικόνιζον οἱ τῆς προθέσεως ἄρτοι τὸ παλαιόν· τοῦτον ὁ Ἡσαΐας ἐν τύπῳ θεασάμενος ἄνθρακος, δι' αὐτοῦ τὴν τῶν ἁμαρτιῶν ἔλαβε κάθαρσιν· ὥσπερ γὰρ ἄνθραξ οὐκ ἔστι ξύλον λιτὸν, ἀλλ' ἡνωμένον πυρὶ, οὕτω καὶ ὁ θεῖος ἄρτος τῆς κοινωνίας, ἄρτος ψιλὸς οὐκ ἔστιν ἀλλ' ἡνωμένος θεότητι· σῶμα δὲ ἡνωμένον θεότητι οὐ μία φύσις ἐστὶν, ἀλλὰ μία μὲν τοῦ σώματος, τῆς δὲ ἡνωμένης αὐτῷ θεότητος ἑτέρα· ὥστε τὸ συναμφότερον οὐ μία φύσις, ἀλλὰ δύο· διὰ τοῦτο καὶ τὸ μυστικὸν αἷμα ταύτης τῆς καινῆς καὶ μεγάλης θυσίας ἐλαύνει μὲν δαίμονας καὶ πόρρωθεν εἶναι ποιεῖ, καλεῖ δὲ ἀγγέλους πρὸς ἡμᾶς καὶ τὸν δεσπότην τῶν ἀγγέλων· ὅπου γὰρ ἴδωσι τὸ αἷμα τὸ δεσποτικὸν, φεύγουσι μὲν δαίμονες, συντρέχουσι δὲ ἄγγελοι.

ια'. Καὶ ἵνα μάθωμεν τοῦ αἵματος τούτου τὴν ἰσχὺν ἀναδράμωμεν ἐπὶ τὸν τύπον αὐτοῦ, ἐπὶ τὰ παλαιὰ διηγήματα τὰ ἐν Αἰγύπτῳ· τὴν δεκάτην γὰρ μέλλων πληγὴν ἐπάγειν ὁ Θεὸς τοῖς Αἰγυπτίοις, καὶ ἀνελεῖν τὰ πρωτότοκα αὐτῶν, ἐπειδὴ τὸν πρωτότοκον αὐτοῦ κατεῖχον λαὸν, ἔπεμψεν ἄγγελον ὀλοθρευτὴν ἐπιόντα ταῖς οἰκίαις· προσέταξε δὲ τοῖς Ἑβραίοις ἀμνὸν ἀμωμονθῦσαι, καὶ τὸ αἷμα αὐτοῦ ταῖς θύραις ἐπιχρίσαι, ὥστε μὴ τῆς συμφορᾶς ταύτης αὐτοὺς κοινωνῆσαι τοῖς Αἰγυπτίοις, ἐπειδήπερ εἰς τόπος αὐτοὺς κατεῖχεν· οὗ δὴ καὶ γενομένου, τὸ αἷμα τότε ταῖς θύραις ἐπικεχρισμένον ὁ ὀλοθρεύων ὁρῶν, οὐκ ἐτόλμησεν εἰσπηδῆσαι· εἰ γὰρ καὶ αἷμα ἦν ἀλόγου ζώου τὸ τοὺς λογικοὺς σῶζον ἀνθρώπους τότε, ἀλλ' οὐχ ὡς αἷμα ἁπλῶς ἔσωζεν, ἀλλ' ὡς τοῦ αἵματος τοῦ δεσποτικοῦ τύπος ὄν· καθάπερ γὰρ οἱ βασιλικοὶ ἀνδριάντες ἄψυχοι ὄντες καὶ ἀναίσθητοι τοὺς καταφεύγοντας εἰς αὐτοὺς ἀνθρώπους αἰσθητικοὺς καὶ ἐμψύχους ὄντας διασώζουσι, τοῦτο παλαιοῦ κελεύοντος νόμου, οὐκ ἐπειδὴ χαλκός εἰσιν, ἀλλ' ἐπειδὴ τοῦ βασιλέως εἰσὶν εἰκό-

A de linguam commodat, manusque propriæ ministerium præbet.

10. De hoc mystico tremendoque sacrificio vaticinans rursus melodus, sic aiebat ex Christi persona ad Deum Patrem: « Sacrificium et oblationem noluisti[9]; » id est legale sacrificium et indidem oblationem; quia jam instabat incarnationis tempus; « corpus autem perfecisti mihi; » id est corpus mihi composuisti ex virgineis sanguinibus, ut id postea immolaretur, salutis hominum causa. « Holocausta et pro peccato non postulasti. » Me jam incarnato instar rationalis veræque victimæ, et mundi peccatum tollente, nullum legale sacrificium exquisivisti. « Tunc dixi: Ecce venio. » Nimirum cum legalia sacrificia respuisti, tunc ego B dixi: ecce ut vides paratus sum. Item: « Pater, appropinquavit hora, glorifica Filium tuum[10], » prorsus per crucem, quandoquidem tibi placuit nostra pro omnium salute mors. Panem hunc cœlestem præfigurabant propositionis panes antiquitus. Hunc Isaias in carbonis figura conspexit, perque eum peccatorum purgationem accepit. Sicut enim qui conspicitur carbo non est simplex lignum, sed igni unitum, ita divinus communionis panis non est proprie panis, sed deitati conjungitur: corpus autem deitati conjunctum, haud unica natura est, sed una quidem corporis natura est, conjuncta autem cum eo deitatis altera. Quare utrumque haud una natura est, sed duæ. Ideo mysticus sanguis novi hujus magnique C sacrificii expellit dæmones longeque submovet, angelos angelorumque Dominum ad nos vocat: ubi enim Dominicum sanguinem viderint, fugiunt quidem dæmones, angeli autem accurrunt.

11. Atque ut hujus sanguinis discamus potentiam, recurramus ad ejus figuram, id est ad priscas gestarum rerum in Ægypto narrationes. Nam cum decimam Deus plagam inflicturus esset Ægyptiis, et illorum primogenitos interfecturus, propterea quod primogenitum ejus detinebant populum, misit angelum exterminatorem qui domos invaderet. Mandavit simul Hebræis ut immaculatum agnum immolarent, ejusque sanguine januas inungerent, ne eamdem calamitatem participarent cum Ægyptiis, qui secum uno loco morabantur. Quo sane facto, sanguinem januis inspersum videns exterminator, haud ausus est illuc ingredi. Etsi enim sanguis erat brutæ pecudis, is qui tunc rationales homines salvabat, non tamen quatenus sanguis erat, sed quatenus Dominici sanguinis figura erat, salvabat. Nimirum sicut regales statuæ, cum sint insensiles et inanimes, nihilominus confugientes ad eas homines sensu animaque præditos salvant, sic prisca jubente lege, non quia æs sunt

[9] Psal. xxxix, 7, Hebr. x, 5. [10] Joan. xvii, 1.

(2) Confer Chrysostomum, t. II, de proditione Judæ homil. i, 6 et ii, 6.

sed quia regis sunt imagines; sic et ille sanguis A insensilis et inanimis animatos salvavit homines, non quia sanguis erat, sed quia Dominici sanguinis figura. Jam si illius figura tantam vim habuit, multo majorem veritas. Si angelus visum figuræ sanguinem reveritus est, multo magis diabolus, veritatis, id est Christi sanguinem videns, non januis inspersum, sed ori fidelium, januis, inquam, animati templi Dei, fugiet longeque se subducet.

12. Hic novi sacrificii sanguis effusus universum mundum abluit. Sanguis hic in figura, adyta et Sancta sanctorum purificabat: sanguis hic in figura altare aureum sanctificabat: absque hoc in legalibus figurato sacrificiis non audebat pontifex B in adyta ingredi: sanguis hic in figura sacerdotes ordinabat: hic in figura peccata purgabat. Quod si is in figura talem tantamque vim habuit tum in templo Hebræorum, tum etiam in media Ægypto postibus inspersus, multo magis postquam veritas venit, umbra præterlapsa. Si umbram tantopere mors exhorruit, veritatem, oro, quid ni extimescat? Hic est animarum nostrarum salus: hoc delectatur anima, hoc ornatur, hoc inflammatur: hic igne splendidiorem mentem nostram reddit: hic auro fulgidiorem nostram animam facit: sanguis hic imaginem nobis floridam operatur et regalem: hic pulchritudo inæstimabilis est: hic flaccescere animæ nobilitatem non sinit, irrigans eam continuo et enutriens. Nam sanguis ille qui a cibis no- C bis creatur, haud illico efficitur, sed aliud quiddam antea fit. Non ita tamen hic, sed animam statim irrigat, et magnam quamdam vim inserit. Sanguis hic vix effusus cœlum gradibile fecit. Tremenda vere sunt Ecclesiæ Christi mysteria! tremendum vere altare est!

13. Ascendebat de paradiso fons, materialia flumina eructans: ex hac sacra mensa fons salit, spiritalia flumina emittens. Circa divinum hunc fontem haud salices infructuosæ plantatæ sunt, sed arbores ad usque cœlum sese attollentes, tempestivum fructum habentes semper et incorruptibilem. Si quis æstuat, ad hunc fontem veniat, et calorem D refrigeret: levat enim æstuationes, et ardores omnes temperat, non eos qui a sole, sed qui a diaboli telis igneis: namque originem desursum habet, et inde radicem, unde et irrigatur. Multique sunt hujus fontis rivuli, quos emittit Paracletus: et mediator Filius est, haud ligonem tenens viamque muniens, sed affectum nostrum suscitans. Hic est honoratissimus fons, lucis, inquam, fons, veritatis radios ejaculans. Venerabilem hunc fontem supernæ quoque virtutes circumsistunt, pulchritudinem fluentorum ejus mirantes. Non et clarius quam nos vident illæ propositorum

νες, οὕτω δὴ καὶ τὸ αἷμα ἐκεῖνο τὸ ἀναίσθητον καὶ ἄψυχον τοὺς ψυχὴν ἔχοντας ἀνθρώπους ἔσωσεν, οὐκ ἐπειδὴ αἷμα ἦν, ἀλλ' ἐπειδὴ τοῦ αἵματος τοῦ δεσποτικοῦ τύπος ἦν. Εἰ δὲ ὁ τύπος αὐτοῦ τοσαύτην ἔσχεν ἰσχύν, πολλῷ μᾶλλον ἡ ἀλήθεια (1)· εἰ ὁ ἄγγελος ἰδὼν τὸ αἷμα τοῦ τύπου ἠδέσθη, πολλῷ μᾶλλον ὁ διάβολος ἰδὼν τὸ αἷμα τῆς ἀληθείας τὸ τοῦ Χριστοῦ, οὐχὶ θύραις ἐπικεχρισμένον, ἀλλὰ τῷ στόματι τῶν πιστῶν, ταῖς θύραις λέγω τοῦ ἐμψύχου ναοῦ τοῦ Θεοῦ, φεύξεται καὶ μακράν που γενήσεται.

ιβ'. Τοῦτο τὸ τῆς καινῆς θυσίας αἷμα ἐκχυθὲν πᾶσαν τὴν οἰκουμένην ἐξέπλυνε· τοῦτο τὸ αἷμα ἐν τοῖς τύποις τὰ ἄδυτα καὶ τὰ Ἅγια τῶν ἁγίων ἐκάθηρε· τοῦτο τὸ αἷμα ἐν τοῖς τύποις τὸ χρυσοῦν θυσιαστήριον ἡγίασε· τούτου χωρὶς ἐν ταῖς νομικαῖς τυπουμένου θυσίαις οὐκ ἐτόλμα ὁ ἀρχιερεὺς εἰς τὰ ἄδυτα εἰσιέναι· τοῦτο τὸ αἷμα ἐν τοῖς τύποις ἱερέας ἐχειροτόνει· τοῦτο ἐκάθηρεν ἁμαρτίας ἐν τοῖς τύποις. Εἰ δὲ ἐν τοῖς τύποις τοσαύτην ἔσχεν ἰσχὺν ἔν τε τῷ ναῷ τῶν Ἑβραίων, ἔν τε Αἰγύπτῳ μέσῃ ὅτε αἱ φλιαὶ ἐχρίοντο, πολλῷ μᾶλλον ὅτε ἦλθεν ἡ ἀλήθεια, τῆς σκιᾶς παραδραμούσης; Εἰ τὴν σκιὰν οὕτως ὁ θάνατος ἔφριξε, τὴν ἀλήθειαν αὐτὴν, εἰπέ μοι, πῶς οὐκ ἂν ἐφοβήθη; Τοῦτο ἡ σωτηρία τῶν ἡμετέρων ψυχῶν· τούτῳ ἥδεται ἡ ψυχή· τούτῳ καλλωπίζεται, τούτῳ πυροῦται· τοῦτο πυρὸς λαμπρότερον ἐργάζεται τὸν νοῦν τὸν ἡμέτερον· τοῦτο χρυσίου φαιδροτέραν τὴν ψυχὴν ποιεῖ· τοῦτο τὸ αἷμα τὴν εἰκόνα ἡμῖν ἀνθηρὰν ἐργάζεται τὴν βασιλικήν· τοῦτο κάλλος ἀμήχανον· τοῦτο ἀπομαρανθῆναι τῆς ψυχῆς τὴν εὐγένειαν οὐκ ἀφίησιν, ἄρδον αὐτὴν συνεχῶς καὶ τρέφον· τὸ μὲν γὰρ ἀπὸ τῶν σιτίων ἡμῖν αἷμα γινόμενον, οὐκ εὐθέως τοῦτο γίνεται, ἀλλ' ἕτερόν τι· τοῦτο δὲ οὐχ οὕτως, ἀλλ' εὐθέως τὴν ψυχὴν ἄρδει, καὶ μεγάλην τινὰ δύναμιν ἐμποιεῖ. Τοῦτο ἐξεχύθη τὸ αἷμα, καὶ τὸν οὐρανὸν ἐποίησε βατόν. Φρικτὰ ὄντως τὰ μυστήρια τῆς Ἐκκλησίας Χριστοῦ· φρικτὸν ὄντως τὸ θυσιαστήριον.

ιγ'. Ἀνέβαινεν ἐκ τοῦ παραδείσου πηγὴ ποταμοὺς αἰσθητοὺς ἀφιεῖσα· ἀπὸ τῆς ἱερᾶς ταύτης τραπέζης ἄνεισι πηγὴ ποταμοὺς ἀφιεῖσα πνευματικούς· παρὰ ταύτην τὴν θείαν πηγὴν πεφυτευμέναι εἰσὶν οὐκ ἰτέαι ἄκαρποι, ἀλλὰ δένδρα πρὸς αὐτὸν φθάνοντα τὸν οὐρανὸν, καρπὸν ἔχοντα ὥριμον ἀεὶ καὶ ἀμάραντον. Εἴ τις καυσοῦται, παρὰ ταύτην ἡκέτω τὴν πηγὴν, καὶ καταψυχέτω τὸν καύσονα· καὶ γὰρ αἰχμοὺς λύει, καὶ τὰ διακαῆ πάντα παραμυθεῖται, οὐ τὰ ἐξ ἡλίου, ἀλλὰ τὰ ἀπὸ τῶν τοῦ διαβόλου βελῶν τῶν πεπυρωμένων· καὶ γὰρ τὴν ἀρχὴν ἄνωθεν ἔχει, καὶ τὴν ῥίζαν ἐκεῖθεν, ὅθεν καὶ ἄρδεται. Πολλοὶ ταύτης τῆς πηγῆς οἱ ῥύακες, οὓς ἀφίησιν ὁ Παράκλητος· καὶ μεσίτης ὁ Υἱὸς γίνεται, οὐ δίκελλαν ἔχων ὁδοποιῶν, ἀλλὰ τὴν διάθεσιν ἀνοίγων τὴν παρ' ἡμῖν. Αὕτη ἡ πάντιμος πηγὴ φωτός; ἐστι πηγὴ, ἀναβλύζουσα τῆς ἀληθείας ἀκτῖνας. Ταύτῃ τῇ σεβασμίᾳ πηγῇ καὶ αἱ ἄνω παρεστήκασι δυνάμεις, πρὸς τὸ κάλλος ἐνορῶσαι τῶν ῥείθρων· ἐπειδὴ καὶ σαφέστε-

(1) Confer Chrysostomum, t. VII, homil. LXXVIII, 1, in Matth.

ρον ἡμῶν ἐκεῖναι τῶν προκειμένων θεωροῦσι τὴν δύναμιν, καὶ τὰς μαρμαρυγὰς τὰς ἀπροσίτους· ὥ περ γὰρ χρυσοῦ τηκομένου, ἄν τε τὴν χεῖρά τις ἐμβάλοι, ἄν τε τὴν γλῶτταν, χρυσῆν εὐθέως αὐτὴν ἐποίησεν· οὕτω δὴ καὶ ἐνταῦθα τὴν ψυχὴν ἐργάζεται τὰ προκείμενα· ἀναζεῖ μὲν γὰρ πυρὸς σφοδρότερον ὁ πανάγιος οὗτος ποταμὸς, ἀλλ' οὐ καίει, ἀλλὰ βαπτίζει μόνον ὅπερ ἂν λάβῃ. Τοῦτο τὸ ἱερώτατον αἷμα ἄνωθεν προετυποῦτο ἀεὶ ἐν θυσιαστηρίοις, ἐν δικαίων σφαγαῖς· τοῦτο ἡ τιμὴ τῆς οἰκουμένης· τούτῳ ἠγόρασε τὴν Ἐκκλησίαν ὁ Χριστός· τούτῳ κατεκόσμησεν αὐτὴν ἅπασιν· καθάπερ γὰρ ἄνθρωπος οἰκέτας ὠνούμενος, δίδωσι χρυσίον, καὶ καλλωπίσαι πάλιν αὐτοὺς βουλόμενος, χρυσῷ τοῦτο ποιεῖ· οὕτω καὶ ὁ Χριστὸς ἠγόρασεν ἡμᾶς αἵματι τῷ οἰκείῳ, καὶ ἐκόσμησεν ἡμᾶς τούτῳ τῷ αἵματι.

ιδ'. Προσίωμεν τοίνυν τῇ μυστικῇ ταύτῃ τραπέζῃ μετὰ παντὸς φόβου, καὶ συνειδήσεως καθαρᾶς, καὶ ἀδιστάκτου πίστεως, καὶ πάντα ἔσται ἡμῖν καθὰ πιστεύομεν μὴ διστάζοντες. Τὸ δὲ προσελθεῖν μετὰ πίστεως οὐ τὸ λαβεῖν ἐστι μόνον τὸ προκείμενον, ἀλλὰ καὶ τὸ μετὰ καθαρᾶς καρδίας ἅψασθαι· τὸ οὕτω διακεῖσθαι, ὡς αὐτῷ προσιόντας τῷ Χριστῷ· τί γάρ, εἰ μὴ φωνῆς ἀκούομεν, φθεγγομένου αὐτοῦ διὰ τῶν εὐαγγελιστῶν; Πιστεύωμεν οὖν ὅτι καὶ νῦν ἐκεῖνο τὸ δεῖπνόν ἐστιν, ἐν ᾧ καὶ αὐτὸς ἀνέκειτο· οὐδὲν γὰρ ἐκεῖνο τούτου διενήνοχεν· οὐδὲ γὰρ τοῦτο μὲν ἄνθρωπος ἐργάζεται, ἐκεῖνο δὲ αὐτὸς ὁ Χριστὸς, ἀλλὰ καὶ τοῦτο κἀκεῖνο ὁ αὐτός. Ὅταν τοίνυν τὸν ἱερέα ἐπιδιδόντα ἡμῖν ἴδωμεν, μὴ τὸν ἱερέα νομίζωμεν, τὸν τοῦτο ποιοῦντα, ἀλλὰ τὴν Χριστοῦ χεῖρα τὴν ἐκτεινομένην· ὥσπερ γὰρ ὅταν βαπτίζηταί τις, οὐχ ὁ ἱερεὺς ἀλλ' ὁ Θεός ἐστιν ὁ κατέχων τούτου τὴν κεφαλὴν ἀοράτῳ δυνάμει, καὶ οὔτε ἄγγελος οὔτε ἀρχάγγελος οὔτε ἄλλος τις τολμᾷ προσελθεῖν καὶ ἅψασθαι· οὕτω καὶ νῦν γίνεται. Καὶ δῆλον ἐντεῦθεν· ὡς γὰρ ἐν τῷ βαπτίσματι οὐ λέγει ὁ ἱερεύς, Βαπτίζω τὸν δεῖνα, ἀλλὰ Βαπτίζεται (1), πάντως παρὰ τῆς ἀδιαιρέτου καὶ ὁμοουσίου Τριάδος· τὸν αὐτὸν δὲ τρόπον κἀνταῦθα οὐ λέγει, Θύω ἐγὼ τὸν ἀμνὸν τοῦ Θεοῦ, ἀλλὰ Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ, αὐτὸς οὗτος δηλαδὴ ἑαυτὸν ἱερουργῶν εὐδοκίᾳ Πατρὸς, καὶ συνεργίᾳ τοῦ ἁγίου Πνεύματος· καὶ θύτης ὢν ὁ αὐτὸς, καὶ θῦμα, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος.

ιε'. Διὰ τοῦτο ὡς τῷ Χριστῷ τῷ ἱερεῖ προσερχόμενοι, τιμήσωμεν πάσῃ καθαρότητι τοῦ Κυρίου τὸ σῶμα, ψυχικῇ τε καὶ σωματικῇ· διπλοῦν γάρ ἐστι· προσέλθωμεν αὐτῷ πόθῳ διακαεῖ, καὶ σταυροειδῶς τὰς παλάμας τυπώσαντες, τὸ σῶμα τοῦ ἐσταυρωμένου ὑποδεξώμεθα· καὶ ἐπιθέντες ὀφθαλμοῖς καὶ χείλῃ καὶ μέτωπα, τοῦ θείου ἄνθρακος μεταλάβωμεν, ὅπως καταφλέξῃ τὰς ἁμαρτίας ἡμῶν, καὶ φωτίσῃ τὰς καρδίας ἡμῶν, καὶ τῇ μετουσίᾳ τοῦ θείου πυρὸς πυρωθῶμεν· οἱ γὰρ τούτου μετέχοντες μετὰ ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν ἄνω δυνάμεων ἐστήκασιν, αὐτὴν περικείμενοι τοῦ Χριστοῦ τὴν

munerum vim eorumque splendores inaccessos. Sicut enim auro liquefacto si quis manum aut linguam injiciat, auream illico facit; ita prorsus hic etiam proposita mysteria animam efficiunt. Fervet enim igne vehementius sanctissimum flumen hoc; at non exurit, sed lavat tantummodo quidquid corripuerit. Hic sacratissimus sanguis antiquitus semper præfigurabatur in altaribus, in justorum cædibus. Hic sanguis pretium mundi est; hoc Ecclesiam Christus comparavit; hoc illam totam exornavit. Sicut enim homo servos emens, aurum erogat; rursusque eos exornare volens, auro id curat; sic et Christus emit nos sanguine proprio, eodemque hoc sanguine nos venustavit.

14. Ad hanc itaque mysticam mensam accedamus cum omni timore, et conscientia pura, et indubia fide, atque omnia nobis erunt prout sine ambiguitate credimus. Cum autem dico accedendum cum fide, non accipienda tantummodo esse munera dico, sed eadem puro cum corde tangenda: prorsus haud secus affectos nos esse volo, quam si ad Christum ipsum veniremus. Quid enim interest, quod vocem ejus minime audiamus, siquidem per evangelistas loquitur? Credamus igitur nunc quoque illud idem esse convivium, ad quod ipse accumbebat: nihil enim hodiernum ab illo differt: neque hoc nostrum homo instruit, illud vero Christus, sed et hoc et illud idem Christus. Cum ergo sacerdotem nobis porrigentem viderimus, ne reputemus sacerdotem id agere, sed ipsam Christi manum extensam. Sicut enim cum aliquis baptizatur, nequaquam sacerdos sed Deus illius caput tenet vi invisibili, et neque angelus neque archangelus neque alius quilibet accedere audet et tangere; sic etiam nunc fit. Quod inde ostenditur, quod sicut in baptismo non dicit sacerdos: Ego talem hominem baptizo, sed, Talis baptizatur, prorsus ab individua et consubstantiali Trinitate; eodem modo hic etiam non dicit: Ego Agnum Dei immolo, sed Agnus Dei immolatur, hic ipse videlicet qui semet immolat volente Patre et sancto Spiritu cooperante: idem sacerdos et victima, idem excipiens et offerens.

15. Quapropter ad sacerdotem qui Christus accedentes, honoremus cum omni mundicia Domini corpus, spirituali, inquam, et corporali; duplex quippe [Domini natura] est. Cum fervido amore accedamus, manibusque in crucis formam complicatis, illud suscipiamus, et oculis, ac labiis, frontique applicantes divinum carbunculum accipiamus, ut peccata nostra exurat, corda illuminet, atque ut divini ignis participatione inflammemur ac deificemur. Nam qui hunc participant, cum angelis et archangelis superisque virtutibus consistunt, eadem Christi regali stola vestiti, et spi-

(1) Hæc est nimirum baptizandi formula apud Græcos: *Baptizatur N.*; non autem: *Ego te baptizo.*

ritalibus armis instructi. Sed nihil adhuc dixi : A ipso, inquam, rege induti. Sed sicuti eximium est et mirabile divinum hoc corpus, ita siquidem cum puritate quis accedet, in salutem suam accedet. Sin vero cum mala conscientia, in pœnam ac punitionem. « Qui enim manducat et bibit indigne, » Dominum scilicet, ait in Epistola ad Corinthios Apostolus, « judicium sibi manducat et bibit [11]. » Nam si qui regalem purpuram inquinant puniuntur, æque ac si dilacerarent ; non est absurdum eos qui mente impura Domini corpus et sanguinem suscipiunt, parem referre pœnam, atque ii qui ipsum clavis laceraverunt. Non est autem in culpa mysteriorum natura ; sunt enim hæc suapte vivifica ; sed istorum indignitas : nam et sol iis qui infirmos oculos habent, nocet. Et alio loco ut terribilem esse punitionem demonstret, ait : « Irritam quis faciens legem Moysis, sine ulla miseratione duobus vel tribus testibus moritur : quanto magis putatis deteriora mereri supplicia qui Filium Dei conculcaverit, et sanguinem Testamenti pollutum duxerit, in quo sanctificatus est [12] ? »

βασιλικὴν στολὴν (2), τὰ ὅπλα ἔχοντες τὰ πνευματικά. Ἀλλ' οὐδὲν εἶπον οὐδέπω· αὐτὸν γάρ εἰσι ἐνδεδυμένοι τὸν βασιλέα. Ἀλλ' ὥσπερ ἐστὶν μέγα καὶ θαυμαστὸν τοῦτο τὸ θεῖον σῶμά τε καὶ τὸ αἷμα, οὕτως ἂν μὲν μετὰ καθαρότητος προσέλθῃ τις, εἰς σωτηρίαν προσῆλθεν· ἂν δὲ μετὰ πονηροῦ συνειδότος, εἰς κόλασιν καὶ τιμωρίαν· « Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως τοῦ Κυρίου κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, » φησὶν ὁ Ἀπόστολος ἐπιστέλλων τοῖς Κορινθίοις· εἰ γὰρ οἱ ῥυπῶντες τὴν πορφύραν τὴν βασιλικὴν κολάζονται ὁμοίως ὥσπερ οἱ διαῤῥήγνυντες, οὐδὲν ἀπεικὸς καὶ τοὺς ἀκαθάρτῳ διανοίᾳ δεχομένους τὸ τοῦ Κυρίου σῶμα καὶ τὸ αἷμα τὴν αὐτὴν ὑπομεῖναι τιμωρίαν τοῖς αὐτὸ διαῤῥήξασι διὰ τῶν ἥλων· οὐ παρὰ τὴν φύσιν τῶν μυστηρίων, ταῦτα γὰρ ζωηρά, ἀλλὰ διὰ τὴν τούτων ἀναξιότητα· ἐπεὶ καὶ ὁ ἥλιος βλαβερὸς τοῖς τὰς ὄψεις διεφθαρμένοις. Καὶ ἀλλαχοῦ δὲ, δεικνὺς φοβερὰν ὁ Παῦλος τὴν κόλασιν, λέγει· « Ἀθετήσας τις νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη ; »

B

16. Attendamus itaque nobis, dilecti, qui tali tantoque bono fruimur : et cum volumus obscenum aliquid dicere, aut nosmet ira abreptos cognoscimus, aut alia quadam hujusmodi perturbatione, reputemus qualibus donis digni habiti fuerimus, quanto Spiritu frui contigerit : atque hæc cogitatio absurdis nostris commotionibus frenum injiciat. Nam divinus carbunculus, quem nuper participavimus, quarumlibet sordium mundator est, et adversus culcuimodi damnum tutela. Hic si forte aurum spurium deprehendat, critica inflammatione purificat, a morbis scilicet et omnimodis excessibus ; ne una cum mundo damnetur futuro sæculo : atque ita purgatos unit corpori Domini et Spiritui ejus, Christique corpus efficit. Propterea nos quoque vitæ cupidi, et immortalitatis datorem divinum panem intra nos habere postulantes, neque indigne accedamus ad tremenda mysteria, ne punitioni, uti dictum est, obnoxii simus ; neque vicissim, prout solent negligentiores quidam, nosmet omnino fraudemus hac Christi benedictione ; nolendo scilicet Christum mystice participare, reverentiam obtendentes vere nocuam, quam callidus veterator diabolus adinvenit. Namque hic ad dolos versutus, honeste nos vivere haud sinit, quia hominum pernicie lætatur : sed postquam peccatis nos infecit, suadet ut extimescamus divinorum munerum susceptionem ; ut sic peccato semper servientes, nunquam resipiscamus, neque animæ nostræ utilitates agnoscamus.

ις'. Προσέχωμεν τοίνυν ἑαυτοῖς, ἀγαπητοὶ, τοιούτων ἀπολαύοντες ἀγαθῶν· καὶ ὅταν βουληθῶμεν αἰσχρόν τι εἰπεῖν, ἢ συναρπαζομένους ἑαυτοὺς ὠμεν ὑπὸ ὀργῆς ἢ ἑτέρου τινὸς τοιούτου πάθους, λογισώμεθα τίνων κατηξιώθημεν, ὅσου πνεύματος ἀπελαύσαμεν, καὶ ἔστω σωφρονισμὸς ἡμῖν τῶν ἀλόγων παθῶν οὗτος ὁ λογισμός· ὁ γὰρ θεῖος ἄνθραξ, οὗπερ ἤδη μετέσχομεν, ῥύπου παντός ἐστι καθαρτήριος, καὶ βλάβης παντοδαπῆς ἀμυντήριον. Οὗτος ἐὰν χρυσὸν λάβῃ κίβδηλον, διὰ τῆς κριτικῆς καθαίρει πυρώσεως, ἤτοι νόσων καὶ παντοίων ἐπιφορῶν, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν ἐν τῷ μέλλοντι αἰῶνι· καὶ καθαίρων ἑνοῖ τῷ σώματι τοῦ Κυρίου καὶ τῷ πνεύματι αὐτοῦ, καὶ σῶμα Χριστοῦ ἀπεργάζεται· διὰ δὴ τοῦτο, καὶ ἡμεῖς ἔχοντες ἐπιθυμητικῶς τῆς ζωῆς, καὶ τὸν τῆς ἀθανασίας χορηγὸν θεῖον ἄρτον ἐν ἑαυτοῖς ἔχειν εὐχόμενοι, μήτε ἀναξίως προσερχώμεθα τοῖς φρικτοῖς μυστηρίοις, ἵνα μὴ κολάσεως ὑπεύθυνοι γενώμεθα, καθάπερ ἐῤῥήθη· μήτε πάλιν κατά τινας τῶν ἀμελεστέρων ἑαυτοὺς παντελῶς ἀποστερῶμεν τῆς διὰ Χριστοῦ εὐλογίας, ἐν τῷ μὴ βούλεσθαι τοῦτου μυστικῶς μετέχειν, εὐλάβειαν πλαττόμενοι τὴν ὡς ἀληθῶς ἐπιζήμιον, ἣν ὁ βαθὺς εἰς πανουργίαν ἐξεῦρε διάβολος· οὗτος καὶ γὰρ ποικίλος ὢν εἰς ἀπάτην, σωφρονεῖν μὲν ἡμᾶς οὐδ' ὅλως ἐᾷ, τῇ τῶν ἀνθρώπων χαίρων ἀπωλείᾳ· καταμολύνας δὲ τοῖς κακοῖς, φρίττειν ἀναπείθει τὴν τῶν θείων δώρων μετάληψιν, ἵνα διαπαντὸς τῇ ἁμαρτίᾳ δουλεύοντες· ἡμεῖς οὐδαμῶς ἀνανήψωμεν, καὶ γνῶμεν τὸ τῇ ψυχῇ συμφέρον (1).

C

D

[11] I Cor. xi, 29. [12] Hebr. x, 28.

(1) Respicit fortasse auctor ad propriam participantium Eucharistiam stolam, crucibus interstinctam.

(2) Audiant hæc ab homine Græco, illi qui frequentem communionem improbant ; generalem quamdam, non peculiarem, causantes indignitatem, aut simulatam propensionem revere[illegible]

ιζ'. Ἀλλὰ διαῤῥήξωμεν, παρακαλῶ, τὸν ἐκείνου δεσμὸν, καὶ ἀπορῥίψαντες ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτοῦ, δουλεύσωμεν τῷ Κυρίῳ ἐν φόβῳ, καθὰ γέγραπται, καὶ τῶν τῆς σαρκὸς ἡδονῶν ἀμείνους δι' ἐγκρατείας γενόμενοι, προσίωμεν τῇ θείᾳ καὶ οὐρανίῳ χάριτι, καὶ εἰς ἁγίαν κοινωνίαν ἀναβάντες Χριστοῦ, καθάπερ λέοντες πῦρ πνέοντες, οὕτως ἀπὸ τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης ἀναχωρῶμεν ἐκείνης, φοβεροὶ τῷ διαβόλῳ γινόμενοι, καὶ τὴν κεφαλὴν τὴν ἡμετέραν ἐννοοῦντες, καὶ τὴν ἀγάπην ἣν περὶ ἡμᾶς ἐπεδείξατο· οὕτω γὰρ οὕτω καὶ ἀπάτης περιεσόμεθα διαβολικῆς, θείας τε φύσεως γενησόμεθα κοινωνοὶ, καὶ πρὸς ζωὴν καὶ ἀφθαρσίαν ἀναβησόμεθα· κατακοιμίζει γὰρ ἐν ἡμῖν ὁ Χριστὸς γεγονὼς ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἀγριαίνοντα νόμον, καὶ ἀναζωπυροῖ μὲν τὴν εἰς Θεὸν εὐλάβειαν, ἀπονεκροῖ δὲ τὰ πάθη, μὴ λογιζόμενος ἡμῖν τὰ ἐν οἷς ἐσμεν παραπτώματα, θεραπεύων δὲ μᾶλλον ἡμᾶς νενοσηκότας, καταδεσμῶν ὡς συντετριμμένους, ἐγείρων ὡς πεπτωκότας, ποιμὴν ἀγαθὸς ὑπάρχων, καὶ τὴν ψυχὴν ἑαυτοῦ τιθεὶς ὑπὲρ τῶν προβάτων. Οὐκοῦν μηδεὶς ἐκλελυμένος, μηδεὶς ναυτιῶν, ἀλλὰ πεπυρωμένοι καὶ διεγηγερμένοι καὶ ζέοντες ἅπαντες τῇ θείᾳ προσέλθωμεν τραπέζῃ, αὐτὸν ὁρῶντες Χριστὸν, αὐτοῦ ἁπτόμενοι, αὐτὸν ἐσθίοντες· εἰ γὰρ οἱ Ἰουδαῖοι ἑστῶτες, καὶ τὰ ὑποδήματα περικείμενοι, καὶ τὰς βακτηρίας ἔχοντες ἐν ταῖς χερσὶν ἤσθιον τὸ Πάσχα μετὰ σπουδῆς, πολλῷ μᾶλλον ἡμᾶς νήφειν δεῖ· ἐκεῖνοι μὲν γὰρ εἰς Παλαιστίνην ἐμέλλον ἐξιέναι, διὸ καὶ ὁδοιπόρων ἐκέκτηντο σχῆμα, ἡμεῖς δὲ εἰς τὸν οὐρανὸν μέλλομεν ἀποδημεῖν.

ιη'. Ὅθεν χρὴ πάντοθεν ἐγρηγορέναι, διὰ τὸ μὴ μικρὰν κεῖσθαι κόλασιν τοῖς ἀναξίως μετέχουσι, καὶ ἣν πάντως πείσονται δικαίως οἱ κατασφάξαντες τὸ πανάγιον σῶμα Χριστοῦ· τίνος γὰρ οὐ δεῖ καθαρώτερον εἶναι τὸν τῆς θυσίας ἀπολαύοντα ταύτης; Ποίας ἡλιακῆς ἀκτῖνος οὐ λαμπροτέραν τὴν χεῖρα τὴν ταύτην τὴν σάρκα διατέμνουσαν, τὸ στόμα τὸ πληρούμενον πυρὸς πνευματικοῦ, τὴν γλῶσσαν τὴν φοινισσομένην αἵματι φρικωδεστάτῳ; Ἐννοήσωμεν ποίαν ἐτιμήθημεν τιμὴν, ποίας ἀπολαύομεν τραπέζης· ὅπερ ἄγγελοι βλέποντες φρίττουσι, καὶ οὐδὲ ἀντιβλέψαι τολμῶσιν ἀδεῶς, διὰ τὴν ἐκεῖθεν ἀστραπὴν φερομένην. Τούτῳ ἡμεῖς τρεφόμεθα, καὶ σῶμα Χριστοῦ γινόμεθα ἓν, καὶ σὰρξ μία. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; διὰ πάντων ἡμᾶς αὐτῷ συμπλέκοντος, καὶ ἑνὶ ἑκάστῳ τῶν πιστῶν ἑαυτὸν ἀναμιγνύντος διὰ τοῦ μυστηρίου· καὶ τούτῳ πάντας πείθοντος πάλιν, ὅτι σάρκα ἔλαβε τὴν ἡμῶν. Μὴ τοίνυν ῥᾳθυμῶμεν τοσαύτης ἠξιωμένοι τιμῆς καὶ ἀγάπης. Οὐχ ὁρῶμεν τὰ παιδία μεθ' ὅσης προθυμίας δράσσεται τοῦ μαστοῦ, μεθ' ὅσης τῆς ὁρμῆς ἐμπήγνυσι τῇ θηλῇ τὰ χείλη; Μετὰ τοσαύτης προσίωμεν καὶ ἡμεῖς τῇ τραπέζῃ ταύτῃ καὶ τῇ θηλῇ τοῦ ποτηρίου τοῦ πνευματικοῦ· μᾶλλον δὲ μετὰ πολλῷ πλείονος. Ἑλκύσωμεν, ὡς παιδία ὑπομάζια, τοῦ Πνεύματος τὴν

A 17. Age vero dirumpamus, quæso, illius vinculum, jugumque ejus longe a nobis abjicientes, serviamus Domino in timore, uti scriptum est [13], et carnis voluptates continentia vincentes, ad divinam cœlestemque gratiam accedamus : et postquam ad sanctam Christi communionem ascenderimus, leonum instar ignem spirantes, sic ab illa sacra et spiritali mensa revertamur, terribiles facti diabolo, et de capite nostro Christo cogitantes, deque charitate quam nobis exhibuit. Sic enim, sic, inquam, diabolicam fraudem superabimus, et divinæ naturæ communicabimus, et ad vitam immortalitatemque surgemus. Sedat enim Christus intra nos commorans sævientem in membris carnis legem, pietatem erga Deum incendit,
B cupiditates mortificat : nobisque peccata hærentia jam non imputat, sed nos potius ægrotantes sanat, contritos alligat, lapsos erigit, cum sit bonus pastor qui animam suam pro ovibus ponit. Nemo itaque languidus, nemo nauseans, sed igniti et erecti omnes atque ferventes ad divinam accedamus mensam, ipsum spectantes Christum, ipsum frangentes, ipsum comedentes. Nam si Judæi stantes, et calceamentis instructi, baculosque manibus tenentes, Pascha manducabant cum festinatione, multo magis nos oportet frugi esse; etenim illi in Palæstinam profecturi erant, quare et viatorum schema assumebant; nos vero in cœlum transituri
C sumus.

18. Quapropter omnino vigilandum est, quia non levis manet pœna indigne participantes, illa prorsus, quam juste patientur ii qui sanctissimum Christi corpus mactaverunt. Certe quid purius esse debet homine, qui hanc victimam gustaturus est? Quid ni solari radio splendidior esse debet manus, quæ hanc carnem distribuit, os igne spiritali plenum, lingua rubescens sanguine tremendissimo? Consideremus quali honore aucti simus, quali fruamur mensa : quam angeli spectantes tremunt, neque oculos contra attollere intrepide audent, propter inde emicantem fulgorem. Hoc nos nutrimur, huic commiscemur, et corpus Chri-
D sti unum efficimur, et caro una. Quis loquetur potentias Domini, auditas faciet omnes laudes ejus? qui omnino nos sibi copulat, qui unicuique fidelium se insinuat per hoc mysterium, eodemque simul suadet se carnem nostram olim assumpsisse. Ne igitur socordes simus, postquam honore tanto atque amore digni habiti fuimus. Nonne videmus infantulos quam prompte ubera corripiunt, quanto impetu mammæ labia admovent? Pari et nos alacritate accedamus ad hanc mensam, et ad spiritalis calicis papillam : imo etiam majore. Attrahamus, tanquam pueri lactentes, Spiritus gratiam; et unicus nobis sit dolor hoc alimento non frui.

[13] Psal. II, 11.

Nullus adsit Judas, nullus avarus, nullus inhumanus, nullus crudelis et immisericors, nullus omnino impurus. Si quis est discipulus, adesto : qui non sunt hujusmodi, eos non recipit mensa hæc. « Cum discipulis, inquit, meis facio Pascha [16]. » Hæc ad eos qui sacra communione non abstinent, dicta sunt.

A χάριν· καὶ μία ἡμῖν ἔστω ὀδύνη, τὸ μὴ μεταλαχεῖν ταύτης τῆς τροφῆς. Μηδεὶς τοίνυν Ἰούδας παρέστω, μηδεὶς φυλάργυρος, μηδεὶς ἀπάνθρωπος, μηδεὶς ὠμὸς καὶ ἀνήλεης, μηδεὶς ὅλως ἀκάθαρτος. Εἴ τις μαθητής, παρίτω· οὐ δέχεται τοὺς μὴ τοιούτους ἡ τράπεζα· « Μετὰ γὰρ τῶν μαθητῶν μου, φησὶ, ποιῶ τὸ Πάσχα. » Ταῦτα πρὸς τοὺς μεταλαμβάνοντας λέγω (1).

19. Vobis quoque auctor sum, o altaris ministri (nam vos etiam alloqui necesse est), ne indifferenter et quomodocunque, sed multa cum sedulitate, multaque consideratione hæc dona distribuatis. Neque enim levem feretis pœnam, si cum alicujus improbitatem noverlitis, eum participare hanc mensam permittetis. Sanguis ejus de manibus vestris requiretur. Etiamsi aliquis dux fuerit, vel prætor, vel adeo ipse qui diademate redimitur, si indigné accedat, prohibe; nam majore quam illo potestate polles. Tu certe si aquæ fontem gregi purum servandum accepisses, si ovem cerneres multum ore suo lutum afferentem, haud profecto sineres illuc descendere, et fluentum inquinare. Nunc vero cum non aquæ sed sanguinis atque Spiritus fons tibi custodiendus sit traditus, si forte videas pejus luto peccatum habentes quosdam, simulque accedentes, non indignaris, neque submoves? Quam ergo veniam impetrabis? Ideo vobis hunc Deus honorem contulit, ut rem hujusmodi dijudicetis. Hæc est vestra dignitas, hæc immunitas, hæc omnis corona; non autem candidis tunicis splendidisque vestiri, et circumire.

ιθ'. Συμβουλεύω δὲ καὶ ὑμῖν τοῖς διακονουμένοις (καὶ γὰρ ἀναγκαῖον καὶ πρὸς ὑμᾶς διαλεχθῆναι). μὴ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλὰ μετὰ πολλῆς προσοχῆς, μετὰ πολλῆς διασκέψεως διανέμειν ταυτὶ τὰ δῶρα· καὶ γὰρ οὐ μικρὰ κόλασις ὑμῖν, εἴ τινι συνειδότες τινὰ πονηρίαν, συγχωρήσετε μετασχεῖν ταύτης τῆς τραπέζης. Τὸ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν ἐκζητηθήσεται τῶν ὑμετέρων. Κἂν στρατηγός τις ᾖ, κἂν ὕπαρχος, κἂν αὐτὸς ὁ τὸ διάδημα περικείμενος, ἀναξίως δὲ προσίῃ, κώλυσον· μείζονα ἐκείνου τὴν ἐξουσίαν ἀνέχεις. Σὺ δὲ εἰ μὲν πηγὴν ὕδατος ἐνεχειρίσθης φυλάττειν ποιμνίῳ καθαράν, εἶτα εἶδες πρόβατον πολὺν ἐπὶ τοῦ στόματος φέρον βόρβορον, οὐκ ἂν εἴασας ἐπικύψαι κάτω καὶ θολῶσαι τὸ ῥεῖθρον· νυνὶ δὲ οὐχ ὕδατος ἀλλ' αἵματος καὶ πνεύματος πηγὴν ἐγκεχειρισμένος, καὶ ὁρῶν τὴν βορβόρου χαλεπωτέραν ἁμαρτίαν ἔχοντά τινας καὶ προσιόντας, οὐκ ἀγαναχτεῖς οὐδὲ ἀπείργεις; Καὶ τίνα σχοίης ἂν τὴν συγγνώμην, Διὰ τοῦτο ὑμᾶς ὁ Θεὸς ἐτίμησε ταύτην τὴν τιμήν, ἵνα τὰ τοιαῦτα διακρίνητε. Τοῦτο ὑμῶν ἡ ἀξία, τοῦτο ἡ ἀσφάλεια, τοῦτο ἅπας ὁ στέφανος· οὐ τὸ περιβαλέσθαι χιτωνίσκους λευκοὺς καὶ ἀποστίλβοντας, καὶ περιιέναι.

20. At enim, aiunt, quomodo hunc vel illum noverimus? Atqui ego non de ignotis loquor sed de publice notis. Dicam aliquid terribilius. Non est tantopere flagitiosum si energumeni intra templum sint, quam hi; quemadmodum ait Paulus, quoniam Christum conculcaverunt, et sanguinem Testamenti pollutum judicaverunt, Spiritus gratiæ contumeliam fecerunt. Nam dæmoniaco pejor est peccator et simul accedens: et ille quidem quoniam est arreptitius non punitur; hic autem, si indigne accesserit, æterno supplicio traditur. Ne igitur dæmoniacos tantum expellite, sed omnino omnes quos indigne accedentes videritis. Nemo communicet, qui non sit discipulus: nullus accipiat Judas, ne Judæ pœnam luat. Corpus Christi hæc quoque multitudo est. Cavete ergo, o mysteriorum ministri, ne irritetis Dominum, si corpus hoc non purificetis, et si gladium pro alimonia tradatis. Sed etiamsi forte aliquis ignoranter accedat ad indigne percipiendum, absque ullo metu prohibete: Deum metuite, non homines. Utique si homines metueritis, ab iisdem

κ'. Καὶ πόθεν οἴδαμεν, φασὶ, τὸν δεῖνα καὶ τὸν δεῖνα; Οὐ περὶ τῶν ἀγνοουμένων λέγω, ἀλλὰ περὶ τῶν γνωρίμων. Εἶπω τί φρικωδέστερον· οὐχ οὕτω χαλεπὸν τοὺς ἐνεργουμένους (1) ἔνδον εἶναι, ὡς τούτους, ἧ φησιν ὁ Παῦλος, διὰ τὸ τὸν Χριστὸν καταπατῆσαι, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγήσασθαι, καὶ τὴν χάριν τοῦ Πνεύματος ἐνυβρίσαι· δαιμονῶντος γὰρ χείρων ὁ ἁμαρτηκὼς, καὶ προσών· ὁ μὲν γὰρ ἐπειδὴ δαιμονᾷ, οὐ κολάζεται· οὗτος δὲ, ὅταν ἀναξίως προσίῃ, ἀθανάτῳ παραδίδοται κολάσει. Μὴ τοίνυν τοὺς δαιμονῶντας ἐλαύνετε μόνον, ἀλλὰ πάντας ἁπλῶς, οὓς ἂν ἴδητε προσιόντας ἀναξίως· μηδεὶς κοινωνείτω τῶν μὴ μαθητῶν· μηδεὶς λαμβανέτω Ἰούδας, ἵνα μὴ τὰ Ἰούδα πάθῃ. Σῶμά ἐστι Χριστοῦ καὶ τοῦτο τὸ πλῆθος. Ὁρᾶτε γοῦν οἱ διακονούμενοι τοῖς μυστηρίοις, μὴ παροξύνητε τὸν Δεσπότην, οὐκ ἐκκαθαίροντες τὸ σῶμα τοῦτο, μὴ ξίφος δῶτε ἀντὶ τροφῆς· ἀλλὰ κἂν ὑπὸ ἀγνοίας τινὲς ἔρχωνται μεθέξοντες ἀναξίως, κωλύσατε, μὴ φοβηθῆτε· φοβήθητε τὸν Θεὸν, μὴ ἀνθρώπους. Ἂν φοβηθῆτε ἀνθρώπους, καὶ ὑπ' αὐτῶν καταγελασθήσεσθε· ἂν δὲ τὸν Θεὸν, καὶ ἀνθρώποις αἰδέσιμοι ἔσεσθε.

[16] Matth. xxvi, 18.

(1) Nempe loquitur illis, quibus Ecclesia divina mysteria non interdixerit.

(2) Idcirco in picturis, missæ Græcorum energumeni sub dæmonis specie sacris ædibus divinoque mysterio expelluntur.

Διὰ τοῦτο μὴ συγχωρήσητε ταῦτα τολμᾶσθαι. Τῆς ψυχῆς ἕκαστος ὑμῶν ἀποστήτω πρότερον, ἢ τοῦ σώματος μεταδότω τοῦ Δεσποτικοῦ παρ' ἀξίαν· καὶ τὸ αἷμα τὸ ἑαυτοῦ προΐέτω πρότερον, ἢ μεταδότω αἵματος οὕτω φρικώδους παρὰ τὸ προσῆκον. Εἰ δὲ ἠγνόησέ τις τὸν φαῦλον, πολλὰ περιεργασάμενος, οὐδὲν ἔγκλημα· ταῦτα γάρ μοι περὶ τῶν δήλων εἴρηται. Ἂν οὖν τοὺς γνωρίμους τῶν φαύλων διορθώσητε, καὶ τοὺς ἀγνῶτας ταχέως ὑμῖν ὁ Θεὸς γνωριεῖ. Ἂν δὲ τούτους ἐάσητε, τίνος ἕνεκεν ὑμῖν ἐκείνους φανεροὺς ποιήσει λοιπόν; Ταῦτα λέγω οὐχ ἵνα ἀπείργητε, οὐδ' ἵνα ἐκτέμνητε μόνον, ἀλλ' ἵνα διορθώσαντες ἐπανάγητε· οὕτω γὰρ καὶ τὸν Θεὸν ἵλεων ἕξετε, καὶ πολλοὺς τοὺς κατ' ἀξίαν μεταλαμβάνοντας εὑρήσετε, καὶ τῆς οἰκείας σπουδῆς, καὶ τῆς περὶ τοὺς ἄλλους ἐπιμελείας πολὺν ἀπολήψεσθε τὸν μισθόν.

κα'. Ἔτι πάντες οἱ ἱερεῖς καὶ ὁ λαὸς διὰ σπουδῆς ποιώμεθα πολλῆς, ὥστε μετὰ τὴν ἱερὰν καὶ φρικτὴν ταύτην τράπεζαν, μὴ πρὸς μέθην καὶ τρυφὴν ἑαυτοὺς ἐκδιδόναι· εἰ γὰρ οὐδέποτε χρὴ τρυφᾷν, καὶ τοῦτο ὁ Παῦλος ἐδήλωσεν εἰπών, « Ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκε, » πολλῷ μᾶλλον μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν· οὐ γὰρ διὰ τοῦτο ἐγενόμεθα καὶ ζῶμεν, ἵνα φάγωμεν καὶ πίωμεν, ἀλλὰ τὸ φαγεῖν διὰ τὸ ζῆν γέγονεν ἐξ ἀρχῆς. Ἡμεῖς δὲ ὡς διὰ τοῦτο ἐλθόντες εἰς τὸν κόσμον, οὕτως εἰς τοῦτο πάντα καταναλίσκομεν, καὶ μετὰ μέθης ἀπὸ τῆς αἰσθητῆς ἀνιστάμεθα τραπέζης, μηδόλως ἐνθυμούμενοι, ὡς ὁ μετὰ τὴν τράπεζαν καιρὸς εὐχαριστίας ἐστὶ καὶ ὕμνων καιρός· τὸν δὲ εὐχαριστοῦντα οὐχὶ μεθύειν χρεών, ἀλλ' ἐγρηγορέναι· ὁ γὰρ τοῦτο ἐνθυμούμενος ὅταν ἐπὶ τραπέζῃ καθίσῃ, ὅτι μετὰ τὴν τράπεζαν αὐτὸν εὔχεσθαι δεῖ, συμμέτρως ἐμπλήσει τὴν γαστέρα, ἵνα μὴ βαρυνόμενος γόνυ κλῖναι ἀδυνατήσῃ, καὶ τὸν Θεὸν παρακαλέσαι, κάντεῦθεν γένηται καὶ τῶν ἀλόγων ἀλογώτερος. Εἰ γὰρ ἐκεῖνα μετὰ τὴν φάτνην ὁδοιπορίας ἅπτεται καὶ ἀχθοφορεῖ, καὶ τὴν οἰκείαν ἀποπληροῖ διακονίαν, πῶς οὐκ ἀτιμότερος καὶ αὐτῶν τῶν ὄνων ὁ μετὰ τὴν τράπεζαν ἄχρηστος ἄνθρωπος πρὸς πᾶν ἔργον καὶ ἀνεπιτήδειος, ὅτε μάλιστα νήφειν χρή; Καὶ γὰρ ὅτι μετὰ τὴν ἑστίασιν οὐχ ὕπνον οὐδὲ εὐνὴν, ἀλλ' εὐχὰς καὶ θείων Γραφῶν ἀνάγνωσιν, ἡμᾶς διαδέχεσθαι χρὴ, τοῦτο σαφέστερον ἐδήλωσεν ὁ Χριστός· τὰ γοῦν ἄπειρα πλήθη τότε ἑστιάσας ἐν τῇ ἐρήμῳ, οὐκ ἐπὶ κλίνην αὐτοὺς ἔπεμψεν, ἀλλ' ἐπὶ θείαν ἀκρόασιν ἐκάλεσε λογίων· οὐ γὰρ διέῤῥηξεν αὐτῶν τὰς γαστέρας, οὐδὲ εἰς μέθην ἐνέβαλεν, ἀλλὰ πληρώσας αὐτῶν τὴν χρείαν, πρὸς τὴν πνευματικὴν ἦγε τροφήν. Οὕτω καὶ ἡμεῖς ποιῶμεν, καὶ τοσοῦτον ἐθίσαντες ἑαυτοὺς ἐσθίειν ὅσον πρὸς τὸ ζῆν μόνον, οὐχ ὅσον διασπᾶσθαι καὶ βαρύνεσθαι· καὶ πάντοτε μὲν ἀπὸ τῆς τραπέζης μὴ ἐπὶ κλίνην ἀλλ' ἐπ' εὐχὴν τρεπώμεθα (1).

irridebimini: sin potius Deum, hominibus ipsis venerandi eritis. Ideo ne patiamini hujusmodi ausus. Animæ quisque suæ potius renuntiet, quam Dominicum corpus contra dignitatem tradat: sanguinem quisque suum ante prodigat, quam adeo tremendum sanguinem contra fas tradat. Quod si aliquis hominem peccatorem ignoraverit, quamvis magnopere vestigaverit, nulla ipsius culpa erit. Hæc enim nos de manifestis locuti sumus. Jam si notos peccatores emendaveritis, statim ignotos quoque vobis Deus revelabit. Quod si illos accedere permittatis, cur jam reliquos vobis Deus manifestet? Atque hæc aio, ut non arceatis tantummodo vel præcidatis, sed ut emendatos reducatis. Sic enim et Deum propitium habebitis, et multos digne communicantes comperietis, et vestræ sedulitatis, atque erga alios curæ multam referetis mercedem.

21. Insuper cuncti sacerdotes ac populus valde studeamus, ne quis post sacrum tremendumque convivium, ebrietati et luxuriæ se dedat. Nam si, nunquam luxuriari oportere docet Paulus dicens: « Quæ autem in deliciis est, vivens mortua est[15]; » multo id minus post mysteriorum communionem. Non enim ad hoc nati sumus et vivimus, ut manducemus ac bibamus, sed ideo comedimus ut vivamus: quippe haud vivere ut vescamur, sed vesci ut vivamus, prisco jure statutum est. Nos vero, quasi ad crapulam in mundum venerimus, cuncta in illam absumimus, ebriique a materiali mensa surgimus: minime reputantes, quod post mensam tempus agendarum gratiarum et hymnorum tempus sit: porro eum, qui gratias agit, haud ebrium esse oportere sed experrectum. Nam qui consideret, dum mensæ accumbit, fore ut post mensam preces dicat, is modice ventrem implebit, ne cibo gravatus genu flectere nequeat, et Deum invocare; atque hinc fiat brutis irrationalior. Nam si illa post præsepe, iter ingrediuntur, et onera ferunt, et proprium ministerium exhibent, quidni sit ipsis asinis contemptibilior homo post mensam cuivis operi ineptus et impotens, cum tamen maxime experrectum esse oportet? Nam quod post cibum, haud somno vel cubili, sed precibus et divinarum Scripturarum lectioni vacandum sit, id perspicue ostendit Christus, qui cum innumeram multitudinem in deserto pavisset, nequaquam ad lectum eos misit, sed ad divinam oraculorum acroasin[16]: neque illorum ventres cibo dirupit, sed ipsorum expleta necessitate ad spiritalem escam vocavit. Sic agamus et nos, atque eatenus nosmet comedere assuefaciamus, quatenus vitæ tantummodo sustentandæ opus est, non dirumpendis stomachis aut gravandis: atque omnino a mensa non ad lectum, sed ad preces transeamus.

[15] I Tim. v, 6. [16] Luc. ix, 18.

(1) Est hodierna quoque consuetudo in religiosis sodalitiis, ut post mensam ad adorandam breviter in templo vel sacello Eucharistiam cuncti conveniant.

22. Sed tamen præcipue post tremendorum perceptionem mysteriorum, ita nos geramus ; siquidem illud maxime tempus sobrietatis ac jejunii est. Nam si qui optimum aliquid pransus fuerit, cavet postea ne quo malo edulio prius illud corrumpat : multo minus qui Spiritu pastus fuit, alogiam facere debet et crapulari, neque satanicas admittere delicias. Cogitemus quid Dominus discipulis dixerit, quo tempore sanctissimum corpus suum sanguinemque præbebat. Ait enim : « Hoc facite in meam commemorationem. » Quibus verbis causam nobis aperuit, cur id mysterium tradiderit ; et præter alias, hanc quoque, pietati suadendæ satis idoneam, assignavit, ut reputantes quid nostri gratia passus fuerit Dominus, temperantiores post communionem simus. Insuper etiam consideremus, quid egerint apostoli post sacrarum cœnarum participationem. Nonne ad preces et hymnodias, et sacras tota nocte vigilias conversi sunt? Nonne ad illam prolixam concionem, multaque redundantem pia doctrina ? Quippe grandia et inexspectata tunc illis exposuit atque mandavit, dum interim Judas ad illos vocandos proficiscebatur qui eum crucifixuri erant. At enim nos ante quidem perceptionem jejunamus, ut quomodolibet communione digni videamur. Postquam vero percepimus, cum oporteret sobrietatem continuare, frenum omne abjicimus. Atqui nonne perinde est ante communionem esse sobrium, ac post illam ? Sane utroque in tempore sobrietatem oportet observare ; præcipue tamen post Sponsi receptionem : antea videlicet, ut digni efficiamur recipere : postea vero, ne indigni iis quæ recepimus appareamus.

23. Quid ergo? Num jejunandum est post perceptionem ? Non id aio, neque cogo : præclarum id quoque foret, verumtamen vim non infero, sed hortor ne insatiabili crapulæ indulgeatis. Nam si vino occupati ne amico quidem occurrere unquam vellemus, quo pacto Christum intus habentes, tantam superinjicere ebrietatem audemus ? neque perhorrescimus panem vitæ percipere, et mortis opera facere ? mensam Christi gustare, et illo die crapulari, quo lingua tangere carnes illius datum nobis fuit? Memoremus dexteram, linguam, labia, quæ Christum introduxerunt. Cogitemus tempus quo accessimus ; et apposita materiali mensa, ad mensam illam mentem intendamus, et ad convivium Dominicum, ad discipulorum per sacram illam noctem vigilias. Audivimus sacros hymnos, regali mensæ accubuimus, sancto Spiritu repleti fuimus, supernarum virtutum socii exstitimus. Ne, quæso, talem tantamque gratiam projiciamus, ne thesaurum effundamus, ne crapulam admittamus sexcentorum malorum parentem : sed cibum sumentes, qui ad vitam sustentandam sufficiat, statim ad preces post mensam convertamur, et ad gratias cum hymno: ut et quam accepimus gratiam conservemus

κβ'. Μάλιστα δὲ τῶν φρικτῶν μετασχόντες μυστηρίων, τοῦτο ποιῶμεν, ἐπείπερ ὁ τότε καιρὸς νήψεως μάλιστα καὶ νηστείας καιρός. Εἰ γὰρ ὁ ἠριστηκώς τι χρηστὸν ἑαυτὸν φυλάσσει, ὥστε μὴ ἑτέρῳ ἐδέσματι πονηρῷ λυμήνασθαι τὸ πρότερον, πολλῷ μᾶλλον ὁ Πνεῦμα ἐστιαθεὶς οὐκ ἀφείλει παροινεῖν καὶ κωμάζειν, οὐδὲ σατανικὴν ἐπεισάγειν τρυφήν. Ἐννοήσωμεν τί εἶπεν ὁ Κύριος τοῖς μαθηταῖς, τὸ πανάγιον σῶμα καὶ τὸ αἷμα τὸ ζῶον παρέχων· εἶπε γάρ, « Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· » τὴν αἰτίαν ἡμῖν ἐκκαλύπτων τῆς τοῦ μυστηρίου δόσεως, καὶ μετὰ τῶν ἄλλων καὶ ταύτην εἶναι λέγων ἀρκοῦσαν ἡμῖν εἰς εὐλαβείας ὑπόθεσιν, ὡς ἂν οὕτω; ἐνθυμούμενοι τί πέπονθε δι' ἡμᾶς ὁ Δεσπότης, φιλοσοφώτεροι μετὰ τὴν κοινωνίαν ὑπάρχωμεν. Ἐννοήσωμεν σὺν τούτῳ καὶ τί ἐποίησαν οἱ ἀπόστολοι ὅτε μετέλαβον τῶν ἱερῶν δείπνων. Οὐχὶ εἰς εὐχὰς ἐτράπησαν καὶ ὑμνῳδίας καὶ παννυχίδας ἱεράς; οὐχὶ εἰς διδασκαλίαν τὴν μακρὰν ἐκείνην καὶ πολλῆς γέμουσαν φιλοσοφίας; Τὰ γὰρ μεγάλα καὶ παράδοξα τότε αὐτοῖς διηγεῖτο καὶ παρήγγελλεν, ἀπελθόντος τοῦ Ἰούδα καλέσοντος τοὺς μέλλοντας αὐτὸν σταυροῦν. Ἡμεῖς δὲ πρινὴ μὲν μεταλάβωμεν, νηστεύομεν, ἵνα ὅπως δήποτε τῆς κοινωνίας ἄξιοι φανῶμεν· ὅταν δὲ μεταλάβωμεν, δέον ἡμᾶς ἐπιτεῖναι τὴν σωφροσύνην, πάντα ἀπολύομεν. Καίτοι γε οὐκ ἔστιν ἴσον πρὸ τούτου νήφειν, καὶ μετὰ ταῦτα; δεῖ μὲν γὰρ ἑκατέρῳ σωφρονεῖν, μάλιστα δὲ μετὰ τὸ δέξασθαι τὸν νυμφίον· πρὸ τούτου μὲν, ἵνα ἄξιοι γενώμεθα τοῦ λαβεῖν, μετὰ δὲ ταῦτα, ἵνα μὴ ἀνάξιοι ὧν ἐλάβομεν φανῶμεν.

κγ'. Τί οὖν; Νηστεύειν δεῖ μετὰ τὸ μεταλαβεῖν; Οὐ λέγω τοῦτο, οὐδὲ καταναγκάζω· καλὸν μὲν γὰρ καὶ τοῦτο, πλὴν οὐ βιάζομαι, ἀλλὰ παραινῶ μὴ τρυφᾶν εἰς ἀπληστίαν. Εἰ γὰρ οἰνωμένοι, φίλῳ συντυχεῖν οὐκ ἂν ἐλώμεθα ποτὲ, πῶς τὸν Χριστὸν ἔνδον ἔχοντες, τοσαύτην ἐπεμβαλεῖν μέθην τολμῶμεν; καὶ οὐ φρίττομεν ἄρτον ζωῆς λαβόντες, καὶ πρᾶγμα ποιοῦντες θανάτου; τραπέζης ἀπολαύσαντες Χριστοῦ, καὶ τρυφῶντες κατὰ τὴν ἡμέραν καθ' ἣν ἅψασθαι διὰ γλώττης τῶν σαρκῶν αὐτοῦ ἠξιώθημεν; Καταμάθωμεν τὴν δεξιὰν (1), τὴν γλῶτταν, τὰ χείλη ἅπερ ἐγένετο πρόθυρα τῇ ἐπιβάσει τοῦ Χριστοῦ· ἐννοήσωμεν τὸν καιρὸν καθ' ὃν προσερχόμεθα, καὶ τράπεζαν αἰσθητὴν παραθέντες, πρὸς ἐκείνην τὴν τράπεζαν τὸν νοῦν ἀνατείνωμεν, πρὸς τὸ δεῖπνον τὸ Κυριακὸν, πρὸς τὴν ἀγρυπνίαν τῶν μαθητῶν τὴν κατὰ νύκτα ἐκείνην τὴν ἱεράν. Ἠκούσαμεν ὕμνων ἱερῶν, ἀπηλαύσαμεν τραπέζης βασιλικῆς, ἐνεπλήσθημεν ἁγίου Πνεύματος, κοινωνοὶ γεγόναμεν τῶν ἄνω δυνάμεων. Μὴ ῥίψωμεν τοσαύτην χάριν· μὴ ἐκχέωμεν τὸν θησαυρόν· μὴ μέθην ἐπεισαγάγωμεν τὴν μυρία τίκτουσαν κακά· ἀλλὰ τροφῆς συμμέτρου μεταλαβόντες, καὶ πρὸς τὸ ζῆν μόνον ἀρκούσης, εὐθὺς ἐπ' εὐχὴν ἀπὸ τῆς τραπέζης

(1) Hoc dicit quia Græci eucharisticum panem a sacerdote traditum dextera manu recipiunt.

τραπῶμεν καὶ εὐχαριστίαν καὶ ὕμνον· ἵνα καὶ ἣν ἐλάβομεν χάριν ἀκεραίαν τηρήσωμεν, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ παναγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν (1).

A incolumem, et bona consequamur æterna, beneficio et benignitate Domini nostri Jesu Christi, per quem et cum quo Patri est gloria cum sanctissimo Spiritu, nunc, et semper, et in sæcula sæculorum. Amen.

## ΔΙΑΛΕΞΕΩΣ ΕΝΝΑΤΗΣ ΗΘΙΚΟΝ (2).

*Ὅτι δεῖ νήφειν ἡμᾶς ἀεὶ καὶ ἐγρηγορέναι, τὸ χαλεπὸν ἐννοοῦντας πτῶμα τοῦ Ἰούδα· καὶ κατὰ φιλαργυρίας.*

α'. Ταῦτ' οὖν ἀκούοντες, παιδευώμεθα νήφειν ἀεὶ καὶ ἐγρηγορέναι. Εἰ γὰρ ὁ εἰς τὸν ἅγιον ἐκεῖνον χορὸν τελῶν, ὁ συνὼν τῷ Χριστῷ, ὁ τοσαύτης ἀπολελαυκὼς δωρεᾶς καὶ διδασκαλίας, ὁ σημεῖα πεποιηκὼς (καὶ γὰρ καὶ αὐτὸς μετὰ τῶν ἄλλων ἦν τῶν πεμφθέντων νεκροὺς ἐγείρειν), ἐπεὶπερ ἑάλω νοσήματι δεινῷ, τῷ τῆς φιλαργυρίας κηκῖ, πρὸς τοσοῦτον κατηνέχθη βάραθρον, ὡς τὸν Δεσπότην τὸν ἑαυτοῦ προδοῦναι· καὶ οὐδὲν ὠφέλησαν αὐτὸν οὔτε αἱ εὐεργεσίαι, οὐχ αἱ δωρεαί, καὶ τὸ μετ' αὐτοῦ εἶναι, οὐ θεραπεία, οὐ τὸ τοὺς πόδας νίψαι, οὐ τὸ τῆς τραπέζης κοινωνῆσαι, οὐ τὸ γλωσσόκομον κατέχειν, ἀλλὰ καὶ ἐφόδια αὐτῷ κολάσεως γέγονε· τί πεισόμεθα ἡμεῖς, μὴ φυλασσόμενοι τοῦτο τὸ πάθος; Καθ' ἑκάστην ἡμέραν συνῆν ἐκεῖνος τῷ μὴ ἔχοντι ποῦ τὴν κεφαλὴν κλίνῃ, καὶ καθ' ἑκάστην ἐπαιδεύετο δι' ἔργων, διὰ ῥημάτων, μὴ χρυσὸν, μηδὲ ἄργυρον, μὴ δύο χιτῶνας ἔχειν· καὶ ὅμως οὐκ ἐσωφρονίσθη. Καὶ πῶς ἡμεῖς προσδοκῶμεν διαφεύξεσθαι τὸ νόσημα, θεραπείας ἀμυδρᾶς ἀπολαύοντες, οὐδὲ πολλῇ τῇ σπουδῇ κεχρημένοι;

β'. Δεινὸν γὰρ ἡ φιλαργυρία, δεινόν· αὕτη καὶ ὀφθαλμοὺς καὶ ὦτα πληροῖ, καὶ τοὺς ἁλόντας ἐκβακχεύουσα θηρίου χαλεπωτέρους ποιεῖ, καὶ πρὸς ἐσχάτην ὠμότητα καὶ ἀπανθρωπίαν, οὐ τὴν τῆς οἰκείας ψυχῆς σωτηρίαν ἐννοῆσαι συγχωροῦσα, ἀλλὰ τούτων ἁπάντων καθάπαξ ἀποστάντας, ἑαυτῇ πείθουσα δουλεύειν, ὥσπερ εἴ τις χαλεπὴ τυραννίς. Ὁ γὰρ χρημάτων ἐρῶν οὐ μόνον οὐκ ἀγαπᾷ κατὰ τὴν ἐντολὴν τοὺς ἐχθροὺς, ἀλλὰ καὶ τοὺς φίλους μισεῖ· μήτε συγγένειαν εἰδὼς, μήτε συνηθείας μεμνημένος, οὐχ ἡλικίαν αἰδούμενος, οὐ φίλον ἔχων τινὰ, ἀλλὰ πρὸς πάντας ἀπεχθῶς διακείμενος· καὶ πρὸ τῶν ἄλλων ἁπάντων πρὸς ἑαυτὸν, οὐ τῷ μόνον ἀπολλύναι τὴν οἰκείαν ψυχὴν, ἀλλὰ καὶ τῷ μυρίαις ἑαυτὸν κατατείνειν φροντίσι· καὶ οὕτω τυραννικόν ἐστι τὸ τῆς φιλαργυρίας πάθος, ὡς καὶ τοῦ δριμυτάτου ἔρωτος τῶν σωμάτων περιγενέσθαι· καὶ τὸ δεινὸν τῆς οὕτω πικρᾶς δουλείας, ὅτι καὶ χάριν αὐτῇ ἔχειν παρασκευάζει· καὶ ὅσῳπερ ἂν αὐτῇ μᾶλλον

1. His ergo auditis, discamus sobrii esse ac vigilare [17]. Si enim de sancto choro unus, Christi sodalis, tanto munere donatus, doctrinaque imbutus, qui miracula patraverat (nam et ipse cum aliis missus fuerat ad mortuos suscitandos); postquam hoc diro morbo, avaritiæ scilicet vitio, correptus fuit, in tantum ruit barathrum, ut Dominum suum proderet; nihilque ei profuerunt beneficia, non charismata, non Jesu societas, non benignitas exhibita, non pedum lotio, non mensæ communio, non crumenæ commissa fiducia; sed hæc illi adminicula potius ad consequendam pœnam fuerunt; quid nos patiemur, nisi ab hoc vitio caveamus? Quotidie ille cum eo erat, qui ubi caput reclinaret non habebat: quotidie erudiebatur operibus, verbis, ne aurum, ne argentum, ne duas tunicas haberet; et tamen non est emendatus. Et quomodo nos speramus hunc morbum abjicere, levi medicina utentes, neque studium multum adhibentes?

2. Dirum quippe malum est avaritia, prorsus dirum. Hæc oculos auresque occupat, et sibi deditos in furorem bacchicum impellit, fera asperiores efficit, et apprime crudeles atque inhumanos, neque de propriæ animæ salute cogitare sinit, sed omni hac cura prorsus omissa, uni sibi deservire suadet, ceu quædam sæva tyranna. Nam qui opes amat, non modo inimicos juxta præceptum non amat, sed amicos etiam odit; neque sanguinis cognationem novit, neque sodalitatis meminit, neque ætatem reveretur, neque quemquam amicum habet, sed hostili in omnes animo est, præcipue vero contra se ipsum, non solum quia propriam animam perdit, sed quia innumeris semet distrahit sollicitudinibus. Atque adeo tyrannicum est avaritiæ vitium, ut vehementissimum quemque corporum amorem superet: idque præcipue hanc amaram servitutem gravat, quod ad habendam sibi gratiam hominem comparat; et quo magis ei servitur, eo vehementiore voluptate delectat.

[17] I Petr. v, 8.

## SERMONIS NONI ETHICON.

*Quod oporteat nos sobrios esse et vigilare, dirum reputantes Judæ casum. Et contra avaritiam.*

(1) Exegimus monumentum egregium pro sacramenti eucharistici veritate, cujusmodi eam catholica Ecclesia profitetur. Itaque hic Theodorus addendus est tot illis ex Græca Ecclesia tanti dogmatis testibus, quos Arnaldus atque Renaudotius in suis voluminibus produxerunt *De perpetuitate fidei Ecclesiæ catholicæ circa Eucharistiam.*

(2) Theodorus in codice antea exponit dictum Christi apud Joan. VII, 71: *Ex vobis unus diabolus est. Dicebat autem Judam Simonis Iscariotem; hic enim erat traditurus eum, cum esset unus ex duodecim.* Deinde sermonem concludit præsenti ethico.

Propterea potissime insanabilis morbus fit, et bellua magis indomita. Avaritia Giezim, viri sancti Elissæi contubernalem, leprosum pro discipulo ac prophetæ effecit. Hæc Judæorum principes corrupit, ut dona acciperent, et furum participes fierent. Hæc Judam proditorem reddidit. Hæc Ananiam perdidit. Hæc innumera bella invexit, sanguine vias, luctu atque gemitibus urbes implevit. Hæc cœnas obtulit impuras, mensas piaculares, escas scelere plenas. Hinc bella, et pugnæ : hinc bustorum spoliatores : hinc denique quidquid mali dicere potes.

ἐνέπλησεν· ἐντεῦθεν γὰρ πόλεμοι καὶ μάχαι, ἐντεῦθεν τυμβωρύχοι, καὶ ὃ ἂν εἴπῃς κακὸν, ἐντεῦθεν.

A δουλεύσωσι, τοσούτῳ τὰ τῆς ἡδονῆς αὔξεται. Διὸ καὶ ταύτῃ μάλιστα ἀνίατον τὸ νόσημα γίνεται, καὶ δυσάλωτον τὸ θηρίον. Τοῦτο τὸν Γιεζῆ, ἀνδρὶ ἁγίῳ τῷ Ἐλισσαίῳ συζῶντα, λεπρὸν ἀντὶ μαθητοῦ καὶ προφήτου πεποίηκε· τοῦτο τοὺς Ἰουδαίων ἄρχοντας διέφθειρε, λαμβάνοντας δῶρα καὶ κοινωνοὺς κλεπτῶν γινομένους· τοῦτο τὸν Ἰούδαν προδότην εἰργάσατο· τοῦτο τοὺς περὶ Ἀνανίαν ἀπώλεσε· τοῦτο μυρίους πολέμους εἰσήγαγεν, αἱμάτων μὲν τὰς ὁδοὺς, θρήνων δὲ καὶ οἰμωγῶν τὰς πόλεις πληρῶσαν· καὶ δεῖπνα ἐποίησε γενέσθαι ἀκάθαρτα, καὶ τραπέζας ἐναγεῖς, καὶ ἐδέσματα παρανομίας

3. Propterea hanc divus Paulus appellavit simulacrorum servitutem [18], ut malitiæ magnitudinem ostenderet. Cur vero simulacrorum servitutem? Quia multi pecuniam habent, sed ea uti non audent, sed quodammodo consecrant, et ad filios horumque posteros transmittunt intactam, tanquam sacra quædam donaria violare parcentes. Quod si aliquando coguntur, quasi nefarium aliquid egerint, ita ægre se habent. Alioqui, sicut ethnicus simulacrum colit, ita aurum avarus januis commendat et seris, pro templo arcam fabricans, et argenteis vasis recondens. At, inquis, aurum non adorat, velut ethnicus simulacrum. Attamen omnimodam illi adhibet culturam. Præterea ethnicus libentius oculos et animam projiciet quam simulacrum. Ita etiam auri amatores. Sed non venerantur, inquis, aurum. Atqui ne ethnicus quidem simulacrum, sed inhabitantem illic dæmonem. Ita avari utique aurum non adorant, sed ab auri aspectu et concupiscentia resultantem in ipsorum animas dæmonem. Dæmone enim sævior est avaritiæ affectus; atque huic multi magis obediunt, quam alii idolis : his enim multi non obtemperant; at avaritiæ omnes cedunt, et quidquid ipsa præceperit, morem gerunt. Et videsis quid ea dicat : Hostis esto et inimicus omnium, ignora naturam, Deum contemne, mihi temet immola. In omnibus his obtemperatur. Et simulacris quidem boves atque oves immolant; et avaritia dicit : Immola mihi tuam propriam animam, et ille obedit. Viden' quales ista habeat aras, quales recipiat victimas? Apte itaque magnus Paulus avaritiam simulacrorum servitutem appellavit, utpote cupiditatum omnium sævissimam.

B γ'. Διὰ τοῦτο εἰδωλολατρείαν ὁ θεῖος Παῦλος ἐκάλεσεν αὐτὸ, τὸ τῆς κακίας μέγεθος ἐνδεικνύμενος. Διὰ τί εἰδωλολατρείαν; Ὅτι ἔχουσι πολλοὶ χρήματα, καὶ χρήσασθαι αὐτοῖς οὐ τολμῶσιν, ἀλλ' ἀφιεροῦσιν, εἰς ἐκγόνους καὶ τοὺς ἐξ ἐκείνων παραπέμποντες ἀνέπαφα, καθάπερ τινῶν ἀναθημάτων οὐ τολμῶντες ἅψασθαι. Ἐὰν δέ ποτε ἀναγκασθῶσιν, ὥσπερ ἀθέμιτόν τι πράξαντες, οὕτω διάκεινται. Καὶ ἄλλως δὲ ὥσπερ τὸ ξόανον ὁ Ἕλλην περιέπει, οὕτως ὁ φιλάργυρος τὸ χρυσίον θύραις πιστεύεται καὶ μοχλοῖς, ἀντὶ ναοῦ τὸ κιβώτιον κατασκευάζων, καὶ ἐναποτιθέμενος σκεύεσιν ἀργυροῖς. Ἀλλ' οὐ προσκυνεῖ, καθάπερ ἐκεῖνος, τὸ ξόανον, ἀλλὰ πᾶσαν ἐπιδείκνυται περὶ αὐτὸ θεραπείαν. Πάλιν ἐκεῖνος ἡδέως ἂν τοὺς ὀφθαλμοὺς καὶ τὴν ψυχὴν πρόοιτο ἢ τὸ ξόανον. Τοῦτο καὶ οἱ τὸ χρυσίον φιλοῦντες. Ἀλλ' οὐ προσκυνοῦσι τὸ χρυσίον, φησίν· οὐδὲ ἐκεῖνος τὸ εἴδωλον, ἀλλ' ὅμως προσκυνεῖ τὸν ἐνοικοῦντα δαίμονα. Οὕτως οἱ φιλοχρήματοι, κἂν μὴ τὸ χρυσίον προσκυνῶσιν, ἀλλὰ τὸν ἀπὸ τῆς ὄψεως τοῦ χρυσίου καὶ τῆς ἐπιθυμίας ἐπιπηδῶντα δαίμονα ταῖς τούτων ψυχαῖς· δαίμονος γὰρ χαλεπώτερον τῆς φιλαργυρίας ἡ ἐπιθυμία· καὶ ταύτῃ πολλοὶ μᾶλλον πείθονται ἢ ἕτεροι τοῖς εἰδώλοις· ἐκεῖ μὲν γὰρ πολλὰ παρακούουσιν, ἐνταῦθα δὲ πάντα εἴκουσι, καὶ ὅπερ ἂν εἴπῃ ποιῆσαι πείθονται. Καὶ ὅρα τί λέγει· Πολέμιος ἴσο καὶ ἐχθρὸς ἁπάντων, ἀγνόει τὴν φύσιν, καταφρόνει Θεοῦ, κατάθυσόν μοι σαυτόν· καὶ πάντα πείθονται· καὶ τοῖς μὲν ξοάνοις βοῦς καὶ πρόβατα θύουσιν· ἡ δὲ φιλαργυρία λέγει· Θῦσόν μοι τὴν σαυτοῦ ψυχὴν, καὶ πείθει. Ὁρᾷς οἵους ἔχει βωμοὺς, οἷα δέχεται θύματα; Προσηκόντως ἄρα Παῦλος ὁ μέγας τοῦτο εἰδωλολατρείαν ἐκάλεσεν, ὡς πάντων παθῶν χαλεπώτατον πάθος.

4. Omnino autem vitium hoc ineptos facit illos qui eo tenentur, sive militaria opus sit sive civilia munera gerere : neque in publicis tantum, verum etiam in privatis negotiis. Nam et si forte uxorem ducturus est qui avaritiæ morbo urgetur, nequaquam virtute præditam accipiet, sed omnium pessimam, pecuniæ amore victus. Et si domus emenda est, haud decentem ingenuo homini emet, sed quæ pluris locari queat. Et si servos, sive

δ'. Καὶ πανταχοῦ δὲ τοῦτο τὸ πάθος ἀχρήστους ποιεῖ τοὺς ὑπὸ τούτου κεκρατημένους, ἄν τε στρατηγῆσαι, ἄν τε δημαγωγῆσαι δέῃ· μᾶλλον δὲ οὐκ ἐν τοῖς κοινοῖς μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἰδίοις. Κἂν γυναῖκα γὰρ ἀγαγέσθαι μέλλῃ ὁ φιλαργυρίαν νοσῶν, οὐ λήψεται τὴν ἐνάρετον, ἀλλὰ τὴν πασῶν φαυλοτάτην, ἤτων χρημάτων γενόμενος, κἂν οἰκίαν πρίασθαι, οὐ τὴν ἐλευθέρῳ πρέπουσαν, ἀλλὰ τὴν πολὺν δυναμένην τὸν μισθὸν ἐνεγκεῖν· κἂν

[18] Coloss. III, 5.

οἰκέτας, κἂν ὁτιοῦν ἕτερον ὠνεῖσθαι μέλλῃ, τὸ φαυλότατον λήψεται, διὰ τὸ κέρδος. Καὶ τί λέγω στρατηγίαν, καὶ δημαγωγίαν, καὶ οἰκονομίας; κἂν γὰρ βασιλεὺς ᾖ, πάντων ἐστὶν ἀθλιώτερος, καὶ λύμη τῆς οἰκουμένης, καὶ πάντων πενέστερος· ὡς γὰρ εἷς τῶν πολλῶν διακείσεται, οὐχὶ τὰ πάντων ἑαυτοῦ νομίζων εἶναι, ἀλλ' ἑαυτὸν ἕνα τῶν πάντων, καὶ τὰ πάντων ἁρπάζων, καὶ πάντων ἐλάττονα ἕξειν νομίζων· τῇ γὰρ τῶν οὐδέπω κτηθέντων ἐπιθυμίᾳ τὰ παρόντα μετρῶν, οὐδὲν ταῦτα πρὸς ἐκεῖνα εἶναι ἡγήσεται. Διὸ καί τις φησὶν ὡς οὐδὲν ἀνομώτερον φυλαργύρου· ὁ γὰρ τοιοῦτος καὶ ἑαυτὸν ἀποδίδοται, καὶ κοινὸς περιέρχεται τῆς οἰκουμένης ἐχθρὸς, ἀλγῶν ὅτι μὴ χρυσίον φέρει ἀντὶ τῶν ἀσταχύων ἡ γῆ, καὶ ἀντὶ τῶν ναμάτων αἱ κρῆναι, καὶ ἀντὶ τῶν λίθων τὰ ὄρη· δυσχεραίνων πρὸς τὴν εὐετηρίαν, ἐν τοῖς κοινοῖς ἀγαθοῖς συνεσταλμένος· πᾶσαν ἀποστρεφόμενος πρόφασιν, ὅθεν οὐκ ἔστιν ἀργύριον λαβεῖν· πάντα ὑπομένων, ὅθεν καὶ δύο μόνον συλλέξαι ὀβολοὺς ἐνί· ἅπαντας μισῶν, τοὺς πένητας, τοὺς πλουσίους, τοὺς μὲν πένητας, μήποτε προσελθόντες αἰτήσωσι· τοὺς δὲ πλουτοῦντας, ὅτι μὴ τὰ ἐκείνων ἔχει· ἅπαντας τὰ αὐτοῦ νομίζει κεκτῆσθαι· καὶ ὡς παρὰ πάντων ἠδικημένος, οὕτως πρὸς πάντας δυσχεραίνει· πλησμονὴν οὐκ οἶδε, κόρον οὐκ ἐπίσταται· ἐν σκότῳ διάγων τῷ τῶν χρημάτων ἔρωτι, τῶν περισπουδάστων τὸ κάλλος ὡς χρεὼν οὐ γινώσκει· καθάπερ οὐδ' ὁ ἐν σκότῳ τῷ αἰσθητῷ καθήμενος δύναται βλέπειν τὸ κάλλος τῶν αὐτῷ προσαγομένων λίθων τιμίων, ἢ χρυσῶν σκευῶν, ἢ ἀλουργῶν ἱματίων· σκότος καὶ γάρ ἐστι νοητὸν ὁ τῶν χρημάτων ἔρως, οὐδὲν ἀφιεὶς τῶν ὄντων φαίνεσθαι ὡς ἔστιν, ἀλλ' ἑτέρως· ἐπείπερ οὐδαμοῦ τῶν πραγμάτων ἡ φύσις φαίνεται, ὡς ἐν πενίᾳ· οὐδαμοῦ οὕτως ἐλέγχεται τὰ δοκοῦντα μὲν εἶναι, μὴ ὄντα δὲ, ὡς ἐν φιλοσοφίᾳ.

ε'. Καὶ ὡς ἐν βραχεῖ φάναι, ὁ φιλάργυρος τοσούτοις καὶ τηλικούτοις ἐνδεδεμένος κακοῖς, πάντων ἐστὶν ἀθλιώτερος· ὥσπερ οὖν ὁ τούτων ἀπηλλαγμένος καὶ φιλοσοφῶν ζηλωτότερος πάντων· ὁ μὲν γὰρ ἐνάρετος, κἂν οἰκέτης ᾖ, κἂν δεσπότης, πάντων ἐστὶ μακαριώτερος· οὐδεὶς γὰρ αὐτὸν ποιήσει κακῶς, κἂν οἱ ἐκ τῆς οἰκουμένης συνέλθωσιν ἅπαντες, ὅπλα καὶ στρατόπεδα κινοῦντες καὶ πολεμοῦντες αὐτῷ· ὁ δὲ μοχθηρὸς καὶ φαῦλος καὶ τοιοῦτος οἷον διεγράψαμεν, κἂν βασιλεὺς ᾖ, κἂν μυρία περίκειται διαδήματα, κἂν στρατιὰν ἔχῃ πολυάριθμον, καὶ παρὰ τοῦ τυχόντος τὰ ἔσχατα πείσεται. Οὕτως ἡ κακία ἀσθενές! οὕτως ἰσχυρὸν ἡ ἀρετή! Τί τοίνυν ἐπιθυμῶν, ἄνθρωπε, χρημάτων, πενθεῖς ὡς ἐν πενίᾳ ὤν; τί θρηνεῖς, ἑορτὴν ἄγων; καὶ γὰρ ἑορτῶν ὁ καιρός· τί κλαίεις, πλούτου ἐρῶν; καὶ γὰρ πανήγυρις ἡ πτωχία, ἂν σωφρονῇς. Τί, ὦ παιδίον, ὀδύρῃ; παιδίον γὰρ δεῖ τὸν τοιοῦτον καλεῖν. Οὐκ ἔχεις χρήματα, πένης ὤν; μεγάλου εἶ φορτίου ἀπηλλαγμένος· μᾶλλον δὲ θαυμαστὸς εἶ καὶ μακάριος, τῆς φρονήσεως καὶ χαρτερίας καὶ πάσης φιλοσοφίας διδάσκαλον ἔχων, φημὶ δὲ τὴν πενίαν, ἣ καὶ ὁ Λάζαρος συζῶν ἐστεφανοῦτο· ἣ καὶ τὸν

A quidquam aliud emere oporteat, deterrimum quodque lucri causa eliget. Quid dico militare aut civile aut administratorium munus! Nam quamvis rex sit, omnium infelicissimus est, mundi sordes, et omnium pauperrimus. Namque unum se de multis credet: neque omnium se dominum æstimabit, sed se unum de omnium numero: et rem omnium ad se trahet, omnium se minime habere putans. Namque ex illorum quæ sibi adhuc desunt cupiditate, sua propria metiens, nihil hæc præ illis esse judicabit. Quare et quidam dixit, nihil avaro esse iniquius: nam homo hujusmodi se ipsum quoque tradit, et communis incedit mundi hostis, dolens quod aurum pro spicis terra non ferat, et pro fluentis fontes, et pro lapidibus B montes: irascens anni ubertati, et in communibus bonis angustiatus; quamlibet occasionem respuens unde non sit argentum capere; omnia perferens, unde vel duos tantum obolos corradere liceat; omnes odio habens pauperes ac divites: pauperes, ne forte accedentes petant; divites, quia rem illorum non habet: omnes sua ipsius possidere existimat; et quasi ab omnibus fraudatus, ita omnibus est iratus: repletionem non novit, satietatem nescit. In tenebris versans ob pecuniæ amorem, rerum æstimabiliorum pulchritudinem ut par est non agnoscit, quemadmodum nec ille, qui in tenebris sensibilibus sedet, cernere potest pulchritudinem oblatorum ei lapidum pretiosorum, aut aureorum vasorum, aut vestium purpurearum. C Tenebrarum reapse intellectualium instar est pecuniæ amor, rem nullam patiens videri uti revera est, sed aliter: quandoquidem nusquam ita rerum natura apparet, ut in paupertate: nusquam sic coarguuntur quæ videntur esse, cum non sint, ut in philosophia.

5. Atque ut compendio dicamus, avarus tot tantisque constrictus malis, omnium est infelicissimus: sicut vicissim qui his caret et philosophatur, præ omnibus æmulandus. Etenim virtute præditus vir, sive famulus sit sive herus, omnium est beatissimus: nemo quippe ei male faciet, etiamsi ex orbe universo omnes conveniant, arma exercitusque moventes, eique bellum inferentes. D At pravus et nequam, et qualem descripsimus, quamvis rex sit et sexcentis ornatus coronis, quamvis numerosum exercitum habeat, a quolibet summis malis affici poterit. Adeo nequitia infirma est! adeo valida virtus! Cur ergo, o homo pecuniæ cupide, luges tanquam in egestate? cur lamentaris in solemnitate? Nam solemnitatis hoc tempus est. Cur fles, divitiarum amator? instar tibi solemnitatis paupertas erit, si sana mente fueris. Cur, puer, ejulas? Nam puerum appellare oportet hominem hujusmodi. Non habes pecuniam, quia pauper es? magno pondere es liberatus: imo etiam admirandus es ac beatus, quia omnis philosophiæ magistram habes pauperiem, in qua vitam degens Lazarus coronabatur. Hæc Jacob

fecit illustrem, pane tantum potiri cupientem. Ob hanc Josephum quoque admiramur, qui in extremam devenit pauperiem, neque in servitutem tantummodo sed et in carcerem : neque hunc ita laudamus cum frumentum distribuit, quam cum carcerem incoluit : neque tam in diademate, quam in vinculis : neque tam quando in throno sedebat, quam cum insidias passus divendebatur.

6. At enim ab aliquo contemptim percussus fuisti, tanquam pauper ; fortior hinc factus es. Sed neque nobilis es neque dynasta, quia inhonoratus ut egens. Atqui sic mihi aliud narras libertatis genus. Audi et ethnicos de his philosophantes, dicentesque nihil grave perpeti, qui ita animo affecti sunt. At domum splendidam et insignem, et septis præditam, non habes, quia opibus cares, ideoque has exoptas. En vero universa terra in conspectu tuo est, publica ædificia, sive hinc delectationem sive usum capere velis. Quid porro jucundius quidve pulchrius cœli firmamento, quod nobis Deus extendit lacunar? Nam et nostri gratia creatum fuit, et commune est cunctis, et maxime, ob pulchritudinem suam idoneum menti ad Creatorem sursum extollendæ. Quousque nos amor tantopere præsentium rerum occupabit superfluarum atque inutilium? Nam divitiæ inter res superfluas reputantur, quarum nulla est utilitas. Quousque vanitatibus inhærebimus? Quousque cœlos non suspiciemus? non sobrii erimus? non satietas terrenarum rerum fluxarumque nos capiet? non denique ipsarum vilitatem experimento discemus?

7. Cogitemus illos qui divites ante nos exstiterunt; nonne illa omnia somnium, umbra, et flos fuerunt? nonne rumusculus atque fabula? Ille dives fuit; at nunc ubi divitiæ, quæ dilapsæ sunt et corruptæ? Sed peccata manent ob illas commissa, et propter peccata punitio. Quousque egeni ac pauperes res duraturas fugient, perituras sectabuntur? Non est quemquam divitem esse, nisi in anima opulentus sit : sicuti nemini contingit esse pauperi, nisi in animo paupertatem gerat. Nam si potior est anima corpore, non queunt debiliora illam sibi subjicere; sed quæ potior est, illa quæ æque non sunt valida, ad se trahit atque transmutat. Namque et cor si quod damnum pertulerit, totum corpus æque adficit : et si ægrum fuerit, toti nocet; sin inculume, usquequaque prodest. Secus vero, si quod aliud membrum laboret, corde inculumi manente, facile et aliorum membrorum damnum dispellitur.

8. Ut autem manifestius quod dico efficiam, quæ utilitas rassorum, die mihi, viridantium, si radix marcescat? Secus autem, quodnam detrimentum foliorum desuper arescentium, dummodo sana sit radix? Sic etiam nulla est divitiarum utilitas, si anima sit paupercula : neque vicissim nocet paupertas, si anima dives sit. At quomodo, inquiunt, dives sit anima si opibus carcat? Imo vero tunc

A Ἰακωβ ἔδειξε λαμπρὸν, ἄρτου μόνου ἐπιτυχεῖν ἐπιθυμοῦντα· δι' ἣν καὶ τὸν Ἰωσὴφ θαυμάζομεν ἐν ἰσχάτῃ γενόμενον πενίᾳ, καὶ οὐχὶ δοῦλον μόνον γενόμενον, ἀλλὰ καὶ δεσμώτην· οὐ γὰρ οὕτως ἐπαινοῦμεν αὐτὸν ὅτε τὸν σῖτον διένειμεν, ὡς ὅτε τὸ δεσμωτήριον ᾤκει· οὐδὲ ὅτε τὸ διάδημα περίκειτο, ὡς ὅτε τὴν ἄλυσιν· οὐδ' ὅτε ἐπὶ τοῦ θρόνου ἐκαθέζετο, ὡς ὅτε ἐπεβουλεύετο καὶ ἐπωλεῖτο.

ς'. Ἀλλ' ἐτυπτήθης παρά τινος ὡς πτωχὸς καταφρονηθείς ; καὶ τί τοῦτο ; καρτερικώτερος ἐντεῦθεν ἐγένου. Ἀλλ' οὐ κέκτησαι δόξαν καὶ δυναστείαν, ἄτιμος ὢν ὡς πένης. Πάλιν ἄλλης ἐλευθερίας εἶδός μοι λέγεις. Ἄκουσον καὶ τῶν ἔξω ταῦτα φιλοσοφούντων καὶ λεγόντων μηδὲν πεπονθέναι δεινὸν τοὺς οὕτω φρονοῦντας. Ἀλλ' οἰκίαν οὐκ ἔχεις λαμπρὰν καὶ B περιφανῆ καὶ περιβόλους ἔχουσαν, ἅτε στερούμενος χρημάτων, καὶ διὰ τοῦτο τούτων ὀρέγῃ. Ἀλλ' ἰδοὺ πᾶσα ἡ γῆ ἐνώπιόν σου, τὰ δημόσια οἰκοδομήματα, εἴτε εἰς τέρψιν, εἴτε εἰς χρείαν ἔχειν ἐθέλεις. Καὶ τί τερπνότερον καὶ ὡραιότερον τοῦ στερεώματος τοῦ οὐρανοῦ, ὃν ὁ Θεὸς ἡμῖν ἐξέτεινεν ὄροφον ; καὶ γὰρ δι' ἡμᾶς γέγονε, καὶ κοινός ἐστιν ἅπασιν ἡμῖν, καὶ τὰ μέγιστα ὠφελεῖ, ὡς διὰ τοῦ κάλλους εἰς τὸν Δημιουργὸν ἀναπέμπων. Μέχρι τίνος ὁ ἔρως ἡμᾶς οὕτω κατέχει τῶν παρόντων πραγμάτων, τῶν περιττῶν καὶ ἀνονήτων ; ὁ γὰρ πλοῦτος ἐν τοῖς περιττοῖς, ἐν οἷς οὐδὲν ὄφελος γίνεται. Μέχρι τίνος προσηλούμεθα τοῖς ματαίοις ; Μέχρι τίνος οὐ διαβλέπομεν ἐν τοῖς οὐρανοῖς ; οὐ νήφομεν ; οὐ λαμβάνομεν κόρον τῶν γηΐνων τούτων καὶ παραῤῥεόντων ; οὐ παιδευόμεθα διὰ C τῆς πείρας αὐτῶν τὴν εὐτέλειαν ;

ζ'. Ἐννοήσωμεν τοὺς πρὸ ἡμῶν πλουτήσαντας· οὐχὶ ὄναρ πάντα ἐκεῖνα ; οὐχὶ σκιὰ καὶ ἄνθος ; οὐχὶ διήγημα καὶ μῦθος ; ὁ δεῖνα πεπλούτηκε, καὶ ποῦ νῦν ὁ πλοῦτος ; Ἀπώλετο καὶ διέφθαρται. Ἀλλὰ τὰ δι' αὐτῶν ἁμαρτήματα μένει, καὶ ἡ διὰ τὰ ἁμαρτήματα κόλασις. Μέχρι τίνος πτωχοὶ καὶ πένητες, τὰ μὲν μένοντα φεύγοντες, διώκοντες δὲ τὰ φεύγοντα ; Οὐκ ἔστι πλούσιον εἶναι τὸν μὴ τῇ ψυχῇ πλουτοῦντα· καθάπερ οὐκ ἔνι πτωχὸν εἶναι τὸν μὴ ἐν διανοίᾳ ἔχοντα τὴν πενίαν· εἰ γὰρ κυριώτερον τοῦ σώματος ἡ ψυχὴ, οὐκ ἰσχύει τὰ μὴ ἰσχυρότερα αὐτὴν διαθεῖναι πρὸς ἑαυτά· ἀλλ' ἡ κυρία τὰ μὴ οὕτω κύρια πρὸς ἑαυτὴν ἐφέλκεται καὶ μεταβάλλει· καὶ D γὰρ ἡ καρδία ὅταν τινὰ δέξηται βλάβην, ἅπαν τὸ σῶμα οὕτω διατίθησι· κἂν δύσκρατος γένηται, τῷ παντὶ λυμαίνεται· κἂν εὔκρατος, τὸ πᾶν ὀνίνησιν· ἂν δέ τι τῶν λοιπῶν διαφθαρῇ, ταύτης μενούσης ὑγιοῦς, εὐκόλως κἀκείνων τὴν λύμην ἀποτινάσσεται.

η'. Ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω ποιήσω, τί κλάδων ὄφελος, εἰπέ μοι, χλωρῶν, ὅταν ἡ ῥίζα μαραίνηται ; Τί δὲ βλάβος τῶν ἄνωθεν ξηρανθέντων φύλλων, ταύτης οὔσης ὑγιοῦς ; Οὕτω καὶ ἐνταῦθα οὐδὲν ὄφελος χρημάτων, ψυχῆς οὔσης πενιχρᾶς· οὐδὲ βλάβος πενίας, ψυχῆς οὔσης πλουσίας. Καὶ πῶς ἂν γένοιτο πλουσία, φησὶ, ψυχὴ ἐν πενίᾳ χρημάτων οὖσα ; Μάλιστα ἂν τότε γένοιτο· τότε γὰρ καὶ

πλουτεῖν εἰωθεν. Εἰ γὰρ, καθὼς πολλάκις ἐδείξαμεν, τοῦτο πλουτοῦντος τεκμήριον, τὸ καταφρονεῖν χρημάτων καὶ μηδενὸς δεῖσθαι, εὔδηλον ὅτι πενίας τοῦτο μάλιστα σημεῖον, τὸ χρημάτων ἐφίεσθαι· τὸ γὰρ ἐν πενίᾳ εἶναι μᾶλλον ποιεῖ πλουτεῖν· καὶ γὰρ ὅτι εὐκολώτερον ἂν τις ἐν πενίᾳ ἢ ἐν πλούτῳ καταφρονήσειε χρημάτων, καὶ μᾶλλον ἐφίεται χρημάτων ὁ πλούσιος ἢ ὁ πένης, παντί που δῆλον· ὡς γὰρ ὁ μεθύων μᾶλλον διψᾷ τοῦ μετασχόντος αὐτάρκως τοῦ πόματος, οὕτως ὁ ἐν πλούτῳ μᾶλλον ὀρέγεται χρημάτων τοῦ ἐν πενίᾳ ὄντος· οὐδὲ γάρ ἐστιν αὕτη ἡ ἐπιθυμία τοιαύτη, ὥστε τῷ πλείονι σβέννυσθαι, ἀλλὰ τοὐναντίον ἀνάπτεσθαι πέφυκε τούτῳ· καὶ καθάπερ τὸ πῦρ ὅταν λάβῃ πλείονα τροφήν, τότε μάλιστα ἀγριοῦται, οὕτω καὶ ἡ τῶν χρημάτων ἐπιθυμία, ὅταν πλέον ἐμβάλλῃ χρυσίον, τότε μάλιστα αἴρεται.

θ'. Ὅθεν οὐδὲ ἥδονται οἱ χρημάτων ἐρῶντες ὑπὲρ ὧν ἔχουσιν, ἅτε κεχηνότες ὅλῃ τῇ διανοίᾳ πρὸς τὰ μήπω ληφθέντα· καὶ μὴ μόνον οὐχ ἥδονται, ἀλλὰ καὶ βασανίζονται, ὅσῳ ἂν περιβάλλωνται, τῷ μηδὲν εἰδέναι πέρας τῆς τοιαύτης ἐπιθυμίας. Ὅσπερ ἄρα καὶ ὁ διηνεκῶς διψῶν, κἂν μυρίας ἐκπίῃ πηγάς, τῆς ἡδονῆς οὐδόλως αἰσθάνεται, διὰ τὸ μὴ λαμβάνειν κόρον· καὶ καθάπερ πάλιν εὐνοῦχος ἐπιθυμίαν ἔχων ἀπαρθενεῦσαι νεᾶνιν, ὡς φησί τις σοφὸς, ὅταν αὐτὴν περιλάβῃ, συμπλέκεται μὲν τῇ ἐρωμένῃ, μὴ δυνάμενος δὲ τὴν ἐπιθυμίαν ἐμπλῆσαι, τὴν ἐσχάτην βάσανον ὑπομένει· οὕτω καὶ ὁ φιλάργυρος ἐπιθυμῶν χρυσίου καὶ ἀργυρίου, ὅταν ἐν κτήσει γένηται τούτων, συγγίνεται μὲν τῇ εὐπορίᾳ, ὡς ταύτην ἔχων, ἐμπλῆσαι δὲ τὴν ἐπιθυμίαν ἅπασαν οὐ δυνάμενος, ἀεί ἐστιν ἐν ὀδύνῃ· πλουτεῖν γὰρ πλέον βουλόμενος, καὶ περιβαλέσθαι πλεῖον, ἀνάπτει μᾶλλον, καὶ οὐδέποτε ἵσταται, ἀλλὰ κἂν μυρία λάβῃ τάλαντα, ἑτέρων τοσούτων ἐπιθυμεῖ· κἂν τούτων ἐπιτύχῃ, ὅις τοσούτων ἐφίεται· καὶ προῖών καὶ τὰ ὄρη, καὶ τὴν γῆν, καὶ τὴν θάλατταν, καὶ πάντα εὔχεται αὐτῷ γενέσθαι χρυσίον, καινήν τινα μανίαν καὶ φοβερὰν, καὶ οὐδέποτε δυναμένην σβεσθῆναι μαινόμενος. Εἰ τοίνυν τὸ πλεῖον ἐφίεσθαι πενίας τεκμήριον, ὁ δὲ ἐν πλούτῳ τοιοῦτος, οὗτος μάλιστά ἐστιν ἐν πενίᾳ. Ὁρᾷς ὅτι τότε μάλιστα πένεται ἡ ψυχὴ, ὅταν πλουτῇ· καὶ τότε πλουτεῖ, ὅταν ἐν πενίᾳ ᾖ;

ι'. Εἰ δὲ βούλει, καὶ ἐπὶ προσώπων τὸν λόγον γυμνάσωμεν· καὶ ἔστωσαν δύο τινὲς, ὁ μὲν ἔχων μύρια τάλαντα, ὁ δὲ δέκα· καὶ ἀμφοτέρους ταῦτα ἀφαιρούμεθα. Τίς οὖν μᾶλλον ἀλγήσει; Ὁ τὰ μύρια ἀπολέσας. Οὐκ ἂν δὲ μᾶλλον ἤλγησεν, εἰ μὴ μᾶλλον ἐφίλει· εἰ δὲ μᾶλλον φιλεῖ, μᾶλλον ἐπιθυμεῖ· εἰ δὲ μᾶλλον ἐπιθυμεῖ, μᾶλλόν ἐστιν ἐν πενίᾳ· τούτου γὰρ μάλιστα ἐπιθυμοῦμεν, οὗ μάλιστά ἐσμεν ἐν ἐνδείᾳ· ἀπὸ γὰρ ἐνδείας ἡ ἐπιθυμία· ἔνθα γὰρ ἂν ᾖ κόρος, ἐπιθυμίαν οὐκ ἔστιν εἶναι· καὶ γὰρ τότε μάλιστα διψῶμεν, ὅταν ἐνδεῶς ἔχωμεν ποτοῦ. Λοιπὸν οὖν οὐ παρὰ πενίαν, ἀλλὰ παρ' ἡμᾶς αὐτοὺς ἡ βλάβη γίνεται· οὐδεὶς γὰρ ἡμᾶς λυμανεῖται, ἐὰν νήφ-

A maxime: tunc enim ipsa ditescere solet. Si enim, ut sæpe demonstravimus, divitis est conditionis argumentum, opum contemptus, et nullius rei indigentia, constat vicissim hoc esse paupertatis indictum, si opes concupiscantur. Namque in paupere vita versari, magis facit ditescere. Profectó facilius pauper, quam dives, opes contemnet: magisque optat pecuniam dives quam pauper, ut omnibus exploratum est. Sicut enim ebrius magis sitit quam qui moderate biberit; sic etiam dives vehementius pecuniam optat quam pauper. Namque haud ejusmodi est hæc cupiditas, ut copia possit exstingui, sed ab hac potius augeri solet. Atque ut flamma cum majorem escam nacta fuerit, tunc potissime sævit, sic pecuniæ cupiditas, quo plus auri ingesseris, tunc maxime extollitur.

9. Quamobrem ne delectantur quidem divitiarum amatores iis quæ habent, quandoquidem tota mente ad illas inhiant quas nondum adepti sunt. Neque tantum non delectantur, verum etiam cruciantur quo magis ditescunt, quia nullum cupiditatis hujus terminum agnoscunt. Sicut enim qui perpetuo sitit, etiamsi sexcentos hauriat fontes, nullam voluptatem capit, quia nullam satietatem experitur; rursus sicut spado cupiens juvenculam devirginare, ut ait quidam sapiens [19], cum eam corripuerit, nititur quidem in amasiam, sed quia cupiditatem explere nequit, cruciatur; ita avarus auri argentique cupidus, rerum quidem copia potitur, sed quia tamen cupiditatem totam explere nequit, perpetuo cruciatu urgetur. Magis enim ditescere volens, et pluribus redundare, incendit potius quam sedat cupiditatem: sed etsi decem millia talenta ceperit, totidem alia expetit: quæ si consecutus fuerit, totidem exoptat: pergensque porro, montes quoque, et terram ac mare, omnia denique aurum sibi fieri postulat, nova quadam insania, et nunquam exstinguenda insaniens. Si ergo plura desiderare, paupertatis est indicium, hujusmodi autem est qui in divitiis versatur, sequitur ut hic præ cæteris pauper sit. Viden' igitur tunc potissime animam esse pauperem, cum est dives, et tunc esse divitem, cum in paupertate est?

10. Quod si mavis, ut etiam in personis sermonem nostrum exerceamus, sint utique duo quidam, alius decem mille talenta habens, alius decem: porro utrumque suis spoliemus. Quis gravius dolebit? Sane qui decem mille amisit. Non autem magis doleret, nisi plus amaret: quod si magis amat, magis cupit: si magis cupit, majore paupertate urgetur: nam hoc præcipue optamus, cujus præcipue indigemus: namque ex egestate cupiditas: ubi enim satietas, non est cernere cupiditatem. Nam tunc vehementius sitimus, cum potu caremus. Superest igitur, non a paupertate sed a nobis ipsis damnum hoc provenire. Nemo enim

[19] Eccli. xxx, 21.

nobis nocebit, si sobria mente fuerimus. Propterea oro quæsoque, ne talem patiamur insaniam, salutem nostram propter modicum argentum prodigentes : sed futurarum rerum spem foveamus : senes quidem, utpote manifeste cernentes breve nobis superesse vitæ tempus ; juvenes autem, ceu certo scientes, haud multum nobis reliquum esse : namque ut fur in nocte, ita dies illa venit. Omni igitur studio vitemus cupidæ avaritiæ morbum. Quanquam enim sæva est hæc bellua, ut diximus, nihilominus, si certe velimus, facile eam superabimus. Non enim innata est ac naturalis ista cupiditas ; alioquin jam inde a rerum initio insita fuisset. Atqui antiquitus neque aurum erat, neque auri ullus amator.

φωμεν. Διὸ παρακαλῶ, μὴ τοσαύτην ὑπομένωμεν ἄνοιαν, προδιδόντες τὴν σωτηρίαν ἡμῶν διὰ μικρὸν ἀργυρίδιον · ἀλλ' ἀντεχόμενοι τῆς μελλούσης ἐλπίδος, οἱ μὲν γεγηρακότες, ἅτε εἰδότες φανερῶς ὅτι ὀλίγος ἡμῖν ὑπολείπεται τῆς ζωῆς χρόνος · οἱ δὲ νέοι, ἅτε πεπεισμένοι σαφῶς ὅτι οὐ πολὺ τὸ λειπόμενον · ὡς γὰρ κλέπτης ἐν νυκτὶ, οὕτως ἡ ἡμέρα ἐκείνη ἔρχεται. Φεύγωμεν πάσῃ σπουδῇ τῆς φιλαργυρίας τὴν νόσον · εἰ γὰρ καὶ δεινὸν τοῦτὶ τὸ θηρίον, ὡς εἴπομεν, ἀλλ' ὅμως ἐὰν θέλωμεν, ῥᾳδίως περιεσόμεθα · οὐ γάρ ἐστιν ἡ ἐπιθυμία αὕτη ἔμφυτος καὶ φυσική · ἦ γὰρ ἂν παρὰ τὴν ἀρχὴν ἐνετέθη. Νῦν δὲ χρυσίον οὐκ ἦν ἄνωθεν, οὐδὲ ἦρα τις χρυσίου.

11. Jam, si vultis, unde hoc malum eruperit, dicam. Dum præcessores suos quisque æmulatur, morbum aggravat ; et cupientem, is qui antecedit incitat. Nam cum vident domos splendidas, latitudinem agrorum, servorum greges, et argentea vasa, et multam vestimentorum congeriem, nihil non agunt ut alios superent : atque ita priores causam præbent secundis, hi autem posteris. Quod si sobrietatem retinere vellent, aliis magistri non forent. Neque idcirco hi posteriores excusantur ; sunt enim alii qui opes contemnunt ; quod ipsum magnopere demonstrat, non esse naturaliter insitum avaritiæ morbum, quæ res ex illis patescit, qui alieni ab eo sunt. Siquidem physicæ qualitates communes omnibus sunt : hæc autem cupiditas, culpa nostra tantummodo exsistit : hinc nascitur, hinc augetur ; et illi inhiantes cum occupaverit, contra naturam facit vivere. Etenim cum non agnoscunt populares suos, amicos, fratres, cognatos prorsus quoslibet, et cum illis se ipsos quoque negligunt, id enim vere contra naturam vivere est. Unde apparet contrarium naturæ esse hoc vitium, id est avaritiæ morbum.

ια'. Ἀλλ' εἰ βούλεσθε, λέγω πόθεν εἰσῆλθε τὸ κακόν · ἕκαστος τὸν πρὸ αὐτοῦ ζηλοῦντες, ἐπέτεινον τὸ νόσημα, καὶ τὸν βουλόμενον ὁ προλαβὼν ἐρεθίζει. Ὅταν γὰρ ἴδωσιν οἰκίας λαμπρὰς, καὶ πλῆθος ἀγρῶν, καὶ ἀνδραπόδων ἀγέλας, καὶ ἀργυρᾶ σκεύη, καὶ πολὺν ἱματίων φορυτὸν, πάντα πράττουσιν, ὥστε ὑπερβαλέσθαι · ὥστε οἱ πρῶτοι τῶν δευτέρων αἴτιοι γίνονται, κἀκεῖνοι τῶν μετ' αὐτούς. Εἰ δὲ ἐβούλοντο σωφρονεῖν, οὐκ ἂν τοῖς ἄλλοις ἐγίνοντο διδάσκαλοι · μᾶλλον δὲ οὐδὲ τούτοις ἔστιν ἀπολογία · εἰσὶ γὰρ καὶ ἕτεροι χρημάτων καταφρονοῦντες · ὃ καὶ αὐτὸ δεῖγμα μέγιστον τοῦ μὴ φυσικὸν εἶναι τὸ τῆς φιλαργυρίας νόσημα · καὶ ἐκ τῶν ταύτης γὰρ ἀπηλλαγμένων τοῦτο γίνεται δῆλον, ἐπειδὴ τὰ τῆς φύσεως κοινὰ πάντων ἐστίν · αὕτη δὲ ἐκ ῥᾳθυμίας ἡ ἐπιθυμία γίνεται μόνης · ἐντεῦθεν φύεται, ἐντεῦθεν αὔξεται · καὶ τοὺς πρὸς αὐτὴν κεχηνότας ὅταν ἕλῃ, παρὰ φύσιν ποιεῖ ζῆν. Ὅταν γὰρ ἀγνοῶσι τοὺς ὁμοφύλους, τοὺς ἀδελφοὺς, τοὺς συγγενεῖς ἅπαντας ἁπλῶς, καὶ μετὰ τούτων καὶ ἑαυτοὺς, παρὰ φύσιν τοῦτό ἐστι ζῆν. Ὅθεν δῆλον ὅτι παρὰ φύσιν ἡ κακία, καὶ τὸ τῆς φιλαργυρίας νόσημα.

12. Propterea et Judas in hunc morbum culpa sua implicitus, proditor Christi exstitit, quanquam ab eodem Christo vocatus. Quippe non est coarctans Dei vocatio, neque vim facit menti eorum qui virtutem amplecti nolunt : sed hortatur tantum et consulit, et satagit atque dat operam suadendo ut boni fiamus : quam si nonnulli non admittunt, haud idcirco cogit ; sicuti neque Judam coegit fieri bonum, postquam improbus pravusque culpa propria ob hunc morbum evaserat. Hinc enim, et non aliunde, fiunt hujusmodi mutationes : quem admodum a bono studio procedunt contrariæ. Quot enim qui fuerant violenti, mansuetiores ovibus postea evaserunt ? Quot luxuriosi, deinceps pudici exstiterunt ? Quot antea rapaces, deinde sua quoque projecerunt ? Quamobrem, si sapimus, procul abjiciamus divitiarum cupiditatem, et avaritiæ morbum ; cujus nequitiam ipsi quoque testantur avari, injuriam sibi fieri judicantes, quotiescunque aliquis eis hoc opprobrium objecerit. Et re quidem vera, summum hoc est opprobrium, multæque nequitiæ

ιβ'. Διὰ τοῦτο καὶ ὁ Ἰούδας τούτῳ περιπεσὼν ἐκ ῥᾳθυμίας, προδότης ἐγένετο τοῦ Χριστοῦ, καίτοι κληθεὶς ὑπ' αὐτοῦ τοῦ Χριστοῦ · καὶ γὰρ οὐκ ἀναγκαστικὴ τοῦ Θεοῦ ἡ κλῆσις, οὐδὲ βιάζεται τὴν γνώμην τῶν μὴ βουλομένων ἀρετὴν ἑλέσθαι · ἀλλὰ παραινεῖ μὲν καὶ συμβουλεύει, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε πεῖσαι γενέσθαι χρηστούς · εἰ δὲ μὴ ἀνάσχοιντό τινες, οὐκ ἀναγκάζει, καθάπερ οὐδὲ τὸν Ἰούδαν ἠνάγκασε γενέσθαι καλὸν, γενόμενον μοχθηρὸν καὶ φαῦλον ἀπὸ τούτου τοῦ νοσήματος ἐκ ῥᾳθυμίας · ἐντεῦθεν καὶ γὰρ οὐκ ἄλλοθεν αἱ τοιαῦται μεταβολαὶ, καθάπερ ἀπὸ σπουδῆς αἱ πρὸς τὸ ἐναντίον. Πόσοι γοῦν γενόμενοι βίαιοι, προβάτων ἡμερώτεροι γεγόνασιν ὕστερον ; Πόσοι ἀσελγεῖς σώφρονες μετὰ ταῦτα κατέστησαν ; Πόσοι πλεονέκται πρὸ τούτου ὕστερον ἐῤῥίψαν καὶ τὰ αὐτῶν ; Ὥστε ἐὰν νήφωμεν, ἐκβαλοῦμεν τὴν ἐπιθυμίαν τοῦ πλούτου, καὶ τῆς φιλαργυρίας τὸ νόσημα, ὅπερ καὶ αὐτοὶ μαρτυροῦσιν εἶναι κακὸν οἱ φιλάργυροι, νομίζοντες ὕβριν τὸ πρᾶγμα, ὅταν τις αὐτοῖς τοῦτο προσενέγκῃ τὸ ὄνειδος · ἔσχατον τοῦτο, καὶ πολλῆς κακίας

ἀπόδειξις. Εἰ γὰρ χρημάτων ὑπεριδεῖν οὐκ ἀνεχόμεθα, τίνος ἄλλου περιεσόμεθά ποτε ἐπιθυμίας; ἀλλὰ δοξομανίας, θυμοῦ ἢ ὀργῆς; Καὶ πῶς ἄν τις πεισθείη; ἐπιθυμίας μὲν γὰρ ἕνεκα τῆς τῶν σωμάτων καὶ θυμοῦ καὶ ὀργῆς πολλοὶ καὶ τῆς σαρκὸς τὴν κατασκευὴν λογίζονται, καὶ τὰς ὑπερβολὰς ἀντιτιθέασιν ἰατρῶν παῖδες· καὶ τὸν μὲν θερμότερον καὶ ὑγρότερον λαγνότερον εἶναί φασι, τὸν δὲ πρὸς ξηροτέραν ἐμπεσόντα δυσκρασίαν ἀκρόχολον καὶ θυμώδη. Φυλαργυρίας δὲ ἕνεκεν οὐδεὶς οὐδέποτε αὐτῶν ἤκουσεν εἰρηκότων τι τοιοῦτον. Οὕτω ῥᾳθυμίας μόνης ἐστὶ καὶ ψυχῆς ἀναλγήτου τοῦτο τὸ νόσημα, καὶ δυνατὸν τοῦτο φυγεῖν ἡμᾶς, ἂν θέλωμεν.

ιγ'. Σπουδάσωμεν τοιγαροῦν, ἀγαπητοὶ, καὶ τοῦτο διορθώσασθαι, καὶ τὰ καθ' ἑκάστην ἡλικίαν ἡμῖν ἐπιγινόμενα πάθη πρὸς τὸ ἐναντίον μεταθεῖναι. Ἂν δὲ καθ' ἕκαστον μέρος τῆς ζωῆς ἡμῶν παραπλέωμεν τοὺς τῆς ἀρετῆς πόνους, πανταχοῦ ναυάγια ὑπομένοντες, ἐπὶ τὸν λιμένα λοιπὸν ἐλθόντες ἔρημοι φορτίων πνευματικῶν, τὰ ἔσχατα ὑπομενοῦμεν. Πέλαγος γάρ ἐστιν τεταμένον ὁ παρὼν βίος· καὶ ὥσπερ ἐν τῇ θαλάττῃ ταύτῃ διάφοροι κόλποι διαφόρους ἔχοντες χειμῶνας· καὶ ὁ μὲν Αἰγαῖος διὰ τὰ πνεύματά ἐστι χαλεπός· ὁ δὲ πορθμὸς ὁ Τυρρηνικὸς διὰ τὴν στενοχωρίαν· ἡ δὲ Χάρυβδις ἡ πρὸς τῇ Λιβύῃ διὰ τὰ τέλματα· ἡ Προποντὶς ἡ ἔξω τοῦ Εὐξείνου Πόντου διὰ τὸ ῥαγδαῖον τοῦ ῥοθίου· τὰ ἔξω Γαδείρων διὰ τὴν ἐρημίαν καὶ τὸ ἀτριβὲς καὶ τὸ ἀνιστόρητον τῶν τόπων· καὶ ἄλλο μέρος δι' ἕτερον· οὕτω καὶ ἐπὶ τῆς ζωῆς τῆς ἡμετέρας. Καὶ πρῶτον πέλαγος ἔστιν ἰδεῖν τὸ τῆς παιδικῆς ἡλικίας πολὺν ἔχον τὸν σάλον διὰ τὸ ἀνόητον, διὰ τὴν εὐκολίαν, διὰ τὸ μὴ πεπηγέναι. Διὰ τοῦτο καὶ παιδαγωγοὺς ἐφιστῶμεν καὶ διδασκάλους, τὸ λεῖπον τῇ φύσει διὰ τῆς ἐπιμελείας εἰσφέροντες, ὥσπερ ἐκεῖ διὰ τῆς τέχνης τῆς κυβερνητικῆς. Μετὰ ταύτην τὴν ἡλικίαν ἡ τοῦ μειρακίου διαδέχεται θάλασσα, ἔνθα σφοδρὰ τὰ πνεύματα, καθάπερ ἐν τῷ Αἰγαίῳ, τῆς ἐπιθυμίας ἡμῖν αὐξανομένης. Καὶ αὕτη μάλιστα ἡ ἡλικία διορθώσεως ἔρημος, οὐ διὰ τὰ ἁμαρτήματα μὴ ἐλέγχεσθαι· καὶ γὰρ καὶ διδάσκαλος καὶ παιδαγωγὸς λοιπὸν ἐξίσταται. Ὅταν οὖν τὰ μὲν πνεύματα σφοδρότερον διαπνέῃ, ὁ δὲ κυβερνήτης ἀσθενέστερος, καὶ ὁ ἀμύνων οὐδεὶς ᾖ, ἐννόησον τοῦ χειμῶνος τὸ μέγεθος. Μετὰ τοῦτο πάλιν ἕτερον μέρος τῆς ἡλικίας, τὸ τῶν ἀνδρῶν ἔπεισιν, ἐν ᾧ τὰ τῆς οἰκονομίας ἐπίκειται· ὅτε δὲ γυνὴ καὶ γάμος καὶ παιδοποιία καὶ οἰκίας προστασία, καὶ πολλαὶ τῶν ἀνθεῖ καὶ βασκανία.

ιδ'. Ὅταν οὖν ἕκαστον μέρος τῆς ἡλικίας παρερχώμεθα μετὰ ναυαγίων, πῶς ἀρκέσομεν τῇ παρούσῃ ζωῇ; πῶς τὴν μέλλουσαν διαφευξόμεθα κόλασιν; ὅταν γὰρ ἐν μὲν τῇ πρώτῃ ἡλικίᾳ μηδὲν μανθάνωμεν ὑγιὲς, ἐν δὲ τῇ νεότητι μὴ σωφρονήσωμεν, καὶ ἄνδρες γενόμενοι φιλαργυρίας μὴ περιγενώμεθα, τότε ὥσπερ εἴς τινα ἀντλίαν τὸ γῆρας ἐλθόντες, καὶ πάσαις ταῖς πάγαις ταύταις τὸ σκάφος τῆς ψυχῆς ἀσθενέστερον κατασκευάσαντες, τῶν σανίδων διαλελυμένων, ἀπαντήσομεν εἰς ἐκεῖνον τὸν λιμένα,

A argumentum. Nam si opes contemnere non sustinemus, quamnam unquam vincemus aliam cupiditatem? num gloriæ? num animi vehementiæ aut iræ? Quis id credat? Cupiditatem quidem corporum, et animi vehementiam, et iram, multi in carnis naturam conferunt, quam rem medici exaggerant: et eum qui sit calidior humidiorve, lasciviorem esse aiunt: at sicciorem sortitum temperationem, irritabilem fore et iracundum. Verumtamen de avaritia nihil hujusmodi ab his dici unquam compertum est. Adeo solius socordiæ est animæque ignaviæ hic morbus, cumque vitare, potestatis nostræ est.

B 13. Studeamus itaque, charissimi, hoc quoque emendare vitium, et eas quæ in singulis ætatibus oboriuntur nobis cupiditates, in contrarium vertere. Quod si per singulos vitæ nostræ gradus neglexerimus virtutis labores, ubique naufragia patientes, cum in portum denique veniemus spiritalibus sarcinis vacui, supremam pœnam luemus. Pelagus enim vastum est vita præsens. Et quemadmodum in hoc mari diversi sinus sunt, diversas habentes tempestates; nam Ægæum mare ob ventos difficile est: fretum Tyrrhenicum propter angustias; Syrtis apud Libyam ob tractus palustres; Propontis extra pontum Euxinum propter undarum impetum; maria ultra Gades propter solitudinem et iter insuetum, et locorum ignorantiam, et aliæ aliam ob causam partes; ita usuvenit vitæ nostræ. Primum mare videre est puerilis ætatis, multam habens commotionem ob inscitiam et simplicitatem ac levitatem. Propterea et pædagogos apponimus atque magistros, naturæ defectum cura supplentes, sicut in mari providemus gubernandi arte. Hanc ætatem excipit adolescentiæ mare, ubi vehementes venti, sicut in Ægæo, aucta in nobis concupiscentia. Atque hæc potissimum ætas emendatore caret, non solum quia vehementius fastidit, sed quia peccata non reprehenduntur; nam magister et prædagogus jam submoti fuere. Cum ergo venti quidem vehementius flant, gubernator vero infirmior est, et protector nullus est, considera quanta sit tempestas. Posthinc adhuc alia ætatis pars, nempe virilis subit, in qua rei familiaris cura, in qua uxor, nuptiæ, liberorum procreatio, domus regimen, et multi sollicitudinum nimbi: tuncque præcipue avaritia efflorescit atque invidia.

14. Si ergo singulas ætatis partes inter naufragia transigemus, quid nostræ præsenti vitæ fiet? quomodo futuram vitabimus pœnam? Nam si in prima ætate nihil sanum didicerimus, in adolescentia temperantes non fuerimus, in virilitate avaritiam non superaverimus; tunc ad senectutem veluti ad quamdam sentinam provecti, postquam his cunctis impedimentis scapham animæ infirmiorem effecerimus, tabulis dissilientibus, in illum portum veniemus, multis onerati quisquiliis pro spiritali

merce : risumque diabolo excitabimus, nobis autem ipsis luctum, et intolerabiles conciliabimus pœnas. Ne igitur hæc contingant, nosmet omnino cohibentes, et perturbationibus resistentes, divitiarum cupiditatem expellamus, et dirum avaritiæ morbum ; quia, juxta prophetam, « Verumtamen vane conturbatur omnis homo vivens [30]. » Conturbatio namque vere est opum studium ; conturbatio et tumultus vanus, qui quidem in æternis stationibus non est. Hic enim alius laborat, et alius fruitur ; ibi autem laborum suorum unusquisque possessor erit et multiplicem recipiet mercedem. Ad illam itaque vitam semper manentem contendamus, caducam hanc et fluxam contemnentes ; ut et veras hic divitias obtineamus, et illic futuris æternis perfruamur bonis ; quæ utinam cuncti consequamur gratia et benignitate Domini nostri Jesu Christi, per quem et cum quo gloria est Patri cum sanctissimo Spiritu nunc et semper, et per sæcula sæculorum. Amen.

πολὺν ἐπιφερόμενοι φορυτὸν ἀντὶ πνευματικῆς ἐμπορίας · καὶ τῷ μὲν διαβόλῳ παρέξομεν γέλωτα, θρῆνον δὲ ἡμῖν αὐτοῖς, καὶ τὰς ἀφορήτους ἐπισπασόμεθα τιμωρίας. Ἵν' οὖν μὴ ταῦτα γένηται, πάντοθεν ἑαυτοὺς σφίγξαντες, καὶ πρὸς πάντα τὰ πάθη στάντες, ἐκβάλλωμεν τοῦ πλούτου τὴν ἐπιθυμίαν, καὶ τὸ δεινὸν τῆς φιλαργυρίας νόσημα · ἐπειδὴ κατὰ τὸν Προφήτην, « Πλὴν μάτην ταράττεται πᾶς ἄνθρωπος ζῶν · » ταραχὴ καὶ γὰρ ὄντως ἡ περὶ τὰ τοιαῦτα σπουδὴ, ταραχὴ καὶ θόρυβος περιττὸς, ὅπερ ἐν ταῖς μοναῖς ταῖς αἰωνίοις οὐκ ἔστιν · ἐνταῦθα μὲν γὰρ ἕτερος ἐμόχθησε, καὶ ἕτερος ἀπολαύει · ἐκεῖ δὲ τῶν ἑαυτοῦ μόχθων ἕκαστος ἔσται κύριος, καὶ πολλαπλασίονα λήψεται τὴν ἀμοιβήν. Πρὸς ἐκείνην τοίνυν τὴν ζωὴν τὴν ἀεὶ διαμένουσαν ἐπειγώμεθα, τῆς ἐπικήρου ταύτης καταφρονήσαντες· καὶ ῥευστῆς, ἵνα καὶ ἐνταῦθα πλουτήσωμεν ἀληθῶς, καὶ ἐκεῖ τῶν μελλόντων αἰωνίων ἀπολαύσωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα ἅμα τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

[30] Psal. XXXVIII, 12.

# ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΜΕΛΙΤΗΝΙΩΤΟΥ

## ΕΚ ΤΗΣ ΑΣΤΡΟΝΟΜΙΚΗΣ ΒΙΒΛΟΥ.

# THEODORI MELITENIOTÆ

## FRAGMENTA

## EX LIBRO DE ASTRONOMIA *,

(Ex editione Ismaelis Bullialdi, ad calcem Ptolemæi *De judicandi facultate et animi principatu*, Paris, 1663, 4°, repetita apud Fabric. *Bibl. Gr.* ed. Harles, tom. X.)

*Theodori Meliteniotæ, et magni sacellarii Magnæ Ecclesiæ Prooemium in astronomiam.*

I. A veterum sapientum quodam dictum, *Omnis operis et sermonis dux sit Deus*, quem ego imitatus dico, Hujus, quam aggredior, constructionis cœlestibus desuper sermonibus inspiratis dux sit, operantemque comitetur et adjuvet, qui manum suam auxiliatricem et confortantem in omnibus adversis porrigit Deus, Deus, inquam, qui donum revera divinum, quale nunquam largitus ipse est, aut largietur, philosophiam nostris hominibus dedit : quæ beata mentis operatio cum sit ac quies, omnes corporeas actiones et operationes splendore suo, præterquam quod dici queat, superat et

Θεοδώρου Μελιτηνιώτου, καὶ μεγάλου σακελλαρίου τῆς Μεγάλης Ἐκκλησίας Προοίμιον εἰς τὴν ἀστρονομίαν.

Α'. *Θεὸς ἡγείσθω παντὸς ἔργου τε καὶ λόγου*, φησί τις τῶν παλαιῶν σοφῶν, κἀγὼ μετ' αὐτοῦ νυνὶ, Τῆς παρούσης συντάξεως, καὶ συνεξαγέτω μοι θεία τῶν λόγων ἄνωθεν ἐπίπνοια, χεῖρα προτείνων τε καὶ ἐπιῤῥώννυς ἐν παντὶ τῷ παραστάντι Θεός. Θεὸς οὖ θεῖον τῷ ὄντι δῶρον, καὶ οἷον οὔθ' ἧκεν οὔθ' ἥξει πρὸς αὐτοῦ καθ' ἡμᾶς, κατεπέμφθη φιλοσοφία, ἐνέργεια νοῦ μακαρία γε οὖσα καὶ ἀσχολία, τὰς περὶ σῶμα πάσας ὅσον οὐδ' ἔστ' εἰπεῖν λόγῳ λαμπρῶς ὑπεραίρουσα · τῶν μὲν ἐρχομένων χαμαὶ καθάπαξ ἀπανιστᾶσα, τῶν ὁρωμένων δ' ὑπεράνω τιθεῖσα, καὶ κοινωνοὺς τῶν Ὀλύμπου πραγμάτων τοὺς αὐτῆς

* Est *Paris.* in cod. 2200, n. 4, Bibl. publ.

τροφίμους ποιοῦσα περὶ γῆν στρεφομένους ἔτι, καὶ τὸ δὴ μέγιστον εἰς μίμησιν ἥκοντας, ὅσον ἐφικτόν, τοῦ Θεοῦ. Ἦν ὑμνοῦσι μὲν οἵ τε τρόφιμοι ταύτης, καὶ ὅσοιπερ ἀπὸ τῆς συννάου ταυτῃ πάντες ποιητικῆς· ὑμνοῦσι δὲ λογοποιοί τε, καὶ οἷς τὸ τὴν γλῶτταν ἑλληνίζειν σπουδῇ, πλὴν εἰ μή πού τις μανίαν ἀπαρηγόρητον μαίνεται· οὕτω μέγα καὶ θεῖόν τι χρῆμα σοφία. Καὶ οὕτως ὑπερφυῶς ἐννοῆσαι, ὡς μηδὲ ἔχειν εἰπεῖν μήτε τι τῶν παρ' ἡμῖν ἕτερον πάμπληθες ὑπερέχειν τῶν ἄλλων· οὐκοῦν οὐδὲ γέγονεν, οὐδ' ἄλλῳ τῳ μηδενὶ τὸ πρόσρημα τοῦτ' ἐπενεγκεῖν, οὔτ' ἄλλου (1) μᾶλλον σοφίας ἀνθρώπῳ προσήκειν. Οὐκοῦν οὐδ' ἔστιν ἄλλως, μὴ σοφίας ὑπούσης, τῷ ὄντι καταφανῆναι κάλλιστον καὶ ἄνθρωπον ἀληθῶς λόγῳ τε χρώμενον, καὶ τούτῳ τῶν λοιπῶν μετεχόντων τοῦ ζῆν διαφέροντα.

A vincit, supra quidem terrestria erigendo, supraque visibilia collocando alumnos suos, terram adhuc incolentes rerum cœlestium participes reddit, et ad Deum, quantum assequi id licet, imitandum promovet. Quam cum ipsius alumnis quotquot poeticam, cum ea templum commune habentem, colant, hymnis celebrant. Oratores, quique Græce loqui ambiunt, nisi insania incurabili agantur vexenturque, laudes ejus canunt et prædicant, adeo magna divinaque res est sapientia. Tamque eximie ac excelse de ea sentiendum, ut aliud quidquam eorum, quæ apud nos mortales valde multa sunt, cæteris præstare quisquam dicere nequeat. Neque contingit, ut ullus alia de re qualibet hoc elogium protulerit, *nullam* scilicet *homini rem magis quam* B *sapientiam convenire*. Nullo itaque alio modo, quam si sapientia subsit, hominem pulcherrimum, et ratione vera utentem, ob eamque cæteris animantibus viventibus præstantiorem excellentioremque ostendere possibile est.

Β'. Τῆς τοίνυν σεμνοτάτης φιλοσοφίας τὰ περὶ τὸν οὐρανὸν θεωρήματα τοῦ θεολογικοῦ δίχα πάντων ὑπερανιδρυμένου, τὸ κράτιστον καὶ κεφάλαιον· καὶ πάρεστι τὸ τῆς ὑπερνεφοῦς ἀστρονομίας ὑπερβάλλον ὁρᾷν. Ἡ τῶν ἄλλων οὖσα καθάπαξ ἐπίπροσθεν, ὕλην μὲν ὑποβέβληται κατὰ τὸν εἰπόντα τὸ μακάριον οὐρανοῦ σῶμα, παρέχει δὲ τήν τε αἰτίαν τῇ λοιπῇ μαθηματικῇ θεωρίᾳ, καὶ ὅλως τὴν γένεσιν, ἀριθμόν τε ἤδη κόσμῳ γεννῶσα τὸν σύστοιχον, καὶ ἁρμονικοὺς λόγους καὶ μουσικήν· τά τε τῶν γραμμῶν οὐσιοῦσα πάθη, καὶ, ὡς ἔπος εἰπεῖν, δημαγωγοὺς οὐρανίους καὶ σοφιστὰς ἐν αἰθέρι τοὺς ἀνθρώπους ποιοῦσα· μὴ κατ' (2) ἐπιψαύειν γαίης ποσὶ δοκοῦντας, ὅταν ἄστρων κατὰ νοῦν ἀμφιδρόμους ἰχνεύωσι ἕλικας.

II. Philosophiæ igitur summo cultu ac veneratione prosequendæ theoremata, quæ ad rerum cœlestium contemplationem pertinent, theologiæ scientia supra cæteras seorsimque ab iis sedes sublimiores interim occupante, præcipua inter alia sunt; principatumque obtinent; inque illis nubes et cuncta meteora superantis astronomiæ excellentiam speculari licet. Quæ cum cæteras omnes scientias antecellat, materiam quidem, seu objectum, in quo versatur, cœli corpus, beatum quidam dictum, proponit; ipsaque causa et omnino genitrix contemplationum, quæ in cæteris matheseos partibus sunt; cum et numerum ejusdem cum mundo ordinis et naturæ, rationes harmonicas et musicam C producat generetque; linearumque proprietates et affectiones stabiliat, atque, ut ita dicam, oratores cœlestes et sophistas æthereos homines reddat; qui, cum circumvertentes se astrorum revolutiones mente investigarint, pedibus terram calcare amplius se non putant.

Γ'. Εἶπω τὸ μεῖζον καὶ τελειότερον, « Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. » Καὶ ὅτε ἐγεννήθησαν ἄστρα, φησὶ πρὸς Ἰὼβ ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν, « Ἤνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου καὶ ὕμνησαν. » Τί τἄλλα; Ἀβραὰμ ὁ μακάριος τῶν Ἀσσυρίων ἐκφὺς τῇ πολυθέῳ καθάπαξ ἐνισχημένος πλάνῃ, πρῶτος, εἴη δ' εἰπεῖν καὶ μόνος, τὸν τῶν ὅλων ἔγνω ποιητὴν καὶ Θεὸν πολυΐστορ ὢν καὶ πανσύνετος, φησί τις ἀνὴρ ἱερὸς, ἀποπροσποιούμενος μὲν τὸ τῶν Ἀσσυρίων ἐγχείρημα, τὴν δὲ τῆς ἀληθείας κατάληψιν ἀρκεῖν ἡγούμενος ἑαυτῷ πρὸς πᾶσαν εὐετηρίαν, ἐπεὶ καὶ μόνην οἶδεν εὐδαιμονίαν φιλοσοφία (3) τὴν τῆς ψυχῆς εὐεξίαν· καὶ μέντοι καὶ τὴν ἀληθῆ περὶ Θεοῦ κτησάμενος γνῶσιν, τοῖς κατ' οὐρανὸν θεάμασι τὸν ἡγεμόνα νοῦν ἀκριβῶς ἐπιστήσας· κράτιστος ὢν τὰ τοιαῦτα, καὶ ξύμπασαν ἀστρονομίας ἔχων τὴν ἐπιστήμην.

III. Quod maximum vero perfectissimumque est, dicam: « Cœli enarrant gloriam Dei, et opus manuum ejus annuntiat firmamentum [1]; » quo autem momento astra creata sunt, qui eorum multitudines numerat, et omnibus iis nomina vocat, Deus ad Jobum dicit: « Magna voce omnes angeli mei laudaverunt me hymnisque celebrarunt [2]. » Quid plura? *Abraham* ille beatus in Assyria natus, deorumque plurimorum falso cultu et errore implicitas, primus, liceat etiam dicere solus, universorum D Creatorem et Deum agnovit, cum ipse multiscius, utique vir quidem sacer ait, omnium intelligens esset; abdicatoque Assyriorum instituto, ad felicitatis abundantiam copiamque rerum omnium, veritatis comprehensionem sibi sufficere existimavit: solam siquidem unicamque beatitudinem philosophiam, qui animæ bonus rectusque habitus est, ipse noverat. Verum siquidem de Deo scientiam et cognitionem fuit assecutus, ubi mentis, quæ pars in homine

[1] Psal. xix, 1. [2] Job. xxxix, 7.

(1) Οὐδὲν ἄλλο.
(2) Ποτ'.
(3) Φιλοσοφίαν.

principalis est, accurata diligentique applicatione theorematibus cœlestibus perfectissime perceptis universæ astronomiæ peritiam acquisivit.

IV. Hoc etiam addere, idque opportune, possum. Salvator quidem naturam nostram propter nos induit; infinitis vero editis miraculis, Judæorum ipsi insidiantium malitia et invidia tandem comprehensus in crucem volens sponteque sua agitur, et in carne patitur. Præter cætera autem, quæ inopinato insolitoque more contigerunt, tenebras soli superfundi, iis etiam qui rerum cœlestium apprime periti erant, discernentibus, accidit; quod omnium maxime ad illum, qui in ligno condemnationis sublatus erat, cognoscendum, quod Deus ipse esset, causas præbuit. Solis enim, qui diei oculus est splendidissimus, eclipsim per lunæ in synodicis conjunctionibus interpositionem juxta naturæ leges factam, at sine mora in tenebris semper, cernere quandoque datur; quæ insuper prior deficit pars, prima quoque lumini restituitur; vicissimque, quæ ultimo obscuratur loco, postrema etiam emergit: atque etiam diversis in terræ climatibus, aliis aliisque hominibus varia et inæquali magnitudine eclipsis apparet. Quæ vero sub passionis tempus, quando legale Pascha mactabatur, in plenilunio luna soli ex diametro opposita, et illinc ad conjunctionem incessanter currente, incidit, conjuncta miraculo fuit visa. Statum rursus qui in principio fuit, hæc eclipsis mirabiliter retinuit, ita ut ab initio et post solidas per tres horas deficiens et obscuratus totus sol permanserit. Tenebras porro, quæ terrarum orbem ab oriente ad occasum protensum terruerunt, quæque virium ac potentiæ crucifixi magnitudinem ostendere, solus inconsuetas fuisse noverit, qui ad astronomiæ intimos penitissimosque recessus penetrarit. Ex quibus, nisi data opera malignus esse quis velit, cœlestium contemplatione scientifica, quæ non hominem simplicem, sed Deum hominem in ligno pendentem declarat et prædicit, tanquam præceptore usus veritatem hanc certe admodum cognoverit. Tenebræ siquidem nocturnæ, quæ meridiano tempore contigerunt, secundum astronomicæ artis dogmata naturæ leges non secutæ, sed jubente ac præcipiente Deo sunt portentose obortæ.

V. Tanquam ergo rem aliquam revera admirabilem ac pulcherrimam, quæ inter homines scientiasque cæteras locum maxime sublimem et divinis proximum occupat, astronomiam supra modum venerandam, adque superiora scandentem appellare, quin etiam præconis vices adorandi obeuntem a Deo ad nos profectam dicere possumus, omnibus recte considerantibus quod oportet monstrantem, ac clare annuntiantem, ipsum pro hominibus hominem factum, Deumque rursus manentem carnis etiam assumptione omnem in cruce naturam renovare. Astronomiam enimvero vetus veraque narratio est, a Deo per angelum Sethi posteris traditam esse, quod pro comperto quidem habeatur.

(4) Πάσχα.

Δ'. Ἔχω καὶ τόδε προσθεῖναι, καὶ ὄντως ἐπὶ καιρόν. Πολιτεύεται μὲν γὰρ τῇ καθ' ἡμᾶς φύσει δι' ἡμᾶς ὁ Σωτὴρ· μυρίων δὲ ὅσων θαυμάτων χρησάμενος ἐπιδείξεσι, τέλος τοῦ τῶν Ἰουδαίων ἐπιθεμένου τούτῳ φθόνου κακῶς, ἑκὼν ἐπὶ τὸν σταυρὸ ἀνάγεται, καὶ πάσχει σαρκί· τότε τοίνυν πρός γε τοὺς ἄλλοις παραδόξως γεγενημένοις καὶ σκότος ἡλίου καταχεόμενον ἦν τοῖς ἠκριβωκόσι ἀκριβῶς τὰ οὐράνια, πάντων μάλιστα παρέχον μανθάνειν Θεὸν εἶναι τὸν ξύλῳ μετεωρισθέντα τῆς καταδίκης· τὴν μὲν γὰρ ἑκάστοτε γιγνομένην ἐκλειπτικὴν φαντασίαν τοῦ τῆς ἡμέρας ὀφθαλμοῦ λαμπροτάτου, ἐκ τῶν περὶ τὴν συνοδικὴν συζυγίαν τῆς σελήνης ἐπιπροσθήσεων ἔστιν ὁρᾷν τῷ τῆς φύσεως ἀποτελουμένην ὁρῳ, καὶ μόνης κεκτημένην χρόνον οὐδέποτε. Ἔτι γε μὴν καὶ τὸ πρῶτον ἐκλεῖπον μέρος, ταῦτ' αὐτὸ καὶ πρώτως ἀναπληρούμενον, ὥσπερ αὐτὸ τελευταίως ἐπισκοτούμενον, ἀνακαθαιρόμενον ὕστατον· ἀλλὰ καὶ ἄλλοτ' ἄλλοις ἀνθρώποις ἐπὶ διαφόρων μερῶν φανταζόμενον τῆς γῆς. Τὴν δὲ ἐν τῷ Σωτῆρος πάθει γεγενημένην, ἔν τε πανσελήνῳ τηνικάδε νομικοῦ θυομένου φάσκα (4), τελεσθῆναι σὺν θαύματι τῆς σελήνης οὔσης ἐκ διαμέτρου, κἀκεῖθεν δραμούσης ἀχρόνως πρὸς σύνοδον· καὶ αὖθις αὖ τῆς προτέρας τυχούσης ἐκτόπως στάσεως, καὶ τοῖς ὅλοις ἐπὶ τρισὶν ὅλαις ὥραις οὕτω διαμεῖναι μετὰ τὸν τοῦ πρώτου ἐκλείποντος χρόνον, τοῦ δ' αὖ ὕστερον πρώτου· πρὸς δὲ καὶ ζόφον πᾶσαν κατὰ ταὐτὸν τὴν ὑφ' ἡλίου ἀνισχοντος ἄχρι καὶ δυομένου μεγάλως ἐκπλήττοντα, καὶ τὸ περὼν δεικνύντα τῆς τοῦ σταυρωθέντος ἰσχύος, μόνος ἂν εἰδείη σαφῶς ὅ γ' εἰς τοῦτο ἄκρατον ἀστρονομίας ἰών. Ἔνθεν τοι καὶ γνοίη μάλα ἀκριβῶς, εἰ μὴ συντίθοιτο ἐθελοκακεῖν, χρώμενος ὡς (5) περὶ παιδοτρίβῃ τῇ τῶν οὐρανίων ἐπιστημονικῇ θεωρίᾳ, τἀληθὲς ἐξ ἧς προαγγελλούσῃ μὴ ψιλὸν ἄνθρωπον εἶναι, θεάνθρωπον δὲ ἐπὶ ξύλου κρεμάμενον· εἰ δὴ καὶ τὸ νυκτερινὸν τότε σκότος ἐν μεσημβρίᾳ, μὴ συμβὰν, ᾗπερ δοκεῖ τῇ τέχνῃ, φύσεως πάντως ἀκολουθίᾳ, Θεοῦ δὲ θαυμασίως προστάγματι.

Ε'. Ὥστε ἔξεστι μὴν ὄντως ὡς θεσπέσιόν τι χρῆμα καὶ κάλλιστον, τὴν ἐν ἀνθρώποις τιμιωτάτην καὶ θειοτάτην τῆς λοιπῆς θεωρίας ἔχουσαν τάξιν, τὴν ὑπέρσεμνον ἀστρονομίαν, καὶ ἄνω βαίνουσαν προσειπεῖν, ἀλλὰ καὶ τρόπον κήρυκος σεβασμιωτάτου παρ' ἡμᾶς ἥκειν πρὸς τοῦ Θεοῦ, πᾶσι δεικνῦσαν τοῖς καλῶς ξυνορῶσι τὸ δέον, καὶ λαμπρῶς ἀπαγγέλλουσαν ὑπὲρ ἀνθρώπων αὐτὸν γενόμενον ἄνθρωπον Θεὸν αὖθις μένοντα, καὶ τῷ τῆς σαρκὸς προσλήμματι πᾶσαν ἐπὶ σταυροῦ τὴν φύσιν ἀνανεούμενον. Ἀστρονομίαν καὶ γὰρ πρὸς Θεοῦ δι' ἀγγέλου παλαιὸς λόγος καὶ ἀληθῶς ἔχων δεδόσθαι τοῖς ἐκ τοῦ Σήθ· εἴη δή.

(5) Ὥσπερεί.

Ϛ'. Τὸ μὲν οὖν τοὺς γινομένους ἑκάστοτε σχη- A
ματισμοὺς τῶν κινήσεων ἡλίου τε καὶ σελήνης, καὶ
τῶν λοιπῶν ἀστέρων πρός τε ἀλλήλους καὶ τὴν
γῆν θεωρεῖν, τό τε δι' ἀστρονομίας προγνωστικὸν,
τοῦτο δὴ ταῖς ἀληθείαις (6) εἰδέναι τέλος, περὶ ὧν
ἡ σπουδὴ τῷ Πτολεμαίῳ ἐν τοῖς τρισὶ πρὸς τοῖς
δέκα βιβλίοις τῆς μεγάλης συντάξεως, καὶ γνῶσιν
ἡγεῖσθαι ταῦτα διὰ φιλοσοφίας ἐπιστημονικὴν περί
τινων ὑπὸ Θεοῦ παρηγμένων φύσεων ὅπη τε ἔχει,
καὶ ὅπως ταῦτα φέρεται, θείκοῖς πειθαρχοῦντα
πάντως ὅροις τε καὶ προστάγμασι, μέγα δέδεικται
πολλαχόθεν, καὶ ὡς ἀληθῶς ὑπερμέγα τε καὶ ὑπερ-
σπούδαστον.

Ζ'. Τό γε μὴν τὰς δραστικὰς τούτων ποιότητας, B
καὶ τὴν φυσικὴν τῶν συσχηματισμῶν αὐτῶν ἰδιο-
τροπίαν, αἰτίαν τῶν περὶ ἡμᾶς συμπτωμάτων τί-
θεσθαι, καταψευδομένους τῶν οὐρανίων, κἀκ τῆς
τούτων κινήσεως τὰς γενέσεις πλέκειν, καὶ τὰ ξυμ-
βαίνοντα, κἀντεῦθεν δοκεῖν τὴν τῶν μελλόντων
ἔχειν εἰδέναι πρόγνωσιν, ὃ δὴ τῆς ἀστρολογικῆς,
τῆς δ' αὐτῆς καὶ μαθηματικῆς λαχούσης ἐξαιρέτως
κεκλῆσθαι, πολυασχόλου ματαιότητός ἐστι, τῇ τῶν
ἄστρων κινήσει τὰ ἡμέτερα συμφερούσης. Τοῦτο
τοίνυν πρὸς τῷ μηδὲν ὑγιὲς κεκτῆσθαι καὶ ἀληθείας
ἐχόμενον καὶ πρὸς πλάνην φέρει καὶ βυθὸν ἀπω-
λείας τοῖς εὐσεβεῖν ἐθέλουσι πάνυ τοι λυμαινόμενοι.
Ταῦτ' ἄρα καὶ νόμοι θεῖοι, καὶ θεσπεσίων καὶ θεο-
πρεπῶν θεσπίσματα διδασκάλων σύν γε τοῖς τὴν
μαγικὴν κακοτεχνίαν, καὶ Θεοῦ πόρρῳ βάλλουσαν,
κακῶς καὶ ἀθέως ἐξησκημένην (7), καὶ μαθηματι- C
κοὺς, εἴτουν ἀστρολόγους, ὡς εἰκὸς, ἀποτροπιά-
ζονται· ἅτε δὴ πρὸς τὰ ἄνω κεχηνότας γε μάτην,
καὶ τῇ τούτων κινήσει τὴν ἡμετέραν προσαρτῶν-
τας ζωὴν θεομαχοῦντας ἀντικρυς, καὶ βαίνοντας
ὄντως ὑπὲρ τὰ ἐσκαμμένα, ἐπὶ κακῷ δήπου τῆς
σφῶν αὐτῶν κεφαλῆς, ἐν ἴσῳ δ' εἰπεῖν καὶ ψυ-
χῆς.

Η'. Ἀλλ' ἐκείνους μὲν οὕτω πάντας δὲ ἀξίως τῆς
ἡμετέρας ἐξωθοῦσιν αὐλῆς οἱ καλῶς αὐτῆς προϊστά-
μενοι· ἐγὼ δὲ τούτοις ὅσα καὶ παῖς πατράσι ἑπό-
μενος τοῖς ἱεροῖς τροφεῦσι καὶ παιδευταῖς, καὶ παρ'
οὐδὲν μὲν ἄγων, καὶ διαπτύων δυοῖν τῶν τῆς ἀστρο- D
θεάμονος σοφίας εἰδῶν τὸ δεύτερον, ὡς ἐπίβουλόν τε
καὶ σφαλερὸν, καθὸ τὰς τῶν ἐμπεριεχομένων μετα-
βολὰς διὰ τῶν ἀστέρων συσχηματισμῶν ἀποτελου-
μένας οἱ περὶ ταῦτα κομψοὶ τηνάλλως φασὶν ἐπι-
σκέπτεσθαι, καὶ λίαν ἐπικινδύνως. Τὸ πρότερον δὲ
τῇ τάξει τε καὶ δυνάμει, καὶ φέρεται γὰρ τὰ
πρῶτα κατὰ τῶν ἄλλων, πρὸς μεγίστην δύησιν φέ-
ρον, καὶ περὶ τὰς τῶν ἀστέρων μόνον κινήσεις ἔχον
ἐν λόγῳ τιθέμενος, ἔδοξα πρὸς εὔχρηστον τῆς θεω-
ρίας ὑπομνηματισμὸν ἐμαυτοῦ τε χάριν καὶ τῶν γε
προτρεψάντων ἐκ παλαιοτάτων συνήθων, ἐν μὲν τῇ
πρώτῃ βίβλῳ τοῦ παρόντος συντάγματος, ὡς ἐν

VI. Occurrentes igitur subinde motus solis et A
lunæ cæterarumque stellarum inter se et ad terram
configurationes, contemplari, et, quæ per astrono-
miam habetur, prænotionem; qui veritatum no-
scendarum finis est, in quibus assequendis trede-
cim magnæ constructionis libris compositis operam
suam Ptolemæus locavit; eaque scientificam phi-
losophiæ regulis existimare de quorumdam a Deo
productorum naturis notionem, quomodo ipsa se
habeant, et qua ratione divinis præceptis et decre-
tis prorsus obsequendo ferantur, magna et ardua
multis argumentis demonstrata res est, utque ve-
rum dicam, supra modum magno et summo cultu
veneranda.

VII. Qualitates autem ipsorum activas, et natu- B
ralem configurationum peculiarem modum, causam
eorum quæ hominibus accidunt, cœlestibus corpo-
ribus falsa tribuendo statuere; exque illorum motu
genethliaca themata contexere; et accidentia dedu-
cere, indeque prænotionem futurorum haberi pos-
se, quod ad astrologiam, mathematicæ singulari
eximioque nomine insignitam, pertinet, existimare,
otiosæ stultitiæ ad astrorum motus, tanquam ad
causas, humanas actiones referentis opus est. Illius
igitur artis, quæ ad quidquam boni sanique nihil
confert, quæque nullam cum veritate affinitatem
habet, cognitio in errorem, corruptionis perditio-
nisque abyssum, pie agere volentibus valde perni-
ciosam, adducit. Talia igitur, una cum magiæ pra-
vam artem, quæ hominem a Deo longe projicit, C
improbe et spreto numine exercentibus, mathema-
ticisque, videlicet astrologis, et leges divinæ, et
magistrorum Dei cultorum, divinoque Spiritu adfla-
torum oracula jure merito aversantur abominantur-
que. Illi quippe ad corpora superiora oscitante ore
frustra respicientes, ab eorum motu vitam nostram
pendere, Deum adverso vultu impugnando, posi-
tosque terminos transiliendo, statuunt, unde tan-
dem in caput suum perniciem animamque pariter
suam accersunt.

VIII. Sic itaque omnes illos ex nostris caulis, D
qui recte illis præsunt pastores, merito expellunt.
Horum etiam ego, utpote filius patrum nutricio-
rum et pædagogorum vestigiis insistendo, duarum,
quæ circa astra versantur, scientiarum alteram
nullo in pretio habeo, utque deceptricem ac fal-
lacem mutatamque aversor: quatenus quæ in
mundo mutationes accidunt, ab astrorum positu
et configuratione immitti asserunt, qui eam præci-
pue jactant, ac maximo cum periculo profitentur.
Ordine vero et facultate primam, primas enim par-
tes hæc adversus alias sibi vindicat, utilissimam ac
maxime conducibilem, in astrorum motibus riman-
dis solummodo versantem plurimi faciens, in *pri-
mo* hujus operis *libro*, ut theoriæ explicationem et
in illam commentarium, tam mei, quam hortatorum
mihi ab antiquo familiarium causa faciliorem ex-

(6) Τὰς ἀληθείας.

(7) Ἐξησκημένοις.

hiberem, calculi absolvendi isagogen præmittere, et compendiose declarare decrevi, quæ ad ea quæ secundo ac tertio libro continentur, percipienda valde conducat. Quo de calculo in diffusioribus amplioribusque commentariis philosophus *Syrianus*, *Theon* et *Pappus*, et *Joannes Grammaticus*, civis Alexandrinus, tractarunt; cui calculi subducendi methodo a nobis reperta quædam adjecta sunt. In *secundo* vero *libro* calculi in planetis ac fixis instituendi magnæ constructionis modum planiori methodo tractare exemplisque faciliorem reddere; simulque numerandi rationes in canonibus manualibus exhibitas per exemplorum modum in eo describere, amborumque in omnibus consensum ostendere statui. Hujus vero nostræ constructionis *libro tertio*, *Persicarum tabularum* manualium numeros et calculum includemus, opusque nostrum *Astronomicum Tribiblum* appellabimus; cæteris quidem aliis inutilis erit et jure despectui prorsus habenda. In hanc tamen theoriam commentarius non solum sociis amicisque, qui ad scribendum hortatores impulsoresque fuere, utilis erit, sed et mihi ejus auctori, *Theodoro Meliteniotæ*, qui Constantinopoli, seu novæ Romæ olim natus, sum inter ministrantes in Christo relatus, et senatorii ordinis sacri honoribus adeptis sacellarius magnus factus, et sanctissimæ Magnæ Dei Ecclesiæ doctor doctorum, ac sancti imperatorii cleri archidiaconus. Hujus itaque astronomicæ *Tribibli* primus liber, qui et ad computationes introductio est, hæcce continet:

## EJUSDEM CAPUT I.

*Quid sit astronomia, et a quibus primum inventa ad Græcos postea devenerit. Quis etiam mathematicæ et magnæ constructionis sit scopus.*

IX. Astronomia ars est, quæ circa cœlestia corpora occupatur et versatur, cujus finis est eorum motus cognoscere. Astronomia etiam continuæ quantitatis semper motæ cognitio est. Astronomia quoque sphærica vocatur a prima, eaque diguiore, sphærica doctrina denominata, quæ sphæram cœlestem omnia ambitu suo complectentem contemplatur; a stellis quoque in ea existentibus (*Græco nomine*) appellata, divina revera et pulcherrima est disciplina. De divinis quippe cœlestibusque rebus cogitando, circa contemplationem eorum quæ eodem semper se modo habent, ut libri I *Magnæ Constructionis*, cap. 1, *Ptolemæus* asserit, sola etiam versatur; qua de causa in proprii objecti comprehensione, quæ nec obscura nec confusa est, tantum pollet, ut sibi semper similis et immutabilis permaneat, quod scientiæ proprium est. A *Sethi* quidem Adami liberorum unius posteris hæc est omni veneratione major inventa disciplina; quod quidem veterum Patrum monumenta veritati consona docent: idque *Josephus* veritatis studiosus profecto et amans *Antiquitatum Judaicarum* lib. I scripsit.

κεφαλαίοις, ψηφοφοριῶν εἰσαγωγὴν προεκθέσθαι, καὶ ὑποτυπώσασθαι, πρός τε τὴν δευτέραν καὶ τὴν τρίτην μάλα συντείνουσαν· ἧς πέρι πλείστα συγγράμματα διεξοδικώτερον εἴργασται τῷ φιλοσόφῳ Συριανῷ, Θέωνί τε καὶ Πάππῳ τοῖς μαθηματικοῖς, καὶ Ἰωάννῃ Γραμματικῷ τῷ τῆς Ἀλεξάνδρου πολίτῃ· ἔστι δὲ ἃ ταύτης καὶ παρ' ἡμῶν προσεξεύρηται. Κατὰ δὲ τὴν δευτέραν τὰς τῆς μεγάλης συντάξεως ψηφοφορίας τῶν τε πλανωμένων καὶ ἀπλανῶν, μεθοδικώτερον ἐφοδεῦσαι καὶ ὑποδείγματιν εὐχερεῖς ἐργάσασθαι, ἀνιγράψασθαι ἅμα καὶ τὰς τῶν προχείρων κανόνων ψηφοφορίας ὡς ἐν ὑποδείγμασι, καὶ δεῖξαι τὴν ἀμφοτέρων ἐν ἅπασι συμφωνίαν. Εἶτα καὶ τὴν τρίτην τὰς τῶν *Περσικῶν προχείρων* κανόνων ψηφοφορίας περιέχουσαν συμπεράναι τῆς παρούσης συντάξεως, ἥπερ *Ἀστρονομικὴ Τριβίβλος* τοὔνομα. Τοῖς μὲν ἄλλοις πάντως ἀχρεία καὶ παροράσθαι δικαία, ἀλλὰ τοῖς γε πρὸς τὸν λόγον κεκινηκόσιν ἡμᾶς ἑταίροις χρήσιμος, καὶ τῆς τοιαύτης θεωρίας ὑπόμνησις, καὶ μοί τε τῷ γεννησαμένῳ Θεοδώρῳ τῷ Μελιτηνιώτῃ, ἐκφύντι μὲν ἤδη τῆς Κωνσταντίνου καὶ νέας Ῥώμης, τελοῦντι δ' εἰς τὴν ἐν Χριστῷ διακονίαν, κἀκ τῆς ἀξίας συγκλήτου τῆς ἱερᾶς μεγάλῳ σακελλαρίῳ καὶ διδασκάλῳ τῶν διδασκάλων τῆς ἁγιωτάτης Μεγάλης τοῦ Θεοῦ ἐκκλησίας, καὶ ἀρχιδιακόνῳ τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου. Καὶ δὴ τῆς ἀστρονομικῆς *Τριβίβλου* ταύτης ἡ πρώτη, ἡ ψηφοφοριῶν εἰσαγωγὴ περιέχει ταυτί·

## ΤΟΥ ΑΥΤΟΥ ΚΕΦΑΛΑΙΟΝ Α'.

*Τί ἐστιν ἀστρονομία, καὶ παρὰ τίνων εὑρεθεῖσα τὸ ἐξ ἀρχῆς ἦλθεν εἰς Ἕλληνας ὕστερον. Τίς τε ὁ σκοπὸς τῆς μαθηματικῆς καὶ μεγάλης συντάξεως.*

Θ'. Ἀστρονομία ἐστὶ τέχνη περὶ τὰ οὐράνια σώματα καταγινομένη, τέλος ἔχουσα τὸ γνῶναι τὰς κινήσεις αὐτῶν. Ἔτι δ' ἀστρονομία ἐστὶ γνῶσις ποσοῦ συνεχοῦς ἀεικινήτου. Σφαιρικὴ δὲ καὶ ἀστρονομία καλεῖται, παρονομασθεῖσα ἔκ τε τῆς πρώτης καὶ τιμιωτέρας σφαιρικῆς θεωρίας, τῆς περὶ τῆς πάντα περιεχούσης οὐρανίου σφαίρας, καὶ ἐκ τῶν ἐν αὐτῇ ἀστέρων θείων τῷ ὄντι καὶ κάλλιστον οὖσα μάθημα· ἅτε δὴ καὶ περὶ τὰ θεῖα κατανοουμένη καὶ τὰ οὐράνια, καὶ μόνη, καθά φησι Πτολεμαῖος ἐν τῷ τοῦ πρώτου πρώτῳ *τῆς μεγάλης Συντάξεως*, περὶ τὴν τῶν ἀεὶ καὶ ὡσαύτως ἐχόντων ἐπισκοπὴν ἀναστρεφομένη, διὰ τοῦτο οὖσα δυνατὴ καὶ αὐτὴ περὶ τὴν οἰκείαν κατάληψιν, οὔτε ἄδηλον οὔτε ἄτακτον οὖσαν, ἀεὶ καὶ ὡσαύτως ἔχειν, ὅπερ ἐστὶν ἴδιον ἐπιστήμης. Εὕρηταί γε μὴν τὸ τοιοῦτον ὑπέρσεμνον ὄντως μάθημα παρὰ τῶν τοῦ Σὴθ ἐν τῶν υἱῶν Ἀδὰμ ἀπογόνων· ὡς ὁ τε παλαιὸς ἐκ Πατρῶν λόγος ἔχει, καὶ ἀληθῶς ἔχει. Καὶ μέντοι καὶ Ἰώσηπος φιλαλήθης ἀνὴρ ἐν τῇ πρώτῃ *τῶν Ἰστοριῶν ἀρχαιολογίᾳ* συγγράφεται.

Γ. Μιμηταὶ γὰρ οὗτοι τοῦ ἑαυτῶν γεγονότες γεννήτορος, σοφίαν μὲν τὴν περὶ τὰ οὐράνια καὶ τὴν τούτων διακόσμησιν ἐπενόησαν, πρῶτοι γραμμάτων ἐφευρόντες τύπους καὶ τὰ σημεῖα τοῦ οὐρανοῦ καὶ τὰς τροπὰς τοῦ ἐνιαυτοῦ, καὶ τὰς ἑβδομάδας, καὶ τοῖς ἀπλανέσι τῶν ἀστέρων ἐπιθέντες ὀνόματα καὶ τοῖς πλανωμένοις. Ὑπὲρ δὲ τοῦ μὴ διαφυγεῖν τοὺς ἀνθρώπους τὰ εὑρημένα, μηδὲ πρὶν εἰς γνῶσιν ἐλθεῖν φθαρῆναι, προειρηκότος Ἀδὰμ ἀφανισμὸν ἔσεσθαι τῶν ὅλων, τὸν μὲν κατ' ἰσχὺν πυρὸς, τὸν δὲ ἕτερον κατὰ βίαν καὶ πλῆθος ὕδατος, στήλας ποιησάμενοι δύο, τὴν μὲν ἐκ πλίνθου, τὴν δ' ἑτέραν ἐκ λίθου, ἀμφοτέρας τὰ εὑρημένα προσέγραψαν, ἵνα τῆς πλινθίνης ὑπὸ τῆς ἐπομβρίας ἀφανισθείσης, ἡ λιθίνη μείνασα ἅπαντα δοίη μαθεῖν τοῖς ἀνθρώποις τὰ ἐγγεγραμμένα· δηλοῦσα καὶ πλινθίνην ὑπ' αὐτῶν ἀνατεθῆναι· ἣν δὴ καὶ μένειν κατὰ τὴν Συρίδα γῆν ἄχρις ἐκείνου φησὶ, λέγω δὴ τὴν λιθίνην· τῆς δὲ γῆς ἐπομβρίᾳ κατακλυσθείσης, καὶ μόνου Νῶε περισωθέντος, ἀρχηγοῦ τε καταστάντος δευτέρου κόσμου· καὶ δὴ τῶν ἀπ' ἐκείνου, διὰ τὴν ἣν ἐπενόησαν τόλμαν οἰκοδομούντων τὸν πύργον, συγχυθέντων τὴν γλῶτταν, ἅτε δὴ κακῶς καὶ ἀθέως ὁμοφωνούντων, μόνος Ἀρφαξὰδ τὴν οἰκείαν διατηρήσας, Χαλδαίων πρόγονος. Οἱ δὲ φύσεως ἀγαθῆς γεγονότες, καὶ τὰ ἐπὶ λιθίνης στήλης εὑρόντες ἐγγεγραμμένα, τὴν τῶν οὐρανίων συνεγράψαντο ἐπιστήμην· τοσοῦτον θαυμασθέντες παρὰ πᾶσιν ἐπὶ σοφίᾳ, ὥστε καὶ τοὺς αὐτῶν φιλοσόφους περὶ ἀστρονομίαν τὸ πλέον ἔχοντας, καὶ γενεθλιαλογεῖν ἤδη προσποιουμένους, Χαλδαίους προσαγορεύεσθαι.

ΙΑ'. Στράβων γεωγραφῶν φησὶ, τῷ κοινῷ τοῦ γένους; ὀνόματι κατ' ἐξοχὴν ὀνομαζομένους οἰκοῦντας μὲν τῆς Βαβυλωνίας χώραν αὐτοῖς εἰς κατοικίαν ἀφωρισμένην πλησιάζουσαν τοῖς τε Ἄραψι καὶ τῇ κατὰ Πέρσας λεγομένῃ θαλάσσῃ, εἰς πλείω δὲ γένη διῃρημένους· καὶ τοὺς μὲν Ὀρχηνούς, τοὺς δὲ καλουμένους Βορσιππινούς; καὶ ἄλλους ἄλλως, ὡσὰν καθ' αἱρέσεις ἄλλα καὶ ἄλλα περὶ τῶν αὐτῶν ἔχοντας δόγματα. Ἐν οἷς ἄλλοι τε πλεῖστοι γεγόνασιν ἀξιόλογοι ἄνδρες, καὶ μάλιστα Ζωροάστρης καὶ μετ' ἐκεῖνον Ὀτάνης· ὅ τε Κιδηνᾶς καὶ Ναβουριανὸς, καὶ σὺν αὐτοῖς ὁ Σουδῖνος· ἀλλὰ καὶ Σελεύκεια Χαλδαῖος καὶ οὗτός ἐστιν. Ἐκ τούτων τὸ παλαιὸν ὁ μέγας γενόμενος Ἀβραὰμ, καὶ πρῶτος θεὸν τῶν ὅλων δημιουργὸν ἐγνωκὼς· τοῖς τε τῆς γῆς καὶ θαλάσσης παθήμασι, καὶ τῆς (8) περὶ τὸν ἥλιον καὶ σελήνην, καὶ πᾶσι τοῖς κατ' οὐρανὸν συμβαίνουσι λογισάμενος· καὶ τούτῳ δὴ προσδραμὼν ἑτοίμως καλοῦντι, καὶ εἰς Αἴγυπτον ἀκολουθήσας κατάγοντι· κἀκεῖ τοῖς λογιωτάτοις Αἰγυπτίων διαφόροις ἔθεσιν ἀρεσκομένοις, καὶ τὰ παρ' ἀλλήλοις ἐκφαυλίζουσι νόμιμα καὶ διὰ τοῦτο δυσμενῶς πρὸς ἀλλήλους ἔχουσι, συντυχὼν ἑκάστοις αὐτῶν διαπτύσει μὲν οὐ ἐποιοῦντο λόγους περὶ τῶν ἰδίων κενούς,

(8) Τοῖς.

X. Enimvero cum hi sui parentis imitatores essent, de cœlestibus eorumque ordine et ornatu philosophari cogitarunt : primique litterarum typos, cœli signa, anni partium conversiones et septimanas invenerunt, fixisque stellis ac planetis nomina imposuere. Ne vero illa inventa hominibus perirent, et antequam forent cognita evanescerent, cum universi deletionem ruinamque duplicem, vi ignis alteram, alteram infinita aquarum copia futuram prædixisset Adamus, columnis duabus exstructis erectisque, una quidem lateritia, lapidea altera, inventa sua utrique inscripserunt, ut, si lateritia ab ingentibus profusisque imbribus corrumperetur, lapidea superesset, ex qua possent homines cuncta inscripta addiscere, atque lateritiam ab ipsis quoque fuisse erectam et consecratam : quam etiam, lapideam dico, ad illa usque tempora in Syria stare ac permanere ait. At cum diluvio terra cooperta fuisset, ac solus Noe, secundi mundi princeps factus, servatus fuisset, ejusque posteri audacia, quam animo præsumpserant, turrim ædificassent, ipsorumque linguæ confusæ perturbatæque fuissent, quod inique spretoque Deo in ipsum conjurassent, propriam nativamque *Arphaxadus* retinuit, et Chaldæorum nationis parens auctorque fuit. Hi vero indolem bonam ingeniumque nacti, quæ lapideæ columnæ inscripta erant, inventis, cœlestium scientiam conscripsere. Quorum tam eximia fuit sapientia, ut eos omnes homines sint admirati, adeo ut ipsorum philosophi in rebus astronomicis ut plurimum occupati, exque figuris natalitiis cœlique thematibus prædicendi artem professi, Chaldæi sint etiam appellati.

XI. Strabo in libris suis geographicis scribit, communi gentis nomine per excellentiam appellari incolas Babyloniæ Arabibus et mari Persico vicinæ regionis, quæ ipsis in plures classes divisis ad habitandum fuit attributa et seposita; eorumque alios Orchenos, alios Borsippenos, alios diversis nominibus vocatos fuisse; quatenus variis sectis addicti de rebus iisdem diversimode sentiebant. In quibus plurimi alii celebres et laude digni floruerunt viri, quorum præcipuus *Zoroaster* et qui illum secutus est *Otanes* clarucre; *Cidenas* deinceps et *Naburianus*, quibus *Sudinus* accensetur; verum etiam *Seleucus* Seleucia oriundus est quoque Chaldæus. Ex ea gente magnus *Abraham* olim ortus Deum universi creatorem, ex variis, quæ in terra et mari cernuntur affectionibus et proprietatibus, exque omnibus, quæ circa solem et lunam et cœlum accidunt, ratiocinando primus cognovit, ad quem, cum vocaret ipsum, celeri cursu accessit, et in Ægyptum deducentem secutus est. Ubi cum Ægyptiorum, qui consuetudinibus diversis studentes, invicemque alii aliorum leges despectui habentes, mutuis inter se odiis et inimicitiis certabant, fuisset sapientissimis congressus, averratus-

que, quos de propriis unusquisque suis opinionibus fecerunt, sermones, nihil veri in se habere eos ostendit. In colloquiis itaque virum admirati, utpote prudentissimum, et intelligendi facultate non solum, sed etiam persuadendi vi, quandocunque verbo docere inciperet, pollentem, arithmeticam et astronomiam ab ipso benigne tradente acceperunt.

A καὶ μηδὲν ἔχοντας ἀληθὲς ἀποφαίνων· θαυμασθεὶς δὲ παρ' αὐτῶν ἐν ταῖς συνουσίαις ὡς συνετώτατος καὶ δεινὸς ἀνὴρ οὐ νοῆσαι μόνον ἀλλὰ καὶ πεῖσαι, λέγων περὶ ὧν ἂν ἐπιχειρήσεις διδάσκειν, τήν τε ἀριθμητικὴν αὐτοῖς χαρίζεται, καὶ περὶ ἀστρονομίας παραδίδωσιν.

XII. Hi vero apud omnes gentes cum ob sapientiam celebritate nominis inclaruissent, *Hermetem*, quem ter maximum appellari dicit, virum inter ipsos summum mathematicum, multosque simul alios Ægypti indigenas prophetas dictos apud se habuerunt. Neque mirum famam eruditionis consecutos esse, qui patriarchæ *Abrahæ* Chaldæi revera sapientis discipuli primo fuerant, ab eoque B edocti. Antequam enim in Ægyptum fuisset ipse profectus, mathematicas disciplinas, *Josepho* teste, nesciebat gens illa; quæ ex Chaldæa in Ægyptum delatæ, ad Græcos postea pervenerunt. *Pythagoras* siquidem Samius Mnesarchi F., *Pherecydes* Syrius, *Anaxagoras* Clazomenius, Hegesibuli F., *Thales* præterea Milesius, *Solon* quoque, qui Atheniensibus leges condidit et scripsit, quin etiam *Plato* Aristonis F., addiscendi cupiditate ducti ad Ægyptios abierunt, et ab ipsis in scientiis mathematicis eruditi, aliis postea eas tradiderunt. Multi præterea alii Græci in ejusmodi theoretica scientia summe exercitati claruerunt, et longo intervallo post se relictos Chaldæos et Ægyptios superarunt. Præcipuus vero omnium tum veritatis amantissimus C *Hipparchus* a Ptolemæo laudatus. *Pappus* quidem et *Theon* Ptolemæi successores clari fuere.

ΙΒ'. Οὗτοι δὲ γνωριμώτατοι διὰ σοφίαν ἐν πᾶσι γενόμενοι, καὶ τὸν Ἑρμῆν, ὃν δὴ καὶ τρισμέγιστον ὠνομάσθαι φησὶ, ἄνδρα τὸν ἐν αὐτοῖς ἄκρον ἐν μαθηματικῇ, πολλούς τε σὺν ἐκείνῳ καὶ ἄλλους Αἰγύπτου παῖδας, τοὺς κεκλημένους παρ' ἐκείνοις προφήτας ἔσχον· οὐκ ἀθαύμαστον παρὰ πᾶσιν ἐπὶ παιδείᾳ λαχόντας ὄνομα, οἱ τὸ πρῶτον Ἀβραὰμ τῷ προπάτορι καὶ Χαλδαίῳ τῷ ὄντι σοφῷ μαθητεύσαντες. Πρὸ γὰρ τῆς αὐτοῦ παρουσίας εἰς Αἴγυπτον τούτων ἀμαθῶς εἶχον, φησὶ, ἐκ (9) Χαλδαίων ταῦτ' ἐφοίτησαν εἰς Αἴγυπτον, ὅθεν ἦλθε καὶ εἰς τοὺς Ἕλληνας. Πυθαγόρας γὰρ ὁ Μνησάρχου Σάμιος, καὶ Φερεκύδης ὁ Σύριος, καὶ Ἀναξαγόρας ὁ Ἡγησιβούλου ὁ Κλαζομένιος, ἔτι τε Θαλῆς ὁ Μιλήσιος, καὶ Σόλων ὁ τῶν Ἀθήνῃσι νόμων ἐφευρετὴς, καὶ μὴν καὶ Πλάτων ὁ τοῦ Ἀρίστωνος, ἄχρι τῆς Αἰγύπτου φιλομαθίας χάριν παρελθόντες, καὶ παρ' αὐτῶν διδαχθέντες τὴν μαθηματικὴν τοῖς ἄλλοις παραδεδώκεσαν ἐπιστήμην. Καὶ δὴ πολλοὶ μὲν ἐν Ἕλλησι καὶ ἄλλοι γεγόνασι τὴν τοιαύτην εἰς ἄκρον ἐξησκήσαντες θεωρίαν, καὶ Χαλδαίους πολλῷ τῷ μέσῳ καὶ Αἰγυπτίους ὑπερβάλλοντες· καὶ μάλιστα πάντων ὁ πάντων μάλιστα φιλόπονός τε καὶ φιλαλήθης ἀνὴρ Ἵππαρχος, ὥς φησι Πτολεμαῖος. Καὶ μέντοι Πάππος τε καὶ Θέων οἱ Πτολεμαϊκοὶ φάναι (10) διάδοχοι.

XIII. *Claudius* vero hic *Ptolemæus* in Thebaidis urbe Ptolemaide Hermii appellata natus, Ælio Antonino Romano imperatori coævus, primas in omnibus partes obtinet: cum ut ipse in primis libris ostendit, in omnibus mathematicæ partibus addiscendis, ea præcipue, quæ res divinas cœlestesque contemplatur, sedulus ac diligens fuerit. Quam tredecim mathematicæ et magnæ constructionis libris accuratissime, et demonstrationibus maxime sublimibus, tanta cum nominum aptitudine, ornatu, gratia, rhythmo ac tono tradidit, ut D etiam illos superaret, qui hisce ducti et impulsi solius Attici leporis curam habere, eumque sectari videntur. Quæ etiam propter majestatem dignitatemque sublimium et grandium, qui ea comprehenduntur, quique cœlestium rerum contemplationem scopum habent, sermonum *magnæ* nomen inter omnes una sortita est.

ΙΓ'. Ὁ δὲ δὴ Κλαύδιος οὑτοσὶ Πτολεμαῖος, καὶ Πτολεμαΐδος μὲν ἐκ φὼς τῆς ἐν Θηβαΐδι καλουμένης Ἑρμείου, Αἰλίῳ δὲ Ἀντωνίῳ (11) βασιλεῖ Ῥωμαίων σύγχρονος γεγονὼς κατὰ πάντων τὰ πρῶτα φέρεται, πάσης μὲν, ὡς αὐτὸς γράφων ἐν πρώτοις παραδηλοῖ, μαθηματικῆς ἐπιμεληθεὶς θεωρίας, ἐξαιρέτως δὲ καὶ τῆς περὶ τὰ θεῖα κατανοουμένης, καὶ τὰ οὐράνια. Καὶ ταύτην ἐν τρισὶ καὶ δέκα τοῖς τῆς μαθηματικῆς καὶ μεγάλης συνάξεως κάλλιστά τε καὶ ὑψηλότατα παραδιδοὺς βίβλοις, καὶ μὴν μετὰ τοσῆσδε τῶν ὀνομάτων εὐγενείας καὶ χάριτος καὶ ῥυθμοῦ καὶ τόνου, ὡς ὑπερβάλλειν σχεδὸν τοὺς ὁρμωμένους ἐντεῦθεν καὶ γλώττης μόνης Ἀττικιζούσης δοκεῖν φροντίζειν· ἣ δὴ καὶ μεγάλη καλεῖσθαι μόνη τῶν ἁπασῶν ἐκληρώσατο, διά τε τὴν σεμνότητα καὶ τὰξίωμα τῶν ὑψηλῶν καὶ μεγάλων λόγων τῶν ἐν αὐτῇ, περὶ τὴν κατ' οὐρανὸν θεωρίαν ἔχουσαν τὸν σκοπόν.

XIV. Primis autem duobus libris, totius orbis terrarum ad universum cœlum habitudinem universalem; rationem porro positionis obliqui circuli zodiaci, locorumque et situum terræ nostræ habitabilis; differentiam præterea in ordinandis illis

ΙΔ'. Περιέχει μὲν γὰρ ἐν μὲν τοῖς πρώτοις δυσὶ βιβλίοις τήν τε καθόλου τῆς γῆς ὅλης σχέσιν πρὸς ὅλον τὸν οὐρανὸν, καὶ τὸν λόγον τὸν περὶ τῆς τοῦ λοξοῦ κύκλου θέσεως, καὶ τὸν τόπον (12) τῆς καθ' ἡμᾶς οἰκουμένης· ἔτι τε τῆς πρὸς ἀλλήλους αὐτῶν

(9) Καὶ ἐκ.
(10) Bullialdus leg. φανοί.
(11) Ἀντωνίνῳ.
(12) Τῶν τόπων.

καθέκαστον ὁρίζοντα παρὰ τὰς ἐγκλίσεις γενομένης ἐν ταῖς τάξεσι διαφορᾶς· ἐν δὲ τῷ τρίτῳ βιβλίῳ τὴν ἡλιακὴν κίνησιν· ἐν δὲ τῷ τετάρτῳ καὶ πέμπτῳ τὴν σεληνιακήν· ἐν δὲ τῷ ἕκτῳ τὰ ταύταις ἐπισυμβαίνοντα, συνοδικάς τε φημὶ καὶ πανσεληνιακὰς συζυγίας, καὶ τοὺς ἄλλους οὓς πρὸς τὸν ἥλιον ἢ σελήνην ποιεῖται σχηματισμούς· ἔτι γε μὴν καὶ τὰς ἐκλειπτικὰς φαντασίας καὶ τὰ παθήματα· ἐν δὲ τῷ ἑβδόμῳ καὶ ὀγδόῳ τὰ περὶ τῆς τῶν ἀπλανῶν καλουμένων σφαίρας. Ἐν δὲ τοῖς λοιποῖς πέντε βιβλίοις τὰ περὶ τῶν πέντε πλανητῶν προσαγορευομένων. Ἕκαστα δὲ τούτων, ὥς φησιν ἐν τῷ τοῦ πρώτου δευτέρῳ, δείκνυσιν ὁ σοφὸς Πτολεμαῖος, ἀρχαῖς μὲν καὶ ὥσπερ θεμελίοις εἰς τὴν ἀνεύρεσιν χρώμενος τοῖς ἐναργέσι φαινομένοις, καὶ ταῖς ἀδιστάκτοις τῶν τε πρὸ ἐκείνου καὶ τῶν κατ' ἐκεῖνον τηρήσεων· τὰς δὲ ἐφεξῆς τῶν καταλήψεων ἐφαρμόζων διὰ τῶν ἐν ταῖς γραμμικαῖς ἐφόδοις ἀποδείξεων.

per singulos horizontes ex inclinationibus variis ortam explicat et ostendit. Tertio libro solis motum, ut et quarto et quinto lunarem, expendit et determinat. Sexto quæ utrisque simul contingunt, synodicas nempe syzygias et plenilunia; aliasque solis et lunæ ad invicem habitudines et configurationes a se observatas. Eclipses præterea, easque concomitantia accidentia et circumstantias declarat. Septimo et octavo quæ ad sphæram fixarum pertinent stellarum exsequitur. Postremis tandem quinque planetarum appellatorum motus examinat et contemplatur. Unumquodque vero eorum, ut cap. 2 libri IJ ipse scribit, doctus Ptolemæus, manifestis clarisque phænomenis, certisque et nulli dubio obnoxiis, quæ ab anterioribus priscisque astronomis, quæque sua ætate factæ fuerant, observationibus, pro principiis ac veluti fundamentis adhibitis, ostendit. Quæ vero ex illis colliguntur et comprehenduntur, linearibus demonstrationibus apte accommodata explanat.

ANNO DOMINI MCCCXLI

# GEORGIUS LAPITHA

—

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΥΡΙΟΥ

# ΓΕΩΡΓΙΟΥ ΛΑΠΙΘΟΥ,

ΤΟΥ ΚΥΠΡΙΟΥ,

## ΣΤΙΧΟΙ ΠΟΛΙΤΙΚΟΙ ΑΥΤΟΣΧΕΔΙΟΙ

*ΕΙΣ ΑΚΟΗΝ.*

—

SAPIENTISSIMI DOMINI

# GEORGII LAPITHÆ, CYPRII,

## VERSUS POLITICI

### EX TEMPORE FACTI PALAMQUE OMNIBUS RECITATI.

(Ex editione J. F. Boissonadii in *Notices et Extraits de la bibliothèque du Roi*, tom. XII, parte II.)

—

## PRÆFATIO

*In qua inseritur notitia de Georgio Lapitha ex Allatio* De Georgiis.

—

Le poëme dont je donne ici la première édition, a été copié, avec toute l'exactitude dont je suis capable, sur un manuscrit de la bibliothèque du Roi, lequel, après avoir porté successivement les numéros 2039, 2256, 3337, est aujourd'hui inscrit au catalogue sous le chiffre 2877.

Ce manuscrit est sur papier et d'une époque toute récente ; l'auteur lui-même est fort moderne. En effet ses relations avec Nicéphore Grégoras, avec Barlaam et Palamas, le placent au XIV^e^ siècle.

Ces indications me sont données par Allatius, qui, dans sa dissertation *De Georgiis*, a consacré à George Lapithès un article d'une certaine étendue. Je le réimprime à la suite de cet avertissement, et je me flatte qu'on ne m'en saura pas mauvais gré ; car la dissertation même d'Allatius n'est pas facile à consulter ; et Harles, qui l'a donnée, après Fabricius, dans le tome XII de la Bibliothèque grecque, l'a étrangement mutilée : notamment, dans l'article même de George Lapithès, il a retranché les passages aussi curieux qu'importants qu'Allatius avait extraits des narrations inédites d'Agathangélus.

A la suite du morceau d'Allatius, j'ai eu l'idée de placer trois lettres de George Lapithès à Nicéphore Grégoras. Elles sont, il est vrai, publiées déjà, parmi les *Elogia*, dans l'édition de Nicéphore que nous devons au savant Boivin ; mais cette réimpression, qui n'occupera qu'un très-petit nombre de pages, ne déplaira sûrement pas aux lecteurs, qui de la sorte trouveront réuni tout ou à peu près tout ce que l'on connaît aujourd'hui d'un auteur qui ne manque pas d'un certain mérite, et qui acquerra peut-être, par cette publication, un peu de réputation. Je puis bien me faire illusion pour lui ; toutefois il me semble que son poëme, dont les idées manquent assurément de force et d'originalité, mais sont raisonnables et sages, dont le style est simple et suffisamment correct, pourrait être mis avec utilité aux mains des jeunes gens qui étudient la langue grecque.

## EXTRAITS DE LA DISSERTATION D'ALLATIUS, *DE GEORGIIS*.

Georgii Lapithæ, Cyprii, (1) versus morales (2) Græcos 319 vidit Gesnerus Venetiis in biblioth. S. Antonii (3), recensetque Robertus Constantinus in *Bibliotheca*. Florebat eadem cum Barlaamo monacho ætate, ad quem ipse plurima scripsit, ut idemmet Barlaamus epist. ad Nilum Inclusum (4), quem judicem inter se et Palamam constituit, affirmat : Ὅμοια δὲ τούτοις καὶ ἐν τοῖς πρὸς Λαπίθην τὸν Κύπριον ἐμοῖς συγγράμμασι γέγραφα ταῦτα, ἅπερ ἐπὶ τῷ Φυσικῷ εἴπομεν : *Illis similia nostris ad Lapithen Cyprium commentariis scripsimus, et in Physicis etiam pertractavimus.* Tempore itaque Palamæ florebat, qua et Barlaamus ætate circa annum Domini 1357, ut ex ejusdem Barlaami monachi de lunari defectu comprehendendo ex Mathematica Constructione Ptolemæi, quæ incipit, Ἀναγκαῖον ἡγησάμην ἐκθέσθαι σοι, colligi potest (5).

Inter Barlaami opera illud quoque legi : Βαρλαὰμ μοναχοῦ λύσεις εἰς τὰς ἐπενεχθείσας αὐτῷ ἀπορίας παρὰ τοῦ σοφωτάτου Γεωργίου τοῦ Λαπίθου ; *Barlaami monachi solutiones ad proposita sibi dubia per sapientissimum Georgium Lapithem.* Lapithæ dubiorum principium illud est, Ἐν τοῖς πρώτοις περὶ κινήσεως λόγοις ἀπεδείξατο Ἀριστοτέλης διὰ πλείονων (6) ; Responsionum Barlaami, Πρὸ μὲν οὖν Πλάτωνα, ὦ γενναῖε, ὁπώποτε ἔχει Ἀριστοτέλης, ἐν οἷς φιλοσοφεῖ. Ejusdem in biblioth. regis Gallorum cod. 2039 habentur Στίχοι πολιτικοὶ αὐτοσχέδιοι εἰς κοινὴν ἀκοήν : *Versus politici insubide et immediate facti palamque omnibus recitati.* P. Γνῶθι σαυτὸν (7), ὦ βέλτιστε, τίς τε καὶ τοῦ τυγχάνεις. Opus est divi-

(1) Harles ajoute : *ex nobili et antiqua familia orti.*

(2) « *Genere carminis prosæ proximo, quod politicum vulgo adpellant.* στίχοι πολιτικοὶ, κ. τ. λ. » Fabricius. Les vers politiques employés par George Lapithès sont de quinze syllabes. Ils ont de rigueur un accent sur la pénultième, et un repos sur la huitième syllabe. Les fragments de Manassès, que j'ai joints à Nicétas Eugénianus, sont écrits dans cette mesure fort employée par les modernes :

*Πλαρῶνται γὰρ ἐπὶ πολὺ τῶν ὀφθαλμῶν τὰ*
*κύκλα.*

Ils ont formé ce vers sur le tétramètre trochaïque des anciens ; mais, ne connaissant plus la quantité prosodique, ils se sont attachés au nombre arithmétique des syllabes, et ont cherché à diminuer l'insipidité de ce rhythme par l'obligation d'accentuer la pénultième ; ce qui est fort monotone. Ils ont un autre vers politique de douze syllabes, avec un accent obligé sur la pénultième, et qui est une corruption de l'iambique trimètre de leurs vieux poëtes. C'est de ce petit vers que Nicétas et bien d'autres ont fait usage. Aujourd'hui les poëtes s'imposent souvent la dure loi de rimer le vers politique ; ce qui, si j'en puis juger par mon oreille, est de l'effet le plus désagréable.

(3) « *Georgii Lapithæ Cyprii Versus morales Græci numero* 319, *visi a me Venetiis, in Bibliotheca S. Antonii.* » Gesner. *Biblioth.* pag. 269, edit. 1545. Comparez l'édition de Simler, pag. 271.

(4) C'est Nilus Triclinius. *Voy.* Fabricius, *Bibl. Gr.* t. VII, p. 468 ; t. X, p. 31.

(5) Fabricius, *Bibl. Gr.* t. VII, p. 470.

(6) Allatius ne dit pas où il avoit vu cet ouvrage de George Lapithès : c'étoit à Rome, probablement, et au Vatican.

(7) La leçon ταυτὸν des éditions n'est sûrement qu'une faute d'impression.

rum per titulos juxta varia rerum argumenta, et nescio an distinctum ab eo quod nobis Gesnerus et Constantinus recensuit (1).

Lapitham, ejus studia, res ac fortunas, ad amussim nobis repræsentavit Agathangelus, Callistrati filius, in Narrationibus (2). Ejus verba, scriptionis tædio fatigatus, ut animo recreeris, nec invitus, quia rara et nondum edita (*a*), perleges :

Δευτεραῖοι ἐς Κύπρον τὴν νῆσον κατήχθημεν, ἔνθα δὴ καὶ πολὺν διατρίβειν ἐγνώκειν χρόνον, διά τε τἄλλα τῶν τῆς νήσου καλῶν καὶ τήν γε ἔννομόν τε καὶ φιλόξενον πολιτείαν, καὶ μάλιστα πάντων διὰ τὴν τοῦ σοφοῦ ἐκείνου ἀνδρὸς ὁμιλίαν, Γεώργιον φημὶ τὸν Λαπίθην, ᾧ οὐκ εὐθὺς ἀποβὰς τῆς νεὼς ἐντετυχήκειν αὐθημερόν· οὐ γὰρ πλησίον ἐκεῖ που τὴν οἴκησιν εἶχεν, ἀλλὰ δυεῖν ἡμέραιν τοῦ λιμένος ἀπέκουσαν, εἰς ὃν ἡμεῖς τηνικαῦτα ἐσεπεπλεύκειμεν. Ῥόδου μὲν γὰρ ἐκείνης τῆς νήσου μείζων ἐστὶν ἡ Κύπρος, καὶ ἅμα οὐ κατ' ἐκείνην, ἀλλ' ἐπιμήκης τὸ σχῆμα· μεταξὺ δ' αὐτῆς ὄρος ἐστήκει τὴν κορυφὴν εἰς ὕψος ἀνάγον μακρόν. Ὄλυμπος καλεῖται τὸ ὄρος, ἐξ οὗ καὶ πηγαὶ ποταμῶν ἀποβλύζουσι τρεῖς, ὧν ὁ μείζων καλούμενος Λάπιθος (3) κάτεισι τέμνων καὶ περιῤῥέων τὴν Λευκωσίαν οὕτωσὶ καλουμένην χώραν, καὶ ἀποπτύων τὸ ῥεῖθρον παρὰ τὴν ἐς ἄρκτον βλέπουσαν θάλασσαν. Τούτου παρὰ τὰς ὄχθας ἔτυχεν ἔχων ἐκεῖνος τὴν οἴκησιν· διὸ καὶ Λαπίθης ἔκ γε τοῦ ποταμοῦ καὶ αὐτὸς ὁπώσποτε παρωνόμασται. Γνοίη δ' ἂν τις εὐθὺς, κἂκ μόνης τῆς περιφανείας τε καὶ τοῦ μεγέθους τῶν οἰκιῶν καὶ ἐπαύλεων τοῦ ἀνδρὸς, καὶ πρὶν εἰς ὄψιν ἐλθεῖν αὐτοῦ, μὴ τῶν ἀγεννῶν εἶναι καὶ τῶν πολλῶν ἕνα, ὅτι μὴ τῶν πάνυ τοι (4) λίαν ἐνδόξων καὶ πρώτων τῆς νήσου· γνοίη δ' ἂν μᾶλλον ἐκ τοῦ τρόπου, καὶ τῆς ἄλλης τοῦ βίου σεμνότητος. Ἑορταὶ γὰρ καὶ πανηγύρεις ἱεραὶ τὴν οἰκίαν (5) ἐκείνου ἐκόσμουν καὶ χορηγίαι τῶν δεομένων δαψιλεῖς. Τῶν γε μὴν συχνὰ περιαγομένων ἐκεῖ Χριστιανῶν αἰχμαλώτων μεγίστην ἐποιεῖτο προμήθειαν, αὐτός τε παρέχων ἀφθόνως τὰ μείζω καὶ τελεώτερα τῆς τούτων ἐλευθερίας, καὶ ἅμα τοὺς ἄλλους ὀτρύνων διδασκαλίαις τῶν θείων Γραφῶν. Ἔργον γὰρ αὐτοῦ σπουδαιότατον μάλιστα πάντων ἱεραῖς ἐκκλησίαις ἀθροιζομένους Χριστιανοὺς διδάσκειν τά τε ἄλλα τῆς εὐσεβείας νόμιμα, καὶ πρός γε φροντίδα ποιεῖσθαι τῶν δεομένων μεγίστην, ὡς εἶναι δι' ἐκεῖνον πᾶσαν ἐκείνην τὴν νῆσον ἐλέους καὶ πίστεως στάδιον, καὶ μάλιστα πάντων αἰχμαλώτων ἐλευθερίας. Εἰσί γε μὴν καὶ αὐτοῦ ῥηγὸς (6) περὶ τοὺς τόπους ἐκείνους ἐπαύλεις καὶ δίαιται, καὶ αἱ τῶν οἴκων ἐκείνου λαμπρότητες πάνυ καλαὶ διὰ τὸ χαριέστερον εἶναι τῆς

Altero die in Cyprum insulam pervenimus, in ea diutius immorari deliberaveram, tum propter insulæ commoda, tum propter justam, hospitalemque vitæ rationem, et ante omnia propter sapientis illius viri consuetudinem, Georgium, inquam, Lapitham, cum quo non illico, e navi descendens, eodemque die congressus sum; neque enim proxime viciniæ habitabat, sed biduo e portu loca distantia incolebat, ad quem nos tunc postea adnavigavimus. Rhodo siquidem insula Cyprus grandior est, illique dissimilis, et figura prolixior, in ejus medio mons in magnam altitudinem caput erigit. Olympo nomen est, ex quo fontes in fluvios divisi tres emergunt, eorum major Lapithus nomine procurrit scindens circumfluensque Leucosiam, agrum sic nuncupatum, tandem aquis in mare, quod Ursam respicit, immergitur. Hujus in ripis ædes ille habet, unde et illi a fluvio, utcumque fuerit Lapithæ nomen habet. Statim quilibet ex solo rerum aspectu, et ædium, ac stabulorum magnitudine, conjiciet virum, antequam videat, neque a degeneribus esse, neque ex multitudine unum, sed ex præcipuis, ac celebrioribus, Insulæque primatibus. Sed hoc potius ex moribus, reliquoque vitæ instituto, ac gravitate dignoscet. Festi enim dies, ac sacræ solemnitates habitationem illius exornabant, et dapsiles in indigentes fortunarum profusiones, Christianis vero præcipue captivis, circa ea loca peregrinantibus operam sedulam impertiebat, ipse effuse de suo majora, ac magis necessaria pro eorum libertate exhibens, aliisque id idem suadens, et divinarum Litterarum auctoritate compellens. Primum namque ac potissimum illius studium est, Christianos in sacrosanctas ecclesias convenientes pietatis leges edocere, nec non ut indigentibus ex corde primum omnium occurrant. Hinc per eum tota ea insula misericordiæ, ac fidei, et præcipue captivorum liberationis stadium est. Sunt circa ea loca regis insulæ, et mansiones, et ædes splendidæ, ac magnificæ, quod ea pars insulæ propter aeris, et situs locorum aptitudinem, ac dexteritatem pulchrior ac venustior judicatur. Quapropter ob vicinitatem crebræ ad

(1) C'est indubitablement le même ouvrage. Si Gesner n'a compté que 319 vers, c'est qu'il a rencontré un manuscrit incomplet.

(2) *Hic est Agathangelus qui adversus Nicephorum Gregoram scripsit contra Aristotelem.* Fabricius.

(3) Cette circonstance, indiquée par un témoin oculaire, pourra servir à rectifier les cartes de l'île de Chypre, notamment celle qui se trouve dans le tome XXXII des Mémoires de l'Académie des belles-lettres, où elle sert de base à une savante dissertation de Danville. Ce qu'Agathangélus ajoute sur le cours du Lapithus ne peut non plus se vérifier sur les cartes que j'ai eu occasion de voir.

(4) *Voyez* p. seq., note 4.

(5) J'ai écrit οἰκίαν au lieu de οἰκείαν.

(6) Ce roi étoit un Lusignan.

(*a*) Edita nunc exstant et pars sunt libri XXIV Historiarum Nicephori Gregoræ. Vide tom. CXLVIII, col. 1438. Ex his Agathangeli narrationibus discimus Agathangelum Gregoræ arctissima amicitia conjunctum fuisse; eum autem contra Gregoram pro Aristotele scripsisse, unde Fabricius hauserit, nescimus. Edit.

regem, Georgii Lapithæ erant itiones, a quo in maximo honore ac veneratione, tum ob gravitatem morum, tum ob rerum omnium, qua pollebat, scientiam, habebatur; cum et ipse rex Latinorum philosophiam apprime callebat, propterea que multos ex Latinis sapientes ac doctos penes se retinebat : sed Georgii doctrina ac consuetudine summopere delectabatur. Sapientes enim, aiunt, Reges sapientum consuetudine. Illius itaque possessione utramque eodem tempore et Græcam, et Latinam sapientiam possidere existimabat : erat enim in utraque sapientia, et lingua Georgius dexterrimus. Quamobrem eum libenter audiebat, sæpissime cum Doctoribus Latinis, qui apud eum erant, disserentem, et demonstrativis syllogismorum jaculis penitissime percutientem, ac eos superantem, et præcipue cum de patriis, et religionis dogmatibus certaretur. Tunc enim vehemens, sacrarumque Scripturarum auctoritatibus, indeque petitis demonstrationibus spissus, ac frequens, pisces mutos manifestissime commonstrabat, adeo ut regem ob hæc in iram prorumpentem rursum sermonum illecebris, et veritatis inexpugnabilibus strophis, ac machinis demulcebat. Hac sane ratione regis illius animi iracundiam suaviter compescebat, et pavidum modeste excitabat. Nemoque erat ex omnibus, ut verbo finiam, qui in rationali certamine illi palmarium cum excessu non concederet, et qui Græcarum litterarum non erat admodum rudis, quique Latinæ philosophiæ non valde ignarus. Famam viri ipse audieram, et antequam illuc adnavigarem, non tantum compositiones illius hic sæpissime perlegens, quas ille tibi ex insula litteris tuis, et honestæ amicitiæ respondens dirigebat; sed et laudes illius ingentes excipiens ex ore quotquot inde, ut plurimum advenerant.

A νήσου τὸ μέρος ἐκεῖνο, ἀέρος τε ἕνεκα καὶ ἅμα θέσεως ἄλλης καὶ ῥᾳθυμίας τῶν τόπων· διὸ κἀκ τοῦ σχεδὸν ἐπεφοίτα θαμὰ παρ' αὐτὸν ὁ Λαπίθης Γεώργιος, καὶ σφόδρα κομιδῇ πολλῆς ἀπέλαυσε τῆς ῥητορικῆς αἰδοῦς καὶ τιμῆς διά τε τὴν ἄλλην σεμνότητα καὶ ἣν ἐκέκτητο μάλιστα πάντων σοφίαν· ἐπεὶ καὶ αὐτὸς οὐ μετρίως τῆς Λατίνων μετέσχε φιλοσοφίας· ὁ ῥῆξ, καὶ δι' αὐτό γε τουτὶ πολλοὺς μὲν ἀμφ' αὐτὸν τοὺς Λατίνων εἶχε σοφοὺς ἀεί. Ἥρα δὲ μᾶλλον τῆς Γεωργίου μούσης καὶ ὁμιλίας· « Σοφοὶ γάρ, » φησὶ (1), τύραννοι τῇ σοφῶν συνουσίᾳ. » Ἔχων οὖν αὐτὸν ἔχειν ἐπέπειστο καὶ σοφίαν κατὰ ταυτὸν ἑκατέραν, τήν τε Ἑλλήνων φημὶ καὶ Λατίνων. Δεξιὸς γὰρ ἐν τοῖς μάλιστα καὶ καθ' ἑκατέραν σοφίαν καὶ γλῶτταν ὁ Γεώργιος ἦν. Ταύτῃ τοι καὶ ἡδέως αὐτοῦ B ἤκουε διαλεγομένου συχνὰ τοῖς Λατίνων σοφοῖς ἐπ' αὐτοῦ, καὶ τοῖς τῶν συλλογισμῶν ἀποδεικτικοῖς βέλεσιν ἐς τὰ κράτιστα βάλλοντός τε καὶ νικῶντος αὐτούς, καὶ μάλιστα ὅτε περὶ δογμάτων πατρίων τῆς θρησκείας ἦν ὁ ἀγών. Τηνικαῦτα γὰρ, πολὺς κατὰ σφῶν ταῖς τῶν θείων Γραφῶν ἀποδείξεσι ῥέων (2), ἰχθύας ἀφώνους ἄντικρυς ἔφαινεν, ὥστε καὶ γαλεπαίνειν ἐνίοτ' ἐν τούτοις ὡρμημένον τὸν ῥῆγα, ἔθελγεν (3) αὖθις αὐτὸν τῇ τῶν λόγων σειρῆνι καὶ ταῖς τῆς ἀληθείας ἀναντιῤῥήτοις στροφαῖς καὶ περιστροφαῖς. Τοιαύταις δή τισι μεθόδοις τὸ χαλεπαῖνόν τε ἀνέστελλεν ἐμμελῶς τῆς ῥητορικῆς ἐκείνης ψυχῆς καὶ τὸ εὐθυμοῦν ἀντεισῆγεν ἐπιεικῶς· καὶ ἦν, ἁπλῶς εἰπεῖν, οὐδεὶς τῶν ἁπάντων ὃς οὐ λογικοῦ παντὸς ἀγῶνος μεθ' ὑπερβολῆς αὐτῷ τὰ τῆς νίκης παρεῖχε C τρόπαια, οὔθ' ὅστις οὐ μάλα ἀξύνετος Ἑλληνικῆς μούσης ἦν, οὔθ' ὅστις Λατινικῆς φιλοσοφίας οὐ μάλα τοι ἀδαής. Εἶχόν γε μὴν ἔγωγε τοῦ ἀνδρὸς ἐκείνου τὴν φήμην καὶ, πρὶν ἐντεῦθεν ἐκπλεῦσαι, μὴ μόνον ταῖς γραφαῖς ἐντυγχάνων ἐκείνου πολλάκις ὧδι, ἃς ἐκεῖθεν ἐκεῖνός σοι τῶν τε γραμμάτων καὶ ἅμα τοῦ φιλτάτου καθήκοντος ἀμειβόμενος ἔπεμπεν, ἀλλὰ καὶ ἀκούων ἐπαίνους αὐτοῦ γε μακροὺς ἀπὸ στόματος τῶν ὅσοι ἀφιγμένοι ἐκεῖθεν ὑπῆρχον ἐπὶ τὸ πλεῖστον.

At quomodo se ille in rebus astrologicis pertractandis gereret, ejusque de ea scientia sententiam, ita Agathangelus post pauca ibidem expressit :

Nec minus ille quatuor Ptolemæi libros de effectibus astrorum in deliciis habuit, sed eos, et quidquid a Ptolemæo antiquioribus simul et junioribus in scriptis relatum superest, nec non et Chaldæorum et Persarum labores multa cura, atque sollicitudine percurrebat : inter ea quid-

D Καὶ μὲν δὴ οὐδὲ τὴν Πτολεμαίου Ἀποτελεσματικὴν Τετράβιβλον περὶ ἐλάσσονος ἐποιεῖτο σπουδῆς ἐκεῖνος, ἀλλὰ ταύτην καὶ ὅσα περὶ τῶν ὁμοίων τοῖς Πτολεμαίου παλαιοτέροις ἅμα καὶ νεωτέροις ἔτι περίεστι γεγραμμένα, καὶ ὅσα πάλαι Χαλδαίοις καὶ Πέρσαις πεποίηται, πάνυ τοι (4) πάντα φιλοτονώτε-

(1) C'est un vers de l'Ajax Locrien de Sophocle; il a été quelquefois attribué à Euripide. *Voyez* les Emendations de Toup, t. I, p. 151, et la note de ma petite édition de Sophocle, t. II, p. 276. Thémistius, *Disc.* VI, p. 72 : Εὐριπίδης μὲν γάρ, ἤ ὅστις δή ποτέ ἐστιν ὁ ποιήσας, « Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ, » οὐκ ἦν οἶμαι πυκνῆς διανοίας. Le manuscrit de Paris 2988 porte le pluriel συνουσίαις, ce qui est peut-être préférable.

(2) Agathangélus se souvient ici de Démosthène, parlant de Python de Byzance : Τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν οὐκ εἶξα.

(3) Il faut peut-être lire, ἐπὶ τούτοις ὡρμ. τ. ῥῆγα· ἀλλ' ἔθελγεν; ou bien ῥῆγα· ἔθελγε δ' αὐθ.;.

(4) Il faut sans doute, sans changement dans la prononciation, écrire ici, et p. précéd. B, πάνυ τι. L'usage est de mettre πάνυ τι, σχεδόν τι, et non pas τοι. J'écrirois aussi μάλα τι, p. 8, l. 5, au lieu de μάλα τοι. *Voy.* une bonne remarque de Fischer sur l'*Euthyphron*, p. 8; Heindorf sur le *Charmides*, p. 58; Porson dans ses *Adversaria*, p. 116. Dion Chrysostome, vers le commencement de son 7e discours : Ἐρῶ δ' οὖν οἷοις ἀνδράσι καὶ ὁντινα βίον ζῶσι συνέβαλον ἐν μέσῃ σχεδὸν τῇ Ἑλλάδι· lisez avec le man. 2958, ἐν μέσῃ σχεδόν τι τῇ Ἑλλ. Dion a souvent cette formule, σχεδόν τι, par exemple dans la première page de so 27e discours : Οὗτοι μὲν οὖν σχεδόν τι μαινόμενοι πολλὰ καὶ ὁρῶσιν, ὥσπερ Ὅμηρός φησι τὸν Κένταυρον μεθυσθέντα ἐν τῇ τοῦ Πειρίθόου οἰκίᾳ κακὰ ἐργασασθαι. Il y a une altération manifeste dans les mots : πολλὰ καὶ ὁρῶσιν· corrigez, d'après le même

ρον μετῇει· καὶ ὁπόσα μὲν ὑπὲρ τὰ ἐσκαμμένα τοῖς εὐσεβέσι νόμοις καὶ ὑπερόριον τείνει πόδα, ταῦτα δ' ἀπεσείετό τε καὶ διέπτυεν ὡς ἄχρηστα τοῖς εὐσεβεῖν ἐθέλουσιν· ὅσα δ' εἰς τοὺς δημιουργικοὺς τῶν ὄντων ὑγιῶς ἐπορεύετο λόγους, ταῦτα δ' ἀσμένως παντάπασι μάλα προσίετο.

A quid pietatis leges everteret, aberrantique pede peregrinaretur, abjiciebat, et tanquam ii, qui pietatem amplectuntur, inutilia exsecrabatur. Quidquid vero ad opificis rerum omnium sanam rectamque cognitionem deduceret, lubenti animo, promptoque omnino deosculabatur.

Et hæc pauca ex multis de Lapitha Georgio satis sint.

# GEORGII LAPITHÆ
## AD NICEPHORUM GREGORAM
### EPISTOLÆ TRES

*Vide in Nicephoro Gregora, tom. CXLVIII, col* 57.

# ΣΤΙΧΟΙ ΠΟΛΙΤΙΚΟΙ
## ΑΥΤΟΣΧΕΔΙΟΙ ΕΙΣ ΚΟΙΝΗΝ ΑΚΟΗΝ
### ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΥΡΙΟΥ
# ΓΕΩΡΓΙΟΥ ΛΑΠΙΘΟΥ, ΤΟΥ ΚΥΠΡΙΟΥ.

—

# VERSUS POLITICI
## EX TEMPORE FACTI, PALAMQUE OMNIBUS RECITATI
### SAPIENTISSIMI DOMINI
# GEORGII LAPITHÆ, CYPRII.

—

ΑΡΧΗ.

Γνῶθι σαυτὸν, ὦ βέλτιστε (1), τίς τε καὶ ποῦ τυγ- [χάνεις,
Καὶ τίς σοι βίος πρόκειται καὶ πῶς βιοῦν ἐτάχθης.
Μὴ ζῆν ὅπερ ζῇς νόμιζε τὸ καθημέραν μόνον,
Ὥσπερ θηρίων τοῦ φρονεῖν ἐστερημένον φύσει.
Ἀλλά γε μέγας ἐν τῷ νῦν ἀγών σοι προσετάχθη,
Ὃν ἀγωνίζεσθαί σε δεῖ σπουδαίως καὶ φρονίμως·
Μετὰ δὲ τὸν βραχύτατον τὸν βίου τούτου χρόνον,

vers. 7

B Ἄλλος σε βίος δέξεται πέρας μὴ κεκτημένος,
Ἐν ᾧ λήψῃ τὰς ἀμοιβὰς τῶν νῦν βεβιωμένων,
Ἢ σκότος ἀφεγγέστατον καὶ βάσανον δριμεῖαν,
Ἢ φῶς λαμπρὸν ἐν οὐρανοῖς καὶ θείαν θυμηδίαν,
Καὶ σὺν ἀγγέλοις δίαιταν καὶ βασιλείας δόξαν.
Μὴ οὖν τὸν μετρηθέντα σοι τοῦ βίου τοῦδε χρόνον
Ἐν ἀμελείᾳ δαπανᾷν ἀνέχου καὶ ῥᾳστώνῃ,
Μηδ' αὖ τοῖς ἔργοις τοῖς αἰσχροῖς τοῦτον προσανα- [λίσκειν·

vers. 15

manuscrit, πολλὰ κακὰ ὁρῶσιν. Καὶ et κάκ' sont pareillement confondus dans les anciennes éditions de Dion Chrysostome, où ce vers d'Homère,

*Σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλὼν οἰκῆϊ ἐοικώς,*

est écrit avec καὶ au lieu de κάκ', et de plus avec οἰκεῖϊ. Reiske (t. II, p. 7), par distraction sans doute, a mis δὲ au lieu de ce καὶ, et a laissé οἰκεῖϊ. Le ms. 2958 porte correctement κάκ' et οἰκῆϊ.

(1) Il dira ailleurs ὦ φίλτατε, τέκνον, λῷστε. Rien n'indique à quel personnage de cette époque George adressoit son poëme; et peut être ces épithètes ne se rapportent-elles à aucune personne en particulier, mais vaguement au lecteur.

Ὅσῳ γὰρ τιμιώτερον ὁ βίος τῶν χρημάτων,
Μείζων ἡ βλάβη τοῖς αὐτὸν κακῶς προϊεμένοις.
Διηνεκῶς (1) οὖν φρόντιζε πῶς τἀγαθὰ κτητέον.
Μᾶλλον δὲ τί σοι τἀγαθὸν εἰδέναι χρὴ πρὸ πάντων·
Πολλοὶ γὰρ παρεσφάλησαν περὶ τὴν τούτου κρίσιν,
Καὶ, τοῖς μὴ οὖσιν ἀγαθοῖς ἀγνοίᾳ (2) προσδραμόν-
[τες,
Εἰς ἀπωλείας βάραθρα πεπτώκασιν οἰκτίστως.
Γνῶσιν (3) δὲ πρῶτον ἁπλανῆ κτητέον τῶν πραγ-
[μάτων,
Ἧς ἄνευ κατορθοῦν βουλὴν ἀδύνατον ἢ (4) πρᾶξιν·
Σὴν φύσιν γνῶθι πρώτιστα καὶ πλέγματος τὸν λόγον
Πῶς ἡ ἀσώματος ψυχὴ, καὶ νοερὰ καὶ θεία,
Ἄφθαρτος καὶ ἀνώλεθρος εἰκὼν τοῦ πρώτου κάλλους,
Τῷ σώματι συνέζευκται τούτῳ δὴ τῷ πηλίνῳ,
Τῷ ῥέοντι διηνεκῶς ὥσπερ χειμάρρου (5) ῥεῦμα,
Τῷ παθητῷ τε καὶ τρεπτῷ, καὶ τέλος λυομένῳ,
Καὶ οὐκ ἀλύει τῷ δεσμῷ οὐδὲ τῇ προσεδρίᾳ (6),
Ἀλλ' ἀγαπᾷ τὸν σύνδεσμον καὶ στέργει τὸ γεῶδες,
Καὶ περιέπει τὸ φθαρτὸν καὶ κήδεται φιλοῦσα,
Προνοουμένη (7) τῶν αὐτῷ προθύμως συμφερόντων·
Πῶς (8) ἀγνοοῦσα ἑαυτὴν τῷ σώματι δουλοῦται
Ταῖς ἡδοναῖς θητεύουσα καὶ τοῖς λαμπροῖς τοῦ βίου,
Καὶ κτήνεσιν εἰκάζεται Θεοῦ πεσοῦσα (φεῦ μοι!)·
Πῶς τῷ θανάτῳ λύεται, τὸν χοῦν τῇ γῇ λιποῦσα,
Καὶ ζῇ βίον ἀσώματον ἐν ἄλλῃ καταστάσει·
Πῶς αὖθις ἀπολήψεται τὸ πάλαι κτηθὲν σῶμα
Ἄῤῥευστον, κοῦφον, ἀπαθὲς, διαφανὲς καὶ σῶον,
Καὶ σὺν αὐτῷ βιώσεται τὸν ἀπέραντον χρόνον,
Κομισαμένη τοὺς καρποὺς ὧν ἔσπειρεν ἐν βίῳ.
Ἔτι (9) δὲ κόσμου φρόντισον ἰδεῖν τοῦδε τὴν φύσιν,
Μή σου τὸ σέλας τὸ φαιδρὸν τοῦ φεραυγοῦς ἡλίου,
Μηδὲ τῶν ἄστρων ὁ χορὸς καὶ τὸ ἐκστίλβον κάλλος,
Μηδ' οὐρανοῦ τὸ μέγεθος (10) καὶ κυκλικαὶ χορεῖαι,
Καὶ δρόμου τάχος ἄτακτον (11) ἀπατησάτω φρένας,
Καὶ οἰηθῇς ἀΐδια καὶ ἀναρχα τὴν φύσιν.
Θεὸς γὰρ μόνος ἄναρχος, προαιώνιος φύσις,
Ἄτρεπτος, ἀτελεύτητος, τῶν πάντων ὑποστάτης·
Τἆλλα δὲ πάντα κτίσματα πεφύκασιν (12) ἐκείνου·

vers. 52

A Μὴ ὄντα γὰρ παρήγαγε Θεὸς θελήσει μόνῃ,
Συνέχει τε καὶ κυβερνᾷ πρὸς πέρας ἄγων θεῖον,
Καὶ αὖθις πρὸς τὸ βέλτιον αὐτὰ μετασκευάσει.
Οὐ γὰρ (13) ἀεὶ κινήσεται τῶν οὐρανίων φύσις,
Οὐδ' ὡς νυμφίος ἐκ παστοῦ φωσφόρος ἐξορμήσει (14),
Οὐδ' ἡ σελήνη σχήματα παντοδαπὰ προδείξει,
Ἥλιῳ προσιοῦσά τε καὶ αὖ ὑπαπιοῦσα·
Οὐδ' αὖ ἡμέραν (15) περανεῖ νὺξ ἐπιγινομένη·
Οὐδ' ἄνεμοι τινάξουσιν ἀεὶ φύσιν ἀέρος,
Οὐδ' ὄμβροι καταχθήσονται πιαίνοντες ἀρούρας,
Οὐδὲ κατενεχθήσονται πρὸς γῆν σκηπτοὶ πυρφόροι,
Οὐδὲ ἀστραπῶν μαρμαρυγὴ ἀέρα περιλάμψει,
Οὐ ψόφος ἄτοπος βροντῶν τὰς ἀκοὰς ἐκπλήξει
Οὐδ' ἀπὸ γῆς φυήσεται χλοάζουσα βοτάνη,
B Οὐ δένδρον, οὐδὲ θάμνος τις, οὐδ' ὅλως πόας φύσις·
Οὐ ζήσεται δ' ἐν ὕδασι τὸ τῶν ἐνύδρων γένος,
Οὐδὲ δελφῖνος σκίρτημα πλωτῆρσι δώσει θάρσος,
Οὐ θάλασσαν πορεύσονται νῆες ὡς πτεροφόροι·
Οὐδὲ πτηνὰ νηχόμενα πλευσεῖται τὸν ἀέρα·
Οὐδὲ περιλαλήσουσιν ᾠδαὶ τῶν ἀηδόνων
Ἄλση καὶ κήπους, καὶ δρυμοὺς, καὶ κάλλη παρα-
[δείσων·
Οὐ γῇ καλλωπισθήσεται τῶν ζώων ταῖς ἀγέλαις,
Οὐ γάμος συμπλακήσεται τούτων ἔαρος ὥραις
Οὐ τόκος, σὺ γαλοῦχησις, οὐδ' ἐκτροφὴ τὸ πάμπαν·
Ἀλλὰ φθαρήσεται φθαρτὸν τὸ γένος πᾶν ἐξαίφνης,
Καὶ στήσει δρόμον οὐρανὸς νεύματι τοῦ Δεσπότου,
Καὶ ἥλιος στηρίξεται πρὸς ἓω σελασφόρος,
Ἡ δὲ σελήνη παμφαὴς πρὸς ταῖς δυσμαῖς πυρσεύσει,
C Ὧν ταῖς λαμπραῖς μαρμαρυγαῖς τὸ τῶν ἀστέρων
[φέγγος
Ἀμαυρωθὲν (16) οἰχήσεται φαινόμενον οὐδ' ὅλως·
Καὶ μετασκευασθήσεται σύμπας ὁ κόσμος οὗτος
Πρὸς ἀφθαρσίαν ἄτρεπτον καὶ κάλλος ὑπὲρ φύσιν.
Καὶ ἀμετάβλητος λοιπὸν εἰς τοὺς αἰῶνας ἔσται
Κάλλιστον ἐνδιαίτημα τοῖς τότε μακαρίοις.

Ἐπεὶ (17) δὲ φύσιν ἔγνωκας σὴν καὶ τοῦ κόσμου
[τοῦδε,

vers. 87

(1) Avant ce vers, on lit dans le man. le titre suivant en lettres rouges : Περὶ τοῦ κτίσασθαι τὰ ἀγαθὰ (lisez κτήσασθαι · la même faute se trouve au v. 97). J'ai supprimé ce titre et les autres, parce qu'ils sont souvent peu exacts, et appartiennent par conséquent plutôt à quelque copiste qu'à l'auteur. Toutefois, comme des repos et des intervalles étoient nécessaires dans la lecture d'un si long poëme, j'ai établi des divisions d'après le changement des matières.

(2) Le man. ἀγνοίαν. La correction est à-peu-près certaine. L'*iota* final et le *ny* sont sans cesse confondus par les copistes. Si le copiste eût voulu mettre l'accusatif, il eût écrit ἄγνοιαν.

(3) Titre dans le man. : Περὶ φύσεως ἀνθρώπου.

(4) Le man. ἤ. Désormais je ne tiendrai nul compte de ces fautes d'accents et d'esprits ; elles sont infinies. Je les corrigerai, sans en avertir.

(5) Man. χειμάρου, Le copiste omet fort souvent la seconde consonne dans les mots où il faut écrire ρρ, λλ, μμ, et ainsi des autres. Ce sont encore des fautes que je corrigerai le plus souvent sans en rien dire.

(6) Man. προσεδρεία.

(7) Man. προνουμένη τῶν αὐτῶν.

(8) Titre : Περὶ ἀπάτης ψυχῆς.

(9) Titre : Περὶ σκοπίζειν τὰ αἰσθητὰ καὶ ἀνάγεσθαι πρὸς τὸν Ποιητήν.

D (10) Man. μὴ δοῦν οὐ τοτὸ μέγεθ.

(11) On pourroit conjecturer εὔτακτον. J'ai defendu la leçon ἄτακτον dans une note sur le vers 9 de l'Hymne de Proclus au Soleil.

(12) Man. πεφύκασι. Le poëte a peut-être laissé l'hiatus ; car il s'en est permis plusieurs Cependant comme celui-ci pouvoit facilement être évité, j'ai cru devoir l'attribuer au copiste; d'autant plus qu'ailleurs le poëte met en pareil cas l'*iota* paragogique : v. 22, 61, 132, 239.

(13) Titre : Περὶ συντελείας.

(14) Le poëte copie ici le Psalmiste (XVIII, 5) : Καὶ αὐτὸς (ὁ ἥλιος) ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ.

(15) Man. ἡμέρα.

(16) Man. ἀμαυρθέν.

(17) Titre : Περὶ πῶς δεῖ σε εἶναί σε ἐν τῷ κόσμῳ τούτῳ.

Ζήτησον τί σοι πρόκειται πέρας παντὸς τοῦ βίου·
Τοῦτο γὰρ πάντως τέλος σοὶ καὶ τἀγαθὸν ὡρίσθη,
Πρὸς ὃ μοι τεῖνε (1) τὴν σπουδὴν, ὀλιγωρῶν τῶν
[ἄλλων.
Ἐπεὶ δὲ βίος σοι δισσὸς ὁ νῦν τε καὶ ὁ μέλλων,
Ἐν μὲν τῷ μέλλοντι σαφὲς ὡρίσθη σοι (2) τὸ πέρας,
Ὁ βασιλείαν οὐρανῶν καὶ λῆξιν μακαρίαν
Ὁρίζεται τὰ Λόγια (3) καὶ δόξαν αἰωνίαν,
Τί δέ σε πράττοντα χρεὼν ἐν τῷ παρόντι βίῳ,
Ὡς τύχῃς ἐν τῷ μέλλοντι (4) τῆς εἰρημένης δόξης;
Ἔρωτα κτήσασθαί σε δεῖ σφοδρὸν τοῦ πρώτου κάλ-
[λους·
Ἐξ ὅλης τῆς ἰσχύος σου καὶ πάσης διανοίας,
Καὶ πίστιν ἀμετάθετον καὶ βεβαίαν ἐλπίδα.
Τοῦτο (5) δ' ἂν γένοιτο σαφῶς διὰ τῆς ἐργασίας
Τῶν ἐντολῶν τῶν ζωηρῶν τοῦ Θεοῦ καὶ Δεσπότου,
Δι' ὧν ἀποκαθαίρεται ψυχὴ τῶν κάτω ῥύπων,
Καὶ πρὸς τὸ πρῶτον ἄνεισι κάλλος τὸ τῆς εἰκόνος
Καὶ κάλλος ἐνοπτρίζεται Θεοῦ δι' αἰνιγμάτων
Ἀστράπτον καὶ κρυπτόμενον, καὶ θέλγον σοφῶν
[φρένας.
Τοῦτό σοι τέλος τῆς σπουδῆς ἐν τῷ παρόντι βίῳ,
Τὰ δ' ἄλλα πάντα πρὸς αὐτὸ τὸ τέλος ἀναφέρειν.

Ἐπεὶ (6) δὲ σώματι φθαρτῷ, φίλτατε, συνεπλάκης,
Καὶ δεῖ σε πείθεσθαι θεσμοῖς τοῦ Κτίστου καὶ Δε-
[σπότου,
Δεῖ πάντως χρῆσθαι σώματι καὶ τοῖς χρησίμοις
[τούτῳ,
Πλὴν οὐκ ἐμμένειν ἐν αὐτοῖς οὐδὲ χρονίζειν ὅλως,
Οὐδ' οἴεσθαί σου τἀγαθὸν εὑρεῖν ἐν τοῖς τοιούτοις.
Ἡ δόξα γὰρ ἀβέβαιον, ὁ πλοῦτος παραῤῥέον,
Ἡ δυναστεία σφαλερὰ καὶ λίαν κινδυνώδης,
Εὐγένεια δὲ χοῦς βραχὺς ἐν τάφοις τῶν προγόνων·
Αἱ δ' ἡδοναὶ τοῦ σώματος, εἰς τετρημένον πίθον,
Τὸ σῶμα, ἐπαντλούμεναι, ἐκρέουσιν αὐτίκα.
Οὐκ ἔστιν ἄρα μόνιμον οὐδὲ λαμπρὸν ἐν βίῳ·
Ἀλλ' ἀπατῶνται σύμπαντες (7) οἱ περὶ ταῦτα πᾶσαν
Σπουδὴν κακῶς εἰσφέροντες καὶ λίαν ὀλεθρίως,
Ἀν0' ὧν τοῦ ὄντος ἀγαθοῦ (φεῦ πάθους!) ἐκπε-
[σοῦνται.
Σὺ δὲ τρυφὴν διάπτυε καὶ δόξης καταφρόνει,
Τὴν δυναστείαν πρόσκαιρον ἡγοῦ καὶ ψευδομένην,
Τῆς δ' εὐγενείας ὄνομα κενὸν ἡγοῦ καὶ πλάνον,
Τοῖς μὲν σοφοῖς γελώμενον, φυσῶν τοὺς ἀσυνέτους·
Οὐκ ἔχει γὰρ ὑφεστηκὸς σημαινόμενον πρᾶγμα.
Χρημάτων δ' ὅσον αὐταρκες τοῦ σώματος ταῖς
[χρείαις
Ὡς ἀναγκαῖον λάμβανε, τὸ δ' ὑπὲρ τοῦτο ῥίπτε

vers. 128

(1) Man. τοῖνε.
(2) Man. ὡρίσθησο.
(3) Λόγια, les oracles, les oracles de Dieu, les livres saints. S. Paul a dit de même, τὰ λόγια τοῦ Θεοῦ. L'empereur Basile, dans ses Conseils à son fils Léon (ch. 1 et 17), dit avec synonymie, διὰ τῆς μελέτης τῶν θείων λογίων, et διάνοια ἀρδευομένη ταῖς τῶν θείων λόγων μελέταις.
(4) Man. μέλλοντι.
(5) Man. τούτω.

A Ὡς μάταιον καὶ ἄχρηστον, ὡς τῶν ψυχῶν παγίδα
Τοῦ σώματος δὲ τὰ καλὰ, ῥώμην, ὑγείαν, κάλλος,
Οὐ χρὴ νομίζειν ἄξια σπουδῆς τελεωτάτης·
Τὰ μὲν γὰρ φύσις δίδωσιν ὁποῖα ἂν (8) καὶ δοίη·
Ὑγεία δ' ἐπιγίνεται καὶ αὖθις ἀπορῤῥέει.
Ταύτης μόνης ἐπιμελοῦ, τῶν ψυχῆς ἔργων χάριν·
Ὀργάνῳ (9) γὰρ χρῆται αὐτῷ ψυχὴ πρὸς πᾶσαν
[πρᾶξιν,
Παρατραπέντος δ', οὐκ ὀρθῶς τὸ ἔργον ἐνεργεῖται.
Τῆς δὲ ψυχῆ (10) τῶν ἀγαθῶν πάσῃ σπουδῇ φρον-
[τίζειν,
Ἐν πρώτοις μὲν ἐπιστημῶν τῶν ἐν φιλοσοφίᾳ,
Καὶ τῶν συντρόφων ἀρετῶν· ταῦτα γὰρ κόσμος
[ὄντως
B Ψυχαῖς οἰκεῖος καὶ καλὸς καὶ μόνιμος τυγχάνει,
Σεμνὸν ποιεῖ τὸν ἔχοντα ἐν τῷ παρόντι βίῳ,
Ἐν δὲ τῷ μέλλοντι λαμπρὰν τὴν εὐκλειαν πορίζει.
Δεῖ δὲ καὶ τέχνης πάντως γε πρὸς τὰς τοῦ βίου πρά-
[ξεις,
Καὶ δεῖ πρὸς τὴν κατάστασιν, καὶ τὸν βαθμὸν ὃν
[ἔχεις,
Χρησίμους τέχνας ἐξασκεῖν, καὶ σεαυτὸν σκευάζειν
Ὄργανον ἐπιτήδειον πρὸς τὰς τοῦ βίου πράξεις.
Μάλιστα χρὴ (11) δὲ τὰς κοινὰς καὶ πᾶσιν ἀναγκαίας
Τέχνας διώκειν ἁπάντας, καὶ ταύταις ἐνασκεῖσθαι.
Αὗται δ' εἰσὶ ῥητορικὴ καὶ ἡ τῶν νόμων τέχνη.
Οὐδεὶς γὰρ ὅλως δύναται, τούτων ἐστερημένος,
Πράττειν ὀρθῶς οὐδέποτε τὰς ἐν τῷ βίῳ πράξεις.
Πῶς γὰρ ὁ λέγειν μὴ εἰδὼς τοῖς πέλας ὁμιλήσει;
C Πῶς ὁ τὸ δίκαιον μὴ γνοὺς πρός τινας συναλλάξει;
Ἕκαστον οὖν τῶν ἀγαθῶν ἐν τῷ λεχθέντι μέτρῳ
Τιμῶν τε καὶ αἱρούμενος οὐδόλως ἁμαρτήσεις.
Ὡς ἂν δὲ βουλευόμενος ὀρθοτομῇς τὰς σκέψεις,
Δεῖ τὴν παροῦσάν σε σαφῶς κατάστασιν εἰδέναι,
Σαυτοῦ μὲν πρῶτον, οἷος εἶ τὴν φύσιν καὶ τὴν τύ-
[χην,
Ἵνα καὶ βίον πρέποντα σεαυτῷ προσαρμόσῃς,
Εἶτα (12) τῆς πόλεως, ἐν ᾗ τέταξαι βιοτεύειν,
τὰ ἤθη καὶ τοὺς ἄρχοντας, τῶν πολιτῶν τὰ ἤθη,
Καὶ τῶν χρησίμων τὴν φορὰν ὅσα τῶν ἐγχωρίων.
Κοινὰ μὲν γὰρ πεφύκασι τὰ τῶν ἀνθρώπων γένη
Φίλυλα (13) καὶ φιλόδοξα, φιλήδονα τὸ ἦθος,
Ἄπιστα, δόλια, τρεπτά, βάσκανα, κακηγόρα,
Τὸ πλέον τῆς ἰσότητος ἐπίπαν προτιμῶντα,
D Καὶ τὰ τῆς τύχης ἀγαθὰ πάντων ὑπερτιμῶντα (14)·
Καὶ τὴν ζωὴν προΐενται ὑπὲρ αὐτῶν ἀσμένως·
Ὅμως δ' ἑκάστης πέφυκε πόλεώς τε καὶ χώρας
Τὰ ἤθη παραλλάττοντα διαφοραῖς μεγίσταις,
Καὶ δεῖ σε πάντως ἀκριβοῦν τῶν πολιτῶν τὰ ἤθη,

vers. 171

(6) Titre : Περὶ πολιτείας τῆς ὀφειλομένης.
(7) Man. ἀλλὰπαντῶνται σύνπαντες.
(8) Man. ὁποίαν ἄν.
(9) Man. ὀργάνων.
(10) Titre : Περὶ μελέτης ψυχῆς.
(11) Titre : Περὶ τέχνης.
(12) Titre : Περὶ τὰ ἤθη τῶν πολιτῶν ὀφείλειν μανθάνειν.
(13) Man. φιλούλα.
(14) Man. ὑπερτιμῶντες, et 172, ἕκαστον.

Ἵν' ὁμιλήσῃς ἐν καιρῷ πρὸς τὸ ἑκάστου ἦθος,
Καὶ μὴ σφαλῇς περιπεσὼν ἐξαίφνης ἀδοκήτοις.
Εἰ οὖν προθησαυρίσειας τὴν τῶν λεχθέντων γνῶσιν,
Ἕξεις ὀρθῶς βουλεύεσθαι περὶ τῶν προκειμένων.

Λόγου (1) παντὸς καὶ πράξεως βουλή σοι προηγείσθω·
Δεῖ γὰρ τὸν λόγον τοῦ σοφοῦ μὴ ἄκερδον (2) τυγχά-
[νειν.
Τὸ λέγειν δέ γε προπετῶς, μὴ περιεσκεμμένως,
Οὐ μόνον μάταιόν ἐστιν, ἀλλὰ καὶ κινδυνῶδες·
Πολλοὶ γὰρ λόγου προπετοῦς εὕραντο βλάβος μέγα·
Ἐν οἷς δ' οὐκ ἔστι κίνδυνος, ἔπεται πάντως γέλως·
Δοκεῖ γὰρ ὁ ἀδόλεσχος ἀνόητος καὶ κοῦφος,
Καὶ πᾶσιν ἐπαχθέστατος καὶ ἀηδὴς συνεῖναι.
Σκεπτέον ἄρα νουνεχῶς πολλάκις πρὸ τοῦ λέγειν
Τίς ὤν, καὶ τίνος ἕνεκα καὶ τίνος διαλέγῃ,
Καὶ πρὸς τὴν χρείαν στάθμισον καὶ τὸν καιρὸν τοὺς
[λόγους,
Εἶθ' οὕτως λέγε συνετῶς καὶ πράως, καὶ συντόμως.
Εἰ δὲ μὴ ἔχεις χρήσιμον εἰπεῖν τι καὶ πρεπῶδες,
Βέλτιόν τι στέργειν σιγὴν (3) ὡς ἱερόν τι χρῆμα,
Καὶ πρὸς τὴν ζήτησιν τὸν νοῦν ἐγείρειν (4) τῶν
[δεόντων.
Μηδὲ (5) τοῖς ἔργοις ἐγχειρεῖν ἄνευ βουλῆς τολμή-
[σεις·
Πρᾶξις γὰρ ἄνευθε βουλῆς τοῦ τέλους ἁμαρτάνει,
Καὶ ζημιοῖ τὸν πράττοντα καὶ συμφοραῖς ἐμβάλλει.
Εἰ δ' ἀβουλεύτως πράξας τις ἐπέτυχε τοῦ τέλους,
Σπάνιον πάντως, καὶ ζηλοῦν οὐ δεῖ σε τοὺς τοιού-
[τους.
Μετὰ (6) πολλῆς δὲ σκέψεως βουλεύου τὰ πρακτέα.
Τὸ δὲ κριθὲν ἐκ τῆς βουλῆς ταχέως ἐπιτέλει.
Δεῖ δὲ τὸ μέλλον προορᾶν πρὸ τοῦ συμμέτρου χρόνου,
Καὶ πρὸ καιροῦ βουλεύεσθαι καὶ τάττειν σου τὰς
[πράξεις,
Μή πως τοῦ χρόνου τὸ βραχὺ τὰς πράξεις κατε-
[πεῖγον
Κωλύσῃ σε τὰ δέοντα καλῶς παρασκευάσαι.
Τοῦτο προνοίας συνετῆς, τοῦτο τελείας γνώμης.
Εἰ δέ σοι (7) πρόκειταί ποτε πρᾶγμα βαθὺ καὶ μέγα,
Μὴ αὐθαδῶς τοῖς λογισμοῖς τοῖς σοῖς καταθαρρήσῃς·
Ἀλλὰ συμβούλους προκαλοῦ τοὺς συνετοὺς καὶ εὖ-
[νους,
Καὶ τῶν ὁμοίων πράξεων ἔχοντας ἐμπειρίαν,

vers. 206

A Καὶ τούτων στέργε τὴν βουλήν, καὶ πρᾶττε κατὰ
[λόγον.
Εἰ δὲ περὶ κρυπτοῦ τινος δεῖ σοι βουλῆς παρ' ἄλλων,
Ξενοπροσώπως (8) διηγοῦ τὴν χρείαν καὶ τὸ πρᾶγμα,
Ἵνα, κερδάνας τὴν βουλήν, ἐκφύγῃς τὴν αἰσχύνην.

Τὰς πράξεις (9) ἅσπερ πέπραχας συχνῶς ἀναλο-
[γίζου,
Καὶ σημειοῦ τὰ σφάλματα καὶ τὰς αἰτίας τούτων,
Καὶ πρόσεχε μὴ τοῖς αὐτοῖς εἰς αὖθις περιπέσῃς.

Τὰς παραινέσεις τῶν σοφῶν ἀνδρῶν καὶ τῶν ἐμ
[πείρων
Ἐπιμελῶς ἐκμάνθανε καὶ ἔχε πρὸ τῆς χρείας,
Ἵνα πρὸς ἕκαστον καιρὸν ἔχῃς ἑτοίμως χρῆσθαι
B Καὶ βοηθῇς τοῖς χρῄζουσι πρὸς τὰς ὁμοίας χρείας.
Διέρχου (10) μοι τὰς παλαιὰς προθύμως ἱστορίας,
Παρατηρῶν ἐπιμελῶς τὰς πράξεις καὶ τὰς τύχας,
Καὶ τίνα μὲν κατώρθωσαν καὶ πῶς καὶ τίσι τρόποις,
Τίνα δὲ παρεσφάλησαν καὶ δι' ἥντιν' αἰτίαν,
Καὶ τίνας ἔλαβε τροπὰς ἡ τύχη τοῖς ἀνθρώποις
Ἄνω καὶ κάτω στρέψασα τὰ πράγματα τοῦ βίου,
Καὶ μεταστήσασα ταχὺ ταῦτα πρὸς τοὐναντίον.
Πλείστην γὰρ οὕτω φρόνησιν ὡς ἐμβραχὺ (11) συλ-
[λέξεις.
Ἐπεὶ γὰρ τὸ ὠκύμορον τοῦ ἀνθρωπίνου βίου
Ἀφείλετο τὸν ἄνθρωπον τῆς μακρᾶς ἐμπειρίας,
Ἐξ ἧς ὀρθῶς συλλέγεται φρονήσεως τὸ κάλλος,
Δύνανται τοῦτ' ἀναπληροῦν τῶν παλαιῶν αἱ πρά-
[ξεις·
C Ὁρᾷν γὰρ ταύτας ἐναργῶς δοκοῦμεν ἐν τοῖς λόγοις,
Ὥσπερ παρόντες τοῖς καιροῖς ἐκείνοις καὶ τοῖς
[τρόποις.

Ἔκτριβε (12) θύρας τῶν σοφῶν ἀνδρῶν καὶ τῶν φρο-
[νίμων,
Καὶ λόγους τούτων ἄκουε συνετῶς καὶ προθύμως,
Καὶ δέλτοις (13) τούτους ἔγγραφε μνημονικοῖς εἰς
[βάθος·
Σοφίας γὰρ καὶ ἀρετῆς οὐδὲν προτιμητέον,
Οὐκ ἄργυρος, οὐδὲ χρυσός, οὐδὲ μαργάρου κάλλος,
Οὐ λίθων διαφάνεια πολυτελῶν καὶ ξένων.
Δι' ἃ θαλάττης τε καὶ γῆς ἀνερευνῶνται βάθη·
Πάντα γὰρ ὕλη πέφυκεν ἄψυχός τε καὶ ἄζως,

vers. 239

(1) Titre : Ὅτι ἀγαθὸν ἡ βουλή.
(2) Au lieu d'ἄκερδον, il faut probablement ἄκαιρον. La permutation perpétuelle des voyelles ε et αι favorise cette conjecture.
(3) Man. σιωπήν. J'ai mis le synonyme σιγήν : avec σιωπήν, il y a une syllabe de trop.
(4) Man. ἐγείρειν τὸν νοῦν, ce que j'ai transposé, pour obtenir le repos du premier hémistiche.
(5) Titre : Ἀποτροπὴ ἔργων πονηρῶν. Le manuscrit porte τολμήσεις ἄνευ βουλῆς. Par le renversement que j'ai fait, la pénultième syllabe porte l'accent exigé.
(6) Titre : Περὶ σκέψεως ἀγαθῆς βουλῆς.
(7) Titre : Περὶ τοῦ μὴ θαρρεῖν ἐν τῇ ἰδίᾳ βουλῇ τὸ κακόν. Il faut peut-être lire : βουλῇ, ὅτι κ. Il y a une formule pareille au titre du vers 285.

D (8) Ξενοπροσώπως, « comme s'il s'agissoit d'une personne étrangère. »
(9) Titre : Περὶ τοῦ ἀεὶ μεμνῆσθαι τῶν πράξεων καὶ μὴ ἦν ἐπίληθος. Il faut sans doute corriger : Καὶ μὴ εἶναι ἐπίληθος.
(10) Titre : Περὶ τοῦ ἀναγινώσκειν θαμέα. Il faut θαμινά. — 221. Man. δι' ἣν τήν.
(11) Je ne crois pas qu'il faille corriger ἐμβραχυ, mais ἐν βραχεῖ, comme je l'ai déjà remarqué sur le vers 1144 des *Guêpes* d'Aristophane. Au v. 1231, le copiste a écrit ἐν βραχὺ χρόνου.
(12) Titre : Περὶ σοφῶν θύρας ἐκτρίβειν, πλουσίων δὲ μή.
(13) J'ai traité de cette métaphore des *tablettes de la mémoire*, des *tablettes de l'âme*, sur Sophocle, t. I, p. 387, et sur Eschyle, t. I, p. 265.

Τοὺς ἀνοήτους θέλγοντα τῷ φαινομένῳ κάλλει.
Τας ἡδονὰς (1) τοῦ σώματος διάπτυε τελέως,
Μηδ' ἀγαθόν τι νόμιζε καὶ διωκτὸν ἀνθρώποις,
Ἀλλὰ τῆς χρείας ἕνεκα δεδόσθαι τοῖς ἀνθρώποις·
Ῥευστοῦ γὰρ ὄντος καὶ θνητοῦ τοῦ ἀνθρωπίνου [σκήνους,
Τῆς μὲν ροῆς ἐπιῤῥοὴν (2) τροφῶν ἡ θεραπεία,
Τὴν τοῦ θανάτου δὲ τομὴν γάμος παραμυθεῖται.
Ἐπεὶ δὲ ταῦτα καθ' αὐτὰ (τροφὴν λέγω καὶ γάμον)
Οὐδεὶς ἂν πράττειν εἵλετο τῆς ἡδονῆς ἀπούσης (3),
Ὁ τεχνικὸς δημιουργὸς ἐνέθηκε τῇ φύσει
Τὴν ἡδονὴν ὡς δέλεαρ σοφῇ μηχανουργίᾳ.
Τῷ θείῳ γοῦν ἑπόμενος σκοπῷ, τὰς ἀναγκαίας
Αἱρούμενος τῶν ἡδονῶν, ὀρθῶς ἂν οἴῃ (4) πράττειν,
Τὰς δ' ἄλλας φεύγων πόῤῥωθεν, ὡς Χάρυβδιν ἢ [Σκύλλαν,
Ἢ καὶ Σειρήνων ἄσματα φθοροκοιὰ καὶ μέλη.

Γέλωτος (5) κλόνος καὶ βρασμὸς, καὶ τεθρυμμένον [ἦθος,
Καὶ βλέμματος ἀναίδεια σὺν νεύμασιν ὀφρύων,
Καὶ βάδισμα θηλυπρεπὲς καὶ λυγισμὸς ὀσφύος,
Περιεργία τε κουρᾶς καὶ σύνθεσις τῆς κόμης,
Σαφὴς ἐστὶν ἀπόδειξις τῆς ψυχικῆς κακίας.
Λόγοις (6) αἰσχροῖς καὶ ῥυπαροῖς μὴ μόλυνε τὴν [γλῶτταν,
Καὶ κλεῖέ σου τὴν ἀκοὴν πρὸς λόγους ἀναισχύντους·
Ὁ γὰρ πράττειν αἰσχρὸν, ἔστι καὶ λέγειν καὶ [ἀκούειν.
Φεῦγε καὶ τὸ φιλόγελων (7), ὡς διαβεβλημένον,
Καὶ λόγους γελωτοποιοὺς καὶ μῶμον συντυχίας·
Τὸν τόνον γὰρ τὸν τῆς ψυχῆς ἐκλύει ταῦτα πάντα,
Καὶ χαλαρὰν αὐτὴν ποιεῖ καὶ λίαν παρειμένην.

Μέθη (8) τὸν νοῦν ἀπόλλυσι, τὴν κεφαλὴν ἀλγύνει,
Τὴν σωφροσύνην ἀναιρεῖ καὶ τὴν αἰδὼ διώκει,
Τὴν γλῶτταν εἰς τὸ φλυαρεῖν αἰσχρῶς διερεθίζει,
Καὶ πράττειν ἔργ' (9) αἰσχρότατα σαφῶς παρα- [σκευάζει,
Καὶ καταγέλαστον ποιεῖ τοῖς πᾶσι τὸν ἀλόντα.
Διό σε τὰ συμπόσια καὶ τὰς συγκαθεδρίας,

vers. 272

A Παραινῶ φεύγειν εὐπρεπῶς, προφάσεσιν εὐλόνοις,
Μὴ δι' ἀπέχθειαν δοκῇς φεύγειν τὰς ὁμιλίας.

Βρωμάτων (10) πολυτέλεια, καὶ τέχνη καρυκείας,
Καὶ τράπεζα φλεγμαίνουσα, καὶ τραγημάτων εἶδη,
Λαιμῷ χάριν εἰσφέρουσι πρόσκαιρον καὶ βραχεῖαν,
Εἰς κόπρον μεταβάλλοντα μετὰ τρίωρον χρόνον.
Μὴ τοίνυν ταῦτα θαύμαζε, μηδὲ διώκειν θέλε.

Ὕπνος (11) θανάτου μίμησις, αἰσθήσεων ἀργία,
Καὶ ἀπραξία λογισμῶν, εὑρέτης δ' ὀνειράτων·
Ὁ σύμμετρος ἀνάπαυμα σαρκὸς τῆς πολυμόχθου·
Ὁ πλείων πάρεσις ψυχῆς καὶ ῥᾳθυμίας τόκος,
Ἀκολασίας γεννητὴς, πράξεων ἀναιρέτης

B Τῶν (12) ἀλλοτρίων γυναικῶν φεῦγε τὰς ὁμιλίας,
Καὶ μάλιστα τῶν εὐειδῶν τὴν ὄψιν καὶ τῶν νέων,
Τῶν ἀκολάστων δὲ πλέον τοῖς ἔργοις ἢ τοῖς τρόποις.
Ἡ θέα γὰρ αὐτῶν ἐστι βέλος πεφαρμαγμένον,
Δόρυ δ' ὀξὺ τὰ ῥήματα τιτρώσκοντα (13) καρδίαν.

Μὴ πᾶσαν (14) λύπην νόμιζε φευκτέαν εἶναι, τέκνον,
Ὡς οὐδὲ πᾶσαν ἡδονὴν τῶν αἱρετῶν (15) τυγχάνειν·
Οὐκ ἔστι γὰρ ἀπόνως τι γενναῖον κατορθῶσαι,
Οὐδὲ στεφάνους ἆρασθαι χωρὶς πολλῶν ἱδρώτων.
Μακρὰν τὸν ὄκνον ἀπωθοῦ (16), τὴν ῥᾳθυμίαν φεῦγε·
Ἐν ἔργοις καλοῖς ὑπούδαζε νύκτωρ καὶ μεθ' ἡμέραν·
Μὴ γὰρ, τὸν συνεδρεύοντα ταῖς ἐνεργείαις πόνον
Δείσας, τοῦ πράττειν ἀποσῇς (17) καὶ τῶν καλῶν ἐκ- [πέσῃς.

C Τὰς ἐπιούσας συμφορὰς ὑφίστασο (18) γενναίως,
Εἰδὼς οὐκ ὂν τῶν ἐφ' ἡμῖν τὸ ταῦτα μεταβάλλειν,
Ἀλλὰ προνοίας θείκης καὶ φύσεως καὶ τύχης·
Τὸ φέρειν δὲ τὰς συμφορὰς οὐ γνώμης, ἀλλ' ἀνάγ- [κης,
Τὸ δὲ γενναίως καὶ καλῶς, ἀνδρὸς ἀξιολόγου.

Μὴ φανερώσῃς (19) μηδενὶ τὰ δυστυχήματά σου,
Ἵνα μὴ τέρπῃς τοὺς ἐχθροὺς καὶ ἀνιᾷς τοὺς φίλους,
Εἰ μή σοι χρεία συμβουλῆς ἐπὶ τῇ δυστυχίᾳ·
Τότε γὰρ μόνον (20) πίστευσον ἐκείνῳ τῷ συμβούλῳ.

vers. 306

(1) Titre : Περὶ ἀπληστείας καὶ ἡδονῆς.
(2) Man. ἐπιῤῥοή.
(3) Man. ἀπτούσης.
(4) Man. οἴης.
(5) Titre : Περὶ ἀτάκτου γέλωτος.
(6) Titre : Περὶ λόγων αἰσχρῶν. Le manuscrit porte: τὴν γλῶτταν μὴ μόλυνε, ce qui viole la règle de l'accent.
(7) Man. φιλόγελον. Il faut peut-être τὸν φιλόγελων. Ce moraliste est du même avis que la Bruyère, qui a dit avec beaucoup trop de sévérité, ce me semble : « Il n'est pas ordinaire que celui qui fait rire, se fasse admirer; » et encore, « Discurs de bons mots, mauvais caractère; je le dirois, s'il n'avoit été dit. » Et qui avoit ainsi parlé avant la Bruyère ? Pascal, « le misanthrope sublime. »
(8) Titre : Περὶ μέθης.
(9) Il manquoit une syllabe par la faute du copiste. J'ai ajouté ἔργ'. George a peut-être écrit τὰ αἰσχρότατα : mais il me paroissoit téméraire de lui attribuer un hiatus, quand la copie ne m'y oblige pas.
(10) Titre : Περὶ σιτίων.
(11) Titre : Περὶ ὕπνου.
(12) Titre : Περὶ ὁμιλίας γυναικὸς, ὅτι οὐκ ἀγαθόν.
(13) Peut-être faut-il écrire : Τιτρῶσκον τὴν καρδίαν.
(14) Titre : Περὶ λύπης.
(15) Man. ἀρετῶν.
(16) Man. ἀνπωθοῦ. *Voy.* v. 436 et 756, où le manuscrit porte ἀποθούμενος.
(17) Peut-être est-ce ἐπίσης que le poëte a écrit.
(18) Man. ὑφίστατο.
(19) Titre : Περὶ δυστυχίας.
(20) Le manuscrit porte μόνῳ par correction. Au lieu d'ἐκείνῳ, je pense qu'il faut ἐκεῖνα.

Ἂν σε (1) διώξῃ τύραννος ὑπὲρ τῆς εὐσεβείας,
Μὴ δείσῃς τραύματα σαρκὸς, μηδὲ μελῶν πηρώσεις,
Μηδὲ ζωῆς ἀφαίρεσιν, τῆς γε προσκαίρου ταύτης·
Ἀλλὰ προθύμως ἅρπασον τὸ κλέος τῶν μαρτύρων,
Καὶ δόξαν τὴν ἀΐδιον ἀντὶ μικρᾶς ὀδύνης.
Τὸ γὰρ θανεῖν κοινόν ἐστι καὶ φαύλοις καὶ σπου-
[δαίοις,
Τὸ δὲ θανεῖν ὑπὲρ Χριστοῦ τῶν ὄντως ἀριστέων.

Ἂν ἔθνος τι βαρβαρικὸν κατὰ τῆς σῆς πατρίδος
Ἐπιστρατεῦσαν ἀπειλῇ δεινὴν αἰχμαλωσίαν,
Μὴ κιταπλήξῃς καὶ προδῶς αἰσχρῶς τούς σοι φιλ-
[τάτους
Διὰ δειλίαν καὶ τρυφὴν καὶ μαλακίαν γνώμης·
Ἀλλὰ προθύμως ἔξιθι καὶ τοῖς ἐχθροῖς συνάντα,
Καὶ δεῖξον ὄμμα βλοσυρὸν (2) καὶ θαρσαλέαν φρένα,
Καὶ ὁρμημα δραστήριον καὶ ἀκάματον χεῖρα.
Κἂν μὲν νικήσῃς, ἔσωσας γυναῖκά τε καὶ τέκνα,
Γονεῖς, καὶ φίλους ἅπαντας, πατρίδα τε φιλτάτην,
Καὶ πάντες σε θαυμάσονται, καὶ κλέος ἕξεις μέγα·
Εἰ δ' ἀριστεύοντα συμβῇ τεθνάναι σε γενναίως,
Ἀΐδιόν σοι κείσεται τὸ κλέος ἐν τῇ πόλει.
Εἰ γὰρ μὴ τοῦτον τὸν καλὸν θάνατον ἀποθάνῃς,
Τὸν ἄδοξόν τε καὶ αἰσχρὸν πάντως οὐκ ἂν ἐκφύγοις.

Ἂν δὲ (3) στρατείαις ἀριθμῇ καὶ τάξεσιν ἐμπρέπῃς,
Γνῶθί σου τὸ ἀξίωμα καὶ φρόνησον πρεπόντως.
Φύλαξ ὑπάρχεις πόλεως καὶ πάσης τῆς πατρίδος,
Τοσούτῳ πύργων καὶ τειχῶν (4) ὑπέρτερος τυγχά-
[νων
Ὅσῳ τῶν λίθων ὁ φρονῶν καὶ ζῶν (5) ὑπάρχει
[κρείττων.
Οὐκοῦν καὶ γνώμην κέκτησο τῆς τάξεως ἀξίαν,
Καὶ σοῖς κινδύνοις πόριζε τῇ πόλει σωτηρίαν,
Πρὸ ἁπάντων ὑπερμαχῶν, λοχεύων, ἐνεδρεύων,
Γενναίως συμπλεκόμενος, καὶ καρτερῶν εὐψύχως,
Τοῦ στρατηγοῦ τοῖς νεύμασι πειθόμενος ἀσμένως,
Καὶ γέρας ἕξεις ἀρετῆς καὶ κλέος ἀεὶ μένον.
Εἰ θέλεις δ' εἶναι ἱκανὸς καὶ δόκιμος ἐν ὅπλοις,
Ἐν ταῖς βουλαῖς τοῦ στρατηγοῦ μετὰ τῶν εὐδοκίμων
Ἀεὶ παρεῖναι σπούδαζε καὶ πάντων κατακούειν,
Μάλιστα δὲ τῶν ἀγαθῶν καὶ τῶν ἐμπειροτάτων,
Καὶ θησαυρίζειν τὰς βουλὰς αὐτῶν ἐν διανοίᾳ.

vers. 343

Ζήλου τοὺς ἀριστεύοντας καὶ τοὺς γενναίσους ἄνδρας
Καὶ σὺν αὐτοῖς, εἰ δυνατὸν, εἰς πόλεμον ἐξέρχου·
Οὕτω γὰρ ῥᾷστα μιμητὴς ἔξεις αὐτῶν γενέσθαι.

Πολέμου δὲ σχολάζοντος σπουδὴν ποιοῦ τὴν θή-
[ραν (6)·
Μέγιστον γὰρ γυμνάσιον πρὸς πόλεμον ἡ θήρα,
Ἱππεύειν τε διδάσκουσα καὶ φεύγειν καὶ διώκειν,
Πεῖναν καὶ δίψαν, καὶ κρυμὸν, καὶ θάλπος ὑπομέ-
[νειν.
Ἀσκεῖν τὴν μετάχειρισιν τὴν ἐντεχνον τῶν ὅπλων
Πρὸ τοῦ πολέμου σπούδαζε καὶ τρόπους ἱππασίας,
Ἵνα μὴ ἐπαρίστερος ἐν τῷ πολέμῳ φαίνῃ,
Καὶ καταγέλαστος ὀφθῇς τῶν ὅπλων ἀπειρίᾳ.
Ἐκμάνθανε τὰ τακτικὰ καὶ τρόπους τοῦ πολέμου,
Καὶ λογχῶν εἴδη, καὶ πλαστὰς φυγὰς καὶ αὖ διώ-
[ξεις,
Καὶ ὅσοις ἄλλοις σκέμμασιν ἐν τῷ πολέμῳ χρῶνται·
Οὐχ ἧττον γὰρ οἱ πόλεμοι φρονήσει κατορθοῦνται
Ἢπερ ἀνδρείᾳ καὶ χειρὶ, καὶ ὅπλων δυναστείᾳ.

Τὸν θυμὸν (7) ὑποχείριον ποιοῦ τῷ λογισμῷ σου,
Καὶ ἔθιζε μὴ προπηδᾶν καὶ ὁλακτεῖν ἀτάκτως
Πρὸ σκέψεως τοῦ λογισμοῦ καὶ ψήφου τῶν πρακτέων·
Μηδέ γε λίαν ἐξορμᾶν καὶ μαίνεσθαι ἐάσῃς,
Κραυγοὺς (8) ἀσήμους ῥίπτοντα καὶ ὄμματα στρο-
[βοῦντα,
Καὶ ἀντικρυς μαινόμενον δεικνύντα (9) τὸν ἀλόντα·
Μηδὲ πυκνῶς ἔρεθιζε τοῦτον καὶ παραλόγως,
Ἐπὶ μεγάλοις καὶ μικροῖς ἀδίκησιν αἰτοῦντα.
Καὶ πᾶσιν δυσκολαίνοντα (10) καὶ πᾶσιν ἐγκαλοῦντα·
Βαρὺ γὰρ τοῦτο γίνεται καὶ λίαν τοῖς συνοῦσι,
Καὶ πάντες τοῦτον φεύγουσιν ὡς μάστιγα καὶ κέν-
[τρον.
Ἀλλά σε δεῖ, τὸ ἀσθενὲς τῆς φύσεως εἰδότα
Καὶ τὸ λίαν εὐόλισθον, καὶ πλημμελὲς καὶ ἄνουν,
Τῶν μὲν μικρῶν ἁμαρτιῶν συγγνώμην νέμειν πᾶσι,
Τῶν δὲ μεγάλων ἀκριβοῦν ἐν λόγῳ τὰς αἰτίας,
Μήποτε τύχης ἄγνοια ἢ ἄλλος πλάνης τρόπος
Πλημμελῆσαι πεποίηκε, καὶ μέτρῳ τούτῳ κρίνειν,
Μηδ' αὖ εἰς μῆκος συντηρεῖν χρόνου πολλοῦ τὴν
[μῆνιν,
Ἐπιτηρῶν (11) τὸν δέοντα καιρὸν εἰς ἀντιδόσεις.

vers. 378

(1) Titre : Περὶ αἰχμαλωσίας ἤτοι καὶ μαρτυ-
ρίας.

(2) Man. βλωσσυρόν.

(3) Titre : Περὶ στρατίας. Lis. στρατείας. — Man. ἐμπρέπεις.

(4) Man. τοιχῶν. J'ai parlé plus d'une fois de cette permutation dans le commentaire d'Aristénète et de Planude.

(5) Les mots φρονῶν καὶ ζῶν se joignent par formule. Isée, au commencement de son plaidoyer sur l'héritage d'Apollodore : Εἴ τις αὐτὸς ζῶν καὶ εὖ φρονῶν ἐποιήσατο. Dans une inscription rapportée par M. Walpole, on lit : ΑΥΡΗΛΙΑ ΒΑΟΥΚΙΑ ΖΩΣΑ ΚΑΙ ΦΡΟΝΟΥΣΑ ΚΑΤΕΣΚΕΥΑΣΕ ΛΑΤΟΜΙΟΝ.... Ce qui m'a autorisé à proposer ΖΩΝ ΚΑΙ ΦΡΟΝΩΝ dans une autre inscription, où il y a ΩΝ ΚΑΙ ΦΡΟΝΩΝ, avec une lacune devant ΩΝ. *Voyez* le *Classical journal*, t. XV, p. 306, où j'ai de plus proposé Η ΛΟΥΚΙΑ au lieu de ΒΑΟΥΚΙΑ.

(6) Titre : Περὶ πολέμου. — Xénophon, dans la *Cyropédie* (i. 2), dit que les jeunes Perses s'exercent beaucoup à la chasse, ὅτι ἀληθεστάτη αὐτοῖς δοκεῖ αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον εἶναι. J'ajoute l'épigramme 402 des anonymes : Θήρη μὲν πολέμου μελέτη· θήρη δὲ διδάσκει Κρυπτὸν ἐλεῖν, ἐπιόντα μένειν, φεύγοντα διώκειν. M. Jacobs, dans sa note sur cette épigramme, a rassemblé plusieurs semblables passages. On peut voir aussi Lindenbrog sur l'*Andrienne*, i, 1, 30.

(7) Titre : Περὶ θυμοῦ.

(8) Peut être, κραυγάς.

(9) Man. μενόμενον κεικνῦντα.

(10) Man. δυσκολαίοντα.

(11) Man. ἐπιτηροῦν. — 375. Peut-être ψυχῆς ἄγν.

Κριτοῦ (1) δ' ἔχων ἀξίωμα καὶ προεστὼς ἀνθρώπων,
Τὰ μὲν εἰς σὲ συγγνωμονεῖν νομίμως καὶ δικαίως,
Τὰ δ' εἰς τοὺς ἄλλους ἐκδίκως ἁμαρτήματα θέλε·
Τὸ μὲν γὰρ τῆς πραότητος, τὸ δὲ δικαιοσύνης.
Μὴ ἔσο δὲ φιλόνεικος καὶ δύσερις (2), ἐν πᾶσι
Στῆσαι τὸν λόγον σου ζητῶν καὶ τὰ δοκοῦντα πράτ-
[τειν·
Λίαν γὰρ ἀκοινώνητον καὶ ἀηδὲς τυγχάνει·
Ἀλλ' ἐν μὲν λόγοις δίδασκε πράως τά σοι δοκοῦντα,
Ἂν δ' ἴδῃς ἀντιτείνοντα, σίγα καὶ παύῃς χόλον,
Ἢ πρὸς ἑτέρας ἀφορμὰς μετάβαλλε τοὺς λόγους·
Ἐν ἔργοις δὲ τὸ ἄριστον σπούδαζε τοῖς συνοῦσι,
Μὴ τὸ οἰκεῖον θέλημα πληρῶν ἐκ παντὸς τρόπου.
Πολλῶν γὰρ εἰς συνέλευσιν τοιαύτην κοινωνούντων,
Ἀδύνατον τὸ ἑαυτοῦ ποιεῖν ἕκαστον τούτων,
Ἀλλὰ τὸ μέν τι δεῖ ζητεῖν, τὸ δὲ καταλιμπάνειν,
Καὶ χαίρειν ἐφ' ᾧ ἥττηται οὐχ ἧττον ἢ τοῖς ἄλλοις.

Ἂν δ' ἄλλος (3) ἄρξηται θυμοῦ καὶ κατὰ σοῦ κι-
[νῆται,
Ὑβρεσι πλύνων, καὶ δεινῶν ἐπαπειλῶν νιφάδας,
Μὴ ἀνθιστάμενος· εὐθὺς εἰς ἄμυναν ὁρμήσῃς,
Ἀλλὰ χαλίνου λογισμὸν εὐθὺς, καὶ πράως ἔχε,
Καὶ στῆθι βλέπων εἰς αὐτὸν ἐν γαληνῷ προσώπῳ,
Ἔστ' ἂν τὴν ζάλην τῆς ψυχῆς τελέως ἀποπτύσῃ·
Τοῦ χόλου δὲ λωφήσαντος ἔχεις καιρὸν τοῦ λέγειν,
Ἀναμιμνήσκων μὲν αὐτὸν τῆς ἀκρατοῦς μανίας,
Εἶτ' ἐγκλῶν ὡς λυπηθεὶς καὶ ὡς ἠδικημένος,
Μὴ μέντοι γε ὡς ἀπειλῶν καὶ ἄμυναν διώκων.
Καὶ (4) τοῦτο γὰρ ἀλόγιστον συμβαίνει πρὸς τοῖς
[ἄλλοις
Τοῖς θυμουμένοις, ἀπειλεῖν ἃ δρᾶσαι προθυμοῦνται.
Εἰ γὰρ μὴ δύναντάί γε δρᾶν, τὸ ἀπειλεῖν γελοῖον·
Δισσοὺς γὰρ μώμους ἑαυτῷ προστρίβεται τοιοῦτος,
Μισούμενος μὲν ὡς ἐχθρὸς, ὡς ἀδρανὴς δὲ πάλιν
Ἐχθροῖς καταφρονούμενος, καὶ διπλοῦν ὄφλων γέ-
[λων.
Εἰ δέ γε βλάπτειν δύνανται, τὴν θήραν ἐκσοβοῦσι (5),
Καὶ ἄφρονες λογίζονται καὶ ἀκρατεῖς τῆς γλώττης.
Οὔτ' οὖν ὑβρίζειν αἰνετὸν, οὔτ' αὖθις ἀνθυβρίζειν·
Τὸ δ' αὖ θυμοῦ κατακρατεῖν τῶν αἰνουμένων λίαν.

Ὅρα μὴ πλήξῃ (6) πώποτε λόγοις τινὰ μηδ' ἔργοις·
Ποιεῖ γὰρ ἔχθραν ἥδιστον μιμνησκομένη βλάβη.
Κρεῖσσον γὰρ ἔχειν ἐγκαλεῖν ἄλλοις ἀγνωμοσύνας,
Ἢ ἐγκαλεῖσθαι παρ' αὐτῶν ἐπί τινι δικαίως.

Τὸ ἔραστικὸν (7) μὴ δείκνυε μηδόλως ἐν τῷ βλά-
[πτειν,

vers. 419

(1) Titre : Περὶ κριτοῦ.
(2) Man. δύσερος.
(3) Titre : Περὶ ὑπομονῆς.
(4) Titre : Περὶ ἀλογίστου.
(5) Man. δύναται-ἐκσοβοῦαι.
(6) Titre : Περὶ πλήξεως.
(7) Titre : Περὶ δραστικοῦ.
(8) Titre : Περὶ χρήματος συμμέτρου.
(9) Titre : Περὶ τὰ μὴ προσήκοντα. Le copiste a sans doute oublié d'ajouter, μὴ κτᾶσθαι.
(10) Titre : Περὶ πλούτου.

A Μηδ' ἀπὸ τούτου σεαυτῷ δόξαν ἰσχύος ζήτει,
Ἀλλ' ἀπὸ τοῦ δυνάμενος φείδεσθαι τῶν λυπούντων·
Τοῦτο γὰρ θεῖον ἀληθῶς καὶ ἀρετῆς μεγίστης.

Χρήματα (8) κτᾶσθαι σπούδαζε τὰ σύμμετρα τῇ
[χρείᾳ·
Χρείας δὲ μέτρον ὅριζε τὴν σώματος ὑγείαν.
Τρυφὴν δὲ καὶ τὰ περιττὰ ἐξόριζε τοῦ βίου,
Ὡς εὕρεμα κακότεχνον ψυχῆς ἀπεγνωσμένης,
Ἐκ λελησμένης παντελῶς τῆς εὐγενοῦς πατρίδος.

Μὴ κτῶ (9) τὰ μὴ προσήκοντα, μηδέ γ' ἐπιθυμή-
[σῃς.
Δικαίοις πόροις προνοοῦ κτᾶσθαι τά σοι χρειώδη·
Μὴ πάντα προσανάλισκε τῷ πορισμῷ τὸν βίον·
B Οὐ γάρ σοι τοῦτο τἀγαθὸν καὶ τελευταῖον τέρμα.
Ἀλλὰ σχολὴν τῷ λογισμῷ πορίζειν σπουδὴν ἔχε,
Ὡς ἄν τι δυνηθείη γε κτήσασθαι τῶν τιμίων.
Μηδὲ νομίσῃς (10) τίμιον τὸν πλοῦτον καθ' αὑτόν γε
Καὶ πᾶσαν τείνῃς τὴν σπουδὴν ἐπὶ τὴν τούτου κτῆσιν.
Κέρδος αἰσχρὸν μὴ βουληθῇς, ἀλλ' ἀπωθοῦ τελέως.
Πενία γὰρ μετ' ἀρετῆς χρυσοῦ τιμιωτέρα.
Πλούσιος ἄφρων ἔοικεν ὄνῳ χρυσοφοροῦντι·
Μετ' ἀρετῆς δὲ τὸ πλουτεῖν πολὺ τὸ κέρδος φέρει·
Ὁ φρόνιμος (11) γὰρ δύναται τοῖς πᾶσιν ὀρθῶς χρῆ-
[σθαι.

Ὅριζε τὰς δαπάνας (12) σου τοῖς προσήκουσι μέ-
[τροις,
C Οὗ δεῖ καὶ ὅσον (13), ὅπως τε καὶ ὅτε δεῖ καὶ ὅπου,
Ἐν ἀκριβέσι λογισμοῖς καὶ βεβασανισμένοις·
Ὄρεξις γὰρ ἀλόγιστος τυφλὸν εἰς τὰ πρακτέα.
Μήτ' ἔνθα δέοι δαπανᾷν ἐφέξεις σου τὴν χεῖρα,
Ἢ μηδὲ ὅλως δαπανῶν, ἢ τοῦ δέοντος ἧττον·
Τῆς φειδωλίας γὰρ τοῦτο καὶ ἀνελευθερίας,
Καὶ τὸ δοκοῦν ἐνίοτε κέρδος ἐκ τῶν τοιούτων
Βλάβην μεγάλην προξενεῖ καὶ ἀδοξίας αἶσχος·
Μήτ' αὖ πλέον τοῦ δέοντος ἐκτείνῃς τὰς δαπάνας,
Ταῖς ἀμετρίαις εἴκων γε ταῖς τῆς ἀκολασίας,
Ἢ τοῖς ἀκαίροις λογισμοῖς τοῖς τῆς δοξομανίας,
Ἢ ἄλλῃ μεταιότητι καὶ τῶν φρενῶν ἐνδείᾳ·
Νόσου γὰρ τοῦτο χαλεπῆς, ἣν φασὶν ἀσωτίαν·
Λίαν ὀρθῶς οὐ σώζει γὰρ τὸν (14) ἔχοντα εἰς τέλος,
Ἀλλὰ ταχέως ἄπορον τὸν εὔπορον ποιεῖται.

D Δωρεῖσθαι (15) δὲ βουλόμενος, μὴ κόλαξι καὶ φθόροις
Ἀνθρώποις δίδου πώποτε· διπλῇ γὰρ ἁμαρτάνεις·
Ποιεῖς γὰρ τούτους χείρονας καὶ τὸ δοθὲν ἀπόλ-
[λεις (16).

vers. 459

(11) Man. φρόνημος. Par la même permutation de η et ι, le copiste a écrit συνεργάτης v. 610, φιλιτοῦ v. 1252, πιγάζουσιν v. 1505, ψυχηκῆς v. 1393, ἀμωιλτων v. 1480.
(12) Titre : Περὶ δαπάνης.
(13) Peut être ὅσου, ou ὅσων.
(14) Man. τό.
(15) Titre : Περὶ τοῦ μὴ δωρεῖσθαι τοῖς κόλαξι καὶ φθόροις.
(16) Man. ἀπόλεις. Au v. 469, le manuscrit porte ἀπολλεις, et ἀπόλλει au v. 410. L'auteur croyoit-il

Τοὺς δ' ἀγαθοὺς εὐεργετεῖν σπούδαζε, μετὰ λόγου A
Κρίνων καὶ μέτρον καὶ καιρὸν καὶ τόπον καὶ τὴν [χρείαν.
Ἂν δοῦναί τι ὑποσχεθῇς τινι, ταχέως δίδου (1),
Μὴ, δόξας μεταμεληθείς, τὴν χάριν ἀφανίσῃς.
Χάρις μὲν ἡ ὑπόσχεσις, ἡ δ' ἀπόδοσις χρέος.
Ἀμείωτον (2) δὲ πάρεχε ὃ ἂν ὑπόσχῃ χρῆμα·
Ὁ γὰρ λαβὼν οὐ γέγηθεν ἐν τῷ λαβεῖν τοσοῦτον
Ὅσον ἐπὶ τῷ ἔλαττον ἀλγεῖ καὶ δυσχεραίνει.
Μὴ ὀνειδίσῃς (3) πώποτε τινὶ εὐεργεσίαν,
Ἣν αὐτὸν εὐεργέτησας· ἀπόλλεις γὰρ τὴν χάριν·
Ὁ δ' αἰσχυνόμενος ἀλγεῖ καὶ ἄμυναν διώκει,
Καὶ, ὃν εἶχες ὑπόχρεων, τοῦτον ἐχθρὸν ἐκτήσω.
Ἐπιλανθάνου δὲ ταχὺ οὓς ἂν εὐεργετήσῃς·
Εἰ δ' ἔλαβες παρά τινός ποτε εὐεργεσίαν,
Μιμνήσκου τοῦτο συνεχῶς, εὐχαριστῶν ἀληθῶς·
Δεινὴ γὰρ νόσος πέφυκεν ἡ τῆς ἀχαριστίας·
Καὶ, εἴ σοι δύναμις, πειρῶ τὰς χάριτας ἐκτίνειν,
Μὴ ἧττονας ὧν εἴληφας, ἀλλὰ δαψιλεστέρας.
Τοῦτο γὰρ δίκαιον ὁμοῦ τυγχάνει καὶ συμφέρον·
Πᾶς γάρ τις τὸν εὐχάριστον εὐεργετεῖ προθύμως,
Τὸν δέ γ' ἀχάριστον οὐδείς· ἀπόλλει γὰρ τὸ δῶρον,
Ὥσπερ ὁ νέκυν θυμιῶν πρὸς πᾶν ἀναισθητοῦντα.

Τοῖς δυστυχοῦσι (4) συναλγεῖν, ἀρκεῖν τοῖς δεομέ [νοις,
Φύσις καὶ νόμος παραινεῖ, καὶ τὰς ποινὰς ὁρίζει
Τοῖς ἀπανθρώποις καὶ σκληροῖς, καὶ μὴ ἐπικουροῦσι
Τοῖς δεομένοις εὐμενῶς ἐν ταῖς τοῦ βίου χρείαις.
Πεινῶντα θρέψον, ἐνδεεῖ διψῶντι πόμα δίδου,
Γυμνότητα περίστειλον, ἄστεγον οἴκοι (5) κάλει,
Τοὺς κάμνοντας μετὰ σπουδῆς πολλάκις ἐπίσκεπτου,
Τοῖς ἐν φρουραῖς ἐπιφοιτῶν λόγους εὐνοίας δίδου,
Τοὺς τεθλιμμένους ὀπωσοῦν καὶ κατωδυνωμένους
Παραμυθοῦ, τῶν ἀλγεινῶν τὸ βάρος ἐκκουφίζων.
Σοφὸς γὰρ λόγος φάρμακον ψυχῆς ὀδυνωμένης,
Καὶ μάλιστ' εἰ μετ' εὐμενοῦς προσάγοιτο τῆς γνώ- [μης.
Εἴ τι δ' ἂν δῷς τοῖς πένησιν, ἢ ἄλλως εὖ ποιήσῃς,
Θεῷ δανείζειν (6) νόμιζε, τῷ σὺν μεγάλοις τόκοις
Εὐγνωμόνως τὰς ὀφειλὰς πᾶσιν ἀποδιδόντι.
Διό σε χρὴ πρὸς ἔλεον πλουσίαν χεῖρα τείνειν.

vers. 497

Εἰ δὲ χρημάτων ἀπορεῖς, συμμέτρει καὶ τὴν δόσιν·
Θεὸς γὰρ κατὰ δύναμιν αἰτεῖ τὰς εὐποιΐας,
Ψυχῆς ὁρῶν διάθεσιν, καὶ γνώμην ταλαντεύων,
Καὶ δύο λεπτὰ προτιμᾷ πολυταλάντων δώρων (7).
Εἰ δ' ἀπορεῖς παντάπασι, γνώμην εἴσφερε μόνην,
Συστέναζε τοῖς κάμνουσι καὶ ταλαιπωρουμένοις,
Ταῖς ἀθυμίαις τῶν πτωχῶν γνησίως ἐπικάμπτου,
Τοὺς δυστυχοῦντας οἰκτειρε καὶ λόγοις παρηγόρει·
Λύπης γὰρ φέρει κουφισμὸν τὸ συναλγεῖν γνησίως.
Πολὺς δ' ἀπόκειται μισθὸς οἰκτίρμονι καρδίᾳ.
Ὁ γὰρ τὰς ἄλλων συμφορὰς ἡγούμενος οἰκείας
Ἐν ταῖς οἰκείαις συμφοραῖς πολλοὺς κοινωνοὺς [ἔχει,
Καὶ παρακλήσεως πολλῆς ὑπὸ Θεοῦ τυγχάνει.

B Μὴ γένῃ (8) δόξης ἐραστὴς κενῆς τε καὶ προσκαί- [ρου,
Μηδὲ τιμῆς ἐπιθυμῇς, ματαίου φαντασίας·
Ψευδῆ γὰρ ταῦτα πέφυκεν, ἀφρόνων μαρτυρίαι (9),
Καὶ ῥᾷστα μετατίθεται πάντα πρὸς τἀναντία·
Δόξαν δ' ἐπαίνει καὶ τιμὴν τὴν ἄνω σοι κειμένην.

Μὴ φιλαρχίαν (10) τὴν δεινὴν νοσήσῃς ἐν ψυχῇ σου,
Καὶ δυναστείας ἐρασθῇς· ὡς πάντων ὑπερέχῃς.
Μισεῖ γὰρ λίαν ὁ Θεὸς ὑπέρφρονα καρδίαν·
Μόνος δὲ φύσει πέφυκε Κύριος καὶ δυνάστης,
Καὶ ᾧ ἂν θέλῃ δίδωσι τῆς γῆς τὴν ἐξουσίαν.
Καίτοι γε τοῦτο πέφυκεν εὐκαταφρόνητόν πως·
Ἐν ἄλλοις γὰρ ἡ δύναμις καὶ τῆς ἀρχῆς τὸ κράτος,
C Οἳ καὶ διδόναι δύνανται καὶ πάλιν ἀφαιρεῖσθαι.
Διὸ καὶ τούτους ὁ κρατῶν σπουδάζει θεραπεύειν,
Καὶ τρόπον τινὰ πέφυκε δοῦλος τῶν ὑπηκόων.

Μὴ φυσηθῇς (11) ὑπέρογκα καὶ τὴν ὀφρὺν ὑψώσῃς,
Ἐν τοῖς ποσὶν ἀκροβατῶν καὶ τράχηλον ἐκτείνων (12),
Καὶ σεαυτὸν ὑπέρτερον οἰόμενος ἁπάντων,
Μέγα φρονῶν ἐπὶ μικροῖς καὶ οὐδενὸς ἀξίοις.
Γνῶθι τὴν φύσιν σου φθαρτὴν καὶ κόπρου πεπλη- [σμένην,
Τὴν τύχην δ' αὖθις ἄστατον καὶ τὰ τῆς τύχης πάντα,
Καὶ σύστελλε τὸ φρόνημα καὶ φεῦγε τὴν ἀπάτην.
Εἰ δ' ἀρετή σοι τίμιον, θεόθεν ἥκει τοῦτο

vers. 533

pouvoir employer le verbe ἀπόλλω? On peut écrire ἀπολεῖς et ἀπολεῖ dans les deux derniers passages, et ἀπόλλυς dans le premier.

(1) En effet, comme l'a dit un poëte de l'Anthologie,

Ὠκεῖαι χάριτες γλυκερώτεραι.

J'ai recueilli quelques exemples de cette pensée, dans une note sur l'Erechthée d'Euripide.

(2) Titre : Περὶ ἀμειώτου.

(3) Titre : Περὶ ὀνειδίσεως.

(4) Titre : Περὶ τοῦ συναλγεῖν τοῖς δυστυχοῦσι.

(5) Il eût peut-être dû écrire : οἰκιδ' ἄστεγον κάλει. — Grégoire de Nazianze semble lui avoir fourni quelques expressions : Διάθρυπτε, avoit dit ce Père (*Orat.* XVI, p. 264), πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου, καὶ ταῦτα μετὰ προθυμίας.

(6) Man. δανίζειν.

(7) Allusion au passage connu de S. Marc. chap. XII, 42, 43 : Καὶ ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλε D λεπτὰ δύο... Καὶ, προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων βέβληκε τῶν βαλόντων εἰς τὸ γαζοφυλάκιον.

(8) Titre : Περὶ δόξης.

(9) Man. μαρτυρίαι. Le léger changement que j'ai fait semble plausible, et je ne crois pas qu'il y ait rien de plus à chercher.

(10) Titre : Περὶ φιλαρχίας.

(11) Titre : Περὶ ὑπερογκίας.

(12) Ici le poëte semble s'être souvenu de Philon, qui avoit dit, p. 716 : Ἀκροβατεῖ τε γὰρ καὶ τὸν αὐχένα μετέωρον ἐξαίρει φρυαττόμενος, καὶ πλέον τῆς φύσεως ἐπῆρται καὶ πεφύσηται. S. Basile (*Hom. moral.* p. 370) emploie une semblable image dans la description de la femme immodeste : Ἡ δὲ ἀσεμνος... πορεύεται ὑψηλῷ τῷ τραχήλῳ. On peut consulter, pour avoir d'autres passages, M. Jacobs, sur les *Analectes*, t. X, p. 180.

Ἐπὶ τοὺς ταπεινόφρονας, τοὺς δὲ ἀντίον φεύγει.
Διὸ πρὸς πάντας ταπεινὸν ἦθος καὶ σύννουν ἔχε,
Καὶ πᾶσιν νέμε τὰς τιμάς, ἑκάστῳ κατ' ἀξίαν.
Αἰδοῦ γερόντων πολιάν, καὶ πρεσβυτέρων (1) τάξιν.
Μὴ ὅπως λάθῃς σπούδαζε ἐν πᾶσι τὰ πρωτεῖα,
Ἀλλ' ὅπως σου τοῖς κρείττοσι τούτων παραχωρήσῃς·
Τοῦτό σοι κόσμος ἀρετῆς (2), τοῦτο τιμὴ μεγίστη.

Ἐπαίνει μὲν τὴν ἀρετήν, ψέγε δὲ τὴν κακίαν·
Ὀρθοῦ γὰρ λόγου τοῦτό γε καὶ μὴ διεστραμμένου·
Τοὺς φαύλους δὲ μηδέποτε κατ' ὄνομα ψέξῃς,
Ἀλλὰ μηδὲ κατάκριτε αὐτοὺς ἐν διανοίᾳ·
Μόνος γὰρ οἶδεν ἀκριβῶς ὁ τῶν κρυφίων γνώστης·
Βροτὸς δὲ, καὶ ἐν οἷς ὁρᾷ, πολλάκις ἀπατᾶται·
Καὶ ἄλλως οὐχ ἡμέτερον τὸ κρίνειν τὸν πλησίον.
Τοῖς δ' ἀγαθοῖς τὸν ἔπαινον, ὡς χρέος, ἀπόδιδου.
Καὶ ἄλλων ἐπαινούντων δὲ προθύμως ἀποδέχου·
Ψόγος γὰρ ἔχθραν προξενεῖ, ὁ δ' ἔπαινος φιλίαν.
Τοῖς κακηγόροις τὸ σὸν οὖς μηδέποτε ἀνοίξῃς·
Δοκεῖς γὰρ εἶναι κοινωνὸς αὐτοῖς τῆς ἁμαρτίας.
Μὴ πρόσεχε ψιθυρισμοῖς καὶ διαβόλων λόγοις·
Οἰκίας γὰρ ἀνέτρεψαν καὶ πόλεις οἱ τοιοῦτοι (3).

Μὴ καταρῶ, μηδ' ὕβριζέ τινα, μηδὲ λοιδόρει·
Ἔχθρας γὰρ (4) κέντρον ποιεῖ καὶ Θεὸν παροξύνει.

Μὴ καταφρόνει μηδενὸς, κἂν εὐτελὴς τυγχάνῃ·
Χειρῶν γὰρ θείων, ὡς καὶ σὺ, πέφυκεν ὁ τοιοῦτος.
Ἂν δ' ἄλλος σε καταφρονῇ, μὴ λυπηθῇς καρδίαν·
Εἰ γὰρ ὀρθῶς καταφρονεῖ, σὸν τὸ πταῖσμα (5) καὶ τούτου·
Εἰ δ' οὐκ ὀρθῶς, ἡμάρτηκε· καὶ τί πρὸς σὲ τὰ τοῦτου;

Μὴ πᾶσιν εἶναι φοβερὸς (τυραννικὸν γὰρ) ζήτει (6),
Αἰδέσιμος δὲ καὶ σεπτὸς (7) καὶ ποθεινὸς τοῖς πᾶσι·
Γεννᾷ γὰρ φίλτρον αἰδὼς, ὁ δέ γε φόβος μῖσος.

Ἐπὶ τοῖς εὐτυχήμασιν ἢ καὶ ταῖς ἀριστείαις
Ἢ ἄλλοις προτερήμασι, μή ποθ' ὑψώσῃς φρένα·
Μικρὰ γὰρ πάντα νόμιζε τὰ τοῦ παρόντος βίου·
Καὶ μήτ' ἀπόντων ἀγεννῶς κατάπιπτε καὶ πτῆσσε,
Μήτε παρόντων ἔπαιρε πρὸς ὕψος τὴν σὴν φρένα·
Τοῦτο φρονήματος στερρόῦ καὶ μεγαλοψυχίας.

Μὴ ὀνειδίσῃς (8) συμφοράς ποτε τοῖς δυστυχοῦσι

vers. 571

A Καὶ γένῃ σὺ βαρύτερος τῆς ἐνεστώσης τύχης·
Ἡ τύχη γὰρ κοινόν ἐστιν, ἄδηλον δὲ τὸ μέλλον.

Ἔσο τοῖς πᾶσι προσηνὴς καὶ φιλικὸς καὶ εὔνους,
Τὴν γλῶτταν εὐπροσήγορος, εὐάρεστος τὸ ἦθος·
Τοῦτο φιλίας φάρμακον καὶ θέλγητρον καρδίας.
Ὁ δέ γε στυγνοπρόσωπος καὶ κατωφρυωμένος,
Τοῖς ἁπαντῶσιν ἀηδὲς συνάντημα τυγχάνει.
Μήτ' αὖ δουλοπρεπέστερον τοῖς πᾶσιν ἐντυγχάνῃς,
Δόξαν θηρεύων τὴν κενὴν καὶ κέρδη ψυχοφθόρα·
Καὶ ταῦτα γὰρ τῆς ἀρετῆς ἀλλότρια τυγχάνει,
Καὶ ἀνδραπόδοις πρέποντα μᾶλλον ἢ ἐλευθέροις.
Ἴσον δὲ τούτων τὸ κακὸν καὶ τῶν ὑπερηφάνων,
Κἂν ἀντικεῖσθαι φαίνωνται τῷ διαφόρῳ τρόπῳ.
Ἀμφότεροι γὰρ τῷ τιμᾶν τὰ πράγματα τῆς τύχης
B Ὑπὲρ τὸ δέον, αἴρεται ὁ μὲν εἰς ὕψος μέγα,
Ὁ δ' αὖ εἰς ταπεινότητα καὶ δουλοπρέπειάν πως·
Δι' ἃ γὰρ οὗτος αἴρεται, ὁ ἄλλος ταπεινοῦται,
Καὶ ἵνα ταῦτα κτήσηται πάντα ποιεῖ καὶ πράττει (9).
Σὺ δὲ, τὴν ῥίζαν ἐκτεμὼν, οὐκ ἂν ἐκφύσῃς κλάδους,
Τῶν ὄντων ἕκαστα τιμῶν ἐν τῷ δέοντι μέτρῳ.

Δικαιοσύνην (10) σπούδαζε κτήσασθαι πάντα τρόπον·
Κόσμος γὰρ οὗτος ἀρεταῖς, καὶ ὁμονοίας μήτηρ,
Τῆς πολιτείας σύνδεσμος, τῆς εὐπραγίας μήτηρ,
Ἔχθρας, πολέμου, καὶ πικρᾶς στάσεως ἀναιρέτις.
Πρῶτον (11) δὲ κόσμησον σαυτὸν δικαιοσύνης ἔργοις,
Ἄρχοντα στήσας λογισμὸν διοικητὴν τῶν ἄλλων.
Μὴ τυραννείτω δὲ θυμὸς, μηδ' αὖ ἐπιθυμία,
C Καὶ καθελκέτω λογισμὸν βιαίως εἰς τὰς πράξεις·
Φύσει γὰρ κύριός ἐστιν ὁ λογισμὸς τῶν ἄλλων,
Καὶ τοῦτον ἔχειν τῆς ψυχῆς προσήκει τὰς ἡνίας,
Τὰ δ' ἄλλα τούτῳ πείθεσθαι καὶ εἴκειν χρεωστοῦσι (12),
Μηδ' ὅλως ἀντιβαίνοντα, μηδ' ἀνυποτακτοῦντα.
Τοῦτ' εὐνομία τῆς ψυχῆς καὶ δικαιοπραγία.

Τὴν σὴν (13) δ' οἰκίαν ἔπειτα κατάταξον ὡς θέμις,
Νομοθετῶν τὰ δέοντα καὶ κατὰ λόγον κρίνων.

Στέργε τὴν σύνοικον, ὡς σὸν ἐκ συμφυΐας μέλος·
Θεὸς γὰρ ταύτην ἥνωσε καὶ φύσις τε καὶ νόμος·
Καὶ ἀδιάσπαστον ἠγοῦ τὴν ταύτης κοινωνίαν·
Ἔστι δὲ βίου κοινωνὸς καὶ τέκνων συνεργάτις.
D Ἴσον αὐτῇ τῶν χρειωδῶν τοῦ βίου μεταδίδου,

vers. 611

(1) Πρεσβύτεροι signifie sans doute ici *les prêtres*.

(2) Titre : Περὶ ἀρετῆς.

(3) Lucien a la même pensée au commencement de son Traité de la calomnie : Ὑφ' ὧν (διαβολῶν) ἤδη καὶ οἶκοι ἀνάστατοι γεγόνασι καὶ πόλεις ἄρδην ἀπολώλασι.

(4) Il manque une syllabe. Peut être Τοῦτ' ἔχθρας, ou Τῆς ἔχθρας, ou Ἔχθρας καὶ γάρ, ou Ἔχθρας γάρ τι.

(5) J'ai ajouté τό.

(6) Man. ζήτει, τυραννικὸν γάρ.

(7) Titre : Περὶ ὀνειδίσεως περὶ δυστυχοῦσι.

(8) Il copie ici Isocrate, qui disoit à Démonique : Μηδενὶ συμφορὰν ὀνείδιζε· κοινὴ γὰρ ἡ τύχη καὶ τὸ μέλλον ἄδρατον. *Voyez* le vers 171 des Γνῶμαι μονόστιχοι, parmi les *Poésies gnomiques*, et la note que j'y ai mise.

(9) Ce sont des formules très-fréquentes que celles-ci, πᾶν, πάντα ποιεῖν, πάντα, πᾶν πράττειν ; mais réunir les deux verbes, et dire πάντα ποιεῖν καὶ πράττειν, c'est une négligence que la difficulté de la mesure n'excuse peut-être pas dans de pareils vers et sur de tels sujets.

(10) Titre : Περὶ δικαιοσύνης.

(11) Titre : Περὶ ἔργα δίκαια.

(12) Le mot propre étoit ὀφείλουσι.

(13) Titre : Περὶ οἰκίας. — Man. ὡς θέσμις. *Voy.* 765, 1142, 1405.

Τροφῆς καὶ σκέπης καὶ λοιπῆς ἁπάσης θεραπείας, A Φύσις δὲ, καὶ ἀνατροφὴ, καὶ μέτρων ἡλικίας,
Ὥσπερ σαυτῷ· τὴν ἴσην γὰρ ἐν τούτοις τιμὴν ἔχει, Καὶ λόγοι προσφερόμενοι, καὶ συντρόφων ποιότης,
Καὶ τῆς εὐνῆς δὲ κοινωνὸν ἐξίσου νομιστέον. Παρέξει σοι στοχάζεσθαι τῆς ὁλοκλήρου γνώμης.
Τῶν ἄλλων δὲ σὺ κύριος ὑπάρχεις καὶ δεσπότης, Ταύτην πρὸς ἔργα ῥύθμιζε καὶ οἴκου τὴν φροντίδα.
Καὶ κεφαλὴ τῆς γυναικὸς (1), καὶ κυβερνὸς (2) τοῦ [οἴκου. Ἀργία γὰρ ταῖς γυναιξὶ διδάσκαλος κακίας.
Πολύτροπα γραΐδια καὶ φαύλας ἑταιρίας
Εἰ δὲ τὴν ἐξουσίαν σου βούλεται παραρπάζειν, Τῇ θύρᾳ τῆς οἰκίας σου μὴ ἔα προσπελάζειν.
Καὶ διοικεῖν, ὡς βούλεται, καὶ χρήματα καὶ δού- Ἄνευ τῆς σῆς ἐπιτροπῆς γυνὴ μὴ προϊέτω·
[λους, Σπανίως δ' ἔα προελθεῖν, χρείας πολλῆς καλούσης,
Σὲ δ' ὡς ἀνδράποδον ὁρᾷ καὶ τὸ μηθὲν ἡγεῖται, Μετὰ σεμνῶν τῶν ὀπαδῶν καὶ τῶν θεραπαινίδων.
Εὐθέως ὥσπερ (3) τύραννον κόλαζε καὶ τιμώρει, Μὴ ἔξω τῆς οἰκίας σου νύκτωρ ποτὲ μενέτω,
Καὶ δίκας ταύτην εἴσπραττε τῆς παραλόγου τόλμης, Εἰ μὴ πατρός τε καὶ μητρὸς καὶ ἀδελφῶν ἐν οἴκῳ,
Καὶ πεῖθε ταύτην σωφρονεῖν καὶ πείθεσθαι κοσμίως· Καὶ τοῦτο χρείας καὶ πολλῆς ἀνάγκης ἐπιγούσης.
Τοῦτο γάρ σοι κἀκείνῃ τε κόσμον καὶ δόξαν φέρει· Κομμωτικοῖς σοφίσμασι καὶ ψευδομένῳ κάλλει
Τὸ δ' ἄρχειν ταύτην ἄδοξον ἀμφοτέροις ὑπάρχει· Αἰσχύνειν κάλλος φυσικὸν ἐπίτρεπε μηδόλως.
Ἐκείνην μὲν γὰρ βίαιον καὶ λῃστρικὴν καλοῦσιν, B Χρυσοῦ (8) πολλοῦ περίθεσις καὶ λίθων καὶ μαργά-
Ἀναίσχυντον, ὑβριστικὴν, ἀκόλαστον, θρασείαν, [ρων
Σὲ δὲ δειλὸν καὶ ἄνανδρον, φρενῶν ἐστερημένον, Οὐ κόσμον φέρει γυναιξὶ σωφρόνως ἠσκημέναις.
Ἀχρεῖον πρὸς πολιτικὴν ἅπασαν ἐργασίαν. Αἴσχιστον μέθη γυναιξὶ καὶ ἄκοσμον ὑπάρχει.
Ὁ μὴ εἰδὼς γὰρ κυβερνᾶν οἰκίαν πῶς οὐκ ἄφρων; Ἔκφορα ταύτῃ (9) ῥήματα τῆς εὐσεβείας φθέγγου,
Ὁ δὲ τοσοῦτον (4) ἄτολμος ὡς γυναικὸς ἠττᾶσθαι Ὅσον ἁρμόζει γυναιξὶ καὶ δέον ἀναγκαῖον.
Πῶς πράξει τὰ πολιτικά; πῶς τοῖς ἐχθροῖς μα- εῖ- Τὰ θεῖα ταύτῃ διηγοῦ, καὶ σωτηρίους λόγους
[ται; Ἑκάστοτε προτίθεσο σαφῶς τε καὶ συντόμως·
Πῶς οὐκ αἰσχρῶς διάπαγμα γενήσεται τοῖς πᾶσιν; Σὺ γὰρ τῶν τῆς οἰκίας σου διδάσκαλος ἐτάχθης.
Μὴ εἶπῃς ὡς δι' ἔρωτα ἐκὼν τοῦθ' ὑπομένεις·
Διπλασιάζεις γὰρ τὴν σὴν αἰσχύνην, ταῦτα λέγων· Φιλοτεκνεῖν διδάσκει σε φύσις καὶ νόμος ἅπας,
Τῇ ἀνανδρίᾳ γὰρ αἰσχρῶς προστίθης ἀνανδρίαν. Καὶ τῶν ὀρνέων ἡ πληθὺς τοὺς νεοττοὺς φιλούντων·
Νουθέτει (5) ταύτην συνεχῶς καὶ δίδασκε τὰ κρείττω, Ἄλλος αὐτὸς (10) γὰρ πέφυκεν ἡ τῶν ἐκγόνων φύσις,
Καὶ πταίουσαν ἀνακαλοῦ μετὰ προνοίας πάσης. Καὶ σώζει τὴν διαδοχὴν τοῦ γένους τοῦ πατρῴου,
Ἐν τοῖς μικροῖς συγγίνωσκε καὶ προσποιοῦ μὴ βλέ- C Ὥσπερ αὐτὸς ὢν ὁ πατὴρ αὖθις ἀνανεάσας
[πειν· Καὶ ἀπὸ γέροντος ἐλθὼν εἰς νηπιώδη φύσιν.
Ἀσθενεστέρας γάρ ἐστι καὶ φύσεως καὶ γνώμης. Τοσοῦτον οὖν ὑπεραλγεῖν καὶ κήδεσθαι τῶν τέκνων
Μὴ θαμινὰ παρόξυνε καὶ λύσῃς τὴν φιλίαν. Οἱ φύσαντες ὀφείλουσιν ὡς ἑαυτῶν ἐκείνων.
Χαρίζου ταύτῃ τὰ μικρὰ, ἵν' ἔχῃς (6) ἐν μεγάλοις, Ἔκτρεφε γοῦν ἐπιμελῶς καὶ θάλπε καὶ ἀσπάζου,
Ἐν οἷς οὐ δεῖ, παραίτησιν εὔλογον καὶ δικαίαν. Καὶ προνοοῦ γε τῆς αὐτῶν ὑστερον ὠφελείας.
Μὴ ἐκκαλύψῃς σὸν αὐτῇ μυστήριον (7) μηδόλως· Γράμματα παρασκεύαζε τούτους μανθάνειν πρῶτον·
Γυνὴ γὰρ γλώττης ἀκρατὲς καὶ λαλὸν φύσει πέλει. Μέγιστον φῶς γὰρ τῇ ψυχῇ ἡ τούτων ἐπιστήμη,
Φυλάττου τὰς ἐπιβουλὰς καὶ τὰς συσκευασίας, Καὶ πρὸς λειμῶνας λογικοὺς ἀνοίγνυσι τὴν θύ-
Καὶ λανθανέτω σε μηδὲν τῶν οἴκοι γινομένων. [ραν (11).

vers. 646 vers. 682

(1) Ce sont les paroles de S. Paul (*1 Cor.* I, 3) : Παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ.

(2) Man. κυβερνός.

(3) Man. ὥπερ : et ὥπερ v. 674.

(4) Man. τοσούτος.

(5) Titre : Περὶ νουθεσίας.

(6) Man. ἔχοις. La similitude de la prononciation a rendu fréquente la permutation de lettres η et οι. Cette phrase de Libanius (t. IV, p. 155) paroît imprimée correctement : Οἶδα πηλίκαι τοῖς καλοῦσιν ὀργαὶ προσιζάνουσιν, ἐπειδὰν τῶν κεκλημένων τις ἐκλίπῃ τὴν σύνοδον. Le manuscrit 3017 porte ἐκλίποι, qu'il ne faudroit pas préférer. On lit dans la seconde des lettres attribuées à Anacharsis : Πό· δὲ καὶ ἐσόμεθα ξεροι ἑτέροις ξένοι, ἐπειδὰν ἕκαστος τοῦτον τὸν λόγον λέγοι· il faut écrire avec le manuscrit A 87 de la Bibliothèque Mazarine : Πότε δὲ καὶ... λέγῃ;

(7) Σὸν μυστήριον, *ton secret*. *Voyez* les notes sur Aristénète, p. 559 ; et plus bas, les vers 1104, 1109, 1115.

(8) Titre : Περὶ χρυσοῦ.

(9) Man. ταύτην. Il faut peut-être écrire εὔφορα.

D (10) Man. ἄλλως. — Ἄλλος αὐτὸς, *un autre soi-même*. Eumathius (I, p. 14) : Συναναχέχλιται δέ μοι καὶ Κρατισθένης, ἀδελφιδοῦς ἐμὸς, ἄλλος αὐτός· οὕτω γὰρ ἐγὼ τὸν φίλον ὁρίζομαι : la même expression est répétée plus bas, p. 239. Le personnage du roman d'Eumathius définissoit l'ami comme l'avoit fait Zénon, qui répondit, comme on lui demandoit ce que c'étoit qu'un ami, Ἄλλος ἐγώ. *Voy.* la vie de Zénon par Diogène Laërce (VII, 23). Ce mot est aussi attribué à Pythagore. Consultez, s'il est besoin, Gaulmin sur le passage d'Eumathius ; Rittershuys sur la vie de Pythagore par Porphyre, § 33 ; Cicéron qui dit, *de l'Amitié*, 21 : *Verus amicus nunquam reperietur ; est enim is quidem tanquam alter idem.*

(11) *Voyez* quelques exemples de cette métaphore dans les notes sur Eunape, p. 392, 598. Pline, *H. n.* II, VI, VIII, 3 : *Rerum fores aperuisse Anaximander Milesius traditur.*

Ἔπειτα τέχναις ἐνασκεῖν (1) σπούδαζε ταῖς δεού-
[σαις.
Αὗται γὰρ ἐμπορίζουσι τοῦ βίου τὰ χρειώδη,
Καὶ κλέος προσπορίζουσιν ἑκάστου πρὸς ἀξίαν (2).
Ἐπεὶ δὲ ταῦτα λυπηρὰ καθέστηκε τοῖς νέοις,
Τὰ μὲν ἐπαίνοις πρότρεπε πρὸς τὰ καλὰ θαῤῥύνων,
Τῶν δὲ κακῶν ἀπότρεπε τοῖς ψόγοις τῶν πραγμά-
[των.
Εἰ δ' οὐκ ἀπόχρη ταῦτά σοι, καὶ φόβον προσληπτέον,
Καὶ κολαστέον ἀφειδῶς τὸ φίλτρον χαλινοῦντας·
Βέλτιον γὰρ λυπήσαντας μικρὰ τούτους ὀνῆσαι,
Καὶ ἄνδρας ὕστερον αὐτοὺς χρησίμους ἀποδῆναι,
Ἢ φεισαμένους πρὸς μικρὸν φαύλους αὐτοὺς ποιῆσαι.
Τί γὰρ καὶ κέρδος ἔξουσιν οἱ φαῦλοι γεγονότες,
Οἷς καὶ τὸ ζῆν ἐπιβλαβὲς καὶ κέρδος τὸ τεθνάναι;
Διὸ παντοίως φρόντιζε τῆς ἀρετῆς τῆς τούτων,
Ἐθίζων ἐς τὰ κάλλιστα καὶ νουθετῶν ἐν λόγοις,
Καὶ σεαυτοῦ παράδειγμα ἐπιτιθεὶς τὸν βίον,
Κρατεῖν (3) ἡδονῶν ἔθιζε καὶ θυμοῦ τε καὶ γλώττης,
Ὡς ἀποβαῖεν σώφρονες καὶ κόσμιοι καὶ πρᾶοι.
Φιλοπονεῖν (4) συνέθιζε πρὸς τὰ καλὰ προθύμως,
Καὶ μὴ ῥᾳθύμως τὸν καιρὸν ἀφρόνως παριέναι·
Σπουδὴ γὰρ μήτηρ τῶν καλῶν, ὄκνος δὲ τῶν κακί-
[στων,
Καὶ ὃ σπουδὴ προσέλαβεν ἔφθειρεν ἡ ῥᾳθυμία.
Πεῖθε δεινῶν καταφρονεῖν καὶ κινδύνων προσκαίρων
Ὑπὲρ λατρείας εὐσεβοῦς καὶ ζωῆς τῆς μελλούσης.
Δικαίους (5) εἶναι δίδασκε καὶ φιλικοὺς πρὸς πάντας,
Καὶ μὴ ἁπλήστως χρήματα φθειρόμενα διώκειν.
Παρθένον δὲ κατάκλειστον ἐν οἴκοις φύλαττέ μοι,
Τέχνας τε παρασκεύαζε τὰς δεούσας μανθάνειν,
Καὶ σωφροσύνην ἐξασκεῖν καὶ σιωπὴν πρὸ πάντων.
Καὶ πάσης ἄλλης ἀρετῆς ἐπιμέλειαν ἔχειν.
Ἡδήσασαν δὲ τάχιστα ἐκδίδου θυγατέρα,
Ἵνα μὴ κάμνῃς ἀγρυπνῶν καὶ φυλακῆς φροντίζων.
Ὑιῷ (a) δ' ὁ εἰκοσαετὴς χρόνος τοῦ γάμου πρέπων.
Σὺ δ' ἐκδιδοὺς μὴ νόμιζε τοῦτον ἀλλοτριοῦσθαι·
Σὰ γὰρ καὶ αὖθις μένουσι τὰ τέκνα κατὰ φύσιν,
Εἰ καὶ προνοίας ἥττονος τοῦ λοιποῦ δέονταί σου.

Γονεῖς καὶ στέργειν καὶ τιμᾶν ἅπας κελεύει νόμος,
Ὁ φυσικὸς καὶ ὁ γραπτὸς, ἀνθρώπινος καὶ θεῖος.
Οὐκ ἔστι γὰρ μετὰ Θεὸν, τοῖς τέκνοις τῶν γονέων
Ἕτερον τιμιώτερον, οὐδ' ἐγχωρεῖ γενέσθαι·
Τὸ εἶναι γὰρ παρέχουσι τοῖς ἐξ αὐτῶν δευτέροις·
Πάντα δὲ φύσει γλίχονται τῆς σφετέρας αἰτίας·
Ἔτι δ' ἐκτρέφουσιν αὐτὰ σὺν πάσῃ προθυμίᾳ,
Καὶ τέχναις ἐγγυμνάζουσι μετὰ πολλῆς δαπάνης,
Ἐθίζουσί τ' ἐπιμελῶς ἐν ἔργοις τοῖς καλλίστοις,
Εἰς ἀρετὴν παιδεύοντες καὶ τὰς ψυχὰς κοσμοῦντες·

vers. 728

A Εἶτα δ', ἐφοδιάζοντες λαμπρῶς ἐκ τῶν οἰκείων,
Εἰς γάμους ἐκδιδόασι τοῦ ζῆν πόρους διδόντες.
Δεῖ γοῦν τιμᾶν ὡς αἴτιον, καὶ στέργειν ὡς τροφέα,
Καὶ πειθαρχεῖν ὡς παιδευτῇ καὶ πρώτῳ διδασκάλῳ,
Ὡς εὐεργέτην δὲ φιλεῖν καὶ χάριν πολλὴν ἔχειν.
Πῶς τι δυνήσῃ χάριτας πατρὶ τίνειν ἀξίας;
Εἰ γὰρ καὶ χρήμασιν αὐτὸν ἀμείψῃ φιλοτίμως,
Καὶ νουθετήσεις ἔνθα δεῖ καὶ τέχνας ἐκδιδάξεις,
Ἀλλ' οὐκ ἀντιγεννῆσαί γε δυνήσῃ τοῦτον ὅλως,
Οὐδ' αὖ ἐκθρέψαι νήπιον μετὰ θερμοῦ τοῦ φίλτρου·
Καὶ εἴ σοι πάντα δυνατὸν ἐξίσου ἀποτίνειν,
Τό γε κατάρξαι χάριτος ἀδύνατον πρὸς τοῦτον·
Ὑπάρχεις οὖν ὑπόχρεως ἀεὶ προειλημμένος.
Ἐπὶ δ' ἀδύνατον αὐτῷ τίνειν ἀξίαν χάριν,
Ὡς δύναμις ἐκτίννυε, καὶ Θεῷ πράξεις φίλα·
B Τιμῶν δὲ δράσεις τοῦτό γε καὶ στέργων ὁλοψύχως,
Καὶ συνεργῶν ἐν πᾶσί γε καὶ κοινωνῶν τῆς χρείας,
Οὐχ ὡς οἰκεῖα χορηγῶν ἐκείνῳ κατὰ χάριν,
Ὡς ὀφειλὴν δὲ μάλιστα ἐκτίνων ἀναγκαίαν,
Καὶ ἀληθῶς οἰόμενος ἀεί γε προσοφείλειν.
Πειθάρχει δέ σου τῷ πατρὶ ὡς φυσικῷ δεσπότῃ,
Καὶ ὑπακούειν σπούδαζε κελεύσμασι τοῖς τούτου·
Πράξεις γὰρ ἅμα δίκαια καὶ τὰ συμφέροντά σοι.
Ἐπιτιμήσεις πατρικὰς δεχόμενος ἀσμένως,
Ἀπαλλαγήσῃ ῥᾳδίως ψυχικῶν νοσημάτων.
Ὃ μὴ τιμῶν τοὺς φύσαντας τὸν Θεὸν παροξύνει·
Ἐκείνου γὰρ τῆς ἐντολῆς φαίνεται παραβάτης.
Ὁ ἀπωθούμενος μακρὰν πατρικὰς νουθεσίας,
Οὗτος ἀνίατον νοσεῖ καὶ χαλεπὴν μανίαν·
C Τίνος γὰρ ἄλλου δέξαιτ' ἂν λόγον πρὸς θεραπείαν;

Ἥδιστον (6-7) πάντων πέφυκεν ἀδελφῶν συνοικία,
Καὶ πρὸς τὰς πράξεις συνεργεῖν καὶ βοηθεῖν εἰς τύ-
[χας·
Κλάδοι γὰρ ἄμφω τῆς αὐτῆς ῥίζης ἐκπεφυκότες,
Ἀνατροφῆς τε τῆς αὐτῆς συγκεκοινωνηκότες.
Τὸ μὴ φιλεῖν τὸν ἀδελφὸν καὶ κοινωνεῖν, ὡς θέμις,
Αἵματος ἄρνησίς ἐστιν κἀθέτησις γονέων,
Καὶ συνηθείας καὶ τροφῆς σαφὴς παρανομία.
Φιλίας γὰρ ποιητικὸν ἡ συνήθεια πέλει,
Ὡς δείκνυσι τὰ σύννομα τῶν ζώων τῶν ἀλόγων.
Ἡ δὲ τραπέζης τῆς αὐτῆς καὶ ἁλῶν κοινωνία (8)
Τοσοῦτον πᾶσιν ἔδοξεν αἰδέσιμος ἀρχαίοις,
Ὡς καὶ νόμον εἰσαγαγεῖν τοὺς κοινωνοὺς τραπέζης
D Γεγονότας μὴ ἀνελεῖν ἐξεῖναι τὸ παράπαν.
Τοσούτων οὖν πρὸς ἀδελφοὺς δικαίων ὑπαρχόντων,
Πῶς οὐ φιλεῖν ὀφείλουσιν ἀλλήλους οἱ τοιοῦτοι;
Τίς ἂν καὶ τὸν μισάδελφον θελήσει ποτὲ φίλον
Κτήσασθαι, μὴ μαινόμενος καὶ βεβλαμμένος φρένας;
Ὁ γὰρ τοσούτους γε δεσμοὺς φιλίας διαῤῥήξας

vers. 776

(1) Man. ἐνασχεῖν.
(2) Man. ταξίαν. Peut-être κατ' ἀξίαν.
(3) Titre : Περὶ κρατεῖν τῶν ἡδονῶν, θυμοῦ καὶ γλώττης.
(4) Titre : Περὶ τοῦ φιλοπονεῖν τὰ καλά.
(5) Man. ικαίους. Par une pareille faute il y a μειβεται v. 907.
(6-7) Titre : Περὶ συνοικίας ἀδελφῶν.

(8) Τραπέζης καὶ ἁλῶν κοινωνία est une idée fréquente dans les écrits des anciens. J'ai rassemblé plusieurs passages parallèles sur ces vers d'Archiloque, dans la petite édition des *Lyriques Grecs*, p. 183 :

*Ὅρκον δ' ἐροφίσθης μέγαν*
*Ἅλας τε καὶ τράπεζαν.*

(a) Saltus exstat in editione Boissonadii, ubi hic versus numero 720 notatur pro 715.

Πῶς ἂν, ἑτέρῳ (1) συντακείς, βεβαίως στέρξει φίλον;
Πάντων κτημάτων ἀδελφὸν προτιμότερον ἔχε,
Μηδὲ χρημάτων ἕνεκα ποτὲ τοῦτον λυπήσῃς,
Λαβεῖν τι προσφιλονεικῶν τῶν αὐτῷ προσηκόντων·
Δεῖ γὰρ ἑκάτερον ἡμῶν κοινὰ μὲν τὰ οἰκεῖα
Ἡγεῖσθαι καὶ τῷ ἀδελφῷ, ἴδια δὲ τἀκείνου·
Τοῦτο φιλάδελφον ὁμοῦ καὶ δίκαιον τυγχάνει (2).
Εὐδοκιμοῦντος ἀδελφοῦ σὸν νόμιζε τὸ κλέος,
Καὶ δυστυχοῦντος κοινωνεῖς τῆς τύχης ἐξ ἀνάγκης.
Μηδέποτέ σε λογισμὸς βάσκανος ἐρεθίσῃ
Ἐρίζειν πως τῷ ἀδελφῷ καὶ σπεύδειν ὑπερβῆναι·
Ἔρις γὰρ αὕτη μωμητή, πρὸς ἔχθραν τελευτῶσα·
Ζηλοῦν δ' αὐτοῦ τὰς ἀρετὰς καὶ θέλειν ἐκμιμεῖσθαι
Ἐπαινετόν, καὶ χρήσιμον πρὸς κτῆσιν τῶν καλλί-
[στων.
Ἐπαίνει μὲν τὸν ἀδελφὸν σεμνῶς καὶ πεφεισμένως·
Τὸ γὰρ μηδόλως ἐπαινεῖν ἐμφαίνει βασκανίαν,
Τὸ δ' ἀμέτρως εἰς ἑαυτὸν τὸ κλέος δοκεῖ φέρειν.
Ψιθυρισμοῖς κατ' ἀδελφοῦ τὸ οὖς σου μὴ παράσχῃς,
Μηδὲ πιστεύσῃς ἄλλον σοι εὐνούστερον ὑπάρχειν.
Ὀργὴν καὶ ὕβριν ἀδελφοῦ πραότητί σου νίκα.
Καὶ κερδανεῖς τὸν ἀδελφὸν καὶ ἔπαινον ἐκ πάντων.
Κοινώνει σου τῷ ἀδελφῷ βουλῆς καὶ συνεργίας,
Καὶ τέρψεως καὶ συμφορᾶς καὶ πάσης ἄλλης τύχης,
Καὶ, ὅση δύναμίς ἐστιν, συνημερεύειν θέλε,
Ἡνίκα πρᾶξις τούτου σε πρὸς βίαν μὴ ἀφέλκῃ·
Ὁ μακρυσμὸς γὰρ ῥήγνυσι δεσμὰ τὰ τῆς φιλίας.
Κηδοῦ τῶν δούλων σου διττῶς, τὸ μέν, ὡς σῶν κτη-
[μάτων,
Τὸ δ', ὡς ἐχόντων ἴσην σοι τὴν φυσικὴν ἀξίαν·
Ἅμα γὰρ παραστήσεσθε τῷ Κτίστῃ καὶ Δεσπότῃ.
Χορήγει τούτοις ἄσμενος σύμμετρα τὰ χρειώδη,
Καὶ πρὸς τὰ ἔργα τὰ χρηστὰ διάνεμε φρονίμως
Μὴ ἔργοις τούτους χαλεποῖς δάμαζε καὶ βαρέσι,
Μηδὲ καμάτοις σύντεινε πλέον τῆς συμμετρίας,
Μήτε σχολάζειν πάντοτε καὶ ῥᾳθυμεῖν ἀνέχου·
Τὸ μὲν γὰρ τούτων σώματα, τὸ δὲ τὰς ψυχὰς φθείρει·
Κἀκεῖνο μὲν ἀπήνεια, τοῦτο δ' ἀδελτηρία.
Φαῦλον δοῦλον ἐπίστρεφε κολάσεσι μετρίοις,
Καὶ πάντα τρόπον σπούδαζε ἀφέλκειν τῆς κακίας.
Δίδου δὲ δούλῳ πταίσαντι (3) ἀπολογίας χώραν,
Καὶ πράως τούτου ἄκουε τῆς δικαιολογίας·
Κἂν οὕτως δόξῃ σοι σαφῶς ἑκὼν ἡμαρτηκέναι,
Δεῖξον αὐτῷ τοῦ πταίσματος τὸν λόγον μακροθύμως,
Καὶ οὕτω κόλαζ', εἰ δοκεῖ, πρὸς λόγον τῶν πται-
[σμάτων.
Ἂν πρὸς ἀλλήλους ἔχωσιν διαφοράν οἱ δοῦλοι,
Ἄκουε τούτων συνετῶς, καὶ ψηφίζου δικαίως,
Καὶ ἄνευθε πάσης ὀργῆς πέραινε τὰ κριθέντα (4).

vers. 822

A Ἂν ἔχῃς δοῦλον εὔχρηστον καὶ εὔνουν καὶ σπουδαῖον,
Χορήγει δαψιλέστερον αὐτῷ τὰ πρὸς τὴν χρείαν.
Καὶ εὔνοιάν τε καὶ τιμὴν ὑπὲρ τοὺς ἄλλους δίδου·
Τούτῳ γὰρ πράξεις δίκαια, καὶ τοὺς ἄλλους ἐλκύσεις
Πρὸς τὸ ζηλοῦν τὴν ἀρετὴν καὶ τὴν σπουδὴν ἐκείνου.
Ἂν ἔχῃς δὲ πολύπειρον καὶ φρόνιμον οἰκέτην,
Μὴ ἀπαξίου σύμβουλον λαμβάνειν ἐν ταῖς χρείαις·
Κρεῖττον γὰρ (5) συμβουλεύσει σε τοῦ ἄφρονος
[πλουσίου·
Ἡ εὐβουλία γάρ ἐστι φρονίμων, οὐ πλουσίων.
Ὦ τέκνα τοὺς οἰκέτας σου στέργε καὶ εὐεργέτει,
Καὶ ἁμαρτάνουσιν αὐτοῖς πατρικῶς ἐπιτίμα.
Ἵνα σεβάσμιος αὐτοῖς καὶ παθεινὸς ὑπάρχῃς,
Οἰκέταις σου μὴ σύμπαιζε παιδικῶς καὶ γελοίως.
Μηδ' αἰσχρολόγει πρὸς αὐτούς, μηδ' ὅλως ἀργολόγει·
B Λύεις γὰρ τούτων τὴν αἰδὼ, καί σου καταφρονοῦσι,
Καὶ γίνονται θρασύτεροι πρὸς τὰς ἀντιλογίας,
Κἂν αὖθις ἐθελήσειας φοβεῖν ταῖς τιμωρίαις,
Σκληροὺς εὑρήσεις τοὺς αὐτοὺς καὶ ἀπειθεῖς βί-
[σάνοις·
Ψυχὴ γὰρ ὃν καταφρονεῖ οὐ δύναται φοβεῖσθαι.

Ἂν τύχην (6) ἔχῃς δουλικὴν, φέρε γενναίως τοῦτο,
Μὴ ἀθυμῶν τῷ στέρεσθαι δῆθεν ἐλευθερίας,
Μηδ' ἀτιμότερον ἡγοῦ σαυτὸν ἔχειν τούτου.
Ἐλευθερίας εἴδη γὰρ δείκνυσι λόγος τρία·
Τὸ μὲν γὰρ τούτων φυσικὸν, τὸ δὲ τῆς τύχης πέλει,
Τὸ δὲ τῆς προαιρέσεως, τῆς ἀρετῆς ἐν ἕξει.
Καὶ τὸ μὲν πρῶτον ἴσος εἶ πᾶσιν ἀνθρώποις φύσει,
C Εἰκόνα φέρων καὶ μορφὴν τοῦ πάντων Βασιλέως·
Τοῦ δὲ τῆς προαιρέσεως ἔχεις τὴν ἐξουσίαν,
Καὶ, εἴ γε θέλεις ἐν σπουδῇ τὸν βίον διανύειν,
Γενήσῃ τιμιώτερος τοῦ φέροντος τὸ στέφος,
Ἐπεὶ καὶ Παῦλος Νέρωνος εὐκλεέστερος λίαν.
Τὸ δὲ (7) τῆς τύχης πέφυκεν ἄστατον καὶ μὴ μένον·
Ταχὺ γὰρ δοῦλος ἄνεισι πρὸς τὴν ἐλευθερίαν,
Καὶ πόλεμος δουλαγωγεῖ (βαβαί!) τοὺς ἐλευθέρους·
Ἐξαίφνης τε γινόμενος καὶ παρὰ προσδοκίαν.
Δουλεία γὰρ καρπός ἐστι σαφῶς τῆς ἀδικίας·
Διό σε στέργειν δίκαιον ἥνπερ ἔλαχες τύχην.
Εὐνόει τῷ δεσπότῃ σου καὶ δούλευε γνησίως·
Σπουδαῖος ἔσο καὶ πιστὸς εἰς τὸν ἐκείνου οἶκον·
Τίμα δ' αὐτὸν ὡς κύριον, στέργε ὡς κηδεμόνα (8)·
D Φέρε γενναίως ὑβρισμὸν καὶ μάστιγας, εἰ τύχοι·
Εἴτε δικαίως γὰρ αὐτὰ, εἴτε ἀδίκως πάθῃς,
Πολλὴν ἕξεις ὠφέλειαν, ἂν καρτερῶς διάξῃς.
Μὴ γογγυστὴς, μηδ' ἀπειθὴς, μηδὲ ῥᾴθυμος ἔσο,
Μὴ δύσνους, μηδ' ἐπίβουλος, μηδὲ μηχανορράφος.
Μὴ κρύψῃς τῷ δεσπότῃ σου κρυφίας σκευωρίας,

vers. 868

(1) Man. ἑτέρως.
(2) Man. τυγχάνειν.
(3) L'hiatus seroit évité, si l'on mettoit, χωραν ἀπολογίας. Je ne doute presque pas qu'il ne faille, τούτου πράως, dans le vers suivant; et, οἶκον ἐκείνου, au v. 861, ce qui se peut prouver par la comparaison du v. 812.
(4) Man. Καὶ ἄνευ πάσης ὀργῆς πέραινε τὰ ψηφισθέντα. Le premier hémistiche étoit trop court, et le second trop long. J'ai mis ἄνευθε, synonyme d'ἄνευ. J'aurais pu, dans le second, supprimer τά: mais l'article sembloit nécessaire. Les vers 991, 1014, m'ont donné une correction très-plausible. Le copiste, par précipitation, aura mis le synonyme ψηφισθέντα.
(5) J'ai ajouté γάρ.
(6) Titre : Περὶ τύχης δουλικῆς.
(7) Titre : Περὶ ἀστάτου τύχης.
(8) Peut-être, ὡς κηδ. στέργε, et 864, εἴτε παθ. ἀδίκως : 878, Μηδὲ πώπ. βασκ.

Ὕβριν φερούσας εἰς αὐτὸν ἢ χρημάτων ζημίαν,
Μηδὲ συμπράξῃς τοῖς αὐτὸν βλάψαι προθυμουμένοις·
Μηδὲ κυνὸς χείρων ὀφθῇς περὶ τὸν σὸν δεσπότην,
Ἀλλ' εὐμερίμνως (1) φύλαττε πάντα τὸν οἶκον τοῦ-
[του.
Τοὺς συνδούλους ὡς ἀδελφοὺς ἡγοῦ, καὶ στέργειν
[σπεῦδε.
Μὴ διαβάλῃς σύνδουλον ψευδῶς πρὸς τὸν δεσπότην,
Μηδὲ βασκήνῃς πώποτε ὁρῶν εὐδοκιμοῦντα.
Ἀλγοῦσι δὲ συνανιῶ, καὶ λόγοις παρηγόρει.

Ἐπεὶ δὲ πόλιν ὤρκησας καὶ κοινωνεῖς ἀνθρώποις,
Φρόντιζε τὰ καθήκοντα πᾶσι νέμειν ἀξίως.
Θεὸν μὲν πρῶτον πίστευε τὸν ποιητὴν τῶν ὅλων,
Μονάδα τριωπόστατον, ἁπλῆν, οὐσίαν μίαν,
Ὁμόδοξον, ὁμόθρονον, τῶν ὅλων βασιλίδα,
Καὶ τῶν ἀγγέλων (2) τοὺς χοροὺς, τοὺς ἀσωμάτους
[νόας.
Τοῦτον ἐξ ὅλης σου ψυχῆς ἀγάπα καὶ ἰσχύος,
Ὦ μέγιστον, ὡς κάλλιστον, ὡς θαυμαστὸν τὴν
[φύσιν,
Ὡς κτίστην, ὡς προνοητὴν, ὡς πάντων εὐεργέτην,
Ὡς ὑπερβάλλοντα (3) σαφῶς πατέρα καὶ μητέρα
Ἐν τῷ φιλεῖν καὶ κήδεσθαι ἡμῶν τῶν ἀναξίων.
Εἰς τοῦτον (4) μόνον τίθεσο πάσας σου τὰς ἐλπίδας,
Τὸν ἐν κακοῖς συλλήπτορα, τὸν ἐν κινδύνοις ῥύστην,
Ἐν ταῖς ἐνδείαις χορηγὸν, προασπιστὴν ἐν μάχαις,
Ἐν συμφοραῖς παράκλησιν, ἐν λύπαις θυμηδίαν.
Μόνος γὰρ οὗτος κραταιὸς καὶ παναλκὴς δυνάστης,
Ἐφ' ὃν οὐ καταισχύνεται ὁ πεποιθὼς βεβαίως·
Ὅστις δ' ἐπ' ἄνθρωπον φθαρτὸν τέθεικε τὰς ἐλ-
[πίδας,
Ἄθλιος οὗτος πέφυκε τῆς ἀσυνέτου γνώμης·
Ἐν ψάμμῳ γὰρ ἐδείματο τοῦ βίου τὴν οἰκίαν,
Καὶ ἐπὶ πέτρας σφαλερᾶς ἐστήριξε τοὺς πόδας,
Ὧν σαλευθέντων ἐκ τινος προφάσεως ῥᾳδίως,
Ἀνατραπεὶς ἐλεεινὸν ὑφίσταται τὸ πτῶμα.
Φόβος Θεοῦ σοι σύνοικος διηνεκῶς γινέσθω,
Καὶ, ὡς παρόντος, ῥύθμιζε τοὺς λόγους καὶ τὰς
[πράξεις·
Λανθάνει γὰρ οὐδ' ὁτιοῦν τὸν ὀφθαλμὸν ἐκείνου·
Ἐτάζει γὰρ λεπτομερῶς νεφρούς τε καὶ καρδίαν (5),
Καὶ κεφαλῆς ἐξαριθμεῖ τρίχας καὶ ψάμμου φύσιν.
Λόγους καὶ πράξεις καὶ κρυπτὰς ψυχῆς διανοήσεις
Σταθμίζων ἀκριβέστατα ζυγοῖς δικαιοσύνης,
Ἀμείβεται τοὺς ἅπαντας τῶν ἔργων κατ' ἀξίαν,
Τοὺς φαύλους μὲν ταῖς ἀλγειναῖς ποιναῖς καθυπο-
[βάλλων,
Τοὺς δ' ἀγαθοὺς καταξιῶν τῆς ἄνω κληρουχίας.

vers. 908

Θεῷ προσεύχου θαμινὰ νυκτός τε καὶ ἡμέρας
Μετὰ ζεούσης τῆς ψυχῆς καὶ δ.' ἀγηγερμίη,
Ἐν ταπεινῷ φρονήματι καὶ συντριμμῷ καρδίας,
Καὶ κατωδύνοις στεναγμοῖς καὶ ῥεύμασι δακρύων,
Λύσιν σφαλμάτων ἐξαιτῶν καὶ τῶν λυπούντων παῦ-
[λαν,
Καὶ διανοίας φωτισμὸν καὶ στηριγμὸν (6) καρδίας,
Καὶ τῶν καλῶν ἐπίτευξιν χάριτος συνεργίᾳ·
Ἡ γὰρ τοιαύτη προσευχὴ πολὺ τὸ κέρδος φέρει.
Ὥσπερ γὰρ ὁ συνομιλῶν τῷ βασιλεῖ τῆς νίκης (7)
Θάρσος λαμβάνει πρὸς αὐτὸν καὶ πλείστην παῤῥη-
[σίαν,
Οὕτως ὁ προσευχόμενος πολλάκις τῆς ἡμέρας
Προσοικειοῦται τῷ Θεῷ διὰ τῆς συνηθείας,
Καὶ μετὰ πεποιθήσεως προσάγων τὰς δεήσεις,
Ἕλκει πολλὴν πρὸς τὸν ἐξῆς βίον ἐπικουρίαν,
Καὶ οὐχ ἁλώσιμος ἐχθροῖς ἢ δαίμοσι ῥᾳδίως.

Τὸν βασιλέα (8) χρὴ τιμᾷν, φιλεῖν (9) τε καὶ φο-
[βεῖσθαι·
Ὑπὸ Θεοῦ γὰρ τέτακται, καὶ τοῦτον εἰκονίζει (10),
Πάσης ἀξίας καὶ τιμῆς ὑπέρτερος τυγχάνων,
Καὶ πάντων προνοούμενος καὶ μεριμνῶν ἀγρύπνως.
Τούτῳ πιστῶς ὀφείλουσιν οἱ σύμπαντες δουλεύειν
Ἀδόλῳ γνώμῃ καὶ στοργῇ μετ' εὐπειθείας πάσης.
Τιμᾶν γὰρ δεῖ τάξιωμα τοῦ βασιλείου κράτους,
Τὸν κηδεμόνα δὲ φιλεῖν, τὸν δ' ἰσχυρὸν φοβεῖσθαι,
Ἃ πάντα συνδεδράμηκε περὶ τὸν βασιλέα.
Καὶ οἱ δουλεύοντες αὐτῷ πιστῶς τε καὶ γνησίως
Τεύξονται τέλους ἀγαθοῦ καὶ ἀμοιβῆς ἀξίας·
Ἐν τῇ χειρὶ γὰρ τοῦ Θεοῦ καρδία βασιλέως (11).
Οἱ δέ γε δόλους κατ' αὐτοῦ συῤῥάπτοντες ἀθέσμως
Οὐ διαδράσουσι ποινὰς τοῖς νόμοις ὡρισμένας (12),
Ἀλλ' ὡς ἀντάρται τοῦ Θεοῦ κρίνονται φωραθέντες·
Ἀθετηταὶ γὰρ γίνονται τῶν θείων προσταγμάτων,
Καὶ πολιτείας φθαρτικοὶ καὶ νόμων ἀναιρέται.
Οὐ γὰρ ὁμοίαν τοῖς πολλοῖς ἔχει τὴν ἐξουσίαν,
Ἀλλ' ὑπὲρ πάντας δύναται καὶ κράτος ἔχει μέγα,
Ἔθνη καὶ πόλεις ἀναιρεῖ τῷ νεύματι καὶ μόνῳ,
Καὶ πεπτωκότα βουληθεὶς ῥᾳδίως ἀνεγείρει·
Θεῖον γὰρ, οὐκ ἀνθρώπινον, περίκειται τὸ κράτος
Μόναρχος ἀνυπεύθυνος, τῶν ὅλων αὐτοκράτωρ.

Τοὺς δημοσίους ἄρχοντας φοβεῖσθαι χρὴ καὶ σέβειν·
Ἥνπερ ἄρχουσιν ἀρχὴν, βασιλικὴ τυγχάνει,
Καὶ δι' αὐτῶν ὁ βασιλεὺς πληροῖ τὰς ἐνεργείας,
Ὡς δι' ὀργάνων εὐφυῶν καὶ δεδοκιμασμένων·
Ὁ δ' ἀτιμάζων ὑβριστὴς γίνεται τοῦ κρατοῦντος.

Ἐν ἀρχὴν παρά τινος πιστευθῇς δημοσίαν,

vers. 952

(1) Man. ἐμερίμνως.
(2) Ce vers paroît être ici hors de sa place, à moins qu'il n'y ait une lacune.
(3) Man. ὑπερβάλοντα.
(4) Man. τοῦτο : 894, κακοῖς : 899, τίθηκε.
(5) Psaume VII, 9 : Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός.
(6) Man. στηργμόν.
(7) Man. συνομιλῶν τῇ βαλεῖ τῆς νίκης. La correction τῷ βασιλεῖ paroît certaine. Συχνάκις remplaceroit utilement τῆς νίκης.
(8) Titre : Περὶ τοῦ τιμᾶν, φιλεῖν (man. φυλεῖν) φοβεῖσθαι τὸν βασιλέα (man. βασιλέαν). Le man. porte aussi βασιλέαν, v. 938.
(9) Man. φλεῖν.
(10) C'est la même idée que dans le vers 43 des Γνῶμαι μονόστιχοι :
*Εἰκὼν δὲ βασιλεύς ἐστιν ἔμψυχος Θεοῦ.*
(11) Proverbes de Salomon XXI, 1 : Ὥσπερ ὁρμὴ ὕδατος, οὕτως καρδία βασιλέως ἐν χειρὶ Θεοῦ.
(12) Man. ὡρισμένοις : j'ai écrit ὡρισμένας; avec pleine sécurité.

Ὕλην εὐδοκιμήσεως οἷον προσειληφέναι·
Ἀρχὴ γὰρ ἄνδρα δείκνυσι (1) καὶ πᾶσιν ἐμφανίζει.
Μὴ διὰ τὸ ἀξίωμα κατεπαρθῇς τῶν ἄλλων·
Βραχὺν γὰρ χρόνον ἐξανθεῖ, καὶ αὖθις ἀπορρέει.
Μετὰ βουλῆς καὶ σκέψεως κατεύθυνε τὰς ψήφους·
Ῥᾴδιος γὰρ τὸ δίκαιον τοὺς ἀμελεῖς ἐκφεύγει.
Μὴ λάβῃς φίλων πρόσωπον, μηδὲ πτωχῶν, ἐν κρίσει,
Μηδὲ δυνάστην αἰδεσθῇς, μηδὲ προσέξῃς δώροις·
Ἀλλ' ἔννομον καὶ δίκαιον ἔκφερέ σου τὸ κρῖμα.
Τοὺς κατακρίτους κόλαζε μὴ δι' ὀργὴν ἢ τέρψιν,
Ἀλλ' ὡς τοῦ νόμου πρόμαχος καὶ τοῦ δικαίου [φύλαξ,
Οἰκτείρων μὲν τῆς συμφορᾶς τοὺς δυστυχεῖς ἐκεί- [νους,
Τῷ νόμῳ δ' ὑποτάττεσθαι ὀφείλων ἐξ ἀνάγκης.
Μὴ χαλεπὸς ἀκροατὴς τῶν κρινομένων ἔσο,
Ἀλλ' ἱλαρῶς ἐπάκουε καὶ μακροθύμως πάντων·
Μηδὲ ῥᾳθύμως ἄκουε τῆς δικαιολογίας,
Μή σε τὰ δικαιώματα τῶν κρινομένων φύγῃ·
Μετὰ πολλῆς δὲ προσοχῆς καὶ πάσης ἀκριβείας
Ἄκουε καὶ μνημόνευε τῶν λεγομένων πάντων·
Τὸ γὰρ ἀκούειν ἀμελῶς ἐγγὺς τῷ μὴ ἀκούειν.
Καὶ συνετῶς ἐξέταζε καὶ τάληθὲς ἐκζήτει·
Ἀγνοουμένου γάρ τινος μέρους τῶν πεπραγμένων,
Ἀλλοία ἡ ὑπόθεσις γίνεται παραυτίκα.
Μὴ ἀναβάλλου τὸν καιρὸν, χρονοτριβῶν τὰς δίκας·
Κἂν γὰρ δικαίως κρίνῃς μὲν, μετὰ πολὺν δὲ χρόνον,
Τὸ μὲν ἀδίκημα τὸ πρὶν ἀφεῖλες διὰ ψήφου,
Σὺ δὲ αὐτὸν ἠδίκησας, πολυχρόνιον ἕλκων,
Σχολάζοντα τῶν πράξεων τῶν ἑαυτῷ χρησίμων,
Καὶ χορηγοῦντα ῥήτορσι, γραφεῦσι καὶ δημίοις,
Καὶ πλεῖον (2) ἀπὸ τῆς σχολῆς καὶ τῆς δαπάνης [ἴσως
Ζημίαν ὑπομείναντα ἢ τὸ τῆς δίκης κέρδος.
Διό σε χρὴ φερέπονον ὑπάρχειν καὶ σπουδαῖον
Ἐν τῷ ἀκούειν καὶ ζητεῖν καὶ τάληθὲς εὑρίσκειν.
Μετὰ δὲ τὴν ἀλήθειαν τῶν πεπραγμένων πάντων
Ἐπιμελῶς τὸ δίκαιον σκόπει κατὰ τοὺς νόμους·
Κἂν ἀπορῇς συμβούλοις, χρῶ νομικοῖς καὶ δικαίοις.
Εὑρὼν δέ γε τὸ δίκαιον, συντόμως ἀποφαίνου,
Καὶ τὰ κριθέντα πέραινε ταχέως καὶ συντόμως,
Μὴ ἐνδιδοὺς ὑπό τινος καὶ κολοβῶν τὰς ψήφους.
Κριτὴς γὰρ λόγῳ δικαιῶν, ἔργῳ δὲ μὴ περαίνων,
Ἠδικημένους μὲν ὀρθῶς μισεῖται καὶ δικαίως·
Τῶν ἐκ τοῦ νόμου γὰρ αὐτοὺς ἀποστερεῖ δικαίων·
Ὑπὸ τῶν ἀδικούντων δὲ λίαν ἐξουθενεῖται,
Καὶ καταγέλαστός ἐστι καὶ ἀδρανὴς καλεῖται·
Γίνεται δὲ καὶ σύνεργος οὗτος τοῖς ἀδικοῦσι,
Τὴν ἐκ τῶν νόμων ἀφαιρῶν ἐκδίκησιν ἀθέσμως,

vers. 998

Καὶ βρῶμα τοὺς ἐπιεικεῖς ποιεῖται τῶν ἀδίκων.
Οὐδὲν κριτοῦ φαυλότερον ταῖς ἀληθείαις φαύλου·
Νόμους γὰρ οὗτος ἀναιρεῖ καὶ πολιτείαν φθείρει.
Καὶ δίκαιον τὸ ἐπ' αὐτῷ ποιεῖ τὴν οἰκουμένην.
Δεῖ δὲ (3) τὸν ἀγαθὸν κριτὴν νομομαθῆ τυγχάνειν·
Κριτὴς γὰρ νόμους (4) ἀγνοῶν, καὶ ἰατρὸς τὰς νό- [σους,
Ὁ μὲν πληθύνει τραύματα, ὁ δὲ τὰς ἀδικίας.
Ἔτι δὲ δίκαιον αὐτὸν καὶ φίλον τοῦ δικαίου,
Ἵνα μὴ πράττῃ τῷ σκοπῷ σαφῶς τὰ ἐναντία·
Πῶς γὰρ ὁ θέλων ἄδικα τὸ δίκαιον ποιήσει,
Οὐ δύναται γὰρ μουσικῶς ὁ ἄμουσος ἐξᾴδειν.
Ἔτι δὲ χρὴ φιλόπονον ὑπάρχειν καὶ σπουδαῖον,
Ἵνα μὴ (5) δι' ἀμέλειαν χρονίζωσιν αἱ δίκαι.
Πρὸς τούτοις δεῖ δραστήριον καὶ θαρσαλέον εἶναι,
Ἵνα δι' ἔργων ἐντελῶς περαίνῃ τὰ κριθέντα·
Τοῦτο γὰρ τέλος πέφυκε δικαστοῦ τε καὶ νόμου,
Ἀδικημάτων παντελὴς ἐκδίκησις δικαία.

Τοὺς ἄρχοντας τοὺς ὑπὸ σὲ μετὰ βουλῆς ἐκλέγου,
Καὶ ὁκριβῶς ἐξέταζε τὰς τούτων διαθέσεις·
Ἐγχείριζε δὲ τὰς ἀρχὰς φρονίμοις καὶ δικαίοις,
Καὶ ἐπισκέπτου θαμινῶς τὰς πράξεις τὰς ἐκείνων,
Κἂν εὕρῃς πλημμελήσαντας, εὐθέως ἐπανόρθου·
Ὅσα γὰρ ἂν καὶ πράξωσιν ἄδικα οἱ τοιοῦτοι,
Σὺ πάντων τούτων αἴτιος, καὶ θεῷ δώσεις λόγον.

Μὴ συναινέσῃς τοῖς κακοῖς, μηδὲ βουλῇ κοινώνει,
Ἵνα μὴ αἴτιος δοκῇς τῆς τούτων ἀδικίας.
Τῶν φαύλων τὰς φθαροποιοὺς φεῦγέ μοι ὁμιλίας·
Τοῖς ἀγαθοῖς δὲ σπούδαζε τὸ πλεῖστον συνδιάγειν·
Ἤδη γὰρ φθείρουσι χρηστὰ τῶν φαύλων ὁμιλίαι (6),
Καὶ ῥᾷον νόσου μετασχεῖν ἢ δοῦναι τὴν ὑγείαν.

Φεῦγε τὸ ψεῦδος (7) ὡς ἰὸν καὶ τόκον τοῦ φθορέως,
Καὶ ἀληθείας ἔκπτωσιν καὶ τῆς εἰκόνος λύσιν·
Κατὰ τὸν νοῦν γὰρ ἄνθρωπος θηρίων ὑπερφέρει·
Νοὸς δ' ἔργον ἀλήθεια καὶ γνῶσις τῶν πραγμάτων.
Τὸ ψεῦδος δ' ἐναντίωσις τῆς ἀληθείας πέλει,
Καὶ τύφλωσίς ἐστι ψυχῆς καὶ διανοίας σκότος·
Καὶ, ὥσπερ ὁ ψευδόχρυσος οὐκ ἔστι χρυσὸς ὅλως,
Οὕτως ὁ ψεύστης ἄνθρωπος οὐκ ἄνθρωπος τυγχάνει.
Εἴδη πέφυκεν ὀρθῶς τοῦ ψεύδους εἶναι δύο·
Τὸ μὲν γὰρ κατ' ἄγνοιαν γίνεται τῶν πραγμάτων,
Ἀπάτης ἀποκύημα καὶ ψευδομένης δόξης,
Αἰσχρόν τε ὂν καὶ βδελυκτὸν, σημεῖον ἀμαθείας,
Εἰ περὶ τὰ καθολικὰ συμβαίνει τῶν πραγμάτων
Ταῦτα γάρ ἐστι δυνατὸν γνῶναι δι' ἐπιστήμης·
Ἡ δέ γ' ἐν τοῖς καθ' ἕκαστα ἄγνοια συγγνωστόν [πως (8)·

vers. 1045

(1) Cette pensée est attribuée à différens auteurs. Je me bornerai à citer Aristote, qui, dans ses *Morales* (v, chap. 1), la donne à Bias : Εὖ δοκεῖ ἔχειν τὸ τοῦ Βίαντος ὅτι « Ἀρχὰ τὸν ἄνδρα δείξει. » *Voyez* les interprètes d'Aristote, et Érasme dans ses *Adages*, I, 10, 76.

(2) Man. πλεῖον.

(3) Titre : Εἰς τὸ μανθάνειν νόμους ὁ κριτὴς, ou plutôt τὸν κριτὴν.

(4) Man. νόμων.

(5) J'ai ajouté μὴ.

(6) Il suit la pensée de S. Paul (*I Cor.* xv, 33) : Μὴ πλανᾶσθε· φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. C'est, comme on sait, un vers que l'Apôtre a emprunté à Euripide ou à Ménandre. On peut voir ce que j'ai remarqué sur le v. 446 des Γνῶμαι μονόστιχοι, p. 289 de la petite édition des *Gnomiques* : ajoutez les *Observations sacrées* de Colomiès, p. 27.

(7) Man. σπεῦδος, et 1031, θηρίαν.

(8) Συγγνωστὸν ἄγνοιά πως, serait mieux.

Οὐ μὲν τὸ λέγειν συγγνωστὸν καὶ ψεύδεσθαι ἐν [λόγῳ·
Βέλτιον γάρ ἐστι σιγᾷν ἢ λέγειν μὴ εἰδότα.
Ἕτερον εἶδος πέφυκεν, τὸ παρὰ δόξαν ψεῦδος,
Ὅταν, γινώσκων τἀληθές, ἐκὼν ἕτερα λέγῃ.
Ἢ τινος ἕνεκα σκοποῦ, ἢ μάτην ἄνευ λόγου.
Ὁ γοῦν ἐκὼν ψευδόμενος, καὶ μάτην κοῦφος πέλει,
Καὶ οὗτος κυριώτατα φιλοψευδὴς καλεῖται,
Ὡς δι' αὐτὸ τὸ ψεύδεσθαι φιλῶν τε καὶ διώκων.
Σημεῖον τοῦτο πέφυκε διεστραμμένης γνώμης,
Τὰ φαῦλά τε καὶ βλαπτικὰ φιλούσης καὶ στεργούσης·
Ὁ δ' αὖ πάλιν αἱρούμενος τὸ ψεῦδος ἕνεκά του,
Ἢ ὠφελείας ἕνεκεν ἢ βλάβης ἀλλοτρίας·
Ἡ δέ γ' ὠφέλεια διττή, οἰκεία, ἢ τοῦ πέλας.
Τὸ μὲν οὖν κέρδους ἕνεκα γινόμενον τοῦ πέλας,
Εἰ μὲν δικαίου καὶ καλοῦ καί γε ἀξιολόγου,
Ὡς σωτηρίας σώματος ἢ συγγενῶν ἢ φίλων,
Οὐ μόνον συγγνωστόν ἐστιν, ἀλλὰ καὶ ἐπαινεῖται·
Ἔργον ἀγάπης γὰρ δοκεῖ τῆς περὶ τὸν πλησίον·
Εἰ δέ γ' ἀδίκου πορισμοῦ χρημάτων ἢ καὶ δόξης,
Ὀλέθριόν τε καὶ ψεκτὸν καὶ πλῆρες ἀδικίας·
Ἀγάπης γὰρ τὸ συνεργεῖν, οὐ συναδικεῖν, πέλει.
Τὸ δ' οἰκείας γινόμενον ἕνεκεν ὠφελείας,
Εἰ μὲν δικαίας καὶ καλῆς, συγγνωστόν πως τυ- [χάνει,
Ἀδίκου δέ γε, κάκιστον καὶ δίπλωσις κακίας·
Τῇ ἀδίκῳ γὰρ (1) θελήσει προστίθεται τὸ ψεῦδος·
Τὸ δέ γε βλάβης ἕνεκα γινόμενον τοῦ πέλας
Καὶ ψεύδους δολιόφρονος μετὰ κακοβουλίας,
Τοῦτο τὸ μέρος λέγεται τοῦ ψεύδους δολιότης·
Ἀλλ' εὔλογος ἐπίκρυψις προνοίας ὑπηρέτις.
Ἅπαν μὲν οὖν, εἰ δυνατόν, εἶδος τοῦ ψεύδους φεῦγε·
Εἰ δέ γ' ἀνάγκη πρόκειται, τῷ ὠφελίμῳ χρῶ μοι,
Τὰ δ' ἄλλα μίσει ἐκ ψυχῆς καὶ λίαν ἀποστρέφου,
Φίλει δὲ τὴν ἀλήθειαν, ὡς τίμιον καὶ θεῖον,
Καὶ μόνα φθέγγου τἀληθῆ (2) ἅπερ σαφῶς γινώ- [σκεις,
Ἃ δὲ μὴ οἶδας ἀκριβῶς, μηδ' ἄλλῳ λέγειν θέλε·
Οὕτω γὰρ πληροφόρησον πρὸς ἑαυτὸν τοὺς πάντας,
Ὥσθ' ἅπερ λέγεις ἀληθῆ καὶ βέβαια νομίζειν,
Καὶ μὴ τοὺς ὅρκους (3) ἀπαιτεῖν βεβαίωσιν τῶν [λόγων.
Οἱ γὰρ ὅρκους ἐπάγοντες εἰς πίστωσιν τῶν λόγων,
Ἑαυτοὺς μὲν ἐμφαίνουσι πίστεως ἀναξίους,
Τῆς ἐντολῆς δ' εὑρίσκονται τῆς θείας παραβάται,
Τῆς κελευούσης μηδαμῶς ὀμνύναι τὸ παράπαν (4).

Τὰς ὑποσχέσεις φύλαττε καὶ τὰς ὁμολογίας·
Οὐ μόνον ψεύστης γαρ ἐστιν ὁ ταύτας παραβαίνων,
Ἀλλὰ καὶ ἅρπαξ, ἁφαιρῶν τὰς ὀφειλὰς τῶν ἄλλων·

vers. 1088

Ἐν οἷς γὰρ ὡμολόγησας καὶ ὑπεσχέθης λόγῳ, A
Χρεώστην ἔθηκας σαυτὸν τοῦ πρᾶξαι τὰ τοιαῦτα·
Δεσμὸς γὰρ ἰσχυρότατος λόγος ὁμολογίας·
Χρέος δ' ἐστὶν ἀποβολὴ τῆς πρὶν ἐλευθερίας.
Οὐκ ἔστι γὰρ ὁ χρεωστῶν κύριος τοῦ μὴ πράττειν,
Ἀλλ' ἀναγκάζεται ποιεῖν ὡς δοῦλος ἃ ὀφείλει.
Μὴ οὖν ταχέως καὶ πυκνῶς ὁμολογίας δίδου,
Ἵνα μὴ ταύτας παραβὰς ἄπιστος τούτοις δόξῃς,
Ἀλλ' ὅτε δεῖ, καὶ ἅπερ δεῖ, καὶ ἃ τελέσαι δύνῃ.

Ἂν πιστευθῇς παρά τινος λόγους μυστηριώδεις,
Ἐν βάθει κρύψον τῆς φρενὸς καὶ μὴ ἀποκαλύψῃς·
Μηδ', ἂν ἐχθρός σου γένηται ὕστερον ὁ τοιοῦτος,
Θελήσῃς βλάψαι πώποτε διὰ τοῦ φανερῶσαι·
Σαυτὸν γὰρ μᾶλλον ἔβλαψας, ἄπιστος χρηματί- B
[σας (5)·
Ἔστι γὰρ τὸ μυστήριον ὡς παρακαταθήκη,
Καὶ ταύτης ἱερώτερον ὡς ἀποκεκρυμμένον,
Καὶ ἀπιστίαν πλημμελεῖ ὁ τοῦτ' ἀποκαλύπτων,
Ὡς ὑποσχόμενος καλῶς φυλάξαι καὶ ἀβλαβῶς.
Μυστήρια δ' ἐπισφαλῆ μὴ ἄκουε προθύμως,
Οἷον ὅσα βουλεύονται κατὰ τοῦ βασιλέως
Ἢ ἄλλου τινὸς δυνατοῦ καὶ δραστικοῦ προσώπου,
Ἔτι δὲ τὰ ἀπόῤῥητα τῶν δυνατῶν προσώπων
Ἂν ἄλλος οἶδε τὰ αὐτά· κίνδυνος γὰρ ὑφέρπει
Μὴ, ἄλλου φανερώσαντος, σὺ τὴν αἰτίαν ἔξῃς.

Ἐν κοινωνίαις (6) φύλαττε τὴν ἰδιοπραγίαν,
Μόνα σπουδάζων ἔχειν τε τὰ σὰ καὶ τὰ οἰκεῖα,
Μὴ προσλαβεῖν ἐπιθυμῶν τὰ προσόντα τοῖς πέλας, C
Ἢ κλέπτων, ἢ ἐξαπατῶν, ἢ καὶ ἁρπάζων βίᾳ,
Ἢ ἄλλως ἀφαιρούμενος ἑνί γέ τινι τρόπῳ (7).
Τοῦτο γὰρ ὄντως φθαρτικὸν τυγχάνει πολιτείας,
Καὶ ἔοικε τὸ πρᾶγμά γε τῇ ἀλληλοφαγίᾳ.
Πλεονεξία πέφυκεν ἐχθρὸν πάσῃ τῇ πόλει,
Νόμοις μὲν, καὶ τοῖς ἄρχουσιν ὡς εἴργουσι τὸ πλέον,
Καὶ πᾶσιν ἀντεισάγουσι τὸ δίκαιον καὶ ἴσον,
Τοῖς δὲ πολίταις, τὰ αὐτῶν λαβεῖν ἐπιθυμοῦσα.
Βούλεται γὰρ ὁ ἄδικος τὰ πάντων αὐτὸς ἔχειν·
Γῆς καὶ θαλάσσης τὸν αὐτὸν οὐ κορέννυσι πλάτη·
Πλεονεξία γάρ ἐστιν ἀλόγιστος μανία,
Ἔρως ἀκίχητα ζητῶν κατέλεστα διώκων·
Ἰσότης δέ γε σωστικὸν τυγχάνει πολιτείας, D
Καὶ κοινωνίαν συντηρεῖ καὶ φιλίαν εἰσφέρει.
Τιμᾶν δὲ δεῖ τὸ δίκαιον μὴ ἐν χρήμασι μόνον,
Ἀλλὰ καὶ πᾶσι τοῖς κτητοῖς ἀγαθοῖς ἐκ τῶν ἔξω,
Δόξῃ τε, λέγω, καὶ τιμῇ, καὶ τοῖς παρὰ πλησίοις.
Μὴ ὀρεχθῇς ποτε τιμῆς τῆς σοὶ μὴ προσηκούσης,
Μηδὲ τὴν ἄλλῳ πρέπουσαν δόξαν ἁρπάζειν θέλε,
Ἀλλ' ὁμολόγει φανερῶς τοὺς σοὺς τιμιωτέρους,

vers. 1155

(1) Τῇ γὰρ ἀδίκῳ seroit mieux.
(2) Man. τἀληθές.
(3) Isocrate à Nicoclès, c. 57 : Τὴν ἀλήθειαν οὕτω φαίνου πρετιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους ἢ τοὺς τῶν ἄλλων ὅρκους.
(4) Deuéronome, v. 11 : Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ.
(5) Χρηματίσας est ici la même chose que ὤν, ὑπάρχων. Cet emploi de χρηματίζειν est très-fréquent dans les livres des modernes. L'empereur Basile dit dans ses *Conseils*, p. 31 : Τὸ τοῖς οἰκείοις διαμαχεσθαι καὶ λόγοις καὶ πράγμασι ψεκτόν τι χρηματίζει καὶ ἀγεννές. Paradis traduit : *Secum pugnare et dictis, et factis, quiddam reprehensione dignum arguit et illiberale.* Il devoit mettre : *reprehensione dignum est et illiberale.*
(6) Titre : Περὶ φυλάττειν ἰδιοπραγίαν.
(7) Man. τόπῳ.

Καὶ νέμε τούτοις τὴν τιμὴν τὴν πρέπουσαν, ὡς [θέμις,
Καὶ ἀφειδῶς χορήγει τὸν ἔπαινον τοῖς σπουδαίοις,
Ἵνα μὴ δόξῃς τῆς τιμῆς βασκαίνων τοῖς ἀξίοις,
Καὶ πάσας αὐτοῖς (1) βούλεσθαι τὰς τιμὰς ἀκο- [ρέστως,
Σφετεριζόμενος αὐτῶν τὰς πράξεις καὶ τοὺς λόγους
Καὶ τά γε κατορθώματα εἰς ἑαυτὸν μεθέλκων.
Διπλῆν γὰρ ὄντως πλημμελεῖς πάντως τὴν ἀδικίαν,
Ἐκείνους μὲν ἀποστερῶν τῆς προσηκούσης δόξης,
Σαυτῷ δὲ τὴν προσήκουσαν οὐδόλως ἀπονέμων.

Μὴ προξενήσῃς δύσκλειάν τινι καὶ ἀτιμίαν,
Μήτε κερδαίνειν μέλλων τι, μήτε μηδὲν κερδαίνων·
Ἠδίκησας γὰρ ἑκόντι βλάψας σου τὸν πλησίον.

Μὴ παρεμβάλῃς σεαυτὸν ταῖς ἄλλων ἁμαρτίαις,
Ὡς δῆθεν ἐνευδοκιμῶν τοῖς σφάλμασι τοῖς τούτων·
Ἐλέγχεις γὰρ τὰ πταίσματα τούτων τῇ παραθέσει,
Καὶ ἀτιμίαν προξενεῖς αὐτοῖς καὶ ἀδοξίαν.
Τὸ δόξαν δὲ πορίζεσθαι ταῖς ἄλλων ἀδοξίαις
Φιλόδοξον καὶ αἴσχιστον καὶ ἄδικον τυγχάνει.
Σὺ δ' εἴπερ δόξης καὶ τιμῆς ἐρᾷς, ἐρᾷν δικαίως (2).
Σοφὸς γενοῦ καὶ δίκαιος, σωφρων τε καὶ ἀνδρεῖος,
Καὶ σπούδαζε τὰ κάλλιστα καὶ πρᾶττε μὴ πτερέργως,
Καὶ δόξης παρὰ τῶν καλῶν δικαίως ἐπιτεύξῃ.

Ἂν κοινωνήσῃς πράξεως τινὶ κατὰ τὸν βίον,
Ἐπίσης θέλε κοινωνεῖν κρειττόνων καὶ χειρόνων,
Μὴ σεαυτῷ μὲν τῶν καλῶν νέμων τὸ πλεῖον μέρος,
Ἐκείνῳ δὲ τὸ ἔλαττον, τῶν κακῶν δ' ἐναντίως,
Σαυτῷ (3) μὲν τὸ ἐλάχιστον, ἐκείνῳ δὲ τὸ πλεῖον·
Πάντες γὰρ οὕτω γε τὴν σὴν φεύξονται κοινωνίαν.
Μᾶλλον δὲ κέρδους καὶ τιμῆς ἐκείνῳ πλέον νέμε,
Φροντίδος δὲ καὶ δυσχερῶν καὶ πόνων καὶ καμάτων
Σαυτῷ πλέον ἀπόνεμε, καὶ κλέος ἕξεις μέγα.

Μὴ ἀδικήσῃς πένητα, μηδὲ καταφρονήσῃς·
Εἰ γὰρ καὶ οὗτος ἑαυτὸν διεκδικεῖν οὐ σθένει,
Ἀλλ' ἔχει τὸν ἐκδικητὴν Θεὸν, ὃν πάντα φρίττει.
Ἂν ἴδῃς ἀδικούμενον ὀρφανὸν ἢ καὶ χήραν,
Μὴ παραδράμῃς παριδὼν αὐτοὺς ἀπολλυμένους,
Ἀλλὰ γενναίως πρόστηθι καὶ ῥῦσαι τοῦ κινδύνου,
Μὴ φοβηθεὶς τὸν ἄδικον, εἰ δυνατὸς τυγχάνει·
Θεὸν γὰρ ἕξεις βοηθὸν κατὰ τῶν ἀδικούντων.
Εἰ δὲ συμβαίνει ταύτῃ σε κίνδυνον ὑποστῆναι,
Λαμπρόν τε καὶ μαρτυρικὸν στέφανον ἀναδήσῃ·
Ὑπὲρ γὰρ τοῦ πλησίον σου (4) τὸν κίνδυνον ὑπέ- [στης.

vers. 1177

A Ἂν τι; αἰτήσῃ σε βουλὴν εἰς τὰς οἰκείας χρείας,
Μάνθανε τὴν ὑπόθεσιν ἀκριβῶς καὶ προθύμως,
Καὶ τὰ δοκοῦντα βέλτιστα συμβούλευε τοῦ (5) πράτ- [τειν·
Οὐ πᾶσι γὰρ δεδώρηται τῆς γνώσεως τὸ δῶρον,
Καὶ ὁ λαβὼν κοινοποιεῖν πᾶσιν ὀφείλει τοῦτο·
Χρημάτων γὰρ ἡ συμβουλὴ ὠφελιμώτερόν πως (6).
Τοῖς ἀδικεῖν σπουδάζουσι βουλῆς μὴ κοινωνήσῃς,
Μηδὲ συμπράξῃς ὁπωσοῦν μήτ' ἔργῳ μήτε λόγῳ.
Ἵνα μὴ γένῃ κοινωνὸς καὶ σὺ τῆς ἀδικίας.

Τοὺς φαύλους καὶ μὴ δυνατοὺς ἔλεγχε καταμόνας,
Μετὰ πραότητος πολλῆς καὶ γνησίας ἀγάπης·
Ἴσως γὰρ ἀποστήσονταί ποτε τῆς μοχθηρίας.

B Ἂν τίς τινα παρόντος σου κακολογῇ σπουδαῖον,
Σύ γε τὰ κατορθώματα παράγαγε εἰς μέσον,
Καὶ σβέσον τὰς διαβολὰς διὰ τῶν ἐγκωμίων·
Ἐκεῖνον μὲν γὰρ ἐκδικεῖς, τὸν δ' ἄδικον αἰσχύνεις.
Εἰ δὲ σιγήσεις; παριδὼν ἀδίκως ὑβρισθέντα,
Τῆς ἀληθείας γέγονας προδότης, ὡς Ἰούδας.

Μὴ ἀμελῇς (7) τῶν σεαυτοῦ συγγενῶν τε καὶ φίλων,
Ἀλλ' ἐπισκέπτου θαμινὰ καὶ βοήθει ταῖς χρείαις,
Βουλεύων τε καὶ συνεργῶν καὶ προνοῶν παντοίως.
Φίλος κτημάτων ἄριστον ὑπάρχει τῶν ἐν βίῳ,
Οὐκ εἶδος ἓν τῶν ἀγαθῶν, ἀλλ' ὁμοῦ πάντα φέρων,
Κοινοποιῶν τὰ ἑαυτοῦ δεσμῷ τῆς σῆς φιλίας,
Σῶμα, ψυχὴν, καὶ χρήματα, καὶ δύναμιν, καὶ δόξαν,
Ἐν ταῖς φροντίσι σύμβουλος, συμπράκτωρ ἐν τοῖς C [ἔργοις,
Ἐν ταῖς ἐνδείαις χορηγὸς, συνασπιστὴς ἐν μάχαις,
Ἐν θυμηδίαις κοινωνὸς, ἐν λύπαις παρακλήτωρ,
Ἐν εὐτυχίαις χαλινὸς, ἐν δυστυχίαις βάσις,
Ἢ καὶ λιμὴν δεχόμενος ὡς ἀπὸ ναυαγίου.
Ἄφιλος βίος ἔρημος ὑπάρχει βοηθείας,
Καὶ πέλαγος ἀλίμενον καὶ ἄστεγος οἰκία,
Καὶ φρούριον ἀφύλακτον, καὶ ἄνυδρος πορεία.
Διόπερ φίλους κτήσασθαι σπούδασον πάντα τρόπον.
Πλὴν μὴ ταχέως τούτους κτῶ, προπετῶς ἐπικρίνων.
Ἀλλ' ἐξετάσας πρότερον διὰ τῆς ἔξω φήμης.
Εἶτα δ', ἐγγύτερον ἰὼν καὶ πεῖραν λαβὼν τούτου,
Κατάμαθε τὴν σύνεσιν αὐτοῦ τε καὶ τὴν γνώμην,
Καὶ πῶς ἔχει πρὸς ἀρετὴν ἑκάστην καὶ κακίαν,
Καὶ μάλιστα πρὸς φιλικὰς ὡς ἔχει κοινωνίας, D
Καὶ πῶς πρὸς φίλους πρότερον τῷ ὄντι διετέθη.
Ταῦτα δὲ πάντ' ἀδύνατον μαθεῖν ἐν βραχεῖ χρόνῳ,
Ἐν χρόνῳ δ' ἄρα πλείονι τὴν βάσανον ποιεῖσθαι.
Οὕτω δὲ γνοὺς τὰ κατ' αὐτὸν σὺν ἀκριβείᾳ πάσῃ,

vers. 1221

(1) Au lieu de αὐτοῖς, l'auteur a peut-être écrit αὐτὸς ou αὑτῷ.
(2) Man. δικαίως ἐρᾷν.
(3) Man. σεαυτῷ.
(4) Man. πλούσιον. J'ai ajouté σου.
(5) Peut-être, συμβούλευ' αὐτὸν πράττειν.
(6) Σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων χρημάτων ἐστίν, dit Isocrate à la fin de son discours à Nicoclès ; et c'est peut-être la source où George a pris sa pensée. Peut-être aussi se souvenoit-il de l'empereur Basile, qui commence ainsi le chap. XVIII de ses *Exhortations* : Βουλῆς ἀρίστης οὐδὲν ἀσφαλέστερον. Au reste le simple bon sens suffit pour donner de pareilles idées. Je ne sais si l'on a remarqué que la phrase de Basile forme un très-bon vers, et qu'il a copié l'ancien poëte, qui a dit dans les *Sententiæ monostichæ* :

*Βουλῆς γὰρ ὀρθῆς οὐδὲν ἀσφαλέστερον.*

(7) Titre : Περὶ τοῦ μὴ ἀμελεῖν τῶν συγγενῶν καὶ φίλων ; man. τὸ συγγενὸν καὶ φίλον.

Εἰ μὲν ἀδόκιμος φανῇ, μακρύνου κατ' ὀλίγον·
Τοῖς δὲ δοκίμοις προσελθὼν ἁρμόσθητι γνησίως,
Καὶ δ'ς καὶ λάβε δεξιὰς φιλίας καὶ κοινωνίας,
Καὶ συνεχῶς ἐπάρδευε τὸ τῆς φιλίας ἔργον,
Ἕως ἂν μέγα γένηται καὶ ἴδῃς καρποφόρον·
Φιλία (1) γὰρ κρατύνεται ἀεὶ παλαιουμένη.
Φίλους (2) δ' ἐκλέγειν σπούδαζε φρονίμους καὶ σπου-
[δαίους·
Μόνοι γὰρ οὗτοι δι' αὐτοὺς φιλοῦσι καὶ φιλοῦνται,
Καὶ ἀδιάῤῥηκτός ἐστιν ἡ τούτων ἑταιρεία·
Δι' ἀρετὴν γὰρ γίνονται, καὶ τὸ καλὸν φιλοῦσι,
Ὑπὲρ ἁμεταχίνητον καὶ μόνιμον ὑπάρχει·
Καὶ τούτων μόνων πέφυκεν ἡ φιλία τελεία,
Πάντας περιλαμβάνουσα τοῦ φιλητοῦ τοὺς λόγους,
Τὸν τοῦ συμφέροντος, φημί, καλοῦ τε καὶ ἡδέος.
Ἡδεῖς γὰρ συνδιάγοντες ἀλλήλοις καὶ συζῶντες,
Καὶ δεομένοις πρόθυμοι παντοίως βοηθοῦσι,
Καὶ τῆς φιλίας τὸ καλὸν ποιοῦνται τέρμα πάσης.
Ἡ δὲ τῶν φαύλων μεταξὺ γινομένη φιλία
Ψευδής τε καὶ ὠκύμορος καὶ μερικὴ τυγχάνει·
Ψευδὴς μὲν, ὅτι τῶν αὐτῶν οὐ μὴν (3) αὐτοὺς φι-
[λοῦσιν,
Ἀλλ' ἢ ῥέουσαν ἡδονὴν ἢ τινα βίου χρείαν·
Ταῦτα δὲ βραχυχρόνια καὶ ῥέοντα τυγχάνει,
Οἷς πάντως (4) συναφίπταται καὶ ὁ πρὸς ταῦτα πόθος,
Ὥσπερ φλὸξ, ὑπεκκαύματος ταχέως μαρανθέντος.
Ὡς δὲ μὴ περιέχουσα τοῦ φιλητοῦ τοὺς λόγους,
Ἀλλὰ τὸ χρήσιμον, τυχὸν, ἢ τὸ ἡδὺ, ἢ ἄμφω,
Τὸ δὲ καλὸν οὐ βλέπουσα, μερική πως τυγχάνει.
Ἀρίστη τοίνυν πέφυκε τῶν ἀγαθῶν ἡ φιλία,
Καὶ τούτους, λῶστε, σπούδαζε θηρεύειν πάντα τρό-
[πον.
Ἐπεὶ δὲ σπάνιόν ἐστιν ἡ ἀρετὴ (φεῦ!) χρῆμα,
Σὲ δ' ἀναγκαῖον κοινωνεῖν πολλοῖς κατὰ τὸν βίον,
Δεύτερος πλοῦς, ἐκλέγου μοι ἐκ τῶν ἡμιμοχθήρων
Τοὺς ἀληθεύειν σπεύδοντας καὶ τοῦ δικαίου φίλους·
Φιλίαν γὰρ ὡς μάλιστα τὸ δίκαιον συνέχει
Πλέον πασῶν τῶν ἀρετῶν, καὶ οὐκ ἐᾷ ῥαγῆναι.
Καὶ κτῶ μοι φίλους ἐξ αὐτῶν ἕνεκα τοῦ χρησίμου·
Ἀλλήλοις γὰρ ἀρήγουσι προθύμως οἱ τοιοῦτοι,
Ὥσπερ δανείζοντες αὐτοὺς πρὸς τὰς τοῦ βίου χρείας,
Ἀπολαβεῖν ἐλπίζοντες τὰ ὅμοια καὶ ἴσα·
Ἂν δὲ μὴ ἀπολάβωσιν, ἢ ἐνδεέστερά πως,
Καθάπερ ἀδικούμενοι εὐθέως ἐγκαλοῦσι?
Μάλιστα δὲ τοὺς δυνατοὺς σπούδαζε κτᾶσθαι φίλους·
Λόγος γὰρ τούτων δύναται ὑπὲρ μυρίας χεῖρας,
Καὶ νεῦμα μόνον κατορθοῖ τὰ μέγιστα πολλάκις.
Ὡς γὰρ τὰ δραστικώτατα φάρμακα δι' ὀλίγου
Τὴν βλάβην ἢ ὠφέλειαν ἐνεργεῖ τὴν οἰκείαν,
Οὕτω ῥᾳδίως δυνατοὶ μεγάλα κατορθοῦσι.
Ἀδίκους καὶ φιλοψευδεῖς καὶ δολίους τὴν γνώμην
Μηδόλως ἐξαπατηθῇς (5) κτήσασθαί ποτε φίλους·

vers. 1270

A Οὐ δύνανται γὰρ οὗτοί γε τὸ ἦθος κατευθῦναι.
Κἂν γὰρ τὸ ἦθος ταπεινὸν καὶ χαρίεν ποιῶσι,
Κἂν ἐν τῷ λέγειν εὔνοιαν δεικνύωσι καὶ χάριν
Κἂν ἐν ταῖς χρείαις πρόθυμοι γίνωνται συνεργάται,
Καὶ δαπανῶσι χρήματα καὶ πάντα ὑπισχνῶνται,
Οὐδέν γε τούτων ἀληθὲς οὐδὲ πιστὸν ὑπάρχει,
Ἀλλ' ἔστι περικάλυμμα ψυχικῆς μοχθηρίας,
Καὶ προσωπεῖον φιλικὸν ἐπιτετηδευμένον
Εἰς ἀπάτην καὶ τὴν φθορὰν τῶν ἐξηπατημένων.
Πῶς οὖν ἂν χρῆσθαι δυνηθῇς ὡς φίλῳ τῷ τοιούτῳ,
Εἰ μὲν γὰρ ἀπιστεῖς ἀεὶ καὶ προορᾷς τὸν δόλον,
Μόχθος ἐστὶν ἀνήνυτος καὶ ψυχῆς τρικυμία,
Καὶ ἀγρυπνία λογισμῶν καὶ τηκεδὼν ὀστέων,
Ὥσπερ εἰ ἴζῃς μεταξὺ θηρίων ἀνημέρων.
Εἰ δὲ, θελχθεὶς τῷ πλάσματι τῆς εὐνοίας, πιστεύ-
B [σεις (6),
Εὐθὺς σὺν τῷ δελέατι τὸ ἄγκιστρον ἐπόθη,
Καὶ ἐν τοῖς σπλάγχνοις (7) δέδεξαι τὸν ὄλεθρον
[ἀῤῥάφως.
Πάντων οὖν βλαβερώτατον συνεῖναι τοῖς δολίοις
Εἰ δέ τις κατεπείγει σε χρεία τῶν ἀναγκαίων,
Τοσοῦτον αὐτοῖς σύνεσο, ὅσον (8) πληροῦν τὴν χρείαν,
Εὐθέως δ' ἀποπήδησον, ὡς ὄρνις ἐκ παγίδων.
Πλὴν μηδ' ἐχθρούς γε κτήσασθαι προνοοῦ τοὺς τοι-
[ούτους·
Ὅσον γὰρ ἄχρηστοί εἰσιν οὗτοί γε πρὸς φιλίαν,
Τοσούτῳ δραστικώτατοι γίνονται πρὸς τὰς ἔχθρας.
Ἄκρατον γὰρ ἐχεῖθουσι τὸν ἰὸν παραυτίκα,
Καὶ οὐ ῥᾳδίως παύονται τοὺς πέλας ζημιοῦντες,
Ἀλλὰ πηγάζουσιν ἰὸν ἐκ μιᾶς καρδίας,
C Καὶ προστιθέασιν ἀεὶ ταῖς πρώην κακουργίαις·
Ἀνέκλειπτον γὰρ βλύζουσι ῥεῦμα θανατηφόρον
Οὐκ ἐνόντος (9) τοῦ κρείττονος ῥεύματος ἐν καρδίᾳ.
Μὴ μόνους δ' εὐλαβεῖσθαι (10) χρὴ τοὺς φαύλους
[ἐχθροὺς κτᾶσθαι,
Ἀλλὰ μηδ' ἄλλον ὁπωσοῦν, εἰ δυνατὸν, τῶν πάντων.
Ἐχθρὸς γὰρ μεῖζόν γε κακὸν ἢ ἀγαθὸν ὁ φίλος,
Ὅτι πρὸς ἔχθραν πέφυκε μᾶλλον ἢ πρὸς φιλίαν
Ῥέπειν τὸ γένος πάντοτε φυσικῶς τῶν ἀνθρώπων·
Ἴσην οὖν τείνειν τὴν σπουδὴν πρός τε τῶν φίλων
[κτῆσιν
Καὶ πρὸς ἀπόκτησιν ἐχθρῶν καὶ τὸ μηδόλως ἔχειν.

Φιλίας μέντοι γένεσις διὰ τριῶν ὑπάρχει,
D Ἡδέος καὶ συμφέροντος καὶ τοῦ καλοῦ ἐν κρίσει.
Ὃν γάρ τις ἀποδέξαιτο κρίνων, φιλεῖ γε τοῦτον,
Καὶ ᾧ συνεῖναι τέρπεται καὶ συνδιημερεύειν,
Καί γε τὸν χρησιμεύοντα πρὸς τὰς τοῦ βίου πράξεις.
Καλὸς οὖν εἶναι σπούδαζε τῶν ἀρετῶν σῇ κτήσει (11),
Φρονήσεως δὲ μάλιστα, καὶ ζηλωτὸς γενήσῃ·
Χρήσιμος δ' ἔσο βοηθῶν, ὡς δυνατὸν, τοῖς πᾶσι·
Ἡδὺς δ' ἂν πᾶσι γένοιο κατὰ τόνδε τὸν τρόπον·

vers. 1316

(1) Man. φιλίαν.
(2) Titre : Περὶ τοῦ ἐκλέγειν φίλους φρονίμους καὶ σπουδαίους.
(3) Man. οὐ μέν.
(4) Man. πάντων.
(5) Peut-être ἐξαπατηθεὶς.
(6) Man. λεχθεὶς — πιστεύσας.
(7) Man. σπλάγχης.
(8) Man. ὅσοῦν.
(9) Man. ἔχοντος.
(10) Man. δὲ βλαβεῖσθαι.
(11) Peut être τῇ κτήσει.

Πρᾶος ἔσο καὶ ταπεινὸς σὺν μεγαλοφροσύνῃ,
Τοῖς πᾶσιν εὐπροσήγορος, εὔφημον φέρων στόμα,
Τιμητικὸς (1), εὐνοϊκὸς, ἐπιεικὴς ἐν πᾶσι·
Ὄφλημα γάρ τι φυσικὸν τοῖς πᾶσι παρ' ἀλλήλων
Ὀφείλεται ἡ εὔνοια καὶ τιμῆς τὸ προσῆκον.
Οὕτως ἂν φίλους κτήσαιο καὶ φυλάξαι δυνήσῃ·
Δι' ὧν γὰρ γίνεθ' (2) ἕκαστον, δι' αὐτῶν καὶ τηρεῖται·
Ἔχθρας δὲ γένεσίς ἐστι διὰ τῶν ἐναντίων,
Ἀνιαρῶν συνεῖναί τε, καὶ αἰσχρῶν, ἀσυμφόρου (3).
Αἰσχρὸν ποιεῖ κακία δὲ ψυχῆς καὶ μοχθηρία·
Νόσος γάρ τίς ἐστι ψυχῆς ἠθῶν ἀναρμοστία·
Μάλιστα δ' αἰσχιστόν ἐστιν ἐκ πάντων ἀφροσύνη,
Σκότος ὑπάρχουσα ψυχῆς καὶ τοῦ νοὸς τυφλότης.
Ἀσύμφορος δ' ὁ βλαπτικὸς, εἴθ' ἑκὼν εἴτε ἄκων.
Ἀνιαρὸ; δὲ γίνεται πᾶσιν ἐν τῷ συνεῖναι
Ὁ ὑπερόπτης, ἁφαιρῶν τιμὰς τὰς προσηκούσας
Καὶ ὀργίλος, καὶ (4) πληκτικὸς ὑπάρχων τῶν συν-
[όντων,
Ἐλέγχων, τιμωρούμενος, βάλλων ταῖς λοιδορίαις,
Φιλογεικῶν, ζυγομαχῶν, ἐρίζων ἐπὶ πᾶσι·
Ἔτι δ' ὁ σκυθρωπαστικὸς καὶ κατεστυγνασμένος·
Δοκεῖ γὰρ οὐκ εὐνοϊκὸς, ἀλλὰ μισάνθρωπός τις.
Ταῦτα φιλίας ῥήγνυσι καὶ τὰς ἔχθρας ἐντίκτει·
Εὔνοια γὰρ ἀντεύνοιαν γεννᾷ, καὶ, τἀναντία,
Ἡ δύσνοια τὴν δύσνοιαν γεννᾷ φυσικῷ λόγῳ·
Καὶ φρόνημά γε ταπεινὸν ταπείνωσιν ἐντίκτει,
Τὸν δ' ὑπερόπτην ἅπαντες ἀντικαταφρονοῦσι·
Ἠτιᾶσθαι γὰρ οὐ θέλουσι καὶ τιμᾶν ἀκουσίως·
Δουλείαν γὰρ νομίζουσι τοῦτο καὶ τυραννίδα,
Καὶ καταφρόνησιν σαφῆ αὐτῶν καὶ ἀτιμίαν·
Πάντες δ' αἱροῦνται φυσικῶς τιμᾶσθαι καὶ φιλεῖσθαι.
Ὥσπερ δ' ἐκών τις χρήματα χαρίζεται προθύμως
Ἀντὶ χρημάτων κτώμενος τὴν ἀρετὴν ἡδέως,
Εἰ δ' ἄκων μνᾶν ἀφαιρεθῇ πρὸς ἅμυναν ὁρμᾶται·
Οὕτω καὶ δίδωσι τιμὰς ἑκών γε πᾶς ἀφθόνως,
Εἰ δ' ἄκων τοῦτ' ἀπαιτηθῇ ὡς χρέος, οὐ παρέχει.
Συμβαίνει δὲ καὶ ἕτερον ἐν τοῖς ὑπερηφάνοις·
Οὐ μόνον γὰρ τιμῆς αὑτοὺς μείζονος ἀξιοῦσιν,
Ἀλλὰ καὶ τὴν προσήκουσαν τοὺς ἄλλους (5) ἀφαι-
[ροῦνται·
Ἐν γὰρ τῷ μὴ τιμᾶν αὐτοὺς πάντως καταφρονοῦσι.
Διὸ οἱ παρορώμενοι διχόθεν ἀνιῶνται,
Τὸ μὲν, ὡς ἀπαιτούμενοι ὡς χρέος τὸ μὴ χρέος.
Τὸ δ', ὡς ἀπαστερούμενοι τιμῆς τῆς προσηκούσης.

Διάκρινέ μοι συνετῶς τοὺς κόλακας τῶν φίλων.
Ἔστι δ' ὁ κόλαξ μιμητὴς φιλίας, ἀλλ' οὐ φίλος,
Πάντα σοι χαριζόμενος καὶ σπουδάζων ἀρέσαι,
Καὶ πάντ' ἐγκωμιάζων σου κακά τε καὶ βελτίω,
vers. 1362

(1) Man. τιμικός.
(2) Man. γίνεσθ'.
(3) Peut-être κάσυμφόρου.
(4) J'ai ajouté le second Καί.
(5) Man. τοὺς ἄλλον.
(6) Man. οὐ τοῦτο. On pourroit aussi corriger, Καὶ τοῦτο.
(7) Man. τὸν φίλον.
(8) C'est la pensée d'Antisthène dans Stobée (*Flor.* xiv, 17) : Ἀντισθένης αἱρετώτερόν φησιν εἰς

A Οὐ τὸ συμφέρον σοι σκοπῶν, ἀλλ' ἡδονὴν διώκων,
Αὐτοῦ τὸ (6) τέλος θέμενος ὅπως ἡδύνειέ σε·
Τῶν σῶν γὰρ οὐ περφρόντικεν οὐδὲν ὅπως ποθ' ἕξει,
Ἀλλ' ἑαυτοῦ περφρόντικεν ἡδονῆς τε καὶ κέρδους,
Καί σοι πορίζων ἡδονὰς ἀντιλαμβάνει κέρδη.
Φεῦγε τὸ φίλτρον (7) τοιγαροῦν τῶν μιαρῶν κολά-
[κων.
Κόρακες γὰρ ἐσθίουσι σώματα τεθνεώτων·
Οἱ κόλακες δὲ τοὺς ζῶντας δαρδάπτουσιν ὡς κύ-
[νες (8).
Καὶ, ἕως μὲν ἂν εὐτυχῇς, ὄχλον ἕξεις κολάκων·
Εἰ δὲ συμβῇ μεταπεσεῖν τὸν πλοῦτον εἰς πενίαν,
Οἷα πολλὰ πεττεύεται (9) τῇ πολυστρόφῳ τύχῃ.
Εὐθὺς πάντες ἀφίστανται καὶ ἔρημον ἐῶσι.
B Οὐ χρείαν θεραπεύοντες, οὐ λόγου κοινωνοῦντες.
Οὐ συναλγοῦντες ὁπωσοῦν, ἀλλ' ἐγγελῶντες μᾶλλον,
Καὶ πρὸς ἑτέραν τράπεζαν ταχὺ μεταπηδῶντες.
Πλουσίων ὄντες (10) θωπευταὶ, πενήτων δ' ὑπερόπται.
Τῷ φιλικῷ μὲν πλάσματι τοὺς ἄφρονας αἱροῦντες,
Καὶ καταγαπεύοντες ψευδέσιν ἐγκωμίοις,
Φρονίμους δ' ἀπατρόπαιοι καὶ μιαροὶ δοκοῦντες.
Τοὺς μέντοι κρίσει λογισμῶν ψέγοντας ἢ αἰνοῦντας.
Τούτους μοι στέργ' (11) ὡς ἀληθεῖς τὴν γνώμην καὶ
[δικαίους.
Καὶ, εἴπερ θέλεις ἀληθῶς γενέσθαι τῶν σπουδαίων,
Ἀγάπα τοὺς ἐλέγχοντας, καὶ δίδου τούτοις χάριν.
Ἔλεγχος γάρ ἐστι ψυχῆς νοσούσης θεραπεία,
Καὶ φάρμακον καθαρτικὸν ψυχικῆς σηπεδόνος.
Ὁ δὲ μισήσας ἔλεγχον ἀπέτυχεν ὑγείας·
C Ψυχὴ γὰρ ἀνουθέτητος ἀθεράπευτος πέλει.
Ὃς δ' ἂν τοῦ εἶναι τὸ δοκεῖν προτιμότερον ἄγει,
Καὶ θέλγεται τοῖς ἑαυτοῦ ψευδέσιν ἐγκωμίοις,
Προστίθησι τοῖς ἕλκεσι καὶ συναύξει τὴν νόσον.
Καὶ οὐκ αἰσθάνεται χωρῶν εἰς ὄλεθρον προδήλως.
Σοὶ δὲ τὸ εἶναι τοῦ δοκεῖν ὀρθῶς προτιμητέον,
Καὶ λόγων θεραπευτικῶν φέρε δηγμὸν ἀσμένως.
Ἐπαίνων δὲ τὴν ἡδονὴν ὡς φθαρτικὸν ἐκτρέπου.

Τοιοῦτον πάρεχε σαυτὸν τοῖς σοῖς φίλοις ἐν πᾶσιν,
Οἷους ἂν εὔξαιο πρὸς σὲ τούτους εἶναι δικαίους.
Εὐημεροῦσι σύγχαιρε τοῖς φίλοις, ὥσπερ θέμις,
Σὴν εὐτυχίαν τὴν αὐτῶν οἰόμενος εὐλόγως·
Κοινὰ γὰρ φίλοις πέφυκε παθήματα καὶ τύχαι·
D Ἐν δὲ τοῖς δείπνοις τοῖς αὐτῶν καὶ ταῖς φιλοφρο-
[σύναις,
Ἐὰν κληθῇς, μὴ πορευθῇς· κολακικὸν γὰρ τοῦτο·
Αἰσχρὸν γὰρ σπεύδειν εὐπαθεῖν καὶ φιλαυτίας
[πλῆρες.
Ἐν δὲ τοῖς δυστυχήμασι καὶ συμφοραῖς τῶν φίλων,
vers. 1405

κόρακας ἐμπεσεῖν ἢ εἰς κόλακας· οἱ μὲν γὰρ ἀπο-θανόντος τὸ σῶμα, οἱ δὲ ζῶντος τὴν ψυχὴν λυμαί-νονται.
(9) Constantin Manassès a la même métaphore dans sa *Chronique*, p. 45 :
*Τροχοῦ δ' ἡ ἀστατος φορὰ καὶ ὁ πεττὸς τῆς τύ-*
[*χης*
*Κακῶς τῷ Δομετιανῷ τὸ κράτος ἐγχειρίζει.*
(10) Manuscrit : ὄτες.
(11) Man. μὴ στέργ'.

Παραυτίκα το εύθητι, μὴ περιμένων κλῆσιν,
Συνδυστυχεῖν οἰόμενος καὶ συναλγῶν γνησίως,
Λόγῳ τὸ βάρος τῆς αὐτῶν ὀδύνης ἐλαφρύνων,
Καὶ συνεργῶν ἐν ἅπασι σπουδαίως καὶ προθύμως,
Λεγων καὶ πράττων ἅπαντα πρὸς τὸ αὐτοῖς συμ-
[φέρον.
Ἂν αἴσθῃ σοῦ δεόμενόν τινας τῶν αὖν τὸν φίλον,
Μὴ περιμείνῃς αἴτησιν, ἀλλὰ προθάσας δίδου·
Ἴσως γὰρ αἰσχυνόμενος τῆς ἀναγκαίας χρείας (1).
Αἶνει τὰ κατορθώματα τῶν φίλων σου προθύμως,
Τὰ δέ γε διαπτώματα συγκάλυπτε καὶ κρύπτε.
Ἂν δέ τι τούτων γένηται δῆλόν τισι τῶν ἔξω,
Σὺ διὰ λόγων πιθανῶν συσκίαζε τὸ πρᾶγμα·
Μᾶλλον γὰρ δεῖ σε (2) τῆς δόξης φροντίζειν τῆς τῶν
[φίλων
Ἢ τῆς αὐτοῦ· γνησίας γὰρ φιλίας τοῦτο δεῖγμα.
Νουθέτει δ' ἁμαρτάνοντα τὸν φίλον κατ' μόνας,
Μετὰ πραότητος ὁμοῦ καὶ δήξεως καρδίας,
Ὡς ἐπαλγῶν τοῖς οὐκ ὀρθῶς ἐκείνῳ πεπραγμένοις·
Κἂν ἀγνοῇ ἡμαρτηκώς, δίδασκε σαφεῖ λόγῳ.
Μὴ πάντα δὲ τὰ σφάλματα πειρατέον ἐλέγχειν
(Βαρὺ γὰρ τοῦτο κἀηδὲς, καὶ λύει τὴν φιλίαν)
Ἀλλὰ τὰ βλάβην φέροντα καὶ δύσκλειαν μεγάλην·
Εἰ μὴ γὰρ ἀλγεῖ πεπραχὼς (3) καὶ διορθοῦσθαι
[σπεύδει·
Τότε γὰρ ἥκιστά σε χρὴ κεχρῆσθαι νουθεσίᾳ.
Μὴ πίστευε διαβολαῖς εὐκόλως κατὰ φίλων·
Κουφότης γὰρ τὸν ἐν πολλῷ χρόνῳ δοκιμασθέντα
Λόγῳ ψιλῷ πειθόμενον ὡς ἄφιλον ἡγεῖσθαι·
Μᾶλλον δ' ἔτι κουφότερον πιστεύειν ὑπονοίαις,
Κἂν π.θανῶς συμβάλλωνται πρὸς ἓν συμμαρτυ-
[ροῦσαι.
Οὐ χρὴ γὰρ κατὰ φανερῶν καὶ ἀποδεδειγμένων
Τοῖς ἀορίστοις πείθεσθαι λόγοις καὶ τεκμηρίοις.
Μήτε δ' ἐν ἄλλοις πίστευε ῥᾳδίως τοῖς τοιούτοις·
Δυσεύρετον γὰρ τἀληθὲς ἐν τοῖς πρακτοῖς ὑπάρχει,
Καὶ τύχη φέρει πλείονα δοκοῦντα τῶν εἰκότων,
Καὶ παρ' ἐχθρῶν συντίθεται πανούργως τὰ τοιαῦτα,
Οἷς ὁ πεισθεὶς τοῦ δέοντος εὐθὺς ἐξαμαρτάνει.
Διὸ πολλῆς ἐρεύνης δεῖ καὶ πλείστης ἀγχινοίας
Πρὸς ἀληθείας εὕρεσιν, φυγὴν δὲ τῆς ἀπάτης.

Ἡ τοπικὴ διάστασις, κἂν γένηται χρονία,
Μὴ διαλύσῃ τὸν δεσμὸν τῆς ἀκριβοῦς φιλίας.
Ὁ νοῦς γὰρ ἀκριβέστερος εἰς ὅρασιν ὀμμάτων,
Ψυχαὶ δ' ἑνοῦσθαι δύνανται καὶ ἄνευ τῶν σωμάτων.
Συνεῖναι γὰρ τῷ Πλάτωνι καί γε τῷ Σταγειρίτῃ
Δυνάμεθα, κἂν μεταξὺ πολὺς ἔρρευσε χρόνος.
vers. 1448

A Ἀπόντα δ' ἐξεικόνιζε φίλον τῇ φαντασίᾳ,
Καὶ λόγων αὐτοῦ μέμνησο καὶ πράξεων καὶ ἤθους,
Καὶ ὡς παρόντα τῇ ψυχῇ περίβαλλε καὶ φίλει.
Ἀποδημοῦντα γράμμασι τὸν φίλον ἐπισκέπτου,
Καὶ δέχου γράμμα παρ' αὐτοῦ, καὶ ἀντιγράφειν
[σπεῦδε·
Δεινὴ γὰρ φύσις γράμματος σαφῶς διαρθμεῦσαι
Καὶ πράγματα καὶ ῥήματα καὶ ἤθη τε καὶ πάθη,
Καὶ διαθέσεις ψυχικὰς καὶ τύχης περιστάσεις.
Σοφὸς γὰρ ἦν ὁ τὰς φωνὰς τοῖς γράμμασιν ἐν-
[δήσας,
Γραμμὰς ἀψύχους σύμβολα φωνῶν νομοθετήσας.

Τοὺς φίλων παῖδας ὡς τοὺς σοὺς περίεπε καὶ θάλπε·
Γυναῖκας δ' ἱερώτερον πάντων χρημάτων ἔχε,
B Καὶ ὡς γνησίας ἀδελφὰς λογίζου καὶ μητέρας,
Καὶ σέβου πόῤῥωθεν ἑστὼς, ὀλίγα πλησιάζων.
Φίλους φίλων καὶ συγγενεῖς (4) προτίμα τῶν ὀθνείων·
Δεῖ γὰρ αὐτοὺς ὡς φιλικοὺς τῶν ξένων πλέον ἔχειν·
Τὰ τῷ αὐτῷ γὰρ τὰ αὐτὰ ταυτά τε καὶ ἀλλήλοις,
Ὡς ἡ καλλίστη βούλεται σαφῶς γεωμετρία.

Ἂν ἴδῃς ποτὲ κίνδυνον (5), τὰ πράγματα τῶν φίλων,
Ὡς δυνατὸν, βοήθησον, ἕως ἂν περισώσῃς.

Μὴ προτιμήσῃς συγγενεῖς τῶν ἀμωμήτων φίλων·
Αἷματος γὰρ στερρότερον ἡ γνώμη πρὸς φιλίαν·
Ἀδελφοκτόνοι γὰρ πολλοί, ναὶ μὴν καὶ πατροκτόνοι
Γεγόνασι διὰ μικρὰ καὶ ῥέοντα τοῦ βίου·
C Φίλον δ' οὐδεὶς ἀπέκτεινε φιλῶν (6) ταῖς ἀληθείαις,
Ἀλλὰ συνεκινδύνευσαν πάλαι πολλοὶ τοῖς φίλοις·
Ὁρέσται παρεθήτωσαν καὶ θαυμαστοὶ (7) Πυλάδαι.
Εἰ δ' εὑρεθείη συγγενὴς τῆς ἀρετῆς ἐργάτης,
Καὶ γνώμῃ συνῳκείωται καὶ χρόνου συνηθείᾳ,
Οὗτος διπλοῦν ἐπλούτησε δεσμὸν τὸν τῆς φιλίας
Καὶ ἀῤῥαγέστατός ἐστιν εἰς ἅπαντα τὸν βίον.

Φίλων πιστῶν ἀντάλλαγμα οὐκ ἔστιν ἐν τῷ βίῳ,
Οὐδὲ σταθμὸς ὁρίζεται τῆς καλλονῆς τῆς τούτων.
Πλοῦτος καὶ δόξα καὶ τρυφὴ καὶ δυναστείας κράτος,
Συνηθροισμένα ἐς ταυτὸν καὶ εἰς ἓν συγκραθέντα,
Οὐκ ἔστιν ἰσοστάσια τῆς καθαρᾶς φιλίας.
Ἦν ἀρετὴ συνήρμοσε καὶ γνώμης κοινωνία,
Καὶ χρόνος ἐβεβαίωσε διὰ τελείας πείρας,
D Καὶ προσφυῶς συνέτηξε συνήθεια χρονία,
Εἰς σύμπνοιαν κεράσασα καὶ ψυχῶν συμφυΐαν.
Πάντων δὲ σπανιώτατον ἡ τοιαύτη φιλία,
Καὶ ὁ τυχὼν μακάριος τοῦ θείου τούτου δώρου.
vers. 1490

(1) Il manque ici au moins un vers. L'auteur avoit sans doute la pensée qu'a eue Sénèque, *De benef.* II, 1 : *Illud melius occupare, antequam rogemur; quia, cum homini probo ad rogandum os concurrat et suffundatur rubor, qui hoc tormentum remittit, multiplicat munus suum.*

(2) J'ai ajouté σε.

(3) Man. ὁ πεπραχώς.

(4) Man. συγκενεῖς.

(5) Peut-être ἂν ἴδῃς κινδυνεύοντα ou ἂν ἴδῃς ποτ' ἐς κίνδυνον.

(6) Manuscrit, φίλον. On pourroit aussi penser à φίλων ou à φίλοις.

(7) Man. παθέτωσαν καὶ θαυματοί. Je ne réponds pas d'avoir rétabli le verbe employé par l'auteur; mais c'est bien là, je crois, sa pensée.

CIRCA ANNUM MCCCLV

# CATALOGUS

# LIBRORUM MONASTERII INSULÆ PATMI

## SÆCULO XIV

(Mai, *Biblioth. nov. PP.*, tom. VI. — Confectus fuit hic Catalogus regnante Joanne Palæologo, qui anno 1355 floruit; nec liber recentior occurrit.)

### MONITUM.

*In codice Vat.* 1205, *syllabum observabam codicum præcipuorum qui in monasterio quodam insulæ Patmi reverti fuerunt : quorum notitiam gratam fore eruditis existimo. Et quidem ineditorum in hoc syllabo laudatorum partem ego præ manibus habeo. Sed miror præsertim in codice* 8 *commentarium integrum S. Basilii in Job. Nam fragmenta quidem S. Basilii in Job, catena Juniana exhibet : sed ipsum opus magno desiderio requirimus.*

# ΠΙΝΑΞ

## ΤΩΝ ΕΝ ΤΗ ΣΕΒΑΣΜΙΑ ΜΟΝΗ ΤΗΣ ΝΗΣΟΥ ΠΑΤΜΟΥ

### ΑΞΙΟΛΟΓΩΤΕΡΩΝ ΕΥΡΙΣΚΟΜΕΝΩΝ ΒΙΒΛΙΩΝ.

α'. Ἡ πεντάβιβλος τοῦ Μωϋσέως, μετ' ἐξηγήσεως διαφόρων.

β'. Εἰς τὴν Ὀκτώτευχον, καὶ εἰς τὰς Βασιλείας, καὶ εἰς τὰ Παραλειπόμενα ἀπορίαι καὶ λύσεις τοῦ Θεοδωρήτου, καὶ εἰς τοὺς δώδεκα προφήτας ἐξήγησις τοῦ αὐτοῦ.

γ'. Βασιλείου μητροπολίτου νέων Πατρῶν ἑρμηνεία εἰς τοὺς ἑξ καὶ δέκα προφήτας. Ἄρχεται ἡ ἑρμηνεία οὕτως· Ὁ ὑπερούσιος καὶ ἀνενδεὴς Θεός (1).

δ'. Λέοντος Μαγίστρου ἀνθυπάτου ἐπιτομὴ ἑρμηνείας, ὡς ἐν ἀπορίαις, εἰς τὴν Γένεσιν, καὶ εἰς τὰς καθεξῆς βίβλους, ἧς ἡ ἀρχή· Οὐ προτέταχε θεολογίαν. Ὁμοίως καὶ εἰς τὸ κατὰ Ματθαῖον, καὶ εἰς τὰ ἑξῆς Εὐαγγέλια, καὶ εἰς τὰς καθολικὰς Ἐπιστολὰς, καὶ εἰς τὰς Πράξεις ἐπιτιμότατα ἐν ἀπορίαις, ἀπό τε τοῦ Χρυσοστόμου καὶ ἄλλων (2).

ε'. Θεοδωρήτου ἐπισκόπου εἰς τὰ ἀπορούμενα τῆς ἐν τῇ παλαιᾷ θείας Γραφῆς, καὶ Προνοίας λόγοι δέκα.

ς'. Εἰς τὸ Ψαλτήριον, ἐκ τοῦ « Προσέχετε, λαός μου, » ἄχρι τέλους ἐξήγησις διαφόρων.

ζ'. Εἰς τὸν Ἰὼβ ἐξήγησις Βασιλείου, Χρυσοστόμου, Θεοδωρήτου καὶ ἑτέρων· ἄχρι τοῦ, « Καὶ νῦν ἐλάλησε Κύριος λέγων, ἐν τρισὶν ἔτεσι μισθωτοῦ. »

η'. Εἰς τὸν αὐτὸν, τοῦ Βασιλείου μόνου ἐξήγησις.

θ'. Εἰς τὴν Σοφίαν τοῦ Σολομῶντος ἐξήγησις Ματθαίου βασιλέως τοῦ Καντακουζηνοῦ (3).

ι'. Ἐπιτομὴ ἑρμηνείας εἰς τὴν Ἔξοδον ἀπὸ διαφόρων Πατέρων, ἐν ἀπορίαις, ἧς ἡ ἀρχή· Πῶς νοητέον.

ια'. Εἰς τὸ Ψαλτήριον διαφόρων ἐξήγησις, ἄχρι τοῦ, « Προσέχετε, λαός μου. »

ιβ'. Χρυσοστόμου εἰς τὸ Ψαλτήριον, ἄχρι τοῦ, « Προσέχετε. »

ιγ'. Εἰς τὸ κατὰ Ματθαῖον καὶ κατὰ Ἰωάννην Εὐαγγέλιον τοῦ Χρυσοστόμου ἐξήγησις.

ιδ'. Εἰς τὸ κατὰ Ματθαῖον ἐξήγησις διαφόρων, αἱρετικῶν τε καὶ ὀρθοδόξων· ἡ ἀρχή· Οὐ πλείονα

(1) Hujus operis prologus mox a nobis vulgandus est. (*Vide tom. CXI.* Edit. Patr.)

(2) Harum eclogarum particulam nos infra proferemus, nempe quæ complectitur primum Geneseos capitulum.

(3) Hujus inediti operis Cantacuzeni excerpta identidem nos recitavimus in adnotationibus ad S. Nicephori Antirrheticos adversus Copronymum. (*Vide tom. C et CLIV.*)

τὸν ἀριθμόν. Καὶ εἰς τὸ κατὰ Μάρκον ἐξήγησις Βίκτωρος τινὸς Ἀντιοχέως θύτου· ἄρχεται οὕτως· Πολλῶν εἰς τὸ κατὰ Ματθαῖον. Καὶ εἰς τὸ κατὰ Λουκᾶν ἐξήγησις Τίτου ἐπισκόπου Βόστρων, ἧς ἡ ἀρχή· Ἰστέον, ὅτι τὸ κατὰ Λουκᾶν.

ιε'. Εἰς τὰ τέσσαρα Εὐαγγέλια συνοπτικὴ ἐξήγησις, ἧς ὁ ἑρμηνεὺς ἀνεπίγραφος· ἔχει δὲ τοιάνδε ἀρχήν· Εὐαγγέλιον ἦδε ἡ βίβλος λέγεται.

ις'. Μακαρίου Φιλαδελφείας τοῦ Χρυσοκεφάλου εἰς τὸ κατὰ Ματθαῖον, ἀπὸ τοῦ, « Εἰσελθόντι τῷ Ἰησοῦ εἰς Καπερναούμ· » οὗ ἡ ἀρχή· Δεύτερον δὲ τοῦτο βιβλίον (4).

ιζ'. Ἐξήγησις συνοπτικὴ ἀπὸ τοῦ, « Προσέχετε, λαός μου, » εἰς τὸ Ψαλτήριον, καὶ τοῦτο ἀνεπίγραφον.

ιη'. Εἰς τὰς Ἐπιστολὰς (Παύλου) ἐξήγησις, ἄνευ ἀρχῆς καὶ τέλους· ἔχει δὲ ἐξήγησις εἰς τὸ, « Ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα· » τοιαύτην μετ' εὐχήν, πάλιν παραινεῖ καὶ ἐκμειλίσσεσθαι.

ιθ'. Τοῦ Χρυσοστόμου εἰς τὰς Ἐπιστολὰς τοῦ αὐτοῦ, καὶ εἰς τὰς Πράξεις.

κ'. Ἰωάννου τοῦ Δαμασκηνοῦ εἰς τὰς Ἐπιστολὰς (Παύλου) ἐξήγησις.

κα'. Ἀθανασίου Ἀλεξανδρείας κατὰ Ἀρείου καὶ Ἀπολλιναρίου λόγοι διάφοροι· ὧν ὁ πρῶτος οὑτωσί πως ἄρχεται· Οἱ κακοτέχνως τὰς θείας Γραφάς.

κβ'. Ἐπιστολαὶ τοῦ Χρυσοστόμου πρὸς τὴν Ὀλυμπιάδα.

κγ'. Περὶ κατασκευῆς ἀνθρώπου, καὶ εἰς τοὺς μακαρισμοὺς ἐξήγησις, καὶ εἰς τὸ « Πάτερ ἡμῶν, » τοῦ Νυσσαέως Γρηγορίου.

κδ'. Ἐπιστολαὶ Γρηγορίου τοῦ Θεολόγου, τὸν ἀριθμὸν σογ'· ὧν ἡ ἀρχή· Εἰ μετοπώρῳ.

κε'. Ἰσιδώρου τοῦ Πηλουσιώτου ἐπιστολαὶ περὶ τὰς υ', ἀρχόμεναι ἀπὸ τῶν χ' ἄχρι τῶν φ'.

κς'. Ἐπιστολαὶ Νικολάου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, ὧν ἡ ἀρχή· Πᾶσα ἐπίγειος ἐξουσία (5).

κζ'. Ἐπιστολαὶ τινῶν μοναχῶν, ὧν ἡ ἀρχή· Ἐπιστολὴ τινὸς Μιχαὴλ μοναχοῦ καὶ διακόνου, ἧς ἡ ἀρχή· Οἶδα, πάτερ.

κη'. Ἀλεξίου Κομνηνοῦ τοῦ βασιλέως δογματικὴ Πανοπλία συλλεγεῖσα ἔκ τε τῆς θείας Γραφῆς καὶ διδασκάλων τινῶν, ἧς ἡ ἀρχή· Καὶ πάντα μὲν τὰ κατορθώματα (6).

κθ'. Τοῦ ἐπὶ Κανικλείου κυροῦ Ἰωάννου τοῦ Σκυλίτζη διάφοροι λόγοι φιλοσοφικοί, καὶ ἄλλοι θεολογικοί, ὧν ἡ ἀρχή· Περὶ κόσμου καὶ τῆς κατ' αὐτὸν φύσεως. Καὶ τινες αὐτοῦ ἐπιστολαί.

λ'. Νεμεσίου ἐπισκόπου Περὶ φύσεως ἀνθρώπου, εἰς κεφάλαια μγ, οὗ ἡ ἀρχή· Τὸν ἄνθρωπον ἐκ ψυχῆς. Καὶ Ἑρμείου φιλοσόφου διασυρμὸς τῶν ἔξω σοφῶν. Καὶ τοῦ ἁγίου ἱερομάρτυρος Μεθοδίου Πατάρων Συμπόσιον περὶ ἁγνείας. Καὶ διαφόρων ἑρμηνεῖαι Γραφῶν· οὗ ἡ ἀρχή· Εὐκαιρότατα ἐπέστης.

λα'. Ἰωάννου διακόνου τῆς Μεγάλης Ἐκκλησίας βιβλίον, οὗ ἡ ἀρχή· Ὅτι ὁ Θεὸς δι' ἀγαθότητα μόνον. Διαιρεῖται εἰς βιβλία γ'· εἰς μὲν τὸ πρῶτον διαλαμβάνει, τίς ὁ σκοπὸς τῷ Θεῷ τῆς πρώτης τοῦ ἀνθρώπου πλάσεως, καὶ τῆς διὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ, διὰ μαρτυριῶν διαφόρων· εἰς δὲ τὸ δεύτερον, περὶ τοῦ δευτέρου Ἀδὰμ τοῦ Χριστοῦ, καὶ τῆς κατ' αὐτὸν ζωῆς καὶ πολιτείας· καὶ εἰς τὸ τρίτον, περὶ τῶν ἐπὶ Χριστοῦ λεγομένων τρόπων (7).

λβ'. Περὶ τῶν δέκα πρὸς τὴν Πρόνοιαν ἀπορημάτων, πόνημα Ἰσαακίου τοῦ σεβαστοκράτορος, οὗ ἡ ἀρχή· Εἰ πάντων ἐστὶν ἡ Πρόνοια.

λγ'. Τοῦ ἁγίου Ἀναστασίου ἀποκρίσεις πρός τινας ἐπενεχθεῖσας αὐτῷ ἐρωτήσεις, ὧν ἡ ἀρχὴ λείπει.

λδ'. Θεολογικαὶ πεύσεις προαχθεῖσαι παρὰ διαφόρων Καισαρίῳ τῷ ἀδελφῷ Γρηγορίου τοῦ Θεολόγου, ὧν ἡ ἀρχή· Οἱ τὴν μεγάλην καὶ εὐρύχωρον. Περιέχουσι διαφόρους θεολογικὰς ὑποθέσεις εἰς ἐρωταποκρίσεις σκα'.

λε'. Γρηγορίου τοῦ Νύσσης περὶ κατηχήσεως λόγος, οὗ ἡ ἀρχή· Ὁ τῆς κατηχήσεως λόγος. Καὶ κατ' Εὐνομίου ἐν κεφαλαίοις, οὗ ἡ ἀρχή· Οὐκ ἦν ὡς ἔοικε.

λς'. Νικήτα Σερρῶν εἰς τοὺς τοῦ Γρηγορίου Ἐκκλησίᾳ ἀναγινωσκομένους λόγους ἐξήγησις.

λζ'. Τοῦ αὐτοῦ εἰς τὰ δ' Εὐαγγέλια ἐξήγησις.

λη'. Ἡ Ἑξαήμερος τοῦ Χρυσοστόμου, καὶ ἕτεροι λόγοι πλεῖστοι καὶ διάφοροι, περὶ Εἱμαρμένης καὶ Προνοίας.

λθ'. Ἡ Ἑξαήμερος τοῦ Βασιλείου, καὶ ἄλλοι λόγοι, καὶ εἰς Ψαλμοὺς μερικοὺς ἐξήγησις.

μ'. Εἰς τὴν Ἀποκάλυψιν τοῦ Θεολόγου ἐξήγησις· ὁ ἑρμηνεὺς ἀνεπίγραφος· γέγραπται δὲ ἐν τῇ ἀρχῇ τῆς ἐξηγήσεως, ὅτι τινὲς φασὶ τήνδε τὴν ἑρμηνείαν εἶναι Γρηγορίου τοῦ Νύσσης, ἄλλοι δὲ Ἀνδρέου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας.

μα'. Διονυσίου περὶ οὐρανίας ἱεραρχίας, οὗ ἡ ἀρχή· Πᾶσα δόσις ἀγαθή.

μβ'. Συμεὼν τοῦ νέου θεολόγου λόγοι θεολογικοί, ὧν ἡ ἀρχή· Τὸ περὶ τοῦ Θεοῦ λέγειν (8). Καὶ οἱ ὕμνοι αὐτοῦ διὰ στίχων διαφόρων.

μγ'. Συναγωγὴ ἀποριῶν καὶ ἐπιλύσεων ἐκλεγεῖσα ἐν ἐπιτόμῳ ἐκ τῆς εὐαγγελικῆς συμφωνίας τοῦ ἁγίου Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων, ἐν κεφαλαίοις, ὧν ἡ ἀρχή· Τίνι λόγῳ ἀρξάμενος (9).

(4) Hoc quidem opus ad Matthæum, quod in Anglia servatur, in nostram potestatem non venit; sed tamen aliorum Chrysocephali scriptorum lauta excerpta protulimus in adnotationibus ad S. Nicephori Antirrheticos. (*Vide ibid.*)

(5) Edidimus nos has Nicolai I patriarchæ egregias epistolas n. 163, in Spicilegio Romano T. X. (*Vide tom. CXI.*)

(6) Imo ex hoc initio apparet, hanc esse Panopliam editam Euthymii Zygabeni, quæ jussu Alexii imp. scripta fuit. (*Vide tom. CXXX.*)

(7) Hujus item operis, quod est luculentissimum, initium saltem nos modo exhibebimus. (*Vide tom. CXL.*)

(8) Exstant Latine hi Simeonis Theologi junioris sermones. Vidimus nos etiam Græce in Vat. codicibus. (*Vide tom. CXX.*)

(9) Exstat hujus consonantiæ evangelicæ Hesychii

μδ'. Διάλεξις Ἰουδαίου καὶ Χριστιανοῦ πραχθεῖσα ἐν τῷ καιρῷ τοῦ ἁγιωτάτου Κυρίλλου Ἀλεξανδρείας, ἧς ἡ ἀρχή· Τῆς ἐπιφανείας (10).

με'. Νόμος βασιλικὸς Βασιλείου, Κωνσταντίνου καὶ Λέοντος, οὗ ἡ ἀρχή· Τὸν μέγαν καὶ φύσει ἀληθῆ Θεόν.

μς'. Συγγραφικαὶ ἱστορίαι Γεωργίου τινὸς, Κωνσταντινοπολίτου μὲν τὸ γένος, ἀνατεραφέντος δὲ ἐν Νικαίᾳ· ἱστοροῦνται δὲ αἱ πράξεις τῶν Παλαιολόγων βασιλέων ἄχρι Ἰωάννου τοῦ Παλαιολόγου καὶ βασιλέως.

μζ'. Διοδώρου Σικελιώτου βιβλίον ια', ιβ', ιγ', ιδ', ἱστορικὸν, οὗ ἡ ἀρχή· Ἡ μὲν οὖν πρὸ ταύτης βίβλος.

μη'. Χρονογράφος διὰ στίχων πολιτικῶν ἀπὸ κτίσεως κόσμου, Νικηφόρου τινός· οὗ ἡ ἀρχή· Ἡ φιλόῦλος ψυχή. Ἐν τῷ τέλει δὲ τούτου ἐστὶ τις διάλεξις Πύρρου καὶ Μαξίμου τοῦ ὁμολογητοῦ περὶ ὀρθῶν δογμάτων, οὗ ἡ ἀρχή· Παρασημείωσις τῆς γενομένης.

μθ'. Εὐαγρίου τοῦ σχολαστικοῦ Ἐκκλησιαστικῆς Ἱστορίας, διεφθαρμένον λίαν.

ν'. Θεοδωρήτου Ἐκκλησιαστικῆς Ἱστορίας· καὶ τοῦτο διεφθαρμένον λίαν.

να'. Μαξίμου φιλοσόφου βιβλίον ἄνευ ἀρχῆς· περιέχει δὲ ἐν ἀρχῇ λέξεις τινὰς α', β', ἃς ἐξηγεῖται δι' ὁρισμῶν· ἐν τῷ τέλει δὲ διαφόρους θεολογικὰς ὑποθέσεις καὶ ἐξηγήσεις.

νβ'. Μάρκου μοναχοῦ λόγοι διάφοροι μοναχικῆς τάξεως.

νγ'. Γρηγορίου τοῦ Διαλόγου διάλογοι μετὰ Πέτρου τοῦ αὐτοῦ μαθητοῦ· λείπει ἡ ἀρχή· ἔχει δὲ ἀπὸ τοῦ, Πέτρος· ἀρέσκει δ λέγεις. Γρηγόριος· ἀνὴρ τις εὐλαβής.

νδ'. Ξενοφῶντος Κύρου παιδείας πρῶτον, οὗ ἡ ἀρχή· Ἔννοιά πού θ' ἡμῖν ἐγένετο· οὐκ ἔχει τέλος.

νε'. Λόγοι Σωκράτους, ὧν ἡ ἀρχή· Εὐθύφρων, ἦ περὶ ὁσίου. Τί νεώτερον, ὦ Σώκρατες· ἄχρι τοῦ Μένων, ἢ περὶ ἀρετῆς ἔχεις μοι εἰπεῖν.

νς'. Εἰς τὸ Ὄργανον ἐξηγήσεις διάφοροι. Εἰς τὰ πέντε φωνάς, καὶ εἰς τὰς Κατηγορίας, τοῦ Ἀμμωνίου. Εἰς τὸ Περὶ ἑρμηνείας παράφρασις τοῦ Ψελλοῦ, ἧς ἡ ἀρχή· Πρὸ τῆς ἀκριβοῦς ἐκθέσεως. Τοῦ γραμματικοῦ Ἰωάννου σχολικαὶ ἀποσημειώσεις ἐκ τῶν συνουσιῶν Ἀμμωνίου. Εἰς τὸ πρῶτον τῶν προτέρων Ἀναλυτικῶν, τῶν εἰς τὰ τρία, τὰ πρῶτον· οὗ ἡ ἀρχή· Ἤδη μὲν ἡμῖν ἐν τοῖς προλαβοῦσιν εἴρηται. Τοῦ Φιλοπόνου εἰς τὰ λοιπὰ τῶν προτέρων. Τοῦ Θεμιστίου τῶν ὑστέρων παράφρασις. Τοῦ Ἐφεσίου εἰς τοὺς σοφιστικοὺς ἐλέγχους. Καὶ τοῦτο διεφθαρμένον λίαν.

νζ'. Ἐξήγησις Νικήτα τοῦ καὶ Δαυὶδ τοῦ φιλοσόφου.

νη'. Ἕτερον βιβλίον β', ἱστορικὸν ἀνεπίγραφον· ἱστορεῖ δὲ ἀπὸ Πομπηΐου Μάγνου, καὶ Γαΐου Ἰουλίου τοῦ Καίσαρος, ἄχρι Νικολάου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως· ἔχει δὲ τοιάνδε ἀρχήν· Ἐξ ἀρχῆς μὲν οὖν, ὡς ἐν τῇ προτέρᾳ βίβλῳ μοι ἱστόρηται.

epitome apud Cotelerium *Monum. Eccl. Gr.* t. III. (*Vide tom. XCIII.*)

(10) Dialogi hujus, Timothei nempe Christiani cum Aquila Judæo, specimen vulgavimus nos in *Spicilegio Rom.* t. IX, Præf. p. 12-13. (*Vide tom. LXXXVI.*)

# INDEX GRÆCITATIS

AD

# NICEPHORI GREGORÆ HISTORIAM BYZANTINAM

*Revocatur lector ad numeros crassiores textui insertos. — Numerus Romanus* (II) *præfigitur cifris quæ ad tomum posteriorem pertinent.*


A

ἄβυσσοι παραινέσεων 814. ἄβυσσοι αἰσχύνης καὶ πυθμένες 904.
ἀγαλματοφορουμένη ἔνδον πρόθεσις 894. φιλίαν ἀγαλματοφοροῦντε II, 544.
ἀγεννησία 513.
ἀγκάλαι γλώττης 772.
ἀγκαλίζεσθαι 1003.
ἀγωνιῶμενοι 487.
ἀδαής 263, 378, 420, 671, 788.
ἀδηλία 845.
ἄδης πρόχειρος 635. ἅδου γαστήρ 645. ῥᾷστον ἐπάγουσιν ᾅδην 852.
ἀετοὶ χρυσοῦφεῖς 79.
ἄζων λέγειν Θεόν 967.
ἀήρ πνέουσι 1105. πρὸς πολὺν τὸν ἀέρα τὸν δροφὰν ἀνάφερον 684, 730. ἐπὶ πλεῖστον ἀνιέναι τοῦ ἀέρος 708.
ἀθανατίζειν 3.
ἀθετηταί II, 114.
ἄθυρμα 404, 547, II, 173.
ἀθωοῦν 489.
αἰδεσιμότης 1070.
αἰθέριοι φλόγες 804. κεραυνοὶ II, 139. λαμπάδες 141; δρόμοι 142.
αἰθεροδρομεῖν 81; II, 239.
αἰσχρότερον 499.
ἀκανόνιστος 957.
ἀκατηγόρητος 506.
ἄκοντος ἑκόντος 442.
ἀκρόνυκτος 376, 619; II, 134.
ἀκρόπολις ἀσφαλείας 757, 804.
θυμηδίας 492. χειλέων II, 240.
ἀκτῖνες unde dicantur II, 408.
ἀκτισία 993.
ἀκτιστᾶται II, 400, 419.
ἀκτιστοάκτιστον 305.
ἄκτιστοι θεότητες 827, 921.

ἀκτιστότης 1141; II, 469.
ἀκτιστόκτιστον II, 305.
ἀλάξευτος 332.
ἀλκυονίτιδες κηνεμίαι II, 130.
ἀλκυών 130.
ἀλλά postpositum 69, 137, 147, 228, 252, 861.
ἀλλήλους ἀλλήλοις II, 145, II, 191, II, 304, II, 428.
ἀλληλουχούμενος σύνδεσμος 372.
ἀλλοτριότροπος 549.
ἅλμη δακρύων 885. λύπης, II, 5.
ἀλμυροὶ λογισμοί 52.
ἀμείβων ἔνατον τῆς ἡλικίας ἔτος 576.
ἀμετάκλωστος 984.
ἀμνημοσύνη II, 188.
ἀμύσσειν τὴν ἀκοήν 272.
ἀμφιμήτριος ἀδελφός 72, 80, 288.
ἀντιμισθία 1022.
ἀναγκάζειν, suadere 605.
ἀναγύρευσις II, 160.
ἀναθεματισμός 832, 928.
ἀνακαλυπτήρια θύειν 903, 1021.
ἀνακεκαλυμμένως 210, 393.
ἀναμφισβητήσιμος II, 107.
ἀναξαίνειν τὴν συνήθη κακοτροπίαν 599 τὰ σιγηθέντα II, 26.
ἀνάξυρις 116.
ἀναπόπιμον πεπραχότας τὴν μνήμην II, 144, 186.
ἀναπόσπαστα adv. 139, 307, II, 119, 514. sicut ἀνέγκλητα 1023.
ἀνήνυτα 1005. ἀπαραίτητα 872.
ἄφυκτα 933.
ἀναπυρσεύειν φθόνον 994.
ἀνασοβήσεις ἀντιπάλων II, 193.
ἀνασοβεῖ τὴν θύραν τῆς γενέσεως II, 156. μὴ λέγειν II, 356,
ἀνάστα 705.
ἀναστηλῶσαι 202.
ἀναχαλκεύειν, 677, 824, 979, 991.
ἀνέδραστος βάσις 66.
ἀνενέγκλητος 665.
ἀνέορτος 616. ἑορτή 161, 371, II, 109.
ἀνέσπερος 370.
ἄνθρακες οἱ θησαυροί 872. ἄνθρακες λύπης 653. ὀδυνῶν 818. οὐρανίου πυρός 469. οἱ ὑπὲρ τῆς εὐσεβείας 825.
ἀνθρωπομορφῖται II, 400.
ἀνίδρυτοι αἰτίαι 845.
ἀνιόντα εἰς δέκα χιλιάδας χρήματα 694. (ἀναφέρουσα τὸν ἀριθμὸν εἰς ἓξ χιλιάδας 763, 836.
ἀνούσιος 827, 828.
ἀντίδωρον II, 121.
ἀντιμισθία II, 230.
ἀντίποδας καὶ ἀντοίκους 12.
ἀντιπεπόνθησις II, 368.
ἡ ἀντιστράτηγος θρασύτης 50, 321.
ἀντιταλαντεύεσθαι II, 230.
ἀνυπαρξία 209.
ἀξύμβολος 120.
ἀπαρέγγραπτος μάρτυς 580.
ἅπασαι τῶν γυναικῶν 65. θεραπόντων τοσούτους 114.
ἀπειροθάλαττος 339.
ἀπεριγραψία 943, 948, II, 467.
ἀπογνώσειν 850.
ἀπογραφικαὶ ἐμπορίαι 741.
ἀποζειν αγροῦ καὶ σκαπάνης 610.
ἀηδίας 926 δενδροτομίας 858. δυσωδίας 718, 822, 1100. εὐθυμίας 675. θανάτων II, 62. ψυχῆς 1029.
ἀπόκρεω καιρός 303.
ἀποκρύπτειν τὴν γῆν II, 39.
ἀποπτύει τὸ ῥεῖθρον ὁ Νέστος εἰς τὸ πέλαγος 626, 661.
ἀποσπάδες Περσῶν 417.
ἀπροσκόπτως II, 326.
ἀπωρφανισμένα κλάδου παντὸς τὰ δένδρα 624.
ἀριδηλότερον 309.
πρὸς ἄρκτους 117, 375.
ἀρρενομανία II, 228.
ἀρχιδιάκονοι τοῦ βασιλικοῦ κλήρου 130.
ἀρχιεπισκοπὴ 26, 27.
ἀρχιθύτης 550, 557, 776, 892.
ἀσκητήριον 55, 112, 166, 190, 191.
ἐπ' ἀσπίδος καθεσθεὶς ἀναγορεύεται ὁ βασιλεύς 55, 78.
ἀστάχυας στεναγμῶν γεωργεῖς 885.
ἀστόργως ἔχειν πρὸς λοιδορίαν 882.
ἀσωματότης 1143; II, 467.
ἄτερον τοῖν ποδοῖν 435.
ἀτοπήματα 8, 185, 427, 645; II, 143.
ἀτοπίαι 671.
ὁ ἀττικίζων μῦθος 1050; II, 330.
αὐθεντία 689, 716, 761, 782.
αὐθεντικὴ ἁπλότης II, 80. ἀπειλή II, 112. δύναμις 606. οἰκία 519.
αὐθεντικῶς 833, 906.
αὐθημερινὴ δαπάνη II, 511.
αὐθυπόστατον 1063.
αὔλακες αἰσχύνης 848. ἐννοιῶν 762. καρδίας 725, 798. λογισμῶν 850. λόγων 1079. ψυχῆς 992. ψεύδους 980. βαθεῖαι 768, 805.
αὖρα 1044. αὖραι 854.
αὐτογεώργητος 700.
αὐτοδίδακτα τέλη μάχης 632.
αὐτοενέργεια 973.
αὐτοκρατορία 696, 709; II, 216.
αὐτοκρατορικαὶ συνθῆκαι 655.
αὐτοχάλκευτος ποιότης 472. αὐτοχάλκευτον φρόνημα 625. ἦθος II, 239.
αὐτοχειροτόνητος 518, 798, 1130,
αὐτόχθονες λογισμοί 963. τρόποι 979.
αὐχὴν διαπόντιος 844. τοῦ Αἰγαίου 766. τοῦ Πόντου 416, 844, 877, 880, II, 45.
ἀφανείας πῦρ 828.
ἀφορισμός 93, 191, 406 (ἀπὸ Θεοῦ χωρισμός 405).
ἄχρι μιᾶς τινὸς τῆς ἡμέρας ζῆν 614.

B

βαδίζειν πορρωτάτω ἐμπειρίας 661. οὐκ εὔοδα τὰ κατὰ γνώμην 696.
βάραθρον ἀπωλείας 1131.
ἡ βασιλεύουσα 13, 14, 265. ἡ βασιλεύουσα πόλις 124, 678. ἡ βασιλεύουσα τῶν πόλεων 13, 87, 88, 89, 560. ἡ κατὰ πασῶν ἅπαν ἔσχε τὸ κράτος 719.
ἡ βασιλὶς πόλις 6129. τῶν πόλεων 87, 469.
βασκανία ὀφθαλμῶν 674.
βάσκανος ὀφθαλμός 261.
βεβηκυίας γνώμης βεβηκὼς ἔπαινος 432.
Βῆμα 749. βασίλειον 999. δημόσιον 787, 788. τυραννικόν 885. δίκης 772, συγκλήτου 702. βήματος γενομένου 537. ἐξῄει τοῦ βήματος 595.
βιβλιοθήκη ἔμψυχος 272.
βίος ὑγρὸς καὶ ὑποβρύχιος 862.
βλακεῖαι χρημάτων 243.
βλέφαρον νοῦ 325. βλεφάρων στάδιον 774.
βορέαν καὶ νότον ἐγείρας εἰς ἔκπληξιν 90.
βόσκειν βίον διαπόντιον 220. θαλάττιον II, 41, Ταντάλειον 806. τὴν ἐρημίαν II, 130, τοῦ φίλτρου τὴν φλόγα 809, πρεσβυτικὴν τὴν σύνεσιν 675. ἡ τὰ πάντα βόσκουσα λαμπὰς ἡλίου 757, 887, 931; II, 197, 293. ἐλπίδες ἔβοσκον ἡμῶν τὸ ἡδόμενον 801. γένεσιν ἔρωτος βόσκει II, 157.
βουγενῆ ἀνδρόπρωρα 965.
βουλευτήριον γνώμης 804, καρδίας 655, λογισμῶν 964.
πρὸς βουλήσεως 692, 697, 701, 709, 754, 832. κατὰ βούλησιν 879, 883.
τὸ βουλόμενον 54, 131, 137, 299, 319, 786; II, 241.
βραβεύειν 836.
βρασμοὶ θαλάττιοι 694.
βραχεῖαι ἡμέραι i. e. ὀλίγαι 442, 558, 647, 655, 670, 671, 706, 878, 1031; II, 118. ἄρτου βραχέος εἵνεκα II, 225.
βρεφουργεῖν II, 411.
βρίθειν ἁμαρτήμασι II, 1409, πλούτῳ 674. βρίθοντες λογισμοί 862, φόροι 597. βρίθουσα παλάμη 901, 923. βρίθουσαι δεξιαί 545. βρίθοντα καρποῖς ταμιεῖα 811.
Βυζάντιον 100, 133, 146.
ἡ Βυζαντὶς 14, 16, 21, 81, 253. Cf. ἡ Κωνστιαντίνου et ἡ μεγάλη πόλις.
ἡ Βυζαντίων πόλις II, 38, 117.
βυθοδρομῆσαι 492.
βυθοὶ ἀπογνώσεως 413, 541. κακῶν 699. λήθης 565, 975. σιγῆς 1054. φθορᾶς 564.

Γ

γαλακτοτροφεῖν II, 167.
γαλακτοφορούμενα 976.
ἐν γάλαξι κρυπτομένη 819, II, 10. κυοφορουμένη 613.
γεγένηται αὐτὸν κατακεκόφθαι 680, 688, 957. γέγονε τὸν βασιλέα χρῆσθαι 670, 695, 1022, 1119. Cf. διαγέγονε.
γείτονες θανάτου κίνδυνοι 644.
γειτονήματα αἰθέρος 722. ἀνταρκτικά 878.
γέλωτες τύχης II, 214.
γεωργεῖν 209, 1006; II, 36.
γεώργιον ἀρετῆς 718. γεώργια 225, 883.
γῆρας λήθης II, 375.
γλυκέα ὕγρα ἐξ Αἰγύπτου 474.
γλῶσσα ἁβρά 601, ἀκροσφαλής 967, βραχεῖα 946, δημοσία 1025, ἔκδημος 460, κωφή 964, μαιευομένη 802, μεγάλη 476, μεγίστη 194, ναυαγοῦσα 1055, πλατεῖα καὶ

ἀπηγκωμιμένη 100, πλατυτέρα 835. γλώττης παλάμη 170, 308, προπύλαια II, 129, σκῆπτρα 957. γλωσσῶν στρατόπεδον 327. τῇ γλώττῃ δοῦναι τὸν νοῦν 308 διὰ γλώττης ἦν 792. ἐπὶ γλώττης ἦσαν 55, 70.
γλωττοδαίδαλος εὐστομία 696, μάγη 722.
γνόφος 510, 511, 587.
γνωματεύματα 351, 400.
γονυκλισίαι 262, 462.
γραμματοκομισταί 395.
γρύζειν πολέμιόν τι 865.
γυναικαδέλφη 203.
γυναικάδελφος 60.

Δ

δανείζειν λόγους τῷ ἀέρι II, 400.
δανείστρια 901.
δεφναῖος θρίαμβος II, 167.
δειλιῶσα Θεοῦ προστάγματα 923, 939.
δεισαμένη 826.
δεκτός 919, 490.
δέλεαρ τῷ χαλκῷ τῆς ἀσεβείας περικείμενον 970.
δέσποινα 203, 237.
δεσπότης 285, 288, 576.
δεσποτικὴ ἀξία 120, 704, δεσποτικὸν ἀξίωμα 79, 133.
δῆμος κακίας II, 74, μειρακίων 54. ὁ στρατιωτικός 65.
διὰ μιᾶς ὁλκάδος ἀνάγοντες 102, 251.
διαβόσκειν τὸν βίον 45.
διαγέγονεν 687, 916.
διαγρηγορήσαντες 139; II, 98.
διακυβεύειν ἀφροσύνῃ τὸ ζῆν 844.
διαλευκαίνειν 30, 222, 309; II, 406.
ἐκ διαμέτρου II, 54, 56, II, 417, 420, 430.
διαμηνύσασθαι 411, 621, 627, 658.
διανήχεσθαι 804, 862.
μέχρι διαπαντός 65, 339.
διαπερονᾶσθαι ἀλγηδόσι 140.
διαπεττεύειν τὸν χρόνον 233.
διαπορθμεῦσαι τὴν προσηγορίαν 32.
διαπρύσιος ἑρμηνεύς 923, κῆρυξ 613.
δίαυλος ἀσκητικός 55. δίαυλοι λόγων 162, 166, 170.
διενεργεῖν 552.
διέχεια βάθους 847, ἐπάλξεων II, 48.
δέδωκε φέρων οἰκεῖν ἑαυτόν 784.
διηνεκεῖς τριήρεις 317, ἱππεῖς 25. διηνεκὴς δύναμις 663.
διθεῖα 921.
διιθύνειν 55. συνδιιθύνειν 551.
τὰ δίκαια τῆς Βουλγαρικῆς ἀρχῆς 132. τὰ τῆς ἐξουσίας 236. τὰ παρριαρχικά 164.
δικαστηρικοὶ πίνακες II, 64.
δικασπολοὶ II, 15.
δίκτυα φόβων 799, χλεύης 903, ψόγου 449. δικτύῳ θηρεύειν ἀνέμων πνοάς 911.
δίτριτον 277.
δομεστικὸς ὁ ἐπὶ τῆς τραπέζης 301, τῶν δυτικῶν θεμάτων 301. μέγας δομεστικός 351.
δουλίκη προσκύνησις 618.
δούξ 1146. ὁ τῶν Ἀθηνῶν 237, 239. μέγας δούξ 220, 232.
δοχὴ καὶ στοργή 655.
δραματουργεῖν 450, 617, 898.
δραματούργημα II, 491.
δραματουργία 863.
δρεπάνη χρόνου 466.
δρῶντες διώρυχας II, 48, τὸν βασιλέα μακάριον ἔδρων II, 110.
δυσσυνειδήτως 320.
δυστοπία II, 417.

Ε

ἔαρ ἀγαθῶν 476, τῆς Ἐκκλησίας 507, ἡδείας ἀναπνοῆς 826, μνήμης II, 375.
ἐγγοητεύειν II, 83, 132.
ἐγκάρδιον πῦρ 1054.
εἰ δ' οὖν 398, 513, 520, 593, 769, 807, 860, 907, 912.
εἶεν 107, 133, 155, 341, 599, 935, 984, 993, 1012, 1036, 1075, II, 13, 16, 52, 129, 257, 510.
εἰκόναι 738.
εἰκότερον 1133.
εἶναι i. q. ἐστίν 141, 225, 589. ὃς ἀντᾶραι βλέφαρον ἦν αὐτῷ 730, cf. 746. καταχέοντες ἦσαν 431, 445, 452, 467, 498, 526, 552, 558, 566, 568, 578, 599, 614, 621.
εἰπεῖν 93, 118, 119, 135, 180, 185, 225. ἀνθρωπίνως εἰπεῖν 693, 709. ἁπλῶς εἰπεῖν 260, 429, 800. ἐπίπαν εἰπεῖν 495, 922. ἵν' εἴπω 4, 10, 181, 299, 325, 468, 807. ἵν' οὕτως εἴπω II, 422. καθάπαξ εἰπεῖν 144, 189, 324, 758. μᾶλλον δ' εἰπεῖν οἰκειότερον 829. ἢ μᾶλλον εἰπεῖν 366. ὅλως εἰπεῖν 805. τὸ ὅλον εἰπεῖν 748. οἷον εἰπεῖν 188, 199, 208, 215, 216, 297, 327, 472. οὕτωσί πως εἰπεῖν 164. συλλήβδην εἰπεῖν 615, 699. ταυτὸν δ' εἰπεῖν 1054. ὡς εἰπεῖν 260, 432, 903. ὡς ἐπίπαν εἰπεῖν 495, 922, φάναι.
εἰς γυναῖκα λαβών 63. εἰς γυναῖκα δευτέραν ἠγάγετο 92.
εἰωθός 683, 731; 837, II, 114, 121, 122, 130, 141.
ἐκκεκαλυμμένως 191.
ἡ ἔκκλητος 125.
ἐκμετρῆσαι τὸ ζῆν 60, 148.
ἐκμοχλευτήρια ὄργανα 737.
ἑκόντες ἄκοντες 66.
ἐκποιεῖσθαι 748.
ἐκπυρσεύειν λογισμούς 457.
ἐκτέμνειν τὸν Παλαμᾶν τῆς Ἐκκλησίας 24.
ἐκτόκια II, 131, 234.
ἕλικες πολέμου 728, θαλάττιοι 860.
Ἑλλανοδίκης 645, 804. παγκόσμιος 347.
ἐκφραγέντων τῶν ἐντέρων II, 184.
τὸν Ἑλλησποντίαν πορθμόν 104, 227, 254.
ἐμβρίθεια γνώμης 577, δεινοῦ 662, λεγομένων 654, συνέσεως 194, 270.
ἐμμέριμνος 412.
ἐμπαιγμός 431, 432.
ἐμπαῖκται 316.
ἐμπύρευμα προθυμίας II, 8.
ἐμφιλοσόφως 364.
ἐμφωλεύειν II, 155.
ἔνεδρα 590, 591, 651, 703; II, 101, 179.
ἐνῆν τοῖς Γεννουΐταις οὐκέτι καθεκτοῖς εἶναι 877.
ἐξεγένετο αὐτοῖς κακοπραγεῖν 572.
ἐξισωταί 392, 402.
ἐξὸν ἠπειρώτης εἶναι 8.
ἐξοστρακίζειν 402.
ἔοικεν αὐτὸν εἶναι 977.
ἑορτὴ μειδιάματος 494.
ἐπεισόδιος θέρμη 622.
ἔπηλυ νόσημα II, 5.
ἐπ' ἀδελφῇ (θυγατρὶ) γαμβρός 56, 60, 71, 110, 133, 204, 263, 271. ἐπὶ τῷ υἱῷ νύμφη 57, 92. συχνὰς ἐπὶ συχνάς 767, 852. ἐπὶ μέγα καπνοῦ 689.
ἐπιβόσκεσθαι 712, 816, 927, 976, 1109.
ἐπιθυμιάσαντες δόξης 760.
ἐπισείοντος ἔαρος 622.
ἐπιστατεῖν κατὰ λέξιν 130.
ἐπιστατικώτερον παρηκολουθηκότες 571.
ἐπισύρεσθαι 345, 449, 510, 701, 759.
ἐπταπλάσιος δεκάς 375.
ἐργαστήριον ἀρετῆς 717, πολέμου 851.
ἐρυθρὰ γράμματα 109, ὑποδήματα 803. ἐρυθρὸς σταυρός 416.
ἔσεται II, 67.
ἐρυθροβαφῆ κοσμήματα 425.
ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας II, 20.
ἑσμὸς ἐπαίνων 815, θεοτήτων 780.
ἐστιάτωρ καὶ δαιτυμὼν ἐν τοῦτῷ 1087.
ἑστῶσιν ὀφθαλμοῖς ὁρᾷν 871, 995.
ἐσχατιαὶ ἀποριῶν 867. δυστυχημάτων 222, κακῶν 535, κινδύνων 205, ὀλέθρου 767. δραμάτων 72, χειμῶνος 86, κακοδαιμονίων II, 525.
ἑταιρίς 285, 549.
εὐθηνία νοῦ καὶ γλώττης 129.
εὐθυδικία II, 152.
εὐσκιόφυλλον δένδρον 563.
εὐοδοῦν II, 127.
εὐφρόσυνος 352.
τὸ ἐφέρπον τοῦ ἤθους ὑγρόν 205.
τὸν ἔφηβον παραλλάττειν 291, 673. ἐς τὸν ἔφηβον ἧκε 284.
ἐχθρικὴ ἔφοδος 305.

Ζ

ζάλη λογισμῶν 705. κυκεὼν καὶ ζάλη 768.
ζέφυρος ἀναψύξεως 581, 653, φροντίδων 675. γέμων εὐφροσύνης 821.
ζημιωθῆναι χρημάτων 855, ἕνα τῶν παίδων 887; II, 238, 253.
τὸ ζῆν ἐν ταῖς βίβλοις ἔχειν 674.
ζητήματα 397, 779, 816.
ζήτησις 763.
ζοφεραὶ εἱρκταί 607.
ζόφος 760, 1061. ζόφοι 726.
ζυγὸν ὀρφανίας ἕλκουσαι 63.
ἡ ζωαρχικὴ Τριάς 508, 756.
τὸ ἡδόμενον τῆς ψυχῆς II, 37, 173.

Η

ἥκιστα i. q. οὔ 397, 411, 417,

430, 437, 439, 440, 484. καὶ μάλα ἥκιστα 506.
ἥκομεν λέξοντες 317, 416.
ἡλικιώτης κενοδοξίας 905. ἡλικιῶτις ἀλλοφύλου τροφῆς 761. ἑταιρεία ἡλικιῶτις 703, κλαγγή 728. πενία 673.
ἥλιος ὁ ἐς τὴν ὑστεραίαν 439, ὁ πεντεκαιδέκατος 560. ἥλιοι τρεῖς 456, πολλοί 425, 437. ἥλιος ἐλεύθερος 799.
ἡμιπύργιον 669, 963; II, 84.
ἡνίας ἀνθέλκειν 936, ἰθύνειν 909.
ἡσύχοις ποσὶν ἐφεδρεύειν 774.
ἧττον ἢ χιλίους 404, 672. ἥττους ἢ δισχίλιοι 628. sic μεῖον διακοσίων 734, χιλιάδες οὐ μείους τῶν τριῶν 865. οὐργιᾶς μᾶλλον 730.

Θ

θαλαμεύειν θησαυρὸν 821, II, 544. θαλαμεύεσθαι II, 106, 221, 257.
θαλαμηπόλοι μειρακίσκοι 422, qui οἰκειακοὶ μειρακίσκοι 421.
θάλασσα ἀθλητική 902. ἔριδος 1044, λογισμῶν 581, πολέμων 1137, συμφορῶν 381. Cf. II, 53.
θάλπειν ἔρωτα 648.
θανάτων κρατῆρες II, 62.
θαῤῥεῖν II, 130.
θᾶττον ἢ λόγος II, 180.
θεοπτία vel θεοπτεία 128, 1035.
θεατρίζειν II, 299, 542.
θεοκάπηλος II, 412, 471.
θεὸς τὸ κινδυνευόμενον 903, 904.
θεοφόροι καὶ θεολόγοι ἄνδρες 940.
οἱ θεσπέσιοι πατέρες II, 138.
ἡ θεωνυμικὴ τάξις II, 444.
θέωσις II, 475.
θύειν σιωπῇ 827.
θνητότης II, 465.
θυμὸς πυρός 88. θυμοὶ ὁπλομάχοι 658. θυμοῦ πνέοντες 704.

Ι

ἰδιοτροπία 272, 566, 580, 806. ἰδιοτροπίαι 5, 262.
ἰδιότροπος 801.
ἰδιώτιδες ἀκοαί II, 394.
ἱεροφάντορες 558, 560.
μεθ' ἱκανόν 695.
ἱκανούσης i. q. ἱκανῆς οὔσης 334.
ἰσόψυχοι 318.
ἱστουργεῖν χιτῶνα 885, μελέτας II, 144.
ἴυγγες ἐπαγγελιῶν 403.
ἰχθύθια τὰ ἁμαρτήματα 488.

Κ

τὸ κ διπλούμενον II, 161.
καθεσθεὶς 55.
καινοφανῆ δόγματα 875.
καινοφωνίαι 590, 768, 769, 823; II, 37.
καιρικαὶ συνθῆκαι 145.
καιρὸς ἀκαιρίας γέμων 448. ἐν οὐ καιρῷ 663; II, 401, 420.
καιροφυλακεῖν σφαγήν II, 155.
Καῖσαρ 79, 220.
Καισαρικὸν ἀξίωμα 374.
Καισαρισσα 374.
κακογνωμοσύνη 558, 587.
κάλαμος διανοίας 904.
καλύπτρα 170, 242, 258, 463, 519, 567, 732, 747; II, 167.
καμινιαία αἰθάλη 993
κάμινος πικρίας 466, φιλονεικίας 507.
κάμπτειν τέλος βίου II, 57.
καπηλευθεῖσα κηλῖσιν ἡ γῆ 687.
καπνοὶ στεναγμῶν 93, 142. ἄκαπνοι 1010.
ἐν Καρὸς μοίρᾳ 910; II, 166, 218.
καρποῦσθαι τὸ ἐπιτυχές 904.
καρτερεῖν τὴν τοῦ βασιλέως ἄφιξιν 44.
καταγελᾷ ἔνδεια τὰ στρατόπεδα 223.
ἢ κατὰ post comparativum II, 88, II, 91, 107, 111, 133, 148, 153, 180, 187.
καταδαρθόντων πρὸς ὕπνον 315.
κατέδαρθε μὲν, καθεύδειν δ' οὐκ εἶχε 308.
καταθοινᾶσθαι 217.
κατακερματισθέντων τῶν πολεμίων 659.
καταπάτημα 431.
καταῤῥέοντος ἀπαρκτίου 225.
κατατέμνειν ψυχὴν φροντίσι 263.
κατατροποῦσθαι 139, 206, 307, 538.
καταχορεύειν 502.
κατεπαιρομένη τῆς ἐκείνου πραότητος 236.
Καύκασοι II, 131, 522.
καυτηρία 460.
τὴν κερδαίνουσαν εὑρεῖν 219.
κεδροι σοφίας 901, ὄφρυος 923.
κενεμβατοῦσαι τριήρεις II, 90.
κενοδοξία 261, 274.
κενοφωνήματα 1073.
κενοῦν 473, 581, 664, 675, 800, 1049; II, 5, 71.
κηλῖδες ὁμήλικες 714.
κηφῆνες θανάτου 477.
κηφηνώδης 1128.
κιθάρα ἔμψυχος Δαβίδ 1134.
κινδυνεύει χειρώσασθαι 433. μεῖναι στᾶσαν 526.
κιῤῥά 271.
τὰς κλεῖς 315, 607 (κλεῖδας 412.)
κληροῦχος ἀδοξίας 701, χλεύης 656.
κομποῤῥημοσύνη II, 233.
κόνις μάχιμος 1098. ἐν κόνει τοὐμὸν αἷμα 552.
μέγας κονόσταυλος 60, 159.
κόντος 93, 318, 536.
κορυφοῦσθαι 58, 102, 108, 126.
κοσμοκρατωρ 160. κοσμοκράτορες 1131.
κούνσουλος 97.
Κράλαινα 241, 273.
Κράλης 202; II, 148.
κράσπεδα ἡμέρας 976, τῶν ὀπισθίων 1111. ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα 1008; II, 74, 304.
κραταιοί 902. κραταιότερος 839, 842, 843, 1007; II, 150, 151, 152.
κραταιωθέντες 204.
κριτὴς καθολικός II, 152.
κρυπτῆρες 1021. κρυπτήρ II, 247.
κρηπῖδες ἐρυθραί 69. κρηπῖδες εὐσεβείας 893, θεμελίων 889, λογισμῶν 675, 688, 800, λόγου 1081, πραγμάτων 984. γλώττης II, 144.
ἐν κρυφῇ 669.
κτήσασθαι 642, 729, 757, 772, 849. κεκτῆσθαι 639, 650, 675, 719, 724, 807, 842, 843, 895.
κτητόρισσα 178.
κυκεὼν ἀνέμων 453. λογισμῶν 198, πραγμάτων 49; II, 207. σφοδρός 1082.
κυνοτρόφος II, 228.
μέγας κύριος 239, 252.
κυριότης ἔγγραφος χωρίων 642.
κώδικες ἱεροί 109, πατριαρχικοί 719.
